quibus in hac lucubratione continenter elaboro, cum omni anteacta vita mea comparentur, plane dormientis rete traxisse videor, meque insigni beneficio tuo devinctum esse hoc publico monumento testor, quod tua munificentia studiosis historiarum nunc primum communicatur. Faxit Deus optimus maximus ut neque te sumptuum tantorum neque me laborum pœniteat; idemque te cum liberis tuis ornatissimis totaque amplissima Fuggerana familia quam diutissime incolumem et florentem conservet. Augustæ Vindelicorum, ex bibliotheca herili : Kalendis Novembris, anno a Nativitate Domini MDLVI.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΖΩΝΑΡΑ

ΧΡΟΝΙΚΟΝ.

JOANNIS ZONARÆ

ANNALES.

1 PRÆFATIO.

Equidem haud inepte rideri queam, ut supervacuis in rebus magis, quam in necessariis occupatus. Posteaquam enim e medio excessi, vitamque delegi solitariam, perpetuo mihi ipsi velut exsilio indicto (idque illius nutu arcanoque consilio factum, qui supra nos est, ruptis vinculis meis, ereptisque mihi charissimis, cum dolore quidem, utiliter tamen), omnino me jampridem, omissis negotiis, turbisque repudiatis, nihil aliud tractare conveniebat, nisi ea quæ animum excolunt, et a maculis pravarum actionum assuetudine 2 inpressis purgant, quæque Numen infestum mihi ob ejus præcepta violata, et desertam justitiæ viam placare queant, itaque delictorum veniam impetrare. Ego vero (quæ mea ad recte faciendum socordia est) rebus necessariis neglectis, in supervacuis elaboro. Tamen, ut pro mei defensione aliquid afferam : non meapte auctoritate susceptum hoc opus est, sed hortatu amicorum : qui cum me otium agere viderent, id aiebant in negotium aliquod esse conferendum, quod et rempublicam juvaret, et ipsum quoque divinum mihi præmium conciliaret. Addebant eos, qui historiis et rebus olim gestis describendis laborassent, partim cum alia facta veterum, tum strategemata prolixius conscripsisse, atque acies instructas, exercituum conflictus, castrametationes, aggeres excitatos, et alias hujus generis enarrare : prætereaque loca, et impedita itinera, et montes arduos atque inaccessos, vallium item angustias, urbium munitiones, et turrium altitudines immensas, propeque in cœlum porrectas quasi oculis subjicere : partim scripta sua ad

ΠΡΟΟΙΜΙΟΝ.

Α'. Εὐστόχως ἄν τις εἴποι, ἐπιτωθάζων μοι, μεῖζόν σοι τοῦ ἔργου τὸ πάρεργον. Ἔδει γάρ με, ὡς ἀληθῶς πάλαι τῶν πραγμάτων ἀφέμενον, καὶ τυρβάζεται ἀποσχόμενον, καὶ τοῦ μέσου μεταναστεύοντα, καὶ καθ' ἑαυτὸν ἑλόμενον ζῆν, ἀειφυγίαν τε ἑαυτοῦ καταψηφισάμενον (οὕτω τὰ καθ' ἡμᾶς οἰκονομήσαντος τοῦ ὑπὲρ ἡμᾶς, ἐπειδὴ τοὺς δεσμούς μου διέρρηξε, τῶν φιλτάτων στερήσας με, οἷς οἶδεν ἐκεῖνος λόγοις, ἀλγεινῶς μὲν ἐμοὶ, συμφερόντως δ' ὅμως;) μηδὲν ἕτερον μετιέναι, ἢ ὅσα ψυχὴν καταρτίζουσι καὶ καθαίρουσι τῶν ἐντακέντων αὐτῇ μολυσμάτων διὰ φαυλότητα πράξεων, καὶ ἅττα ἐξιλεοῦνται τὸ θεῖον, ἐφ' οἷς παρόργισται παρ' ἐμοῦ, παραβεβηκότος τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ δικαιώματα καὶ ζητεῖν οὕτω συγγνώμην ἐπὶ τοῖς πταίσμασιν. Ἐγὼ δ' ἀμελῶς πρὸς τὸ ἔργον ἐκ τῆς πρὸς τὰ καλὰ νωτριάς διατιθέμενος, περὶ τὸ πάρεργον κατέτεινα τὴν σπουδήν. Ἀλλ' ἵνα τι καὶ ὑπεραπολογήσομαι ἐμαυτοῦ, οὐκ οἰκοθεν ὡρμήθην πρὸς τὸ ἐγχείρημα. Ἄνδρες δέ με φίλοι πρὸς τοῦτο παρέθηξαν, σχολάζοντα βλέποντες, καὶ χρῆσαι λέγοντες τῇ σχολῇ πρὸς ἔργον κοινωφελὲς, καὶ χείονταί σοι τι κἀκ τούτου πρὸς τοῦ Θεοῦ ἀνταπόδομα. Προσεπῆγον γάρ, ὡς οἱ περὶ τὰς ἱστορίας πονήσαντες, καὶ τὰ πάλαι γενόμενα συγγραψάμενοι, οἱ μὲν διεξοδικώτερον τάς τε ἄλλας πράξεις τῶν παλαιῶν ἀνδρῶν, καὶ τὰ στρατηγήματα συγγεγράφασι παρατάξεις διηγούμενοι, καὶ συμπλοκὰς στρατευμάτων, καὶ στρατοπεδείας, καὶ χάρακας, καὶ εἴ τι τούτοις ἑπόμενον. Πρὸς δὲ τοῖς περιηγήσεις χωρίων καὶ δυσχωρίας ὁδῶν, καὶ ὄρη προσάντη καὶ δύσβατα, καὶ αὐλώνων στενοχωρίας, καὶ πόλεων ὀχυρότητας, καὶ πυργωμάτων ὕψη μετέωρα, καὶ ὡς

ἄν τις φαίη αἰθέρια, τοῖς δὲ καὶ πρὸς ἐπίδειξιν συντέθεινται τὰ συγγράμματα, ἐπιδεικνυμένοις ὅπως εἶχον περὶ τὸ γράφειν δυνάμεως, καὶ διὰ τοῦτο δημηγορίας μεταξὺ τιθεῖσι, καὶ παρεκβατικώτερον ἢ καὶ ῥητορικώτερον κεχρημένοις τῷ λόγῳ. Ἐνίοις δὲ καὶ εἰς διάλογον τὸ φιλότιμον ἐτελεύτησεν, ὡς θ' ὁπηνίκα περί τινων ἑτεροδοξούντων καὶ σφαλλομένων περὶ τὰ ὀρθὰ συγγράφωνται δόγματα, διαλέξεις ποιεῖσθαι πρὸς ἐκείνους ὡς παρόντας, καὶ διελέγχειν αὐτῶν τὸ κακόδοξον, κἀκ τῆς ἱερᾶς Γραφῆς τοὺς ἐλέγχους παράγειν, ἢ καὶ Ἰουδαίοις ἀντιλέγειν, καὶ ἐθελοκακοῦντας δεικνύειν αὐτοὺς, εἰ μὴ τὸ καθ' ἡμᾶς μυστήριον δέχοιντο, καὶ χρήσεσι (1) κεχρῆσθαι προφητικαῖς. Καὶ πρὸς Ἕλληνας αὖθις ἀντικαθίστασθαι, καὶ τὸν ὕθλον ἐκείνων εἰς μέσον παράγειν, καὶ καταμωκᾶσθαι τῶν μυθευομένων αὐτοῖς, καὶ τὰς αὐτῶν γραφὰς προφέρειν τῆς κακοδοξίας εἰς ἔλεγχον. Ἔστι δ' οὖν γνωμολογεῖν τε καὶ ἠθικεύεσθαι (2). Ταῦτα δ' ἔφασαν τοῖς πλείοσι τῶν ἀναγινωσκόντων τὰ τῶν ἱστοριῶν ἐκείνων συγγράμματα, ἵνα μὴ λέγωμεν πᾶσιν ἴσως (3), φορτικά τε καὶ παρέλκοντα ἥγηνται, ὅτι τε σχολῆς εἰσι δεόμενα πλείονος, καὶ ὅτι, κἂν ταύτης τύχοιεν τῶν ἐπιόντων τὰς ἱστορίας τινὲς, μάταιον ἐκείνοις ἀποβαίνει τὸ περὶ ταύτας πονεῖν, τῶν μακρῶν διηγημάτων τῶν περὶ παρατάξεων, καὶ πολέμων, καὶ τοῦ τῶν στρατιῶν διακόσμου, καὶ τῶν λοιπῶν τῶν ὁμοίων διαφευγόντων τὴν μνήμην· τῶν δέ γε δημηγοριῶν καὶ τῶν διαλέξεων, καὶ εἰς τὸ ἀνόνητον περιστεμμένων τοῖς ἐπιοῦσι τὰ ἱστορούμενα. Τίνι γὰρ ἔσται τις λυσιτέλεια, ἔλεγον, ἐκ τοῦ γνῶναι τί μὲν ὁ δημαγωγὸς ὧδε διελέχθη τῷ δήμῳ; τί δὲ τοῖς στρατιώταις ὁ στρατηγός; ἢ τί τοῖς πρέσβεσιν ὁ αὐτοκράτωρ ἐκεῖνος ἔφη τοῖς ἐκ Περσῶν, ἢ ἄλλος τοῖς ἐκ Κελτῶν, ἢ Σκυθῶν, ἢ τοῖς ἐξ Αἰγύπτου τυχὸν, ἢ τοῖς ἐκ Δακῶν τε (4) καὶ Τριβαλλῶν; τί δ' ἕτερος τῇ συγκλήτῳ βουλῇ, ἢ τῇ πληθύϊ τῇ δημότιδι δημηγορῶν προσωμίλησε; Τοὺς μὲν οὖν τοιαῦτα ἔλεγον τὰ τῶν ἱστοριῶν ἐκδεδοκέναι συγγράμματα, πεπλατυσμένα δηλαδὴ, καὶ πρὸς τὸ φιλοτιμότερον ἀποκλίνοντα· τοὺς δὲ ἀντιθέτως ἐκείνοις διατεθῆναι περὶ τὴν τῶν ἱστοριῶν συγγραφὴν, βραχυρρημοσύνῃ χρησαμένους, κἀντεῦθεν περὶ τὰ καίρια ζημιοῦντας τοὺς περὶ τὰ σφῶν ἐσπουδακότας συγγράμματα, ἅτε καὶ αὐτὰς τὰς καιριωτέρας τῶν πράξεων τῶν ἱστορουμένων παραλειποτάς ἀνδρῶν, ἐνίας μέντοι καὶ ἐξυμνεῖσθαι δικαίας, βράχυστα δέ τινα περὶ ἐκείνων εἰπόντας, καὶ ταῦτα μήτε τὸ ἦθος ἐκείνων ἢ τὴν φύσιν παραδηλοῦντα, καὶ τὴν προαίρεσιν, μήθ' ὅπως τῶν βασιλευσάντων ἕκαστος τῆς βασιλείας ἐκράτησε, μήθ' ὅστις ἦν πρὸ ταύτης, μήτ' ἐκ τίνων ἐγένετο. Τινὰ δὲ τῶν συγγραμμάτων τούτων καὶ ἀφελεστέρᾳ λίαν ἐκδεδόσθαι προσετίθουν τῇ φράσει, συντεθεῖσθαί τε αὐτὰ σολοικότερον, καὶ

A ostentationem retulisse, ut suam scribendi facultatem demonstrarent, eoque conciones interposuisse ac digressiones oratorio plane modo: partim ambitione quadam desinere in dialogos, ut cum de aliquibus diversæ opinionis, et a rectis sententiis aberrantibus scribunt, cum iis, quasi adessent, 3 disputent, et pravas eorum persuasiones arguant, probationibus et sacra Scriptura petitis: aut Judæos confutent, ipsorumque pravitate ac pertinacia fieri contendant, quominus religionis nostræ arcana amplectantur, oraculis prophetarum in medium adductis. Atque etiam gentilibus sese opponere, eorumque nugas afferre in medium, ac deliramentis fabularum subsannatis, scripta ipsorum erroris coarguendi gratia proferre, B necnon alicubi sententias congerere, et de formandis moribus disputare. Hæc aiebant illi, si non omnibus, at plerisque lectoribus molesta et supervacanea videri, quod et multum otii requirant, et si quibus id suppetat, inanem tamen laborem sumi in evolvendis prolixis illis narrationibus prœliorum et bellorum et ordinationis exercituum, aliarumque similium rerum, quæ memoria effluere soleant: jam concionibus et disputationibus in historia legendis, nullum fieri operæ pretium. Nam quem ex eo capi fructum, si quis sciat, quid vel tribunus plebis apud populum, vel dux apud milites dixerit? quid item imperator alius legatis Persarum, alius Gallorum aut Scytharum, aut Ægyptiorum forsan, Dacorumve aut Triballorum re- C sponderit? quæ verba alius apud patres conscriptos, aut populum fecerit? Scripta igitur hujusmodi asserebant latius evagari, et ad ambitionem 4 inclinare. Alios porro scriptores contrario laborare vitio, qui dum brevitatem affectarent, rerum necessariarum cognitione fraudarent lectorem: præteritis aliquando, aut saltem breviter perstrictis, præstantium virorum rebus gestis, quæ vel divinis celebrari laudibus mereantur, nec declararent, qui mores, quæ ingenia, quæ consilia illorum fuerint, nec quo pacto quisque regum sit potitus regno, qui fuerit ante illud partum, quibus ortus majoribus. Addebant, scriptorum illorum quædam nimium inornata esse D dictione, compositione aspera, verbisque plebeiis, ac nonnunquam barbaris constare: unde fieret ut homines eruditi ab eorum lectione abhorrerent. His illi dicendis, et scriptis historicorum ad hunc modum traducendis, sæpe me cohortati sunt, ut libris in manus sumptis, tam ea prætermitterem, quæ ob prolixitatem memoria non caperet, quam quæ utilitatis nihil haberent: et longa narratione in compendium redacta, brevem historiam ederem, quæ facta et res memoratu digniores quam

Variæ lectiones et notæ.

(1) *Χρήσεσι*. Ita mss. Wolfiani et Regii. At idem Wolfius *ῥήσεσι* reposuit.

(2) *Γνωμολογεῖν καὶ ἠθικεύεσθαι*. *Moralizare*, verbo Latino-barbaro, scriptores ævi inferioris aliquot utuntur:

(3) *Ἴσως*. Hæc vox abest ab aliquot mss.

(4) *Ἐκ Δακῶν τε*. *Δαμασκῶν* perperam præfert unus e mss. Wolfianis.

paucissimis complecteretur, et lectoribus velut ob oculos poneret. Ac illi quidem hujusmodi laboris capiendi, et talis operis conscribendi auctores mihi fuere.

ἰδιωτικαῖς λέξεσιν ἐκφέρεσθαι, ἢ καὶ βαρβάροις ἐνίοτε, ὥστε ἐντεῦθεν ἀηδῶς τοὺς λόγοις ὡμιληκότας πρὸς αὐτὰ διατίθεσθαι. Τοιαῦτα λέγοντες, καὶ οὕτω τῶν ἱστορικῶν συγγραμμάτων, ὡς εἴρηται,, καθαπτόμενοι, πολλάκις με παρέθηγον τὰς βίβλους ἀνὰ χεῖρας λαβεῖν, καὶ παρεάσαντα τὰ πολλὰ, ὧν τὰ μὲν τῇ μνήμῃ προσιζάνειν διὰ τὸ πλῆθος ἀποπεφύκασι, τὰ δ' εἰς οὐδὲν τελευτῶσιν ὠφέλιμον, τὴν δέ γε πεπλατυσμένην ἐπιτεμόντα διήγησιν σύντομον ἱστορίαν ἐκδιδωκέναι, συνοπτικῶς διδάσκουσαν τοὺς ἐπιόντας τὸ σύγγραμμα τὰ καιριώτερα τῶν πεπραγμένων, ἢ καὶ ἄλλως συμβεβηκότων τοῖς περὶ ὧν ἡ συγγραφὴ διαλέγεται. Ἐκεῖνοι μὲν οὖν πρὸς τοιοῦτόν με παρεκίνουν ἀποδύσασθαι πόνημα, καὶ τοιοῦδε συγγράμματος ἅψασθαι.

II. Ego vero cum et remisso essem animo (dicam enim quod res est) otioque deditus, et rem esse cernerem magnæ occupationis, quæque librorum copiam postularet, dubitabam, et ab eo conatu abhorrebam. Verum illi me vellicare non prius destiterunt, quam improbitate stimulandi ad suscipiendum opus tandem perpulissent. Nam si aquæ gutta subinde cadendo solidam saxi duritiem cavat, quanto magis oratio crebro aures feriens, animi torporem, et quietis studium excutit? Deinde in mentem mihi venit, laborem illum, et historiæ scribendi occupationem, aliquid utilitatis et lucri etiam animo esse allaturam. Nam nequitiæ latus magis aspirare solent menti quiescenti, malarumque cogitationum et rationum alias alios excitare fluctus, eamque continenter invadendo demergere, et aut in peccata impellere (si facto minus, at assensu) aut undarum in ea magnam agitationem ac tumultum commovere. Animus autem certis negotiis occupatus effugere fere solet malarum cogitationum pravarumque cupiditatum decumanos fluctus. Igitur tum amicorum cohortationibus, tum sordidas aut inanes curas expellendi studio, ad opus hoc suscipiendum sum adductus. Itaque factum est, ut hanc provinciam acciperem. Quod si minus exquisite perfectæ fuerint operis hujus singulæ partes, veniam a lectoribus peto. Fortassis enim in hoc secessu nunc agenti mihi, neque copia librorum ad condendam historiam necessaria suppetet, neque scriptores omnes iisdem de rebus eadem tradiderant, ut non in pluribus, saltem in multis dissentientes. Quod si omnia curiose persequi voluero, ac recensere, quid alius atque alius eadem de re dixerit : Mihi etiam prolixum unaquaque de re nascetur opus. Quapropter contrarias historicorum narrationes præterire mihi visum est, nisi quid maximi fuerit momenti : quo prætermisso, ipsa historiæ integritas labascat. Jam dictionem esse variam, nec per omnia sui similem nemo miretur,

Β'. Ἐγὼ δὲ τὸ μὲν ἀνειμένος τὴν γνώμην ὢν (εἰρήσεται γὰρ τἀληθὲς) καὶ ῥᾳστώνῃ συζῶν, τὸ δὲ καὶ ἀσχολίας συνορῶν τὸ πρᾶγμα δεόμενον, καὶ βίβλων πολλῶν, ὤκνουν καὶ ἀνεβυόμην πρὸς τὴν ἐγχείρησιν. Οἱ δέ με νύττοντες οὐκ ἀνίεσαν, καί ποτε πρὸς τοὔργον τῇ τῶν νυγμῶν συνεχείᾳ διεγηγέρκασιν. Εἰ γὰρ κοιλαίνειν τὸ τῆς πέτρας σκληρὸν καὶ ἀπόκροτον ὑγρὸς ἐνδελέχεια δύναται, μᾶλλον ἂν δυνήσεται λόγος ἐνδελεχὴς τὰ ὦτα θυροκοπῶν, γνώμης διεγεῖραι ῥᾳστώνην καὶ ἀνειμένην προαίρεσιν. Εἶτά μοι καὶ ὡς οὐδὲ πρὸς ψυχικὴν ὠφέλειαν ἀκερδὴς ὁ πόνος ἔσται, καὶ ἡ περὶ τὴν συγγραφὴν ἀσχολία, ἐλήλυθε κατὰ νοῦν. Ἥρεμοῦντι γὰρ τῷ νοΐ (5) μᾶλλον εἴωθε τῆς ποντρίας ἐπιπνέειν τὰ πνεύματα, ἐνθυμήσεών τε φαύλων καὶ λογισμῶν ἄλλοτε ἄλλων ἐπεγείρειν κλυδώνια, καὶ καταβαπτίζειν αὐτὸν τῇ συνεχείᾳ τῶν προσβολῶν, καὶ ἢ πρὸς ἁμαρτίας ἐξολισθαίνειν ποιεῖν, εἰ καὶ μὴ πράξεσιν, ἀλλά γε συγκαταθέσεσιν, ἢ τέως ζάλην αὐτῷ πολλὴν ἐπικυμαίνειν καὶ τάραχον. Εἰ δέ τισιν ὁ νοῦς ἐνησχόληται, διαφεύγειν πέφυκεν ὡς ἐπίπαν τὰς ἐκ τῶν πολλῶν λογισμῶν τριχυμίας, καὶ τῶν πονηρῶν ἐνθυμήσεων. Διά τε τοίνυν τὴν ἐκ τῶν φίλων παράθηξιν, καὶ διὰ τὴν τῶν ῥυπαρῶν, ἢ καὶ ματαίων λογισμῶν ἀπόβασιν, προσήγαγον ἑαυτὸν τῷ σπουδάσματι. Οὕτω μὲν οὖν μοι ἐπιβαλεῖν ἐγένετο τῷ παρόντι συγγράμματι. Εἰ δὲ μὴ διηκριβωμένην τὴν περὶ ἑκάστου τῶν ἀναγραφομένων ἱστορίαν ποιήσομαι, νέμειν μοι συγγνώμην αὐτῷ τοὺς ἐντευξομένους αὐτῇ. Οὔτε γὰρ βίβλων ἔσω μοι εὐπορῆσαι γενήσεται, ὅσαι μοι χρειώδεις εἰσὶ πρὸς τὸ σύγγραμμα, παρὰ τῇ ἐσχατιᾷ ταύτῃ ποιουμένῳ νυνὶ τὴν διατριβήν, οὔτε πάντες οἱ συγγραφεῖς τῶν ἱστοριῶν τὰ αὐτὰ περὶ τῶν αὐτῶν συγγεγράφασιν, ἀλλ' ἐν πολλοῖς διαφωνοῦσιν, εἴ γε μὴ ἐν τοῖς πλείοσιν. Εἰ δὲ καὶ ἀκριβοῦσθαι βουλήσομαι περὶ ἑκάστου τῶν ἱστορουμένων, καὶ δηλοῦν, τί μὲν ὅδε περὶ τοῦδε λέγει ὁ συγγραφεύς, τί δ' ἕτερος περὶ τοῦ αὐτοῦ, πολύστιχον ἂν καὶ αὐτὸς τὴν περὶ ἑκάστου πραγματείαν ποιήσομαι. Διὰ ταῦτά μοι παρεῖχεν δέδοκται τὰ ἐφ' οἷς ἀλλήλοις οἱ περὶ τῶν

Variæ lectiones et notæ.

(5) *Ἥρεμοῦντι γὰρ τῷ νοΐ*, etc. Anonymus monachus Ratisponensis de suis tentationibus, nuper editus a viro doctissimo Joan. Mabillonio. *Analector.* tom. IV : *Ideoque in tanta molestia tentationis, quæ eo magis imminebat, quo magis sospitas corporalis inerat, omnimodo tractare cœpi, quali studio qualique labore corpus spiritui subjicerem. Nam ea quæ communiter cum cæteris fratribus in cœnobio agere docebar : sed et illa quæ speciali devotione scribendo aut legendo, seu etiam jejunando sponte subii, non satis affligere corpus videbantur. Cumque diu tractarem, quo potissimum studio mentem in tantis periculis constitutum aptissime jugiterque constringerem, occurrit animo, ut in dictamine me occuparem aliquo : quod et sæpe expertus sum mentem lascivam cujuslibet scholastici instructi in nullo posse magis constringi, quam studio dictandi.*

αὐτῶν συγγράψαντες ἡσυχίαν ἄγωσιν, εἰ μή τι τῶν ἄγαν εἰη σπουδαίων, καὶ ὁ παραλειπόμενον περὶ τὰ καίρια λυμαίνεται τῇ συγγραφῇ. Εἰ δ' ὁ χαρακτὴρ τοῦ λόγου ποικίλλεται, καὶ μὴ δι' ὅλου ὅμοιός ἐστιν ἑαυτῷ, θαυμαζέτω μηδείς, μηδέ τις τὸν λόγον αἰτιάσθω, ἢ τὸν τούτου πατέρα με. Ἐκ πολλῶν γὰρ βίβλων τὰς ἱστορίας ἐρανισάμενος, ἔν γε πολλοῖς ταῖς τῶν συγγραφέων ἐκείνων χρησαίμην ἂν συνθήκαις καὶ φράσεσιν, ἐν ὅσοις δ' ἂν αὐτὰς παρῳδήσω ἢ παρεμφράσω, πρὸς τὸν ἐκείνων χαρακτῆρα τὴν ἰδέαν τοῦ λόγου μου μεθαρμόσομαι, ἵνα μὴ ἀσύμφωνος αὐτῇ ἑαυτῇ δοκῇ ἡ γραφή.

A aut culpet orationem, aut me auctorem illius. Cum enim historiam e variis scriptoribus veluti stipem colligere necesse habeam, in multis, illorum et dictione et compositione utendum erit. Sicubi tamen ipse de meo aliquid interjecero ac inseruero: stylus ad illius, quem sequar auctorem, formam accommodabitur, ne scriptura a sese dissidere videatur.

Γ'. Ἀλλά μοι πρὸ τῆς ἱστορίας κεφαλαιωδέστερον εἰρήσθω, τινὰ τὰ ἱστορηθησόμενα, ἵν' εἰδοῖεν οἱ τῷ συγγράμματι ἐντυξόμενοι ὡς πολλῶν τε καὶ τούτων ἀναγκαιοτάτων ἱστοριῶν ἐν εἰδήσει γενήσονται. Περιέχεται γοῦν τῇ Ἐπιτομῇ ἡ Ὀκτάτευχος, καὶ ὅσα ἐν ἐκείνῃ ἱστόρηται· καὶ τῶν Βασιλειῶν αἱ βίβλοι ταύτῃ συμπεριέχονται, καὶ ἐπ' αὐταῖς τὰ Παραλειπόμενα, καὶ ὅσα Ἑβραῖος Ἰώσηπος Ἀρχαιολογῶν, ἢ τῶν παλαιοτέρων τις εἶπεν ἐπέκεινα, ἢ παρεκβατικώτερον ἢ καὶ ἀλλοιώτερόν μού τι παρ' ἐκείνους ἱστόρησε· καὶ τὰ τοῦ Ἔσδρα, τά τε τῶν αἰχμαλωσιῶν τῶν Ἑβραίων προτέρας μὲν τῆς τῶν δέκα φυλῶν ἡ παρὰ τοῦ Ἀσσυρίου Σαλμανασὰρ γέγονε τὴν Σαμάρειαν ἑλόντος πολιορκίᾳ, καὶ τὸ ἔθνος αἰχμαλωτίσαντος, καὶ πέραν Εὐφράτου ἀπαγαγόντος καὶ κατοικίσαντος, εἰς δὲ Σαμάρειαν μετοικίσαντος ἔθνη τινά, ἃ Χουθαῖοι ἐπωνομάζοντο· εἶτα καὶ τῆς παρὰ τοῦ Ναβουχοδονόσορ ἐπενεγκθείσης τῇ Ἱερουσαλὴμ, καὶ ὡς ἔρημος ἡ πόλις ἐγένετο, καὶ ὁ ναὸς ἐνεπέπρηστο, καὶ τὸ ἔθνος ἅπαν ἐξηνδραπόδιστο· καὶ ὡς μετὰ ἐνιαυτοὺς ἑβδομήκοντα κατὰ τὰς προρρήσεις τῶν προφητῶν ἐχωρήθη τῷ λαῷ ὑπὸ Κύρου τοῦ τὴν τῶν Ἀσσυρίων βασιλείαν καθηρηκότος ἀνελθεῖν εἰς Ἱερουσαλὴμ, καὶ τὴν πόλιν ἀνεγεῖραι, καὶ ἀνακαινίσαι τὸ ἱερόν· τίς τε ἦν ὁ Κῦρος, καὶ ὅπως τὴν τῶν Ἀσσυρίων βασιλείαν κατέλυσε, καὶ τίνες μετ' ἐκεῖνον τῆς βασιλείας ἐκράτησαν, καὶ ὅπως καὶ παρὰ τίνων ἢ τῆς πόλεως ἐκωλύθη οἰκοδομὴ, κἀκ τίνος αὖθις ἡ ταύτης ἐξηχωρήθη ἀνέγερσις. Καὶ περὶ Δανιὴλ τοῦ προφήτου, καὶ ὅπως ἔκρινε τὰ τοῦ Ναβουχοδονόσορ ὀνείρατα, καὶ τοῦ Βαλτάσαρ τὴν ὅρασιν, ὅτ' εἶδεν ὁ Βάρβαρος ἐκεῖνος τῆς χειρὸς τὸν ἀστράγαλον γράφουσαν ἐν τῷ τοίχῳ, καὶ περί τινων τῶν τοῦ προφήτου ὁράσεων, ἃ πάντα μετὰ συντετμημένης ἱστόρηται ἐξηγήσεως. Καὶ περὶ τῶν τριῶν παίδων, καὶ τῶν εἰς αὐτοὺς ἢ δι' αὐτῶν γεγονότων ὑπὸ Θεοῦ ἐξαισίων· περί τε τῆς Ἐσθὴρ, καὶ ὅπως τὸ τῶν Ἑβραίων γένος πανωλεθρίας αὐτῇ ἐρρύσατο· καὶ περὶ Ἰουδὶθ, ἣ τὸν Ὀλοφέρνην κατασοφισαμένη ἀνεῖλε, καὶ τὴν αὐτοῦ στρατιὰν παρέδωκεν εἰς ἀπώλειαν· καὶ περὶ Τωβὶτ, καὶ ὅπως ἀορασίᾳ πληγείς, καὶ ἐξ εὐπορίας εἰς ἀχρεῖον πενίαν συνελαθείς, αὖθις δι' ἀγαθοεργίαν, Θεοῦ προνοίᾳ τετύχηκε τοῦ ὁρᾷν, καὶ πλούτου δαψιλείαν ἔλαβεν. Ἀλλὰ καὶ τὰ τοῦ Μακεδόνος Ἀλεξάνδρου ἐντεῦθα συντέτμηνται, μνησθείσης τῆς ἱστορίας ἀναγκαίως ἐκείνου, διά τε ἄλλα, καὶ ὅτι τῇ Ἱερουσαλὴμ μετὰ τὴν ἐν Ἰσσῷ τοῦ Δαρείου πρώτερον ἦσταν ἐπιδεδήμηκέ, καὶ τὸν ἀρχιερέα διατιμησάμενος ἐτύγχανε· καὶ ὅπως τὰ τοῦ Δανιὴλ ἐκείνου προφητεύματα ἐπιδείξας ἑαυτὸν ἐκεῖνον ἐποίησε, καὶ τὸν ἀρχιερέα ἐκεῖνον ἐτίμησε· καὶ ὅπως τὸν Δαρείου θάνατον διαδεξάμενος τὴν ἀρχὴν, τὴν τῶν Περσῶν ἀνέτρεψε βασιλείαν, καὶ ὅσον ἐβασίλευσε χρόνον, καὶ ὅπως τὴν ἀρχὴν εἰς τέσσαρα διεμερίσθη· καὶ ὅσα τοῖς Ἰουδαίοις ὑπὸ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, ἑνὸς τῶν ἐκ τῆς τῶν διαδόχων Ἀλεξάνδρου γενεᾶς, ἐπαθήθη, καὶ ὅπως οἱ Ἀσαμωναῖοι ἐκείνῳ ἀντέστησαν, καὶ τοὺς ὁμοφύλους ἐκ τῆς ἐκείνου τυραννίδος ἐλευθέρους ἀπέφηναν· καὶ τίνες ἐκείνοις ἐγένοντο, καὶ πῶς καὶ μέχρι τίνος ἐβασίλευσαν· καὶ ὅσα τοῖς Ἰουδαίοις ὑπὸ Ἡρῴδου τοῦ Ἀσκαλωνίτου, καὶ ὅσα ὑπὸ τῶν τούτου παίδων, καὶ ὅσα ὑπὸ Ῥωμαίων ἐπάθετο· καὶ ὅσα ἐπὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γέγονε, καὶ ὅσα μετὰ τὴν ἐκείνου ἀνάληψιν ἐπὶ τῶν ἀποστόλων, καὶ ὅσα ἐπὶ τῶν μετ' ἐκείνους ἐπὶ τοσόνδε τῶν χρόνων ἐπὶ τὸν ἡμέτερον ἐπιδεδήμηκε χρόνον.

III. Enimvero antequam ipsam rem aggrediar, summatim ea complectenda sunt, quæ tractabuntur, ut norint lectores, quam multas, easque summe necessarias historias sint cognituri. Continentur igitur hoc Compendio, octo primi Bibliorum libri, et quæ in illis narrantur; Regum item libri, et Paralipomena, quæque vel in Josephi Hebraei *Antiquitatibus* inveniuntur, vel ab antiquioribus aut copiosius, aut aliter paulo quam ab illis factum est, referuntur; et libri Esdræ, et captivitates Hebræorum, quarum prior decem tribuum sub Assyrio Salmanassare contigit, qui Samariam gentemque obsidione cepit, eaque ultra Euphratem abducto, gentes quasdam Samariam transtulit, qui Chutæi cognominabantur; altera sub Nabuchodonosore, captis Hierosolymis, urbe deserta, et templo incenso, totaque gente in servitutem abducta; utque post annos septuaginta, secundum oracula prophetarum, a Cyro, Babylonico regno everso, populo Hierosolyma redire concessum sit, et urbem instaurare, et renovare templum; quis fuerit Cyrus, ut regnum Assyriorum everterit, qui post eum id regnum tenuerint, quemadmodum ac a quibus urbis ædificatio prohibita fuerit, a quo rursus ejus instauratio concessa. Agetur etiam de Daniele propheta, ut Nabuchodonosoris somnia exposuerit, et Balthasaris visionem, cum barbarus ille digitos manus scribentes vidit in pariete, et de quibusdam prophetæ visionibus: quæ omnia brevi enarratione adjecta recensentur. De tribus item pueris, et miraculis vel in eos, vel per eos divinitus editis; de Esthere, ut a gente Hebræorum internecionem averterit; de Juditha, quæ Holophernem fraude sustulit, et ejus exercitum ad interitum dedit: deque Tobia, ut is cæcitate percussus, et paupertate ad extremam egestatem redactus, ob beneficentiam suam Dei providentia visum receperit, opumque affluentiam. Præterea res Alexandri Macedonis hic perstringuntur, cujus mentio facienda fuit cum ob alia, tum quod post priorem Darii cladem ad Issum acceptam, Hierosolyma profectus summum pontifici honorem habuit; ut Persarum regnum eversum occuparit, quandiu regnarit, ut imperium ab ejus obitu in regna quatuor fuerit divisum; quæ Judæi ab Antiocho Epiphane, uno ex posteritate successorum Alexandri, perpessi sint, ut Asamonæi illi restiterint, ac populares suos ab illius tyrannide liberarint; qui illi sint, quomodo et quandiu

populo præfuerint, ut post reditum Hierosolyma ab Assyria captivitate, Judaica gens non regibus, sed pontificibus paruerit : ut Asamonæorum, quos diximus, posteri, summi sacerdotii honore præditi, ac genti suæ imperantes, diadema etiam assumpserint : ut Pompeius Magnus, Romanorum imperator, ad componendam Hyrcani et Aristobuli fratrum de regno contentionem accersitus, tum urbem Hierosolymorum ceperit, tum gentem Romanis subjecerit : ut deinde Herodes Antipatri filius regno Judæorum potitus sit, quis ille fuerit, unde oriundus, quantæ clades ejus domesticæ, quousque posteri illius regnum tenuerint ; quomodo, quaque de causa præsides in Judæam sint missi : et quæ de **9** Servatore nostro Jesu Christo Josephus scripserit, deque Joanne Baptista : qua de causa Judæi a Romano imperio desciverint, ut gens eorum bello a Romanis petita sit : a quo et quomodo Hierosolyma postremum excisa, nec amplius instaurata sit.

A φερόντως ἐτίμησε· καὶ ὅπως τὴν Περσῶν κατέλυσε βασιλείαν, καὶ ὑφ' ἑαυτὸν ἐποιήσατο, καὶ ὅσον ἐβασίλευσε χρόνον, καὶ ὡς εἰς τέσσαρας ἀρχὰς, ἐκείνου θανόντος, ἡ ἐκείνου βασιλεία μεμέριστο· καὶ ὅσα τοῖς Ἰουδαίοις ἐξ Ἀντιόχου γέγονε τοῦ Ἐπιφανοῦς, τῶν Ἀλεξάνδρου διαδόχων ἑνὸς ἀπογόνου τυγχάνοντος· καὶ ὡς οἱ Ἀσαμωναῖοι τούτῳ ἀντέστησαν, καὶ τῆς ἐξ αὐτοῦ τυραννίδος τοὺς ὁμογενεῖς ἐλυτρώσαντο· καὶ τίνες οὗτοι, καὶ ὅπως τῶν ὁμοφύλων καὶ ἐπὶ πόσον προέστησαν, καὶ ὡς μετὰ τὴν ἐκ τῆς αἰχμαλωσίας τῆς ὑπ' Ἀσσυρίων εἰς τὴν Ἱερουσαλὴμ ἐπανέλευσιν οὐκ ἦν τὸ τῶν Ἰουδαίων ἔθνος βασιλευόμενον, ἀλλ' ὑπὸ τῶν ἀρχιερέων ἀρχόμενον· καὶ ὅτι οἱ τῶν εἰρημένων Ἀσαμωναίων ἀπόγονοι τὴν ἀρχιερατικὴν τιμὴν περικείμενοι, καὶ τὰ τοῦ B ἔθνους ἰθύνοντες, καὶ διάδημα ἑαυτοῖς περιέθεντο· καὶ ὅπως Ὑρκανοῦ καὶ Ἀριστοβούλου τῶν ἀδελφῶν διενεχθέντων περὶ τῆς Ἰουδαϊκῆς βασιλείας, ὁ Μάγνος Πομπήϊος στρατηγῶν τότε Ῥωμαίων, διαιτῆσαι μετακληθεὶς τοῖς ὁμαίμοσι, τήν τε πόλιν εἷλε τῆς Ἱερουσαλὴμ, καὶ τὸ ἔθνος τοῖς Ῥωμαίοις ὑπέταξε· καὶ ὅπως Ἡρώδης Ἀντιπάτρου υἱὸς μετὰ ταῦτα τῆς τῶν Ἰουδαίων βασιλείας ἐκράτησε, καὶ τίς ἦν οὗτος, καὶ ὅθεν κατήγετο, καὶ ὅσα κατ' οἶκον ἐκείνῳ συμβέβηκε, καὶ μέχρι τίνος οἱ ἐκείνου τῆς βασιλείας ἐκράτησαν, κἀκ τίνος τρόπου, καὶ ἐξότου ἡγεμόνες ἐκ Ῥώμης εἰς Ἰουδαίαν ἐστέλλοντο, καὶ ὅσα περὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ Ἰώσηπος συνεγράψατο· ἀλλὰ μέντοι καὶ περὶ τοῦ Βαπτιστοῦ Ἰωάννου, καὶ διὰ τίνας αἰτίας τοῦ τοῖς Ῥωμαίοις ὑπείκειν Ἰουδαῖοι ἀπέστησαν, καὶ ὅπως τὸ ἔθνος αὐτῶν ἐπολεμήθη παρὰ Ῥωμαίων, καὶ παρὰ τίνος ἡ Ἱερουσαλὴμ, καὶ ὅπως ἐξεπορθήθη τὴν τελευταίαν, καὶ μὴ σχοῦσαν ἀνάκλησιν πόρθησιν.

IV. Facta autem Romanorum et Romæ mentione, necessarium mihi visum est de his etiam scribere, et tradere, unde sit populus Romanus, in quos imperium habuerit, qui olim Italiæ regionem coluerint, unde Romulus in lucem prodierit, Romæ conditor ; ut interfectus sit Remus frater ejus ac post ille etiam inter mortales esse desierit ; ut illa urbs principio regibus paruerit, quibus sit usa moribus et institutis : ut Tarquinius Superbus regno in tyrannidem mutato pulsus sit, quot et qualia bella Roma ob illius expulsionem sustinuerit ; ut res Romana primum ab optimatibus, post etiam a populo administrata fuerit, summa rerum in consules et dictatores, mox etiam in tribunos plebis translata ; quid olim fuerit consulatus, quid dictatura, quod censorum munus, quantum temporis cuique magistratuum præfinitum, qualis apud illos triumphus, unde nomen hoc deductum, quæ temporibus consulatuum gesta fuerint, quamvis non omnia, ob librorum penuriam quibus illa tradita sunt, persequemur. Ut tandem Romanum imperium in unius **10** potestatem ceciderit, ut Caius Julius Cæsar mutationis hujus primus auctor, etsi non universæ fuerit, ut eo ab his qui libertatem tuebantur, in curia interfecto, Octavius Augustus Cæsar, interfecti Cæsaris ex sorore nepos, ab eoque adoptatus, interfectores patris ultus fuerit, adjutore Antonio ; quem deinde, orto dissidio,

C Δ'. Ῥωμαίων δὲ καὶ τῆς Ῥώμης μνησθείσης τῆς ἱστορίας, ἀναγκαῖόν μοι ἐνομίσθη καὶ περὶ τούτων συγγράψασθαι, καὶ παραδοῦναι, πόθεν τὸ τῶν Ῥωμαίων ἔθνος, κἀκ τίνος ἔσχηκε τὴν ἀρχὴν, καὶ παρὰ τίνων ἡ τῆς Ἰταλίας χώρα πρώην κατῴκιστο· ὅθεν τε προήχθη Ῥωμύλος εἰς φῶς, ὁ τῆς Ῥώμης γενόμενος οἰκιστὴρ, καὶ ὅπως ἀνῃρέθη Ῥῶμος ὁ ἀδελφὸς αὐτοῦ, εἶτα κἀκεῖνος ἐγένετο ἀφανὴς, καὶ ὅπως πρῶτον ἡ πόλις αὕτη ἐβασιλεύθη, καὶ ἔθεσιν οἵοις καὶ νομίμοις ἐχρήσατο· καὶ ὡς εἰς τυραννίδα τὴν βασιλείαν ὁ Σούπερβος Ταρκύνιος μεταγαγὼν, καθῃρέθη, καὶ ὅσους πολέμους καὶ οἵους ἡ Ῥώμη διὰ τὴν ἐκείνου καθαίρεσιν ἤνεγκε· καὶ ὡς εἰς ἀριστοκρατείαν, εἶτα καὶ δημοκρατείαν, μετηνέχθη Ῥωμαίοις τὰ πράγματα, ὑπάτων καὶ δικτατόρων, D εἶτα καὶ δημάρχων τὴν τῶν κοινῶν ποιουμένων διοίκησιν· καὶ τί μὲν ἡ ὑπατεία τὸ παλαιὸν ἦν, τίς δὲ ἡ δικτατορία, τί δ' ἦν τὸ ἔργον τῶν τιμητῶν, καὶ πόσος ὥριστο χρόνος ἑκάστῃ τῶν ἀρχῶν τουτωνί· καὶ οἷος ἐγένετο παρ' ἐκείνοις ὁ θρίαμβος, καὶ ὅθεν παρήχθη τοῦτο τὸ ὄνομα· καὶ ὅσα ἐν τοῖς καιροῖς τῶν ὑπάτων ἐγένοντο, εἰ καὶ μὴ πάντα, ἐνδείᾳ βίβλων (6) τῶν ταῦτα διηγουμένων. Καὶ ὅπως ὕστερον ἐκ τούτων εἰς μοναρχίαν ἡ ἀρχὴ τοῖς Ῥωμαίοις μετέπεσε· καὶ ὡς πρῶτος ταῦτα, εἰ καὶ μὴ καθαρῶς, ὁ Γάϊος Ἰούλιος Καίσαρ μετεποιήσατο, εἶτα ἐπὶ βήματος ἀναιρεθέντος αὐτοῦ παρὰ τῶν τῆς ἐλευθερίας ἐξεχομένων, ὁ Αὔγουστος Ὀκτάβιος Καί-

Variæ lectiones et notæ.

(6) *Καὶ μὴ πάντα ἐνδείᾳ βίβλων.* Progressus enim usque ad Carthaginis et Corinthi excidium, abrupta historia, Cn. Pompei Magni res gestas statim orditur, historia annorum 60 prætermissa. W.

σαρ..άδελφιδοῦς ὢν τοῦ ἀνῃρημένου Καίσαρος, καὶ εἰσποιηθεὶς ἐκείνῳ, τοὺς φονεῖς τοῦ θείου μετῆλθε πατρὸς, ἔχων καὶ τὸν Ἀντώνιον τοῦ ἔργου αὐτῷ συνεργόμενον· μετέπειτα δὲ κἀκείνῳ διενεχθεὶς, καὶ νικήσας ναυμαχίᾳ περὶ τὸ Ἄκτιον, εἶτα καὶ εἰς Ἀλεξάνδρειαν σὺν τῇ Κλεοπάτρᾳ φυγόντα ἐπικαταλαβὼν, εἰς τοῦτο περιέστησεν ἀνάγκης τὸν ἄνδρα, ὡς καὶ διαχειρίσασθαι ἑαυτόν· ὅση τε φθορὰ τῶν Ῥωμαίων ἐν τοῖς ἐμφυλίοις πολέμοις τούτοις ἐγένετο, πρότερον μὲν πρὸς Βροῦτον καὶ Κάσσιον, καὶ τοὺς ἄλλους ἀναιρέτας τοῦ Καίσαρος, τοῦ Ὀκταβίου καὶ τοῦ Ἀντωνίου ἀντικαθισαμένων, εἶτα καὶ πρὸς ἀλλήλους μαχεσαμένων αὐτῶν· καὶ ὡς ἐζωγρήθη μὲν ἡ Κλεοπάτρα ἡ τῆς Αἰγύπτου βασίλισσα, οὖσα τῶν Πτολεμαίων ἀπόγονος, ἀνεῖλε δὲ ἑαυτὴν κἀκείνη, ὡς εἰκάσθη, ἀσπίδος δήγματι· καὶ ὅτι οὕτω μετ' ἐπινικίων λαμπρῶν εἰς τὴν Ῥώμην ἐπανελθὼν ὁ Ὀκτάβιος, τῆς αὐταρχίας ἀντεποιήσατο, καὶ εἰς ἀκριβῆ μοναρχίαν τὴν τῶν Ῥωμαίων ἡγεμονίαν μετήνεγκε, καὶ τίνες μετ' αὐτὸν ἐμονάρχησαν, καὶ ὅπως ἕκαστος τῆς ἀρχῆς ἐπέβη, καὶ ὅπως καὶ ἐφ' ὅσον ἦρξε, καὶ οἵῳ τέλει τῆς ζωῆς συνέκυρσε· καὶ τίνες ἐπὶ τούτων, μετὰ τοὺς σεπτοὺς ἀποστόλους, τοὺς θρόνους ἐκόσμησαν τῶν τεσσάρων μεγάλων Ἐκκλησιῶν, τῆς Ῥώμης λέγω, καὶ τῆς Ἀλεξανδρείας, Ἀντιοχείας τε καὶ τῆς Ἱερουσαλήμ, καὶ ὅσοι τούτων μαρτυρικοῦ τέλους κατηξιώθησαν· ὅπως τε μᾶλλον τῶν ἄλλων κατὰ Χριστιανῶν ἐξελύττησαν Διοκλητιανὸς καὶ Μαξιμιανὸς ὁ Ἐρκούλιος, καὶ ὡς τὴν ἀρχὴν ἀποθέμενοι ἑτέρους ἀνθ' ἑαυτῶν ἐχειροτόνησαν Καίσαρας· ὧν εἷς Κωνστάντιος ὁ Χλωρὸς (7) ἦν, ὁ τοῦ μεγάλου Κωνσταντίνου πατὴρ, τῆς ἀρχῆς τῶν Γαλλιῶν καὶ τῆς Βρεττανίας ἀπονεμηθείσης αὐτῷ· καὶ ὡς θνήσκων ἐκεῖνος τὸν πρωτότοκον υἱὸν ἑαυτοῦ, τοῦτον δὴ τὸν Ἰσαπόστολον Κωνσταντῖνον, τῆς οἰκείας ἀρχῆς διάδοχον ἐποιήσατο· καὶ ὡς μονάρχης οὗτος κατέστη, τοὺς λοιποὺς καταγωνισάμενος, ὀφθέντος αὐτῷ τοῦ σταυρικοῦ σημείου δι' ἀστέρων ἐν τῷ οὐρανῷ· καὶ ὡς προσεληλύθει Χριστῷ, καὶ τὴν πίστιν ἐπλάτυνε, παῤῥησίαν δοὺς τῷ κηρύγματι, καὶ ὅπως ἐν τῷ Βυζαντίῳ πόλιν ἑαυτῷ ὁμώνυμον ᾠκοδόμησε, Νέαν Ῥώμην ὀνομάσας αὐτὴν, καὶ βασιλείαν ἐκ τῆς πρεσβυτέρας Ῥώμης εἰς ταύτην μετήνεγκε. Καὶ τίνες μετ' ἐκεῖνον ἐν αὐτῇ ἐβασίλευσαν, καὶ οἷος ἕκαστος ἦν τοὺς τρόπους, ἀλλὰ μὴν καὶ τὸ σέβας, καὶ ἐφ' ὅσον ἐκράτησε (8) τῆς ἀρχῆς, καὶ ὅπως μετήλλαξε τὴν ζωήν· τίνες τε τῆς ἐν Κωνσταντίνου πόλει προέστησαν Ἐκκλησίας, καὶ ἐφ' ὅσον ἕκαστος, καὶ τίνες αὐτῶν τοῦ ὀρθοῦ δόγματος ἀντείχοντο, τίνες δὲ γεγόνασιν ἑτερόδοξοι, ὅπως τῶν τῇδε μετελήλυθεν ἕκαστος, καὶ ἐπὶ τίνων αὐτοκρατόρων καὶ πατριαρχῶν, καὶ κατὰ τίνων αἱ σύνοδοι συγκεκρότηνται. Οὕτω τε κατιὼν ὁ λόγος μέχρι τῶν καθ' ἡμᾶς γεγονότων αὐτοκρατόρων, περαίνει τὴν συγγραφὴν, πολλῶν ἐν τῷ μέσῳ καὶ ἀποκρύφων ἄλλων μεμνημένος ἱστοριῶν.

A navali prælio ad Actium superatum, et fuga Alexandriam cum Cleopatra elapsum nactus, ad manus sibi ipsi afferendas compulerit; quantæ Romanorum in civilibus istis bellis strages sint editæ, primum Octavio et Antonio Cassium et Brutum, cæterosque Cæsaris percussores persequentibus, deinde inter sese bellum gerentibus; ut Cleopatra, Ægypti regina ex gente Ptolemæorum, viva in potestatem victoris venerit, et seipsam (ut conjectura fuit) morsu aspidis serpentis sustulerit; ut hoc modo victoriis illustris Octavius Romam ingressus, imperium uni sibi usurparit, principatu Romanorum plane in monarchiam commutato: qui ei successerint in imperio, ut quisque imperium susceperit, ut et quandiu imperarit, quem vitæ exitum habuerit; qui sub his, post sanctos apostolos, quatuor magnarum Ecclesiarum thronos ornarint, Romanæ, inquam, Alexandrinæ, Antiochenæ, et Hierosolymitanæ; qui ex his in martyrum numerum et dignitatem sint recepti; ut Diocletiani **11** et Maximiani Herculii insignis præ cæteris rabies in Christianos exstiterit; ut iidem abdicato imperio, alios suo loco Cæsares surrogarint, quorum unus fuit Constantius Chlorus, Magni Constantini pater, cui Galliarum et Britanniæ imperium fuerat attributum; ut hic moriens primogenitum suum Constantinum, pietate apostolis conferendum, imperii successorem designaverit; ut hic unus rerum sit potitus, subactis cæteris, cum quidem signum crucis per stellas in cœlo formatum ei apparuisset: ut ad Christum se contulerit, fidemque propagarit, Evangelii libere prædicandi potestate data; ut Byzantii urbem sibi cognominem ædificarit, Novæ Romæ nomine indito, atque imperium ex vetere Roma in hanc transtulerit; qui post eum ibi regnarint, quibus quisque fuerit moribus, qua pietate, quandiu tenuerit imperium, ut e vita discesserit; qui Constantinopolitanæ Ecclesiæ præfuerint, et quandiu quisque: qui ex illis rectam sententiam tenuerint, qui ab ea ad alias opiniones defecerint, ut quisque ex hac vita migrarit; sub quibus imperatoribus et patriarchis, et cum quibus concilia fuerint congregata. Sic usque ad nostri temporis imperatores descendens oratio, consummabit historiam, multarum interim et occultarum rerum facta mentione.

Variæ lectiones et notæ.

(7) *Κωνστάντιος ὁ Χλωρός.* Wolfius Κωνσταντῖνος ediderat, et ita habent quidam codices mss. Hunc Κώνσταντα alibi appellat, quomodo etiam scriptores aliquot, ut suo loco observamus

(8) *Καὶ ὅσον ἐκράτησε.* Ita mss. codd. Wolfius ἐφ' ὅσον legendum putat.

LIBER PRIMUS.

I. Sumendum autem mihi est hujus operis exordium ab ineffabili primo principio, causa rerum omnium, principii et temporis experte, et ab iis quæ ab illo ex nihilo producta sunt ut essent atque subsisterent, naturamque et ortum suum ab illo consecuta. Fuit igitur Deus semper, super omnem causam et potentiam effulgens, sine tempore, cum majestate suæ gloriæ ac splendoris æterno moveretur, et sine principio, neque ex alia quapiam re prius nata ortus, neque post ultro ex iis quæ non fuerant factus, aut paulatim ad suæ gloriæ complementum progressus. Sed semper est et permanet, id quod supra naturam solus novit sacrosanctus ille Spiritus, qui omnes divinitatis recessus perscrutatur, atque in iis exsultans perpetua suavitate una perfruitur. Posteaquam autem ex summa bonitate et immensa misericordia, et ineffabili benignitate, aspectabilem hunc mundum formare instituisset, atque exinde in medium producere mundum, ut opere secundum, ita 14 gratia primum et admirabilem, ut qui ad Dei sit imaginem conformatus, hominem inquam : viam ad opificium ingressus optimam, omnis ex materia concretionis expertes potestates et cœlestes centuriones prius condidit, solo mentis conceptu, cogitatione illa dicto citius in opus progressa. Est autem Deus natura nullius egens rei, sepsa contenta ad gloriam et perceptionem : quæ nec alienam gloriam desiderat, nec ab alio percipi potest : nisi quis illud percipi dicat, quod neque natura neque immensitas ejus percipi queat. Cum autem Deum dico, Patrem dico, et Filium, et Spiritum sanctum, quæ est Deitas, auctore magno Patre Gregorio Theologo. Deus igitur, hac natura præditus, primum angelicas potestates creat, ut ministri sint et celebratores cœlestis majestatis : non quod iis indigeat, sed ne sui duntaxat contemplatione moveatur, sed diffundatur et progrediatur bonum, et beneficentia latius pateat ; hoc enim summæ bonitatis fuit. Deinde mundum etiam hunc aspectabilem, quique constat ex materia, condidit. Ac initio quidem cœlum fecit, et terram. Cum autem terra lateret (nam tenebræ erant, et aqua superficiem ejus occupabat), lucem produxit Deus, lucemque ac tenebras separavit : ac illam, diem, has noctem appellavit, ejusque initio, vesperi : primo diei exortui, mane nomen fecit. Sic ex mane et vespere dies unus exstitit. Equidem scio in parva

Α'. Ἀρχτέον δέ μοι τῆς συγγραφῆς ἀρχὴν ταύτης ποιουμένῳ τὴν ἄῤῥητον πρώτην ἀρχήν, τῆς τῶν ὅλων αἰτίαν, τὴν ἀναρχόν τε καὶ ἄχρονον, καὶ τῶν ὑπ' ἐκείνης παραχθέντων ἐκ τοῦ μὴ ὄντος εἰς ὑπόστασιν καὶ οὐσίωσιν, τὴν παραγωγὴν καὶ τὴν γένεσιν. Ἥν οὖν ἀεὶ (9) τὸ Θεῖον, ὑπὲρ αἰτίαν πᾶσαν καὶ δύναμιν ἐκλάμπον ἀχρόνως, καὶ τῷ κάλλει τῆς οἰκείας δόξης τε καὶ λαμπρότητος ἀϊδίως κινούμενον, καὶ ἀνάρχως μήτ' ἐκ τινος ἄλλου προϋποστὰν πρότερον οὐσιώματος, μηθ' ὕστερον αὐτομάτως γενόμενον ἐξ οὐκ ὄντων, καὶ εἰς συμπλήρωσιν τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρὸν προΐὸν, ἀλλ' ὃν ἀεὶ καὶ διαμένον, ὡς ἔγνω μόνον ὑπερφυῶς τὸ τὰ βάθη τῆς Θεότητος πάντα διερευνῶν πανάγιον Πνεῦμα, καὶ τούτοις συναϊδίως ἐπεντρυφῶν καὶ συναγαλλώμενον. Ἐπεὶ δὲ δι' ἄκραν ἀγαθότητα, καὶ πέλαγος ἐλέους, καὶ οἰκτιρμὸν ἄφατον, τὸν ὁρατὸν τουτονὶ κόσμον εἰδοποιῆσαι προείλετο, κἀντεῦθεν ἐς μέσον παραγαγεῖν τὸν δεύτερον μὲν τῷ ποιήματι, πρῶτον δὲ καὶ ἐξαίσιον τῷ χαρίσματι κόσμον, ὅσῳ καὶ κατ' εἰκόνα Θεοῦ πεπλαστούργηται, φημὶ δὴ τὸν ἄνθρωπον, οἷά τινι χρησάμενος ἀρίστῃ πρὸς τὴν δημιουργίαν ὁδῷ, τὰς ἀΰλους πρότερον Δυνάμεις καὶ οὐρανίους Ταξιάρχας (10) ὑφίστησιν ἐννοῆσαν ἁπαξαπλῶς, προβεβηκυίας θᾶττον ἢ λόγος εἰς ἔργον τῆς ἐνθυμήσεως. Θεὸς δ' ἔστι μὲν ἀνενδεὴς φύσις, αὐτῇ ἑαυτῇ ἀντάρκης εἰς δόξαν καὶ εἰς κατάληψιν, οὔτε τῆς παρ' ἑτέρων δεομένη δόξης, οὔθ' ἑτέρῳ καταληπτή· εἰ μή τις φαίη καταληπτὸν εἶναι τὸ ἄπειρον αὐτῆς, καὶ τὸ ἀκατάληπτον. Θεὸν δὲ λέγων, Πατέρα φημὶ, καὶ Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἃ ἡ Θεότης, κατὰ τὸν μέγαν Πατέρα τὸν Θεολόγον Γρηγόριον. Οὕτω δ' ἔχον τὸ Θεῖον, πρῶτον μὲν τὰς ἀγγελικὰς οὐρανίους δυνάμεις λειτουργούς τε καὶ ὑμνῳδοὺς τῆς ἄνω λαμπρότητος, οὐχ ὡς τούτων δεόμενον, ἀλλ' ἵνα μὴ τῇ ἑαυτοῦ μόνον θεωρίᾳ κινοῖτο, χυθῇ δὲ καὶ ὁδεύσῃ τὸ ἀγαθὸν, καὶ ἡ εὐεργεσία χωρήσῃ πρὸς πλείονας· τοῦτο γὰρ τῆς ἄκρας ἦν ἀγαθότητος. Εἶτα καὶ τόνδε τὸν κόσμον ὑφίστησι τὸν ὑλικὸν καὶ ὁρώμενον. Καὶ ἐν ἀρχῇ μὲν ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν. Τῆς δὲ γῆς ἀορασίᾳ καλυπτομένης, ἐπεὶ καὶ σκότος ἦν, καὶ ὕδωρ αὐτῇ ἐπεπόλαζε, τὸ φῶς παρήγαγεν ὁ Θεὸς, καὶ διεχώρισε τὸ φῶς καὶ τὸ σκότος. Καὶ τὸ μὲν, ἡμέραν ἐκάλεσε· τὸ δὲ σκότος, νύκτα ὠνόμασεν· οὗ τῇ ἀρχῇ ἑσπέραν, πρωῒ δὲ τῇ πρώτῃ φαύσει τῆς ἡμέρας ὄνομα ἔθετο· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. Οἶδα μὲν οὖν ἐν τῇ Ἑπτῇ Γενέσει (11) γεγραμμέ-

Variæ lectiones et notæ.

(9) *Ἦν οὖν ἀεί.* Hæc et ea quæ sequuntur usque ad Θεὸς δ' ἔστι, desunt in codicibus Regiis et Colbertco.

(10) *Ταξιάρχας. Centuriones* vertit interpres, quæ vis est vocis Ταξιάρχης apud Tacticos : melius *cœlestis militiæ principes*, seu *duces* : nam Ἀρχιστρατηγοὶ passim indigitantur SS. Michael et Gabriel apud Græcos. Vide Gloss. med. Græcit. in Ταξίαρχοι.

(11) *Ἑπτῇ γενέσει.* Quam unica voce Ἑπταγέ-

νον, ὡς ἐν τῇ πρώτῃ ἡμέρᾳ καὶ αἱ οὐράνιαι Δυνάμεις πρὸ τῶν ἄλλων ὑπέστησαν παρὰ τοῦ τῶν ὅλων Δημιουργοῦ. Ἀλλ' ὅτι μὴ ταῖς παρὰ τῶν θείων Πατέρων ἐγκεκριμένοις (12) βιβλίοις τῆς Ἑβραϊκῆς σοφίας, καὶ ἡ Λεπτὴ αὕτη συνηρίθμηται Γένεσις, οὐδέν τι τῶν ἐν ἐκείνῃ γεγραμμένων λογίζομαι βέβαιον, οὐδὲ τῷ λόγῳ συντίθεμαι. Εἶτα τὸ στερέωμα ὑπεστήσατο, ἐν μέσῳ τῶν ὑδάτων διατείνας αὐτὸ, ὥστε τὰ μὲν ἄνω αὐτοῦ ἐναπολῃφθῆναι, τὰ δὲ κάτω περικεχύσθαι τῇ γῇ. Στερέωμα δὲ ἐκλήθη, ὅτι στεγανὸν τὸ σῶμα τοὐτου, καὶ οὐ λεπτὴν οὐδ' ἀραιὰν τὴν φύσιν ἔχει, κατὰ τὰ ὕδατα, ἐξ ὧν τὴν σύστασιν ἔσχηκεν, ἃ καὶ οὐρανὸς ὠνομάσθη. Ταῦτα ἐν τῇ δευτέρᾳ ἡμέρᾳ ἐγένετο. Ἐν δὲ τῇ τρίτῃ τὸ ὕδωρ, τῆς γῆς ἅπαν καλύπτον τὸ πρόσωπον, ἐκέλευσεν ὁ Θεὸς συναχθῆναι, καὶ ὀφθῆναι τὴν ξηράν. Καὶ ὁ λόγος ἔργον ἐγένετο, καὶ κοιλότητες βαθεῖαι γινόμεναι τὰ ὕδατα εἰσεδέξαντο. Καὶ τὴν μὲν γῆν ξηρὰν κατωνόμασε, θαλάσσας δὲ τὰ τῶν ὑδάτων συστήματα. Κατὰ ταύτην δὲ τὴν ἡμέραν φυτά τε γῆθεν ἀνεδόθη, καὶ σπέρματα. Ἔδει γὰρ (13) ἄκοσμον οὖσαν τὴν γῆν, κοσμηθῆναι ταῖς πόαις, καὶ τοῖς μυρίοις βλαστήμασι, καὶ τοῖς ἄνθεσι, καὶ τοῖς παντοίοις καρποῖς, καὶ τῶν δένδρων ταῖς χάρισιν. Ἡ δὲ τετάρτη ἡμέρα τὴν τῶν φωστήρων ἔσχηκε γένεσιν, ἡλίου τε καὶ σελήνης, καὶ τῶν λοιπῶν ἀστέρων. Καὶ τούτοις τὸν οὐρανὸν ὁ Δημιουργὸς κατηγλάϊσε, καὶ τὸ κατὰ τὴν πρώτην ἡμέραν ὀφθὲν φῶς (14) τοῖς φωστῆρσι τούτοις ἐνέθετο, κινήσεις αὐτοῖς ἐπιτολάς τε καὶ δρόμους καὶ καταδύσεις διατυπώσας, ἵνα τε φωτίζοιτο δι' αὐτῶν τὸ περίγειον, καὶ ὁ χρόνος ἀπαριθμοῖτο ταῖς τούτων περιόδοις (15), παρέχοιντο δὲ δι' αὐτῶν τοῖς εὐθύτατα ταῖς αὐτῶν προσέχουσι φαύσεσι (καὶ μὴ περινενοημένως (16) σκοπεῖσιν, ἢ ὡς ἄν εἴποι τις ἀκριβούμενος τὸν λόγον, ἀβέλτερον καὶ τῇ κινήσει δὴ τῶν τοιούτων ἀστέρων ἅπαντα δοξάζουσι συμπεριφέρεσθαι τὰ ἡμέτερα) μεγάλην καὶ ἀψευδῆ τὴν ἰθύτητα καὶ ὠφέλειαν. Τῇ πέμπτῃ δ' αὖθις τῶν ἡμερῶν (17) Θεοῦ κελεύσαντος, ἀνῆκε τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινά· ὧν τὰ μὲν ἐμφυλοχωροῦσι τοῖς ὕδασι, καὶ τούτοις ἐννήχονται· τὰ πετεινὰ δὲ τὸν ἀέρα τέμνουσιν, ἕρποντα ὥσπερ διά τούτου μετάρσια. Κατὰ δέ γε τὴν ἕκτην, ψυχὴν ζῶσαν τετράποδα καὶ θηρία καὶ ἑρπετὰ ἐξαγαγεῖν ἡ γῆ προσετέταχτο,

A Genesi scriptum, primo die cœlestes etiam potestates, ante cætera, ab universitatis Opifice esse conditas; sed quoniam parva ista Genesis a divinis Patribus non relata est in approbatos Hebraicæ sapientiæ libros, nihil quod in ea scriptum est, satis firmum judico, neque isti rationi assentior. Postea firmamentum constituit, et in medio aquarum extendit, ut aliæ supra id repositæ sint, aliæ infra terræ circumfusæ. Firmamentum autem appellatum est, eo quod corpus ejus est solidum, nec aquarum instar tenui et rara natura præditum, e quibus ortum habet, quod idem et cœlum nominatur. Tertio die jussit Deus aquam, quæ universam terræ faciem obtegebat, in unum congregari locum, et apparere aridam. Mox quod dictum erat, B factum est: profundæque cavitates dehiscentes, aquas exceperunt. Ac terram nominavit aridam: aquarum colluviem, maria. Hoc eodem **15** die plantæ et semina e terra sunt edita. Oportebat enim terram quæ inculta esset, herbis, infinitis germinibus, floribus, omne genus fructibus, et arborum jucunditatibus exornari. Quartus dies luminum ortum habuit, solis, lunæ, ac reliquarum stellarum. Atque his Opifex rerum cœlum exornavit: et conspectam primo die lucem his luminibus imposuit, atque eis motus, exortus, cursus et casus præformavit, ut terræ ambitus per ea illustraretur, et mensura temporis circuitibus eorum peteretur, præberentque iis qui exortus eorum rectissime C observarent (non autem curiose spectarent, nec ut vere ac recte dici queat, inepte una cum motu harum stellarum omnia nostra circumferri putarent magnam minimeque fallacem certitudinem, et utilitatem. Die quinto, aquæ reptilia viventium animarum et volucres produxerunt, quorum illa in aquis cum voluptate innatant, hæ aerem secant: sublimesque per illum quodammodo repunt. Sexto die quadrupedia, feras et reptilia viventis animæ, terra edere jussa est: atque omnia ex divino mandato prodierunt. Viventis porro animæ productionem terræ esse imperatam Scriptura dicit, ut ea ratione humani animi discrimen ab illa declararet. Nam aliarum animantium anima e terra exstitit ex mandato: qua de causa recte terrestris et mor- D talis habetur, cum alibi etiam Scriptura dicat

Variæ lectiones et notæ.

νεσιν alii vocant, de qua pluribus egit vir doctissimus Joan. Baptista Cotelerius ad lib. VI *Constit. Apostol.*, cap. 16.

(12) Ἐγκεκριμένοις. Ita codd. Reg. et Colbert. At ἐκκεκρυμμένους habet cod. Viennensis: sed sententia repugnat, inquit interpres. Constaret tamen, si vox μή, quæ præponitur, abesset, ita ut in libris ἀποκρύφοις accenseatur parva ista Genesis.

(13) Ἀνεδόθη καὶ σπέρματα· ἔδει γάρ. Ita mss. At Constantinopolitanus codex habet: ἀνεδόθη. ὡς ἐντεῦθεν ἀναφαίνεσθαι πρότερον ἄκοσμον οὖσαν τὴν γῆν, κοσμηθεῖσαν ταῖς πόαις, etc., uti monet Wolfius.

(14) Ὀφθὲν φῶς. Ms. Colbert. πραχθέν. Ibidem pro διατυπώσας, διαδεξάμενος.

(15) Ταῖς τούτων περιόδοις. Mss. Wolfiani, ἐπιτολαῖς καὶ δύσεσι, καὶ σημεῖα περιέχοιντο δι' αὐτῶν τοῖς εὐθύτατα. Ita etiam codex Colberteus, nisi quod habet ἀνατολαῖς et παρέχοιντο.

(16) Μὴ περινενοημένως. Mss. Wolf. et Colbert. μὴ περιεργότερον καταστοχαζόμενος αὐτῶν, ἢ ὡς ἄν εἴποι τις, etc. Rursus pro τῶν τοιούτων ἀστέρων, τῶν οὐρανίων, quomodo etiam Colb.

(17) Τῇ πέμπτῃ δ' αὖθις τῶν ἡμερῶν. Constantinopolitanus codex mutilus est hoc loco; sic enim in eo legitur: Κατὰ δὲ τὴν πέμπτην ἡμέραν τὰ μὲν ὕδατα πᾶν γένος πτηνῶν προήγαγον, ἡ γῆ ψυχὴν ζῶσαν, τετραπόδια ζῶα τὸ Θεῖον εὐξῆκτο σύμπαντα πρόσταγμα. W.

omnis jumenti animam esse sanguinem, qui utique corrumpitur.

A καὶ κατὰ τὸ Θεῖον ἐξῆκτο σύμπαντα πρόσταγμα. Ψυχῆς δὲ ζώσης ἐξαγωγὴν ἡ Γραφὴ περιέχει ποιήσασθαι κελευσθῆναι (18) τὴν γῆν, ἵν' οὕτω τῆς τοῦ ἀνθρώπου ψυχῆς ἐμφήνῃ πρὸς αὐτὴν τὸ διάφορον. Ἡ μὲν γὰρ τῶν ἄλλων ζώων γῆθεν ἐξέφυ κατὰ τὸ κέλευσμα, καὶ γεηρὰ οὖσα, εἰκότως ἂν λογίζοιτο καὶ φθαρτή· ἐπεὶ καὶ ἀλλαχοῦ φησιν ἡ Γραφή· Ψυχὴ παντὸς κτήνους τὸ αἷμα αὐτοῦ, τὸ δ' αἷμα πάντως φθειρόμενον.

II. Hominis autem animam non terra edidit, sed Deus cum Adamo inspiravit. Quamobrem divinum esse quiddam et immortale perhibetur. Sextus dies hominem etiam habuit manu Dei formatum. Nam cum optimus Artifex universa jam condidisset, et mundum ordine et ratione effecisset, unde Græco nomine Κόσμος dicitur, et tanquam ad regem excipiendum regiam quamdam instruxisset: tum demum producit hominem, quasi rerum terrenarum regem superne gubernandum, cumque non item mandato conditum, sed manibus suis informatum, ut peculiare suum opus, non simile cæteris, sed diversum et incomparabile. Nam cætera quidem omnia verbo sunt producta, hunc vero Deus opera suarum manuum est dignatus. Sumpto enim de terra pulvere, Deus (inquit liber **16** Geneseos) hominem formavit, et inspiravit ei animam viventem, ob quam etiam ad imaginem Dei homo factus esse dicitur. Nam rerum quarumdam, quæ naturæ divinæ vere insunt, imagines in hominis animo relucent, cum quidem in eo insint, non natura, sed gratia. Deus enim natura est inaspectabilis, et immortalis: idemque incomprehensibilis, et interitus expers. Eadem hæc animo etiam insunt per gratiam, non per naturam. Neque enim natura ejus vel comprehensibilis est, vel aspectabilis, præterea que ab interitu et morte immunis: atque etiam alia, quibus natura divina describitur, in animo per gratiam cernuntur. Appellavit autem eum quem finxerat, Adamum, quod (auctore Josepho) lingua Hebraica *rufum* sonat, quod e rubra terra formatus esset. Talis enim est pura terra. Sic mundo sex diebus condito, septimo quievit, eaque de causa Hebræorum lege dies septimus, quod Sabbatum hinc appellant (Sabbatum porro eorum lingua idem quod *requies*) feriatus est. Collocavit Deus hominem in paradiso, quem ipse conseverat. Ibi fuit arbor vitæ, et arbor cognitionis, seu, ut Josephus ait, sapientiæ: eique mandavit, ut reliquis frueretur, arbore cognitionis abstineret, ac mortem fore pœnam interdicti violati denuntiavit. Irrigatur autem fluvio paradisus, qui inde egrediens quadrifariam dividitur. Ac primo fluvio nomen est Phison, quod *multitudinem* significat; Græcis Ganges est, qui Indiam præterfluit, atque in mare evolvitur. Alter Geon vocatur, quod vocabulum declarat eum qui

Β'. Τὴν δὲ τοῦ ἀνθρώπου ψυχὴν οὐχ ἡ γῆ ἀνῆκεν, ἀλλὰ τὸ Θεῖον αὐτὴν τῷ Ἀδὰμ ἐνῆκεν ἐμφύσημα. Διὸ καὶ χρῆμά τι θεῖον εἶναι πιστεύεται, καὶ ἀθάνατον. Ἡ δ' ἕκτη τῶν ἡμερῶν, καὶ τὸν ἄνθρωπον ἔσχηκε, χειρὶ διαπεπλασμένον Θεοῦ. Προϋποστήσας γὰρ ὁ Ἀριστοτέχνης τὰ σύμπαντα, καὶ παραγαγὼν τὸν κόσμον ἐν τάξει τε καὶ ῥυθμῷ, διὸ καὶ Κόσμος ὠνόμασται, καὶ ὡς ἐν ὑποδοχῇ βασιλέως, ὥσπερ βασίλεια προετοιμάσας, αὐτὸν οὕτω παράγει τὸν ἄνθρωπον εἴά τινα βασιλέα τῶν ἐπὶ γῆς βασιλευόμενον ἄνωθεν, οὐ προστάγματι καὶ τοῦτον ὑποστησάμενος, ἀλλὰ χερσὶν αὐτὸν διαπλάσας, καὶ δημιουργίαν αὐτοῦ οὐχ ὁμοίαν τοῖς ἄλλοις πεποιηκώς, παρηλλαγμένην δὲ καὶ ἀσύγκριτον. Τἆλλα μὲν γὰρ πάντα παρήχθησαν ῥήματι· ὁ δὴ καὶ αὐτουργίας ἠξίωται. Χοῦν γὰρ λαβὼν ἀπὸ τῆς γῆς ὁ Θεὸς, ἡ βίβλος φησὶ τῆς Γενέσεως, τὸν ἄνθρωπον ἔπλασε, καὶ ἐνεφύσησεν αὐτῷ ψυχὴν ζῶσαν, διὸ καὶ κατ' εἰκόνα Θεοῦ λέγεται γενέσθαι ὁ ἄνθρωπος. Τῶν γὰρ τῇ θείᾳ φύσει οὐσιωδῶς προσόντων, τινὰ ἐν τῇ τοῦ ἀνθρώπου ψυχῇ εἰκονίζονται, οὐ φύσει αὐτῇ ἐνόντα, ἀλλὰ χάριτι. Φύσει μὲν γὰρ τὸ Θεῖον ἀόρατον καὶ ἀθάνατον, ἀκατάληπτόν τε καὶ ἄφθαρτον. Ταῦτα δὲ καὶ τῇ ψυχῇ πρόσεισι κατὰ χάριν, οὐ κατὰ φύσιν. Οὔτε γὰρ ἡ φύσις αὐτῆς καὶ ἡ οὐσία καταληπτὴ, οὔτε μὴν ὁρατή. Καὶ ἄφθαρτος δὲ ἐστὶ καὶ ἀθάνατος, καὶ ἕτερα δὲ τῆς θείας φύσεως χαρακτηριστικὰ κατὰ χάριν ἐν τῇ ψυχῇ τεθεώρηνται. Ἀδὰμ δὲ τὸν πλασθέντα ὠνόμασε· σημαίνει δὲ τοῦτο *πυῤῥόν*, κατὰ τὴν Ἑβραΐδα διάλεκτον, ὡς φησὶν Ἰώσηπος, ὅτι ἐκ πυῤῥᾶς γῆς διεπέπλαστο· τοιαύτη γὰρ ἡ παρθένος γῆ (19). Οὕτω δ' ἐν ἓξ ἡμέραις τὸν κόσμον παραγαγὼν, ἐν τῇ ἑβδόμῃ κατέπαυσε. Διὸ καὶ τοῖς Ἑβραίοις ἡ ἑβδόμη τῶν ἡμερῶν ἄπρακτος εἶναι νενόμισται. Ὅθεν καὶ Σάββατον κέκληται· τὸ δὲ Σάββατον ἡ τῶν Ἑβραίων γλῶττα λέγει, *ἀνάπαυσιν*. Ἔθετο τὸν Ἀδὰμ ὁ Θεὸς ἐν τῷ παραδείσῳ, ὃν αὐτὸς κατεφύτευσεν, ἔνθα τὸ ξύλον ἦν τῆς ζωῆς, καὶ τὸ ξύλον τῆς γνώσεως, ἤ, κατὰ τὸν Ἰώσηπον, τῆς φρονήσεως. Καὶ ἐνετείλατο αὐτῷ, τῶν μὲν λοιπῶν μετέχειν (20), ἀπέχεσθαι δὲ τοῦ ξύλου τῆς γνώσεως, θάνατον δὲ προεῖπε τὸ τῆς παραβάσεως ἐπιτίμιον. Ἄρδεται δὲ ποταμῷ ὁ παράδεισος, καὶ πρόεισιν ἐκεῖθεν ὁ ποταμὸς οὗτος εἰς τέσσαρα μερίζόμενος, καὶ Φεισὼν μὲν ὄνομα τῷ πρώτῳ, *πλῆθυν* δὲ τοῦτο δηλοῖ· τοῖς δ' Ἕλλησι Γάγγης οὗτος ὠνόμασται, τὴν Ἰνδικὴν διιὼν (21), καὶ ἐκδιδοὺς εἰς

[18] Levit. XVII, 16.

Variæ lectiones et notæ.

(18) *Ἡ Γραφὴ περιέχει ποιήσασθαι κελευσθῆναι.* Ita cod. Colbert. Wolfianus, προσαγορεύει κελευσθῆναι. W.

(19) *Ἡ παρθένος γῆ.* Pro ἡ καθαρὰ καὶ ἀμιγὴς dictam putat Wolfius: malim *quod nondum aratro proscissa esset.*

(20) *Μετέχειν.* A ms. ἀπολαύειν W.

(21) *Τὴν Ἰνδικὴν διιών.* Sequentia usque ad

τὸ πέλαγος. Γηὼν δὲ καλεῖται ὁ δεύτερος· σημαίνει δὲ ἡ κλῆσις τὸν ἀπὸ τῆς ἀνατολῆς ἐκδιδόμενον, ὃν Νεῖλον Ἰώσηπος λέγει προσαγορεύειν τοὺς Ἕλληνας. Ὁ δ' ἐπὶ τοῦτο Τίγρις ἐστιν, ὃν καὶ Διγλὰθ καλεῖσθαί φησιν ὁ αὐτὸς, καὶ τὸ μετὰ στενότητος ὀξὺ ἐμφαίνεσθαι τῷ ὀνόματι. Ὁ δὲ λοιπὸς Εὐφράτης ἐστίν· ἤτοι *φορὰ*, ἢ *ἄνθος*, ἢ *σχεδασμός*· καὶ ἄμφω δὲ οὗτοι εἰς τὴν Ἐρυθρὰν εἰσβάλλουσι θάλασσαν. Παρίστησι δὲ τῷ Ἀδὰμ ὁ Θεὸς πάντα τὰ ζῶα· ὁ δὲ ἑκάστῳ γένει αὐτῶν ὀνόματα τίθησι. Κτίζει τε τὴν γυναῖκα (22) ὁ Θεὸς, μίαν τῶν πλευρῶν λαβὼν ὑπνώττοντος τοῦ Ἀδὰμ, καὶ προσήγαγεν αὐτὴν αὐτῷ. Ὁ δὲ ἐξ ἑαυτοῦ γενομένην ταύτην ἐγνώρισε, καὶ γυναῖκα ὠνόμασε. Τοῖς γὰρ Ἑβραίοις Εὐέα καλεῖται ἡ γυνὴ, κἀκείνη Εὖα ὠνόμαστο. Ἦν μὲν οὖν ἀμφοῖν ἐν τῷ παραδείσῳ μακαρία διαγωγὴ, γυμνοῖς οὖσι τῇ ἁπλότητι, καὶ ζωῇ τῇ ἀτέχνῳ. Φθονοῦνται δὲ παρὰ τοῦ ὄφεως, ἢ μᾶλλον παρὰ τοῦ νοητοῦ δράκοντος. Καὶ πρόσεισιν ὁ ὄφις τῇ γυναικὶ, καὶ συμβουλεύει γεύσασθαι τοῦ φυτοῦ τῆς φρονήσεως· ὁμοφωνεῖν δὲ τότε φησὶν ὁ Ἰώσηπος τὰ ζῶα ἅπαντα. Ἡ δὲ πείθεται, καὶ ἡδυνθεῖσα τῇ βρώσει, πείθει καὶ τὸν ἄνδρα τοῦ καρποῦ μετασχεῖν. Καὶ ἔγνωσαν γυμνοὺς ἑαυτοὺς, καὶ ἐκ φύλλων συκῆς ἐποίησαν ἑαυτοῖς περιζώματα. Ἐκρύπτοντό τε διὰ τὴν γύμνωσιν ἀπὸ τοῦ Θεοῦ ὁ Ἀδάμ τε καὶ ἡ γυνή· καὶ ὁ Θεὸς τὴν αἰτίαν ἠρώτα, καὶ ὁ Ἀδὰμ τὴν γύμνωσιν προεβάλλετο, καὶ τὸ αἰτίαμα προσῆπτε τῇ γυναικί. Ἡ δ' ἐξηπατῆσθαι παρὰ τοῦ ὄφεως ἔλεγεν. Ὁ δὲ Θεὸς τῷ ὄφει καταρασάμενος πρότερον, ποδῶν τε αὐτὸν στερήσας, καὶ τὴν φωνὴν ἀφελόμενος, κατὰ τὸν Ἰώσηπον, καὶ ἰλυσπᾶσθαι κατὰ γῆς ἐπιτάξας, καὶ πολέμιον ἀποφήνας τὸ σπέρμα τῶν ἀπατηθέντων, πρὸς τὴν γυναῖκα τρέπεται, καὶ τῷ ἀνδρὶ αὐτὴν ὑποχείριον τίθησι, καὶ ταῖς ἐν τῷ τίκτειν ὠδῖσιν ἐπιτιμᾷ. Εἶτα καὶ τὸν Ἀδὰμ ὑπάγει ἐπιτιμίῳ· τόδ' ἦν ἡ πρὸς τὴν γῆν, ἐξ ἧς ἐλήφθη, ἀποστροφὴ, καὶ τὸ ἐν ἱδρῶτι τὸν ἄρτον ἐσθίειν, καὶ τὸ τὴν γῆν ἀκάνθας καὶ τριβόλους ἀνατέλλειν αὐτῷ. Καὶ μετοικίζει αὐτοὺς ἐκ τοῦ παραδείσου, δερμάτινα αὐτοῖς περιθεὶς ἐνδύματα, ἴσως τὴν παχυτέραν σάρκα, καὶ θνητὴν, καὶ ἀντίτυπον. Ἐντεῦθεν ἡμῖν ἡ μοχθηρὰ καὶ ἐπώδυνος ζωὴ, καὶ τὸ πρὸς κακίαν εὐόλισθον.

A ab Oriente prominet. Eum Josephus Nilum a Græcis appellari ait. Qui sequitur, Tigris est, quem Diglathun appellari idem auctor affirmat: quo vocabulo *acumen* sive celeritas cum angustiis significatur. Qui restat Euphrates est: declarat autem ea vox sive *impetum*, sive *florem*, sive *dissipationem*: hi ambo in Erithræum mare erumpunt. Deus porro animantes omnes ante Adamum statuit, ut is unicuique generi nomen inderet. Præterea mulierem condit, costa sumpta ab Adamo dormiente, et eam adducit illi. Is vero ex se factam agnovit, ac mulierem nominavit. Nam Evam Hebræi mulierem vocant, quo illa nomine fuerat appellata. Ac utrique vitam in paradiso beatam agebant, nudi simplicitate, et vita fraudis B **17** experte. Hanc invidet eis serpens, vel draco potius, qui per serpentem intelligitur. Accedit serpens, fit auctor mulieri gustandi de arbore sapientiæ (eamdem autem tum fuisse vocem Josephus tradit omnium animantium); illa paret, esuque delectata marito etiam persuadet ut fructus esset particeps. Mox nuditate sua agnita, e ficulnis foliis cingula sibi fecere, seque a conspectu Dei subducunt Adam et mulier. Cujus rei causam Deo percontante, Adamus nuditatem excusat, et culpam in mulierem transfert. Hæc vero a serpente se deceptam queritur. Deus autem serpentem prius exsecratus, privatum pedibus, ademptaque voce, et humi volutari jussum, hostem eorum declarat, quos decepisset: ac ad mulierem conversus, marito eam reddit obnoxiam, et partus doloribus multat. Deinde viro etiam pœnam irrogat hujusmodi, ut et in terram, unde sumptus esset, reverteretur: et in sudore pane suo vesceretur, et terra spinas et tribulos ei gigneret. Itaque paradiso ejicit pelliceis indumentis amictos, per quæ crassior caro fortassis et mortalis ac refractaria intelligitur. Hinc laboriosa nobis et plena dolorum vita exstitit, et ad vitia propensio.

Γ'. Γίνονται τοίνυν παῖδες αὐτοῖς, ὧν Κάϊν μὲν ὁ πρότερος ἦν (*κτῆσιν* σημαίνει τὸ ὄνομα), ὅτι ἐκτήσαντο ἄνθρωπον. Ἄβελ δ' ὁ δεύτερος· δηλοῖ δὲ *πένθος* ἡ κλῆσις, ἔσεσθαι γὰρ αὐτοῖς πένθος ἔμελλε δι' αὐτόν. Καὶ ὁ μὲν Ἄβελ νομεὺς ἦν ποιμνίου, καὶ ἀρετῆς ἐπεμέλετο. Ὁ δὲ Κάϊν ἐγεώργει τὴν γῆν, πονηρότατος ὤν. Δόξαν δὲ αὐτοῖς ἀπαρχὰς ἐκ τῶν ἰδίων πόνων προσαγαγεῖν τῷ Θεῷ, ὁ μὲν Ἄβελ τὰ κρείττω τῶν πρωτοτόκων καὶ θρεμμάτων προσήνεγκε, Κάϊν δὲ τὰ τυχόντα προσηγηόχει τῶν τῆς γῆς

D III. Liberos igitur suscipiunt, quorum prior Cainus (*acquisitionem* hoc significat), quod hominem acquisissent; posterior Abelus (*luctum* notat vocabulum: nam propter eum in luctu futuri erant) appellatus est. Ac Abelus quidem erat opilio, virtutisque studiosus: Cainus autem terram colebat, homo improbissimus. Porro cum eis visum esset primitias laborum suorum offerre Deo, Abelus præstantiora ex primogenitis gregis offert, Caino sine delectu de terræ fructibus offerente. Cum

Variæ lectiones et notæ.

θάλασσαν in textum immisimus, ex cod. Viennensi et ex duobus Regiis et Colberteo. Sic autem ediderat Wolfius: Τὴν Ἰνδικὴν διιὼν χώραν, καὶ πᾶσαν τὴν γῆν κυκλῶν Εὐϊλάτ. Τῷ δὲ δευτέρῳ ποταμῷ Γεὼν τοὔνομα· δηλοῖ δὲ τοῦτο πολύ. Νεῖλος δ' οὗτος τοῖς Ἕλλησι κέκληται· οὗτός ἐστιν κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίαν· Ὁ δέ γε τρίτος Τίγρις ἐπονομάζεται, τουτέστιν ἠχῶν, Ὁ δὲ λοιπὸς Εὐφράτης ἐστὶν, ἤτοι φορὰ, ἤγουν κίνησις· καὶ ἄμφω δὲ οὗτοι εἰς τὴν Ἐρυθρὰν εἰσβάλλουσι θάλασσαν.

(22) *Γυναῖκα*. Ita Reg. alter cod. Wolfianus γύναιον.

autem Deus Abeli munera, Caini oblatione repudiata, acceptasset, is illum sibi prælatum ægre ferens, occidit: et diris obligatus a Deo ad gemitum et tremorem condemnatur, et a conspectu Dei ejectus, in terra Naid habitat, ibique liberos procreat. Hic mensuras et pondera excogitavit, et primus agros limitibus distinxit, magister scelerum, atque urbem de nomine primogeniti sui Enossi condidit. Enossi filius fuit Gaidad, qui Maleleelem genuit, Maleleel Mathusalem: quo natus Lamechus, e duabus uxoribus filios suscepit LXXVII, quorum Joabel armentarius fuit, pastu 18 ovium gaudens; Jubal musicam excogitavit, et citharam ac psalterium composuit; Thobel Sela natus, faber fuit, ferro et ære tractando occupatus. Adamo post Abelis interitum annos nato CCXXX alius natus est filius, quem Sethum appellavit. Obiit Adamus, cum annos vixisset DCCCC et XXX. Sethus annos V et CC genuit Enossum. Hic primus ausus est invocare nomen Domini Dei, et Deum appellare Dominum. Sethus cum annos DCCCC et XII explevisset, defecit, filiis et filiabus relictis. Hic virtutem coluit, idemque studium posteris suis tradidit, qui doctrinam rerum cœlestium a se inventam, duabus columnis, alteri lapideæ, alteri ex latere coctili inscripserunt: quod Adamus prædixerat, universitatem rerum et igni et aqua perituram. Enosso natus est Cainan, aliique filii et filiæ. Mortuus est, cum vixisset annos V et DCCCC. Cainano orti sunt Meleleel, aliique liberi. Obiit, cum vixisset annos DCCCC et X. Meleleelis filius fuit Jared, et alii: vita excessit anno ætatis DCCCXCV. Jared pater Henochi, et præter hunc, aliorum, defunctus est, cum vixisset annos LXII supra DCCCC. Henochi filius fuit Mathusala, et alii. Acceptus autem fuit Henochus Domino, et translatus, nec repertus, annos natus CCCLXV. Mathusalæ filius Lamechus fuit, et alii. Moritur anno ætatis DCCCCLXIX. Lamecho natus est Noe. Lamechus vero mortuus est, expletis annis DCCLIII.

Α καρπῶν· καὶ προσέσχεν ὁ Θεὸς τοῖς τοῦ Ἄβελ δώροις, τῇ δὲ τοῦ Κάϊν οὐ προσέσχε προσαγωγῇ. Ὁ δὲ φθονήσας ἐπὶ τῇ προτιμήσει, κτείνει αὐτὸν, καὶ ἐπάρατος γίνεται τῷ Θεῷ, καὶ ττένειν καὶ τρέμειν καταδεδίκασται. Ἐκβληθεὶς δὲ ἀπὸ προσώπου τοῦ Θεοῦ, ἐν γῇ Ναΐδ ᾤκησεν, ἔνθα καὶ παῖδας ἐγείνατο. Οὗτος μέτρα τε καὶ στάθμια ἐπενόησε. Καὶ πρῶτος ὅρους ἐπήξατο (23) γῆς, πονηρίας καθηγητὴς χρηματισθείς. Καὶ πόλιν εἰς ὄνομα τοῦ πρωτοτόκου υἱοῦ αὐτοῦ Ἐνὼς ᾠκοδόμησεν· υἱὸς δὲ τοῦ Ἐνὼς Γαϊδάδ, υἱὸς δὲ τούτου Μαλελεήλ, τοῦ δὲ Μαθουσάλα, οὗ Λάμεχ υἱός. Οὗτος δύο γυναῖκας ἑαυτῷ συναριθμήσας, Ἀδὰν καὶ Σελλὰν, παῖδας ἐξ ἀμφοῖν ἔσχεν ἑβδομήκοντα καὶ ἑπτά· ὧν Ἰωαβὲλ μὲν κτηνοτρόφος ἦν, καὶ πρόβατείαν ἠγάπησεν· Ἰουβὰλ δὲ Μουσικὴν ἐπενόησε, καὶ κιθάραν ἐμηχανήσατο, καὶ ψαλτήριον. Θόβελ δὲ γεγονὼς ἐκ Σελλᾶς, σιδηρεὺς ἦν, ἐργάτης σιδήρου τε καὶ χαλκοῦ. Τῷ δὲ Ἀδὰμ μετὰ θάνατον Ἄβελ διακοσίων τριάκοντα γεγονότι ἐτῶν, ἕτερος ἐγεννήθη υἱὸς, ὃν ἐκάλεσε Σήθ. Τέθνηκε δὲ ὁ Ἀδὰμ, ἔτη ζήσας ἐννακόσια καὶ τριάκοντα. Σὴθ δὲ γενόμενος ἐτῶν πέντε καὶ διακοσίων, ἐγέννησε τὸν Ἐνὼς, ὃς πρῶτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ, τόν τε Θεὸν προσαγορεῦσαι τὸν Κύριον. Δώδεκα δὲ καὶ ἐννακόσια ἔτη τὰ πάντα ζήσας Σὴθ, καὶ υἱοὺς καὶ θυγατέρας λιπών, ἐξέλιπε· ὃς ἀρετὴν μετῆλθε, καὶ μιμητὰς τοὺς ἀπογόνους κατέλειψεν, οἳ σοφίαν τὴν περὶ τὰ οὐράνια κατενόησαν· καὶ στήλαις δυσὶ, τῇ μὲν ἐκ λίθου, τῇ δὲ ἐκ πλίνθου ὀπτῆς πεποιημέναις, τὰ εὑρημένα ἐνέγραψαν, ἵνα καὶ τοῖς μετέπειτα σώζωνται. Ἔσεσθαι γὰρ ἀφανισμὸν τοῦ παντὸς, Ἀδὰμ προειρήκει, ἐκ πυρός τε καὶ ὕδατος. Ἐξ Ἐνὼς δὲ ἐτέχθη ὁ Καϊνὰν, ἄλλοι τε υἱοὶ καὶ θυγατέρες, καὶ ἀπέθανεν ἔτη ζήσας πέντε καὶ ἐννακόσια. Ἐκ δὲ Καϊνὰν ἐξέφυ Μελελεὴλ καὶ ἕτεροι παῖδες, καὶ τέθνηκε ζήσας ἀριθμὸν ἐτῶν ἐνναποσίων καὶ δέκα. Παῖς δὲ Μελελεὴλ ὁ Ἰάρεδ, καὶ ἕτεροι, ὃς κατέλυσε τὴν ζωὴν ἐπ' ἔτεσιν ὀκτακοσίοις καὶ πέντε πρὸς ἐνενήκοντα. Ἰάρεδ δὲ πατὴρ τοῦ Ἐνὼχ, καὶ παίδων ἐπὶ τούτῳ ἑτέρων, καὶ τέθνηκε βιώσας ἔτη ἐννακόσια καὶ ἑξήκοντα πρὸς δυσίν· υἱὸς δὲ τοῦ Ἐνὼχ Μαθουσάλα καὶ ἕτεροι. Εὐηρέστησε δὲ Ἐνὼχ τῷ Κυρίῳ, καὶ μετετέθη, καὶ οὐχ εὑρίσκετο, ἐτῶν γεγονὼς τριακοσίων ἑξήκοντα καὶ πέντε. Παῖς δὲ τοῦ Μαθουσάλα Λάμεχ, καὶ ἕτεροι, καὶ θνήσκει ζήσας ἔτη ἐνναπόσια ἑξήκοντα καὶ ἐννέα. Νῶε δ' ἐτέχθη τῷ Λάμεχ, καὶ τέθνηκε Δάμεχ ἑπτακόσια ζήσας ἔτη, καὶ πεντήκοντα πρὸς τοῖς τρισί.

IV. Noæ tres nati sunt filii, Semus, Chamus, Japhetus. Filii porro Dei, conspectis filiabus hominum, eas uxores duxerunt. Vocat autem Dei filios Scriptura, Sethi posteros, ob studium et cultum virtutis: quo pacto etiam filios Altissimi vocat eos, qui sunt virtute præditi. Hominum vero filias nominat, oriundas ex Caini posteritate. Josephus autem ait, angelos accepisse filias hominum, eo sic (opinor) vocatos, quod placerent Deo, illorumque vitæ rationem æmularentur. Multiplicati ho-

Δ'. Τῷ δὲ Νῶε τρεῖς ἐγένοντο παῖδες, Σὴμ, Χὰμ, Ἰάφεθ. Ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ἔλαβον ἑαυτοῖς γυναῖκας· υἱοὺς δὲ τοῦ Θεοῦ φησιν ἡ Γραφὴ, τοὺς ἀπογόνους τοῦ Σὴθ, ὡς ἀρετὴν μετιόντας, καθὸ καὶ υἱοὺς Ὑψίστου τοὺς ἐναρέτους καλεῖ. Θυγατέρας δὲ τῶν ἀνθρώπων φησὶ, τὰς ἐκ τῶν τοῦ Κάϊν ἀπογόνων καταγομένας. Ὁ δὲ Ἰώσηπος ἀγγέλους λέγει τὰς θυγατέρας τῶν ἀνθρώπων λαβεῖν, οὕτω καλέσας, οἶμαι, αὐτοὺς, ὡς εὐαρεστοῦντας Θεῷ, καὶ τὴν ἐκείνων πολιτείαν

Variæ lectiones et notæ.

(23) Ἔπενόησε, καὶ πρῶτος ὅρους ἐπήξατο. Aliter cod. hoc loco mutilus hæc duntaxat habet: Ἐπενόησε. Τούτῳ γεννᾶται παῖς Ἐνώς. Ἐξ οὗ Γαϊδάδ, ἀφ' οὗ Μαλελεήλ· τῷ δὲ Μαθουσάλα τίκτεται Λαμὲχ υἱός. Οὗτος, etc. W.

ἐπιτηδεύοντας. Πληθυνθέντες δὲ οἱ ἄνθρωποι, πρὸς A κακίαν ἀπέκλιναν· οἷς καὶ παῖδες ἐγένοντο ὑβρισταὶ, καὶ ἀτάσθαλοι, διὰ τὴν ἐν τῇ δυνάμει πεποίθησιν. Οἷς τὸ Θεῖον προσώχθισε, καὶ τὸ μακρόβιον ὑπετέμετο, ἑκατὸν καὶ εἴκοσιν ἔτεσι τὴν τῶν ἀνθρώπων περιγράψας ζωήν. Νῶε εὗρε χάριν ἐναντίον τοῦ Θεοῦ. Διὸ καὶ εἰς θάλασσαν τῆς ἠπείρου μεταβληθείσης δι' ἐπομβρίας πολυημέρου τε καὶ σφοδρᾶς, πᾶν μὲν τὸ ἀνθρώπινον φθείρεται γένος. Νῶε δὲ μόνος σώζεται προμηθείᾳ Θεοῦ, ξυλίνῃ λάρνακι, ἣν τετράγωνον κατεσκεύασε, μῆκος μὲν ἔχουσαν πήχεων τριακοσίων, τὸ δὲ πλάτος πεντήκοντα, καὶ τὸ βάθος τριάκοντα. Ἐν ᾗ αὐτός τε καὶ οἱ παῖδες σὺν αὐτῷ, ἐμβέβηκεν, καὶ ἡ μήτηρ, καὶ αἱ γυναῖκες αὐτῶν, σπέρματά τε παντοῖα ἐνθέμενος, καὶ ζῷα ὁμοίως B ἐκ γένους παντός, πρὸς διατήρησιν τῶν γενῶν αὐτῶν, ἀνὰ δύο μὲν τῶν μὴ καθαρῶν, ἑπτὰ δ' ἐξ ἑκάστου γένους τῶν καθαρῶν. Δέκατος δ' ἦν ὁ Νῶε ἐκ τοῦ Ἀδὰμ ἀριθμούμενος, καὶ μετὰ χιλιάδα διπλῆν ἐτῶν πρὸς διακοσίοις τεσσαράκοντα καὶ δύο μέχρι καὶ αὐτοῦ τοῦ κατακλυσμοῦ. Ἀνοιγέντων δὲ τῶν καταρακτῶν τοῦ οὐρανοῦ ἡμέρας τεσσαράκοντα καὶ νύκτας, τὸ ὕδωρ ἐπὶ πήχεις πεντεκαίδεκα ὀρῶν ὑψηλότερον γέγονε. Λήξαντος δέ γε τοῦ ὑετοῦ, καὶ τοῦ ὕδατος ἐλαττουμένου μεθ' ἡμέρας ἑκατὸν καὶ πεντήκοντα, ἡ λάρναξ ὄρει τινὶ τῆς Ἀρμενίας προσώκειλε, κατὰ τὸν μῆνα τὸν ἕβδομον. Ὅτε καὶ ἀνοίξας ὁ Νῶε, μεθίησι κόρακα· ὁ δὲ οὐκ ἐπανῆλθε. Καὶ μεθ' ἡμέρας ἀφῆκε περιστεράν, ἡ πάλιν ὑπέστρεψεν. Ἑπτὰ δὲ διελθουσῶν ἡμερῶν, αὖθις ἀφῆκεν αὐτήν, ἡ δὲ κάρφος ἐλαίας φέρουσα ὑπενόστησε. Κἀντεῦθεν ἔγνω, ἐκλελοιπέναι τὸ ὕδωρ ἀπὸ τῆς γῆς. Καὶ ἐξῆλθον Νῶε καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οἱ υἱοὶ αὐτοῦ σὺν ταῖς αὐτῶν γυναιξὶ, καὶ τὰ ζῷα ὅσα ἦν μετ' αὐτῶν ἐν τῇ κιβωτῷ, καὶ ἔθυσε τῷ Θεῷ. Ἀποβατήριον δὲ τὸν τόπον κεκλεῖσθαι τοῖς Ἀρμενίοις φησὶν ὁ Ἰώσηπος, καὶ λείψανα δείκνυσθαι τῆς λάρνακος ἐκεῖ· μεμνῆσθαι δὲ καὶ τοῦ κατακλυσμοῦ καὶ τῆς κιβωτοῦ λέγει καὶ πολλοὺς τῶν τὰς βαρβαρικὰς ἱστορίας συγγραψαμένων, τὸν Χαλδαῖον τε Βηρωσὸν, καὶ Ἱερώνυμον τὸν Αἰγύπτιον, ὃς τὴν ἀρχαιολογίαν τὴν Φοινικικὴν συνεγράψατο, καὶ τὸν ἀπὸ Δαμασκοῦ Μναστέαν· ὁ δὲ Θεὸς μηκέτι ἐπαγαγεῖν εἶπε τοιοῦτόν τι πάθος τῇ γῇ. Ἐνετείλατο δὲ πρὸς βρῶσιν κεχρῆσθαι τοῖς ζῴοις, D πλὴν κρέας ἐν αἵματι ψυχῆς μὴ ἔσθιειν, καὶ φόνου ἀνθρώπων ἀπέχεσθαι. Σημεῖον δὲ τοῦ μηκέτι κατακλύσαι τὴν γῆν ἐν ὄμβρῳ, τὸ τόξον ἔθετο τὸ ἐν τῇ νεφέλῃ, τὴν Ἶριν διὰ τοῦ τόξου δηλῶν. Νῶε δὲ μετὰ τὸν κατακλυσμὸν βιώσας ἔτη τριακόσια καὶ πεντήκοντα, ὀνήσκει ἐνιαυτῶν γεγονὼς ἐνακοσίων καὶ πεντήκοντα. Εἴρηται δέ γε περὶ τῆς πολυετίας τῶν ἀνθρώπων ἐκείνων ταῦτα τῷ Ἰωσήπῳ· *Μηδεὶς οὖν πρὸς τὸν νῦν βίον καὶ τὴν βραχύτητα τῶν ἐτῶν, ψευδῆ νομιζέτω τὰ περὶ τῶν παλαιῶν ἱστορούμενα. Οἱ μὲν γὰρ θεοφιλεῖς ὄντες, καὶ ὑπ' αὐτοῦ τοῦ Θεοῦ γενόμενοι, καὶ διὰ τὸ ταῖς τροφαῖς* (24) *ἐπιτηδειοτέραις κεχρῆσθαι*

mines, ad improbitatem deflexerunt, ac liberos genuere injurios, et ex fiducia virium temerarios: quibus Deus offensus, etiam longævitatem sustulit, vita hominum centum viginti annis circumscripta. Noe vero gratiosus fuit apud Deum. **19** Itaque continente in mare vehemens et diuturnum commutata, omne humanum genus interit. Noe solus divina Providentia arca lignea conservatur, quam quadrangulam fabrefecit, longitudine cubituum CCC, latitudine L, altitudine XXX. Eam conscendit ipse cum filiis, et mater, uxoresque eorum: ac seminibus variis impositis, et animalibus cujusque generis, ad genera eorum conservanda, binis immundorum, et septenis paribus mundorum. Noe ab Adamo decimus numeratur, annis MMCCXLII elapsis usque ad diluvium. Apertis autem cœli cataractis ad dies XL totidemque noctes, aqua XV cubitis montium altissimorum cacumina superavit. Cum pluvia desiisset, et aqua post dies CL minueretur: arca ad quemdam Armeniæ montem septimo mense applicuit. Noe vero corvum per fenestram emisit, qui non reversus est. Post dies aliquot emisit columbam; ea rediit. Septem diebus elapsis, eadem, rursus emissa, festucam olivæ retulit. Unde intellexit, aquam defecisse in terra. Itaque Noe et uxor ejus, et filii cum suis uxoribus, sunt egressi, et animalia quæ cum eis in arca fuerant, ac sacrificarunt Deo. Locum eum Exscensum vocari ab Armeniis, tradit Josephus, et arcæ reliquias ibi monstrari, ac mentionem facere diluvii et arcæ multos barbaricæ historiæ scriptores: ut Berosum Chaldæum, et Ægyptium Hieronymum, qui Phœnicias antiquitates scripserit, et Mnaseam Damascenum: Deus autem se non amplius talem cladem terræ immissurum dixit etvesci jussit animantibus (carnem tamen in sanguine animæ vetuit edere) et cæde hominum abstinere. Signum non perituræ aqua terræ, ut in diluvio factum, arcum in nube posuit, iridem per arcum intelligendo. Noe post diluvium vixit annos CCCL; moritur natus annos DCCCCL. Josephus de multitudine annorum illius ætatis hominum sic ait: *Nemo hanc vitam, annorumque paucitatem intuens, falsa existimet ea quæ de veteribus memorantur. Nam illos, cum Deo chari essent, et ab ipso Deo orti, ac cibis etiam ad diuturnitatem aptioribus uterentur, non mirum fuit, tantum temporis spatium vivere. Altera longævitatis causa fuit, utilitas rerum ab eis excogitatarum, ut astronomiæ et geometriæ: quæ deprehendi ab eis certo et explicari haud potuissent, ni* DC *annos vixissent,* **20** *quanto spatio magnus annus completur.* Hæc ille.

Variæ lectiones et notæ.

(24) *Καὶ διὰ τὸ ταῖς τροφαῖς.* Al. Καὶ διὰ τὸ τὰς τροφὰς ἐπιτηδειοτέρας πρὸς πλείονα χρόνον εἶναι. W.

πρὸς πλείονα χρόνον, εἰκότως ἔζων πλῆθος ἐτῶν τοσούτων. Ἔπειτα καὶ διὰ τὴν εὐχρηστίαν ὧν ἐπεκόουν, ἀστρονομίας τε καὶ γεωμετρίας, ἅπερ οὐκ ἦν ἀσφαλῶς αὐτοὺς κατανοῆσαί τε καὶ εἰπεῖν μὴ ζήσαντας ἑξακοσίους ἐνιαυτούς· διὰ τοσούτων γὰρ πληροῦται ὁ μέγας ἐνιαυτός.

V. Noæ vero filii, Semus, Chamus, Japhetus, cum sedes suas e montibus in planitiem transtulissent, Noe, plantata vinea, epotoque vino inebriatus nudatur. Ibi Chamus, nuditate patris visa, rem veluti per derisum suis fratribus nuntiat. Verum illi veste in tergum rejecta, retrorsum accesserunt, et nuditatem ejus aversis oculis contexerunt. Qua de causa Noe, discussa ebrietate, illos votis remuneratur, Chamum detestatur. Campus quem incoluere Noæ filii, Semaar vocatur; quorum cuique multis liberis natis, et in familias propagatis, multiplicati sunt eorum posteri. Nemrodus, Chami nepos, qui primus in terris gigas visus est, homo audax, et robore manuum præstans cæteris, tyrannicum imperium instituit, ac eis condendæ turris ex coctis lateribus auctor fuit. Sed Deus institutum eorum callide elusit, injecta linguarum diversitate, ut alii aliorum sermonem non intelligerent. Campus ille nunc Babylon vocatur, ob sermonum confusionem. Nam Babel Hebræis est confusio. Ob eam linguarum diversitatem ita fuere dispersi, ut omnem continentem, omnes insulas complerent. Ex illis Noæ posteris ita dissipatis, gentes conditæ et cognominatæ sunt. Japhetus quidem septem genuit filios, qui a montibus Tauro et Amano progressi sunt, in Asia usque ad Tanaim fluvium, in Europa usque ad Gades, quorum cognomina gentibus sunt indita. Gomares enim a Gomer, nunc Galatæ dicuntur. Magogos suos posteros nominavit Magog, nunc Scythæ vocantur. Ab Jovan, Iones et omnes Græci cognomen habent. A Madai Madæi, hoc est Medi, nunc vocantur. Thobel Thobelos a se cognominavit, Iberes hi sunt. Mosoch auctor fuit Meschenorum, qui nunc Cappadoces habentur. Thiras a se nominavit Thiros, qui mutato post nomine Thraces dicti sunt. Ab Japheti porro posteris hi orti sunt: Aschanaxes, Regenes dicti, ab Aschanaxo: Riphathæi (sic olim Paphlagones vocabant) genus ducere a Riphato creduntur. Thorgamæi Thorgamam auctorem jactant, post mutato nomine Phryges appellati. Elisan Alisæorum princeps exstitit, qui sunt Æolenses: et Tarseus Tharsensium, sic enim olim Cilices vocabantur: unde præcipua urbs eorum Tarsus dicitur, facta **21** unius litteræ mutatione. Sic enim Josephus de Tarso scribit. Alii dicunt, Perseum in Ciliciam profectum, ac de condenda urbe cogitantem, dum fabris locum urbis demonstraret, planta pedis terram percussisse, atque inde urbem (Τάρσος enim *plantam* Latinis significat) cognominatam. Chetiæi

Ε'. Οἱ δὲ τοῦ Νῶε παῖδες, Σήμ, Χάμ, καὶ Ἰάφεθ, ἐκ τῶν ὀρῶν εἰς τὴν πεδιάδα κατῴκησαν. Νῶε δὲ φυτεύσας ἀμπελῶνα, ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη, καὶ ἐγυμνώθη. Χὰμ δὲ τὴν γύμνωσιν τοῦ πατρὸς ἰδὼν, τοῖς συγγένοις ἀνήγγειλεν, οἷον ἐπεγγελῶν τῷ πατρί. Οἱ δὲ κατὰ νώτου θέμενοι τὸ ἱμάτιον, τὴν πατρικὴν ἐκάλυψαν γύμνωσιν, ὀπισθοφανῶς ἰόντες, καὶ μὴ προσβλέψαντες τῷ πατρί. Διὸ καὶ ἀνανήψας ὁ Νῶε τοὺς μὲν εὐχαῖς ἠμείψατο, τῷ δὲ Χὰμ κατηράσατο· τὸ δὲ πεδίον ὃ κατῴκουν οἱ υἱοὶ Νῶε, κέκληται Σεναάρ. Πολλῶν δὲ γενομένων ἑκάστῳ παίδων, καὶ εἰς γενεὰς προελθόντων (25), ἐπληθύνθησαν οἱ τούτων ἀπόγονοι. Νεβρὼδ δέ τις ὁ τοῦ Χὰμ υἱωνὸς, ὃς πρῶτος ὤφθη γίγας ἐπὶ τῆς γῆς, τολμηρὸς καὶ κατὰ χεῖρα γενναιότερος τῶν ἄλλων ὑπάρχων, εἰς τυραννίδα τὰ πράγματα περιέστησε, καὶ πύργον οἰκοδομεῖν αὐτοῖς ὑπέθετο ἐξ ὀπτῆς πλίνθου δεδομημένον. Ἀλλ' ὁ Θεὸς τὰς τούτων βουλὰς (26) διεσκέδασεν εὐφυῶς, ἀσυνέτους τῶν παρ' ἀλλήλων φωνῶν διὰ τοῦ τῶν γλωσσῶν μερισμοῦ τούτους ἀποφηνάμενος. Τὸ δὲ πεδίον ἐκεῖνο νῦν Βαβυλὼν καλεῖται, διὰ τὴν περὶ διάλεκτον σύγχυσιν. Ἑβραῖοι μὲν γὰρ Βαβὲλ καλοῦσι τὴν σύγχυσιν. Σκίδνανται δὲ λοιπὸν ὑπὸ τῆς ἀλλογλωσσίας, ὡς πᾶσαν ἤπειρον καὶ νῆσον πληρωθῆναι αὐτῶν. Σχεδασθέντων δὲ τῶν ἀπογόνων τοῦ Νῶε, ἐξ ἐκείνων τὰ ἔθνη συνέστησάν τε καὶ ὠνομάσθησαν. Ἑπτὰ γοῦν ὁ Ἰάφεθ υἱοὺς ἐγέννησεν, οἱ ἀπὸ τοῦ Ταύρου καὶ Ἀμάνου τῶν ὀρῶν προῆλθον, ἐπὶ μὲν τῆς Ἀσίας ἄχρι ποταμοῦ Ταναΐδος· ἐπὶ δὲ τῆς Εὐρώπης ἕως Γαδείρων, ὧν τοῖς ὀνόμασι καὶ ἔθνη ἐπεκλήθησαν. Γομαρεῖς μὲν ἀπὸ Γόμερ, οἱ νῦν Γαλάται λεγόμενοι· Μαγώγας δὲ τοὺς ἐξ αὐτοῦ ὠνόμασεν ὁ Μαγὼγ, Σκύθαι δὲ νῦν καλοῦνται. Ἐκ δὲ Ἰωβὰν Ἴωνες καὶ πάντες Ἕλληνες ἐπεκλήθησαν. Ἐκ Μαδαῒ δὲ Μαδαῖοι, οἱ Μῆδοι προσαγορεύονται νῦν. Θοβὲλ, Θοβήλους τοὺς ἐξ αὐτοῦ ἐπωνόμασεν· οὗτοι δ' εἰσὶν Ἴβηρες· ὁ δέ γε Μοσὸχ τοῦ γένους κατῆρξε τῶν Μεσχηνῶν, Καππαδόκαι οὗτοι νομίζονται. Θειρὰς δὲ Θείρας τοὺς ἐξ αὐτοῦ προσηγόρευσεν, οἱ Θρᾷκες μετωνομάσθησαν ὕστερον. Ἐκ δὲ τῶν ἐκγόνων Ἰάφεθ Ἀσχανάξαι μὲν οἱ κληθέντες Ῥηγῆνες, ἐξ Ἀσχανὰξ προσῆχθησαν. Ῥιφαθαῖοι δὲ (οὕτω πρὶν τοὺς Παφλαγόνας ἐκάλουν) ἐκ Ῥιφὰθ τὸ γένος ἕλκειν πιστεύονται· καὶ Θοργαμαῖοι τὸν Θοργαμᾶν πρόγονον ἑαυτοῖς ἐπιγράφουσιν, οἱ Φρύγες μετεκλήθησαν ὕστερον. Ἐλισὰν δὲ Ἀλισαίων ἀρχηγέτης ἐγένετο, οἵπερ εἰσὶν Αἰολεῖς. Καὶ Θαρσεὺς τῶν Θαρσέων ἐγένετο πρόγονος· τὸ γὰρ πάλαι Θαρσεῖς ἐκαλοῦντο οἱ Κίλικες. Ὅθεν καὶ ἡ τῶν παρ' αὐτοῖς πόλεων ἀξιολογωτέρα Ταρ-

Variæ lectiones et notæ.

(25) *Εἰς γενεὰς προελθόντων*. Παρελθόντων. W.

(26) *Ἀλλ' ὁ Θεὸς τὰς τούτων βουλάς*. Οὕτω δὲ μεμηνότας αὐτοὺς ὁρῶν ὁ Θεὸς, ἑτερογλώττους ἐξ ἀπ᾽ ἄσατο. Hoc est, *Deus, cum furorem illorum cerneret, effecit ut diversis linguis loquerentur*. Et paulo post: Ὁ δὲ τόπος, ἐν ᾧ πύργον ᾠκοδόμουν, *locus vero in quo turrem exstruebant*. Et mox, pro ἄχρι ποταμοῦ, μέχρι. W.

σὸς καλεῖται, τοῦ θῆτα μεταβληθέντος εἰς ταῦ. Οὕτως τῷ Ἰωσήπῳ γέγραπται περὶ τῆς Ταρσοῦ. Ἕτεροι δὲ τὸν Περσέα φασὶν τῇ τῶν Κιλίκων χώρᾳ ἐπιδημήσαντα, καὶ πόλιν βουληθέντα κτίσαι, καὶ τὸν τόπον τῆς πόλεως τοῖς οἰκοδόμοις δεικνύοντα, τῷ ταρσῷ τοῦ ποδὸς πατάξαι τὴν γῆν, κἀντεῦθεν ἐπικληθῆναι τὴν πόλιν Ταρσόν. Χέθιμα δὲ τὴν νῆσον συνῴκισεν ὁ Χεθίμ. Ἡ Κύπρος αὕτη ἐστὶ παρ' Ἕλλήνων οὕτω κληθεῖσα, διὰ τὴν παρ' αὐτοῖς θεόν· τὴν Ἀφροδίτην γὰρ Κύπριν προσαγορεύουσιν. Οἱ δέ γε παῖδες τοῦ Χάμ, τὴν ἀπὸ Συρίας, καὶ Ἀμάνου καὶ Λιβάνου τῶν ὀρῶν γῆν κατέσχον, καὶ ὅσα πρὸς θάλασσαν αὐτῶν ἐτέτραπτο μέχρις Ὠκεανοῦ, κατειλήφασι. Καὶ προήλθοσαν ἐκ μὲν Χοῦς Χουσαῖοι, Αἰθίοπες οὗτοι εἰσί. Μεσρὲμ δὲ, Μεσραίων προπάτωρ ἐγένετο. Οὕτω δὲ καλοῦνται Αἰγύπτιοι, καὶ ἡ τῆς Αἰγύπτου χώρα Μεσρὴν ὀνομάζεται. Φοὺτ δὲ τὴν Λιβύην κατῳκισε, καὶ Φούτους τοὺς τῆς χώρας ἐκάλεσε, Φούτην δὲ τὴν χώραν αὐτήν. Μετεβλήθη δ' ἡ κλῆσις αὐτῆς (27) μετέπειτα εἰς Λιβύην, ἐκ Λιβύος υἱοῦ Μεσρέμ. Χαναὰν δὲ τὴν κληθεῖσαν ὕστερον Ἰουδαίαν συνοικίσας, Χαναναίαν αὐτὴν προσηγόρευσε, καὶ Χαναναίους τοὺς ἐξ αὐτῆς. Οἱ δὲ Μεσρὲμ παῖδες τὴν ἀπὸ Γάζης ἕως Αἰγύπτου κατέσχον γῆν. Μόνου δὲ Φιλιστιεὶμ τὴν ἐπωνυμίαν διεφύλαξεν ἡ ἐκείνου μερὶς, ἣν Παλαιστίνην Ἕλληνες ὠνομάκασι. Σιδώνιος δὲ παῖς πρωτότοκος Χαναὰν, ἐν Φοινίκῃ πόλιν ἀνέστησε, Σιδῶνα καλέσας αὐτήν. Ἀμαθεὶ δὲ Ἀμάθην ἔκτισε πόλιν, ἣν Μακεδόνες κατῴκισαν (28), τὴν δὲ πόλιν Πτολεμαῖος Ἐπιφανὴς λεγόμενος, Ἐπιφάνειαν μετωνόμασε. Σὴμ δὲ τῷ υἱῷ Νῶε πέντε τίκτονται παῖδες, οἳ τὴν μέχρις Ὠκεανοῦ τοῦ κατ' Ἰνδίαν οἰκοῦσιν Ἀσίαν, ἀπ' Εὐφράτου ἀρξάμενοι. Ἐλὰμ μὲν οὖν Ἐλυμαίους Περσῶν ὄντας ἀρχηγέτας κατέλιπεν. Ἀσσὼρ δὲ Νίνον οἰκίζει πόλιν, καὶ τοὺς ὑπ' αὐτὸν Ἀσσυρίους ὠνόμασε· καὶ Ἀρφαξὰδ Χαλδαίων προπάτωρ ἦν. Ὁ Ἀρὰμ δὲ τοὺς Σύρους κληθέντας ὕστερον, Ἀραμαίους ἐξ ἑαυτοῦ προσηγόρευσεν. Ὁ δὲ Λοὺδ Λούδους προήγαγεν, οἳ Λυδοὶ μετέπειτα προσερρήθησαν. Τῶν δὲ υἱῶν Ἀρὰμ τεσσάρων ὄντων, ὁ μὲν τὴν Τραχωνῖτιν οἰκίζει, καὶ τὴν Δαμασκόν· μέση δ' ἐστὶ Παλαιστίνης καὶ Κοίλης Συρίας· ὁ δὲ Ἀρμενίαν, Βακτριανοὺς δὲ ὁ ἕτερος. Τοῦ Ἀρφαξὰδ δὲ υἱὸς Καϊνάν, παῖς Καϊνὰν ὁ Σαλά. Οὗτος δὲ πατὴρ Ἔβερ. Ἔβερ δ' ἔτεκε τὸν Φαλὲγ, οὕτω κληθέντα διὰ τὸν τῆς γῆς μερισμόν. Ὅτε γὰρ ἡ διαίρεσις γέγονε τῶν τότε ἀνθρώπων, καὶ ὁ τῆς γῆς μερισμὸς τότε ἐτέχθη. Φάλεκ γὰρ Ἑβραῖοι τὸν μερισμὸν ὀνομάζουσιν. Ἑβραίων δὲ τὸ ἔθνος ἐκ τοῦ Ἔβερ ἀρχῆθεν ἐκλήθη. Τοῦ Φαλὲγ δὲ ὁ υἱὸς ὁ Ῥαγὰβ πατὴρ τοῦ Σερούχ, οὗτος δ' ἔτεκε τὸν Ναχώρ· ἐκ Ναχὼρ δὲ Θάρρα προῆλθε, Θάρρα δὲ πατὴρ Ἀβραάμ.

Ϛ'. Τοῦ δὲ τῶν Ἑβραίων γένους προπάτωρ καὶ πατριάρχης τῶν αὐτοῦ πατριῶν ὁ μέγας οὗτος γέγονεν Ἀβραάμ, ὃς Χαλδαῖος μὲν ἦν τὸ γένος, δέκατος ἀπὸ Νῶε γενόμενος, διακοσίων ἐτῶν καὶ ἐνενήκοντα πρὸς δυσὶ διεληλυθότων, ἐξ ὅτου τὴν γῆν ἅπασαν ὁ Θεὸς ἐπομβρίᾳ κατέκλυσεν. Οὗτος προγόνων ὢν ἀσεβῶν, πρῶτος ἔγνω Θεὸν ἕνα, τὸν τῶν ὅλων Δη-

Amam insulam Chetim excoluit : hæc Cyprus est, quam Græci a dea sua Cypride, hoc est Venere denominant. Chami liberi Syriam et Amanum ac Libanum montes tenuere; et quidquid terræ illius mare spectat, usque ad Oceanum occuparunt. A Chuso Chusæi sunt orti, hoc est, Æthiopes. Mesrem Mesræorum (sic Ægyptii vocantur, et terra Ægypti Mesren) conditor exstitit. Phut Libyam incoluit, et regionis incolas Phutos nominavit, ipsamque regionem Phutam. Post appellatio ejus in Libyam est mutata, a Liby filio Mesremi. Chanaam Chananæam, post Judæam vocatam, incoluit, nomine a se indito : populus Chananæi dictus. Mesremi liberi terram quæ est a Gaza Ægyptum usque tenuerunt. Verum solius Philisthim nomen pars illius retinuit quam Græci Palæstinam dixerunt. Sidonius primogenitus Chanaanis filius, urbem a se in Phœnicia conditam Sydonem appellavit. Amathes urbem Amathain, Macedonibus habitatam, condidit : cujus urbis nomen Ptolemæus cognomento Epiphanes, in Epiphaniam commutavit. Semo Noæ filio quinque nati filii, sumpto ab Euphrate initio, Asiam usque ad Indicum Oceanum incoluerunt. Elam Elymæos Persarum majores reliquit. Asur urbem Ninum condidit, et populum suum Assyrios vocavit. Arphaxad Chaldæorum fuit auctor. Aram eos, qui post Syri nominati sunt, Aramæos a se vocavit. Lud Ludos dixit, qui post Lydi sunt appellati. Cum autem Arami quatuor essent filii, alius Trachonitidem et Damascum condit, quæ inter Palæstinam et Cœlesyriam interjacet : alius Armenios, alius Bactrianos. Arphaxadi filius fuit Cainam, Cainanis Sala. Is Eberis pater. Eber Phalecum genuit, ob terræ divisionem sic appellatum : nam cum illius temporis homines dividerentur, etiam terræ facta est partitio. Hebræi autem partitionem Phalec dicunt, quæ gens ab Ebere auctore suo nomen habet. Phaleci filius 22 fuit Ragab, Ragab autem pater Seruchi. Is Nachorum genuit, Nachorus Tharam, Thara Abrahamum.

VI. Gentis porro Hebræorum auctor et patriarcha suæ nationis magnus iste Abrahamus exstitit, genere Chaldæus, a Noe decimus, annis ccxcii elapsis, ex quo Deus terram universam undis demerserat. Hic impiis ortus majoribus, primus cognovit Deum unum, rerum universitatis opificem, auctore ex operibus deprehenso, cui soli tribuendum ho-

Variæ lectiones et notæ.

(27) Ἡ κλῆσις αὐτῆς. Cod. Colbert. et Wolf. Ἡ κλῆσις τῆς χώρας.

(28) Ἣν Μακεδόνες κατῴκισαν. Ἣν Μακεδόνες ἀφ' ἑνὸς τῶν Πτολεμαίων Ἐπιφανοῦς λεγομένου Ἐπιφάνειαν μετωνόμασαν, *Cujus nomen Macedones a Ptolemæo quodam Epiphane in Epiphaniam mutarunt.* Ita codd. Wolf. Reg. et Colbert.

norem asserebat. Qua de re controversia inter eum et Chaldæos orta, demigravit illinc, auctore quem cognoverat Deo, et Chananæam tenuit. Quam cum fames premeret, abiit in Ægyptum, ibique ob sapientiam admirationi habitus, arithmeticam et astronomiam rudibus tum artium illarum Ægyptiis tradidit : quæ quidem a Chaldæis in Ægyptum, atque inde in Græciam transisse perhibentur. Assyriis autem Sodomitas aggressis, apud quos Lotus fratris Abrahami filius, et Saræ frater habitabat, ac multis Sodomitarum interfectis, cæterisque capiis, Lotus etiam inter cæteros capitur. Quo Abrahamus intellecto, cum CCCXVIII vernis et in amicis Assyrios persequitur, Lotum ac Sodomitas liberat. Revertentem ab hostium persecutione, urbis Solymæ rex nomine Melchisedecus (qui Græcis *regem justum* significat) excipit. Solyma vero tum dicebatur urbs Jerusalem. Adeo vetusta illa est, atque omnes antiquitate superat. Deus approbata virtute Abrahami, remunerationem illi pollicetur. Illo autem dicente, quodvis sibi beneficium insuave fore, qui hærede careret (nequedum enim germanam sobolem susceperat, Saræ vulva obstructa;, Deus etiam filium ei se daturum promittit, a quo magnus populus esset propagandus, stellis numero par : eumque una cum suis masculi sexus pudenda circumcidere jussit, ne genus ejus cum aliis gentibus confunderetur : itaque circumciduntur. Abrahamo jam centenario nascitur e Sara filius, Dei jussu Isaacus appellatus, quod *risum* significat : sive quod Sara, dato oraculo de partu suo riserat : quod ob effetam ætatem, promissioni fidem habere difficile, neque ulla spes prolis erat (nonagenaria enim Isaacum **23** peperit) : sive quod puer, risus occasio fuerit parentibus, hoc est, alacritatis et lætitiæ. Octavo post nativitatem die puer circumciditur : qui mos etiam a Judæis observatur. Arabes vero anno XIII circumcidere pueros solent, quod Ismael gentis conditor circa eam fuerit ætatem circumcisus. Nam quo tempore circumcisionem Abrahamo mandarat Deus, XIII annorum fuerat. Significat autem Ismaelis nomen *divinitus vocatum* ; quippe quod Deus Abrahamum supplicis voti compotem reddidisset, dato filio. Genuit autem hunc ex ancilla, cum qua eum Sara rem habere jusserat. Nam quia tum ex sese nihil parere poterat, a marito petiit, ut cum ancilla domestica, Ægyptia genere, cui nomen Agar erat, concumberet : e qua natum Ismaelem, pro filio sibi vendicavit. Post tamen Isaacum genitum, Agarem cum filio ex æmulatione relegavit. Cum adolevisset Isaacus, aut, ut Josephus Hebræus tradit, vir factus esset (nam Isaacum jam quindecim annorum fuisse ait), Deus periculum facit Abrahami, et filium immolare jubet, atque in monte quodam adolere unigenitum illum et dilectum. Non refragatur Abrahamus : sed filio assumpto, et in

μιουργὸν, ἐκ τῶν ποιημάτων καταλαβὼν τὸν ποιητὴν, καὶ τούτῳ μόνῳ τὴν τιμὴν ἀπονέμειν δεῖν ἔλεγε. Στασιασάντων δὲ διὰ ταῦτα πρὸς αὐτὸν τῶν Χαλδαίων, μετῴκησεν ἐκεῖθεν, τοῦ γνωσθέντος αὐτῷ κελεύσει Θεοῦ, καὶ τὴν Χαναναίαν ἔσχηκε γῆν. Λιμοῦ δὲ τὴν Χαναναίαν πιέζοντος, μεταναστεύει εἰς Αἴγυπτον. Καὶ θαυμασθεὶς ἐπὶ συνέσει, τὴν ἀριθμητικὴν τοῖς Αἰγυπτίοις καὶ τὰ περὶ ἀστρονομίας, ἀμαθῶς τούτων ἔχουσι, παραδίδωσιν. Ἐκ Χαλδαίων γὰρ λέγεται φοιτῆσαι ταῦτα πρὸς Αἴγυπτον, κἀκεῖθεν πρὸς Ἕλληνας (29). Ἀσσυρίων δ' ἐπελθόντων τοῖς Σοδομίταις, οἷς συνῴκει καὶ Λὼτ, ἀδελφόπαις ὢν Ἀβραὰμ, τῆς Σάῤῥας τε ἀδελφὸς, καὶ πολλῶν μὲν πεσόντων Σοδομιτῶν, αἰχμαλωτισθέντων δὲ τῶν λοιπῶν, καὶ Λὼτ τοῖς Σοδομίταις συνηχμαλώτευτο. Ὁ μαθὼν Ἀβραὰμ, σὺν τριακοσίοις ὀκτὼ καὶ δέκα οἰκέταις αὐτοῦ, καὶ φίλοις τρισὶ, κατεδίωξεν ὀπίσω τῶν Ἀσσυρίων, καὶ τούς τε Σοδομίτας ἔσωσε, καὶ τὸν Λώτ. Ἐπανιόντι δ' ἐκ τῆς διώξεως, ὁ τῆς Σόλυμα πόλεως βασιλεὺς αὐτὸν ὑποδέχεται, κεκλημένος Μελχισεδέκ. Σημαίνει δὲ τοῦτο μεθαρμοζόμενον εἰς τὴν Ἑλλήνων διάλεκτον, *βασιλεὺς δίκαιος*. Σόλυμα γὰρ ἦν ὄνομα τότε τῇ πόλει Ἱερουσαλήμ· οὕτως ἀρχαία λίαν ἡ πόλις, καὶ χρόνῳ τὰ πρεσβεῖα κληρωσαμένη κατὰ πασῶν. Τῆς ἀρετῆς δὲ τὸν Ἀβραὰμ ἀποδεξάμενος ὁ Θεὸς ἀμοιβὴν ὑπὲρ αὐτῆς ἐπηγγέλλετο· τοῦ δὲ φαμένου ἄχαρι πᾶν αὐτῷ δοκεῖν εὐεργέτημα, μὴ ἔχοντι τὸν τοῦτο διαδεξόμενον (ἦν γὰρ ἔτι γονῆς ἀμοιρῶν γνησίας, ὅτι τὴν μήτραν ἡ Σάῤῥα πεπήρωτο) ὁ Θεὸς καὶ παῖδα δώσειν αὐτῷ καθυπέσχετο, καὶ ἐξ ἐκείνου μέγα προελθεῖν ἔθνος, τοῖς ἄστρασι τὸν ἀριθμὸν ἐξισούμενον· καὶ περιτμηθῆναι τὰ αἰδοῖα αὐτὸν καὶ τοὺς ὑπ' αὐτὸν ἐκέλευσεν ἄῤῥενας, ἵν' εἴη τὸ γένος αὐτοῦ τοῖς ἄλλοις ἔθνεσιν ἀνεπιμικτον, καὶ περιετμήθησαν. Γίνεται τοίνυν τῷ Ἀβραὰμ παῖς ἑκατὸν γεγονότι ἐνιαυτῶν ἐκ τῆς Σάῤῥας, ὃν ὁ Θεὸς Ἰσαὰκ καλέσαι προσέταξε. Δηλοῖ δὲ τὸ ὄνομα γέλωτα, ἢ ὅτι μειδίσμα τῇ Σάῤῥᾳ ἐγένετο, τέξεσθαι αὐτὴν τοῦ Θεοῦ χρηματίσαντος, διὰ τὸ τῆς ὑποσχέσεως δύσελπι, παρήλικι οὔσῃ, καὶ μὴ προσδοκώσῃ τεκεῖν (ἐνενήκοντα γὰρ ἐτῶν τὸν Ἰσαὰκ τεκοῦσα ἐτύγχανεν) ἢ ὅτι γέλωτος ὑπόθεσις τοῖς γονεῦσι τὸ παιδίον ἐγένετο, θυμηδίας δηλαδὴ καὶ χαρᾶς. Τεχθέντα δὲ τὸν παῖδα τοῦτον, κατὰ τὴν ὀγδόην ἡμέραν ὁ πατὴρ περιέτεμεν. Ὅθεν οὕτω καὶ τοῖς Ἰουδαίοις ἐνενόμιστο περιτέμνεσθαι. Ἄραβες δὲ μετὰ τρισκαιδέκατον ἔτος τοὺς παῖδας περιτέμνειν εἰώθασιν, ὅτι καὶ Ἰσμαὴλ ὁ προπάτωρ αὐτῶν ἐν τούτῳ τῷ χρόνῳ περιετέτμητο. Τρισκαίδεκα γὰρ ἦν ἐτῶν, ὅτε τῷ Ἀβραὰμ ὁ Θεὸς ἐπέταξε τὴν περιτομήν. Σημαίνει δὲ τὸ ὄνομα τοῦτο *Θεόκλητον*, ὡς τοῦ Θεοῦ τῆς ἱκεσίας Ἀβραὰμ ἀκούσαντος, καὶ παῖδα δόντος αὐτῷ. Ἐγείνατο δὲ τοῦτον ἐκ παιδίσκης, ἣν ἡ Σάῤῥα αὐτῷ συγκατέκλινεν. Ἰδίας γὰρ ἀμοιροῦσα τότε γονῆς, οἰκείᾳ παιδίσκῃ, Ἄγαρ ὀνομασθείσῃ, Αἰγυπτίᾳ τὸ γένος, μιγῆναι τὸν ἄνδρα

Variæ lectiones et notæ.

(29) *Πρὸς Ἕλληνας*. Εἰς. Et post αἰχμαλωτισθέντων pro αἰχμαλωτευθέντων. W.

ἠτήσατο, καὶ τεκούσης ἐκείνης τὸν Ἰσμαὴλ, ὠκειώσατο τὸ παιδίον ἡ Σάρρα. Τεκοῦσα δέ γε τὸν Ἰσαὰκ, τῆς Ἄγαρ σὺν τῷ υἱῷ φυγὴν διὰ ζηλοτυπίαν κατεψηφίσατο. Ἀδρυνθέντος δὲ τοῦ Ἰσαὰκ, ἢ ἀνδρωθέντος κατὰ τὸν Ἑβραῖον Ἰώσηπον (εἴκοσι γὰρ καὶ πέντε ἐνιαυτῶν φησὶν εἶναι τὸν Ἰσαὰκ τότε) πεῖραν ὁ Θεὸς ἐπάγει τῷ Ἀβραὰμ, καὶ καλέσας αὐτὸν θῦμα προσαγαγεῖν κελεύει τὸν υἱὸν, καὶ εἰς ἓν τῶν ὀρέων ἀπαγαγόντα τὸν μονογενῆ, τὸν ἀγαπητὸν, ὁλοκαυτῶσαι. Καὶ οὐκ ἀντεῖπεν ὁ Ἀβραὰμ, ἀλλὰ τὸν παῖδα προσειληφὼς, καὶ εἰς τὸ ἐπιταχθὲν αὐτοῦ ὄρος ἀναγαγὼν, τὸν θεῖον αὐτῷ κοινοῦται χρησμὸν, καὶ γενναίως θέσειν τὴν κάθιέρωσιν παραινεῖ, κελεύοντος τοῦ Θεοῦ. Ὁ δὲ πείθεται, καὶ ἑκὼν ἑαυτὸν παρέχει πρὸς καθιέρωσιν, μὴ δίκαιον εἶναι φήσας Θεοῦ καὶ Πατρὸς ἀντιτείνειν θελήματι. Οὕτω ταῦτα τῷ Ἰωσήπῳ ἱστόρηται. Εἶτα φείσασθαι τοῦ υἱοῦ κελεύεται Ἀβραὰμ, καὶ κριὸς αὐτομάτως εἰς ὁλοκάυτωσιν ἀντιδίδοται. Μετὰ ταῦτα θνήσκει μὲν Σάρρα, ἐτῶν οὖσα ἑκατὸν εἴκοσι πρὸς ἑπτά. Ὁ δ' Ἀβραὰμ ἑτέραν ἠγάγετο, κεκλημένην Χετοῦραν ἐξ ἧς υἱεῖς αὐτῷ φύονται ἕξ. Τῷ Ἰσαὰκ δὲ περὶ τεσσαρακοστὸν ἔτος γεγονότι, μνηστεύεται ὁ πατὴρ Ῥεβέκκαν ἐκ Μεσοποταμίας, θυγατέρα Βαθουὴλ, υἱοῦ Ναχὼρ, ἀδελφοῦ Ἀβραάμ. Ἔπειτα τελευτᾷ μὲν ἔτη ζήσας ἑκατὸν ἑβδομήκοντα καὶ πέντε. Γήμας δὲ τὴν Ῥεβέκκαν ὁ Ἰσαὰκ, διδύμους παῖδας ἐκ ταύτης γεννᾷ· ὧν τῷ μὲν πρεσβυτέρῳ καθόλου τοῦ σώματος δασεῖα ἐφύετο θρὶξ, ὅθεν καὶ Ἡσαῦ ἐκλήθη, διὰ τὴν τρίχωσιν. Τῷ νεωτέρῳ δὲ ἡ χεὶρ εἶχετο τῆς πτέρνης τοῦ ἀδελφοῦ, τῆς μητρικῆς προεκθορόντος γαστρὸς, ὃιὸ καὶ Ἰακὼβ ὠνομάσθη.

A designatum a Deo montem abducto, communicat oraculum : hortatus ut, quoniam Deus ita jussisset, consecrationem fortiter ferret. Paret ille, et ultro se offert victimam. Neque enim æquum esse, Dei et patris voluntati adversari. Sic ista Josephus refert. Deinde filio parcere jubetur Abrahamus, et aries ultro ad incensum substituitur. Post hæc Sara moritur, annos nata CXXVII. Abrahamus aliam uxorem ducit, Cheturam nomine, e qua filii sex ei nascuntur. Isaaco annos circiter XL nato, Rebeccam filiam Bathuelis, fratre Abrahami Nachore nati, in Mesopotamia despondet. Deinde moritur, cum vixisset annos CLXXV. Isaacus Rebecca ducta, gemellos ex ea procreat, quorum natu major, ob hirtos corpore pilos, Esau vocatus. Minor plantam majoris, qui prior ex utero materno exsilierat, manu retinet : ob id Jacobus appellatus, quod supplantatorem natat.

Ζ'. Γηράσας ἐπὶ τούτοις ὁ Ἰσαὰκ καὶ τὰς ὄψεις πεπήρωται. Καὶ τὸν Ἡσαῦ προσκαλεσάμενος (προτετίμητο γὰρ ἐκείνῳ διὰ τὰ πρωτοτόκια) καὶ θηρᾶσαι κελεύει, καὶ ἑτοιμᾶσαι δεῖπνον αὐτῷ, ἵνα φαγὼν (φησὶν) *εὐλογήσω σε πρὸ τοῦ με ἀποθανεῖν*. Καὶ Ἡσαῦ μὲν ἐξῄει πρὸς θήραν. Ἡ δὲ Ῥεβέκκα φιλοῦσα μᾶλλον τὸν Ἰακὼβ, καὶ τοῦτον καλέσασα, εἶπεν ἃ ὁ πατὴρ ἐπέταξε τῷ Ἡσαῦ. Καὶ σπεῦσαι παρεκελεύσατο πρὸς τὸ ποίμνιον, καὶ δύο κομίσαι ἁπαλοὺς ἐρίφους αὐτῇ, ὡς ἂν ἐκ τούτων ἑδέσματα ἑτοιμάσῃ τῷ γέροντι, οἷα φιλεῖν ἐκεῖνον ἐπίσταται, καὶ φαγὼν εὐλογήσῃ αὐτόν. Ὁ δὲ ποιεῖ κατὰ τὰς μητρικὰς ἐντολάς. Ἤδη δὲ παρεσκευασμένων τῶν ἐδεσμάτων, τοὺς βραχίονας τοῦ παιδὸς περιελίσσει ταῖς τῶν ἐρίφων δοραῖς, καὶ δίδωσι τὸ δεῖπνον ἀπαγαγεῖν τῷ πατρί. Ἰσαὰκ δὲ τῇ φωνῇ τὸν Ἰακὼβ εἶναι τὸν προσιόντα αἰσθόμενος, ἔγγιστα προκαλεῖται αὐτὸν, καὶ τῶν χειρῶν ἐπαφᾶται. Τοῦ Θεοῦ δὲ πάντως τὸν Ἡσαῦ εὐλογίας ἀνάξιον κρίναντος, ἔδοξεν Ἰσαὰκ τὸν πρωτότοκον αὐτῷ παρεστάναι υἱόν. Ἡπάτητο δὲ τάχα διὰ τὸ βαθὺ τῆς τριχὸς, καὶ φαγὼν εὐλόγησε τὸν Ἰακώβ. Ἐπανῆλθε δὲ καὶ Ἡσαῦ, καὶ εἰσήγαγε δεῖπνον τῷ πατρὶ, καὶ ᾔτει τὴν εὐλογίαν. Ὁ δὲ ἔγνω τὸ σόφισμα, καὶ ἐλθὼν, ἔφη. Ὁ *ἀδελφός σου ἔλαβε τὴν εὐλογίαν σου*. Τοῦ δὲ ὀλοφυρομένου καὶ ἀξιοῦντος εὐλογηθῆναι (μηδὲ γὰρ μίαν εἶναι παρ' αὐτῷ εὐλογίαν) παρακληθεὶς, Ἰσαὰκ ὥρμησε μὲν εὐλογῆσαι. Ὅτι δὲ μὴ τῷ ἐνηχοῦντι ἐκεῖνον ἐδόκει θείῳ πνεύματι εὐλογίας τυχεῖν τὸν Ἡσαῦ, ἐπεὶ μηδ' ἄξιος ἦν αὐτῆς, εἰς ἀρὰν ἀντ' εὐλογίας ἐτυποῦτο τῷ Ἰσαὰκ ἡ φωνή. Δυσμενῶς; εἶχε διὰ ταῦτα πρὸς τὸν ἀδελφὸν ὁ Ἡσαῦ. Ὁ δὲ τὸν ἀδελφὸν δεδοικὼς, συμβουλῇ τῆς μητρὸς εἰς Μεσοποταμίαν ἀπέοχεται. Ἀπιὼν δὲ ἀξιοῦται καθ' ὕπ-

VII. Post senio confectus Isaacus, atque orbatus oculis, vocat Esaum (is enim ob ætatem prærogativam 24 præferebatur alteri), venatum ablegat, ut cœnam sibi pararet : *Quo* (inquit) *ante obitum meum tibi bene precer*. Esau venatum proficiscitur. Rebecca Jacobi amantior, illi accersito, quid pater Esao jussisset, dicit. Mandat ut e grege duos teneros hædos afferat, quo ex iis edulia conficeret seni, quibus eum delectari sciebat : iisque comes ipsi bene precaretur ille. Paret maternis jussis Jacobus. Paratis jam eduliis, brachia filii pellibus hædorum involvit mater, et cœnam dat patri offerendam. Isaacus Jacobum ex voce agnitum, proxime se accedere jubet, manusque contrectat. Sed quia Deus Esaum faustis ominibus semel indignum judicarat, putavit Isaacus primogenitum sibi filium astitisse (pilorum forsan asperitate deceptus), ciboque sumpto bene precatus est Jacobo. Redit et Esaus, oblataque patri cœna, faustam comprecationem postulat. Agnoscit ille imposturam : et : *Frater tuus*, inquit, *illam intercepit*. Quo ejulante, et faustam comprecationem flagitante (neque enim unicam duntaxat illi esse) motus precibus Isaacus, bene precari homini instituit ille quidem, sed quia id resonanti in eo Spiritui sancto non placebat, quod tali fortuna indignus esset Esaus, Isaaci vox pro fausta precatione in exsecrationem vertebatur. His de causis infensus fratri fit Esaus : qui illius metu perculsus, de concilio matris in Mesopotamiam discedit. Inter proficiscendum, ostentum illud scalæ celebratum in somnis videt, cujus una pars terræ, altera cœlo inniteretur, et futurarum cognitione rerum divinitus instruitur. Locum oblatæ visionis Bæthel vocat, quod *divinum domicilium* Græcis so-

nat. Profectus Carram, apud Labanem Rebeccæ matris fratrem divertit : a quo exceptus hospitaliter, curæ gregum præficitur. Labani porro duæ erant filiæ : natu majori Liæ, minori Rachelis nomen erat. Jacobus amore junioris corripitur, quæ sororem forma superabat : et Labanem de ea alloquitur. Is desponsurum se illam ei pollicetur, si septem sibi annos inserviat. Annuit amator, tempus elabitur, nuptias apparat socer : sed noctu filiam natu majorem Jacobo in thalamum adducit. Qui mane impostura cognita, cum socero de injuria expostulat. Ille autem Rachelem etiam ei **25** post alterius septenii servitutem pollicetur. Eam conditionem Jacobus amore subactus denuo accipit : et alteris septem annis elapsis, Rachelis etiam matrimonio potitur. Lia jam e Jacobo liberos habebat, Rubenem primogenitum, quod ex divina misericordia is sibi contigisset. Ægre ferebat enim amorem mariti erga sororem : sperabatque se honoratiorem fore, si uterum ferret. Secundum Simeonem appellat, quod vota ipsius exaudisset Deus. Post hunc Levis nascitur, qui *conjunctionis confirmationem* significat. Hunc Judas sequitur, quod nomen *gratiarum actionem* sonat. Rachel, quia liberos non habebat, verita ne minus gratiosa esset, maritum orat, ut cum ancilla sua congrederetur : ille obtemperat. Ex eoque Jacobi cum Balla (id enim ancillæ nomen erat) congressu, Dan nascitur : *divinum judicium* hoc vocabulum significat. Rursus eadem Nephtalim parit, hoc est *astutum* : quod hoc astu fecunditati sororis se opposuisset. Lia æmulatione incitata, Zelpham ancillam suam et ipsa Jacobo despondet, quæ Gadum peperit : *fortuitus* vocari queat. Alium post hunc Asserem parit, quem *prosperum* interpreteris licet : quod Lia ob liberorum multitudinem celebris et beata per illum partum habenda esset. Cum autem Ruben Liæ filius mandragoræ mala attulisset, Rachel partem sibi dari petiit, concesso Liæ nocte illa, quæ sibi debebatur, mariti concubitu : e quo muliercula Isacharem suscipit, quod nomen *mercede genitum* significat : et alterum filium Zabulonem, hoc est, *pignus benevolentiæ* erga se ; ac filiam Dinam. Nascitur et Racheli filius Josephus : id nomen accessionem rei alicujus futuræ notat.

A νους τοῦ ᾀδομένου θεάματος τῆς κλίμακος, ἧς τῶν ἄκρων τὸ μὲν τῇ γῇ, τὸ δὲ τῷ οὐρανῷ προσήρειστο, καὶ μυεῖται τὰ μέλλοντα ἐκ τοῦ κρείττονος, καὶ τὸν τόπον ἐν ᾧ τὸ ὅραμα εἶδε, Βαιθὴλ προσηγόρευσε· δηλοῖ δὲ *Θείαν ἑστίαν* καθ' Ἕλληνας. Καταντήσας δὲ εἰς Κάῤῥαν, κατήχθη πρὸς Λάβαν τὸν τῆς μητρὸς τῆς Ῥεβέκκας ὁμαίμονα, καὶ ξενίας παρ' ἐκείνῳ τετύχηκε, καὶ τὴν ἐπιμέλειαν τῶν ποιμνίων πιστεύεται. Δύο δὲ τῷ Λάβαν θυγατέρες ἐτύγχανον, ὧν ἡ μὲν πρεσβυτέρα Λεία, ἡ δ' ἑτέρα Ῥαχὴλ ἐπεκέκληντο. Εἰς ἔρωτα οὖν τῆς νεωτέρας ἠρέθιστο Ἰακὼβ, ἀστείας οὔσης τὸ εἶδος παρὰ τὴν ἀδελφὴν, καὶ προσάγει λόγους τῷ Λάβαν περὶ αὐτῆς. Ὁ δὲ ὁμολογεῖ κατεγγυῆσαι τῷ Ἰακὼβ τὴν Ῥαχὴλ, εἰ ἐπὶ ἔτη ἑπτὰ δουλεύσει αὐτῷ. Κατανεύει πρὸς τοῦτο B ὁ ἐραστὴς, παρέρχεται ὁ καιρὸς, ἑτοιμάζει τοὺς γάμους ὁ πενθερός. Νυκτὸς δὲ τὴν πρεσβυτέραν τῶν θυγατέρων συνευνάζει τῷ Ἰακώβ. Γνοὺς δὲ μεθ' ἡμέραν, ὡς ἐξηπάτηται, ἀδικίαν ἐπενεκάλει τῷ πενθερῷ. Ὁ δὲ καὶ τὴν Ῥαχὴλ αὐτῷ ἐπηγγέλλετο μετὰ δουλείαν ἑτέρας ἑπταετίας. Πείθεται οὖν αὖθις δουλεῦσαι ὁ Ἰακὼβ, δουλούμενος ἔρωτι. Καὶ μεθ' ἑτέραν ἑπταετίαν καὶ τῇ Ῥαχὴλ συνευνάζεται. Τῇ μὲν οὖν Λείᾳ παῖδες ἦσαν ἐξ Ἰακώβ. Καὶ Ῥουβὶμ μὲν καλεῖ τὸν πρωτότοκον, ὅτι κατ' ἔλεον αὐτῇ γένοιτο τοῦ Θεοῦ. Ἐδάκνετο γὰρ ἐρωμένης τῆς ἀδελφῆς τῷ ἀνδρὶ, καὶ προσεδόκα μᾶλλον ἐντιμοτέρα γενήσεσθαι, εἰ σχοίη κατὰ γαστρὸς. Τὸν δεύτερον δὲ Συμεὼν ὀνομάζει. Δηλοῖ δὲ τοῦτο ἐπήκοον τὸν C Θεὸν γενέσθαι αὐτῇ. Καὶ ἐπὶ τοῦτο γεννᾶται Λευῖ, *κοινωνίας* τοὔνομα σημαίνει *βεβαιωτήν*. Μεθ' ὃν Ἰούδας αὐτῇ ἀποτίκτεται *εὐχαριστίας ἡ κλῆσις* δηλωτική. Τῇ δὲ Ῥαχὴλ παιδίον οὐκ ἦν, καὶ δεδοικυῖα μὴ δι' ἀτεκνίαν παρευδοκιμηθῇ, δέεται τοῦ ἀνδρὸς τῇ θεραπαίνῃ αὐτῆς συνελθεῖν. Ὁ δὲ καὶ πείθεται, καὶ τῇ Βάλλᾳ συνέρχεται, καὶ παιδίον ἐξ Ἰακὼβ ἡ Βάλλα γεννᾷ, καὶ Δὰν ἐκλήθη ὁ παῖς, *θεόκριτον* εἴποιεν (30) Ἕλληνες. Κἀκ τῆς αὐτῆς αὖθις τίκτεται Νεφθαλεὶμ, *εὐμηχάνητος*, οἷον διὰ τὸ ἀντιτεχνάσασθαι πρὸς τὴν εὐτεκνίαν τῆς ἀδελφῆς. Ζηλοῖ ἐπὶ τούτοις ἡ Λεία, καὶ παρακατακλίνει κἀκείνη τῷ Ἰακὼβ Ζελφὰν τὴν ἰδίαν θεράπαιναν. Υἱὸν δὲ καὶ αὐτὴ ἐγείνατο Γάδ· *τυχαῖον* ἄν τις καλέσῃ αὐτόν. Καὶ ἐπὶ τούτῳ τίκτει καὶ ἕτερον, οὗτος D δ' ἦν ὁ Ἀσσήρ· λέγοιτο δὲ *μακαριστὴς* ὡς εὐκλείας τῇ Λείᾳ διὰ τὴν πολυτεκνίαν καὶ μακαρισμοῦ γενόμενος αἴτιος. Τῇ Λείᾳ δὲ Ῥουβὶμ τοῦ υἱοῦ μανδραγόρου μῆλα κομίσαντος, ᾔτει Ῥαχὴλ μεταδοῦναι τούτων αὐτῇ, καὶ ἀμοιβὴν προὐτίθει τῇ ἀδελφῇ τὸν κατ' ἐκείνην τὴν νύκτα λέκτρον τοῦ Ἰακώβ. Ἡ γὰρ νὺξ ἐκείνη τῇ Ῥαχὴλ προσκεκλήρωτο. Καὶ συνευνάζεται διὰ τοῦτο τῇ Λείᾳ ὁ Ἰακὼβ, καὶ τίκτει παῖδας ἔτι δύω τὸ γύναιον, τὸν Ἰσάχαρ· τὸν ἐκ *μισθοῦ* δὲ *γεγονότα* σημαίνει τὸ ὄνομα· καὶ Ζαβουλών· δηλοῖ δὲ τὸν *ἠνεχυρασμένον εὐνοίᾳ* τῇ πρὸς αὐτήν· καὶ θυγατέρα κληθεῖσαν Δεῖναν. Γίνεται δὲ καὶ τῇ Ῥαχὴλ υἱὸς Ἰωσήφ· τὸ δ' ὄνομα προσθήκην τινὸς γενησομένου δηλοῖ.

VIII. Sic annis vigenti Jacobus soceri opilio

Η'. Ἔτη μὲν οὖν εἴκοσι ἐποίμαινε τῷ πενθερῷ

Variæ lectiones et notæ.

(30) *Θεόκριτον εἴποιεν*. Hæc Latine satis commode reddi non possunt, sive *divinum judicium*, aut *judicem*, sive *divinitus judicatum* dicas. Εὐμηχάνητος passivæ significationis potius esse videtur : quare *arte quæsitum* vertere malui, quam *astutum*, aut *artificiosum*. Ita etiam μακαρισ[illegible] [illegible]em, si dicere liceat, quam *beatum* potius significat. *Prosperum* ego verti. W.

Ἰακώβ. Εἶτα ὑποχωρῆσαι θέλων, οὐ συγκεχώρητο. Ὅθεν κρύφα μετὰ τῶν γυναικῶν σὺν ταῖς θεραπαινίσι καὶ ταῖς παισὶν ἀπεδίδρασκεν, καὶ τὴν κτῆσιν προσεπαγόμενος, καὶ τῶν βοσκημάτων ἅπερ αὐτῷ τοῦ ποιμαίνειν μισθὸς προσνενέμητο· Ῥαχὴλ δὲ καὶ τὰ εἰδώλια τοῦ πατρὸς ἐπεφέρετο, οὐχ ὡς τιμῶσα, ἀλλ' ἵν' ἔχοι ταῦτα καταφυγήν, εἰ ἐπιδιώξας αὐτοὺς ὁ πατὴρ καταλάβοι. Τοῦ δὲ Λάβαν κατ' ἐβδόμην ἡμέραν καταλαβόντος, κατ' ὄναρ ἐπέταξεν αὐτῷ ὁ Θεὸς σπείσασθαι τῷ Ἰακώβ. Μεθ' ἡμέραν δὲ λόγοι ἀμφοῖν γίνονται, καὶ τοῦ Ἰακὼβ μηδὲν ἀδικεῖν ἀποδείξαντος περὶ τῶν πατρώων θεῶν ἐπενεκάλει ὁ Λάβαν αὐτῷ. Ὁ δὲ μηδὲν περὶ αὐτῶν συνειδὼς, ἐρευνᾶν παρεχώρει, καὶ γίνεται ἡ ἔρευνα (31). Ἡ Ῥαχὴλ δὲ τὰ εἰδώλια τῇ ἀστράβῃ τῆς φερούσης αὐτὴν καμήλου ἐντίθησι, καὶ αὐτὴ ἐπεκάθητο, φάσκουσα τὴν τῶν ἐμμήνων ῥύσιν αὐτῇ ἐνοχλεῖν. Ὁ δὲ Λάβαν μὴ ἂν ποτε τὴν θυγατέρα μετὰ τοιούτου πάθους τοῖς θεοῖς αὐτοῦ προσελθεῖν οἰηθείς, παρῆλθε κἀκείνην. Καὶ ὁ μὲν ἀνέζευξεν· ὁ δὲ Ἰακὼβ, τὸν ἀδελφὸν δεδιὼς, προπέμπει, δηλῶν αὐτῷ τὴν ἐπάνοδον, καὶ δῶρα στέλλει αὐτῷ. Νυκτὸς δ' ἐπιγενομένης, φαντάσματι συντυχὼν διεπάλαιε, καὶ ἐδόκει κρατεῖν. Αἰσθόμενος δὲ ἄγγελον εἶναι Θεοῦ, εἰπεῖν αὐτῷ παρεκάλει, τίνα μοῖραν ἕξει. Ὁ δὲ τὸ κρατῆσαι θείου ἀγγέλου μεγάλων ἀγαθῶν σημεῖον ἡγεῖσθαι δεῖν ἔλεγε. Καὶ Ἰσραὴλ αὐτὸν καλεῖσθαι ἐκέλευεν. Τοῦτο δὲ οἱ μὲν ἄλλοι *νοῦς ὁρῶν Θεόν*, ἑρμηνεύουσιν. Ἰώσηπος δὲ, τὸν ἀντιστάντα θείῳ ἀγγέλῳ, σημαίνειν φησίν. Ἰακὼβ δὲ τὸν τόπον καλεῖ Φανουὴλ, τούτεστι, *Θεοῦ πρόσωπον*. Γενομένου δ' ἐν τῇ πάλῃ τῇ πρὸς τὸν ἄγγελον ἀλγήματος αὐτῷ περὶ τὸ νεῦρον τὸ πλατὺ, ἐκεῖνος τε τὴν τούτου βρῶσιν ἀπείπατο, καὶ δι' ἐκεῖνον, καὶ τῷ ἐκείνου γένει παντὶ ἀπηγόρευται· ὑπαντήσαντος δὲ τῷ ἀδελφῷ τοῦ Ἡσαῦ, συνέβαλον ἀλλήλοις, καὶ ἠσπάσαντο. Εἶτα ὁ μὲν Ἡσαῦ ἀπηλλάγη, Ἰακὼβ δ' ἀφίκετο πρὸς τὰ Ζίκιμα. Τῶν δὲ Σικιμιτῶν ἑορτὴν ἀγόντων, ἡ θυγάτηρ αὐτοῦ Δεῖνα εἰς τὴν πόλιν παρῆλθε, τὰ τῆς ἑορτῆς ἱστορήσουσα. Θεασάμενος οὖν αὐτὴν Συχὲμ ὁ τοῦ τῆς πόλεως βασιλέως υἱὸς, φθείρει δι' ἁρπαγῆς. Ἔπειτα ὁ τούτου πατὴρ ἐδέετο τοῦ Ἰακὼβ, συζεῦξαι τὴν Δεῖναν τῷ Συχέμ. Ὁ δὲ οὐ κατένευσε. Συμεὼν δὲ καὶ Λευὶ τῆς κόρης ὁμομήτριοι ἀδελφοὶ, διὰ τὴν ἑορτὴν εὐοχουμένων τῶν ἐν τῇ πόλει, καὶ καρηβαρούντων, νύκτωρ παρελθόντες, πᾶν ἄρσεν ἡβηδὸν ἀναιροῦσι, καὶ τὸν βασιλέα, καὶ τὸν υἱὸν αὐτοῦ. Ταῦτά φησιν ὁ Ἰώσηπος. Πιθανώτερον δὲ περὶ τούτων ἡ βίβλος ἱστορεῖ τῆς Γενέσεως. Λέγει γάρ, ὅτι Ἐμμὼρ τοῦ πατρὸς Συχὲμ ἀξιοῦντος συζευχθῆναι τὴν Δεῖναν τῷ υἱῷ αὐτοῦ, Συμεὼν καὶ Λευὶ εἶπον, ὡς Εἰ περιτμηθεῖεν οἱ ἐν τῇ πόλει ἄρρενες πάντες, δώσομεν τὴν ἀδελφὴν ἡμῶν τῷ υἱῷ σου. Καὶ ὅτι κατεδέξαντο τὸν λόγον, καὶ περιετμήθησαν ἅπαντες. Κατὰ δὲ τὴν ἐκ τῆς περιτομῆς τρίτην ἡμέραν, πονηρῶς τῶν περιτμηθέντων διαA fuit: et cum discessurus esset, non situs est. Itaque clam cum uxoribus, ancillis et liberis fugam capit, abductis una bonis suis, et pecudibus, quas pastionis mercede nactus fuerat. Rachel etiam simulacra patris abstulit: non quod illa veneraretur, sed ut ad ea confugere posset, si a patre persequente deprehensa esset. Cum autem Laban eos die septimo consecutus esset, somnio divinitus monetur, ut reconcilietur Jacobo. Postridie verbis utrinque **26** factis, etsi Jacobus demonstrarat, nullam a se ortam fuisse injuriam, Laban tamen de patriis diis eum accusabat. Qui ejus rei nescius, inquisitionem illi permittit. Inquirit ille. Sed Rachel simulacris sellæ cameli, qua vehebatur, subjectis insidens, menstruorum fluxu laborare se ait. Laban, B qui filiam ad deos suos eo malo conflictantem, nunquam accessuram, persuasum haberet, ea præterita, domum revertitur. Jacobus vero fratrem metuens, suum reditum illi, muneribus præmissis, denuntiat. Nocte superveniente, cum spectro sibi decertare, victoriaque potiri visus, cum angelum esse Dei animadvertisset, orat, ut sibi diceret, quo fato usurus esset. Ille victoriam divini angeli, magnorum bonorum signum habendam esse asserit, et Israelem vocari jubet. Quam vocem alii *mentem*, quæ *Deum videat*, interpretantur. Josephus, cum qui divino angelo restiterit, significare tradit. Jacobus locum illum Phanuel, hoc est, *Dei faciem* vocat. Et quia in lucta cum angelo, poplitis dolore affectus fuerat, cum ipse illius esu abstinuit, tum C omnis ejus posteritas ab eo, ut illicito, abhorret. Frater Esaus obviam illi progressus, salute dicta acceptaque recedit. Jacobus Sicima pervenit. Sicimitis autem festum celebrantibus, filia ejus Dina, spectandæ festivitatis gratia, urbem ingreditur. Quam conspectam Sychemus regius adolescens rapit, raptam stuprat. Rex adolescentis pater Jacobum orat, ut Dinam Sychemo despondeat. Re non impetrata, Symeon et Levi uterini puellæ fratres, civibus ob festivitatem convivantibus atque inebriatis, urbem noctu ingressi, mares prorsus omnes, psumque regem cum filio trucidant. Hæc Josephus tradit. Sed liber Geneseos probabilius his de rebus disserit. Cum, inquit, Emmor Sychemi pater Dinam filio uxorem peteret, Symeonem D et Levim dixisse, si mares urbis omnes circumciderentur, se filio ejus sororem suam desponsuros, qua accepta conditione, circumcisos esse omnes. Ac die inde tertio, cum ex cruciatu ardoris male haberent, ab illis trucidatos, Jacobo ignorante. Quem facinus illud graviter ferentem, bono animo **27** Deus esse jubet. Inde Bethlelem profectus Jacobus, ubi somnium viderat, rem divinam facit, ac progressus, Rachelem ex partu mortuam Ephratæ sepelit, puero ob matris ex eo dolorem Benjamine appellato. Chebronem profectus, patrem Isaacum

Variæ lectiones et notæ.

(31) *Καὶ γίνεται ἡ ἔρευνα.* Καὶ ὡς ἡ ἔρευνα γίνεται. Et paulo post, pro ἂν ποτε, ἄμποτε. W.

adhuc viventem invenit : sed Rebecca jam obierat. Nec multo post etiam Isaacus moritur, et una cum uxore in patrio monumento sepelitur, expletis vitæ annis supra CLXXXV.

Α κειμένων, καὶ ὀδυνωμένων διὰ τὴν φλεγμονήν, ἐπέθεντο αὐτοῖς, καὶ ἀνεῖλον ἅπαντας, ἀγνοοῦντος τοῦ Ἰακώβ· ᾧ χαλεπαίνοντι διὰ ταῦτα, θαρρεῖν ἐκέλευσεν ὁ Θεός. Ἐλθὼν δὲ ἐν Βαιθὴλ ὁ Ἰακὼβ, ὅπου τὸν ὄνειρον ἐθεάσατο, ἔθυσεν. Καὶ προϊὼν, τὴν Ῥαχὴλ ἐκ τοκετοῦ θανοῦσαν, ἐν Ἐφρατᾷ θάπτει. Καὶ τὸ ἐξ αὐτῆς παιδίον Βενιαμὶν ἐκάλεσε, διὰ τὴν ἐπ' αὐτῷ γενομένην τῇ μητρὶ ὀδύνην. Ἐλθὼν δ' εἰς Χεβρὼν, πόλιν τῶν Χαναναίων, κατέλαβε τὸν πατέρα αὐτοῦ Ἰσαὰκ ἔτι ζῶντα· ἡ δὲ Ῥεβέκκα ἔφθη θανεῖν. Θνήσκει δὲ μετὰ βραχὺ καὶ ὁ Ἰσαὰκ, καὶ θάπτεται σὺν τῇ γυναικὶ παρὰ τῷ γονικῷ μνημείῳ, βιώσας ἔτη πέντε καὶ ὀγδοήκοντα πρὸς τοῖς ἑκατόν.

ἐκεῖ, ὁ λαὸς ἠθροίσθη πρὸς Ἀαρὼν, λέγων· *Ποίησον ἡμῖν θεοὺς, ὁ γὰρ Μωϋσῆς οὐκ οἴδαμεν τί γέγονεν.* Ἀαρὼν δὲ βιαζόμενος, προσενεγκεῖν αὐτῷ ἐπέταξεν ἕκαστον τὰ ἐνώτια τὰ χρυσᾶ, καὶ τὸν χόσμον ὃν αἱ γυναῖκες, καὶ αἱ θυγατέρες αὐτῶν περιέκειντο. Οἱ δὲ προσήγαγον, καὶ ἐξ αὐτῶν μόσχον ἐποίησαν χωνευτὸν, καὶ ἔθυσαν αὐτῷ. Μωϋσῆς δὲ καταβαίνων ἀπὸ τοῦ ὄρους, καὶ τὰς δύο πλάκας τοῦ μαρτυρίου ἐν ταῖς χερσὶ φέρων, λιθίνους καταγεγραμμένας ἐπ' ἀμφοτέρων τῶν μερῶν, ὡς ἤγγισε τῇ παρεμβολῇ, ὁρᾷ τὸν μόσχον, καὶ ὀργισθεὶς τὰς πλάκας συνέτριψε, καὶ λαβὼν τὸν μόσχον κατέκαυσε, καὶ ἐλέπτυνε, καὶ βαλὼν εἰς ὕδωρ ἐπότισε τὸν λαόν. Καὶ ἐνετείλατο τοῖς υἱοῖς Λευΐ, καὶ διῆλθον διὰ τῆς παρεμβολῆς, καὶ ἀπέκτειναν πολλοὺς, ὡς εἰς τρισχιλίους τοὺς πεσόντας ἀριθμηθῆναι. Ὑπέστρεψε δὲ Μωϋσῆς πρὸς τὸ ὄρος, λέγων· *Κύριε, ἡμάρτηκεν ὁ λαός σου, καὶ νῦν εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου σου.* Καὶ εἶπεν αὐτῷ Κύριος· Κατάβηθι, ὁδήγησον τὸν λαὸν τοῦτον εἰς τὸν τόπον, ὃν εἶπόν σοι. Καὶ ἐνεφάνισε Κύριος τῷ Μωϋσῇ αἰτήσαντι ἰδεῖν αὐτὸν, τὰ ὀπίσθια αὐτοῦ. Καὶ κατέβη πρὸς τὸν λαὸν αὖθις, δύο πλάκας ἐπιφερόμενος, τοὺς δέκα λόγους γεγραμμένους ἐχούσας· καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ ὑπῆρχε δεδοξασμένη, καὶ οὐκ ἠδύνατο ἀτενίσαι αὐτῷ ὁ λαὸς, καὶ περιέθετο κάλυμμα περὶ τὴν ὄψιν αὐτοῦ, καὶ οὕτως ὡμίλει αὐτοῖς. Καὶ ἀπήγγειλεν αὐτοῖς ἃ ἐνετείλατο ὁ Θεὸς περί τε θυσιῶν καὶ καθαρσίων, καὶ ζώων ἀκαθάρτων τε καὶ καθαρῶν, ὥστε τῶν μὲν ἀπέχεσθαι, τοῖς δὲ τρέφεσθαι, περί τε μίξεων ἀθέσμων, καὶ τίνας οἱ ἱερεῖς εἰς γάμον ἀγάγονται, καὶ οἵας οἱ ἀρχιερεῖς, καὶ περὶ Σαββάτου, καὶ τοῦ ἑβδόμου ἐνιαυτοῦ, καὶ τοῦ πεντηκοστοῦ, ὃν Ἰωβηλαῖον καλοῦσι. Καὶ ὅτι ἐπέταξεν ὁ Θεὸς σκηνὴν γενέσθαι, εἰς ἣν ἂν παραγίνοιτο, συνεπαγομένην αὐτοῖς μεταβαίνουσι· καὶ μέτρα τῆς σκηνῆς ἔδειξεν αὐτῷ, καὶ σχῆμα καθ' ὃ ἂν κατασκευασθείη. Ὁ δὲ λαὸς χαίροντες ἐπὶ τούτοις, προσήγον χρυσόν τε καὶ ἄργυρον, καὶ λίθους τιμίους καὶ χαλκὸν, καὶ ξύλα, καὶ τρίχας αἰγείας, καὶ δέρματα κριῶν, καὶ λίνον, καὶ ἔρια. Ἀρχιτέκτονας δ' ἐφίστησι τῆς σκηνῆς, τόν τε τῆς ἀδελφῆς αὐτοῦ τῆς Μαριὰμ υἱὸν τὸν Βεσελεὴλ, καὶ τὸν Ἐλιφάτ.

A duas testimonii tabulas manibus ferens, lapideas, utrinque scriptas: ut castris appropinquans, vitulum videt, iratus tabulas confringit, vitulum comminutum comburit, scobe in aquam conjecta potat **38** populum. Levitis mandat, ut per castra grassentur: a quibus tribus circiter millibus hominum occisis, in montem revertitur, dicens: *Domine, populus peccavit, quod peccatum si eis condonas, bene est; sin minus, me quoque e libro tuo deleto.* Jubet Deus Mosem descendere, ac populum in locum designatum perducere: eique conspectum ejus petenti, posteriora sua conspicienda præbet. Sic rursus ad populum ille descendit, duas tabulas aferens, quibus decem illi sermones inscripti erant. Cæterum facies ejus ita fulgebat, ut eam populus B intueri nequiret: eaque de causa velat eam, atque ita cum iis colloquens, mandata Dei de sacrificiis, de lustrationibus, de animalibus mundis et immundis, quorum his abstinerent, illis alerentur, de coitu illicito, de matrimoniis sacerdotum et pontificum, de Sabbato, de anno septimo et quinquagesimo, quem Jubilæum vocant, exponit. Jubet porro Deus tabernaculum fieri, in quod descenderet, quodque cum eis discedentibus transferretur: dimensiones et figuram ejus Mosi demonstrat, secundum quas id fabricandum esset. Populus iis rebus lætus, aurum, argentum, gemmas, æs, ligna, pilos caprinos, pelles arietum, linum et lanas confert. Operi tabernaculi conficiendi præficitur Beseleel, Mariæ sororis Mosis filius, et Eliphatus.

C

ΙϚ'. Ἤδη δὲ τῆς σκηνῆς εἰργασμένης, ἔστησε ταύτην ὁ Μωϋσῆς. Εἴργαστο δὲ καὶ ἡ κιβωτὸς ἐκ ξύλων ἀσήπτων, ἀπανταχόθεν χρυσίον περιεκάλυπτον, ᾗ τὰς δύο πλάκας ἐνέθεντο, αἱ τοὺς δέκα λόγους εἶχον ἐγγεγραμμένους. Ὧν ὁ μὲν πρῶτος, Ἕνα Θεὸν εἶναί φησι, καὶ τοῦτον μόνον σέβεσθαι δεῖν. Ὁ δεύτερος δὲ, Μηδενὸς εἰκόνα ζώου ποιεῖν, μηδὲ προσκυνεῖν. Ὁ τρίτος, Ἐπὶ μηδενὶ ματαίῳ τὸν Θεὸν ὀμνύναι. Ὁ τέταρτος, Τὰς ἑβδομάδας παρατηρεῖν, ἀναπαυομένους ἐξ ἔργου παντός. Ὁ πέμπτος, Γονεῖς τιμᾷν. Ὁ ἕκτος, Φόνου ἀπέχεσθαι. Ὁ ἕβδομος, Μὴ μοιχεύειν. Ὁ ὄγδοος, Μὴ κλέπτειν. Ὁ ἔνατος, Μὴ ψευδομαρτυρεῖν. Ὁ δέκατος, Μηδενὸς ἀλλοτρίου ἐπιθυμεῖν. Ταύτην οὖν τὴν κιβωτὸν εἰσάγουσιν εἰς τὸ ἄδυτον. Ἐν δὲ τῷ ναῷ τιθέασι τράπεζαν, καὶ ἐπὶ ταύτης ἄρτους ἀζύμους δώδεκα, καὶ λυχνίαν χρυσῆν, καὶ θυμιατήριον ξύλινον ἐντὸς, ἔξωθεν δὲ χρυσίῳ περικεκαλυμμένον. Καὶ πρὸ τῆς σκηνῆς βωμὸν ἱδρύσατο ξύλινον, χαλκαῖς λεπίσι περιελημμένον, οὗ ἀντικρυς φιάλαι καὶ κρατῆρες σὺν θυΐσκοις ἐτίθεντο, καὶ ἄλλα σκεύη, ἃ πρὸς

XVI. Tabernaculum jam confectum Moses erigit. Arcam etiam fabrefecit e lignis non putrescentibus, circumcirca inaurat: in eaque duas tabulas, quibus decalogus continebatur, condit. Unum esse Deum affirmat, eumque solum colendum. Alterum, Nullius animantis imaginem faciendam et adorandam esse. Tertium, Per Dei nomen ob nullam rem inanem esse jurandum. Quartum, Diem septimum observandum, atque in illo omni opere abstinendum. Quintum, Parentes honorandos. Sextum, Cæde abstinendum. Septimum, Non adulterandum. Octavum, Non furandum. Nonum, Non dicendum esse falsum testimonium. Decimum, Nihil alienum concupiscendum esse. Arcam hanc in adyta colle- D cant, in æde mensam statuunt, et in ea panes non fermentatos duodecim: **39** candelabrum item aureum, et aram suffitoriam intrinsecus ligneam, foris auro incrustatam. Ante tabernaculum aram posuit ligneam, laminis ferreis circumtectam, in qua phiale et crateres cum acerris collocabantur; aliaque vasa, quæ ad sacrificia parata erant,

ex auro omnia. Parantur et sacerdotibus ac pontifici etiam stolæ. Pontificem autem Aaronem renuntiarat Deus. Tum Moses populo convocato : *Viri*, inquit, *opus absolutum est, sacrificandi autem honore Aaronem dignatur Deus.* Deinde conferre singulos jubet Sicli semissem, ad tabernaculi ministeria sustentanda. Est autem Siclus, Hebraici numismatis genus, quod quatuor drachmas Atticas valet. Numerus eorum qui conferebant, fuit sexcentorum, quinque millium, quingentorum et quinquaginta : cum ex ingenuis ii duntaxat conferrent, qui vicesimum annum excessissent, usque ad quinquagesimum. Confectum est tabernaculum mensibus septem. Ostendit autem Deus descensu in tabernaculum suo, id opus ex animi sui sententia confectum esse. Præsentiam porro suam ita declaravit. Vapor soli tabernaculo incumbebat, neque densus et involutus, ac nubibus similis, neque omnino tenuis et rarus, ut penetraret visus, sed suavis inde ros destillabat. Moses diebus septem in tabernaculo sub dio sacrificat. Octavo, festum indicit populo, et sacris operari jubet. At illi certare inter sese liberalitate. Victimis jam aræ impositis, ignis sponte sua ortus, omnia quæ in illa erant, consumit. Post, quatuor filiorum Aaronis natu grandiores, Nadabus et Abius sacris non rite factis, pectora et facies, igni ultro exorto, adusti : cadavera eorum extra elata, et sepulta. Dehinc Moses tribum Leviticam ab aliis secretam lustrat : eisque tabernaculum et sacra vasa tradit, ut sacerdotibus ad præscriptum eorum ministrarent. His peractis, numerare populum instituit : inventique sunt, qui arma ferre possent, sexcenties milie, ter mille sexcenti et quinquaginta ex iis qui annum vicesimum excesserant, et quinquagesimum attigerant. Pro tribu autem Levitica Josephi filios Ephraimum et Manassem tribunis substituit, secundum mandatum progenitoris Jacobi. Levitarum porro numerus 40 inventus est trium et viginti millium, octingentorum et octoginta.

A ἱερουργίαν ἡτοίμαστο, χρύσεα πάντα. Γίνονται δὲ καὶ τοῖς ἱερεῦσι στολαί, ἀλλὰ μέντοι καὶ τῷ ἀρχιερεῖ. Ἀρχιερέα δὲ ὁ Θεὸς τὸν Ἀαρὼν ἐψηφίσατο. Συναθροίσας δὲ τὸ πλῆθος ὁ Μωϋσῆς, Ἄνδρες, ἔφη, τὸ μὲν ἔργον τετέλεσται, τῆς δὲ τοῦ ἱεράσθαι τιμῆς ὁ Θεὸς τὸν Ἀαρὼν ἀξιοῖ. Προσέταξε δὲ Μωϋσῆς, εἰσφέρειν ἕκαστον Σίκλου τὸ ἥμισυ, ἵν' εἰς τὰς περὶ τὴν σκηνὴν χρείας εἴη ἀνάλωμα. Ὁ δὲ Σίκλος Ἑβραίων ἔστι νόμισμα, Ἀττικὰς δεχόμενον δραχμὰς τέσσαρας. Τὸ δὲ πλῆθος τῶν εἰσφερόντων ἦν μυριάδες ἑξήκοντα καὶ πεντακισχίλιοι πεντακόσιοι πεντήκοντα. Τὴν δ' εἰσφορὰν ἐποιοῦντο τῶν ἐλευθέρων οἱ τὸν εἰκοστὸν ὑπερβάντες ἐνιαυτὸν, ἄχρι πεντηκοστοῦ. Ἐποιήθη δὲ ἡ σκηνὴ μησὶν ἑπτά. Ἔδειξε δὲ ὁ Θεὸς κατὰ γνώμην αὐτοῦ τὸ ἔργον γενόμενον, B παρουσιάσας ἐν τῇ σκηνῇ. Οὕτω δὲ τὴν παρουσίαν ἐδήλωσεν. Ἀχλὺς ὑπὲρ τὴν σκηνὴν μόνην ἐγένετο, οὔτε βαθεῖα καὶ συμπεπιλημένη, καὶ νέφεσιν ἐμφερὴς, οὔτε πάνυ λεπτή τε καὶ ἀραιὰ, ὡς δι' αὐτῆς διικνεῖσθαι τὴν ὅρασιν· ἡδεῖα δὲ ἀπ' αὐτῆς ἔρρει δρόσος. Μωϋσῆς δὲ ἔθυσεν ἐν τῷ τῆς σκηνῆς αἰθρίῳ (39) ἐφ' ἡμέρας ἑπτὰ, τῇ δὲ ὀγδόῃ ἑορτὴν ἐκήρυξε τῷ λαῷ, καὶ θύειν ἐπέταξεν. Οἱ δὲ ἀλλήλοις ἡμιλλῶντο. Ἐπικειμένων δὲ τῶν ἱερῶν τῷ βωμῷ, πῦρ ἀνήφθη αὐτόματον, καὶ πάντα τὰ ἐπὶ τοῦ βωμοῦ ἐδαπάνησεν. Οἱ δὲ πρεσβύτεροι τῶν τεσσάρων υἱῶν Ἀαρὼν, Ναδὰβ καὶ Ἀβιοὺ παρὰ τὰ διατεταγμένα θύσαντες, κατεκαύθησαν τὰ στέρνα τε καὶ τὰ πρόσωπα, πυρὸς ἐξαφθέντος αὐτομάτου, καὶ φλέξαντος αὐτούς· ὧν τὰ σώματα ἔξω τῆς παρεμβολῆς κομι- C σθέντα, ἐτάφησαν. Τὴν δὲ φυλὴν τοῦ Λευΐ τῶν ἄλλων διακρίνας ἦγνισε, καὶ παρέδωκεν αὐτοῖς τὴν σκηνὴν, καὶ τὰ σκεύη τὰ ἱερὰ, ἵνα ὡς ὑφηγῶνται οἱ ἱερεῖς, ὑπηρετῶσιν αὐτοί. Μετὰ ταῦτα ἀριθμῆσαι διέγνω τὸν λαὸν, καὶ εὑρέθησαν τῶν ὅπλα φέρειν δυναμένων μυριάδες ἑξήκοντα, καὶ τρισχίλιοι, πρὸς ἑξακοσίοις καὶ πεντήκοντα. Οὗτοι δ' ἦσαν οἱ τὸν εἰκοστὸν ὑπερβάντες ἐνιαυτὸν, καὶ ἄχρι τοῦ πεντηκοστοῦ ἑφθακότες. Ἀντὶ δὲ τῆς Λευϊτικῆς φυλῆς τοῖς Φυλάρχοις κατέλεξαν τοὺς παῖδας τοῦ Ἰωσὴφ, τὸν Μανασσῆν καὶ τὸν Ἐφραΐμ, κατὰ τὴν διαταγὴν τοῦ προπάτορος Ἰακώβ. Οἱ δέ γε Λευῖται δισμύριοι καὶ τρισχίλιοι ἀριθμηθέντες εὑρέθησαν, πρὸς ὀκτακοσίοις καὶ ὀγδοήκοντα.

XVII. Post hæc populus seditionem Mosi movet, D conquerens se e bona terra in desertis oberrare coactos ab eo. Itaque ex eo loco in terram eos ducit, quæ Vallis dicebatur, Chananææ terræ propinquam : et singulos ex qualibet tribu delectos, mittit exploratum vires Chananæorum, et agri qualitatem. Illi quadraginta diebus regione peragrata, revertuntur, fructus etiam ex ea secum afferentes : ac terræ quidem bonitatem laudant, sed populo metum injiciunt, quasi obtineri nequeat, tum ob fluminum magnitudinem, tum ob ardua juga montium, tum ob urbes munitissimas. Hoc nuntio rursus irritan-

ΙΖ'. Εἶτα στασιάζει τὸ πλῆθος τὸν Μωϋσῆν αἰτιώμενον, ὅτι γῆς ἀγαθῆς αὐτοὺς ἀποστήσας, ἐν ἐρήμῳ πλανᾶσθαι πεποίηκεν. Ἀναγαγὼν δὲ αὐτοὺς ἐκεῖθεν εἰς τὴν καλουμένην Φάραγγα, πλησίον οὖσαν τῆς Χαναναίων γῆς, ἐξ ἑκάστης φυλῆς ἕνα λαβὼν, κατασκοπήσοντας ἔστειλε τήν τε δύναμιν τῶν Χαναναίων, καὶ τῆς γῆς τὴν ποιότητα (40). Οἱ δὲ τεσσαράκοντα ἡμέραις διελθόντες τὴν γῆν, ὑπενόστησαν, καὶ καρποὺς ἐκ τῆς γῆς ἐκείνης κομίζοντες, καὶ τὴν μὲν χώραν ἐπῄνουν ὡς ἀγαθὴν, τὸ δὲ πλῆθος ἐφόβουν ὡς οὖσης ἀπόρου τῆς αὐτῆς κατασχέσεως, διά τε ποταμῶν μεγέθη, καὶ ὀρῶν δυσχωρίας, καὶ

Variæ lectiones et notæ.

(39) *Ἐν τῷ αἰθρίῳ τῆς σκηνῆς. In ea tabernaculi parte quæ patet*, vel *sub dio juxta tabernaculum.* W.

(40) *Καὶ τῆς γῆς τὴν ποιότητα. Qualitatem.* Ita Reg. et Colbert. Alter codex Wollianus habet πιότητα, *vinquedinem*, id est fertilitatem.

πόλεων ὀχυρότητας. Τὸ δὲ πλῆθος πάλιν δι' ὀργῆς εἶχε τὸν Μωϋσῆν, καὶ ἐνενόουν καταλεῦσαι αὐτόν τε καὶ τὸν Ἀαρὼν, καὶ ὑποστρέψαι εἰς Αἴγυπτον. Μόνοι δὲ τῶν κατασκόπων Ἰησοῦς ὁ τοῦ Ναυῆ καὶ Χαλὲβ παρεθάρρυναν τὸν λαὸν, μηδὲν δυσχερὲς ἀπαντήσειν αὐτοῖς ἀπισχυριζόμενοι. Μωϋσῆς δὲ καὶ Ἀαρὼν ἱκέτευον τὸν Θεὸν, ὅπως τῆς ἀπονοίας παύσῃ τὸ πλῆθος. Παρῆν δὲ ἡ νεφέλη ἐν τῇ σκηνῇ, καὶ ἐσήμαινε τὴν ἐπιφάνειαν τοῦ Θεοῦ. Καὶ Μωϋσῆς θαρσήσας, διελέχθη τῷ πλήθει, καὶ ὀργισθῆναι ἔφησε τὸν Θεὸν, μὴ ἀπολεῖν μέν τοι πάντας, μηδὲ τὸ γένος ἐξαφανίσειν, τὴν δὲ Χαναναίαν μὴ παρέξειν αὐτοῖς, ἐᾶσαι δ' ἐπὶ τῆς ἐρήμου ἐπ' ἔτη τεσσαράκοντα, παισὶ δὲ τοῖς ἐξ αὐτῶν παρέξειν τὴν γῆν. Ταῦτα τοῦ Μωϋσέως εἰπόντος, ἐν λύπῃ τὸ πλῆθος ἐγένετο. Εἶτα συμμίξαι τοῖς Χαναναίοις ἤθελον, καὶ ταῦτα κωλύοντος τοῦ Θεοῦ, καὶ προσβαλόντες ἡττήθησαν. Καὶ οἱ μὲν ἔπεσον, οἱ δὲ εἰς τὴν παρεμβολὴν συμπεφεύγασι. Στάσις δὲ τὸ πλῆθος κατέλαβεν ἐξ αἰτίας τοιαύτης. Κορὲ τῆς Λευϊτικῆς τυγχάνων φυλῆς, καὶ γένει καὶ πλούτῳ περιφανέστατος, καὶ ὁμιλεῖν πιθανώτατος, φθόνον ἔσχε πρὸς Μωϋσῆν, καὶ τοῦ ἀνδρὸς κατεβόα ὡς τυραννίδι χρωμένου· *Τίνι γὰρ λόγῳ, ἔλεγεν, Ἀαρὼν καὶ τοῖς αὐτοῦ υἱέσι τὴν ἱερωσύνην προσένειμεν; Εἰ μὲν ὡς ἐκ τῆς Λευϊτικῆς φυλῆς, ἐγὼ ταύτης τυχεῖν δικαιότερος, γένους μὲν ὁμοίως ἔχων, πλούτῳ δὲ καὶ ἡλικίᾳ διάφορος. Εἰ δὲ ἑτέρᾳ φυλῇ προσκληρωθῆναι δέον αὐτὴν, προτιμηθήσεται ἡ τοῦ Ῥουβὶμ διὰ πρεσβυγένειαν, καὶ λήψονται ταύτην Δαθάν τε καὶ Ἀβειρών.* Ταῦτα ἐκεῖνος μὲν κακοήθως ἔλεγεν. Ἦσαν δὲ αὐτῷ συντεταγμένοι ἄνδρες τῶν πρώτων διακόσιοι, καὶ πεντήκοντα, ἀνηρέθιστο δὲ καὶ τὸ πλῆθος. Ὁ δὲ Μωϋσῆς εἰς μέσον στὰς, εἶπεν· *Ἐμοὶ, ὦ Κορὲ, καὶ σὺ, καὶ τῶν σοὶ συντεταγμένων ἕκαστος, τιμῆς ἄξιοι δοκεῖτε. Ὁ δὲ Θεὸς τὴν ἱερωσύνην τῷ Ἀαρὼν ἐψηφίσατο, καὶ νῦν αὐτὸς αὖθις κρινεῖ ὃν ἱερᾶσθαι βούλεται. Ἔωθεν οὖν, ὅσοι τῆς ἱερωσύνης ἀντιποιεῖσθε, πάριτε, ἕκαστος κομίζων θυμιατήριον οἴκοθεν, καὶ πῦρ καὶ θυμίαμα. Σὺν ὑμῖν δ' ὁμοίως παρίτω καὶ Ἀαρών. Καὶ θυμίων τῶν ὑμῶν ἐνώπιον τοῦ λαοῦ, ὑπὲρ ἂν τὴν θυσίαν ἡδίω κρινεῖ ὁ Θεὸς, οὗτος ἔσεται ὑμῖν ἱερεύς.* Ἐπῄνεσε ταῦτα τὸ πλῆθος, καὶ τῇ ἐπιούσῃ συνῆλθον εἰς ἐκκλησίαν. Μωϋσῆς δὲ πέμψας πρὸς Ἀβειρὼν καὶ Δαθὰν, ἐνετέλλετο ἥκειν. Οἱ δὲ μὴ πεισθέντες, καὶ κατὰ Μωϋσέως ἠπείλησαν. Μωϋσῆς δὲ ἀκολουθεῖν αὐτῷ τοὺς πρυβούλους κελεύσας, ἀπῄει πρὸς τὰς ἐκείνων σκηνὰς, καὶ πλησίον γενόμενον, τὰς χεῖρας ἀνέσχεν εἰς οὐρανὸν, καὶ μέγα ἐβόησεν· *Ἐπεὶ κακουργεῖν ὑποπτεύομαι, Δέσποτα, αὐτὸς ἐλθὲ δικαστὴς, καὶ παράστησον, ὅτι οὐδὲν αὐτομάτως, ἀλλὰ πάντα σῇ διοικεῖται προνοίᾳ. Καὶ εἰ σοῦ κελεύσαντος δέδωκα τὴν ἱερωσύνην τῷ Ἀαρὼν, χάνοι περὶ Δαθάν τε καὶ Ἀβειρὼν καὶ τὴν αὐτῶν γενεὰν ἐφ' ἣν ἐστήκασι γῆ. Εἰ δ' ἀληθεύουσιν κατ' ἐμοῦ, οἷς ἐπηρασάμην αὐτοῖς, ἐγὼ περιπέσοιμι.* Ταῦτα εἶπε δακρύων, καὶ σείεται μὲν ἀθρόον ἡ γῆ. Σκληροῦ δὲ ῥαγέντος ἦχου,

A tur animi popularium contra Mosem, adeo ut de eo et Aarone lapidibus obruendo, deque reditu in Ægyptum cogitarent. Verum Jesus Navis filius et Calebus, soli exploratorum confirmant populum, nullas difficultates pertimescendas esse asseverantes. Moses quoque et Aaron deprecantur Deum, ut desperationem illam vulgi sedaret. Jam nubes in tabernaculo aderat, Dei præsentiam declarans, cum Moses animo resumpto populum alloquitur, ac Deum iratum esse ait, non tamen perditurum omnes, neque totam gentem deleturum: sed nec Chananæam terram traditurum ipsis, quibus per annos quadraginta commorandum esset in deserto, sed liberis eorum. Iis a Mose dictis, mœrere populus. Deinde Chananæos invadere velle, quamvis vetante Deo; factaque impressione vincuntur, aliis cæsis, aliis in castra trepide se recipientibus. Inde orta est populi seditio, hujusmodi ex causa. Core Leviticæ tribus homo, genere et opibus maxime conspicuus, auræ popularis captandæ insignis artifex, invidet Mosi, et contra eum vociferatur, ut tyrannum: *Nam qua*, inquit, *ratione Aaroni, ejusque filiis sacerdotium attribuit? Si ob tribum Leviticam, ego sum illo honore dignior: quippe et genere illi par, et opibus ac ætate superior: sin alteri tribui debetur id munus, Rubenia ob ætatis prærogativam primas feret ac Dathan et Abiron illo potientur.* Hæc malitiose dicebat ille, cum et viros principes ducentos et quinquaginta instructos **41** haberet, et plebs concitata esset. At Moses in medium progressus: *Ego*, inquit, *Core et te, et eorum qui a te stant, quemlibet honore dignos judico. Verum Deus Aaroni sacerdotium assignavit: idemque nunc denuo declarabit, a quo sacra sibi velit fieri. Mane igitur qui de sacerdotio contenditis, prodite, thuribulo quisque domo secum allato, et igne, suffituque. Una vobiscum etiam Aaron prodeat. Tum vobis in populi conspectu odoramenta incendentibus, cujus victimam suaviorem judicarit Deus, is vobis pontifex erit.* Collaudat hæc populus; postridie in concionem frequentes conveniunt. Moyses Abironem et Dathanem accersi jubet. Non parent illi, minas insuper contra Mosem adjicientes. Tum ille primoribus se sequi jussis, ad tabernaculum illorum abit: prope quod cum venisset, manibus in cœlum sublatis, magna voce exclamat: *Quoniam, Domine, doli mali suspectus habeor, tu ipse venito judex, ac demonstra nihil fortuito geri, sed tua providentia gubernari omnia: quod si tuo jussu pontificatum Aaroni dedi, tellus cui Dathan et Abiron cum sua progenie insistunt, dehiscat. Sin vera sunt quæ contra me dicunt, quæ eis sum imprecatus, ea in caput meum redundent.* Hæc ubi lacrymans dixisset, tellus vehementer concussa, cum ingenti fragore juxta illorum tabernaculum debiscens; cum et ipsos et eorum omnia deglutisset, iterum expletus est hiatus. His factis populus stupet. Moses eos qui sacerdotium sibi vindicabant, vocat. Conveniunt viri illustres ccl. Aaron et Core ante tabernaculum cum acerris suis ea quæ ipsi attu-

lerant, suffiant. Tum ingens flamma emicat, qualis videlicet jubente Deo incendatur, qua illi CCL una cum Core ita conflagrarunt, ut nec cadavera eorum reperirentur. Solus Aaron incolumis invenitur. Moses thuribula illorum virorum circa æneam aram reponi jubet, in rei gestæ monumentum ad posteros; ac denuo habita concione, edicit tribunis, ut nomina tribuum baculis inscripta afferant. Nam illius fore sacerdotium, in cujus baculo signum edidisset Deus. Afferunt igitur tum alii suos baculos, tum Aaron quoque suum, Levita inscripto. Eos in tabernaculo Dei reposuit Moyses, postridie protulit ac cæteri quidem, quales fuerant, tales **42** manserant: Aaronis autem et ramos et fructus germinarat: quos fructus Levitici liber nuces; Josephus amygdalas fuisse dicit. Obstupuerunt igitur omnes, Aarone ter divinitus electo. Jam quia Levitica tribus bellorum et expeditionum immunis erat, ne ob rem necessariarum penuriam, sacrorum curam adjicerent, jubet Moyses Hebræis, ut Chananæa terra parta, oppida XLVIII Levitis assignarent, ut agros ante ea, et decimas annuarum frugum, tum ipsis, tum sacerdotibus penderent: aliaque plurima eis a populo tribuenda constituit, quæ qui singulatim scire desiderat in libro, qui Leviticus inscribitur inveniet.

συνίζησε περὶ τὰς ἐκείνων σκηνάς, καὶ αὐτούς τε καὶ τὰ αὐτῶν εἰς τὸ χάσμα κατήνεγκε, καὶ οὕτως αὖθις συνῆλθε τὸ διεστώς. Ἐπὶ τούτοις ἔφριξε μὲν ὁ λαός, Μωϋσῆς δὲ καλεῖ τοὺς περὶ ἱερωσύνης διαλλαμένους. Καὶ συνελθόντες πεντήκοντα καὶ διακόσιοι ἄνδρες τῶν ἐπισήμων, καὶ Ἀαρὼν καὶ Κορὲ πρὸ τῆς σκηνῆς ἐπὶ τοῖς θυμιατηρίοις καθήγιζον ἃ ἐκόμιζον. Ἐξέλαμψε δὲ πῦρ πολὺ οἷον ἂν Θεοῦ κελεύσαντος ἀναφθείη, ὑφ' οὗ οἵ τε διακόσιοι καὶ πεντήκοντα, καὶ Κορὲ διεφθάρησαν, ὡς μηδὲ τὰ σώματα αὐτῶν εὑρεθῆναι· μόνος δὲ Ἀαρὼν εὑρέθη ἀλώβητος. Μωϋσῆς δὲ τὰ θυμιατήρια τῶν ἀνδρῶν ἐκείνων περὶ τὸν χάλκεον ἐκέλευσε καταθέσθαι βωμόν, ἵν' ὑπόμνησις ὦσι τῶν γεγονότων, καὶ τοῖς μετέπειτα. Ἐκκλησιάσας δὲ πάλιν προεῖπε τοῖς φυλάρχοις ἥκειν, τὰ τῶν φυλῶν ὀνόματα βακτηρίαις ἐπιγεγραμμένα κομίζοντας, ἐκείνῃ τῆς ἱερωσύνης ἐσομένης, οὗπερ ἂν τῇ βακτηρίᾳ σημεῖον γένηται ἐκ Θεοῦ. Κομίζουσιν οὖν, οἵ τε ἄλλοι καὶ Ἀαρὼν, ἐπιγράψας τῇ βακτηρίᾳ Λευΐτην, ἃς ἐν τῇ σκηνῇ τοῦ Θεοῦ κατέθετο Μωϋσῆς, τῇ δ' ἐπιούσῃ προεκόμισαν ταύτας. Καὶ αἱ μὲν ἄλλαι, οἷαι περ ἐτύγχανον, ἔμενον, ἡ δὲ Ἀαρὼν ἐβλάστησε κλάδους τε καὶ καρπούς. Τὸν δὲ καρπὸν ἡ μὲν τοῦ Λευϊτικοῦ βίβλος κάρυα λέγει, ἀμύγδαλα δὲ ὁ Ἰώσηπος. Ἐξεπλάγησαν οὖν πάντες, τρὶς τὸν Ἀαρὼν χειροτονήσαντος τοῦ Θεοῦ. Ἐπεὶ δὲ πολέμων καὶ στρατείας ἡ τῶν Λευϊτῶν ἀφεῖτο φυλὴ, ἵνα μὴ διὰ ἀπορίαν τῶν ἀναγκαίων ἀμελοῖεν τῆς λειτουργίας τοῦ ἱεροῦ, ἐκέλευε Μωϋσῆς τὴν Χαναναίαν κτησαμένους τοὺς Ἑβραίους, ὀκτὼ καὶ τεσσαράκοντα πόλεις κατάνεῖμαι τοῖς Λευίταις, καὶ γῆν πρὸ αὐτῶν, καὶ δεκάτην τῶν ἐπετείων καρπῶν αὐταῖς τε καὶ τοῖς ἱερεῦσι τελεῖν, καὶ ἄλλα δὲ πλεῖστα τούτοις χορηγεῖν τὸν λαὸν διετάξατο, ὧν τὸ καθ' ἕκαστον ὁ ζητῶν, τὴν τοῦ Λευϊτικοῦ βίβλον ἀναπτύξας εὑρήσει.

XVIII. His rebus ordinatis, Moses cum exercitu ad Idumæam accedit, transitum petens. At rex illius terræ cum armatis copiis occurrit. Moses itaque per desertum pergit, monitus a Deo ne pugnam auspicaretur. Eo tempore etiam Mariamme moritur, Mosis soror, quadragesimo anno post exitum ex Ægypto. Populo igitur ductu Mosis per desertum et Arabiam profficiscente, Aaron etiam obit, alto monte conscenso, et pontificalibus vestibus Eleazaro filio traditis in populi conspectu, anno ætatis CXXIII. Moses ad Moabitarum et Amorrhæorum regionem progressus, petebat ut traducere liceret exercitum. Sed loci illius rex Seon transitu populum prohibebat. Cum autem Mosi oraculum consulenti, victoriæ signa dedisset Deus, Hebræi armis sumptis, in prælium vadunt. Statim in fugam vertuntur Amorrhæi, et omnes intereunt, rege etiam occiso, et captis urbibus, ac provincia occupata. Ogus item Galaditicæ et Gaulanitidis rex, qui Seoni jam interfecto suppetias veniebat, Israelitas aggreditur. Sed et ipse in prælio cadit, et exercitus ejus deletur captis urbibus, et incolis interfectis. Inde Moses copias in magnam planitiem ducit, et castra contra Hierichuntem locat, urbem beatam, ac palmarum et Balsami feracem. Balacus autem rex Balaamum vatem accersit, ut Israelitas diris devoveret. Sed iter ingresso,

ΙΗ'. Ταῦτα δὲ διατάξας Μωϋσῆς, ἐπὶ τὴν Ἰδουμαίαν ἦλθε μετὰ τῆς στρατιᾶς, καὶ ἠξίου παρελθεῖν δι' αὐτῆς. Τῆς χώρας δὲ ὁ βασιλεὺς, μετὰ στρατιᾶς ἐνόπλου προϋπήντα τῷ Μωϋσῇ. Καὶ ὃς διὰ τῆς ἐρήμου ἐχώρει, μὴ ἄρχειν μάχης συμβουλεύοντος τοῦ Θεοῦ. Τότε καὶ Μαριάμμη τέθνηκε, τοῦ Μωϋσέως ἡ σύγγονος, μετὰ τεσσαρακοστὸν ἔτος τῆς ἐξ Αἰγύπτου ἐξόδου. Τὸν δὲ λαὸν ἀπῆγε διὰ τῆς ἐρήμου, καὶ τῆς Ἀραβίας, ἔνθα καὶ Ἀαρὼν ἐτελεύτησεν εἰς ὄρος ἀναβὰς ὑψηλὸν, καὶ τὴν ἀρχιερατικὴν στολὴν παραδοὺς τῷ υἱῷ Ἐλεάζαρ, τοῦ πλήθους ὁρῶντος, ἔτη βιοὺς ἑκατὸν πρὸς εἴκοσι καὶ τρισίν. Ἐλθὼν δὲ Μωϋσῆς ἐπὶ τὴν Μωαβιτῶν καὶ Ἀμορραίων χώραν, τῷ στρατῷ δίοδον ᾔτει. Σηὼν δὲ τῆς χώρας ὁ βασιλεὺς διαβαίνειν τοὺς Ἑβραίους ἐκώλυε, καὶ τοῦ Θεοῦ νίκην σημήναντος ἐρομένῳ τῷ Μωϋσῇ, τὰς πανοπλίας ἀναλαβόντες Ἑβραῖοι, πρὸς μάχην ἐχώρουν. Τρέπονται δ' αὐτίκα οἱ Ἀμορραῖοι, καὶ ἅπαντες διεφθάρησαν. Ἔπτωκε δὲ καὶ Σηὼν ὁ αὐτῶν βασιλεὺς, καὶ τὰς πόλεις ἕλον, καὶ τὴν γῆν ἐκείνων παρέλαβον. Ἐπιτίθεται δὲ τοῖς Ἰσραηλίταις, καὶ Ὢγ ὁ τῆς Γαλαδηνῆς καὶ τῆς Γαυλανίτιδος βασιλεὺς σύμμαχος ἐλθὼν τῷ Σηὼν ἤδη ἀπολωλότι. Αὐτός τε οὖν θνήσκει κατὰ τὴν μάχην, καὶ ὁ στρατὸς αὐτοῦ διαφθείρεται, καὶ αἱ πόλεις ἑάλωσαν, καὶ οἱ ἐνοικοῦντες ἀπώλοντο. Ἐκεῖθεν δὲ Μωϋσῆς τὴν δύναμιν κατὰ τὸ μέγα πεδίον ἄγει,

καὶ στρατοπεδεύει Ἰεριχοῦντος ἔναντι. Πόλις δ' A ἐστὶν εὐδαίμων αὕτη, φοινικάς τε φέρουσα, καὶ βάλσαμον νεμομένη. Βαλὰκ δὲ ὁ τῶν Μωαβιτῶν βασιλεὺς, μεταπαλεῖται τὸν μάντεα Βαλαὰμ, ὅπως ἐπ' ὀλέθρῳ τῶν Ἰσραηλιτῶν ἀρὰς ποιήσῃ παραγενόμενος. Καὶ ὁ μὲν ἀπῆει. Κατὰ δὲ τὴν ὁδὸν ἀγγέλου θείου προσβαλόντος αὐτῷ, ἡ ὄνος, ᾗ ὁ Βαλαὰμ ἐπωχεῖτο, συνεῖσα τοῦ θείου πνεύματος, οὐ προέβαινεν, οὐδὲ ταῖς πληγαῖς ἐνεδίδου· φωνήσασα δ' ἀνθρωπίνως κατὰ θεῖαν βούλησιν, ἄδικον ἐκάλει τὸν δεσπότην πληγὰς αὐτῇ ἐπιφέροντα, καὶ μὴ συνιέντα, ὅτι ἐκ Θεοῦ οἷς ἔσπευσεν ὑπηρετεῖν εἴργεται. Ταραττομένου δ' αὐτοῦ διὰ τὴν ἀνθρωπίνην φωνὴν, ἐπιφανεὶς ὁ ἄγγελος, αὐτὸς τὴν ὁδὸν ἔλεγε κωλύειν τῷ κτήνει. Βουλόμενον δ' ἀναστρέφειν, χωρεῖν προσωτέρω παρώρμησεν, καὶ ὃ ἂν ἐκ Θεοῦ B ἐμπνευσθείη, τοῦτο λέγειν. Καὶ ὁ μὲν ἦκει πρὸς τὸν Βαλάκ. Καὶ εἰς ὄρος ἀχθεὶς, ἑπτά τε ταύρους ὁλοκαυτώσας, καὶ τοσούτους κριοὺς, ὡς εἶδε τροπὴν σημαινομένην, οὐ μόνον οὐ κατηύξατο τῶν Ἑβραίων, ἀλλ' ἐπιβειάσας αὐτούς τε καὶ τὸ γένος ἅπαν αὐτῶν εὐλόγησε, καὶ ἐξύμνησε. Τοῦ δὲ Βαλὰκ δυσχεραίνοντος ἐπὶ τούτοις, ἔφη ὁ Βαλαάμ· *Οὐκ ἐφ' ἡμῖν περὶ τῶν τοιούτων σιγᾶν ἢ λέγειν ἐστὶν, ὦ βασιλεῦ, ἀλλ' ὅτε ἡμᾶς τὸ τοῦ Θεοῦ λάβῃ πνεῦμα, ἃς ἐκεῖνο βούλεται φωνὰς ἀφίησι δι' ἡμῶν. Ἐμοὶ δὲ χαρίζεσθαι βουλομένῳ σοι, βωμὸν αὖθις ἑτοιμαστέον καὶ θύματα.* Θύει τοίνυν καὶ πάλιν, καὶ πεσὼν ἐπὶ στόμα, προὔλεγεν ὅσα τε βασιλεῦσιν ἔσται πάθη, καὶ ὅσα ταῖς πόλεσι. C Βαλὰκ δὲ ἀτίμως ἀποπέμπει τὸν Βαλαάμ. Εἶτα τὰς παρθένους ἐπιπέμπει τοῖς Ἰσραηλίταις, κατὰ συμβουλὴν Βαλαάμ, αἷς οἱ τῶν Ἑβραίων παῖδες ἁλίσκονται, καὶ ταύταις συνῆσαν, ὡς διαπαντὸς ἤδη τοῦ στρατοῦ τὴν παρανομίαν χωρεῖν ἔρωτι τῶν Μαδιανιτῶν γυναικῶν, θεοῖς αὐτῶν τῶν Ἑβραίων θυόντων, καὶ ἀσυνήθων γευομένων τροφῶν. Μωϋσῆς δὲ εἰς ἐκκλησίαν ἀγαγὼν τὸν λαὸν, οὐκ ἄξια δρᾶν ἑαυτῶν, οὐδὲ τῶν πατέρων τοὺς νέους ἔλεγε· καὶ ἐπειρᾶτο τούτους ἐπανορθοῦν. Ζαμβρὴς δὲ φύλαρχος ὢν φυλῆς τῆς Συμεωνίτιδος, καὶ Μαδιανίτιδι συνοικῶν, καὶ περιμανῶς ἐκείνης ἐρῶν, Μωϋσέως κατηναιδεύσατο, καὶ μὴ ἄν ποτε τὴν γυναῖκα καταλιπεῖν διωμώσατο. Ὁ Φινεὲς δὲ τοῦ ἀρχιερέως ὢν παῖς Ἐλεάζαρ, περιαλγήσας, D οὐκ ἀνῆκε παίων τῇ ῥομφαίᾳ τὴν Μαδιανίτιν καὶ τὸν Ζαμβρὴν, ἕως καὶ ἄμφω ἀπέκτεινεν. Ἦν καὶ ἄλλοι νέοι, οἷς ἀρετῆς ἔμελε, μιμησάμενοι, ἀνῄρουν τῶν νέων τοὺς ἐπὶ γυναιξὶν ἀλλοφύλοις παρανομήσαντας. Ἀπόλλυνται οὖν ἄνδρες οὐχ ἧττους μυρίων καὶ τετρακισχιλίων. Ἐντεῦθεν παρυξυνθεὶς Μωϋσῆς κατὰ τῶν Μαδιανιτῶν ἐξέπεμψε στρατιὰν, στρατάρχην αὐτῆς ἀποδείξας τὸν Φινεές. Καὶ μάχης συστάσης, οἵ τε βασιλεῖς αὐτῶν πίπτουσιν, ὄντες πέντε, καὶ πλῆθος ἄγαν πολύ. Οἱ δὲ Ἑβραῖοι τὴν χώραν αὐτῶν διηρπάκασι, καὶ τοὺς οἰκήτορας σὺν γυναιξὶ διαφθείραντες, μόνας τὰς παρθένους κατέλιπον, εἰς τρισμυρίας καὶ δισχιλίας ἀριθμουμένας, ἃς τοῖς ἱερεῦσί τε καὶ Λευίταις καὶ τῷ λαῷ διένειμε Μωϋσῆς. Γηραιὸς δὲ τυγχάνων, διάδοχον ἑαυτοῦ κατέστησε τὸν τοῦ Ναυῆ Ἰησοῦν, κελεύσαντος τοῦ Θεοῦ.

ιθ'. Αἱ φυλαὶ δὲ Γάδ τε καὶ Ῥουβὶμ, καὶ τῆς τοῦ Μανασσῆ ἡ ἡμίσεια, ἐδέοντο Μωϋσέως, τὴν τῶν Ἀμορραίων γῆν προσκληρῶσαι αὐτοῖς. Ὁ

divinus angelus occurrit, quo asina, cui Balaamus insidebat, animadverso, non progrediebatur, neque cedebat verberibus : sed Dei nutu voce humana edita, expostulabat 43 cum domino, a quo vapulabat, quod non intelligeret, divinitus ea prohiberi, ad quæ properaret. Voce illa perterrito etiam angelus apparet, ac se ait jumento iter intercludere. Reverti volentem, ut pergat hortatur, et quidquid ei divinitus inspiretur, dicat. Ac venit ille quidem ad Balacum, et in montem perductus, septem tauris totidemque arietibus immolatis, cum stragem significari videret, non modo mala non imprecatus est Israelitis, sed et ipsos et omne genus eorum faustis ominibus et divinis laudibus prosecutus. Ac graviter illa ferenti Balaco : *Non penes nos*, inquit, *est, o rex, ista vel loqui, vel tacere : sed cum divinus spiritus nos occuparit, quas ipse vult, per nos voces edit. Sed quia tibi gratum facere cupio, denuo instruenda erit ara et victimæ.* Rursus igitur sacrificat, et in faciem prolapsus, clades regibus et urbibus imminentes vaticinatur. Qua de causa Balacus eum sine honore dimittit. Idemque post de Balaami concilio, virgines in Israelitarum castra mittit, a quibus Hebræi ad coitum alliciebantur, ut id facinus totum exercitum pervagaretur, amore Madianiticarum mulierum, diis earum Hebræis sacrificantibus, et cibos insolitos concedentibus. Moses populo ad concionem vocato, dicebat, adolescentes neque se, neque patribus suis digna facere, eosque corrigere satagebat. Cæterum Zambres Simeoniæ tribus princeps, qui Madianiticam mulierem sibi nuptam insano amore deperibat, impudenter sese Mosi opposuit, neque unquam desertorum jurejurando affirmavit. Phinees autem pontificis Eleazari filius doloris acerbitate victus, non prius et Madianitidem et Zambrem gladio verberare destitit, quam utrumque occidisset. Hunc alii juvenes studiosi virtutis imitari, perimebant adolescentes qui contra leges patrias alienigenis mulieribus se contaminarant. Ita viri XIV millibus haud pauciores perierunt. Ea re Moses iratus, contra Madianitas exercitum mittit, Phineæ mandato imperio. Prælio commisso, reges eorum cadunt numero quinque, et multitudo ingens. Hebræi regionem eorum diripiunt, civibus una cum uxoribus occisis, solis virginibus parcentes, quæ fuere ad XXXII millia, quas Moses sacerdotibus, 44 Levitis et populo distribuit : et quia jam senio confectus erat, successorem sibi designat Jesum Navis filium.

XIX. Cum tribus Gadia, Rubenia, et Manasseæ semissis Mosem orarent, ut Amorrhæorum terram ipsis attribueret ; itaque ille ignaviam eis opprobra

ret, ut qui belli Chananæi societatem cum popularibus detrectarent : illi se defendentes, aliam afferebant causam, quod pecora, quorum copiis abundarent, in ea regione relicturi essent, acta rei pecuniariæ, ut ipsi popularium certamina expeditius adjutarent. Collaudavit ea Moses, atque iis conditionibus Amoritidem eis Moses attribuit. Cum autem quidam Manasseæ tribus, solis relictis filiabus, decessisset, interrogatus, cujus esset illius portio, respondit : si quibus tribulium nupsissent virgines, ut una cum portione ad illos transirent : sin aliquibus alterius tribus desponderentur, portionem in patria tribu relinquerent. Sic cujusque bona in sua tribu esse retinenda constituit. Jam autem quadraginta annis (demptis triginta diebus) elapsis, ex quo Israelitæ Ægypto excesserant, Moses annos CXX natus, populo sibi mortem instare denuntiat, multis præceptis datis, legibus item et reipublicæ forma descriptis, et mandata contra Amalechitas expeditione, ac jurejurando exacto de servandis legibus, necnon imperatore ad Chananæos bello petendos incitato : *Ecce*, inquit, *ad majores nostros abeo. Nam hunc mihi diem migrationis ad illos Deus præfinivit.* His auditis, populus in lacrymas et fletum erupit inconsolabilem, ac tantum, ut affectus ille Mosi etiam vel invito lacrymas excuteret. Abeuntem eum in locum, ubi inter mortales esse desineret, prosequebantur omnes plangentes. At ille manu cæteros ulterius progredi vetans, senatoribus tantum et Pontifice Eleazaro et imperatore Jesu comitantibus, donec venit ad montem Nabam et cacumen Phasenæ, quod est in conspectu Hierichuntis, unde ei Dominus terram, cujus hæreditatem adituri essent Israelitæ, monstrata dixit : *Oculis tuis istam intuere, sed ingressurus non es.* Ad montem hunc progressus, qui quidem altus est, senatu dimisso, Eleazarum solum et Jesum secum adducit : **45** atque cum eis collocutus, densaque nube circumdatus, evanuit. Scribitur autem in sacris Libris ideo mortuus, ne ob excellentem virtutem, audaciores aliqui Deum esse factum perhiberent. Summa ætatis ejus fuere anni centum et viginti : quorum trientem, uno mense minus in imperio fuit. Defunctum luxerunt dies triginta. Et hæc Josephus tradit. Sed Deuteronomii liber sic ad verbum habet : *Et obiit Moses, famulus Domini, neque in hunc diem quisquam obitum ejus novit.* Sopito jam luctu, Jesus exploratores Hierichuntem mittit, et Gadiæ, Rubeniæ, ac Manasseæ tribus principes accersitos, pacti cum Mose iniit admonet : qui cum quinquaginta millibus armatorum eum ad Jordanem sequuntur. Cæterum exploratores Hierichuntem missi, urbe tota perlustrata, cogniti et regi indicati, statim comprehendi jubentur. Ea re mulier nomine Raab, ad quam confugerant, intellecta, homines

A δὲ δειλοὺς αὐτοὺς ἀπεκάλει, καὶ μὴ θέλοντας τῆς πρὸς Χαναναίους μάχης κοινωνῆσαι τοῖς ὁμοφύλοις. Ἀπελογοῦντο δ' ἐκεῖνοι μὴ τοῦτο εἶναι, ἀλλὰ πλήθει βοσκημάτων εὐθηνουμένους, βούλεσθαι ταῦτα παρὰ τῇ χώρᾳ καταλιπεῖν, ἀγαθῇ τυγχανούσῃ πρὸς τετραπόδων τροφήν, ἵν' εἶεν αὐτοὶ πρὸς τοὺς ἀγῶνας τοῖς ὁμογενέσι συνεπαίροντες εὔζωνοι. Ἐπῄνεσε ταῦτα Μωϋσῆς, καὶ τὴν Ἀμορίτιν αὐτοῖς προσεκλήρωσεν ἐπὶ τοιαύταις συνθήκαις. Τεθνηκότος δέ τινος ἐκ τῆς Μανασσῆ φυλῆς ἐπὶ θυγατράσι μόναις, ἐρωτηθεὶς Μωϋσῆς, τίνος ὁ ἐκείνου κλῆρος ἔσοιτο ; ἀπεκρίνατο· Εἰ μέν τισι τῶν φυλετῶν συνοικήσουσιν αἱ παρθένοι, μετὰ τοῦ κλήρου πρὸς ἐκείνους χωρείτωσαν· εἰ δὲ μνηστεύοιντό τισιν ἐξ ἑτέρας φυλῆς, τὸν κλῆρον ἑάτωσαν ἐν τῇ πατρῴᾳ φυλῇ, καὶ οὕτω μένειν ἑκάστου κλῆρον ἐν ταῖς φυλαῖς διετάξατο. Ἤδη δὲ τεσσαράκοντα διεληλυθότων ἐτῶν, ἐξότου τῆς Αἰγύπτου οἱ Ἰσραηλῖται ἐξελήλυθασι, τριάκοντα ἐνδεουσῶν ἡμερῶν, ἀθροίσας τὸν λαὸν Μωϋσῆς, ἑκατὸν εἴκοσιν ἐνιαυτῶν γεγονὼς, τὸ οἰκεῖον αὐτοῖς κατήγγειλε τέλος· καὶ πολλὰ παραινέσας, καὶ νόμους δοὺς ἐν βίβλοις, καὶ τῆς σφετέρας πολιτείας διάταξιν, καὶ στρατεῦσαι κατὰ τῶν Ἀμαληκιτῶν ἐντειλάμενος, περὶ τῆς φυλακῆς τε τῶν νόμων ὅρκον ἀπαιτήσας αὐτούς, καὶ τὸν δημαγωγὸν Ἰησοῦν παραθήξας ἐπὶ τοὺς Χαναναίους στρατεῦσαι· *Ἰδού*, φησὶν, *πρὸς τοὺς ἡμετέρους ἄπειμι προγόνους. Τήνδε μοι γὰρ τὴν ἡμέραν τῆς πρὸς ἐκείνους ἀφίξεως ὥρισεν ὁ Θεός.* Τὸ δὲ πλῆθος ἐδάκρυε, καὶ ἦν ὁ θρῆνος αὐτῶν ἀπαράκλητος, καὶ τοσοῦτος, ὡς καὶ αὐτὸν Μωϋσῆν ἐκνικηθῆναι (41) τῷ πάθει, καὶ προενεγκεῖν δάκρυα. Πορευομένῳ δ' ὅπου ἔμελλεν ἀφανὴς ἔσεσθαι, εἵποντο πάντες κοπτόμενοι. Ὁ δὲ τοὺς μὲν πόρρω, τῇ χειρὶ κατασείων, μένειν ἐκέλευε, μόνη δ' ἡ γερουσία προέπεμπεν αὐτὸν, καὶ ὁ ἀρχιερεὺς Ἐλεάζαρ, καὶ ὁ στρατηγὸς Ἰησοῦς, ἕως ἐπὶ τὸ ὄρος ἦλθε Ναβᾶν, ἐπὶ κορυφὴν Φασενᾶ (42), ἥ ἐστι κατὰ πρόσωπον Ἰεριχώ· ὅθεν ἔδειξεν αὐτῷ Κύριος τὴν γῆν, ἣν ἔμελλον κληρονομῆσαι οἱ υἱοὶ Ἰσραὴλ, εἰπὼν αὐτῷ, *Ἰδὲ ταύτην τοῖς ὀφθαλμοῖς σου, εἰς αὐτὴν δ' οὐκ εἰσελεύσῃ.* Ἐπὶ δὲ τὸ ὄρος τοῦτο ἐλθὼν, ὑψηλὸν τυγχάνον, τὴν μὲν γερουσίαν ἀπέπεμψε· τὸν δ' Ἐλεάζαρ καὶ Ἰησοῦν ἐπήγετο· καὶ προσομιλῶν αὐτοῖς, νέφους ἀθρόον περιλαβόντος αὐτὸν, ἠφανίσθη. Γεγράφασι δ' αὐτὸν ἐν ταῖς ἱεραῖς Βίβλοις τεθνεῶτα, ἵνα μὴ διὰ περιβολὴν τῆς περὶ αὐτὸν ἀρετῆς τολμήσωσί τινες εἰπεῖν ὡς ἀποτεθέωται. Ἐβίωσε δὲ τὴν ὅλην ζωὴν ἐνιαυτοὺς ἑκατὸν εἴκοσι, ὧν ἦρξε τὸ τρίτον μέρος, ἐνὸς λειποντος μηνὸς, καὶ ἐπένθησαν αὐτὸν ἐφ' ἡμέρας τριάκοντα. Ταῦτα μέν φησιν ὁ Ἰώσηπος. Ἡ δὲ τοῦ Δευτερονομίου βίβλος πρὸς τὸ τέλει οὕτω περιέχει πρὸς ῥῆμα· *Καὶ ἐτελεύτησε Μωϋσῆς, οἰκέτης Κυρίου, καὶ οὐκ οἶδεν οὐδεὶς τὴν τελευτὴν αὐτοῦ, ἕως*

Variæ lectiones et notæ.

(41) Ἐκνικηθῆναι τῷ πάθει. Ἐκνικηθῆναι. Wolfianus cod. νικηθῆναι, Colbert.

(42) Φασενᾶ. Φατγᾶ. Ita Wolfian. et Colbert. codd.

τῆς ἡμέρας ταύτης. Ἤδη δὲ τοῦ πένθους λελωφηκότος, πέμπει κατασκόπους εἰς Ἰεριχοῦντα ὁ Ἰησοῦς. Μεταπαλεσάμενος δὲ τοὺς φυλάρχους τῆς τοῦ Ῥουβὶμ φυλῆς, καὶ τῆς Γὰδ, καὶ τῆς Μανασσῆ, ὑπεμίμνησκεν αὐτοὺς τῶν πρὸς Μωϋσῆν συνθηκῶν. Τῶν δὲ ἑπομένων πεντάκις μυρίοις ὁπλίταις, ἐπὶ τὸν Ἰορδάνην προσῆει. Οἱ δὲ πεμφθέντες κατάσκοποι, εἰς Ἰεριχὼ παραγενόμενοι, τὴν πόλιν ἅπασαν κατενόησαν. Γνωσθέντες δὲ, τῷ βασιλεῖ τῆς χώρας μηνύονται. Ὁ δ' εὐθὺς αὐτοὺς συλληφθῆναι ἐκέλευσεν. Ὡς δὲ ἔγνω τὴν ἔφοδον τῶν ζητούντων τοὺς ἄνδρας ἡ γυνὴ, παρ' ᾗ προσπεφεύγασι, Ῥαὰβ καλουμένη, τοὺς μὲν κατέκρυψε, λίνου αὐτοῖς ἀγκαλίδας ἐπιθεμένη. Τοῖς δὲ ζητοῦσιν ἔλεγεν, ὡς οἱ ἀγνῶτες ἄνδρες ἐκεῖνοι, πρὶν δῦναι τὸν ἥλιον, παρ' αὐτῇ δειπνήσαντες, ἀπηλλάγησαν. Οἱ δ' οὕτως αὐτοὺς ὑπελθούσης τῆς γυναικὸς, ὥρμησαν ἄλλος ἀλλαχοῦ, τοὺς ἄνδρας διώκοντες. Ἡ δὲ Ῥαὰβ χωρεῖν ἐκέλευσεν ἐπὶ τὰ οἰκεῖα τοὺς ἄνδρας, καὶ μεμνῆσθαι αὐτῆς, καὶ ἀμοιβὴν ἐκτίσαι, τῆς Χαναναίων χώρας ἐπικρατήσαντας. Οἱ δὲ καὶ χάριν ἔχειν ὡμολόγουν, καὶ ἡνίκα ἂν ἡ πόλις ἁλίσκηται, τὴν κτῆσίν τε καὶ τοὺς οἰκείους εἰς τὸ καταγώγιον ἐγκαθεῖρξαι, αὐτῇ ἐνετέλλοντο, ἀπαιωρῆσαι δὲ καὶ φοινικίδα πρὸ τῶν θυρῶν, ἵν' εἴη γνώριμος ἡ οἰκία, καὶ διαφυλαχθῇ. Καὶ οἱ μὲν πρὸς τοὺς οἰκείους ἐσώθησαν, καὶ ἃ ἔπραξαν ἐδήλουν. Τοῦ Ἰορδάνου δὲ πολλοῦ ῥέοντος, οὕτω τοὺς Ἑβραίους ὁ Ἰησοῦς ἐπ' αὐτοῦ διεβίβασε. Προῆεσαν μὲν οἱ ἱερεῖς, τὴν Κιβωτὸν αἴροντες, εἶτα οἱ Λευῖται, κομίζοντες τὴν σκηνήν. Εἵποντο δὲ τούτοις ὁ λαός. Ὡς δὲ τοῖς ἱερεῦσι πρώτοις ἐμβᾶσιν, ἀνεκόπη τὸ ῥεῦμα τοῦ ποταμοῦ, πάντες θαῤῥούντως ἐπεραιοῦντο. Ἔστησαν δ' ἐν μέσῳ οἱ ἱερεῖς, ἕως οὗ διαβαίη τὸ πλῆθος, εἶτα κἀκεῖνοι ἐξῆεσαν, ἐλεύθερον ἀφέντες τὸ ῥεῦμα χωρεῖν, καὶ πρὸ δέκα σταδίων τῆς Ἰεριχοῦντος στρατοπεδεύονται.

Κ'. Βωμὸν δ' ἐκ τῶν λίθων ὁ Ἰησοῦς ἱδρυσάμενος, οὓς ἕκαστος τῶν φυλάρχων κατ' ἐντολὴν αὐτοῦ ἐκ τοῦ βυθοῦ τοῦ Ἰορδάνου ἀνείλετο, ἔθυεν ἐπ' αὐτοῦ, καὶ τὴν ἑορτὴν τοῦ Πάσχα ἑώρταζε. Τότε δ' αὐτοὺς καὶ τὸ Μάννα ἐπιλελοίπει, χρησαμένους αὐτῷ ἐπὶ τεσσαράκοντα ἔτη. Ἤδη γὰρ εὐπόρουν ἐκ τῆς χώρας πάντων, ὧνπερ ἐδέοντο. Τῇ δὲ πρώτῃ τῆς ἑορτῆς ἡμέρᾳ τῇ πολιορκίᾳ τῆς Ἰεριχοῦντος ὁ Ἰησοῦς ἐπεχείρησεν, οὕτω ταύτην διατιθέμενος. Τὴν Κιβωτὸν οἱ ἱερεῖς φέροντες, περιῴδευον τὸ τεῖχος, ἑπτὰ σαλπίζοντες κέρασι. Καὶ ἡ γερουσία παρείπετο, εἶθ' ὑπενόστουν εἰς τὸ στρατόπεδον. Καὶ τοῦτο ἐπὶ ἓξ ἐποίουν ἡμέρας. Τῇ δὲ ἑβδόμῃ τὰ αὐτὰ ποιησάντων, καὶ περιελθόντων ἑπτάκις, τὸ τεῖχος κατέπεσε, καὶ ὁ λαὸς εἰσελθὼν, πάντας ἔκτειναν, καὶ τὴν πόλιν ἐνέπρησαν. Τὴν δὲ Ῥαὰβ μόνην σὺν τοῖς οἰκείοις ἔσωσαν οἱ κατάσκοποι, φοινικίδα πρὸ τῆς οἰκίας ἀπαιωρήσασαν. Καὶ Ἰησοῦς ἀγροὺς αὐτῇ ἐδωρήσατο, καὶ ἦγε διὰ τιμῆς. Κατὰ δὲ τῶν ἐγείρειν αὖθις βουλῃθησομένων τὴν πόλιν ἀρὰς ἔθετο, στερηθῆναι μὲν τοῦ πρώτου παιδὸς, τὸν θεμελίους βαλλόμενον, τὸν τελειώσαντα δὲ ζημιωθῆναι τὸν νεώτατον. Πολὺ δὲ πλῆθος ἐκ τῆς πόλεως ἀθροίζεται ἀργύρου τε καὶ χρυσοῦ, καὶ ἅπαν ἀνετέθη τῷ Θεῷ, ὡς τῶν κατωρθωμένων ἐσόμενον ἀπαρχήν. Ἀπείρητο γὰρ πᾶσιν ἐκ τούτου τι σφετερίσασθαι. Ἄχωρ δέ τις ἐκ τῆς Ἰούδα φυλῆς, ὑφάσματι χρυσοῦφεῖ περιτυχὼν, καὶ μάζῃ χρυσοῦ ἑλκούσῃ σίκλους διακοσίους, ἰδιώσατο ταῦτα, κατορύξας ἐν τῇ σκηνῇ. Μετὰ ταῦτα πολέμου συστάντος τρέπονται οἱ Ἑβραῖοι, καὶ πίπτουσιν

A occultat sub lini fasciculis, et inquisitoribus dicit viros illos ignotos, ante solis occasum, apud se cœnatos discessisse. Illi sic a muliere elusi, alius alio dilabuntur, persecuturi eos. Tum Raab domum se recipere jubet viros, beneficii sui memores, ac terra Chananæa potitos, referre gratiam. Illi et gratias agunt, eamque ubi urbs capta esset, ut res suas et necessarios in diversorio concluderet, suspenso pro foribus purpuræ panno, monent, quo nosceretur domus, et conservaretur. Itaque ad suos incolumes reversi, quid gessissent, renuntiant. Cum autem Jordanis intumuisset, sic Jesus Hebræos per eum traduxit. Præcedebant sacerdotes, arcam ferentes. Deinde Levitæ, tabernaculum gestantes. Hos populus sequebatur. Ut autem sacerdotibus primis ingressis, impetus fluminis statim B interrumpitur, omnes audacter trajecere, stantibus in medio sacerdotibus, donec populus transisset : ac tum demum ipsi etiam sunt egressi, cursu fluminis in integrum restituto. Jordane superato, castra decem stadiis ab Hierichunte locant.

XX. Jesus in ara ex lapidibus, quos ipsius jussu C quilibet tribunus ex alveo Jordanis sustulerat, immolat, et festum Paschatis celebrat. Eodemque tempore manna eos defecit, quo per annos quadraginta fuerant usi. Jam enim ex agris omnia **46** quibus opus erat, suppetebant. Obsidionem Hierichuntis Jesus primo die festivitatis est auspicatus, re sic instructa. Sacerdotes arcam gestantes mœnia circumibant, septem cornua inflantes, senatus pone sequebatur, post in castra redibant. Idque sex diebus cum fecissent, ac die septimo repetiissent, et septies circumissent, murus concidit, populus ingressus, omnes occidit, et urbem incendit. Solam Raabem cum suis, signo illo pro foribus conspecto, exploratores conservarunt : Jesus etiam agro donavit, et honorifice tractavit. Si qui vero urbem in- D stauraturi essent, eos diris hujusmodi est detestatus, ut qui fundamenta jaceret, primogenitum amitteret : qui perficeret, natu minimum filium. Magna auri et argenti copia ex manubiis urbis coacta, Deo universa consecratur, primitiæ rei bene gestæ : ac omnibus interdicitur, ne quid inde sibi usurpent. Sed Achor quidam Judaicæ tribus, textum quoddam ex auro, et auri massam, quæ siclos ducentos pendebat, nactus, retinet, ac in tabernaculo suo defodit. Post orto bello, in fugam vertuntur Hebræi, triginta sex ex eis interfectis. Eam cladem populus ægerrime tulit. Jesus in faciem prolapsus deprecatur Deum : et oraculo edoctus, sacrilegium esse factum, judicium sorti committit.

quæ cum in Achorem incidisset, fatetur ille facinus, A res subreptas profert, ipse cum suis lapidatur : Jesus Naim obsidione capit. Cæterum Gabaonitæ, eorumque finitimi, cum ad Chananæos pertinerent, veriti ne itidem ut Hierichuntii et Naitæ tractarentur, legatos ad Jesum mittunt, se longissime inde habitare dicentes, neque genere cum Chananæis conjunctos, fœdus inire cum Israelitis, et jungere amicitiam cupere. Jesus. postulatis eorum annuit. Post, ubi eos Chananeæ gentis esse intellexit : cum eis ob dolum expostulat. Illi necessitatem excusant, atque excidii metum. Tum Jesus, ne datam fidem violaret, publicos servos eos facit. Sic Josephus. Sed liber Jesu ait, eos lixas et calones totius Synagogæ et divini altaris esse factos. Gabaonitas a rege Hierosolymorum ob fœdus cum B Israelitis initum, bello petitos, Jesus defendit, hostes in fugam vertit, fugientes **47** persequitur. Quo prælio et grando solito major, et fulmina cœlitus in hostes irruerunt : et dies facta longior, cursum solis ad Jesu preces sistente Deo, ne superventu noctis hostes elaberentur. Reges etiam in quodam specu delitescentes, deprehensi, occiduntur omnes. His rebus gestis, Jesus in Chananææ montana regreditur, ibique magna cæde edita, et opima præda parta, in Galgalia castra sese recipit : quibus ex eo nomen erat factum, quod Israelitæ se et servitute Ægyptiaca et ærumnis deserti liberatos esse cognoscerent. Nam Galgala Hebræis *liberationem* significat. Cum autem Chananæi Libanum C montem accolentes, et qui in campestribus habitabant, Palæstinis in auxilium ascitis, bellum eis inferrent, atque in exercitu haberent armatorum trecenta millia, equitum decem millia, et millia curruum triginta, Deo victoriam Israelitis pollicito, prælium atrox committitur : quo hostes universi, paucis exceptis, perierunt, regibus etiam cæsis.

αὐτῶν ἄνδρες ἓξ καὶ τριάκοντα. Τοῦτο σφόδρα τὸ πλῆθος ἐλύπησε. Καὶ Ἰησοῦς ἐπὶ στόμα πεσὼν ἐδέετο τοῦ Θεοῦ. Χρηματισθεὶς δὲ κλοπὴν γενέσθαι τῶν κεκλεισμένων χρημάτων, κλήρῳ τὴν κρίσιν ἐπέτρεψεν. Ἐπὶ δὲ τὸν Ἄχωρ τοῦ κλήρου πεσόντος, ὁμολογεῖ τὴν κλοπὴν ἐκεῖνος, καὶ παράγει τὰ φώρια. Καὶ ὁ μὲν λίθοις ἀναιρεῖται, σὺν τοῖς αὐτοῦ· Ἰησοῦς δὲ πολιορκεῖ τὴν Ναΐν, καὶ ταύτην αἱρεῖ. Γαβαωνῖται δὲ καὶ οἱ ἐκείνοις περίοικοι, Χαναναίοις προσήκοντες, φοβηθέντες ὡς τοῖς Ἱεριχουντίοις καὶ τοῖς περὶ Ναΐν τὰ ὅμοια πείσονται, πρεσβείαν ἀποστέλλουσι πρὸς τὸν Ἰησοῦν, πορρώτατω λέγοντες κατοικεῖν, μηδὲ γένους κοινωνεῖν Χαναναίοις, καὶ σπονδὰς πρὸς αὐτοὺς θέσθαι ζητοῦντες τοὺς Ἰσραηλίτας, καὶ συνθήκας φιλίας. Ἰησοῦς οὖν φιλίαν πρὸς αὐτοὺς ἐποιήσατο. Γνοὺς δ' ἔπειτα τούτους τοῦ γένους ὄντας τῶν Χαναναίων, τῆς ἀπάτης αὐτοῖς ἐνεκάλει. Οἱ δὲ ἐξ ἀνάγκης ἔφασαν τοῦτο πρᾶξαι, δεδιότες τὸν βλεθρον. Καὶ Ἰησοῦς, ἵνα μὴ παραβαίη τὸν ὅρκον, δημοσίους αὐτοὺς ἀποδείκνυσιν. Οὕτως Ἰώσηπος. Ἡ δὲ βίβλος τοῦ Ἰησοῦ περιέχει, ὅτι κατέστησεν αὐτοὺς ξυλοκόπους καὶ ὑδροφόρους πάσῃ τῇ συναγωγῇ, καὶ τῷ θυσιαστηρίῳ τοῦ Θεοῦ. Ἐπιθεμένου δὲ τοῖς Γαβαωνίταις τοῦ βασιλέως τῶν Ἱεροσολύμων, διὰ τὰς πρὸς Ἑβραίους σπονδάς, ὁ Ἰησοῦς αὐτοῖς συμμαχεῖ, καὶ τρέπεται τοὺς ἐναντίους, καὶ τραπέντας ἐδίωκεν. Ὅτε καὶ οὐρανόθεν χάλαζά τε τῆς συνήθους μείζων, καὶ κεραυνοὶ τοῖς πολεμίοις ἐπέπεσον· καὶ ἡ ἡμέρα ηὔξητο, τὸν δρόμον τοῦ ἡλίου στήσαντος τοῦ Θεοῦ, ἐντεύξει τοῦ Ἰησοῦ, ἵνα μὴ, νυκτὸς ἐπελθούσης, διαφύγωσιν οἱ πολέμιοι. Καταλαμβάνονται δὲ καὶ οἱ βασιλεῖς ἔν τινι σπηλαίῳ κρυπτόμενοι, καὶ κτείνονται πάντες. Ἰησοῦς δὲ ἐπανῆει πάλιν τῆς Χαναναίας ἐπὶ τὴν ὀρεινὴν, καὶ πολὺν φόνον τῶν ἐν αὐτῇ ἐργασάμενος, καὶ λείαν λαβών, εἰς τὸ ἐν Γαλγάλοις ἦλθε στρατόπεδον. Ἐκλήθη δ' ὁ τόπος τοῦ στρατοπέδου Γάλγαλα, ὡς ἤδη ἑαυτοὺς ἐλευθέρους τῶν Αἰγυπτίων καὶ τῆς κατὰ τὴν ἔρημον ταλαιπωρίας γνόντων τῶν Ἰσραηλιτῶν. Γάλγαλα γὰρ τὴν ἐλευθερίαν Ἑβραῖοι καλοῦσι. Στρατεύουσι δ' ἐπ' αὐτοὺς οἱ περὶ Λίβανον Χαναναῖοι, καὶ οἱ ἐν τοῖς πεδίνοις Παλαιστηνοῖς συμμαχούμενοι. Ἦν δ' ὁ στρατὸς ἐκείνων ὁπλιτῶν μυριάδες τριάκοντα, μύριοι δ' ἱππεῖς, καὶ τρισμύρια ἅρματα. Νίκην δὲ τοῦ Θεοῦ ἐπαγγειλαμένου, παρτερὰ μάχη γίνεται, ὡς πᾶν τὸ στράτευμα τῶν ἐχθρῶν, πλὴν ὀλίγων, διαφθαρῆναι, καὶ τοὺς βασιλεῖς δὲ πεσεῖν.

XXI. Annus tum quintus exierat, neque Chananæorum quisquam erat reliquus, cum Jesus tabernaculum in oppido Selomo collocat, donec templum D ædificandi daretur occasio; ac populi universi concilio indicto, captas urbes enumerat, cæsosque hostium exercitus, et ut triginta eorum reges interfecti essent. Urbes autem quæ superessent munitissimas, diuturnam postulare obsidionem asserebat, et Transjordaninorum auxilia jam domum remittenda censebat. Duabus igitur tribubus et semissi, quarum viri erant quinquagies mille, ad sua redeundi potestatem facit. Illi, Jordane superato, aram in ripa constituunt. Qua de causa tumultu inter Israelitas excitato, decem honoratos viros una cum Phinee legatos mittunt, de ara exstructa expostulantes. Illi non rerum novandarum studio se aram fecisse respondent, sed ut monimento

ΚΑ'. Ἔτος δὲ πέμπτον ἤδη παρεληλύθει, καὶ Χαναναίων οὐκέτι οὐδεὶς ὑπολέλειπτο. Ἰησοῦς δὲ ἱστᾷ τὴν σκηνὴν κατὰ πόλιν Σηλὼμ, ἕως οἰκοδομῆσαι αὐτοῖς ναὸν γένηται. Συναγαγὼν δὲ τὸν λαὸν εἰς Σηλὼμ, τὰς ἁλωκυίας τῶν πόλεων ἀπηρίθμει, καὶ ὅσαι τῶν ἐναντίων διεφθάρησαν στρατιαὶ, καὶ ὡς τριάκοντα βασιλεῖς αὐτῶν ἀπεκτάνθησαν. Τὰς δὲ περιλειφθείσας ἔτι πόλεις πολυχρονίου δεῖσθαι πολιορκίας δι' ὀχυρότητα ἔλεγε, καὶ ἠξίου τοὺς ἐκ τῆς πραίας τοῦ Ἰορδάνου συνεξορμήσαντας αὐτοῖς, ἀπολύειν ἤδη πρὸς τὰ οἰκεῖα. Καὶ προσκαλεσάμενος τοὺς ἐκ τῶν δύο φυλῶν, καὶ τῆς ἡμισείας, πεντακισμυρίους ὄντας, πρὸς τὰς κληρουχίας αὐτῶν ἐπέτρεπεν ἀπελθεῖν. Οἱ δὲ διαβάντες τὸν Ἰορδάνην, βωμὸν ἐπὶ τῇ ὄχθῃ ἱδρύονται. Ὃ θόρυβον τῷ πλήθει τῶν Ἰσραηλιτῶν ἐνεποίησε. Πέμπουσιν οὖν ἐπ' αὐτοὺς δέκα τῶν ἐντίμων, καὶ Φινεὲς, αἰτιώμενοι περὶ τοῦ

βωμοῦ. Οἱ δὲ μὴ κατὰ νιωτερισμὸν ἀναστῆσαι τὸν βωμὸν ἔλεγον, εἰς δὲ τεκμήριον τοῖς ἐξῆς τῆς πρὸς ὑμᾶς οἰκειότητος. Ἕνα γὰρ Θεὸν γινώσκειν, τὸν σύμπασι τοῖς Ἑβραίοις κοινόν. Ταῦτα εἰπόντων, Φινεὲς καὶ οἱ σὺν αὐτῷ πρὸς τὸν Ἰησοῦν ὑπενόστησαν. Ἰησοῦς δὲ κληροδοτήσας τῷ πλήθει τὰς χώρας ἐν Σικίμοις διῆγεν. Ὑπέργηρος δὲ γεγονὼς, καὶ θνήσκειν ἤδη μέλλων, παραίνεσιν ἐποιήσατο πρὸς τὸ πλῆθος, καὶ ἐτελεύτησε, βιοὺς ἔτη ἑκατὸν δέκα, ὧν σὺν Μωϋσεῖ διέτριψε τεσσαράκοντα, μετὰ δὲ τὴν ἐκείνου τελευτὴν στρατηγῶν πέντε καὶ εἴκοσι. Θνήσκει δὲ καὶ ὁ ἀρχιερεὺς Ἐλεάζαρ, Φινεὲς τῷ υἱῷ τὴν ἀρχιερωσύνην λιπών. Μετὰ δὲ ταῦτα, Χαναναῖοι ἐλπίσαντες περιγενέσθαι τοῦ τῶν Ἑβραίων γένους, θανόντος Ἰησοῦ, κατ' αὐτῶν ἐπεστράτευσαν, τῷ βασιλεῖ Ἀδωνιβεζὲκ τὴν ἡγεμονίαν πιστεύσαντες. Δηλοῖ δὲ τὸ ὄνομα *Κύριος* Βεζέκ. *Ἀδωνὶ* γὰρ Ἑβραϊστὶ κύριος λέγεται. Συμμίξασαι δὲ τοῖς Χαναναίοις αἱ δύο φυλαὶ, ἡ τοῦ Ἰούδα καὶ ἡ τοῦ Συμεών, τρέπονται αὐτοὺς, καὶ τὸν Ἀδωνιβεζὲκ αἱροῦσι, καὶ ἀκρωτηριάζουσιν. Εἷλον δὲ καὶ πόλεις πολλὰς, καὶ τῶν Ἱεροσολύμων τὴν κάτω πόλιν, καὶ τοὺς ἐνοικοῦντας ἀπέκτειναν. Τῆς δ' ἄνω δυσχερὴς ἦν ἡ πολιορκία, φύσει τε τοῦ χωρίου, καὶ τειχῶν ὀχυρότητι. Ἑλόντες δὲ καὶ τὴν Χεβρὼν, ἅπαντας διεχρήσαντο, καὶ ἔδωκαν αὐτὴν τῷ Χάλεβ εἰς κλῆρον, καθὼς Μωϋσῆς ἐνετείλατο. Καὶ τοῖς τοῦ Ἰοθὸρ ἀπογόνοις, ἀγχιστεῦσιν οὖσι Μωϋσέως, γῆν προσεκλήρωσαν, ὅτι τὴν πατρίδα καταλιπόντες, συνείποντο ἐν τῇ ἐρήμῳ τῷ τῶν Ἑβραίων λαῷ. Αἱ δὲ ἐξ Ἰούδα καὶ Συμεὼν φυλαὶ μεγάλως εὐδαιμονήσασαι, τὰ ὅπλα κατέθεντο. Τὰ Βαίθηλα δέ γε πολιορκοῦσα ἡ φυλὴ τοῦ Ἐφραΐμ, οὐδὲν ἤνυε. Συλλαβόντες δέ τινα τῶν τῆς πόλεως, πίστεις παρέσχον αὐτῷ, παραδόντα τὴν πατρίδα σώσειν, καὶ αὐτὸν καὶ τοὺς συγγενεῖς. Καὶ ὁ μὲν οὕτως προδοὺς, σώζεται μετὰ τῶν οἰκείων. Οἱ δὲ, κτείναντες τοὺς οἰκοῦντας, εἶχον τὴν πόλιν. Βενιαμῖται δὲ τῆς Ἱεροσολύμων πόλεως λαχούσης αὐτοῖς, φόρους τοῖς κατοίκοις ἐπέθεντο, ζῆν συγχωρήσαντες παρὰ τὴν θείαν διαταγήν. Ὁμοίως τε ἐποίουν καὶ αἱ ἄλλαι φυλαί.

ΚΒ'. Ἤδη δ' εὐθηνουμένους τοὺς ἐξ Ἰσραὴλ διέφθειρεν ἡ τρυφὴ, καὶ τοὺς θείους νόμους παρέβαινον, καὶ πρὸς τὸ πονεῖν διέκειντο ἀηδῶς, καὶ ἡ ἀριστοκρατία ἐξέλιπε (43), καὶ ἡ γερουσία οὐκ ἀπεδείκνυτο. Ὅθεν στάσις αὐτοὺς καταλαμβάνει δεινὴ, ἐξ αἰτίας τοιαύτης. Ἀνὴρ Λευίτης τὴν σύζυγον ἐπαγόμενος, ἐκ Βηθλεὲμ οὖσαν, οἴκαδε ἀπῄει. Ἤδη δ' ὀψίας οὔσης ἐπιξενοῦται παρὰ πρεσβύτῃ τινὶ ἐν Γαβαὼ πόλει, φυλῆς τῆς Βενιαμίτιδος. Νεανίαι δὲ Γαβαωνῖται τινες, τὸ γύναιον θεασάμενοι, ἦκον ἀπαιτοῦντες αὐτό. Τοῦ δὲ πρεσβύτου μὴ διδόντος, ἀποκτείνειν ἠπείλουν. Ὁ δὲ τῆς ἑαυτοῦ θυγατρὸς αὐτοῖς παρεχώρει, ἵνα μή τι βίαιον ὑποσταῖεν οἱ ἐπιξενωθέντες αὐτῷ. Ἁρπάσαντες δ' ἐκεῖνοι τὸ γύναιον ἀπηλλάγησαν, καὶ δι' ὅλης τῆς νυκτὸς ἐμφορηθέντες αὐτῆς, ἀφῆκαν ἀρχομένης ἡμέρας. Ἡ δὲ τῇ τε νυ-

A esset posteris necessitudinis ejus, quæ sibi cum illis intercederet. Unum enim sese Deum agnoscere, omnibus Hebræis communem. Iis auditis, Phinees cum suis ad Jesum revertitur. Is provincia sorte inter populum distributa, Sichimis degebat : ac senio confectus, et jamjam moriturus, populo **48** officii admonito, obit, cum annos vixisset centum et decem, quorum cum Mose versatus fuerat quadraginta, et post ejus obitum exercitum duxerat quinque et viginti. Moritur et Eleazarus pontifex, filio Phinei sacerdotio relicto. Post obitum Jesu Chananæi, gentis Hebrææ superandæ spe concepta, bellum faciunt, Adonibezeco imperatore creato, quod nomen Hebræis Bezeci dominum sonat. Cum his duæ tribus, Judaica et Symeonia, congressæ, B in fugam vertunt hostes, Adonibezecum captum mutilant. Multa item oppida cepere, et inferiorem Hierosolymorum urbem, habitatoribus occisis. Verum superioris difficilis erat obsidio, tam situ quam mœnibus permunitæ. Chebronem etiam captam, civibus interfectis, Calebo in sortem dederunt, ut mandarat Moses. Jothoris quoque posteris, Mosis affinibus, agros assignarunt, quod is patria relicta, populum Hebræorum in deserto secutus esset. At Judaica et Symeonia tribus, magnam adeptæ felicitatem, arma posuerunt; Ephraimitæ vero, Bethelis obsidione frustra tentata, cum civem ejus urbis cepissent, incolumitatem illi et cognatis ejus promittunt, si urbem proderet. Is, C urbe prodita, conservatur : illi, civibus occisis, urbem occupant. Benjamitæ, quibus Hierosolymorum urbs obvenerat, tributo imposito, incolis divinum mandatum pepercerunt. Idem etiam aliæ tribus sunt imitatæ.

XXII. Israelitas rebus secundis jam florentes, luxuria corrupit, ut et divinas leges violarent, et ad laborem segnes essent. Deserat etiam optimatum magistratus, neque amplius senatus legebatur. Itaque atrox seditio inter eos oritur, tali de D causa. Levita quidam conjugem Bethlecemiticam domum abducturus, apud senem quemdam Gabaone, Benjamiticæ tribus oppido, vesperi divertitur. Ibi quidam adolescentes Gabaonitæ, cum mulierculam vidissent, adsunt, eam flagitantes. Seni recusanti, necem minitantur. Ille filiam suam eis potius offert, modo hospites a vi et injuria tueatur. Verum illi non nisi rapta muliercula discedunt, eamque per totam noctem pro libidine sua subagitatam, diluculo dimittunt. At illa et nocturna ærumna, et pudore **49** mariti, et dolore oppressa, exhalat animam. Tum maritus, mortua in duodecim partes secta,

Variæ lectiones et notæ.

(43) *Καὶ ὁ τριετοκράτης ἐξέλιπε.* Magistratus ad triennium præesse solitus. Καὶ ἡ ἀριστοκρατία ἐξέλιπε., rectius in Viennensi codice et in Reg. et Colb. legitur.

ad singulas tribus unam portionem mittit, [et A
calamitate et auctoribus illius expositis. Israelitæ igitur fœciales Gabaonem mittunt, qui ei facinori affines ad supplicium exposcant. Illis non dedentibus, bellum inferunt: ac bis acie congressi, a Benjamitis in fugam vertuntur. Tandem per Phinecm sacerdotem deprecantur Deum, et sic aggressi Benjamitas ita cædunt, ut tantum DC ex eis superessent, qui in vicinos montes diffugerunt. Israelitæ Gabaonem incendunt mulieres et pueros omnes perimunt, idem in cæteris etiam urbibus factum. Quin et Jabis Galaditicæ urbis incolas cum uxoribus et liberis occidunt, ob recusatam belli illius societatem, quadringentis virginibus exceptis, quas Benjamitarum reliquiis præbuerunt, ut conjuges haberent, miserti calamitatis eorum: suscepta B
etiam cogitatione, quemadmodum reliqui ducenti conjugibus potirentur. Pridem enim jurejurando interposito, facinoris illius odio sanxerant, ne quis filiam Benjamitæ uxorem desponderet. Ea de re deliberantibus visum, non quidem dandas illis ob jusjurandum, sed concedendum ut ipsi raperent virgines, quas sibi thalamo sociarent, ipsis neque prohibentibus, neque incitantibus. Hoc decreto facto, Benjamitæ rem exsecuti sunt. Cum autem Israelitæ longo jam tempore bellicæ rei studium intermisissent, contempserunt eos Chananæi, quibusdam urbibus ademptis. Dan tribus in montem confugit, atque inde in mediterranea sedes transtulit. Israelitis cum et Chananæorum instituta C
usurparent, et suam reipublicæ formam aspernarentur, Numen infensum exstitit. Itaque Chugargathaimus Assyriorum rex bellum eis infert, et gravia tributa imperat, quibus octo annos premuntur: donec vir quidam strenuus Judaicæ tribus, nomine Gothoniel, paucis sociis ex oraculo comparatis, Assyriorum apud se præsidium cædit: ac pluribus deinde confluentibus, Assyrios prælio victos amovet. Re bene gesta, imperium et judicandi potestas a populo ei decernitur. Qui cum magistratu ad annos quinquaginta functus, vitam cum morte **50** commutasset: Israelitæ sine magistratu, sine metu Numinis viventes, ab Eglone Moabitarum rege subacti, annua tributa pensitarunt. Is Hierichunte ædificata regia, dum per annos decem D
et octo variis illos malis exagitat, adolescens quidam Benjamiticæ tribus, nomine Aothus, quem Judam vocatum Josephus asserit, homo confidens et robustus, se in Eglonis familiaritatem insinuat, aulam ejus frequentans, et blanditiis hominem sibi devinciens. Hic aliquando cum duobus famulis, Egloni munera ferens, clam sicas gestat: cumque jam meridies esset, satellitibus ad sua digressis, nactus eum solum, pro familiaritate ingreditur, sedentumque, ut arcani dicturus aliquid ictu opportuno illato tyrannum perimit. Digressus Hieri-

κτερινῇ ταλαιπωρίᾳ, καὶ τῇ πρὸς τὸν ἄνδρα αἰσχύνῃ, καὶ τῇ λύπῃ καταβληθεῖσα, διαπεφώνηκε. Καὶ ὁ ταύτης ἀνὴρ εἰς μέρη δώδεκα διελὼν τὴν θανοῦσαν, διέπεμψε μέρος εἰς ἑκάστην φυλήν, τό τε πάθος διδάξας αὐτοὺς, καὶ τοὺς αἰτίους τῆς συμφορᾶς. Πέμπουσιν οὖν πρὸς τὴν Γαβαὼ, τοὺς παρανομήσαντας ἐξαιτούμενοι. Οἱ δὲ οὐκ ἐξέδοσαν. Αἱ φυλαὶ δ' ἐπεστράτευον ἐπ' αὐτούς. Καὶ δὶς συμβαλόντες τοῖς Βενιαμίταις, ἡττῶνται οἱ Ἰσραηλῖται. Εἶτα διὰ Φινεὲς τοῦ ἀρχιερέως δέονται τοῦ Θεοῦ, καὶ οὕτω συμβαλόντες τοῖς Βενιαμίταις ἐκράτησαν, ὡς πάντας πλὴν ἑξακοσίων πεσεῖν, οἳ πρὸς τὰ πλησίον ὄρη κατέφυγον. Οἱ δὲ Ἰσραηλῖται ἐνέπρησάν τε τὴν Γαβαὼ, καὶ τὰς γυναῖκας καὶ τοὺς παῖδας πάντας διεχειρίσαντο· καὶ ἐπὶ ταῖς ἄλλαις δὲ πόλεσιν αὐτῶν ὁρῶσι τὰ ὅμοια. Καὶ Ἰαβεὶς δὲ Γαλααδίτιδος πόλεως, ὅτι μὴ συνεμάχησεν αὐτοῖς, φονεύουσι τοὺς κατοίκους σὺν τέκνοις καὶ γυναιξὶ, πλὴν τετρακοσίων παρθένων, ἃς τοῖς περισωθεῖσι τῶν Βενιαμιτῶν παρέσχον, ἵνα συνεύνους σχοῖεν αὐτὰς, τῆς συμφορᾶς αὐτοὺς κατοικτείραντες. Ἐσκόπουν δ' ὅπως καὶ οἱ λοιποὶ διακόσιοι γυναικῶν εὐπορήσωσιν. Ὅρκους γὰρ ἔθεντο πρώην, διὰ τὸ τόλμημα, μηδένα δώσειν θυγατέρα πρὸς γάμον Βενιαμίτῃ. Καὶ σκοποῦσιν ἔδοξεν, αὐτοὺς μὲν μὴ διδόναι διὰ τὸν ὅρκον, τοῖς δὲ Βενιαμίταις ἐξεῖναι παρθένους ἁρπάζουσι συνοικίζειν ἑαυτοῖς, αὐτῶν μὴ κωλυόντων, μή τε προτρεπομένων. Καὶ τοῖς μὲν οὕτως ἔδοξε περὶ τούτων. Οἱ δὲ Βενιαμῖται εἰς ἔργον τὰ δόξαντα ἦγαγον. Ἤδη δὲ πρὸ μακροῦ τῶν Ἰσραηλιτῶν παυσαμένων τοῦ μάχεσθαι, κατεφρόνησαν οἱ Χαναναῖοι αὐτῶν, καὶ πόλεις ἀφείλοντο ἐξ αὐτῶν. Οἱ δὲ τῆς τοῦ Δὰν φυλῆς εἰς τὸ ὄρος κατέφυγον, κἀκεῖθεν εἰς τὴν μεσόγειον μετῳκήκασι. Τοὺς δὲ Ἰσραηλίτας μεταλαβόντας τῶν παρὰ τοῖς Χαναναίοις ἐθῶν, καὶ τῆς σφετέρας πολιτείας καταφρονήσαντας, δι' ὀργῆς τὸ θεῖον πεποίητο. Στρατεύει τοίνυν ἐπ' αὐτοὺς ὁ τῶν Ἀσσυρίων βασιλεὺς Χουγαργαθαῖμ (44), καὶ φόρους βαρεῖς ἐπιτάσσει αὐτοῖς, οἷς ἐπὶ ὀκτὼ ἐνιαυτοὺς ἐπιέζοντο. Εἶτα δραστήριός τις ἀνὴρ ἐκ τῆς Ἰούδα φυλῆς, Γοθονιὴλ κεκλημένος, βραχεῖς τινας προσεταιρισάμενος κατὰ θεῖον χρησμὸν, τὴν παρ' αὐτοῖς τῶν Ἀσσυρίων διαφθείρει φρουράν. Συνηγμένων δὲ μετὰ ταῦτα πλειόνων, μάχῃ τοὺς Ἀσσυρίους νικήσας, ἀπώσατο, καὶ ἄρχειν ἠρέθη διὰ τοῦτο τοῦ πλήθους, κρίνειν τε τὸν λαόν. Ὃς ἐπὶ πεντήκοντα ἔτη τὴν ἀρχὴν ἀνύσας, μετήλλαξε τὴν ζωήν. Ἄναρχοι δὲ ὄντες οἱ Ἰσραηλῖται, καὶ τοῦ θείου καταφρονοῦντες, παρὰ τοῦ τῶν Μωαβιτῶν βασιλέως Αἰγλὼμ αὐτοὺς ὑποτάξαντος, ἐτησίας εἰσφορὰς ἐπετάχθησαν. Ὃς ἐν Ἰεριχοῦντι βασίλεια δομησάμενος, ἐπὶ ἐνιαυτοὺς ὀκτωκαίδεκα πολυειδῶς ἐκάκου αὐτούς. Νεανίας δέ τις Βενιαμίτης Ἀὼθ τοὔνομα (Ἰώσηπος δὲ Ἰούδαν τοῦτον καλεῖσθαι λέγει), τολμητίας καὶ ῥωμαλέος, συνήθης γίνεται τῷ Αἰγλὼμ, καὶ συνεχῶς παρ' αὐτὸν ἐφοίτα θω-

Variæ lectiones et notæ.

(44) *Χουγαργαθαῖμ* Cod. alter e Wolfianis, Χουσπαρσθαῖμ. Colbert. Χουσπασαθαῖμ.

πεύων τὸν ἄνδρα, καὶ ὑπερχόμενος. Οὗτος σὺν δυσὶν οἰκέταις ποτὲ δῶρα κομίζων τῷ Αἰγλὼμ, ξιφίδιον ἔφερεν ἀφανῶς. Καὶ τῆς ἡμέρας ἤδη μεσούσης, καὶ τῶν φυλάκων πρὸς ἑαυτοὺς ἀπεληλυθότων, μεμονωμένον εὑρὼν αὐτὸν, εἴσεισιν ὡς συνήθης, καὶ μόνον ἀπολαβὼν αὐτὸν, ὡς δή τι μυστικώτερον προσομιλήσων αὐτῷ, πλήττει καιρίως τῷ ξιφιδίῳ, καὶ ἀναιρεῖ. Ἀπελθὼν δὲ πρὸς τοὺς Ἱεριχουντίους, πείθει τῆς ἐλευθερίας ἀντιποιεῖσθαι. Καὶ οἱ μὲν ὡπλίζοντο, οἱ δὲ περὶ τὸν Αἰγλὼμ, νεκρὸν αὐτὸν εὑρόντες εἰς φυγὴν τρέπονται, καὶ διωκόμενοι διαφθείρονται. Καὶ οὕτως Ἑβραῖοι τῆς τῶν Μωαβιτῶν δουλείας ἐλευθεροῦνται. Τῷ δὲ Ἀὼθ, ἡ τοῦ πλήθους ἀρχὴ ἐγχειρίστο, ὃς ἐπ' ἔτεσιν ὀγδοήκοντα τοῦ λαοῦ ἡγησάμενος, τὸν βίον κατέλυσε. Μετὰ δὲ τοῦτον Μεγὰρ υἱὸς Δινὰχ ἄρξας, ἐν τῷ πρώτῳ τῆς ἀρχῆς ἐνιαυτῷ τετελεύτηκε, πατάξας τῶν ἀλλοφύλων πολλούς.

A chuntiis auctor fit vindicandæ libertatis. Hi arma capiunt. Eglonii satellites, rege invento mortuo, in fugam versi, a persequentibus civibus occiduntur. Sic Israelitæ ex Moabitica servitute liberantur. Aoth suffragio populi princeps creatus, eum annos octoginta præfulisset, moritur. Post hunc Megar Dinachi filius, multis Barbarorum cæsis, anno primo imperii decedit.

ΚΓ'. Τοῦ δὲ λαοῦ τῶν Ἑβραίων τοὺς θείους παραβαίνοντος νόμους, ὠργίζετο ὁ Θεὸς· καὶ Σισάρας, ὁ τοῦ Ἰαβεὶμ βασιλέως τῶν Χαναναίων ἀρχιστράτηγος, ἐπελθὼν αὐτοῖς, ἐκάκωσέ τε σφόδρα, καὶ φόροις ὑπέβαλε, καὶ εἶχον οὕτως ἐπὶ ἐνιαυτοὺς εἴκοσι. Δευώρα δέ τις προφῆτις (δηλοῖ δὲ τὸ ὄνομα *μέλισσαν*) ὑπὲρ τοῦ λαοῦ ἱκέτευσεν τὸν Θεόν. Καὶ ὁ Θεὸς ἐπένευσε, καὶ στρατηγὸν αἱρεῖσθαι κελεύει Βαρὰκ, *ἀστραπὴν* δὲ τοῦτο σημαίνει κατὰ τὴν Ἑβραίων διάλεκτον· ἦν δ' ἐκ τῆς Νεφθαλίδος φυλῆς ὁ ἀνήρ. Καὶ ἡ Δευώρα τὸν Βαρὰκ προετρέψατο κατὰ τῶν πολεμίων ἰέναι μετὰ νέων μυρίων, τοῦτο κελεύοντος τοῦ Θεοῦ. Ὁ δὲ κἀκείνην ἀπῄτει συστρατηγεῖν. Πείθεται ἡ γυνὴ, καὶ μάχης σὺν ταῖς μυρίοις συμβαγείσης αὐτοῖς πρὸς τὸν Σισάραν, ὄμβρος καταχεῖται πολὺς, καὶ χάλαζα καταῤῥήγνυται. Ταῦτα δὲ κατὰ πρόσωπον τῶν πολεμίων ὑπὸ τοῦ ἀνέμου ἠλαύνετο, καὶ ταῖς ὄψεσιν ἐπεσχέτουν αὐτῶν. Κἀντεῦθεν ἐνέκλιναν εἰς φυγήν. Φεύγων δὲ καὶ Σισάρας, πρός τινα γυναῖκα κατέφυγε, κατακρύψαι αὐτὸν ἀξιῶν. Ἰαὴλ ὠνόμαστο ἡ γυνή. Ἡ δὲ δέχεται αὐτὸν, καὶ δίδωσι γάλα πιεῖν, καὶ ὃς πιὼν ὕπνωσεν. Κοιμωμένῳ δ' αὐτῷ ἐπέθετο Ἰαὴλ, καὶ ἧλον διὰ τοῦ κροτάφου αὐτοῦ ἐλάσασα, τῷ ἐδάφει προσεπαττάλευσε, καὶ τοῖς περὶ τὸν Βαρὰκ νεκρὸν τὸν πολέμιον δείκνυσι. Στρατεύσας δὲ καὶ ἐπὶ Ἰαβεὶς βασιλέα Χαναναὶν ὁ Βαρὰκ, αὐτόν τε ἔκτεινε, καὶ τὴν πόλιν κατέσκαψε. Καὶ στρατηγήσας ἐπ' ἔτη τριάκοντα, τελευτᾷ καὶ Δευώρας κατὰ τὸν αὐτὸν θανούσης καιρόν. Εἶτα Μαδιανῖται σὺν Ἀμαληκίταις καὶ Ἄραψι, μάχῃ τοὺς Ἰσραηλίτας ἐτρέψαντο. Καὶ ἐπὶ ἔτη ἑπτὰ ἐπιτιθεμένων αὐτοῖς, λιμὸς ἦν, καὶ σπάνις τῶν ἀναγκαίων, καὶ ἐδέοντο τοῦ Θεοῦ. Γεδεὼν δὲ φυλῆς ὢν Μανασσῆ, δράγματα σταχύων εἰς τὸν ληνὸν ἔκαπτε κρύφα, καὶ ὁρᾷ τινὰ ἐν εἴδει νεανίσκου παρεστῶτα αὐτῷ, καὶ καλοῦντος αὐτὸν φίλον τῷ Θεῷ καὶ εὐδαίμονα. Ὁ δ' εἰρωνευόμενος, τεκμήριον ἔλεγεν εἶναι αὐτοῦ τῆς εὐδαιμονίας, τὸ κεχρῆσθαι τῷ ληνῷ ἀντὶ ἅλωνος. Καὶ ὁ νεανίας θαρρεῖν καὶ σπεύδειν αὐτῷ παρεκελεύετο ὑπὲρ ἐλευθερίας τῶν φυλετῶν. Γεδεὼν δὲ ἱκέτευσε τὸν φαινόμενον, μὴ μεταναστῆναι ἐκεῖθεν. Καὶ εἰσελθὼν ἐκόμισε θυσίαν. Καὶ ὁ ἄγγελος θεῖναι αὐτὴν παρὰ τὴν πέτραν ἐκέλευσε. Καὶ τῇ ῥάβδῳ ψαύσας τῆς πέτρας, πῦρ ἀνῆψεν αὐτόματον, καὶ τὴν θυσίαν κατέκαυσεν. Εἶτα ᾔτησε τὸν Θεὸν Γεδεὼν ἐπὶ τὸν

XXIII. Israelitis autem ob violatas divinas leges irato Deo, Sisaras Jabis Chananæorum regis dux eos aggressus, graviter afflixit, et tributarios effecit: in quo statu annos viginti permanserunt. Tum Debora, fatidica mulier (*apem* Latinis sonat), exorato Deo, Baracum virum ex Nephthalia tribu, illius jussu ducem creat; *fulgur* Hebræis id nomen significat. Hortatur ut decem millibus virorum, quemadmodum Deus jusserit, assumptis, hostes invadat: ipsa petente illo una proficiscitur, imperii particeps. Prælio cum decem illis millibus adversus Sisaram commisso magnus imber delabitur, et grando erumpit, quæ a vento in hostium faciem acta, aspectum illis eripiunt itaque; in fugam inclinant, in qua Sisaras etiam ad mulierem quamdam Jaclem nomine confugit, ut ab ea occultaretur. Illa excipit hominem, et lac bibendum præbet: quo epoto, Joel sopitum aggressa, caput ejus clavis humi affigit, et Baraco mortuum hostem ostendit, qui armis contra Jabim Chananæorum regem conversis, et ipsum occidit, et urbem 51 solo æquat. Moritur, cum annos triginta imperasset: Debora etiam circa idem tempus defuncta. Post, Madianitæ cum Arabibus et Amalechitis Israelitas prælio fundunt fugantque. Quorum incursionibus per septem annos fatigati, ac ad egestatem et famem redacti, divinam opem implorant. Erat tum quidam tribus Manasseæ vir Gedeon, qui manipulos spicarum in torculari secans, quemdam adolescentis habitu sibi assistentem videt; a quo cum ut Deo charus et beatus prædicaretur, ille irridens: *Hoc scilicet*, inquit, *signum est beatitatis meæ, quod torculari pro area utor.* Adolescens cum bono animo esse jubet, ac propere vindicandæ popularium libertatis curam suscipere. Gedeon eum qui apparuerat, orat ne discederet, ac ingressus victimam affert. Eam angelus juxta rupem poni jubet: quam cum baculo tetigisset, ignis ultro exortus victimam combussit. Deinde petit a Deo Gedeon, ut ros in vellus descendat, et descendit. Rursus petit ut rore tellus madescat, vellus siccum maneat: itaque factum est. Paret itaque Gedeon, et decem millia virorum contra hostes armat, eosque jussu Dei sub meridiem ad flumen ducit: et qui lambendo ac festinanter circumagendo se, biberant (hi trecenti erant), eos relictis cæteris contra

hostem ducit. Noctu, uno milite secum assumpto, castra hostium ingressus, audit quemdam suo contubernali narrantem se vidisse in somnis panem hordeaceum, qui per castra volutaretur et regis atque exercitus tabernacula dejiceret : alter somnium id, exercitus interitum portendere conjicit, Gedeonem cum suis ob paucitatem et imbecillitatem pani hordeaceo comparans. His Gedeon auditis, animum recepit, et in castra reversus, suos in armis esse, exercituque in tres centurias diviso, amphoram vacuam singulos cum face ardente et arietino cornu ferre jubet. Circa vigiliam noctis quartam educit eos contra hostes : quibus cum appropinquassent, et cornibus cecinerunt, et amphoras confregerunt, et clamore sublato cum facibus irruerunt. Hæc horrorem hostibus incussere : et dum alii ab hoste cæduntur, alii, et quidem longe plures, quippe noctu, a suis trucidantur, **52** fere omnes sunt deleti, cum duobus regibus Orebo et Zebo. Reliquiæ ducum atque exercitus fugientes, a Gedeoniis comprehensi, omnes ceciderunt. Tenuit imperium Gedeon annos quadraginta, et senex obiit, filiis legitimis e pluribus uxoribus septuaginta relictis, et uno e concubina, Abimelecho : qui fratribus omnibus, uno Joathane fuga elapso, trucidatis, tyrannidem occupavit. Sicimitæ mota seditione Abimelechum urbe pellunt. Is unius civis opera adjutus, urbem dolo captam omnibus puberibus occisis solo æquat. Aliam item urbem Thebas, primo impetu capit. Multitudo urbana in unam turrem in urbe media sitam, ægre confugit. Cujus portis Abimelechum imminentem, muliercula molæ fragmine in caput dejecto occidit. Hebræorum principatus Jairo ex Manassea tribu post hunc creditur, quo ille annos duo et viginti functus obit. Tum Ammanitæ cum Palæstinis regionem diripiunt. Cum autem Ammanitæ Galaditicam vastarent, incolæ Jephtam ducem eligunt : qui cum hostibus congressurus, vovet, si victoria potiretur, quidquid redeunti sibi primum occurrisset, id se immolaturum esse. Commisso prælio vincit. Revertenti unica filiola occurrit, virgo adhuc. Suspirat ille ; sed ne fidem falleret, immolat puellam et cremat. Cum autem Ephramitæ illi irascerentur, quod ad Ammanitici belli societatem non accersiti essent, neque ullam ejus excusationem acciperent : pugna inita mulos eorum cædit, et sex annos principatu administrato moritur. Ei succedit Amesas ex tribu Judaica, qui septem annis administrato imperio decedit. Post illum Labdon ex tribu Ephraimitica dux creatus, moritur senex, octavo magistratus anno.

πόκον γενέσθαι δρόσον, καὶ ἐγένετο. Καὶ αὖθις δρόσον ᾔτησεν ἐπὶ πᾶσαν τὴν γῆν γενέσθαι, ἐπὶ τὸν πόκον δὲ ξηρασίαν· καὶ γέγονεν οὕτως. Πείθεται οὖν ὁ Γεδεών, καὶ σὺν μυρίοις κατὰ τῶν ἐναντίων ὡπλίζετο. Εἶτα ἐντολῇ τοῦ Θεοῦ ἄγει πάντας κατὰ μεσημβρίαν, ἐπὶ τὸν ποταμόν. Καὶ τοὺς μὲν λάψαντας ἐν τῷ πίνειν, καὶ μετὰ σπουδῆς ὡς περιφόρους (45) πιόντας (τριακόσιοι δὲ ἦσαν οὗτοι) ἔχων μεθ' ἑαυτοῦ, ἀπῄει πρὸς τὸν πόλεμον. Τοὺς δὲ λοιποὺς καταλέλοιπεν. Νυκτὸς δὲ ἕνα τῶν στρατιωτῶν προσλαβόμενος, ἀπῆλθεν εἰς τὸ (46) τῶν ἐναντίων στρατόπεδον. Καὶ ἀκούει ἑνός τινος τῶν πολεμίων τῷ συσκηνοῦντι διηγουμένου, ὡς ἔδοξεν ὁρᾷν καθ' ὕπνους μάζαν κριθίνην διὰ τοῦ στρατοπέδου κυλιομένην, ἣ τὴν τοῦ βασιλέως σκηνὴν κατέβαλε, καὶ τὰς τοῦ στρατεύματος· ὁ δὲ, τοῦ στρατοῦ δηλοῦν ἔλεθρον τὸ ἐνύπνιον ἔκρινεν, ἀπεικάζων μάζῃ κριθίνῃ τὸν Γεδεών, καὶ τοὺς σὺν αὐτῷ, διὰ τὴν ὀλιγότητα καὶ τὸ ἀσθενές. Τούτων ἀκούσας ὁ Γεδεών, ἀνεθάρσησε. Καὶ ὑποστρέψας, ἐν τοῖς ὅπλοις εἶναι τοῖς ἑαυτοῦ ἐνετείλατο. Καὶ εἰς τρεῖς ἑκατοστύας τὴν στρατιὰν διελών, ἀμφορέα κενὸν κομίζειν ἕκαστον καὶ λαμπάδα ἡμμένην καὶ κριοῦ κέρας ἐκέλευσε. Κατὰ τετάρτην τε φυλάκην τῆς νυκτὸς, ἐξῆγεν αὐτοὺς κατὰ τῶν ἐναντίων. Καὶ ἤδη πλησίον ὄντες αὐτῶν, ἐσάλπισαν μὲν τοῖς κέρασι, τοὺς δ' ἀμφορέας κατέαξαν, καὶ μετὰ τῶν λαμπάδων ὥρμησαν ἀλαλάξαντες. Ταῦτα δὲ τοῖς πολεμίοις πτοίαν ἐνέβαλον. Καὶ οἱ μὲν ὑπὸ τῶν ἐναντίων ἐκτείνοντο· οἱ δέ γε πλείους ὑπ' ἀλλήλων, οὔσης νυκτὸς, διεφθάρησαν. Καὶ σχεδὸν ἅπαντες ὤλοντο, καὶ δύο τῶν βασιλέων αὐτῶν Ὠρήβ τε καὶ Ζήβ. Οἱ δὲ περιλειφθέντες τῶν ἡγεμόνων καὶ τοῦ στρατεύματος φεύγοντες, καταλαμβάνονται παρὰ Γεδεὼν καὶ τῶν μετ' αὐτοῦ, καὶ πεπτώκασιν ἅπαντες. Ἔσχηκε δὲ τὴν ἀρχὴν Γεδεὼν ἐν τεσσαράκοντα ἔτεσι, καὶ ἐτελεύτησε γηραιὸς, καταλιπὼν ἐκ διαφόρων γυναικῶν γνησίους υἱοὺς ἑβδομήκοντα, ἕνα δ' ἐκ παλλακῆς Ἀβιμέλεχ καλούμενον. Ὃς τοὺς ἀδελφοὺς κτείνας ἅπαντας, ἑνὸς Ἰωαθάνου φυγόντος, τετυράννηκεν. Ὁ δὲ λαὸς ἐπαναστάντες κατὰ τοῦ Ἀβιμέλεχ ἐξελαύνουσιν αὐτὸν τῆς πόλεως τῶν Σικίμων. Ὁ δὲ συνεργούμενος ὑφ' ἑνὸς τῶν Σικιμιτῶν, δόλῳ τὴν πόλιν αἱρεῖ, καὶ τοὺς Σικιμίτας ἡδηδὸν ἀναιρεῖ, τὴν πόλιν δὲ κατασκάπτει. Ἤλαυνε δ' ἐπὶ Θήβας ἑτέραν πόλιν, καὶ εἶλεν αὐτὴν ἐξ ἐπιδρομῆς. Τὸ δὲ πλῆθος εἰς ἕνα πύργον μόγις συνέδραμεν, ὄντα ἐν μέσῳ τῆς πόλεως. Πλησιάσαντα δὲ ταῖς πύλαις τούτου τὸν Ἀβιμέλεχ, θραύσματι μύλου γύναιον ἄνωθεν κατὰ τῆς κεφαλῆς ἔβαλε καὶ ἀπέκτεινε. Τὴν δὲ τῶν Ἑβραίων ἡγεμονίαν Ἰαεὶρ ἐμπεπίστευτο, ἐκ τῆς Μανασσῆ τυγχάνων φυλῆς. Δύο δὲ καὶ εἴκοσι οὗτος ἐνιαυτοὺς ἰθύνας τὴν ἀρχὴν ἐτελεύτησεν. Ἀμμανῖται σὺν Παλαιστηνοῖς εἰσέπειτα τὴν χώραν διήρπαζον. Ληϊζομένων δὲ τὴν Γαλαδηνὴν τῶν Ἀμμανιτῶν, ἡγεμόνα τὸν Ἰεφθάε οἱ ἐπιχώριοι εἵλοντο. Ὃς συμμίξαι μέλλων τοῖς πολεμίοις, εὐχὴν ἐποιήσατο, εἰ νικήσειεν, πᾶν ὃ πρῶτον αὐτῷ συναντήσει ἐπανιόντι,

Variæ lectiones et notæ.

(45) *Περιφόρους.* Περιφόβους, *ut formidolosos.* Ita cod. Reg. et Colbert.

(46) *Εἰς τό.* Ita Colb. alter πρὸς τό.

τοῦτο ἱερουργήσειν. Καὶ συμβαλὼν νικᾷ. Ἀναστρέφοντι δ' ὑπήντησεν αὐτῷ τὸ θυγάτριον μονογενὲς ὂν αὐτῷ, καὶ ἔτι παρθενευόμενον. Ὁ δ' ἀνώμωξεν. Ἵνα δὲ μὴ ψεύσεται τὴν ὑπόσχεσιν, ἔθυσε τὴν παῖδα, καὶ ὡλοκαύτωσε. Τῶν δὲ τῆς Ἐφραΐμ φυλῆς ὀργιζομένων αὐτῷ, ὅτι μὴ συμπαρέλαβεν αὐτοὺς ἐπὶ τὸν κατὰ τῶν Ἀμμανιτῶν πόλεμον, ἐπεὶ μὴ ἔπεισθεν αὐτοὺς παραιτούμενος, πολλοὺς ἀνεῖλε μαχεσαμένους αὐτῷ· ἐξ δὲ τὴν ἡγεμονίαν ἀνύσας ἐνιαυτούς, κατέλυσε τὴν ζωήν. Παραλαμβάνει δὲ τὴν ἀρχὴν Ἀμεσὰ, ἐκ τῆς Ἰούδα τυγχάνων φυλῆς, καὶ ἐπὶ χρόνον ἑπταετῆ κρίνας τὸν Ἰσραὴλ τετελεύτηκε. Καὶ μετ' ἐκεῖνον Λαβδὼν τῆς Ἐφραΐμ προελθὼν φυλῆς, ἡγεμὼν ἀπεδείχθη. Καὶ τέθνηκε γηραιὸς, ἄρξας ἔτη ὀκτώ.

ΚΔ'. Εἶτα Παλαιστηνοὶ κρατοῦσι τῶν Ἰσραηλιτῶν, καὶ ὑποφόρους ἔσχον αὐτοὺς, ἐπὶ ἐνιαυτοὺς τεσσαράκοντα. Τότε δὲ γεννηθεὶς ὁ Σαμψὼν (ἰσχύος δὲ ἡ κλῆσις σημαντική) τοῖς Παλαιστηνοῖς ἐπετίθετο. Ἡ δ' εἰς τὸν βίον αὐτοῦ πρόοδος τοιαύτη ἐγένετο. Μανωὲ τῆς φυλῆς ὑπάρχων τοῦ Δὰν, συνῴκει γυναίῳ στειρεύοντι, καὶ ᾔτουν τὸν Θεὸν παῖδα δοθῆναι αὐτοῖς. Ὤφθη γοῦν ποτε μόνῃ οὔσῃ τῇ γυναικὶ, νεανίας μέγας τε καὶ καλὸς, τόκον παιδὸς αὐτῇ εὐαγγελιζόμενος, καὶ μὴ πιεῖν οἶνον ἢ μέθυσμα αὐτῇ ἐνετείλατο, μὴ δὲ τὴν κόμην ἀποθρίξαι τὴν τοῦ παιδός. Ναζωραῖον δὲ ἔλεγεν εἶναι τῷ Κυρίῳ τὸν παῖδα, ἅγιον δηλαδὴ, καὶ τὸν Ἰσραὴλ σωθήσεσθαι δι' αὐτοῦ ἐκ τῆς τῶν ἀλλοφύλων χειρός. Ἡ δὲ, τῷ ἀνδρὶ κατήγγειλε ταῦτα. Καὶ ὃς ὀφθῆναι καὶ αὐτῷ τὸν φανέντα τῇ γυναικὶ, ἐδέετο τοῦ Θεοῦ. Αὖθις οὖν ἦκε πρὸς τὴν γυναῖκα ὁ ἄγγελος. Ἀπῆν δὲ αὐτῆς ὁ Μανωέ. Καὶ ἡ γυνὴ προσμεῖναι αὐτὸν παρεκάλει τὴν τοῦ ἀνδρὸς παρουσίαν. Ἐλθὼν δὲ Μανωὲ ἠρώτα τὸν ἄγγελον, τί ἂν τοῦ παιδὸς γεννηθέντος ποιήσειαν; Ὁ δὲ Οἶνον, ἔφη, *οὐ πίεται, οὐδὲ μέθυσμα, καὶ ἀκάθαρτόν τι οὐ φάγεται, καὶ τὴν κόμην οὐ ξυρηθήσεται.* Καὶ ὁ Μανωὲ τὸ ὄνομα τοῦ ὁμιλοῦντος αὐτῷ ἐζήτει μαθεῖν. Ὁ δὲ θαυμαστὸν εἶναι τοῦτο εἰπὼν, ἀπεσιώπησεν αὐτό. Ὁ Μανωὲ δὲ ἔριφον ἐνεγκὼν ἔθυσε, καὶ ἄρτους προσήνεγκεν. Ὁ δὲ θεῖναι τὰ κρέα καὶ τοὺς ἄρτους ἐπὶ τὴν πέτραν προσέταξεν. Τεθέντων δὲ, τῇ ῥάβδῳ αὐτοῦ ἅπτεται τούτων, καὶ πῦρ ἐξαφθὲν ἐκεῖθεν, κατέκαυσεν αὐτὰ, καὶ εἰς τὸν οὐρανὸν διὰ τῆς φλογὸς ἀνῆει ὁ ἄγγελος, ὁρώντων τοῦ Μανωὲ καὶ τῆς αὐτοῦ γυναικός.

Τίκτεται οὖν αὐτοῖς μετὰ ταῦτα ὁ παῖς, καὶ Σαμψὼν ὀνομάζεται. Ἠδρύνετό τε καὶ πνεῦμα Κυρίου συνεπορεύετο αὐτῷ. Ἰδὼν δὲ ἐν Θαμνᾷ πόλει τῶν Παλαιστινῶν κόρην τῶν ἀλλοφύλων, ἐρᾷ τῆς παιδός. Παραιτουμένων δὲ τῶν γονέων αὐτοῦ τὸν γάμον τῆς ἀλλοφύλου, ἐκνικᾷ γῆμαι αὐτήν. Συχνάζων δὲ πρὸς τῆς κόρης τοὺς γονεῖς, συναντᾷ λέοντι. Καὶ μή τι φέρων εἰς ἄμυναν, ταῖς χερσὶ τὸ θηρίον συνέτριψε, καὶ ἐκκλίνας τῆς ὁδοῦ, ἔρριψε πρὸς τὸ ὑλῶδες αὐτό. Καὶ μεθ' ἡμέρας αὖθις πρὸς τὴν μνηστὴν πορευόμενος, σμῆνος μελισσῶν ἐν τῷ στόματι συνηγμένον τοῦ λέοντος εὗρηκε. Καὶ λαβὼν ἐκεῖθεν μέλιτος κηρίον ἔφαγε, καὶ τῷ πατρὶ καὶ τῇ μητρὶ ἀπεκόμισεν. Ἀπελθὼν δ' εἰς τοὺς ἀλλοφύλους, πρόβλημα τοῖς αὐτῷ συνεστιωμένοις ἐν τοῖς γάμοις τριάκοντα νεανίσκοις προτίθησι· καὶ εἰ εὕροιεν ἐφ' ἡμέρας ἑπτὰ τὴν λύσιν, δοῦναι συνέθετο σινδόνα καὶ στολὴν ἑκάστῳ αὐτῶν· εἰ δὲ μὴ λῦσαι δυνηθεῖεν τὸ πρόβλημα, αὐτῷ δοθῆναι παρ' ἑκάστου στολὴν καὶ σινδόνην ἀπῄτησε. Συνθεμένων δὲ καὶ τῶν νεανίσκων, προσβάλετο τὸ ἐρώτημα εἰπών· *Ἐξ ἐσθίοντος*

XXIV. Deinde Palæstini subactos Israelitas per annos quadraginta tributarios habuerunt. Quo tempore natus Sampson, (*robur* hoc nomen significat) illos infestavit, cujus quidem ortus hujusmodi exstitit. Manoes Daniæ tribus vir mulierem sterilem in matrimonio cum haberet, uterque sobolem orat Deum. Semel mulieri soli adolescens magnus et pulcher apparet, partum filii nuntians, eique mandat ne vinum aut quidquam quod **53** inebriaret, biberet, neve comam tonderet pueri: cum enim Nazaræum, hoc est sanctum, fore Domino. et Israelem per eum e potestate alienigenarum eripiendum esse. Mulier domum reverso marito hæc nuntiat. Tum ille, ut idem sibi quoque apparevet, orat Deum. Angelus absente Manoe denuo redit ad mulierem. Illa orat, ut mariti adventum exspectet. Reversus Manoes, rogat, nato puero quid faciendum esset. At ille: *Vinum*, inquit, *non bibet, neque aliud quidquam quod inebriet, neque ulla re immunda vescetur, neque comam radet.* Tum Manoes nomen ejus quicum colloquebatur, sciscitans, non aliud responsum accipit, nisi id esse admirabile: et hædum immolat, ac panes affert. Ille carnes et panes in petra collocari jubet. Quo facto, baculo quem gerebat, ferit: ignis inde ortus illa consumit, in eaque flamma, vidente Manoe et uxore, angelus in cœlum ascendit.

Post hæc nascitur Sampson, grandescit, ac Spiritus Domini fertur super eo. Cum autem Thamnæ (Palæstinorum id oppidum est) puellam vidisset, amore captus, etsi parentibus alienigenæ conjugium recusantibus, tamen improbitate orandi impetrat. Dum autem puellæ parentes frequenter adit, in leonem incidit: et quia non alia ad defensionem arma suppetebant, manibus belluam conficit, et a via deflectens, in saltum abjicit. Post dies aliquot iterum ad sponsam proficiscens, examen apum in ore leonis reperit, et ipse de favo comedit, et patri ac matri affert. Reversus ad alienigenas, triginta adolescentibus inter nuptiales epulas quæstionem proponit, cujus solutionem intra dies septem si invenissent, cuique sindonem et stolam daturum pollicetur. Sin minus, tantumdem a singulis illorum stipulatur. Assensis adolescentibus, quæstionem proponit, hoc modo: *De comedente exiit cibus, et de forti dulcedo.* Illi quæstionem non intelligentes, puellam orant, ut eam ex marito cognitam sibi renuntiaret. Orat illa,

Sampson refragatur initio: tandem victus sponsæ lacrymis, rem aperit. Illa prodit adolescentibus, qui die septima Sampsoni dicunt: *Quid est melle dulcius? quid leone fortius?* Sampson igitur iratus, adolescentibus quidem dat quæ promiserat. **54** sed nuptam abdicat: quam a patre alteri desponsam ægre ferens, trecentas vulpes capit, eas facibus ardentibus caudis illarum alligatis, in Palæstinorum arva immittit, segetem jam fere adultam et vineas incendit: pro quo facto Palæstini uxorem dudum ejus, cum cognatis in ignem conjectam, concremarunt. Sampson vero, multis alienigenarum interfectis, in rupe consedit. Illi, expeditione susceptа, Israelitis edicunt, si insontes haberi velint, ut Sampsonem dedant. Accessere ad rupem armati ter mille. Sampson descendit, ultro se populariBus offert, qui eum Palæstinis vinctum tradunt. At ille, abruptis vinculis, et asini maxilla temere illic jacente arrepta, mille alienigenas ea perimit, reliquos fugat. Unde locus ille Maxilla dicitur. Cum autem præ siti deficiens Deum cum ploratu obtestaretur, aqua e fissura terræ, quam projecta maxilla fecerat, scaturiit. Potu refectus, Gazam adit, ubi cum Gazæi portis clausis cavere vellent, ne elaberetur, ille sub mediam noctem surgit, portam, limina et postes in humeris sublata, et in montis perlata verticem deponit. Post hæc Sampson Palæstinam metriculam deperit, nomine Dalidam. Cum ea proceres alienigenarum agunt, multa polliciti, si tantarum virium causam e Sampsone cognitam sibi renuntiasset. Illa multifariam aggressa virum, ut id eliceret, a Sampsone aliud atque aliud dicente, cum rei periculum faceret, eluditur. Sed cum illa instaret, oraretque vehementius, arcanum tandem prodit: Se Dei jussu comam alere, qui interdixerit ne eam radat, in eaque repositum esse robur suum. Mulier dormienti comam radit, imbecillem hostibus tradit, illi oculos ei effodiunt. Ita ille prius formidabilis, ludibrio habetur. Progressu temporis coma illa renascitur, viresque redeunt. Cum autem Palæstini potarent, eorumque proceres et magnates convivarentur in domo quæ columnis fulciebatur, etiam Sampson a puero ad illudendum adducitur. Ad illam domum multitudo virorum et mulierum circiter trium millium confluit, ut ludibria Sampsonis spectet. Qui cum dicteriis incesseretur et alapis cæderetur, puerum ducem jubet se ad columnas adducere, *ut defessus*, inquit, **55** *eis innitar et quiescam*. Tum duabus columnis convulsis, ædificium dejecit, cujus ruina et ipse et omnes qui in eo erant, sunt oppressi. Et hunc exitum ille habuit, cum Israelitico populo per annos viginti jus dixisset.

A ἐξῆλθε βρῶσις, καὶ ἀπὸ ἰσχυροῦ γλυκύ. Οἱ δὲ, μὴ δυνάμενοι νοῆσαι τὸ πρόβλημα, τὴν κόρην ἱκέτευσαν μαθεῖν παρὰ τοῦ ἀνδρὸς, καὶ ἀπαγγεῖλαι αὐτοῖς. Ὁ Σαμψὼν δὲ παρακαλούσης αὐτὸν τῆς κόρης εἰπεῖν αὐτῇ τὸ τοῦ προβλήματος νόημα, τὸ μὲν πρῶτον ἀντεῖχε. Δακρυούσης δ' ἐκείνης, ἐξεῖπε τὸ πᾶν. Ἡ δὲ τοῖς νεανίσκοις ἀπήγγειλε. Καὶ κατὰ ἑβδόμην ἡμέραν εἶπον ἐκεῖνοι τῷ Σαμψών· *Τί γλυκύτερον μέλιτος, ἢ τί λέοντος ἰσχυρότερον;* Ὠργίσθη οὖν ὁ Σαμψὼν, καὶ τοῖς μὲν νεανίσκοις ἔδωκεν ἃ ὑπέτχετο, τὸν δὲ γάμον ἀπείπατο. Καὶ ἔδωκεν ἑτέρῳ τὸ γύναιον ὁ πατήρ. Παροξυνθεὶς δὲ ὁ Σαμψὼν διὰ τοῦτο, καὶ συλλαβὼν τριακοσίας ἀλώπεκας, λαμπάδας ἡμμένας ταῖς οὐραῖς ἐκείνων προσέδησε, καὶ ταῖς τῶν Παλαιστινῶν ἐπαφῆκεν B ἀρούραις, θέρους ἐνισταμένου. Καὶ οὕτω τὰ σφῶν κατέκαυσε λήϊα, καὶ τὰς ἀμπέλους. Παλαιστινοὶ δ' ἀντὶ τούτων τὴν γενομένην αὐτοῦ γυναῖκα, καὶ τοὺς αὐτῇ προσήκοντας ἐνέπρησαν καὶ κατέκαυσαν. Σαμψὼν δὲ πολλοὺς ἀποκτείνας τῶν ἀλλοφύλων, ἐν πέτρᾳ ἐκάθισεν, οἱ δὲ κατὰ τῶν Ἰσραηλιτῶν ἐξεστράτευσαν, λέγοντες· Εἰ βούλεσθε ἀναίτιοι εἶναι, δότε ἡμῖν τὸν Σαμψὼν ὑποχείριον. Καὶ ἀπῆλθον ἐπὶ τὴν πέτραν ὁπλῖται τρισχίλιοι. Καταβὰς δὲ Σαμψὼν, ἐκὼν τοῖς φυλέταις παρέδωκεν ἑαυτόν. Κἀκεῖνοι δεδεμένον παρέδοσαν τοῖς Παλαιστινοῖς. Ὁ δὲ διαρρήξας τὰ δεσμὰ, καὶ ὄνου σιαγόνα ἐκεῖ που ἐρριμμένην ἁρπάσας, χιλίους τῶν ἀλλοφύλων ἀπέκτεινεν ἐν αὐτῇ. Τοὺς δὲ ἄλλους ἐτρέψατο, ὅθεν Σιαγὼν ἐξ ἐκείνου ὁ τόπος ἐκλήθη. Εἶτα ἐδίψησεν ὡς ἐκλείπειν ἀπὸ τῆς δίψης, καὶ ἔκλαυσε δεόμενος τοῦ Θεοῦ. Ὁ δὲ Θεὸς πηγὴν ὕδατος ἀνῆκεν ἀπὸ τοῦ ῥήγματος, ὃ τὴν σιαγόνα ῥίψας κατὰ γῆς πεποίηκεν ὁ Σαμψὼν, καὶ ἀπῆλθεν εἰς Γάζαν. Ἐνήδρευσαν δὲ αὐτὸν οἱ Γαζαῖοι· καὶ ἵνα μὴ λάθῃ αὐτοὺς ἐξιὼν, τὰς πύλας τῆς πόλεως ἔκλεισαν. Ὁ δὲ περὶ μέσας νύκτας ἀναστὰς, τάς τε πύλας καὶ τὰς φλιὰς αὐτῶν καὶ τὰς παραστάδας ἐπωμισάμενος, εἰς τὴν τοῦ ὄρους ἀνήνεγκε κορυφὴν, κἀκεῖσε κατέθετο. Ἐρασθεὶς δ' ἑταίρας Παλαιστινῆς, Δαλιδᾶς καλουμένης, συνῆν αὐτῇ. Καὶ οἱ πρώτοντες τῶν ἀλλοφύλων, πολλὰ τῇ γυναικὶ ἐπηγγείλαντο, εἰ μάθοι παρὰ τοῦ Σαμψὼν τί τὸ αἴτιον αὐτῷ τῆς δυνάμεως, καὶ ἀπαγγείλῃ αὐτοῖς. Ἡ δὲ ποικίλως μαστᾷ τὸν ἄνδρα, ζητοῦσα γνῶναι, ὅθεν αὐτῷ ἡ τοσαύτη ἰσχύς. Ἐκεῖνος δὲ ἄλλοτε ἄλλας πλαττόμενος αἰτίας τῇ γυναικὶ ἔλεγε. Καὶ ἡ γυνὴ πειρωμένη τῶν λόγων, ἁπάντας αὐτοὺς εὕρισκεν. Ἐγκειμένης δὲ καὶ δεομένης θερμότερον, τὸ κρύφιον αὐτῇ ἀνεκάλυψε· κατ' ἐντολὴν εἰπὼν τοῦ Θεοῦ τὴν κόμην τρέφειν, ἐντειλαμένου μὴ κείρειν αὐτήν· καὶ ἐν ταύτῃ προσῆναι αὐτῷ τὴν ἰσχύν. Κείρει τὴν κόμην κοιμωμένου αὐτοῦ ἡ γυνὴ, καὶ παραδίδωσι τοῖς ἐναντίοις αὐτὸν ἀσθενῆ. Ἐκκόπτουσιν ἐκεῖνοι τὰ ὄμματα τοῦ ἀνδρὸς, καὶ ὁ πρὶν φοβερὸς, εἰς παίγνιον κατέστη αὐτοῖς· Προϊόντος δὲ τοῦ καιροῦ, ηὔξατο αὖθις ἡ κόμη αὐτῷ, καὶ ἡ ἰσχὺς ἐπανήρχετο. Πότου δὲ τοῖς Παλαιστινοῖς ὄντος, καὶ τῶν ἀρχόντων καὶ μεγιστάνων εὐωχουμένων ὁμοῦ ἐν οἴκῳ κίοσιν ἀνεχομένῳ, ἤχθη καὶ ὁ Σαμψὼν παιχθησόμενος, καὶ παιδάριον ἐχειραγώγει αὐτόν. Συνήχθη δὲ παρὰ τὸν οἶκον πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν ὡσεὶ τρισχιλίων, ἵν' ὁρῷεν τὸν Σαμψὼν παρανούμενον. Ὁ δὲ παιζόμενός τε καὶ ῥαπιζόμενος, λέγει τῷ χειραγωγοῦντι αὐτόν· Ἀπάγαγέ με παρὰ τοὺς κίο-

C

D

νας, ὡς ἂν αὐτοῖς ἐπιστηριχθῶ, δεόμενος ἀναπαύσασθαι. Δραξάμενος δὲ τῶν δύο κιόνων ἐπικατέσεισεν ἑαυτῷ τὸν οἶκον, καὶ αὐτός τε καὶ οἱ ἐν τῷ οἴκῳ πάντες ἀπώλοντο. Καὶ τὸ μὲν τοιοῦτον ἐγένετο, ἐπὶ ἔτη εἴκοσι κρίναντι τὸν τῶν Ἑβραίων λαόν.

ΚΕ'. Οὐκέτι δὲ Κριταὶ ἦγον τὸν Ἰσραὴλ, ἀλλ' ὁ ἀρχιερεὺς Ἠλεὶ προέστη αὐτῶν, ἐφ' οὗ λιμὸς γέγονε. Καί τις ἀνὴρ ἐκ Βηθλεὲμ, Ἀβιμέλεχ καλούμενος, σὺν τῇ γυναικὶ, καὶ δύο υἱοῖς διὰ τὸν λιμὸν εἰς τὴν Μωαβῖτιν μεταναστεύει. Ἄγεται οὖν τοῖς υἱοῖς γαμετὰς Μωαβίτιδας. Ἔνδεκα μέντοι ἐνιαυτοῖς, ὅ τε Ἀβιμέλεχ καὶ οἱ παῖδες αὐτοῦ τεθνήκασι. Καὶ κατελείφθησαν χῆραι, ἥ τε Νοεμὶν ἡ συνοικοῦσα τῷ Ἀβιμέλεχ, καὶ αἱ γυναῖκες ἄμφω τῶν παίδων αὐτοῦ, Ὀρφά τε καὶ Ῥούθ. Ἡ Νοεμὶν δὲ εἰς τὴν πατρίδα ὑπέστρεφε. Τῶν δέ γε νυμφῶν αὐτῆς ἡ μὲν Ὀρφὰ παρακληθεῖσα τῆς πενθερᾶς, ἔμεινε παρὰ Μωαβίταις. Ἡ δὲ Ῥοὺθ σὺν τῇ Νοεμὶν ἀπελήλυθε· καὶ ἤδη παραγενομένας εἰς Βηθλεὲμ, ξενίζει Βοὸζ, Ἀβιμέλεχ ὢν συγγενής. Προσαγορευομένη δὲ παρὰ τῶν πολιτῶν ἐξ ὀνόματος ἡ γυνή· *Μή με Νοεμὶν* (ἔλεγεν) *ἀλλὰ Μάραν καλεῖτε* (Νοεμὶν δὲ *εὐτυχίαν* δηλοῖ· Μάραν δὲ, *ὀδύνην*, καὶ πικρασμόν)· *πλήρης γὰρ πορευθεῖσα, κενὴ ὑπεστρόστησα.* Ἀμητοῦ δὲ ὄντος, ἐξῆει κατὰ γνώμην τῆς πενθερᾶς καλαμησομένη ἡ Ῥοὺθ, εἰς τὸν ἀγρὸν τοῦ Βοόζ. Ὁ δὲ τὴν κόρην ἰδὼν, καὶ μαθὼν τίς ἐστιν, θερίζειν ὃ δύναιτο καὶ ἔχειν ἐπέτρεψεν, ἄριστόν τε παρέχειν αὐτῇ τῷ ἀγροκόμῳ ἐπέταξεν. Ἡ δὲ καὶ ἄλφιτα παρ' αὐτοῦ λαβοῦσα, τῇ πενθερᾷ συνετήρησε. Καὶ ἀπῆλθεν ὀψὲ κομίζουσα καὶ τὰς κριθὰς, ἃς συνέλεξε. Καὶ τὰ παρὰ τοῦ Βοὸζ αὐτῇ διηγήσατο. Καὶ αὖθις ἀπῄει σὺν ταῖς θεραπαινίσι Βοόζ. Ἡ Νοεμὶν δὲ συγκαταχλίνειν αὐτῷ τὴν Ῥοὺθ ἐβουλεύσατο. Καὶ πέμπει τὴν νύμφην, ὑποθεμένη παρὰ τοῖς ποσὶ τοῦ ἄνδρος ὑπνώττοντος ἐν τῇ ἅλῳ, πεσοῦσαν ὑπνῶσαι. Καὶ ἡ μὲν οὕτω πεποίηκεν. Αἰσθόμενος δ' ὁ Βοὸζ περὶ μέσην νύκτα, ἤρετο τίς ἐστι. Καὶ μαθὼν, τότε μὲν ἡσύχασεν· ἕωθεν δ' ἐξεγείρας τὴν Ῥοὺθ, πορεύεσθαι πρὸς τὴν πενθερὰν ἐνετείλατο. Αὐτὸς δὲ, *Τὸν ἐγγύτερον ἐμοῦ ἀγχιστεύοντά σοι ἐρήσομαι· καὶ εἰ μὲν ἐκεῖνος ἀγαγέσθαι σε βούλεται, ἀπελεύσῃ πρὸς τὸν ἄνδρα· παραιτουμένου δὲ, ῥομφαίως συνοικήσεις ἐμοί.* Ἀπῆλθεν οὖν ἡ γυνὴ, καὶ δεδήλωκε πάντα τῇ Νοεμίν. Ὁ δέ γε Βοὸζ παρὰ τῇ γερουσίᾳ τήν τε Ῥοὺθ καὶ τὸν συγγενῆ συνεκάλεσε, καὶ εἶπεν αὐτῷ· *Ἀβιμέλεχ τοῦ συγγενοῦς ἡμῶν, καὶ τῶν παίδων αὐτοῦ κατέχεις κλῆρον;* Συνθεμένου δ' ἔχειν ἐκείνου, κατὰ τοὺς νόμους δι' ἀγχιστείαν· *Οὐκοῦν οὐχ ἑξ ἡμισείας,* ἔφη, *τῶν νόμων μεμνῆσθαι δεῖν, ἐπὶ πᾶσι δὲ ποιεῖν κατ' αὐτοὺς λοιπόν, καὶ τὸ τοῦ Μαλλὼν γύναιον υἱοῦ Ἀβιμέλεχ γῆμαί σε χρὴ, ἵνα ἀναστήσῃς σπέρμα τῷ συγγενεῖ.* Ὁ δὲ παρῃτήσατο, καὶ τοῦ κλήρου καὶ τῆς γυναικὸς παραχωρήσας αὐτῷ. Κατὰ γοῦν τὸν νόμον ἐνώπιον τῆς γερουσίας, ἡ Ῥοὺθ ὑπελύσατο καὶ τὸ ὑπόδημα τοῦ ἀνδρὸς ἐκείνου, καὶ ἔπτυσεν αὐτοῦ εἰς τὸ πρόσωπον. Καὶ οὕτως αὐτὴν ἠγάγετο ὁ Βοὸζ, καὶ ἔτεκεν ἐξ αὐτῆς τὸν Ὠβήδ. Ἑλληνιστὶ δ' ἑρμηνεύεται, *δουλεύων.* Ἐξ Ὠβὴδ δὲ γίνεται Ἰεσσαὶ, καὶ ἐκ τούτου Δαβὶδ, ὃς τῶν ἐξ Ἰσραὴλ ἐβασί-

XXV. Post Sampsonem non amplius Judices populo præfuerunt, sed Elei pontifex: sub quo fame ingravescente, vir quidam Bethleemiticus, Abimelechus nomine, cum uxore et duobus filiis in Moabitidem transmigrat. Ibi filiis Moabiticas uxores despondet, et intra decem annos una cum filiis moritur, relicta vidua uxore Noemide, duabusque nuribus Orpha et Rutha Noemis patriam repetit, ac Orpha nuruum altera monitu socrus apud Moabitas manet. Rutha cum Noemide proficiscitur. Bethleemæ Boozus Abimelechi cognatus eas hospitio excipit. Ibi mulier a civibus suo compellata nomine: *Ne me*, inquit, *Noemin, sed Maram appellate* (significat autem Noemis *felicitatem*, Mara *dolorem* et *acerbitatem*); *nam cum plena discesserim, vacua sum reversa.* Tempore messis Rutha, de socrus sententia ad spicilegium in Boozi agrum egreditur. Ille agnita puella, permittit, ut quod posset, meteret et auferret, ac prandium ei præberi jubet a villico. Illa de cibo etiam quem acceperat, aliquid socrui conservat, et vesperi hordeum quod collegerat, domum ferens, ut a Boozo tractata esset, refert, ac cum Boozi ancillis denuo egreditur. Ibi Noemis consilium despondendæ Boozo Ruthæ capit, ac nurum ablegat, monitam ut ad pedes Boozi in area dormientis procumbens, somnum caperet. Obtemperat illa. Quod Boozus cum sub mediam noctem sensisset, quæ esset rogat; re cognita tum quidem quiescit; mane autem excitatam Rutham ad socrum ire jubet: *Ipse*, inquit, *interrogabo eum, qui est tibi sanguine propior: qui si te ducere voluerit, ad illum te conferes: sin recusarit, legitima mihi conjux eris.* Abit mulier, Noemidi exponit omnia. Boozus Rutham et cognatum ejus ad senatum accersit, eique dicit: *Abimelechi cognati nostri et filiorum ejus hæreditatem tenes?* Affirmante illo, tenere se ob propinquitatem ex lege: *Non ergo*, inquit, *ex semisse observanda* 56 *sunt leges, sed in omnibus rebus illis obtemperandum? Restat igitur ut Mallonis Abimelechi filii uxorem ducas, et cognato semen excites.* Recusat ille, ac Boozo tam hæreditate quam muliere cedit. Rutha, ut lege jubebatur, soluto viri illius calceo, in faciem ejus exspuit, itaque Boozo nubit, et filiolum ei parit Obedum (*servientem* id nomen significat). Obedo nascitur Jessæus, eoque David, qui regnum Israelitarum obtinuit, et filiis suis imperium reliquit, ad genus primum et vicesimum propagatum. Elio autem, qui, ut diximus, populum gubernabat, duo fuere filii, homines nefarii, et omni genere scelerum cooperti, Ophnis et Phinees: neque paternis monitis quidquam movebantur. Horum iniquitati iratus Deus, per Samuelem puerum adhuc, Elio significat clades ipsi liberisque et domui ejus imminentes. Erat autem Samuel viri Levitæ Helcanæ filius, qui duas habebat uxores, Annam et

Phenannam : quarum hæc liberos ex Helcana susceperat, Anna non pepererat. Viro Silonem cum uxoribus profecto, cum peractis sacris, convivii tempus adesset, ac Phenennæ liberi assiderent : Anna orbitatem suam deplorat, et propere tabernaculum Domini ingressa, Deum orat ut liberos sibi det, primogenitum se Deo consecraturam vovet. Dum precibus immoratur, Elius pro tabernaculo sedens, ebriam ratus, eam discedere jubet. At illa : *Neque vinum*, inquit, *bibi, domine, neque aliud quidquam quod inebriet : sed dolore orbitatis contabesco.* Tum sacerdos : *Abi*, inquit, *ac Deus te voti compotem reddat.* Domum reversa cum marito, concipit, et Samuelem parit, quem Deoptatum possis dicere. Puerum jam grandiusculum ex voto ad Elium ducit, Deo educandum, alentem comam, in æde vitam degentem, et aquæ potu utentem. Is duodecim natus annos, vaticinatur. Et quodam tempore dormiens, nominatim a Deo vocatus, ad pontificem accedit quasi ab eo vocatus esset ; idque ter contigit. Tum Elius intelligens divinam esse vocationem, Samuelem jubet, si iterum vocetur dicere : *En adsum, Domine.* Cum ita fecisset puer, ait ei is qui vocarat, magnam cladem Israelitis imminere, Elii filios una perituros, **57** et sacerdotium in Eleazari familiam transiturum. Ea verba cum sacerdoti Samuel referre nollet, tandem jurejurando adactus, omnia quemadmodum audierat, recenset.

Καὶ ποτε κοιμώμενον αὐτὸν, ἐξ ὀνόματος ἐκάλεσεν ὁ Θεός. Ἡλεὶ δὲ συνεὶς θεόθεν εἶναι τὴν κλῆσιν, ἔφη τῷ Σαμουήλ· Εἰ ἔτι κληθῇς, εἰπὲ *Ἰδού, ἐγὼ, Κύριε.* Οὕτω δὲ ποιήσαντος τοῦ παιδὸς, ἔφη αὐτῷ ὁ καλῶν, συμφορὰν ἔσεσθαι τοῖς Ἰσραηλίταις βαρεῖαν, καὶ τοὺς Ἡλεὶ παῖδας ἅμα τεθνήξεσθαι, καὶ τὴν ἱερωσύνην εἰς τὸν οἶκον τοῦ Ἐλεάζαρ μεταπεσεῖν. Οὐκ ἤθελε δὲ τοὺς λόγους ὁ Σαμουὴλ ἐκφῆναι τῷ ἱερεῖ. Ὅρκοις δ' ἐκβιάσθεις, ἀπήγγειλε πάντα καθάπερ ἀκήκοεν.

XXVI. Dehinc Palæstini bellum Israelitis inferentes, pugna superiores evadunt. Populus arcam subsidio ferri postulat. Missa illa cum Elii filiis, redintegratur prælium, funduntur Hebræi, ad triginta millia cadunt, inter quos et filii pontificis, arca item in hostium potestatem venit. Elius pontifex, qui in sublimi sella sederet, strage exercitus, et cæde filiorum, arcæque captivitate cognita, præmœrore de sella delapsus moritur, annos nonaginta natus, cum quadraginta populo præfuisset. Alienigenæ arcam in urbem Azotum perlatam, Dagoni (sic deum suum appellabant) consecrant. Mane in Dagonis ædem ingressi, simulacrum ante arcam humi projectum repererunt, idque sublatum in suam basim restituunt. Ut autem hoc sæpius factum deprehendunt, et statuam quoties erexissent, toties ante arcam adorantis specie projectam reperissent, obstupescunt, dubitantes quid rei esset. Ex hoc Azotiorum urbem et agrum lues invadit : nam et homines circa sedem laborare (dysenteriam fuisse ait Josephus) et mori complures cives et mures e terra exorti agrum omnem vastare. Sero demum arcam sibi malorum esse cau

ΚΣ'. Ἐντεῦθεν Παλαιστινοὶ κατὰ τῶν Ἰσραηλιτῶν ἐκστρατεύουσι, καὶ ἦσαν τῇ μάχῃ ἐπικρατέστεροι. Ὁ δὲ λαὸς κομισθῆναι τὴν Κιβωτὸν αἰτοῦσιν εἰς ἀρωγήν. Πεμφθείσης δ' ἐκεῖσε τῆς κιβωτοῦ συν τοῖς υἱοῖς τοῦ Ἡλεὶ, συγκεκρότητο μάχη, καὶ ἥττηντο οἱ Ἑβραῖοι. Ἔπεσον δὲ ὡσεὶ τρισμύριοι, καὶ οἱ τοῦ ἀρχιερέως υἱοὶ, καὶ ἡ κίβωτος ἑλήφθη τοῖς πολεμίοις. Ἡλεὶ δὲ ὁ ἀρχιερεὺς ἐφ' ὑψηλοῦ καθῆστο δίφρου, καὶ μαθὼν τὰ τῆς μάχης, καὶ τὴν σφαγὴν τῶν υἱῶν, καὶ τὴν αἰχμαλωσίαν τῆς κιβωτοῦ, περιαλγήσας, ἐξέπεσε τοῦ θρόνου, καὶ τέθνηκεν, ἐνενηκοντούτης γενόμενος, τεσσαράκοντα δὲ τούτων ἐνιαυτοὺς τοῦ Ἰσραὴλ ἡγησάμενος. Οἱ δὲ ἀλλόφυλοι εἰς Ἄζωτον πόλιν ἀπαγαγόντες τὴν κιβωτὸν, τῷ Δαγὼν (οὕτω γὰρ τὸν ἑαυτῶν ἐκάλουν Θεὸν) ἀνέθεντο. Ἑωθεν δὲ εἰς τὸν οἶκον Δαγὼν εἰσελθόντες, εὗρον κείμενον τὸ ξόανον ἐνώπιον τῆς κιβωτοῦ ἐπὶ γῆς. Καὶ ἀναστήσαντες αὐτὸ, ἐπὶ τῆς προτέρας ἔστησαν βάσεως. Ὡς δὲ συχνάκις εὗρον τοῦτο γινόμενον, καὶ πολλάκις τὸ εἴδωλον ἀναρθώσαντες, τοσαυτάκις κείμενον κατελάμβανον ἐν σχήματι προσκυνοῦντος τὴν κιβωτὸν. Ἐθαμβοῦντο καὶ διηπόρουν. Ἔπειτα δ' ἐνέσκηψε τῇ τῶν Ἀζωτίων πόλει καὶ τῇ χώρᾳ φθορά. Νόσος μὲν

τοῖς ἀνθρώποις περὶ τὰς ἕδρας ἦν, δυσεντερίαν φησὶν ὁ Ἰώσηπος, καὶ ἔθνησκον συχνοὶ ἐξ αὐτῆς. Μύες δὲ τῆς γῆς ἀναδοθέντες, τὴν χώραν ἅπασαν ἐκεράιζον. Ὀφὲ δὲ συνῆκαν τὴν κιβωτὸν αἰτίαν αὐτοῖς εἶναι τῶν παθῶν οἱ Ἀζώτιοι, καὶ πέμπουσιν αὐτὴν εἰς Ἀσκάλωνα, καὶ ἔπασχον ἐκεῖνοι τὰ ὅμοια. Καὶ οὕτω πέντε τῶν Παλαιστινῶν ἀμείβει πόλεις ἡ κιβωτὸς, καὶ πάσαις εἰς κάκωσιν γέγονεν. Συνῆλθον οὖν οἱ τῶν κακουμένων πέντε πόλεων ἄρχοντες, Γήτης, καὶ Ἀκκαρῶν, Ἀσκάλωνός τε καὶ Γάζης, καὶ Ἀζώτου. Καὶ οἱ μὲν ἄλλα περὶ τῆς κιβωτοῦ, οἱ δ' ἕτερα συνεβούλευον. Καὶ τέλος ἔδοξε πᾶσιν, ἕδρας πέντε χρυσᾶς, καὶ μύας τοσούτους χρυσοῦς ποιῆσαι, καὶ θέσθαι ἐπὶ τῆς κιβωτοῦ, ἅμαξάν τε καινουργῆσαι. καὶ βόας πρωτοτοκούσας τῇ ἁμάξῃ ὑπαγαγεῖν, τοὺς δὲ μόσχους αὐτῶν κατασχεῖν. Καὶ ἐπιθεῖναι τῇ ἁμάξῃ τὴν κιβωτὸν, τὰς βόας δ' ἀπαγαγόντας ἐπὶ τριόδου καταλιπεῖν, ἵν' ἐπ' αὐταῖς εἴη ἀπιέναι καθ' ἣν ὁρμήσουσι. Καὶ εἰ μὲν εὐθὺ τῶν Ἰσραηλιτῶν ἀπελεύσονται, διὰ τὴν κιβωτὸν οἴεσθαι σφίσιν ἐπάγεσθαι τὰ κακὰ, καὶ μὴ κωλύειν τὴν εἰς ἐκείνους πορείαν. Εἰ δ' ἄλλοσέ πη ἀπίοιεν, ἐπιστρέψαι αὖθις τὰς βόας τε καὶ τὴν ἅμαξαν, καὶ τὰ ἐπ' αὐτῆς. Ἐπιτελέσαντες τοίνυν τὰ δόξαντα, ἀφῆκαν τὰς βόας, μήκοθεν ἑπόμενοι καὶ αὐτοὶ ἵν' ὁρῷεν τὸ ἐκβησόμενον. Αἱ δὲ κατ' εὐθὺ τῶν Ἑβραίων ἀπῆσαν, καὶ οὐ πρότερον ἔστησαν πρὶν εἰς μέγα πεδίον ἐν Βεθσαμοῖς κατηντήκασιν. Ὡς δ' εἶδον οἱ τῆς χώμης ἐκείνης ἄνδρες τὴν κιβωτὸν, ὡρμήκασιν, ἐπ' αὐτήν· καὶ καθελόντες ἐκ τῆς ἁμάξης αὐτὴν, ἔθυσαν τὰς βόας, καὶ τοῖς ξύλοις οἷς ἡ ἅμαξα εἴργαστο, αὐτὰς ὁλοκαύτωσαν. Ὅπερ ἰδόντες οἱ Παλαιστινοὶ, ὑπενόστησαν. Τοὺς δ' ἁψαμένους τῆς κιβωτοῦ, μὴ ζῶντας ἱερεῖς, ὀργισθεὶς ὁ Θεὸς ἐθανάτωσεν. Οἱ δέ γε λοιποὶ τῷ κοινῷ τῶν Ἑβραίων ἐγνώρισαν τὰ περὶ τῆς κιβωτοῦ· κἀκεῖνοι λαβόντες αὐτὴν, ἀπάγουσιν εἰς Καριαθιαρείμ, καὶ εἰς οἰκίαν Ἀμιναδὰβ (ἐκ τῆς Λευϊτικῆς οὗτος φυλῆς) κατατίθενται. Καὶ ἔμεινεν ἐκεῖ ἔτη εἴκοσι, παρὰ δὲ τοῖς ἀλλοφύλοις μῆνας τέσσαρας. Σαμουὴλ δὲ ὁ προφήτης μέγα ἤδη σχὼν ὄνομα, καὶ δόξης ἦκων ἐπὶ πολὺ, συναγαγὼν τὸν λαὸν περὶ ἐλευθερίας αὐτῷ διειλέχθη, καὶ ἔπεισε ταύτης ἀντιποιήσασθαι. Ὁ μαθόντες οἱ Παλαιστινοὶ, ἀπροσδοκήτως τοῖς Ἑβραίοις ἐπίασι. Καὶ κατεπτόησαν αὐτοὺς, ὡς τῷ Σαμουὴλ προσδραμεῖν λέγοντας, ἀπεγνῶσθαι τὴν σωτηρίαν αὐτοῖς, εἰ μὴ αὐτὸς σφίσι τὴν ἐκ τοῦ θείου ἐπικουρίαν αἰτήσεται. Καὶ ὃς θαρρεῖν παρεγγυᾷ, καὶ τὸν Θεὸν ἐπαρῆξαι διαβεβαιοῦται αὐτοῖς· καὶ θύσας ἄρνα, ἐδέετο τοῦ Θεοῦ. Μήπω δὲ τὴν θυσίαν τῆς ἱερᾶς δαπανησάσης φλογὸς, προβάλλουσι τοῖς Ἑβραίοις οἱ ἀντιπολέμοι, ῥᾴων αὐτῶν κρατήσειν ὡς ἀόπλων οἰόμενοι. Σεισμῷ δὲ τῆς γῆς κλονηθείσης ὑπὸ Θεοῦ, καταῤῥαγεισῶν τε βροντῶν, καὶ ἐξαφθεισῶν ἀστραπῶν, εἰς δειλίαν ἐνέπεσον οἱ πολέμιοι, καὶ ἐτράπησαν εἰς φυγήν. Κατεδίωξε δὲ Σαμουὴλ καὶ τὸ πλῆθος ὄπισω αὐτῶν, καὶ πολλοὺς διεφθάρκασι, καὶ οὐκέτι μετὰ τὴν πληγὴν ταύτην ἐπὶ τοὺς Ἰσραηλίτας ἐστράτευσαν, ἀλλὰ καὶ τὴν χώραν ἣνπερ ἀφείλοντο, ἐπανεσώσατο αὖθις τοῖς Ἑβραίοις ὁ Σαμουήλ. Ἔκρινε δὲ τὸν λαὸν, καὶ ἦρχεν αὐτῆς.

KZ'. Ἤδη δὲ γεγηρακὼς, ταῖς υἱοῖς αὐτοῦ τὴν τοῦ λαοῦ προστασίαν καὶ τὸ δικάζειν διένειμεν· ὄνομα τῷ πρεσβυτέρῳ Ἰωήλ· τῷ νεωτέρῳ δὲ, Ἀβιά. Οἳ οὐκ ἐπορεύθησαν ἐν ταῖς ὁδοῖς τοῦ πατρὸς αὐτῶν, ἀλλ' ἐκκλίναντες, δῶρον τὸ δίκαιον προεδίδοσαν,

A sam Azotii intelligentes, Ascalonem mittunt : iis etiam eadem accidunt. Sic quinque Palæstinorum urbes arca pervagata, omnibus calamitosa exstitit. Itaque magistratus quinque urbium iis malis conflictantium congressi, videlicet Getæ, Accaronis, Ascalonis, Gazæ et Azoti, aliis aliud de arca censentibus, tandem decrevere omnes, sedes quinque aureas, totidemque mures item aureos arcæ imponere, et novum fabricare currum, et vaccas quæ primum peperissent currui jungere, sed earum vitulos retinere, ac currui arca imposita, boves in trivium abductas relinquere, ut quorsum impetus tulerit eant. Quæ si versus Israelitas abeant, ob arcam mala illa se perpeti statuendum, neque prohibendum quominus illo eant : sin alio se converterint, reducendas boves et currum, et quæ in
B **58** eo sint. Ilis, ut decretum fuerat, peractis, dimisere boves, eminus ipsi sequentes, ut eventum viderent. At illæ recta versus Hebræos ire, neque subsistere prius, quam in magnum campum Bethsames pervemissent. Ut autem pagi illius viri arcam viderunt, accurrunt, de curru tollunt, boves immolant : et lignis e quibus currus confectus erat, cremant. Quo Palæstini viso, retro abierunt. Deus autem iis qui arcam attigerant, cum profani essent, iratus, necem attulit. Reliqui commune Hebræorum de arca recepta certiores reddunt. Illi eam Cariathiarim abducunt, et in Aminadabi Leviticæ tribus hominis ædibus collocant, ubi annis
C viginti mansit, cum apud alienigenas quatuor menses fuisset. At Samuel propheta jam celebris, et magna præditus auctoritate, populo convocato, de vindicanda libertate disserit ac persuadet. Quo Palæstini cognito, inopinata aggressione Israelitas perterrefaciunt; qui ad Samuelem confugientes, de salute sua esse actum aiunt, nisi ipse numinis opem exorarit. Ille bonis animis esse jubet, et Dei auxilium pollicetur, agnoque immolato, Deum orat. Nondum flamma victimam consumpserat, cum hostes impetum in Hebræos faciunt, facilius eos inermes superari posse rati. Sed et terra divinitus concussa, et tonitribus erumpentibus, et fulguribus emicantibus perterriti, in fugam vertuntur. Fugientibus Samuel cum populo instat, ac multos cædit.
D Post eam cladem non amplius Israelitas invasere : sed et terram quam Hebræis ademerant, Samuel recepit. Ita is populo jus dicebat, et imperabat.

XXVII. Verum jam senex populi gubernandi munus ac juris dicundi provinciam filiis distribuit, quorum majori Joelis, minori Abiæ nomen erat : qui morem patris non secuti, ad largitionum corruptelas deflexerunt, et ius atque æquum venale

habuerunt. Hæc populus ægre ferens, ad Samuelem confluit, et : *Quoniam tu*, inquit, *per ætatem nobis præesse non potes, regem creato, qui et gentem gubernet, et adversarios nostros oppugnet.* Ea re cum Samuel tristaretur, dicit eis Deus : *Non te pro nihilo habuit populus, sed me; quem vero tibi monstraro, eum regem ungito.* **59** Hebræis igitur convocatis, Samuel proponit, se electurum eis esse regem, prædicens fore ut pœniteret eos, ac liberationem a regibus Deum oraturos. Illi instant, regem flagitantes, de rebus futuris securum esse jubent. Tum Samuel : *Abite nunc*, inquit, *ubi cognovero, quem vobis Deus dederit, accersam vos.* Accidit autem, ut Benjamita quidam, nomine Cis, Saulem filium, hominem statura et forma excellenti, cum servo ad asinarum quas amiserat inquisitionem mitteret. Quas ille cum passim quæsivisset, nec invenisset, Samuelem de asinabus interrogaturus, Armathaim venit. Ibi Deus Samueli revelat, eum esse quem populo Hebræorum imperare velit. De asinabus igitur rogatus, incolumes esse respondet : et Saulem hospitio exceptum mane prosequitur. Urbem egressus, cum adolescentem seduxisset, oleo caput ejus perfundit, ac deosculatus : *Unxit te Deus*, inquit, *regem populi sui, cujus unctionis illud tibi signum erit, quod circa Rachelis sepulcrum duo tibi viri occurrent, asinas repertas gratulaturi.* Adjicit et alia signa confirmandæ veritatis ergo, atque inter cætera, ubi Gabatam venerit, cum illius loci prophetis vaticinaturum. Mandat etiam, cum a se accersatur, ut Galgala veniat. Post coacto populo sortem mittere tribus jussit, ut constaret, cujus futurus esset rex. Cecidit autem sors in Benjamiticam, deinde in gentem Battarim : quæ cum viritim sortiretur, Sauli sors obveuit. Quæritur ille, nec invenitur. Samuel divinitus monstratis ejus latebris, adductum in medio statuit. Erat autem proceræ staturæ, et humeris eminebat supra omnes. Tum ad populum Propheta : *Hunc*, inquit, *regem vobis unxit Dominus, cujus inter vos omnes non est similis.* Populus gratulabundus acclamat : *Vivat rex.* Saulem ita regno potitum, multi observabant ut regem, et ut par erat honorabant. Multi etiam spernebant et irridebant. Post mensem Naas Ammanitarum rex Jaben Galaaditicæ obsidet, non alia conditione se viris parcere velle dicens, nisi dextrum oculum sibi quisque eruendum traderet. Illi septem dierum inducias petunt : iis impetratis, nuntios in Galaaditicam **60** mittunt. Auditis Ammanitæ verbis, populus luget : Saul vero ingenti ira percitus, duos boves membratim concisos in omnes fines Israelitarum mittit, comminatus, eodem modo se tractaturum eos, qui ad propulsandos Ammanitas non adessent. Concursu populi facto, numeroque inito, inventa sunt virorum septingenta millia : et Saul numine afflatus prædicit, Jabinos postridie fore salvos. Totamque noctem cum exercitu profectus, circa primam vigiliam ad Ammanitas per-

A καὶ λήμμασι τὰς κρίσεις ἐδίκαζον. Ὁ δὲ λαὸς διὰ ταῦτα πρὸς Σαμουὴλ ἀθροισθεὶς, Ἐπεὶ μὴ εἶδός τε σὺ, ἔφησαν, προεστάναι ἡμῶν διὰ γῆρας, ποίησον ἡμῖν βασιλέα. ὃς καὶ τοῦ ἔθνους ἡγήσεται, καὶ τοῖς ἐναντίοις ἀντιστρατεύσεται. Λυπουμένου δ' ἐπὶ τούτοις τοῦ Σαμουὴλ, εἶπε πρὸς αὐτὸν ὁ Θεὸς · Οὔ σε ἐξουθενήκασιν ὁ λαὸς, ἀλλ' ἐμέ· ἄκουσον τοίνυν αὐτῶν, καὶ ὃν ἀναδείξω σοὶ, εἰς βασιλέα χρῖσον αὐτοῖς. Συναθροίσας δὲ τοὺς Ἑβραίους ὁ Σαμουὴλ, κατέθετο χειροτονήσειν αὐτοῖς βασιλέα. Μεταμελήσειν δὲ προέφη αὐτοῖς, καὶ αἰτεῖσθαι μέλλειν παρὰ Θεοῦ τῶν βασιλέων ἀπαλλαγήν. Οἱ δὲ ἐνέκειντο βασιλέα ζητοῦντες, καὶ ἠξίουν αὐτὸν, μὴ φροντίζειν τῶν ἐσομένων. Ὁ δὲ Προφήτης, Ἄπιτε νῦν, εἶπεν, ὅταν δὲ μάθω τίνα δίδωσιν ἡμῖν ὁ Θεὸς βασιλέα, μεταπέμψομαι ὑμᾶς. Ἀνὴρ δέ τις Βενιαμίτης (Κεῖς ὄνομα τῷ ἀνδρὶ) ὄνους ἀπολέσας, τὸν υἱὸν, ὃς ἦν αὐτῷ μέγας τε καὶ ὡραῖος, κεκλημένος Σαοὺλ, εἰς ἀναζήτησιν τῶν ὄνων σὺν ἑνὶ τῶν δούλων ἀπέστειλεν. Ὁ δὲ περιελθὼν, καὶ ζητήσας, καὶ μὴ εὑρὼν, εἰς Ἀρμαθαΐμ πρὸς τὸν Σαμουὴλ παραγέγονεν, ἐρωτήσων περὶ τῶν ὄνων. Δηλοῖ τοίνυν τῷ Σαμουὴλ ὁ Θεὸς, τοῦτον εἶναι ὃν βούλεται βασιλεῦσαι τοῦ λαοῦ τῶν Ἑβραίων. Ἐρωτηθεὶς οὖν περὶ τῶν ὄνων ὁ Σαμουὴλ, σεσῶσθαι εἶπεν αὐτάς. Καὶ ξενίσας τὸν Σαοὺλ, προέπεμψεν ἔωθεν. Καὶ ἔξω τοῦ ἄστεος σὺν αὐτῷ πορευθεὶς, μόνον τε ἰδίᾳ τὸν νεανίαν ἀπολαβὼν, ἔλαιον καταχέει τῆς αὐτοῦ κεφαλῆς. Καὶ φιλήσας αὐτὸν, Κέχρικέ σε Κύριος ἄρχοντα, ἔφη, ἐπὶ τὸν λαὸν αὐτοῦ Ἰσραήλ. Καὶ ἔστω σημεῖον τοῦ χρίσματος, τὸ συναντῆσαί σοι περὶ τὸν τάφον Ῥαχὴλ, ἄνδρας δύο τὴν εὕρεσιν τῶν ὄνων εὐαγγελιζομένους σοι. Καὶ ἄλλα δὲ σημεῖα τοῦ ἀληθεύειν εἶπεν αὐτῷ, καὶ ὅτι προφητεύσει ἐν Γαβαθὰ γεγονὼς μετὰ τῶν ἐκεῖ προφητῶν. Καὶ ἥξειν εἰς Γάλγαλα αὐτῷ ἐνετείλατο, ἡνίκα μεταπεμφθῇ παρ' αὐτοῦ. Συνήθροισε δ' ἔπειτα τὸν λαὸν, καὶ κλήρους βαλεῖν ἐκέλευσε τὰς φυλὰς, ἵν' ἀναδειχθείη ἐκ ποίας ὁ βασιλεύσων ἔσεται. Ἔπεσεν οὖν ὁ κλῆρος εἰς τὴν Βενιαμίτιδα, εἶτα εἰς τὴν πατριὰν Βατταρί. Κατ' ἄνδρα δὲ τῆς πατριᾶς κληρωθείσης, εἰς τὸν Σαοὺλ ὁ κλῆρος ἐξέπεσεν. Ὡς δὲ ζητούμενος οὐκ ἦν, μυεῖται ὁ Σαμουὴλ παρὰ τοῦ Θεοῦ ὅπου ἐκέκρυπτο· καὶ ἀχθέντα, ἔστησε μέσον. Καὶ ἦν ὑπερωμίας, καὶ πάντων ὑπερέχων κατὰ τὴν ἡλικίαν τοῦ σώματος. Καὶ πρὸς τὸ πλῆθος ἔφησιν ὁ προφήτης, *Τοῦτον ἔχρισεν ὑμῖν εἰς βασιλέα ὁ Κύριος, ᾧ οὐκ ἔστιν ὅμοιος ἐν πᾶσιν ὑμῖν*· ὁ δὲ λαὸς ἐπευφήμησε, καὶ εἶπεν· *Ζήτω ὁ βασιλεύς*. Οὕτω δὲ τῷ Σαοὺλ βασιλεύσαντι, πολλοὶ μὲν προσεῖχον ὡς βασιλεῖ, καὶ κατὰ τὸ προσῆκον ἐτίμων αὐτὸν, πολλοὶ δὲ κατεφρόνουν τε καὶ ἐχλεύαζον. Μετὰ δὲ μῆνα, Νάας ὁ τῶν Ἀμμανιτῶν βασιλεὺς, στρατεύει ἐπὶ Ἰαβεὶς Γαλαάδ, μὴ ἄλλως λέγων φείσασθαι τῶν ἀνδρῶν, εἰ μὴ δῶσιν αὐτῷ τὸν ἑκάστου ἐξελεῖν δεξιὸν ὀφθαλμόν. Οἱ δὲ ἀνοχὴν ἐζήτησαν ἑπτὰ ἡμερῶν· καὶ λαβόντες, πέμπουσιν ἀγγέλους εἰς Γαλαάδ. Καὶ ἀκούσαντες οἱ ἐκεῖ τοὺς λόγους τοῦ

Ἀμμανίτου, ἐθρήνησαν. Ὁ δὲ Σαοὺλ ἐθυμώθη A venit : ac trifariam divisis copiis, hostes circumσφόδρα· καὶ λαβὼν δύο βόας, ἐμέλισεν αὐτούς, καὶ ἀπέστειλεν εἰς πᾶν ὅριον Ἰσραὴλ, ἀπειλῶν οὕτω θήσειν τοὺς μὴ κατὰ τῶν Ἀμμανιτῶν συνεκστρατεύσαντας αὐτῷ. Συνδραμόντος δὲ τοῦ λαοῦ, ἠρίθμησεν αὐτούς, καὶ εὗρε μυριάδας ἑβδομήκοντα. Καὶ ἐφήλατο πνεῦμα Κυρίου ἐπὶ Σαοὺλ, καὶ προεφήτευσεν, εἰπὼν ὡς αὖριον ἔσται τοῖς ἀνδράσιν Ἰαβεὶς σωτηρία. Καὶ ἀναστὰς ἐπορεύθη αὐτός τε καὶ ὁ λαὸς δι' ὅλης τῆς νυκτός. Καὶ περὶ τὴν πρώτην φυλακὴν ἐπῆλθε τοῖς Ἀμμανίταις, τριχῇ τὸ στράτευμα διελών. Καὶ κυκλωσάμενος αὐτούς, πολλοὺς μὲν ἀπέκτεινε, καὶ αὐτὸν τὸν βασιλέα Νάας· τοὺς δὲ περισωθέντας, ἐτρέψατο εἰς φυγήν, καὶ εἰς τὴν χώραν αὐτῶν ἐμβαλών, καὶ πλείστην λείαν λαβών, λαμπρῶς ἐπανέζευξεν. Οὐκέτι γοῦν ἠδόξει παρά τισιν, ἀλλ' ἐπ' ἀνδρείᾳ διαβεβόητο, καὶ τετίμητο καὶ τοῖς πρώην αὐτὸν χλευάζουσι. Συναγαγὼν δὲ αὖθις ὁ Σαμουὴλ τὸν λαὸν, δὶς ἀναγορεύει τὸν Σαοὺλ βασιλέα χρίσας τῷ ἐλαίῳ καὶ πάλιν αὐτόν. Μετέπεσεν οὖν ἡ τῶν Ἑβραίων πολιτεία εἰς βασιλείαν ἐξ ἀριστοκρατείας· ἐπὶ γὰρ Μωϋσέως καὶ Ἰησοῦ ἀριστοκρατούμενοι ἦσαν· εἶτα ἐπ' ἔτη δέκα καὶ ὀκτὼ, ἄναρχοι διετέλεσαν· εἰσέπειτα δ' ἤρχθησαν ὑπὸ τῶν καλουμένων κριτῶν, τῷ ἀρίστῳ δικάζειν περὶ τῶν ὅλων καὶ οἰκονομεῖν ἐπιτρέποντες.

dat, multos cædit, ipsumque regem Naam. Reliquos fundit, et impressione in eorum regionem facta, opimaque præda parta, illustris domum revertitur, neque jam contemptui habetur, sed ob fortitudinem celebratur, et honoratur ab iis etiam, a quibus dudum subsannatus fuerat. Itaque Samuel rursus congregato populo, Saulem denuo regem proclamat, iterum inunctum oleo. Sic Hebræorum respublica ex optimatum imperio in regnum est mutata : nam sub Mose et Jesu parebant optimatibus, post, per annos octodecim magistratu caruerunt ; deinde sub iis fuere, qui Judices vocabantur, judiciorum et rerum omnium summa uni ex optimis permissa.

ΚΗ'. Τοῦ δὲ Σαμουὴλ ἐξορκίσαντος τὸν λαὸν B εἰπεῖν, εἴ τι ἄδικον εἰργάσατο εἰς αὐτοὺς, πάντες δικαίως αὐτὸν καὶ καλῶς προστῆναι τοῦ ἔθνους ἐβόησαν. Ὁ δὲ αὐτοῖς ἀπεκρίνατο, *Ἴστε ὡς μεγάλα ἡμαρτήκατε, βασιλέα ἑαυτοῖς αἰτησάμενοι, κἀκ τούτου παρωργίσατε τὸν Θεόν. Ἔσται δὲ τοῦτο σημεῖον ὑμῖν, τὸ θέρους ἐν ἀκμῇ χειμῶνα γενήσεσθαι.* Καὶ κατὰ τὸν προφήτου λόγον βρονταὶ καὶ ἀστραπαὶ γεγόνασι, κατηνέχθη τε χάλαζα, ὡς δέος ἐμπεσεῖν τῷ λαῷ, καὶ ἱκετεύειν τὸν Σαμουὴλ ἱλεώσασθαι τὸν Θεὸν αὐτοῖς ἁμαρτήσασι. Τῶν δὲ Παλαιστινῶν τοὺς Ἑβραίους καταστρεφόντων, καὶ τὰ ὅπλα σφῶν ἀφαιρουμένων, σιδήρῳ τε χεχρῆσθαι ἀπαγορευόντων, ὁ Σαοὺλ εἰς Γάλγαλα καταβὰς, ἐπ' ἐλευθερίᾳ τὸν λαὸν κατὰ τῶν Παλαιστινῶν διαναστῆναι ἠρέθιζεν, οἱ δ' ἠύλαβοῦντο διὰ τὸ πλῆθος C τῶν ἐναντίων. Ὁ δὲ βασιλεὺς τὸν Σαμουὴλ ἐκάλει πρὸς ἑαυτὸν, καὶ ὃς μεθ' ἡμέρας ἑξ παραγενέσθαι ὑπέσχετο, θύσειν τε τῇ ἑβδόμῃ, ἵν' οὕτω τοῖς ἀλλοφύλοις συμμίξωσιν. Ὁ δέ γε Σαοὺλ ὁρῶν τὸν λαὸν ὑποῤῥέοντα καὶ καταλιμπάνοντα αὐτὸν, ἔθυσεν. Ἀκούσας δὲ ἄρτι προσίοντα τὸν Σαμουὴλ, ἐξῆλθε συναντήσων αὐτῷ. Ὁ δὲ, *Τί τοῦτο ἐποίησας*, ἔφη, *παραβὰς μού τὴν ἐντολήν; Ἴσθι τοίνυν, ὡς οὐ συσταθήσεταί σου ἡ βασιλεία, ἀλλὰ ζητήσει Κύριος ἄνθρωπον κατὰ τὴν καρδίαν αὐτοῦ.* Καὶ ἀνεχώρησεν Σαμουήλ. Σαοὺλ δὲ καὶ Ἰωνάθαν ὁ υἱὸς αὐτοῦ ἦκεν εἰς Γαβαὼ, σὺν στρατιώταις ἑξακοσίοις. Εἰς τρία δὲ διαιρεθέντες οἱ ἀλλόφυλοι, τὴν χώραν τῶν Ἰσραηλιτῶν ἐληΐζοντο. Σαοὺλ δὲ καὶ Ἰωνάθαν καὶ Ἀχιὰ ὁ ἀρχιερεὺς ἀφ' ὕψους ὁρῶντες τὰ δρώμενα, καὶ ἀμῦναι δι' ὀλιγανδρίαν μὴ σθένοντες, ἦχθοντο. Ὁ δὲ Ἰωνάθαν μηδὲν εἰπὼν τῷ πατρὶ, καταβὰς ἀπὸ τοῦ βουνοῦ σὺν μόνῳ τῷ ὁπλοφόρῳ αὐτοῦ, *Προσβάλλωμεν*, ἔφη, *τῇ τῶν ἀλλοφύλων παρεμβολῇ· καὶ εἰ μὲν εἴπωσιν ἡμῖν, Ἀπόστητε, οὐκ ἀναβησόμεθα πρὸς αὐτούς· εἰ δ' Ἀνάβητε πρὸς ἡμᾶς, φήσουσι, σύνθημα νίκης τὸν λόγον νομι-*

XXVIII. Samuele porro sacramento populum adigente, ut dicerent, num qua injuria illos affecisset : exclamarunt omnes, eum juste et bene genti præfuisse. Tum ille : *Scitote*, inquit, *vos rege flagitando graviter deliquisse, eaque re irritasse Deum : cujus illud vobis signum erit, quod adulta æstate tempestas orietur.* Nec mora, tonitrua et fulgura, ut Propheta dixerat, eruperunt, et grando delata est, ut populus perterrefactus Samuelem rogaret ut sibi delictorum a Deo veniam impetraret. Cum autem Palæstini Hebræos subigerent, armis ademptis et usu ferri interdicto, Saul Galgala descendit, populum ut ad vindicandam contra Palæstinos libertatem exsurgeret cohortatus. Illis vero multitudinem hostium reformidantibus, rex Samuelem ad se vocat. Is post sex dies venturum constituit, ut die septimo re divina facta cum hostibus confligant. At Saul cum videret populum clam abire, seque deseri, immolat : et audito Samuelis **61** accessu, obviam progreditur. Ibi vates : *Quid*, inquit, *istud egisti, violatis præceptis meis? Scito igitur non stabile fore regnum tuum ; sed quæsiturum esse Deum hominem ex animi sui sententia.* Ita discessit Samuel. Saul vero et Jonathas filius ejus cum sexcentis militibus Gabaonem profecti sunt. Alienigenæ autem copiis trifariam divisis, agros Israelitarum populabantur. Id Saul, Jonathas et Achia sacerdos ex alto conspicientes, et ob paucitatem ad opem ferendam impares, animis angebantur. At Jonathas, patre inconsulto, cum solo armigero de colle descendens : *Aggrediamur* inquit, *castra hostium : qui si nobis dixerint : Discedite, non ascendemus ad eos. Sin ascendere jusserint, ea verba victoriæ tessera habenda erunt.* Itaque ad castra hostium fertur. Illi : *Ascendite ad nos*, inquiunt, *est enim quod vobiscum colloquamur.* Ea vox animum auxit Jonathæ, atque inde digressus aliunde cum suo comite arrepit, hostes dormientes

invadit ; ac cæsis ad viginti, cæteris terrorem incutiunt, ut perturbati et fugientes alii ab aliis interirent. Saul castra hostium perturbata videns, et filii atque armigeri illius absentia cognita, impetum et ipse in hostes perturbatos facit. Tum qui dudum præ metu se occultarant, receptis animis cum rege se conjungunt, hostes persequuntur, cædunt. Saul diras imprecatur suis, si quis ante noctem, cæde hostium intermissa, cibum gustaret. Inter persequendum, Jonathas exsecrationis paternæ ignarus, cum in silvam esset ventum, in qua apiarium erat, favum comedit. Saul castra hostium oppugnaturus, per sacerdotem oraculum consulit, num victoriam largiatur Deus? Sed Deo nihil respondente, auctorem offensi Numinis quærit ; ac : *Ipsum Deum testor*, inquit, *me sontem occisurum. etiamsi filius meus Jonathas fuerit.* Sorte ducta, Jonathas designatur, qui rogatus quid deliquisset, se nullius peccati sibi esse conscium ait, nisi quod pridie, paternæ exsecrationis ignarus de favo gustasset. Eo pater audito, se illum occisurum jurat. Populus contra et ipse jurat se non passurum ut victoriæ auctor occidatur : eoque erepto, votis Deum placat. Saul Palæstinorum circiter sexaginta millibus occisis, regreditur : ac Ammonitis, **62** Moabitis, Pœlestinis, Idumæis, Amalechitis, necnon Subæ rege subactis, Israelitas e manu exterorum eripit.

στέον ἡμῖν. Καὶ ὥρμησαν ἐπὶ τὸ τῶν πολεμίων στρατόπεδον. Καὶ αὐτοῖς οἱ ἀλλόφυλοι, Ἀνάβητε, ἔλεγον, *πρὸς ἡμᾶς καὶ γνωρισοῦμεν ὑμῖν ῥῆμα.* Τοῦτο θάρσος ἐνῆκε τῷ Ἰωνάθαν· καὶ ἀποστὰς ἐκεῖθεν, ἑτέρωθεν ἀνερπύσας μετὰ τοῦ ἑπομένου αὐτῷ, ἔπεισι τοῖς πολεμίοις ὑπνώττουσι, καὶ κτείνουσι μὲν ὡς εἴκοσι· τοῖς δὲ λοιποῖς δειλίαν ἐνέβαλλον, οἳ θορυβούμενοί τε καὶ φεύγοντες, ὑπ' ἀλλήλων διώλλυντο. Ἰδὼν δὲ ταραττόμενον ὁ Σαοὺλ τὸ τῶν πολεμίων στρατόπεδον, καὶ ἀπόντα τὸν υἱὸν ἅμα τῷ ὁπλοφόρῳ κατανοήσας, προσβάλλει καὶ αὐτὸς τεταραγμένοις τοῖς ἐναντίοις· καὶ οἱ πρὶν δὲ διὰ φόβον κρυβέντες ἀναθαρσήσαντες, τῷ βασιλεῖ προσετίθεντο· καὶ διώκων τοὺς πολεμίους ἐκτίννυεν. Ἐπαρᾶται τοίνυν τοῖς αὐτοῦ, εἴ τις ἀποσχόμενος τοῦ φονεύειν τοὺς ἐχθροὺς, φάγοι, εἰ μὴ νὺξ αὐτοὺς παύσοι. Ἐν δὲ τῷ διώκειν κατά τινα δρυμὸν ἐν ᾧ μελισσῶν ἦν, καὶ λαβὼν ὁ Ἰωνάθαν κηρίον μέλιτος, ἔφαγεν· οὐ γὰρ ἦν ἀκηκοὼς τῆς ἀρᾶς τοῦ πατρός. Ἐπελθεῖν δὲ βουληθεὶς ὁ Σαοὺλ τῇ τῶν ἐναντίων παρεμβολῇ ἠρώτα διὰ τοῦ ἀρχιερέως τὸν Θεὸν, εἰ δίδωσι νίκην; Τοῦ δὲ Θεοῦ μὴ δηλοῦντος, ἐζήτει τὸ αἴτιον. Καὶ, *Ὄμνυμι*, ἔφη, *αὐτὸν τὸν Θεὸν, ἀποκτείνειν τὸν ἁμαρτόντα, κἂν Ἰωνάθαν εἴη ὁ παῖς ὁ ἐμός.* Καὶ κληρωσαμένων, ἐπὶ Ἰωνάθαν ὁ κλῆρος ἔπεσεν. Ὁ δὲ περὶ ἁμαρτίας ἀνακρινόμενος, οὐδὲν εἶπεν ἑαυτῷ συνειδέναι, ἢ ὅτι χθὲς τὴν ἀρὰν ἀγνοήσας, ἐν τῷ διώκειν ἐγευσάμην κηρίου. Ἀκούσας δὲ ὁ πατὴρ, ἀποκτενεῖν αὐτὸν ὤμοσε. Καὶ ὁ λαὸς ἀντώμοσε, μὴ περιόψεσθαι τὸν αἴτιον τῆς νίκης ἀποθνούμενον. Καὶ ἐξαρπάσαντες αὐτὸν, εὐχαῖς τὸν Θεὸν ἐξιλάσκοντο. Διαφθείρας δὲ ὁ Σαοὺλ ὡσεὶ μυριάδας ἐκ τῶν Παλαιστινῶν, ἀνθυπέστρεψε. Χειροῦται δὲ Ἀμμανίτας καὶ Μωαβίτας, Παλαιστινούς τε καὶ Ἰδουμαίους καὶ Ἀμαληκίτας, καὶ τὸν βασιλέα τῆς Σουβᾶ. Καὶ ἐξείλετο τὸν Ἰσραὴλ ἐκ χειρὸς τῶν ἀλλοφύλων.

XXIX. Sauli filii fuere tres, Jonathas, Jesus et Melchisus : ac filiæ duæ, Meroba et Melchol. Imperatorem crearat Abenerem, Neris cognati sui filium. Dixerat autem Sauli Samuel, jubere Deum ut cæderet Amalechum, victoriaque potitus, neutrini parceret, non mulieribus, non infantibus, non jumentis ; non pecudibus. sed eorum nomen funditus deleret. Itaque Saul cum Amalechitis congressus, hostes vincit, cædit omnes. Sed Agagum illius terræ regem in potestatem redactum, admiratione formæ et magnitudinis, non occidit : armenta etiam, greges, cæteraque eximia, divini mandati immemor, conservat. Proinde Samuel a Deo edoctus, pœnitere eum Saulis creati regis, occurrit regi. Is ait se gratiam habere Deo, cujus munere vicisset hostes, et ut jussus fuerit, administrasse omnia. Tum Samuel : *Vocem*, inquit, *audio jumentorum et aliarum pecudum, unde ista?* Saul respondet populum ea in victimam asservasse Deo : cæterum Amalechitas omnes, rege eorum excepto, deletos esse. Ad ea Samuel : *Quoniam*, inquit, *Dei jussis non obtemperasti, scito te regnum amissurum.* At ille, se peccasse fassus, Prophetam orat, ut per sacrificia Deum sibi recon-

ΚΘ'. Ἦσαν δὲ τῷ Σαοὺλ υἱοὶ τρεῖς, Ἰωνάθαν καὶ Ἰησοὺ καὶ Μελχισοὺ· καὶ θυγατέρες δύο, Μερὸβ καὶ Μελγόλ. Ἀρχιστρατηγὸν δὲ εἶχε τὸν Ἀβεννὴρ, υἱὸν Νὴρ συγγενοῦς αὐτοῦ. Ἔφη δὲ Σαμουὴλ τῷ Σαοὺλ, κελεύειν αὐτῷ τὸν Θεὸν πατάξαι τὸν Ἀμαλὴκ, καὶ κρατήσαντα, μηδενὸς φείσασθαι, μὴ γυναικῶν, μὴ νηπίων, μὴ ὑποζυγίων, μὴ βοσκημάτων, ἐξαλεῖψαι δὲ τὸ ὄνομα αὐτοῦ ἐκ τῆς γῆς. Καὶ ὁ Σαοὺλ τῷ Ἀμαλὴκ συμβαλὼν, κατὰ κράτος νικᾷ, καὶ κτείνει πάντας. Χειροῦται δὲ καὶ τὸν βασιλέα τῆς χώρας, Ἀγαγ ὠνομασμένον, καὶ οὐκ ἀπέκτεινεν, ἀγασθεὶς αὐτὸν διὰ κάλλος, καὶ μέγεθος, καὶ τὰ τῶν βουκολίων καὶ ποιμνίων, καὶ τῶν ἄλλων ἐξαίρετα περιεποιήσατο, ἀμνημονήσας τῆς θείας προστάξεως. Χρηματισθεὶς δὲ Σαμουὴλ παρὰ τοῦ Θεοῦ, εἰπόντος μεταμελῆσαι (49), ὅτι ἐβασίλευσε τὸν Σαοὺλ, συνήντησε τῷ βασιλεῖ. Ὁ δὲ εὐχαριστῆσαι ἔλεγε τῷ Θεῷ δόντι κράτος αὐτῷ κατὰ τῶν πολεμίων, καὶ πάντα δὲ τὰ κεκελευσμένα ποιῆσαι. Καὶ ὁ προφήτης, *Βοῆς*, εἶπεν, *ἀκούω ὑποζυγίων καὶ βοσκημάτων ἄλλων. Πόθεν ταῦτα*; Σαοὺλ δὲ, τὸν λαὸν, εἶπεν, εἰς θυσίαν τετηρηκέναι αὐτὰ τῷ Θεῷ· τοὺς δὲ Ἀμαληκίτας πάντας ἐξαφανισθῆναι ἄτερ τοῦ βασιλέως αὐτῶν. Πρὸς ταῦτα ὁ Σαμουὴλ, *Ἐπεὶ τὰ κε-*

Variæ lectiones et notæ.

(47) *Μεταμελῆσαι*. Legendum μεταμεμελῆσθαι, ut præfert cod Reg et Colberti.

κελευσμένα σοι, ἔφη, πρὸς Θεοῦ παραβέβηκας ἴσθι ὅτι τὴν βασιλείαν ἀφαιρεθήσῃ. Ὁ δὲ κατιτίθετο ἁμαρτῆσαι, καὶ ἱλαστήρια θῦσαι τὸν προφήτην ἐκέλευε. Καὶ ὃς ὑπεχώρει, Σαοὺλ δὲ τῆς διπλοΐδος ἐπιλαμβάνεται αὐτοῦ, καὶ διαῤῥήσσει ταύτην, βιαζόμενος αὐτὸν κατασχεῖν. Καὶ ὁ προφήτης, Οὕτως, ἔφη, ἡ βασιλεία σου διαῤῥηχθήσεται, καὶ δοθήσεται ἀνδρὶ δικαίῳ καὶ ἀγαθῷ. Δεομένου δ' ἔτι τοῦ βασιλέως, πείθεται, καὶ ἀχθῆναι τὸν Ἄγαγ αἰτεῖ, καὶ κτανθέντος ἐκείνου κελεύσει αὐτοῦ, αὐτίκα εἰς Ἁρμαθαΐμ ἀποχωρεῖ, καὶ αὐτῷ ἐντέλλεται ὁ Θεὸς πρὸς Ἰεσσαὶ ἀπελθεῖν, καὶ χρῖσαι τῷ ἐλαίῳ εἰς βασιλέα ἕνα τῶν ἐκείνου υἱῶν, ὃν ἂν δείξῃ αὐτῷ. Καὶ ἀπελθὼν εἰς Βηθλεὲμ, καὶ θύσας, κέκληκε τὸν Ἰεσσαὶ καὶ τοὺς υἱοὺς αὐτοῦ. Καὶ ἰδὼν τὸν πρωτότοκον μέγαν τε καὶ καλὸν, ᾠήθη ἐπ' αὐτῷ τὸν Θεὸν εὐδοκεῖν. Ὁ δὲ Θεὸς, Μὴ ἐπιβλέψῃς, εἶπεν, ἐπὶ τὴν ὄψιν αὐτοῦ, μηδ' εἰς τὸ τοῦ σώματος μέγεθος. Ἄνθρωπος μὲν γὰρ εἰς πρόσωπον ὄψεται, ὁ δὲ Θεὸς εἰς καρδίαν. Παρελθόντων δὲ καὶ τῶν ἄλλων παίδων τοῦ Ἰεσσαὶ, ἐπ' οὐδενὶ εὐδοκησεν ὁ Θεός. Καὶ εἶπε Σαμουὴλ· Οὐκ ἐξελέξατο Κύριος ἐν τούτοις. Καὶ εἰ ἔστιν ἔτι λοιπὸς, παρελθέτω. Καὶ Ἰεσσαὶ, Μικρὸς ἔτι περιλέλειπται, ἔφη, ποιμαίνων. Κληθῆναι οὖν αὐτὸν ὁ προφήτης ἐκέλευσεν. Ὡς δ' ἦκε κληθεὶς ὁ Δαβὶδ, παῖς πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν καὶ τἄλλα καλὸς, τοῦτον εἶναι τὸν χρισθησόμενον δηλοῖ τῷ Σαμουὴλ ὁ Θεός. Καὶ λαβὼν ἐκεῖνος τὸ κέρας τοῦ ἐλαίου, ἔχρισεν αὐτὸν ἐν μέσῳ τῶν ἀδελφῶν αὐτοῦ· καὶ ἀπῆλθεν εἰς Ἁρμαθαΐμ. Πνεῦμα δὲ θεῖον ἐφήλατο ἐπὶ Δαβὶδ, ἐκ δὲ Σαοὺλ ἀπέστη, καὶ πνεῦμα πονηρὸν μετῄει αὐτὸν, συμπνίγον καὶ κακοῦν τὸν ἄνδρα. Ἔδοξεν οὖν, παρίστασθαί τινα τῷ βασιλεῖ, εἰδότα ψάλλειν μετὰ κιννύρας, ἵν' ὅτε προσπέσοι αὐτῷ τὸ δαιμόνιον ἐκτάραττον, ᾄδῃ ἐν τῇ κιννύρᾳ, καὶ κατευνάζῃ τὸν τάραχον. Μεταπέμπεται τοίνυν ὡς τοιοῦτον τὸν Δαβὶδ· καὶ ἠγαπήθη ὁ νεανίας σφόδρα παρὰ τοῦ βασιλέως, καὶ εἰς ὁπλοφόρον αὐτῷ ἐχρημάτισε. Καὶ ἐν τῷ ἐπιέναι τῷ βασιλεῖ τὸ πνεῦμα τὸ πονηρὸν, κατεπῇδεν αὐτὸ καὶ ἀφίστατο, καὶ εἰς ἑαυτὸν ὁ Σαοὺλ ἐπανήρχετο. Οἱ δ' ἀλλόφυλοι κατὰ τῶν Ἰσραηλιτῶν ἐπεστράτευσαν. Ἀντικατέστησαν δὲ αὐτοῖς καὶ οἱ ἐξ Ἰσραὴλ, καὶ ἐν ματαιχμίῳ τῶν στρατευμάτων ἀμφοῖν ἀνήρ τις τῶν ἀλλοφύλων στὰς, Γολιὰθ ἐκείνῳ τὸ ὄνομα, ἀνὴρ δυνατὸς καὶ πάντων ὑπερανεστηκώς· πήχεων γὰρ ἓξ καὶ σπιθαμῆς τὸ ὕψος αὐτῷ, καὶ ὁ θώραξ αὐτῷ πεντακισχιλίων σίκλων ἔλκε σταθμὸν, καὶ τὸ δόρυ αὐτοῦ ὡς ἀντίον ὑφαιγόντων, καὶ ἡ λόγχη τοῦ δόρατος σίκλων ἑξακοσίων (48)· οὗτος ἐν μέσῳ στὰς, ἀνεβόησε πρὸς τοὺς υἱοὺς Ἰσραήλ· *Καταβήτω τις ἐξ ὑμῶν, καὶ ἀντιστήτω μοι· καὶ ἐὰν πατάξῃ με, δουλεύσομεν ὑμῖν· ἐὰν δὲ ἐγὼ καταβαλῶ αὐτὸν, ἔσεσθε ἡμῖν εἰς δούλους.* Καὶ τοῦτο ἐπὶ τεσσαράκοντα ἡμέρας συνεχῶς ἐποίησε. Δαβὶδ δὲ πρὸς τὸν πατέρα Ἰεσσαὶ ἀπολυθεὶς, ὑπηρέτει τοῖς στρατευομένοις ἀδελφοῖς. Ἦσαν δὲ τρεῖς τῶν πρεσβυτέρων ἀκολουθοῦντες τῷ Σαούλ. Ἐπεὶ οὖν πρὸς τοὺς ἀδελφοὺς ἦλθε, Γολιὰθ πάλιν ἐκ τοῦ ἔθους μονομαχίαν ᾐτεῖτο, καὶ τοὺς Ἑβραίους ὠνείδιζε, μηδένα τολμῶντα μετ' αὐτοῦ συμβαλεῖν. Ἀκούσας δὲ ταῦτα ὁ Δαβὶδ ἀγανακτήσας, πρὸς τοὺς παρεστῶτας ἔφη, ἐπὶ τούτῳ μόνῳ ἑαυτὸν ἥκειν, ἵνα μετὰ τοῦ ἀλλοφύλου διαγωνίσηται. Καὶ ἐπὶ τούτοις ἐλοιδορήθη ὑπὸ τοῦ ἀδελφοῦ Ἐλιάβου, ὡς ἀπὸ μικρᾶς ἐπιθυμίας ἐπὶ τὸν πόλεμον ἐληλυθὼς, καὶ τὰ ὀλίγα φυλάττειν τῶν προβάτων ἐπιτετραμμένος. Ἀλλ' ὁ Δαβὶδ ἀπεκρίνατο, μὴ ἐπὶ τούτοις αὐτὸν ἐληλυθέναι, ἀλλὰ καὶ τὸν ἀλλόφυλον ἐκεῖνον ἐπιτιμῆσαι θέλειν. Καὶ ἐπὶ τούτοις ἐλοιδορήθη ὑπὸ τοῦ ἀδελφοῦ Ἐλιάβου, ὡς ἀπὸ μικρᾶς ἐπιθυμίας ἐπὶ τὸν πόλεμον ἐληλυθὼς, καὶ τὰ ὀλίγα φυλάττειν τῶν προβάτων ἐπιτετραμμένος. Ἀλλ' ὁ Δαβὶδ ἀπεκρίνατο, μὴ ἐπὶ τούτοις αὐτὸν ἐληλυθέναι, ἀλλὰ καὶ τὸν ἀλλόφυλον ἐκεῖνον ἐπιτιμῆσαι θέλειν.

A cilicet. Discedit vates; quem dum Sau. per vim retinere nititur, vestem ejus abrumpit. Ibi Propheta: *Sic*, inquit, *regnum a te abrumpetur, ac viro justo et bono dabitur.* Rege autem ne sic quidem remittente preces paret; et Agago adduci occidique jusso, illico Armathaim revertitur; ac mandante Deo Jessæum accedit, ut unum ex filiis illius oleo regem inauguraret, qui sibi monstratus esset. Bethleemam cum venisset, re divina facta, Jessæum cum filiis accersit, et cum primogenitum, virum magnum formosumque vidisset, illum Deo placere opinatur. Sed Deus: *Ne*, inquit, *vultum ejus intuere, nec proceritatem corporis: nam ut homo faciem spectet, animum Deus intuetur.* Prætergressis igitur Jessæi filiis omnibus, nec ullo eorum Deo placente, Jessæ dicit Samuel: *Nullum horum elegit Deus, sed si quis alius tibi est, is prodeat.* Tum Jessæus **63**: *Parvulus adhuc restat, qui oves pascit.* Eum accersi propheta jubet. David accitus venit, rufus cum pulchritudine oculorum, cætera etiam formosus: eum esse qui ungendus esset. Samueli significat Deus. Itaque, sumpta ampulla, oleo eum in medio fratrum inungit, ac Armathaim redit. Spiritus autem divinus in Davidem insilit, ac a Saule recedit, pro quo illum malus spiritus invadit, præfocans et exagitans. Visum igitur est regi adjungere hominem cinnyra psallendi peritum, ut dæmonii insultus ac turbatio cantu illo sopiretur. Accersitur David, ut idoneus ad eam rem, et a rege magnopere diligitur, adeo ut armiger ejus appellaretur. Quoties igitur spiritus ille malus regem invadebat, carminibus illius abigebatur, et Saul ad se redibat. Cum autem Palæstini bellum Israelitis intulissent, atque hi in procinctu starent, quidam ex alienigenis stans in medio amborum exercituum, nomine Golias, vir robustus et magnitudine corporis omnibus superior, quippe statura sex cubitorum et dodrantis, cujus thorax siclorum quinque millia pendebat, hasta instar jugi textorii erat, mucrone ferreo, sexcentorum siclorum pondere. Is igitur in medio stans, exclamat ad Israelitas: *Descendat aliquis vestrum, et mecum congrediatur. Qui si me percusserit, servietis vobis: sin ego illum dejecero, vos nostri servi eritis.* Idque quadraginta diebus continenter fecit. David autem a Saule ad patrem Jessæum remissus, subinde in castra missitabatur, ad afferendum fratribus militantibus commeatum. Nam tres ex natu majoribus Saulem sequebantur. Cum igitur ad fratres venisset, Golias rursus de more singulare certamen poscebat, et Hebræis exprobrabat, neminem secum congredi audere. Iis verbis auditis indignatus David, ad eo qui aderant ait, se cum illo pugnaturum. Quo nuntiato, rex Davidi, *Non*, inquit

Variæ lectiones et notæ.

(48) *Περὶ τετρακοσίους.* Postea subinde ἑξακοσίων fit mentio, quare totidem hic etiam legendi videntur, quamvis Regum lib. I, cap. 22, non plures enumerentur. Fortassis igitur post id tempus alii CC accesserunt. W

poteris pugnam committere cum isto incircumciso, cum puer adhuc sis. Tum David, se Deo fretum esse respondet, qui sibi contra ursam vires dedisset, et contra leonem, qui gregem invasissent, et pecudes rapuissent, eos se persecutum, et rapta recuperasse et percussisse bestias atque occidisse. Eo igitur se **64** esse fretum, qui et alienigenam illum sibi perimendum sit traditurus, et ignominiam Israeliticæ gentis depulsurus. Ac ille quidem hæc dicebat. Rex autem ire permittens, sua illi arma accommodat, quibus David gravatus, uti recusat : sed baculo sublato, et quinque lapidibus in pera conditis, cum funda sua ad alienigenam properat. At ille per derisum interrogat, num ad canem cum baculo et lapidibus iret. David respondet, eum sibi cane deteriorem videri. Tum ille iratus, verbis arrogantibus se carnem ejus feris et alitibus daturum minitans, contra Davidem ruit : qui et ipse celeriter lapide fundæ imposito, frontem hostis ictu adeo vehementi ferit, ut is pronus in faciem corrueret. David accurrit, eductoque Goliæ gladio, caput illi præcidit, et spolia ejus legit. Ea re alienigenæ territi, in fugam vertuntur. Saul immisso fugientibus exercitu suo, magnam turbam occidit, plures vulnerat, castra diripit. David Goliæ caput Sauli offert, gladium Deo consecrat.

κοντα ἐποίει ἡμέρας. Τοῦ δὲ Σαοὺλ τὸν Δαβὶδ πρὸς Ἰεσσαὶ ἀναπέμψαντος, ὁ πατὴρ αὐτὸν ἐσταλκεν, εἰς τὸ στρατόπεδον, τοῖς στρατευομένοις τῶν ἀδελφῶν κομιοῦντα τὰ ἐπιτήδεια. Τρεῖς γὰρ ἦσαν οἱ πρεσβύτεροι τῷ Σαοὺλ συναπόμενοι. Ἐλθόντος δὲ τοῦ Δαβὶδ πρὸς τοὺς ἀδελφοὺς, ὁ ἀλλόφυλος Γολιὰθ, πάλιν, ὡς ἔθος αὐτῷ, εἰς μονομαχίαν προύκαλεῖτο, καὶ τοὺς Ἑβραίους ὠνείδιζεν, ὅτι μηδεὶς αὐτῷ συμμίξαι θαρρεῖ. Ἀκούσας δὲ τῶν λόγων τούτων Δαβὶδ, ἠγανάκτησε, καὶ εἶπε πρὸς τοὺς παρόντας· Ἐγὼ μονομαχήσω αὐτῷ. Ἀνηγγέλη τοῦτο τῷ βασιλεῖ. Ὁ δὲ παραστάντι αὐτῷ (49) τῷ Δαβὶδ, *Οὐ δυνήσει*, ἔφη, *διὰ μάχης χωρῆσαι πρὸς τοῦτον τὸν ἀπερίτμητον· παῖς γὰρ σὺ εἶ.* Καὶ ὁ Δαβὶδ θαρρεῖν ἔλεγεν ἐπὶ τῷ Θεῷ ὃς αὐτὸν κατὰ τῆς ἄρκτου ἐνίσχυσε, καὶ κατὰ τοῦ λέοντος, ἐπερχομένων τῇ ποίμνῃ, καὶ θρέμματα ἁρπαζόντων, οὓς διῶξαι εἶπε, καὶ τὰ μὲν ἡρπαγμένα ἐπανασώσασθαι, πατάξαι δὲ τοὺς θῆρας, καὶ ἀνελεῖν. Ἐπὶ τούτῳ ἔφη θαρρεῖν, ὡς καὶ τὸν ἀλλόφυλον πατάξαι δώσει αὐτῷ, καὶ ἐξελεῖν ὀνείδος ἐξ υἱῶν Ἰσραήλ. Ὁ μὲν οὖν εἶπε ταῦτα. Ὁ δὲ βασιλεὺς ἐπέτρεψέν οἱ πορεύεσθαι, καὶ περιέθετο τὰ οἰκεῖα ὅπλα αὐτῷ. Καὶ ἦσαν ἄχθος αὐτῷ, καὶ ἀπεδύσατο ταῦτα. Ἄρας δὲ τὴν βακτηρίαν, καὶ πέντε λίθους ἐν τῷ καδδίῳ ἐνθέμενος, καὶ τὴν σφενδόνην φέρων ἐν τῇ χειρὶ, πρὸς τὸν ἀλλόφυλον ὥρμησεν. Ὁ δὲ κατεγέλα αὐτοῦ, καὶ ἐπυνθάνετο, εἰ πρὸς κύνα τῇ βακτηρίᾳ καὶ τοῖς λίθοις πορεύεται; Καὶ ὁ Δαβὶδ καὶ χείρω κυνὸς ἡγεῖσθαι αὐτὸν ἀπεκρίνατο. Ἐκεῖνος δὲ ὀργισθεὶς καὶ μεγαλαυχήσας, δώσειν τὰς σάρκας αὐτοῦ τοῖς πετεινοῖς τε καὶ τοῖς θηρσὶν, ὥρμησεν ἐπ' αὐτόν. Ταχύνας δὲ ὁ Δαβὶδ, καὶ λίθον τῇ σφενδόνῃ ἐνθέμενος, ἐπὶ μέτωπον ἐπάταξε τὸν πολέμιον. Καὶ ἦν ἡ πληγὴ κραταιὰ, καὶ ἔπεσεν ἐπὶ πρόσωπον ὁ ἀλλόφυλος. Δραμὼν δὲ Δαβὶδ καὶ τὴν ἐκείνου ῥομφαίαν σπασάμενος, ἀποτέμνει τὴν κεφαλὴν Γολιάθ, καὶ σκυλεύει τὰ ὅπλα αὐτοῦ. Τοῦτο τοὶ, ἀλλοφύλοις δειλίαν ἐνέβαλε, καὶ ἔκλιναν εἰς φυγήν. Σαοὺλ δὲ τὸ οἰκεῖον αὐτοῖς ἐπάγει στράτευμα φεύγουσι, καὶ κτείνεται τῶν Παλαιστινῶν πλῆθος πολὺ, καὶ πλείονες τραυματίζονται, καὶ τὸ στρατόπεδον αὐτῶν διαρπάζεται. Τὴν κεφαλὴν δὲ Γολιὰθ προσάγει Δαβὶδ τῷ Σαοὺλ, τὴν δὲ ῥομφαίαν τῷ Θεῷ ἀνατίθησιν.

XXX. Redeunti domum exercitui occurrunt mulieres et saltantes, Saulem mille occidisse, canunt; Davidem vero decem millia delevisse, respondent virgines. Ea verba Saulem ad invidiam incitarunt, ut diceret : *Quid ei præter regnum deest?* et Davidem suspectum haberet. Itaque cum malo spiritu corriperetur, eumque David de more excantaret, lanceam contra illum mittit, idque iterato factum; sed David præsidio divino septus, ictum declinat. Deinde rex Davidem metuens, tribunum militum creat, ut inter hostes periclitetur. At ille Deo adjutore rem bene gerit, populo charus, necnon Melchol filia regis illius amore capi-

Λ'. Ἐπανιούσης δὲ τῆς στρατιᾶς, αἱ γυναῖκες συνήντων αὐτῷ, καὶ χορεύουσαι, χιλιάδας ὀλέσαι τὸν Σαοὺλ, ᾖδον· αἱ δὲ παρθένοι, μυριάδας τὸν Δαβὶδ ἀφανίσαι, ἀντῇδον. Τοῦτο πρὸς φθόνον ἠρέθισε τὸν Σαοὺλ, φήσαντα, *Καὶ τί αὐτῷ ὑστερεῖ πλὴν ἡ βασιλεία;* Καὶ ὑπεβλέπετο τὸν Δαβὶδ. Ἐπιπεσόντος δὲ τῷ Σαοὺλ πνεύματος πονηροῦ, καὶ τοῦ Δαβὶδ κατεπάδοντος, ὡς ἔθος αὐτῷ, τὸ δόρυ ἔβαλεν ὁ Σαοὺλ κατ' αὐτοῦ· καὶ δὶς τοῦτο ἐποίησε. Καὶ ὁ Δαβὶδ ἐξέκλινε· Κύριος γὰρ ἦν μετ' αὐτοῦ. Δεδιὼς δὲ αὐτὸν ὁ βασιλεὺς, χιλίαρχον ἐποιήσατο ἵν' εἰς τοὺς πολεμίους ἀπιὼν, κινδυνεύσῃ. Ὁ δὲ τῷ Θεῷ συμμαχούμενος, εὐοδοῦτο. Καὶ ὁ λαὸς ἠγάπα αὐτὸν

Variæ lectiones et notæ.

(49) *Παρεστηκὼς τότε αὐτῷ.* Ambiguum utrum sacerdoti; an Davidi, an Sauli. Sed ad Saulem si refertur, ut apparet, est περισσολογία Græca, quod genus in vertendo propter aliam Latini sermonis rationem, quo antecedentia ex iis quæ sequuntur intelligi solent, recte omittitur. Nam si ipse Degregi id factum nuntiavit, astitisse aut accessisse illum nemo dubitat. Sic paulo post, τοῖς περιστῶσιν αὐτῷ ὀπλίταις, verti, *a satellitibus occidi jubet.* Quod si quis mihi controversiam facit, participium *astantibus* non esse supervacaneum, sed habere ἐνέργειαν, concedo sane : sed illud contra dico a Latinis id ἐνεργείᾳ; genus ob participiorum alium et minus frequentem usum fere negligi : id quod ei liquido apparebit, qui eamdem sententiam a Latino et Græco scriptore tractam, quæ multæ passim exstant, contulerit : me exempla persequi occupationes et instituta brevitas hoc tempore non patiuntur. W.

καὶ ἡ τοῦ βασιλέως θυγάτηρ Μελχὸλ ἥρα Δαβίδ. Προσηγγέλθη οὖν ὁ ἔρως τῷ βασιλεῖ, καὶ ὃς εἰς λαβὴν ἐπιβουλῆς ἐχρῆτο τῷ ἔρωτι. Ἔφη γὰρ δώσειν αὐτῷ τὸ θυγάτριον, εἰ ἑκατὸν ἀκροβυστίας ἐνέγκοι αὐτῷ· οἰηθεὶς πεσεῖσθαι αὐτὸν τοῖς ἀλλοφύλοις μαχόμενον. Τοῦτο μαθὼν ὁ Δαβὶδ, ἐπορεύθη μετὰ τῶν ὑπ' αὐτὸν, καὶ ἐπάταξεν ἐν τοῖς ἀλλοφύλοις, καὶ ἤνεγκεν ἀκροβυστίας τῷ Σαοὺλ ἑκατόν. Ὁ δὲ Ἰώσηπος οὐχ ἑκατὸν ἀκροβυστίας κομίσαι τὸν Δαβὶδ, ἀλλὰ ἑξακοσίας κεφαλὰς ἀλλοφύλων. Καὶ ζεύγνυσιν αὐτῷ τὴν ἑαυτοῦ θυγατέρα Μελχόλ. Ὁρῶν δὲ τὸν Δαβὶδ καὶ τῷ Θεῷ συμμαχούμενον, καὶ τῷ πλήθει φιλούμενον, ἔτι μᾶλλον ἐδεδίει, καὶ ἐπεβούλευσεν αὐτῷ, καὶ κτανεῖν ἐπεχείρει. Τῷ οὖν υἱῷ Ἰωνάθαν καὶ τοῖς πιστοτάτοις τῶν οἰκετῶν τὴν ἀναίρεσιν αὐτοῦ ἐπιτάσσει. Ἰωνάθαν δὲ φιλῶν τὸν Δαβὶδ, δηλοῖ αὐτῷ τὸ ἐπίταγμα, καὶ φυλάττεσθαι παραινεῖ, καὶ ἐπαγγέλλεται διαλεχθήσεσθαι περὶ αὐτοῦ τῷ πατρὶ, καὶ τὸ πᾶν ἐκφῆναι αὐτῷ. Καὶ μέντοι καὶ διελέχθη, καὶ μετήνεγκε πρὸς πραότητα· μεταβαλὼν γὰρ, μηδὲν ἀδικήσειν ὤμοσε τὸν Δαβὶδ ὁ Σαούλ. Ἰωνάθαν δὲ ταῦτα δεδηλωκὼς τῷ Δαβὶδ, εἰσάγει πρὸς τὸν βασιλέα αὐτὸν, καὶ ἦν ὡς πρώην αὐτῷ παραμένων. Τῶν δὲ Παλαιστινῶν κινηθέντων καὶ πάλιν, καὶ τοῖς Ἑβραίοις ἐπιόντων, ἀντιταξόμενος αὐτοῖς παρὰ Σαοὺλ ὁ Δαβὶδ ἀποστέλλεται, καὶ μετὰ νίκης ἐπάνεισι. Τοῖς δ' εὐτυχήμασι τοῦ ἀνδρὸς καὶ ὁ κατ' αὐτοῦ φθόνος συνηύξετο τῷ Σαοὺλ, καὶ τοῦ πονηροῦ πνεύματος αὖθις ἐπελθόντος αὐτῷ καὶ συμπνίγοντος, παρῆν ὁ Δαβὶδ τὴν κινύραν κρούων, καὶ κατεπᾴδων αὐτό. Ὁ Σαοὺλ δὲ, τὸ δόρυ κατέχων, ἠκόντισεν αὐτὸ κατὰ τοῦ Δαβίδ. Ὁ δὲ προγνοὺς ἐξέκλινέ τε καὶ ἀνεχώρησεν. Ἀπέστειλε δὲ Σαοὺλ νυκτὸς φύλακας εἰς τὸν οἶκον Δαβὶδ, ἵνα μεθ' ἡμέραν κτείνῃ αὐτόν. Γνοῦσα δὲ τοῦτο Μελχὸλ ἡ γυνὴ αὐτοῦ, διὰ θυρίδος τὸν ἄνδρα κατήγαγε, καὶ ἀπέδρα. Ἑωθεν δὲ τοῦ Σαοὺλ πέμψαντος ἐπὶ τὸν Δαβὶδ, ἡ Μελχὸλ τὴν κλίνην ἑτοιμάσασα, ὡς τινος ἐν αὐτῇ κειμένου, καὶ τοῖς ἐπιβλήμασιν ὑποθεῖσα ἦπαρ αἰγὸς νεοσφαγοῦς, ὡς ἂν τῇ τούτου κινήσει τὸ ἐπίβλημα σαλευόμενον δόκησιν παράσχῃ κεῖσθαι παρὰ τῇ κλίνῃ τινά, εἰσάγει τοὺς σταλέντας, καὶ νοσεῖν τὸν ἄνδρα φησίν. Οἱ δὲ ἀπήγγειλαν τῷ Σαούλ. Καὶ ὃς ἐπὶ τῆς κλίνης αὐτὸν ἀχθῆναι διακελεύεται. Ἀπελθόντες δὲ οἱ πεμφθέντες, καὶ τῆς κλίνης ἁράμενοι τὸ ἐπίβλημα, τὸ τέχνασμα κατενόησαν, καὶ τῷ βασιλεῖ κατηγγέλκασιν. Οὕτω δὲ τὸν θάνατον ὁ Δαβὶδ ἐκφυγὼν, τῷ Σαμουὴλ εἰς Ἁρμαθαῖμ προσελήλυθε, καὶ σὺν ἐκείνῳ διῆγεν ἐν Ναβιὼθ εἰς Ῥαμά. Πέμπει τοίνυν κἀκεῖ ὁ Σαοὺλ τοὺς ἄξοντας τὸν Δαβίδ. Οἱ δ' ἀπελθόντες, καὶ προφητῶν ἐκκλησίαν εὑρόντες, καὶ αὐτοὶ προεφήτευον. Τοῦτο μαθὼν ὁ βασιλεὺς, ἑτέρους πέμπει· κἀκείνων σχόντων ὁμοίως, ἄλλους ἀπέστειλε. αὐτὸς ἐξώρμησεν ὑπ' ὀργῆς, καὶ πλησιάσας, προφητεύειν ἤρξατο καὶ αὐτός. Ὅτε καὶ τὸ φερόμενον οἱ ἐκεῖ παρόντες ἐφθέγξαντο, τὸ, *Εἰ καὶ Σαοὺλ ἐν προφήταις;* Ἐλθὼν δὲ ὅπου ἦν Σαμουὴλ, ἔκφρων ὥσπερ γενόμενος, καὶ τὴν ἐσθῆτα περιδυσάμενος, γυμνὸς ἔκειτο δι' ὅλης τῆς ἡμέρας καὶ τῆς νυκτός.

ΚΑ'. Ὁ δὲ Δαβὶδ ἐκεῖθεν ἀπέδρα, καὶ τῷ Ἰωνάθαν τὴν κατ' αὐτοῦ τοῦ πατρὸς μεμήνυκεν ἐπιχείρησιν· ὁ δὲ ἠπίστει. Ἠξίου δὲ αὐτὸν ὁ Δαβὶδ ἀπόπει-

tur. Quod Saul nuntiato, statuendarum insidiarum occasionem arripit, filiam ei se daturum pollicens, si centum præputia alienigenarum sibi attulisset: fore sperans ut in prælio caderet. Eo David intellecto, cum suis militibus prof ctus, et cæsis hostibus, centum Sauli præputia affert (Josephus non centum præputia, sed sexcenta capita attulisse narrat), itaque Melcholis conjugio potitur. Ceterum Saul, qui eum et divinitus foveri, et publice charum haberi cerneret, magis etiam formidare, insidiari, moliri **65** necem. Igitur Jonathæ filio, et famulorum fidelissimis, cædem ejus mandat. Verum Jonathas, qui Davidem amaret, mandatum patris ei refert, cavere jubet, cum patre acturum promittit, eique indicaturum omnia. Facit ita, et patris animum ad clementiam traducit, ut mutata sententia juraret, se Davidi nullam facturum injuriam: et Davidem, his renuntiatis, ad regem adducit, ut sicut prius, ei præsto esset. Cum autem Palæstini denuo se moverent, et Hebræos invaderent, David contra eos a Saule missus, re bene gesta revertitur. Sed quo hic pluribus successibus utitur, eo graviorem regis invidiam subit. Itaque cum Sauli, quem malus genius denuo invaserat atque angebat, cum cinnyra præsto esset et excantaret, Saul hastam correptam contra eum conjicit: at ille præviso declinatoque ictu, discedit; Saul vero satellitibus noctu in Davidis ædes missis, mane eum tollere decreverat. Quo Melchol cognito, Davidem per fenestram demissum eripit. Mane cum David abducendus esset, Melchol ita parato lectulo, quasi aliquis in eo jaceret, et stragulis corde recens mactatæ capræ supposito, cujus motu stragula agitata opinionem afferrent, quasi aliquis in lectulo recumberet, missos introducit, maritum ægrotare dicens: quo Saul nuntiato, cum in lecto afferri jubet. Illi sublato lectulo, rejectisque operimentis, commentum deprehensum regi nuntiant. Sic David vitata morte, Armathaim ad Samuelem sese confert, cum eo Nabiothæ Ramæ degens. Saul eo quoque mittit satellites, qui Davidem abducerent: qui cum eo pervenissent, invento prophetarum conventu, vaticinari et ipsi cœperunt. Eo cognito rex alios mittit, quibus et ipsis eodem modo affectis, iterum mittit alios: qui cum et ipsi numine afflati essent, ipse iracundius, propere descendit; eumque prope accessisset, itidem vaticinari cœpit. Quo tempore qui ibi erant, celebratum illud protulerunt: *Nunquid et Saul inter prophetas?* Cum vero ad Samuelem accessisset, alienata mente, exutisque vestibus, totum diem totamque noctem nudus jacuit.

XXXI. David inde aufugiens Jonathæ patris contra se conatum significat. Quod cum ille non crederet, **66** petit ut paterni animi periculum fa-

ciat, et sibi extra urbem manenti nuntiet. Itaque Jonathas Davidis apud patrem facta mentione, cum eum illius sitire sanguinem intellexisset, illi clam ipse omnem rem nuntiat, et fuga salutem quærere jubet : Davidemque jurejurando sibi obstringit, ut sui recordaretur, et quod si ipse mortuus esset, liberis suis benefaceret. His Jonathas dictis revertitur, David Nobam ad Abimelechum pontificem se confert. Ei miranti cur solus iret David : *Mihi rex*, inquit, *arcani aliquid mandavit, quod ne quis rescisceret, solus adsum : hic autem convenire me famulos meos jussit.* His dictis, panes petiit. Sacerdos se nonnisi sacros habere respondit : verum si a mulieribus puri essent, acciperet atque ederet. Tum David gladium etiam dari sibi petit : sed cum sacerdos non alia arma nisi Goliæ gladium se habere diceret, quem ipse Deo consecrasset, eo David accepto, Getham ad regem alienigenarum Anchum se confert. Ibi agnitus, et perterrefactus, insaniam simulans, quasi mentis impos et incedere et agere omnia. Sic ab alienigenis elapsus in tribum Judaicam profficiscitur, et in spelunca Odola delitescit, ubi fratres et cognati eum conveniebant. Post et alii ad eum confluxere, circiter quadringenti. Inde in Moabitidem abiens, regem orat, ut parentibus suis illic exsulare liceret, donec suæ res exitum aliquem sortirentur. Obsequitur ille, et Jessæo cum sua familia suscepto, David Gadis prophetæ jussu in terram Judaicam redit. Saul ubi cognovisset, Davidem manum fecisse, convocat amicos, cum eis expostulat, quasi cum Davide colludentibus. Doeg autem Syrus, Saulis servus, qui adfuerat, cum pontifex Davidi panes et Goliæ gladium dedisset, regi nuntiat, ut Davidem ad pontificem profectum viderit, ut pontifex ejus nomine Deum consuluerit, ut commeatum et Goliæ gladium illi dederit. Rex pontificem accersitum conjurationis cum Davide initæ accusat, et a satellitibus cum omni progenie occidi jubet. Illis cædem virorum Deo sacra offerentium reformidantibus, Doego id negotii dat. Is jussa regis exsequitur, omnibus interfectis, **67** numero quinque et trecentis : in civitatem eorum quoque grassatus, sublatis prorsus omnibus, nullo ætatis aut sexus respectu. Unus duntaxat pontificis filius Abiathar fuga elapsus, Davidi nuntiat quid accidisset. Cum autem alienigenæ Ceilam impressione facta, prædas ex agro agerent, David auctore Deo cum quadringentis eos aggressus, cædit, omnemque prædam recipit. Tum Saul copias militum ad eum occidendum mittit ; sed David relicta Ceila, in desertum se confert. Saule autem ne sic quidem ab ejus occidendi consiliis discedente, Jonathas ad Davidem profectus, confirmat hominem, et spem bonam habere jubet : sed cum David in petram deserti Maanis confugisset, Saule cum ma-

ραν ποιήσασθαι τῆ: γνώμης τῆς πατρικῆς, καὶ ταύτην δηλῶσαι αὐτῷ ἔξω προσμενοῦντι τῆς πόλεως. Προσαγαγὼν οὖν λόγους ὁ Ἰωνάθαν τῷ πατρὶ περὶ τοῦ Δαβὶδ, καὶ τὴν πατρικὴν προαίρεσιν ἐγνωκὼς διψῶσαν τὸν θάνατον τοῦ ἀνδρὸς, ἀπαγγέλλει πάντα αὐτῷ λάθρα δι' ἑαυτοῦ, καὶ σώζειν προτρέπεται ἑαυτὸν, καὶ ὥρκισε τὸν Δαβὶδ μεμνῆσθαι αὐτοῦ· κἂν τύχῃ θανών, ἐνδείξασθαί τι χρηστὸν εἰς τοὺς ἐξ αὐτοῦ. Ταῦτ' εἰπὼν Ἰωνάθαν, ὑπέστρεψε. Δαβὶδ δὲ φεύγων εἰς Νοβὰ, παραγίνεται πρὸς Ἀβιμέλεχ τὸν ἀρχιερέα. Ὁ δὲ, πῶς μόνος ἥκει διεπυνθάνετο. Κἀκεῖνος *Ἐντετάλθαί τι παρὰ τοῦ βασιλέως*, εἶπεν, *ἀπόρρητον· καὶ ἵνα μή τις γνῷ περὶ τούτου, μεμόρωμαι· ἐνταῦθα δέ μοι συνελθεῖν τοῖς παιδαρίοις ἐπέταξε.* Ταῦτα εἰπὼν, ἄρτους ᾔτησε. Καὶ ὁ ἀρχιερεὺς μὴ ἔχειν εἶπεν ἄλλους ἢ τοὺς ἁγίους. Καὶ, Εἰ ἀπὸ γυναικὸς ἐφυλάξασθε, λάβετε τούτους, καὶ φάγετε. Ὁ δὲ καὶ ῥομφαίαν αὐτῷ δοθῆναι ἐζήτησε. Μὴ ἔχειν μέντοι ὁ ἀρχιερεὺς ὅπλον ἕτερον ἀπεκρίνατο ἢ τὴν ῥομφαίαν τοῦ Γολιὰθ, ἣν αὐτὸς ἀνέθετο τῷ Θεῷ, καὶ ταῦτα λαβὼν ὁ Δαβὶδ, εἰς Γὲθ ἀπελήλυθε πρὸς βασιλέα τῶν ἀλλοφύλων Ἀγχούς (50). Καὶ γνωσθεὶς ὅστις εἴη, καὶ φοβηθεὶς, μανίαν ὑπεκρίθη, καὶ ὡς ἔκφρων ἐπορεύετό τε καὶ ἔπραττεν. Οὕτω δ' ἐκ τῶν ἀλλοφύλων διασωθεὶς εἰς τὴν Ἰούδα φυλὴν παρεγίνεται, καὶ κρύπτεται εἰς τὸ σπήλαιον Ὀδολάμ· ἔνθα οἱ ἀδελφοὶ αὐτοῦ καὶ οἱ συγγενεῖς προσῆλθον αὐτῷ. Εἶτα καὶ ἄλλοι ἐκεῖ συνερρύησαν, ὡς γενέσθαι πάντας περὶ τετρακοσίους. Ἅπεισι δ' ἐκεῖθεν εἰς τὴν Μωαβῖτιν, καὶ παρακαλεῖ τὸν βασιλέα Μωὰβ παροικῆσαι παρ' αὐτῷ τοὺς γονεῖς αὐτοῦ, ἕως ἂν εἴς τι τέλος ἥξει τὰ κατ' αὐτόν. Ὁ δὲ πείθεται, καὶ προσδέχεται τὸν Ἰεσσαὶ καὶ τὸν οἶκον αὐτοῦ. Καὶ ὁ Δαβὶδ ἐπορεύθη εἰς τὴν γῆν Ἰούδα, τοῦτο Γὰδ τοῦ προφήτου κελεύσαντος. Ὁ Σαοὺλ δὲ μαθὼν, ὅτι πλῆθος ἤθροισται πρὸς Δαβὶδ, συγκαλεσάμενος τοὺς φίλους, ὠνείδιζεν αὐτοὺς, ὡς ἐκείνῳ προστιθεμένους. Δοῦλος δέ τις Σαοὺλ, Σύρος τὸ γένος, Δωὴκ τοὔνομα, παρατυχὼν ὅτε τοὺς ἄρτους ὁ ἀρχιερεὺς ἔδωκε τῷ Δαβὶδ, καὶ τὴν ῥομφαίαν τοῦ Γολιὰθ, παρεστηκὼς τότε αὐτῷ, ἀπήγγειλε τῷ βασιλεῖ, ὡς εἶδε τὸν Δαβὶδ παραγενόμενον πρὸς τὸν ἀρχιερέα, καὶ ἐρωτῶντα δι' αὐτοῦ τὸν Θεὸν, καὶ ἐπισιτισμὸν λαβόντα, καὶ τὴν ῥομφαίαν. Μεταπεμψάμενος δὲ τὸν ἀρχιερέα ὁ βασιλεὺς, ἐπενεκάλει αὐτῷ συνωμοσίαν μετὰ Δαβὶδ· καὶ προσέταξε τοῖς παρεστῶσιν αὐτῷ ὁπλίταις κτεῖναι τὸν ἀρχιερέα, καὶ πᾶσαν τὴν γενεὰν αὐτοῦ. Εὐλαβηθέντων δ' ἐκείνων ἐπενεγκεῖν χεῖρα τοῖς τῷ Θεῷ ἱερωμένοις, τῷ Δωὴκ ἐπιτρέπει τοὺς φόνους. Καὶ ὃς ἀπέκτεινεν ἅπαντας τριακοσίους ὄντας καὶ πέντε. Καὶ τὴν πόλιν αὐτῶν ἐπάταξεν, ἠδηδὸν ἅπαντας ἀνελὼν, οὐ γυναικῶν, οὐ νηπίων, οὐχ ἑτέρας ἡλικίας φεισάμενοι. Εἷς δὲ μόνος υἱὸς τοῦ ἀρχιερέως διέδρα τὸν θάνατον, Ἀβιάθαρ καλούμενος, ὃς φυγὼν πρὸς Δαβὶδ, ἀπήγγειλε τὰ γενόμενα. Τῶν δὲ ἀλλοφύλων ἐμβεβληκότων εἰς

Variæ lectiones et notæ.

(50) Ἀγχούς. Qui in Bibliis Achis dicitur. Wolfius.

Κειλὰ, καὶ τὴν χώραν λῃζομένων, ὁ Δαβὶδ κελεύσαντος τοῦ Θεοῦ ἐπῆλθεν αὐτοῖς μετὰ τῶν τετρακοσίων, καὶ ἐπάταξεν αὐτοὺς, καὶ τὴν λείαν ἅπασαν ἐπανήγαγεν. Σαοὺλ δὲ στέλλει πλῆθος στρατιωτῶν ἐκεῖ αὐτὸν ἀναιρήσοντας. Ὁ δὲ ἀπῆλθεν ἐκ Κειλὰ εἰς τὴν ἔρημον. Καὶ Σαοὺλ οὐκ ἐπαύετο ζητῶν θανατῶσαι αὐτόν. Ἰωνάθαν δὲ ἦκει παρὰ τὸν Δαβὶδ, καὶ παρεθάῤῥυνεν αὐτὸν, καὶ παρεκάλει ἐλπίδας ἔχειν χρηστάς. Ἐπεὶ δὲ Δαβὶδ ἐπὶ τὴν πέτραν κατέφυγε τὴν ἐν τῇ ἐρήμῳ Μαὰν, καὶ ὁ Σαοὺλ ἐπῆλθε μετὰ πλήθους πολλοῦ, ἐκινδύνευε ληφθῆναι Δαβὶδ, εἰ μὴ ἄγγελος ἦκε τῷ Σαοὺλ, ὡς ἀλλόφυλοι τῇ χώρᾳ ἐπέθεντο. Καταλιπὼν γὰρ τὸν Δαβὶδ, ἐπὶ τοὺς πολεμίους ἐξώρμησεν. Εἶτα ἀπηγγέλη αὐτῷ, ὡς ἐν τῇ ἐρήμῳ Γαδδὶ αὐλίζεται ὁ Δαβὶδ, καὶ τρισχιλίους λαβὼν ἐπορεύετο. Ἀπιὼν δὲ ὑπὸ τῆς γαστρὸς ἠνωχλήθη. Καὶ ἦν τι σπήλαιον ἐκεῖ, ἐν ᾧ Δαβὶδ, καὶ οἱ μετ' αὐτοῦ ἐνδότερον κατεκρύπτοντο. Τοῦτο εἰσέδυ Σαοὺλ εἰς ἀπόπατον. Καὶ Δαβὶδ ἠρεθίζετο παρὰ τῶν μετ' αὐτοῦ κτεῖναι Σαούλ. Ὁ δὲ οὐκ ἐπείσθη. Ἀλλὰ τὸ πτερύγιον τῆς διπλοΐδος αὐτοῦ λάθρα ἔκτεμὼν, ἔλαβε. Καὶ ἐξελθόντος τοῦ βασιλέως, προελήλυθεν ὁ Δαβὶδ, καὶ ἐβόησεν ὀπίσω Σαούλ. Καὶ ὁ βασιλεὺς ἀπεῖδε πρὸς τὴν φωνήν. Καὶ προσεκύνησε Δαβὶδ, καὶ εἶπε· *Μὴ πίστευε ταῖς διαβολαῖς· ἰδοὺ παρέδωκέ σε Κύριος εἰς τὰς χεῖράς μου. Ὅτε γὰρ ἐν τῷ σπηλαίῳ τὸ τῆς διπλοΐδος σου πτερύγιον ἔτεμον, ῥᾷον ἦν μοι καὶ ἀνελεῖν σε.* Καὶ ἅμα τὸ τμῆμα αὐτῷ ὑπεδείκνυε, καὶ, *Δικάσαι Κύριος ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ*, ἐξεβόησε. Καὶ Σαοὺλ πρὸς ταῦτα κατανυγείς, ἦρε τὴν φωνὴν αὐτοῦ. καὶ κλαύσας, ἔφη τῷ Δαβίδ· *Δίκαιος σὺ, ἐγὼ μὲν γὰρ αἴτιός σοι κακῶν· σὺ δέ μοι ἀνταπέδωκας ἀγαθά. Ὅθεν πέπεισμαι, ὅτι βασιλέα σε Ἰσραὴλ τηρεῖ ὁ Θεός. Δὸς δή μοι πίστεις, ὡς οὐκ ἐξολοθρεύσεις τὸν οἶκόν μου, ἀλλὰ διατηρήσεις τὸ γένος μου.* Καὶ ὤμοσε Δαβὶδ τῷ Σαοὺλ, καὶ ἀπῆλθον ἀπ' ἀλλήλων.

ΛΒ'. Ἀπέθανε δὲ τότε καὶ Σαμουὴλ ὁ προφήτης, ἀνὴρ δίκαιος καὶ χρηστός· ὃς ἦρξε τοῦ Ἰσραὴλ μετὰ τὸν Ἠλεὶ, μόνος μὲν ἔτη δώδεκα, μετὰ δὲ Σαοὺλ ὀκτωκαίδεκα. Καὶ Δαβὶδ εἰς τὴν ἔρημον ἀπῆλθε Μαὰν, καὶ ἀπέστειλε πρὸς Νάβαλ τὸν Καρμήλιον πλούσιον ἄνδρα, κείροντα τὰ ποίμνια αὐτοῦ, τοὺς προσεροῦντας αὐτῷ, καὶ ἀξιώσοντας δοῦναι τοῖς μετ' αὐτοῦ καὶ αὐτῷ, καθὼς ἂν προαιροῖτο, ἀνέπαφα τηρήσασι τὰ ποίμνια καὶ τοὺς ποιμένας αὐτοῦ. Νάβαλ δὲ, σκληρὸς τυγχάνων καὶ ἰταμὸς, ἀπανθρώπως τοῖς τοῦ Δαβὶδ ἀπεκρίθη καὶ ἀναιδῶς, *Τίς ὁ Δαβίδ; καὶ τίς ὁ υἱὸς Ἰεσσαί;* καὶ δραπέτην καλέσας αὐτόν. Ἐπὶ τούτοις θυμοῦται Δαβὶδ, καὶ ὤμοσεν ἐξολοθρεῦσαι πάντα τὰ τοῦ Νάβαλ. Καὶ ἀπῆει πρὸς ἐκεῖνον σὺν τετρακοσίοις ὁπλίταις. Ἡ δὲ τοῦ Νάβαλ γυνὴ, συνετὴ οὖσα καὶ ὡραία, μαθοῦσα ὅπως τε Δαβὶδ προσεῖπε τῷ ἀνδρὶ αὐτῆς, καὶ ὡς ἀσινῆ τὰ αὐτῶν συνετήρησε, καὶ ὅσα τῷ Δαβὶδ ἀνταπεκρίθη ὁ Νάβαλ βλάσφημα, μηδὲν κοινωσαμένη τῷ οἰκείῳ ἀνδρὶ, λαβοῦσα ἐπὶ τῶν ὄνων ξένια παντοῖά τε καὶ πολλὰ, πρὸς τὸν Δαβὶδ ἐπορεύετο· καὶ συναντήσασα τούτῳ, προσεκύνησεν. Ἐδεῖτο δὲ μὴ μνησικακῆσαι τῷ ἀνδρὶ αὐτῆς. Εἶναι γὰρ ἐκείνῳ κατὰ τὴν κλῆσιν τὸ φρόνημα, (*ἀφροσύνην* γὰρ ὁ Νάβαλ δηλοῖ) ἀφεῖναι δὲ τὴν ὀργὴν, καὶ τὰ προσαγόμενα δέξασθαι. Ὁ δὲ καὶ ἐπῄνεσε τὴν γυναῖκα καὶ συγγνώμην νείμας, ὑπέστρεψεν. Ἐπανελθοῦσα δὲ ἡ γυνὴ πρὸς τὸν Νάβαλ, τὴν τοῦ Δαβὶδ ἔφοδον ἐκείνῳ μεμήνυκε. Καὶ

Aignis copiis aggresso, in periculo captivitatis fuisset, nisi nuntiata hostium in regionem impressione, Saul relicto Davide, ad sua tuenda se recepisset. Post hæc Sauli nuntiatur Davidem in deserto Gaddi versari. Assumptis igitur delectorum tribus millibus, inter eundum turbatis intestinis, in speluncam ad requisita naturæ secedit, in qua David cum sua cohorte latitabat : qui cum a suis ad occidendum Saulem incitaretur, non obsequitur, sed laciniam vestis ejus clam præcidit. Rege egresso, et ipse procedit, clamore post eum sublato : ad quem, conversum regem adorat, et sic infit : *Noli fidem adhibere, o rex, calumniis. Ecce tradidit te Dominus in manus meas. Nam cum in spelunca vestis tuæ laciniam præciderem, multo facilius teipsum occidissem.* Simulque illam profert, et : *Dijudicet inter me et te Deus*, exclamat. Quæ cum regis animum perculissent, sublata voce cum ejulatu David dicit : *Tu justus es, nam cum ego male de te sim meritus, tu in me beneficus exstitisti. Quare credo te ad regnum Israelis asservari a Deo. Verum dato mihi fidem te domum meam non eversurum, sed conservaturum esse genus meum.* Jurat Sauli David, itaque discedunt invicem.

XXXII. Sub id tempus Samuel etiam moritur, vir justus et bonus, qui post Elii obitum Israelitis præfuerat annos duodecim solus, cum Saule octodecim. David in desertum Maanis recedit, et ad Nabalem Carmelitam, hominem divitem qui greges suos tondebat, legatos 68 mittit, petitum ut sibi et suis, quantum ipsi visum esset, impertiretur, ob defensos et greges et pastores ejus. Nabal homo asper et ferox, Davidicis inhumaniter respondet, et impudenter : *Quis*, inquit, *est David? quis est Jessæi filius?* eumque fugitivum vocat. His contumeliis irritatus David, se Nabalem cum omnibus suis deleturum jurat, et cum quadringentis armatis adversus eum proficiscitur. Verum Nabalis uxor, matrona prudens et formosa, cum rescivisset quemadmodum David maritum allocutus esset, et bona ipsorum custodisset, atque ut maritus Davidi contumeliose respondisset, re cum illo non communicata, asinos multis et variis muneribus onerat, Davidi obviam proficiscitur. Ad quem cum pervenisset, honore præbito, rogat ut injuriæ mariti sui oblitus, cujus ingenium nomini responderet (Nabal enim *recordiam* significat), iraque deposita, ea quæ offerrentur, acceptaret. Ille collaudata muliere, dataque venia, recedit. Reversa domum Nabali Davidis hostilem accessum indicat : quo audito, et terrore et mœrore tanto oppressus est, ut post diem decimum vitam abruperit. Quo cognito

David ad Abigæam mittit, eamque ambit. Illa, etsi talis viri conjugio se indignam esse diceret, tamen ei nubit. Interea Saul Davidi nihilominus insidiatur, cum tribus delectorum millibus juxta collem Echelam castris positis, quo in loco David cum suis quadringentis viris versabatur. Is cum Amesa noctu in castra Saulis profectus, usque in tentorium regis dormientis penetrat, ubi Amesam ad trucidandum regem incitatum inhibet, hasta duntaxat et hydria regis ablata discedunt, nemine animadvertente : quamvis Abnerus, multique alii circum regem jacerent. Itaque montis cacumine consceuso, Abnerem his verbis inclamat : *Cur non custodis regem ? Ecce vobis ignaris quidam ingressi sunt, ad eum occidendum. Quære hastam et hydriam regis, ut intelligas, quale vos periculum fefellerit.* Saul agnita voce Davidis, qui cum occidere potuisset, denuo sibi pepercisset, se peccasse fatetur, ac mentis errore affici : Davidemque bono animo esse jubet, domumque suam reverti. At ille : *Dominus*, inquit, *quemque pro justitia et fide sua remuneretur.* Cumque sexcentis suis ad Anchum Gethæ regem se confert, atque ibi menses quatuor commoratur. Cum autem Palæstini bellum Israelitis illaturi essent, Anchus Davidi ait : *Nunquid et tu cum tuis mecum ad bellum egredieris?* Respondet ille, se strenuam operam navaturum. Hostibus jam fines Israelitarum ingressis, Saul perturbatus, Deum consulit, utrum pugna ineunda sit : quo non respondente, Engastrimythum quærit, et mulierem convenit, mutato habitu ne agnosceretur, petitque Samuelis sibi manes elici : qui cum evocati quibusdam carminibus viderentur, Saul : *Vehementer*, inquit, *angor : nam et alienigenæ contra me convenerunt, et Deus a me recessit.* Samuelis spectrum respondet : *Fecit ea Dominus, quæ per me prædixerat, regnum abs te auferens, idque Davidi tribuens, et populum hostibus sufficiens. Tu vero filiique tui cras cadetis.* His auditis, Saul ingenti mœrore affectus, discedit. Jam castra posuerant hostes, et David cum suis sexcentis a tergo eorum stativa habebat. Verum satrapis non probabatur ea societas. Causabantur enim, metuendum esse ne qua sibi clades ab eo inferretur in bello, ad populares suos se conferente. Itaque petunt ut discedat : et Anchus satrapis obsequens, eum abire jubet. Discedit igitur cum suis David Siceiagem, ab Ancho sibi ad habitandum assignatam. Incensam reperit : uxoresque suas ambas cum omnibus qui ibi fuerant, captas ab Amalecitis. Ea clade deplorata, per Abiatharem sacerdotem Deum consulit, an persequendi sint hostes? Deo permittente, cum quadringentis persequitur, ducentos ad impedimentorum custodiam relinquit. Et sparsim comedentes bibentesque adeptus, et ex improviso aggressus, omnes

69 δς, δείματί τε καὶ λύπῃ κατασχεθείς, οὐ πλείους τε τῶν δέκα ἐπιβιοὺς ἡμερῶν, ἀπέῤῥηξε τὴν ζωήν. Καὶ τοῦτο μαθὼν ὁ Δαβὶδ, ἀπέστειλε πρὸς Ἀβιγαίαν μνώμενον αὐτὴν ἑαυτῷ. Ἡ δὲ οὐκ ἀξίαν εἶπεν ἑαυτὴν εἶναι πρὸς συνοίκησιν τοιούτῳ ἀνδρί. Ὅμως μέντοι ἀπῆλθε, καὶ ἔλαβεν αὐτὴν εἰς γυναῖκα Δαβίδ. Ὁ δὲ Σαοὺλ ἐπεβούλευεν ἔτι αὐτῷ, καὶ μετὰ τρισχιλίων λογάδων στρατοπεδεύεται παρὰ τὸν βουνὸν Ἐχελάτ, ὅπου διέτριβεν ὁ Δαβὶδ μετὰ τῶν σὺν αὐτῷ τετρακοσίων ἀνδρῶν. Νυκτὸς δὲ ἐπορεύθη Δαβὶδ αὐτὸς καὶ Ἀμεσὰ εἰς τὴν παρεμβολὴν τοῦ Σαοὺλ, καὶ εἰσῆλθον, ὅπου ἦν καθεύδων Σαούλ. Καὶ τοῦ Ἀμεσὰ ἀνελεῖν ὡρμηκότος αὐτὸν, οὐκ εἴασεν ὁ Δαβίδ. Τὸ δόρυ δὲ τοῦ βασιλέως καὶ τὸ ἀγγεῖον τοῦ ὕδατος λαβόντες ἐξῆλθον, μή τινος αἰσθομένου· καὶ ταῦτα τοῦ Ἀβεννὴρ τοῦ ἄρχοντος τῆς δυνάμεως αὐτοῦ, καὶ πολλῶν ἑτέρων κύκλῳ κειμένων τοῦ βασιλέως. Ἀνελθὼν δὲ ἐπὶ τὸ ἄκρον τοῦ ὄρους Δαβὶδ, ἐβόησε πρὸς τὸν Ἀβεννήρ· *Τί ὅτι οὐ φυλάσσεις τὸν βασιλέα; Ἰδοὺ γὰρ εἰσῆλθόν τινες κτεῖναι αὐτὸν, καὶ ὑμεῖς οὐκ ἐγνώκατε. Ζήτησον οὖν τὸ δόρυ, καὶ τὸν φακὸν τοῦ ὕδατος, καὶ οἵος εἶσῃ ὑμᾶς παρελήλυθε κίνδυνος.* Ἐπιγνοὺς δὲ τὴν φωνὴν Δαβὶδ ὁ Σαοὺλ, καὶ ὡς ἐφείσατο καὶ αὖθις αὐτοῦ δυνάμενον αὐτὸν ἀνελεῖν, ἁμαρτεῖν εἶπε, καὶ μεματαιῶσθαι, καὶ ἠξίου θαῤῥεῖν αὐτὸν, καὶ ἐπιστρέφειν εἰς τὸν οἶκον αὐτοῦ. Ὁ δὲ, *Κύριος*, ἔφη, *δώῃ ἑκάστῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ κατὰ τὴν πίστιν αὐτοῦ.* Καὶ ἀπῆλθε μετὰ τῶν σὺν αὐτῷ ἑξακοσίων Δαβὶδ πρὸς Ἀγχοὺς τὸν βασιλέα τῆς Γὲθ, καὶ διῆγεν ἐκεῖ τέσσαρας μῆνας. Τῶν δὲ Παλαιστινῶν ἐπὶ τὸν Ἰσραὴλ ἐκστρατεῦσαι βουλομένων, ἔφη πρὸς Δαβὶδ ὁ Ἀγχούς· *Συνεξελεύσῃ μοι εἰς τὸν πόλεμον σὺ, καὶ οἱ μετὰ σοῦ;* κἀκεῖνος αὐτῷ προθύμως συμμαχήσειν ὑπέσχετο. Ἤδη δὲ τῶν ἀλλοφύλων τῇ χώρᾳ προσελασάντων τῶν Ἰσραηλιτῶν, ὁ Σαοὺλ τεθορύβητο, καὶ τοῦ Θεοῦ ἐπυνθάνετο, εἰ μαχήσεται; Μὴ ἀποκρινομένου δὲ, ἐγγαστρίμυθον ἐζήτησε, καὶ ἐπορεύθη πρὸς αὐτὴν μεταμφιασάμενος, ἵνα μὴ ὅστις εἴη ἐπιγνωσθῇ, καὶ ᾔτησεν ἀναχθῆναι αὐτῷ τοῦ Σαμουὴλ τὴν ψυχὴν, καὶ ἐπῳδαῖς τισιν ἀναχθῆναι δοξάσῃ, εἶπε Σαούλ· *Θλίβομαι σφόδρα, ὅτι συνήχθησαν κατ' ἐμοῦ οἱ ἀλλόφυλοι, καὶ ὁ Κύριος ἀφέστηκεν ἀπ' ἐμοῦ.* Τὸ δὲ τοῦ Σαμουὴλ φάντασμα ἀπεκρίθη, ὡς; *Πεποίηκέ σοι ὁ Κύριος ἃ πρὸς σὲ μεμήνυκε* (51) *δι' ἐμοῦ, καὶ ἀφαιρεῖταί σου τὴν βασιλείαν, καὶ δίδωσιν αὐτὴν τῷ Δαβὶδ, καὶ τὸν λαὸν ἐκπίσσει τοῖς πολεμίοις. Σὺ δὲ καὶ οἱ υἱοί σου αὔριον πεσεῖσθε.* Καὶ ἐλυπήθη σφόδρα τούτων ἀκούσας Σαοὺλ, καὶ ἀπῆλθε. Καὶ οἱ ἀλλόφυλοι ἐστρατοπεδεύσαντο· καὶ Δαβὶδ καὶ οἱ μετ' αὐτοῦ ἐξακόσιοι ὄπισθεν. Τοῖς δὲ σατράπαις οὐκ ἤρεσκε συστρατεύεσθαι αὐτοῖς τὸν Δαβὶδ, λέγουσι, Μή τι κακὸν ἐργάσηται εἰς ἡμᾶς, ἐν τῷ πολέμῳ τοῖς ὁμοφύλοις προσθέμενον. Καὶ ἀποστρέφειν αὐτὸν ἠξίουν.

Variæ lectiones et notæ.

(51) *Ὅσα προμεμηνυκεν.* Ὅσα πρὸς σὲ μεμήνυκεν. W.

Καὶ ὁ Ἀγχοὺς, τοῖς σατράπαις πειθόμενος, ἀπελθεῖν ἐκέλευσε τῷ Δαβίδ. Καὶ ὃς ἀπῆλθε μετὰ τῶν σὺν αὐτῷ. Καὶ εὗρε τὴν Σικελὰγ, ἣν δέδωκεν αὐτῷ Ἀγχοὺς εἰς κατοίκησιν ἐμπεπυρισμένην, καὶ τὰς γυναῖκας ἑαυτοῦ ἀμφοτέρας, καὶ ὅσοι ἦσαν ἐκεῖ, αἰχμαλωτισθέντας παρὰ τῶν Ἀμαληκιτῶν. Καὶ ἀνώμωξεν ἐπὶ τούτῳ Δαβὶδ καὶ οἱ μετ' αὐτοῦ. Καὶ ἠρώτησε τὸν Θεὸν διὰ τοῦ ἀρχιερέως Ἀβιάθαρ, εἰ καταδιώξεται ὀπίσω αὐτῶν; Ἐπιτρέψαντος δὲ τοῦ Θεοῦ, κατεδίωξε μετὰ τῶν τετρακοσίων. Τοὺς δὲ διακοσίους ἐπὶ φυλακῇ τῶν σκευῶν καταλέλοιπε. Καὶ εὑρὼν ἐσκεδασμένους αὐτοὺς, ἐσθίοντάς τε καὶ πίνοντας, καὶ αἰφνιδὸν αὐτοῖς ἐπιθέμενος, πλὴν τετρακοσίων ἐν δρομάσι πεφευγότων καμήλοις, πάντας ἀπέκτεινε, καὶ τὴν λείαν ἅπασαν διεσώσατο. Ἀναστρέψαντες δὲ οἱ μετὰ Δαβὶδ τετρακόσιοι, οὐκ ἤθελον συμμεριστὰς αὐτοῖς καὶ τοὺς διακοσίους γενέσθαι. Ἀρκεῖσθαι δ' ἠξίουν σεσωσμέναις ταῖς ἑαυτῶν γυναιξίν. Ἄδικον δὲ τὴν γνώμην ταύτην ἔκρινεν ὁ Δαβὶδ, καὶ ἐπίστης πᾶσι δεῖν μερισθῆναι τὴν ὠφέλειαν ἀπεφήνατο. Ὃ καὶ νόμος ἔκτοτε γέγονε, συμμερίζειν κελεύων τοῖς μαχομένοις τὰ λάφυρα κατὰ τὸ ἴσον τοὺς τὰ σκεύη φυλάσσοντας. Πολέμου δὲ συρραγέντος τοῖς Ἰσραηλίταις καὶ τοῖς Παλαιστινοῖς, πλεῖστοι μὲν κτείνονται τῶν Ἑβραίων, καὶ οἱ τρεῖς δὲ παῖδες Σαοὺλ ἔπεσον, καὶ αὐτὸς Σαοὺλ ἐτέτρωτο εἰς τὰ ὑποχόνδρια. Καὶ γνοὺς καιρίως βεβλημένος, καὶ οὐ ζησόμενος, εἶπε τῷ ὁπλοφόρῳ αὐτοῦ, ἐκκεντῆσαι αὐτὸν, ἵνα μὴ ζῶν ἔτι τοῖς πολεμίοις ληφθῶ. Τοῦ δὲ μὴ πειθομένου ποιῆσαι τὸ κελευόμενον, αὐτὸς ἐπέπεσεν ἐπὶ τὴν ῥομφαίαν αὐτοῦ, καὶ ἀπέθανεν. Καὶ ὁ ὁπλοφόρος αὐτοῦ, ὡς εἶδε πεσόντα τὸν βασιλέα, καὶ αὐτὸς ἀπέκτεινεν ἑαυτόν. Τῇ δ' ἐπαύριον σκυλεύοντες οἱ ἀλλόφυλοι τοὺς πεσόντας τῶν Ἰσραηλιτῶν, ἐνέτυχον τοῖς νεκροῖς τοῦ Σαοὺλ καὶ τῶν παίδων αὐτοῦ ἐν τοῖς ὄρεσι Γελβουὲ, καὶ ἐκτεμόντες τὰς κεφαλὰς αὐτῶν, εἰς τὴν οἰκείαν ἐπεμψαν χώραν, πανταχοῦ θεατρίζοντες ταύτας, καὶ εὐαγγελιζόμενοι. Καὶ τὰς πανοπλίας αὐτῶν ἀνέθεντο τοῖς οἰκείοις θεοῖς, τὰ δὲ σώματα ἀνεσταύρωσαν παρὰ τὸ τεῖχος Μεθορὰμ, ἣ μετέπειτα ἐκλήθη Σκυθόπολις. Τῶν δὲ τὴν πόλιν Ἰαβεὶς οἰκούντων ἐν Γαλαὰδ μαθόντων ὅσα συνέπεσον τῷ Σαοὺλ, ἐξῆλθον οἱ δυνατώτατοι, καὶ δι' ὅλης τῆς νυκτὸς συντείναντες τὴν πορείαν, καθεῖλον τὰ σώματα Σαοὺλ καὶ Ἰωνάθαν. Καὶ ἀπαγαγόντες εἰς Ἰαβεὶς, ἔκαυσαν ταῦτα. Καὶ τὰ ὀστᾶ συλλέξαντες, ἔθαψαν. Ἐβασίλευσε δὲ Σαοὺλ, ζῶντος ἔτι τοῦ Σαμουὴλ, ὀκτωκαίδεκα ἔτη, ἐκείνου δ' ἀποθανόντος, δύο καὶ εἴκοσι.

A cædit præter quadringentos, qui cursoribus camelis effugerunt, omnemque prædam recuperat. Quadringenti Davidici reversi, manubias cum ducentis partiri recusant : bene cum illis actum dicentes, quod uxores suas recepissent. Verum David eam sententiam ut injustam damnat : et quidquid partum esset, ex æquo jubet dividi. Quæ lex eo ex tempore adhuc durat, ut ad impedimentorum custodiam relicti, in partem manubiarum veniant cum **70** iis qui pugnavere. Prælio inter Palæstinos et Israelitas commisso, plurimi ex Hebræis cadunt, et tres filii Saulis : qui et ipse lethaliter in præcordiis se vulneratum sentiens, ab armigero se confodi jubet, ne vivus in hostium potestatem veniat : quod cum ille recusaret, gladio incumbens moritur. Quo armiger viso, et ipse necem sibi consciscit. Postridie Palæstini dum interfectos Israelitas spoliant, Saulis et liberorum illius cadavera in montibus Gelboenis reperiunt, ac reserta eorum capita domum mittunt, ubique spectatum proponunt, victoriam sibi gratulantes, armis eorum diis suis dedicatis. Cadavera vero in cruces sustulerunt juxta mœnia Methoræ, quæ postea Scythopolis est appellata. Saulis clade apud Jabinos Galaaditas cognita, fortissimi quique, itinere per totam noctem continuato, Saulis et Jonathæ cadavera sublata Jabim retulere : iisque crematis, ossa sepeliverunt. Regnavit Saul, superstite adhuc Samuele, annos octodecim : eo defuncto, viginti duos.

LIBER SECUNDUS.

Α'. Ἄρτι δ' ἐπανῆλθε Δαβὶδ ἐκ τῆς τῶν ἀλλοφύλων κοπῆς, καί τις ἀνὴρ προσῆλθεν αὐτῷ ἐπαγγέλλων τὴν ἧτταν τῶν Ἰσραηλιτῶν, καὶ τὸν θάνατον τοῦ Σαοὺλ καὶ τοῦ Ἰωνάθαν. Ἀνακρινόμενος δὲ εἰ ἀληθῆ ἀπαγγέλλει, εἶπε καιρίαν πληγῆναι τὸν Σαοὺλ, καὶ μὴ οἷόν τε ὄντα δι' ἀσθένειαν ἑαυτὸν ἀνελεῖν, παρακαλέσαι αὐτὸν, ἵνα μὴ ζῶν τοῖς πολεμίοις ἁλῷ, ἐπιῤῥῶσαι αὐτῷ τὴν πληγὴν ἐπιπεσόντι τῇ ἰδίᾳ ῥομφαίᾳ, καὶ ποιῆσαι κατὰ τὸ ἐπίταγμα, καὶ τὸν βασιλέα διαχειρίσασθαι. Καὶ εἰς πίστιν τῶν λόγων προέτεινε τὸν ἐπὶ τῆς κεφαλῆς ἐκείνου βασίλειον στέφανον, καὶ τὸν ἐπὶ τοῖς βραχίοσι χρυσὸν, καὶ ἐδίδου Δαβίδ. Ἐθρήνησεν οὖν Δαβὶδ καὶ οἱ μετ' αὐτοῦ τὸν Σαοὺλ καὶ τὸν Ἰωνάθαν. Ἦν δὲ τὴν

I. Davidi recens a cæde hostium reverso, vir quidam Israelitarum stragem, et Saulis ac Jonathæ interitum nuntiat. Rogatus, num vera nuntiaret, respondet : Saulem lethali vulnere accepto, cum ipse sese ob imbecillitatem occidere non posset, suam opem implorasse, ne vivus in hostium potestatem veniret : juvisse igitur, ut qui gladio proprio jam incubuisset, eo ictu conficeretur : et sustulisse regem, ut mandasset. Quæ ut vera crederentur, regii capitis coronam et armillas aureas Davidi offert. Saulem igitur et Jonathan David cum suis luget : sed hominem illum supplicio afficit, qui uncto Domini manus attulisset. Deinde jussu Dei Chebronem ascendit, urbem Judaicam,

cum utraque uxore, Achinoa et Abigaea, ejusque milites cum omni familia. Ibi a tribu Judaica rex declaratur, et Jabines ob sepulti Saulis et Jonathæ officium collaudat. Abenerus autem Saulis dux, reliquum herilem filium Jebosthem, totius 71 Israelitici populi, Judaica tribu excepta, regem salutat, tum annos quadraginta natum, qui biennium imperavit. Idemque Abenerus Judaicæ tribui ob Davidem regem creatum infensus, bellum infert. Cui Joabus Davidis imperator cum suis copiis occurrit, ac principio duodeni utrinque concurrunt : quibus mutua cæde sublatis, et exercitibus congressis, Abenerii succumbunt. Joabi fratres erant Abesa et Asahel, quorum hic pedum celeritate fretus, Abenerum persequebatur : monet ille, ut redeat : non obtemperantem, a tergo opportuno ictu illato, confecit. Tum perempti fratres Asahelis cæde irritati, infesto cursu Abenerum petunt. At ille in vertice collis stans, Joabum inclamat : *Ne inter populares pugnam concites : nam et Asahel, parum feliciter contemptis meis monitis, occubuit.* Joabus his verbis obtemperandum ratus, receptui cani jubet, ac persecutionem inhibet. Exstitit Hebræis hoc intestini belli exordium, quod longissimo duravit tempore, cum quidem Davidicorum vires augerentur, Saulidarum minuerentur. Davidi Chebrone habitanti, e diversis uxoribus sex nati sunt filii, quorum natu maximus fuit Ammon. Jebosthis porro indignatio propter Abeneri cum patris Saulis pellice consuetudinem, causam illi præbuit ad Davidem desciendi. David missis ad Jebosthem legatis uxorem suam Melcholem repetitum, obtinet, ut ea sibi a marito, cui viro exsulante a Saule desponsa fuerat, avulsa, remitteretur. Interim Abenerus cum senioribus populi et centurionibus agit, ut ad Davidem se conferrent. Quo haud gravatim ab omnibus imperato, ad Davidem fide utrinque jurejurando firmata profectus, cupideque exceptus, ad convocandum populum abit, ut David ab omnibus rex consalutaretur. Joabus autem Chebronem profectus, Abeneri defectione cognita, cum virum apud Davidem multis criminibus objectis frustra calumniatus esset, clam nomine Davidis accersendum curat. Reversum, et longius a suis, tanquam arcani quid cum eo acturus, seductum, pugione in ilia impacto, perimit. Quæ res ingenti mœrore Davidem affecit, adeo ut diras ultrices interfectori 72 imprecaretur, et mortui exsequias magno cum luctu honorifice celebraret. Paulo post Jebosthes per insidias dormiens occiditur, ejusque caput a duobus qui facinus id perpetrarant, Davidi affertur. Is vero adeo gratiam eis non habendam esse censuit, ut supplicio affici juberet, ob cædem domini. Deinde omnes Israelitæ ad Davidem se conferunt, eumque regem omnium tribuum ungunt. Judaicæ tribus regnum suscepit David anno ætatis tricesimo, eique soli Chebrone annos septem imperavit, genti vero universæ tres et triginta.

A Σαοὺλ ἀνελόντα ἐκόλασεν, ὅτι τῷ χριστῷ Κυρίου τὴν χεῖρα ἐπήνεγκε. Καὶ μετὰ ταῦτα, τοῦ Θεοῦ κελεύσαντος, εἰς Χεβρῶν ἀνέβη, πόλιν Ἰούδα, μετὰ ἁμφοῖν τῶν γυναικῶν αὐτοῦ, Ἀχινοὰμ καὶ Ἀβιγαίας, καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ πανοικί. Ἔνθα βασιλεὺς αἱρεῖται παρὰ τῆς Ἰούδα φυλῆς. Εὐλόγησε δὲ Δαβὶδ τοὺς ἄνδρας Ἰαβεὶς, ὡς θάψαντας τοὺς τοῦ Σαοὺλ καὶ τοῦ Ἰωνάθαν νεκρούς. Ὁ δὲ τοῦ Σαοὺλ ἀρχιστράτηγος Ἀβεννὴρ λαβὼν τὸν περίλοιπον υἱὸν τοῦ κυρίου αὐτοῦ τὸν Ἰεβοσθὲ, βασιλέα ἐπὶ πάντα τὸν Ἰσραὴλ, τοῦ Ἰούδα χωρὶς, ἀνηγόρευσεν. Ἦν δὲ τεσσαράκοντα ἐτῶν, ὅτε ἐβασίλευσεν ὁ Ἰεβοσθὲ, καὶ δύο ἔτη τῆς βασιλείας ἐκράτησεν. Ὁ δὲ Ἀβεννὴρ δι' ὀργῆς ἐποιεῖτο τὴν τοῦ Ἰούδα φυλὴν ὡς βασιλεύσασαν τὸν Δαβὶδ, καὶ ὥρμησε κατ' αὐτῆς. Ἀπήντησε δ' αὐτῷ μετὰ δυνάμεως Ἰωὰβ, ὃς ἦν τοῦ Δαβὶδ ἀρχιστράτηγος. Καὶ πρῶτον μὲν δώδεκα ἐξ ἑκάστης ἐμονομάχησαν στρατιᾶς. Πάντων δὲ πεπτωκότων ἐκείνων, καὶ ἄμφω αἱ στρατιαὶ ἀλλήλαις προσέβαλον, καὶ ἡττήθησαν οἱ τοῦ Ἀβεννήρ. Ἀβεσὰ δὲ καὶ Ἀσαὴλ ἀδελφοὶ Ἰωάβ. Ὁ δὲ Ἀσαὴλ, ἐπὶ ποδῶν ὠκύτητι σεμνυνόμενος, ἐδίωκεν ὄπισθεν Ἀβεννήρ. Ὁ δὲ ἀναστρέφειν παρήνει· ἐπεὶ δὲ μὴ ἔπειθε, πλήξας αὐτὸν ἐξόπισθεν καιρίως, ἀπέκτεινε. Τοῦ τεθνεῶτος δ', οἱ σύγγονοι διὰ τὴν τοῦ ἀδελφοῦ σφαγὴν ὀργιζόμενοι, μετέθεον τὸν Ἀβεννήρ· ἐκεῖνος δὲ στὰς ἐπὶ κορυφῆς ἑνὸς τῶν βουνῶν, ἐβόησε πρὸς Ἰωὰβ, λέγων, *Μὴ παρόξυνε πρὸς μάχην ἄνδρας ὁμοεθνεῖς· καὶ Ἀσαὴλ γὰρ ἡμάρτηκε, μὴ πεισθείς μοι συμβουλεύοντι ἀναστρέφειν, κἀντεῦθεν τέτρωταί τε καὶ τέθνηκε.* Παράκλησιν οὖν τοὺς λόγους τούτους ὁ Ἰωὰβ ἡγησάμενος, ἀνακλητικὸν ἠχῆσαι κελεύει τὴν σάλπιγγα, καὶ τὴν δίωξιν ἔστησεν. Ἀρχὴν δὲ ἐξ ἐκείνου παρ' Ἑβραίοις ἔλαβεν ὁ ἐμφύλιος πόλεμος, καὶ διέμεινεν ἐπὶ πλεῖστον, τῶν μὲν τοῦ Δαβὶδ κρατιουμένων, ἀσθενούντων δέ γε τῶν τοῦ Σαούλ. Ἐτέχθησαν δὲ τῷ Δαβὶδ ἐν Χεβρῶν ὄντι ἐκ γυναικῶν διαφόρων υἱοὶ ἕξ, ὧν ἦν πρωτότοκος ὁ Ἀμνών. Τοῦ δὲ Ἀβεννὴρ παλλακῇ μιχθέντος Σαοὺλ, ἠγανάκτησεν Ἰεβόσθὲ κατ' αὐτοῦ, διὰ τὴν παλλακὴν τοῦ πατρὸς αὐτοῦ. Τοῦτο γέγονεν αἴτιον τοῦ προσρυῆναι τὸν Ἀβεννὴρ τῷ Δαβίδ. Ὁ δὲ Δαβὶδ, στείλας πρὸς τὸν Ἰεβοσθὲ, τὴν ἰδίαν γυναῖκα ἐζήτει Μελχόλ. Ὁ δὲ ἀποσπάσας αὐτὴν τοῦ ἀνδρὸς, ᾧ μετὰ τὴν φυγὴν τοῦ Δαβὶδ ἡρμόσατο αὐτὴν ὁ Σαοὺλ, ἀπέστειλε τῷ Δαβίδ. Ἀβεννὴρ δὲ, τοῖς γηραιοῖς τοῦ πλήθους τῶν Ἰσραηλιτῶν καὶ τοῖς ταξιάρχαις διαλεχθεὶς, μεταθέσθαι συνῄνεσε πρὸς Δαβὶδ, τοῦτο καὶ πάντων προθυμουμένων. Τοῦτο δὲ ποιήσας, ἦκε πρὸς τὸν Δαβὶδ, ἐνόρκους πίστεις ληψόμενος. Καὶ δεχθεὶς ἀσμένως, ἀπῆει συναθροίσων τὸ πλῆθος, ἵνα παρὰ πάντων ἀναρρηθῇ ὁ Δαβίδ. Ἐλθὼν δὲ πρὸς Χεβρὼν Ἰωὰβ, καὶ μαθὼν τὰ περὶ Ἀβεννὴρ, δείσας μὴ ὑπερέξει ἐκεῖνος αὐτοῦ, κατεῖπε μὲν πολλὰ τοῦ ἀνδρὸς πρὸς Δαβίδ· μὴ πεισθὼν δὲ, στέλλει λάθρα τὸν καλέσοντα τὸν Ἀβεννὴρ ὡς ἐκ τοῦ Δαβίδ. Κἀκεῖνος ἀνέστρεψε, καὶ ὑπαντήσας αὐτῷ Ἰωὰβ, καὶ ὡς τι μυστικώτερον αὐτῷ διαλεξόμενος,

πόρρω τῶν οἰκείων ἀπαγαγὼν αὐτὸν κτείνει, ξίφει πατάξας ὑπὸ λαγόνα. Δαβὶδ δὲ, τοῦτο μαθὼν, ἤλγησε σφόδρα, καὶ τῷ τὸν ἄνδρα κτείναντι κατηρᾶτο, καὶ ἐθρήνησε τὸν θανόντα, καὶ φιλοτίμως ἐνεταφίασεν. Ἰεβοσθὲ δὲ, μετὰ μικρὸν ἐπιβουλευθεὶς, ἐσφάγη κοιμώμενος. Καὶ οἱ τοῦτον ἀνελόντες, δύο ὄντες, τὴν κεφαλὴν λαβόντες αὐτοῦ, τῷ Δαβὶδ ἀπεκόμισαν. Ὁ δὲ οὐ μόνον μὴ κεχαρισμένα πρᾶξαι αὐτῷ τοὺς ἄνδρας ἡγήσατο, ἀλλὰ καὶ ἀναιρεθῆναι προσέταξε, δίκας τοῦ φόνου πραττόμενος. Εἶτα πᾶς Ἰσραὴλ πορεύεται πρὸς Δαβὶδ, καὶ χρίουσιν αὐτὸν εἰς βασιλέα πασῶν τῶν φυλῶν. Ἦν δὲ τριακονταέτης Δαβὶδ, ὅτε ἐπὶ τὸν Ἰούδαν ἐβασίλευσεν. Καὶ ἦρξεν ἐν Χεβρὼν τῆς τοῦ Ἰούδα μόνης φυλῆς ἐνιαυτοὺς ἑπτὰ, τριάκοντα δὲ καὶ τρεῖς τοῦ παντὸς Ἰσραήλ.

Ρʹ. Ἀπῆρε δ' ἐκ Χεβρὼν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ, καὶ παραγέγονεν εἰς Ἱεροσόλυμα. Κατῴκουν δὲ τότε τὴν πόλιν καὶ τὴν γῆν ἐκείνην Ἰεβουσαῖοι, ὅθεν Ἰεβοῦς ἐκαλεῖτο ἡ πόλις. Χαναναίοις δ' ἦσαν κατὰ γένος προσήκοντες, οἳ, τοὺς τυφλοὺς καὶ χωλοὺς, καὶ ἄλλως πεπηρωμένους στήσαντες ἐπὶ τῶν ἐπάλξεων ἐπὶ χλεύῃ, μὴ παραχωρεῖν αὐτοὺς ἔλεγον τῷ Δαβὶδ τῆς εἰς τὴν πόλιν εἰσόδου. Ὀργισθεὶς δὲ διὰ ταῦτα Δαβὶδ, πολιορκίᾳ τὴν πόλιν εἷλε, καὶ τοὺς Ἰεβουσαίους ἐκεῖθεν ὠσάμενος, καὶ ἀνοικοδομήσας αὐτὴν, εἰς ὄνομα οἰκεῖον πόλιν Δαβὶδ ἐπωνόμασεν, ἐπὶ Ἀβραὰμ Σόλυμα καλουμένην· καὶ διέτριβεν ἐν αὐτῇ, βασίλεια δομησάμενος. Ἐγένοντο δὲ ἔτι παῖδες αὐτῷ ἐκ γυναικῶν πλειόνων καὶ παλλακῶν. Καὶ οἱ ἀλλόφυλοι ἐστράτευσαν κατὰ τοῦ Δαβίδ. Ὁ δὲ, τοῦ Θεοῦ ἐπινεύσαντος, ἔξεισι κατ' αὐτῶν μετὰ τῆς ἑαυτοῦ στρατιᾶς, καὶ νικᾷ. Οἱ δὲ, πολὺ πλείους συναθροισθέντες, πάλιν ἐπῆσαν. Ἐρομένου δὲ καὶ αὖθις τὸν Θεὸν τοῦ Δαβὶδ, ἐν τοῖς ἄλσεσι τοῦ Κλαυθμῶνος προσέταξεν ὁ Θεὸς αὐλίζεσθαι σὺν τῇ στρατιᾷ· καὶ μὴ ἄλλως προσβάλλειν τοῖς ἐναντίοις, πρὶν ἂν τὰ ἄλση σαλεύεσθαι ἄρξωνται. Καὶ οὕτω ποιήσας, τρέπει τοὺς πολεμίους. Καὶ ἄχρι τῶν ὁρίων αὐτῶν διώκων αὐτοὺς, ἔκτεινε. Μετὰ ταῦτα συνεκάλεσε Δαβὶδ τοὺς ἱερεῖς καὶ Λευίτας, καὶ ἅπαντα τὸν λαὸν εἰς Καριαθιαρείμ. Καὶ ἐπεβίβασαν οἱ ἱερεῖς τὴν κιβωτὸν Κυρίου ἐφ' ἅμαξαν καινὴν, κατάγοντες αὐτὴν εἰς Ἱεροσόλυμα. Καὶ ὁ λαὸς καὶ ὁ βασιλεὺς ἦδον ἔμπροσθεν αὐτῆς πορευόμενοι. Ἀναστραπῆναι δὲ κινδυνευούσης τῆς Κιβωτοῦ, Ὀζὰν ὁ υἱὸς τοῦ Ἀμιναδὰβ, ἐκτείνας τὴν χεῖρα, κατέσχεν αὐτὴν, καὶ ἐπεστήριζε μὴ πεσεῖν. Θνήσκει οὖν αὐτίκα, ὀργισθέντος τοῦ Θεοῦ ὅτι ἥψατο τῆς κιβωτοῦ, ἃ μὴ ἐξῆν. Καὶ ἐκλήθη ὁ τόπος ἐκεῖνος ἐντεῦθεν Διακοπή. Καὶ ηὐλαβήθη Δαβὶδ εἰσαγαγεῖν εἰς τὴν πόλιν τὴν κιβωτόν. Κατέθετο δὲ αὐτὴν εἰς τὸν οἶκον Ἀβεδδαρὰ Λευίτου ἀνδρὸς, καὶ ἦν ἐκεῖ τρεῖς μῆνας. Καὶ ἀπήλαυσεν ὁ οἶκος τοῦ ἀνδρὸς ἐκείνου πολλῶν ἀγαθῶν. Καὶ ἀκούσας Δαβὶδ, μετεκόμισεν ἐκεῖθεν τὴν κιβωτὸν εἰς τὴν πόλιν τὴν ἑαυτοῦ, ἑπτὰ χορῶν προαγόντων. Καὶ αὐτὸς τὴν κινύραν ἔκρουε, καὶ ἐχόρευε παίζων. Ἰδοῦσα δὲ αὐτὸν ὀρχούμενον καὶ σκιρτῶντα ἡ γυνὴ αὐτοῦ Μελχὸλ, ἐμέμψατο αὐτῷ ὡς ἀσχημονοῦντι· ὁ δὲ οὐκ αἰδεῖσθαι εἶπεν· ἐπεὶ μὴ ἀσχημοσύνη ταῦτα, γινόμενα εἰς Θεόν. Εἰσήνεγκαν δὲ τὴν κιβωτὸν, καὶ κατέθεντο εἰς τὴν σκηνὴν, ἣν ἔπηξεν αὐτῇ ὁ Δαβίδ. Εἶτα οἶκον δομήσασθαι τῇ κιβωτῷ ἠβουλήθη. Καὶ ὁ Θεὸς τῷ προφήτῃ Νάθαν ἐντέλλεται εἰπεῖν τῷ Δαβὶδ, ὅτι *Οὐ σὺ οἰκοδομήσεις μοι οἶκον, ἀλλ' ὁ υἱός σου, ὃς, σοῦ θανόντος, τὴν βασιλείαν σου διαδέξεται.* Ταῦτα τοῦ προφήτου τῷ Δαβὶδ ἀπαγγείλαντος, ἐκεί-

II. Regno confirmato, Chebrone cum suis Hierosolymam proficiscitur. Jebusæi tum urbem illam et terram tenebant, cognati Chananæis, a quibus ipsa etiam urbs Jebus appellabatur. Ii cæcis et claudis, aliisque mutilatis ad propugnacula per derisum collocatis, eos aiunt urbis ingressu Davidem prohibituros. Quo ludibrio commotus David, urbem obsidione capit, et Jebuseis inde pulsis, instaurat, ac de suo nomine Davidis urbem vocat, cum Abrahami temporibus Solyma diceretur : constructaque regia ibi habitat, et alios liberos e pluribus uxoribus et concubinis suscipit. Alienigenas bellum inferentes, Dei nutu cum suis copiis egressus, vincit. Qui cum exercitu longe majori reparato, denuo adessent, David oraculo consulto, in lucis Luctus considere jubetur cum exercitu, neque prius hostes aggredi, quam luci agitari cœpissent. Paret David, hostes fundit, et usque ad fines ipsorum cædibus persequitur. Post hæc sacerdotes et levitas omnemque populum Cariathiarim convocat, arcamque in currum novum sublatam sacerdotes Hierosolyma advehunt, populo et rege cum cantu antecedentibus : quæ cum in periculo esset ne everteretur, Oza filius Aminadabi extenta manu eam tenens, a lapsu defendit, iratoque Deo, quod homo profanus eam contrectasset, statim moritur. Unde locus ille Diacopes nomen obtinuit. Veritus itaque David in urbem introducere arcam, domi Abeddaræ levitæ deposuit ; apud quem tres menses mansit, ac viri illius domus multis bonis affecta est. Quo David audito, eam in urbem suam transfert, septem cœtibus præcedentibus, cinnyram **73** ipse pulsans, et ludibundus saltans. Quem Melchol conspicata, ut indecore se gerentem increpat. At ipse ejus facti non pudere se ait, neque indecora esse illa, ut quæ ad Dei honorem referrentur. Sic arcam intulerunt, et in tabernaculo, quod David in eum usum erexerat, collocarunt. Cæterum ædem illi exstructurum, Nathan propheta jussu Dei deterrens : *Non tu*, inquit, *ædem mihi construes, sed filius tuus, qui regnum te mortuo susceptirus est.* His David a propheta nuntiatis, ad gratiarum actionem conversus, non multo post alienigenas eorumque socios cædit fugatque, et Syriam sibi vectigalem reddit, præsidio Damasci collocato. In reditu item Idumæos sternit, omnibus in servitutem redactis. Deinde recordatus icti cum Jonatha Saulis filio fœderis, quærit num quis ex ejus familia superstes sit, cognitoque, Jonathæ filiam, Memphibosthem nomine, captum pedibus, superesse, accersit hominem, omnes avitas opes ei donat, victu secum communi perpetuo uti jubet, paternis etiam servis

ei traditis : quorum unum Sibam procuratorem facit, ut proventus fundorum, quos herus dono acceperat, colligeret. Sic Memphibosthes Hierosolymis habitat, mensaque regia fruitur.

Α νος εἰς εὐχαριστίαν ἐτράπετο. Καὶ μετὰ ταῦτα ἐπάταξε τοὺς ἀλλοφύλους, καὶ κατετροπώσατο αὐτοὺς καὶ τοὺς συμμάχους αὐτῶν, καὶ τὴν Συρίαν ὑπόφορον ἐποιήσατο, φρουρὰν ἐν Δαμασκῷ καταστήσας. Καὶ ἐν τῷ ἐπαναζευγνύειν, ἐπάταξε τὴν Ἰδουμαίαν, καὶ ἐγένοντο πάντες Ἰδουμαῖοι δοῦλοι τῷ Δαβίδ. Μνησθεὶς δὲ ὁ Δαβὶδ τῶν πρὸς Ἰωνάθαν τῶν τοῦ Σαοὺλ συνθηκῶν, ἐζήτησεν εἴ τις ἐκ τοῦ γένους τοῦ Σαοὺλ ὑπολέλειπται, καὶ μαθὼν περιεῖναι τοῦ Ἰωνάθαν υἱὸν βεβλαμμένον τοὺς πόδας, Μεμφιβοσθὲ κεκλημένον, μετεκαλέσατο αὐτὸν, καὶ ἐχαρίσατο τὴν τοῦ πάππου πᾶσαν ὕπαρξιν τῷ ἀνδρὶ, καὶ ὁμοδίαιτον ἑαυτῷ διόλου εἶναι ἐκέλευσε. Καὶ τοὺς πατρῴους οἰκέτας αὐτῷ προσαπένειμεν· ὧν ἐπὶ Σιβὰ καλουμένῳ ἐπιτροπεύειν τῶν δεδωρημένων τῷ αὐτοῦ κυρίῳ ἐπέτρεψε, καὶ προσάγειν ἐκείνῳ τὴν ἐκεῖθεν ὠφέλειαν. Ὁ δὲ Μεμφιβοσθὲ ἐν Ἱεροσολύμοις ᾤκει, καὶ συνεστιᾶτο τῷ βασιλεῖ.

III. Sub id tempus Ammanitarum rex, Davidis amicus, moritur, Annone filio relicto, patrii regni successore. Ad eum David legatos mittit, qui luctum ejus consolarentur, simulque nunciarent, Davidem amicitiam erga illum quoque conservaturum. At ille exploratores esse legatos suspicatus, rasis ex parte barbis eorum, et semisse palliorum præsecto, dimittit homines. Quos cum sic affectos David videret, Joabum, tradita validissima parte copiarum, contra Ammonitas mittit : qui commisso prælio, et ipsos et fœderatos eorum Syros vincit. Illi post fugam denuo ascitis sociis, bellum redintegrant. Tum David cum toto exercitu eos adortus, multos cædit, Sobacum hostilium legionum ducem graviter vulnerat : quo ex illo vulnere mortuo, Syri ex Mesopotamia socii Ammanitarum deditionem faciunt. David Joabum rursus contra Ammanitas mittit, qui cum eos in illius terræ metropolim 74 compulsos obsideret, ipse interim Hierosolymis degens, cum e regia mulierem, nomine Bersaben, domi lavantem conspexisset, cum illa accersita rem habet. Quæ cum se esse gravidam regi indicasset, Uriam (sic enim maritus ejus vocabatur) ab obsidione avocat, et de exercitu percontatus, missis de cœna ferculis, domum ire jubet. Verum ille non abit : neque enim decere, cum dux et commilitones in castris ærumnas ferant, se cum uxore concumbere. Rege iterum hortante ut domum iret, et poculis fere usque ad ebrietatem urgente, ille pro regiæ foribus somnum capit. Itaque Uriam in castra remittit rex, traditis ad Joabum litteris, quibus ille jubebatur statuere Uriam, qua pugna esset asperrima, deserique ibi solum, reductis cæteris, ut ita perimeretur. Fiunt jussa regis, Urias occiditur, ab uxore lugetur, finitoque luctu mulier Davidi nubit, ac filium parit. Ob hoc facinus iratus Deus, Nathanem ad Davidem mittit, qui cum rege congressus, hunc in modum locutus est : *Duo viri fuerunt, quorum alter greges et armenta habuit, alter unam duntaxat agnam. Cum autem hospes quidam ad divitem divertisset, non de suis immolavit, sed pauperis agnam mactatam amico epulandam apposuit.* Ibi David eum qui id fecerit, quadrupli et capitis condemnat. Tum Nathan : *Contra teipsum*, inquit, *o rex, sententiam tulisti. Tu enim id facinus edisti*, eique adulterium et cædem commemorat, et iram Dei propter illa, et clades imminentes denuntiat : atque inter cætera, mortem filii ex adulterio geniti. David se peccasse

Γ'. Κατὰ δὲ τὸν τότε χρόνον τέθνηκεν ὁ τῶν Ἀμμανιτῶν βασιλεὺς, φίλος ὢν τοῦ Δαβὶδ, ἐπὶ υἱῷ Ἀννῶν, ὃς τὴν πατρικὴν ἀρχὴν διεδέξατο. Ἔπεμψεν οὖν πρὸς Ἀννὼν ὁ Δαβὶδ τοὺς παρηγορήσοντα; τὴν Β ἐπὶ τῷ πατρὶ λύπην αὐτοῦ, καὶ τηρεῖν τὴν φιλίαν ἀπαγγελοῦντας καὶ ἐπ' αὐτῷ τὸν Δαβίδ. Ὁ δὲ, κατασκόπους εἶναι τοὺς πεμφθέντας ὑπειληφὼς, ξυρήσας αὐτῶν παρὰ μέρος τοὺς πώγωνας, καὶ περιτεμὼν τὰ ἡμίση τῶν ἐπωμίδων αὐτῶν, ἐξαπέστειλε τοὺς ἄνδρας. Οὓς οὕτω διακειμένους ἰδὼν ὁ Δαβὶδ, τὸ τῆς στρατιᾶς ἀκμαιότατον τῷ ἀρχιστρατήγῳ δοὺς Ἰωὰβ, κατὰ τῶν Ἀμμανιτῶν ἐξαπέστειλε. Καὶ συμβαλὼν ἐκείνοις ὁ Ἰωὰβ, αὐτούς τε καὶ τοὺς συμμάχους Σύρους ἡττᾷ· καὶ τρέπονται εἰς φυγήν. Οἱ δὲ, καὶ πάλιν συμμάχους προσειληφότες, πρὸς πολεμον ἦσαν. Καὶ ὁ Δαβὶδ, σὺν πάσῃ τῇ στρατιᾷ συμβαλὼν αὐτοῖς, πολλοὺς μὲν ἀνεῖλεν· ὁ δ' ἔξαρχων τῆς τῶν ἐναντίων δυνάμεως Σωβὰκ, τρωθεὶς καιρίως ἐν τῷ πολέμῳ, τέθνηκεν ἐκ τοῦ τραύματος. Οἱ σύμμαχοι δὲ τῶν Ἀμμανιτῶν, Σύροι ὄντες ἐκ Μεσοποταμίας, ἑαυτοὺς παρέδωκαν τῷ Δαβίδ. Αὖθις δὲ τὸν Ἰωὰβ ἐκπέπομφε κατὰ τῶν Ἀμμανιτῶν, ὃς συγκλείσας αὐτοὺς εἰς τὴν τῆς χώρας αὐτῶν μητρόπολιν, ἐπολιόρκει. Δαβὶδ δὲ ἐν Ἱεροσολύμοις διάγων, καὶ ἐκ τῶν βασιλείων ἰδὼν γυναῖκα κατ' οἶκον λουομένην, Βηρσαβεὲ καλουμένην, ἠράσθη αὐτῆς. Καὶ μεταστειλάμενος τὴν γυναῖκα, ἐμίγη αὐτῇ. Συλλαβοῦσα δὲ, τῷ βασιλεῖ τὸ πρᾶγμα ἐδήλωσεν. Ὁ δὲ τὸν ἄνδρα αὐτῆς ἐκ τῆς πολιορκίας ἐκάλεσεν, Οὐρίαν ὠνομασμένον. Καὶ ἐρωτήσας περὶ τῆς στρατιᾶς, καὶ ἐκ τοῦ δείπνου αὐτῷ παρασχών, εἰς τὸν οἶκον αὐτοῦ ἐκέλευσεν ἀπελθεῖν. Ὁ δὲ οὐκ ἀπῆλθε· μὴ δίκαιον εἶναι φήσας, τὸν στρατηγὸν καὶ τοὺς συστρατιώτας C ταλαιπωρεῖσθαι ἐν τῇ παρεμβολῇ, αὐτὸν δὲ μετὰ τῆς γυναικὸς συνευνάζεσθαι. Πάλιν δὲ τοῦ βασιλέως προτρεπομένου αὐτὸν οἴκαδε ἀπελθεῖν, καὶ δεξιωσαμένου αὐτὸν προπόσεσιν, ὡς καὶ εἰς μέθην σχεδὸν προαχθῆναι, ἐκεῖνος πρὸ τῶν θυρῶν τῶν βασιλείων κατέδαρθεν. Ἀπέστειλεν οὖν πάλιν εἰς τὸ στρατόπεδον τὸν Οὐρίαν ὁ βασιλεὺς, καὶ γραφὴν αὐτῷ ἐγχειρίζει πρὸς Ἰωὰβ, ἐντελλομένην στῆσαι τὸν Οὐρίαν, ἔνθα τῶν πολεμίων τὸ δυσμαχώτατον, καὶ ἀποστραφῆναι τοὺς σὺν αὐτῷ, μόνον λιπόντας ἐκεῖ, ἵν' οὕτως ἀναιρεθῇ. Καὶ γέγονε κατὰ τὸ τοῦ βασιλέως ἐπίταγμα· καὶ ὁ Οὐρίας ἀπέθανεν. Ἡ δὲ γυνὴ αὐτοῦ ἐπένθησεν ἐπὶ τῷ ἀνδρί. Παυσαμένην δὲ τοῦ πένθους, ὁ Δαβὶδ ἔλαβεν αὐτὴν εἰς γυναῖκα· κατέτεκεν αὐτῷ υἱόν. Ὁ δὲ Θεὸς ὠργίσθη, καὶ τὸν Νάθαν ἔστειλε πρὸς Δαβίδ. Ὁ δὲ, πρὸς τὸν βασιλέα

ἐλθὼν, ἔφη· *Δύο ἦσαν ἄνδρες, ὁ μὲν ἔχων ποίμνια καὶ βουκόλια, ὁ δὲ μίαν ἀμνάδα ἐκέκτητο. Ξενισθέντος δέ τινος τῷ πλουσίῳ, οὐκ ἐκ τῶν οἰκείων ἔθυσεν, ἀλλὰ τὴν μίαν λαβὼν ἀμνάδα τοῦ πένητος, ἔσφαξε, καὶ τὸν ξένον ἱστίασεν.* Καὶ ὁ Δαβὶδ τὸν τοῦτο ποιήσαντα τὴν μὲν ἀμνάδα εἰς τετραπλοῦν ἀποδοῦναι, ἐκεῖνον δὲ θανεῖν κατεδίκασε. Νάθαν δὲ, *Καθ' ἑαυτοῦ τὴν ψῆφον*, εἶπεν, *ἐξήνεγκας, ὦ βασιλεῦ. Σὺ γὰρ εἶ ὁ εἰργασμένος τοῦτο τὸ ἀνόμημα.* Καὶ τὴν μοιχείαν αὐτῷ, καὶ τὸν φόνον κατέλεγε, καὶ τὴν διὰ ταῦτα ὀργὴν τοῦ Θεοῦ, καὶ ὅσα πείσεται προκατήγγειλε, θανεῖσθαι δὲ καὶ τὸν υἱὸν τὸν ἐκ τῆς μοιχείας αὐτῷ γεννηθέντα. Ὁ δὲ Δαβὶδ, Ἡμάρτηκα τῷ Κυρίῳ, περιπαθῶς ἀνεβόησε. Καὶ ὁ Νάθαν, παραβιβασθῆναι αὐτῷ παρὰ τοῦ Θεοῦ τὸ ἁμάρτημα, ἀπεκρίνατο. Ἐνόσει μετέπειτα ὁ ἐκ τῆς Βηρσαβεὲ γεννηθεὶς, καὶ ἦλγει σφόδρα Δαβίδ· ἐφ' ἡμέραν τε ἑβδόμην ἀπόσιτος ἦν, καὶ μελανειμονήσας, καὶ ἐπὶ σάκκου πεσὼν, ἐδέετο τοῦ Θεοῦ ὑπὲρ τῆς ζωῆς τοῦ παιδός. Τῇ δὲ ἑβδόμῃ τέθνηκεν ὁ μὲν παῖς· αὐτὸς δὲ, τοῦτο μαθὼν, ἐξανίσταται, καὶ λουσάμενος, καὶ μεταμφιασάμενος, τῷ Θεῷ ηὐχαρίστησε, καὶ τράπεζαν αὐτῷ ἑτοιμασθῆναι ἐκέλευσεν. Ὡς δ' ἐθαύμαζον ἐπὶ τοῖς γενομένοις οἱ τοῦ βασιλέως θεράποντες, ἐκεῖνος μὲν, *Ἔτι ζῶντος τοῦ παιδὸς*, εἶπεν, *ἐλπίζων παρακληθήσεσθαι τὸν Θεὸν, ἐταπείνουν ἑαυτὸν καὶ ἱκέτευον. Ἤδη δὲ θανόντος, εἰς μάτην τὴν λύπην καὶ τὴν περὶ ἐκείνου γίνεσθαι δέησιν.* Ἔτι δὲ ἔτεκε Βηρσαβεὲ τῷ Δαβὶδ υἱὸν, καὶ ἐκάλεσεν αὐτὸν Σολομῶντα. Ἰωὰβ δὲ, πολιορκῶν τοὺς Ἀμμανίτας, ἐν στενῷ κομιδῇ τὴν ἅλωσιν εἶχε τῆς πόλεως, καὶ δηλοῖ τοῦτο τῷ βασιλεῖ. Ὁ δὲ ἀπῆλθεν ἐκεῖ, καὶ τὴν πόλιν παρέλαβε, καὶ εἰς διαρπαγὴν τῇ στρατιᾷ ἀφῆκεν αὐτήν. Τὸν δὲ τοῦ βασιλέως αὐτῆς στέφανον αὐτὸς λαβὼν ἐφόρει, ἕλκοντα χρυσίου τάλαντον, καὶ λίθον ἔχοντα τῶν πολυτίμων. Τὸ δὲ τῆς πόλεως πλῆθος διέφθειραν. Οὕτως δὲ καὶ ταῖς ἄλλαις πόλεσι πεποίηκε τῶν Ἀμμανιτῶν· καὶ εἰς Ἱερουσαλὴμ ἐπανέζευξεν.

Δ'. Ἦν δὲ τῷ Δαβὶδ θυγάτηρ Θαμαρ ὠνομασμένη, ὁμομήτριος ἀδελφὴ τῷ Ἀβεσαλώμ. Ταύτης ἥρα Ἀμνὼν ὁ πρωτότοκος υἱὸς τοῦ Δαβίδ. Καὶ ἦν ὁ ἔρως πολὺς, ὡς καὶ νοσῆσαι τὸν ἐρῶντα. Ἀφικομένου δὲ τοῦ πατρὸς πρὸς ἐπίσκεψιν αὐτοῦ, ἠξίωσεν αὐτὸν παραγενέσθαι τὴν Θάμαρ εἰς ὑπηρεσίαν αὐτοῦ, ὁ δὲ κατένευσεν. Ἦκεν οὖν ἡ Θάμαρ, καὶ ἡτοίμασεν αὐτῷ κολλυρίδας. Ὁ δὲ πάντας ἐξέπεμψε, μόνην δὲ τὴν ἀδελφὴν ὑπηρετήσασθαι ἠξίου αὐτῷ. Τῆς δὲ κόρης μόνης περιλειφθείσης, βιάζεται αὐτήν. Καὶ διακορήσας αὐτὴν, μῖσος αὐτίκα ἔσχεν ἀντίθετον τοῦ πρὶν ἔρωτος. Καὶ ἀπιέναι παραχρῆμα ἐκέλευε, καὶ κελεύει τῷ οἰκέτῃ αὐτὴν ἐκβαλεῖν. Ἐκείνη δὲ, διά τε τὴν βίαν καὶ τὴν ὕβριν περιαλγήσασα, διαῤῥήγνυσι τὸν χιτῶνα, καὶ κόνιν κατασπασαμένη τῆς κεφαλῆς, ἐπορεύετο θρηνοῦσα. Ὁ δὲ ἀδελφὸς αὐτῆς Ἀβεσαλὼμ, ἡσυχάσαι αὐτῇ συνεβούλευσεν, ἐμηνίθη δὲ Ἀμνὼν διὰ τὴν ἀδελφήν. Ὁ δὲ βασιλεὺς, μαθὼν τὸ συμβὰν, ἦχθετο μὲν, λυπῆσαι δὲ τὸν Ἀμνὼν οὐκ ἤθελεν, ὅτι πρωτότοκος ἦν αὐτῷ. Διετηρίδος δὲ παρελθούσης, κείρειν ἔμελλεν ἄρτι τὰ ἴδια πρόβατα ὁ Ἀβεσαλὼμ, καὶ εἰς πότον τοὺς ἀδελφοὺς συνεκάλεσεν. Ἐνετείλατο δὲ τοῖς ὑπηρετουμένοις αὐτῷ, προχωροῦντος τοῦ πότου, πατάξαι τὸν Ἀμνὼν, καὶ ἀποκτεῖναι. Καὶ ἐποίησαν οὕτως οἱ παῖδες Ἀβεσαλώμ. Ἰδόντες δὲ οἱ λοιποὶ τοῦ βασιλέως υἱοὶ τὸ γενόμενον, ἔφυγον. Φήμης δὲ προελθούσης, ὡς ἔκτεινε πάντας τοὺς τοῦ βασιλέως υἱοὺς Ἀβεσαλὼμ, διέῤῥηξε τὴν ἐσθῆτα αὐτοῦ ὁ Δαβὶδ, καὶ ἔπεσεν ἐπὶ γῆν

A Deo cum dolore exclamat. Nathan vero, Deum ejus peccatum ab illo removisse respondet. Post hæc natus ex Bersabe filius ægrotat : David magno dolore affectus, ad septimum diem cibo abstinet, pullaque veste indutus, et in sacco jacens, Deum pro vita pueri deprecatur. Septimo die puer moritur : quo ille cognito surgit, lavat, veste mutata gratias Deo agit, et mensam parari sibi jubet. Quæ regiis ministris admirantibus, David : *Vivente*, inquit, *puero spem habebam exorandi Dei, meque humilem ac supplicem præbebam. Nunc illo mortuo, et mœror, et preces pro illo fuerint irritæ.* Sed Bersabe alium Davidi **75** filium parit, quem Salomonem nominavit. Interea Joabus Ammanitas in extremas obsidionis angustias esse redactos, regi significat. Qui eo profectus, urbem capit, et militibus diripiendam donat : sed coronam regis auream, talenti pondere, gemma pretiosa præditam, ipse gestandam sibi sumit, urbanam multitudinem trucidat, aliisque oppidis eodem modo tractatis, Hierosolyma regreditur.

B

IV. Habebat autem David filiam Thamarem, uterinam Absalonis sororem. Eam primogenitus Davidis filius Amnon vehementer deperibat, adeo ut ex amore in morbum incideret. Decumbentem pater invisit : orat ille ut Thamarem mittat, quo sibi ministret. Annuit pater : venit puella, placentas ei parat. Amnon omnes discedere jubet, solamque sororem sibi ministrare. Tum puellam solam nactus, vi stuprat, et confestim ardens ille amor in par odium convertitur : ac statim illam discedere, et a famulo ejici jubet. Illa et raptus et contumeliæ dolore, tunicam rumpit, et pulvere consperso capite, plorans abit. Absalon sororem quietam esse jubet, pertinaci contra Amnonem ira æstuans. Nam rex etsi facinus illud iniquo ferebat animo, filium tamen quod primogenitus esset, contristare nolebat. Elapso biennio, suas oves tonsurus Absalon, fratres ad comessationem convocat : mandato prius ministris dato, ut gliscente compotatione, Amnonem trucidarent. Parent illi; quo viso reliqui regii filii fugiunt, ortoque rumore, omnes eos ab Absalone cæsos, David vestes suas lacerat, et humi stratus lamentatur. Interea cæteri veniunt, Amnonis cædem mœsti nuntiantes. Absalon ad maternum avum Gethæ regem confugit, et triennium ibi commoratur. Regis ira spatio temporis paulo remissiore facta, Joabus Absaloni regem hujusmodi commento reconciliare nititur. Subornat mulierculam, quæ lugubri specie regem

C

D

adeat, conquerens, duos sibi fuisse filios, quorum unus alterum occiderit. Nunc cognatos superstitem ad cædem quærere, ob parricidium : orare igitur regem, ut salutem filii sibi condonet. Illa hæc apud regem perquam dolenter exponit. Rex filii salutem illi se donaturum pollicetur. **76** Tum mulier gratias agit : *Sed ut pignus*, inquit, *habeam promissi tui : tu ipse, o rex, in primis tuo filio reconciliare, neque cum cæde filii te invito facta, voluntariam conjunxeris.* Animadvertit rex, commentum esse preces mulieris, Joabo auctore excogitatum : eique Absalonis reducendi dat potestatem. Joabus igitur eum Hierosolyma reducit, ea tamen conditione, ut ne in conspectum patris veniret, donec ipse tandem eum reconciliatus vocat, data petenti venia, et oblivione injuriæ promissa. Restitutus in integrum Absalon, equis, curribus, et multis satellitibus comparatis, regiam quotidie frequentat : populumque blandis alloquiis deliniens, multorum gratiam colligit. Jam quatuor annis a reditu elapsis, fingit se religionis ergo Chebronem profecturum ad exsolvenda vota quæ in exsilio fecisset. Annuit pater. Ille digressus, passim dimittit nuntios : plurimi ad illum confluunt, ac præter cæteros Achitophel, patri ejus a consiliis. Ita rex ab omnibus salutatur. Hoc David cognito, cum iis quos circum se habebat, Hierosolyma egreditur : comitantibus etiam sexcentis illis, quorum sub Saule opera usus fuerat. Neque ulla res mœrorem et metum ejus magis auxit, quam Achitophelis transfugium : nihilominus tamen Deum invocat, et omnem illi eventum permittit. Chusus etiam Davidis amicus, de illius sententia, defectione simulata, se ad Absalonem confert. Inter proficiscendum occurrit Davidi Memphibosthis servus Siba, jugum asinorum agens, commeatum ferentium : et herum accusans, quod Hierosolymis maneret, ac regnum populi suffragiis ad se rediturum esse exspectaret. Ob quæ indignatus David, omnia quæ Memphibosthi prius donarat, Sibæ largitur. Post in itinere Semeis eum aggreditur, vir Saulis cognatus, lapides jactans contra regem, et exsecrans illum, et virum sanguinarium atque iniquum vocitans. Ad quem perimendum David suos concitatos inhibuit, divinitus illi ea mandata esse asserens, itaque missum faciendum. Ad Jordanem profectus, ibi suos defatigatos refecit.

Σιβὰ, ζεῦγος ἄγων ὄνων φερόντων τὰ ἐπιτήδεια, καὶ τοῦ δεσπότου κατηγορῶν, ὡς μείναντος ἐν Ἱεροσολύμοις, καὶ προσδοκῶντος αὐτῷ τὴν βασιλείαν περιελεύσεσθαι, οἷα τοῦ πλήθους αἱρησομένου αὐτόν. Ἠγανάκτησεν ἐπὶ τούτοις Δαβὶδ, καὶ πάντα ὅτα τῷ Μεμφιβοσθὲ πρὶν ἐδωρήσατο, τῷ Σιβὰ ἐχαρίσατο· Εἶτα ἔπεισιν αὐτῷ κατὰ τὴν ὁδὸν Σεμεεὶ, ἀνὴρ ἐκ τῆς συγγενείας Σαοὺλ, καὶ λίθους κατὰ τοῦ βασιλέως ἠκόντιζε, καὶ κατηρᾶτο αὐτῷ, καὶ ἄνδρα αἱμάτων ὠνόμαζε, καὶ παράνομον. Τῶν δὲ μετὰ Δαβὶδ ὁρμώντων ἀνελεῖν τὸν Σεμεεὶ, ὁ βασιλεὺς οὐκ ἀφῆκεν, εἰπών· Κύριος εἶπεν αὐτῷ ταῦτα ποιεῖν, ἄφετε αὐτόν· Καὶ ἐλθὼν εἰς τὸν Ἰορδάνην, ἐκεῖ τοὺς μετ' αὐτοῦ κεκοπιακότας ἀνέψυξεν.

V. Absalon autem ubi Hierosolyma pervenit, Chuso se accedenti : *Cur*, inquit, *patre, cui amicus es,* **77** *deserto, me convenis ?* Tum ille : *Divinitus*, inquit, *electo adero, et eum sequar, qui totius populi consensu rex est declaratus.* Deinde quid agen-

Ε'. Ἀβεσαλὼμ δὲ, παραγενόμενος εἰς Ἱεροσόλυμα, ἐλθόντι πρὸς αὐτὸν τῷ Χουσὶ, ἔφη· *Ἵνα τί ἑταῖρος ὢν τοῦ πατρός μου, πρός ἐμὲ ἦκεις ἐκεῖνον λιπών;* Ὁ δὲ, *Τῷ ἐκλελεγμένῳ παρὰ Θεοῦ συνέσομαι*, εἶπε, *καὶ συνέσομαι τῷ*

ἠρετισμένῳ παρὰ παντὸς τοῦ λαοῦ. Τί δὲ δεῖ πράττειν τὸν Ἀχιτόφελ ἤρετο ὁ Ἀβεσαλώμ. Καὶ ὃς συνεβούλευσε ταῖς τοῦ πατρὸς μίσγεσθαι παλλακαῖς· ἵν' οὕτω γνοῖεν πάντες ἄσπονδον εἶναί σοι τὴν ἔχθραν πρὸς τὸν πατέρα σου. Καὶ ἐποίησε κατὰ τὴν συμβουλὴν ταύτην Ἀβεσαλώμ. Αἰτήσαντος δὲ τοῦ Ἀχιτόφελ μυρίους ἄνδρας, ὡς ἂν αὐτίκα καταδιώξῃ ὄπισθεν τοῦ βασιλέως Δαβίδ, καὶ τῶν μετ' αὐτοῦ, ἐκλελυμένων ὄντων ὑπὸ τοῦ κόπου, καὶ τὸν μὲν πατάξῃ, τοὺς δὲ ἐπιστρέψῃ, ὁ Ἀβεσαλὼμ ἠρώτησε τὸν Χουσὶ περὶ τῆς συμβουλῆς. Ὁ δὲ οὐκ ἀγαθὴν αὐτὴν ἀπεφήνατο, λέγων ὡς *Οὐκ ἠγνόηταί σοι ἡ τοῦ πατρὸς καὶ τῶν μετ' αὐτοῦ ἀνδρεία καὶ ἔμπειρία. Δεῖν δὲ νομίζω ἐκ πάσης τῆς χώρας στρατιὰν συλλεξάμενον, οὕτως αὐτόν σε κατὰ τοῦ πατρὸς ὁρμῆσαι, καὶ στρατηγῆσαι τὸν πόλεμον, καὶ πάντως νικήσεις πρὸς βραχεῖς μετὰ πολλῶν συῤῥηγνύμενος.* Καὶ εἶπεν Ἀβεσαλὼμ καὶ οἱ σὺν αὐτῷ· Ἀγαθὴ ἡ βουλὴ Χουσὶ, ὑπὲρ τὴν βουλὴν Ἀχιτόφελ. Πάντα δὲ ταῦτα Χουσὶ τῷ Σαδὼκ καὶ τῷ Ἀβιάθαρ τοῖς ἱερεῦσι δηλῶσαι τῷ Δαβὶδ ἐνετείλατο. Οἱ δὲ ἐστάλκασι πρὸς Δαβὶδ ἄνδρας τοὺς γνωριοῦντας αὐτῷ τὰ γενόμενα. Ἀπηγγέλη δὲ τῷ Ἀβεσαλὼμ περὶ τῶν ἀνδρῶν, καὶ κατεδίωκεν αὐτούς. Ὁ γνόντες ἐκεῖνοι, προσφεύγουσιν ἐν οἰκίᾳ τινὸς, καὶ εἰς φρέαρ καταδύντες, ἐκρύβησάν τε καὶ ἔλαθον, καὶ τῷ Δαβὶδ, ἐκεῖθεν ἐξελθόντες, τὰ μηνυθέντα ἀπήγγειλαν. Ὁ δὲ νυκτὸς σὺν τοῖς μετ' αὐτοῦ διέβη τὸν Ἰορδάνην. Ἀχιτόφελ μέντοι παρευδοκιμηθεὶς, καὶ γνοὺς ὅτι κακὰ συναντήσεται τῷ Ἀβεσαλὼμ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀπήγξατο. Ἀριθμήσας δὲ τοὺς μετ' αὐτοῦ ὁ Δαβὶδ, τετρακισχιλίους εὗρε. Καὶ εἰς τρεῖς διεῖλε μοίρας τὴν στρατείαν, ἑκάστῃ τε ἐπέστησε στρατηγὸν, αὐτὸς δὲ συνεξεστράτευσαι παρὰ τῶν φίλων οὐ συγκεχώρητο, λεγόντων, ὡς εἰ μετ' αὐτοῦ τραπείη, πάσης ἐλπίδος ἐκπίπτουσιν· αὐτοῦ δὲ σωζομένου, ἔτι σφίσιν ἐλπὶς περιλέλειπται. Ἔπεμψεν οὖν τὸν λαὸν αὐτοῦ μαχησόμενον· καὶ παρεκάλει φείσασθαι τοῦ Ἀβεσαλὼμ, εἰ νικήσειαν. Μάχης δὲ συῤῥαγείσης, κρατοῦσιν οἱ τοῦ Δαβὶδ, καὶ τὸν Ἀβεσαλὼμ ἐθίωκον φεύγοντα. Φερόμενος δ' ἐφ' ἡμιόνου, καὶ εἰς δρυμὸν εἰσελθών, δρυὸς μεγάλης τῆς τριχὸς αὐτοῦ ἐμπλακείσης (ἔτρεφε γὰρ τὴν κόμην σφόδρα πολλὴν), ἀπηώρητο τῆς δρυός· ἡ δ' ἡμίονος παρελήλυθε. Καί τις, ἀνηρτημένον οὕτω τὸν Ἀβεσαλὼμ θεασάμενος, καταμηνύει τῷ Ἰωάβ. Ὁ δὲ, βέλεσιν αὐτὸν τρισὶ κατὰ τῆς καρδίας βαλὼν, ἐθανάτωσε, καὶ τὸν τὴν νίκην ἀπαγγελοῦντα τῷ βασιλεῖ ἐξαπέστειλε. Μηνυθείσης δὲ τῆς νίκης αὐτῷ, εἰ ζῇ ὁ υἱὸς, ἐπυνθάνετο. Ἀκούσας δὲ τεθνάναι αὐτὸν, ἀπωδύρετο. Ἐλθὼν δὲ πρὸς τὸν βασιλέα ὁ Ἰωάβ, ἔπεισεν οἷς εἶπε παύσασθαι τοῦ θρηνεῖν· παυσάμενός τε καὶ τοῖς στρατιώταις ἐμφανισθεὶς, ἐπῄνεσεν αὐτούς. Πάντες δ' ὡς πρὶν αὐτῷ ὑπετάγησαν, καὶ ἀπελήλυθεν εἰς Ἱεροσόλυμα. Ἀπιόντι δὲ συνήντησε Σεμεεὶ, συγγνώμην αἰτῶν ἐφ' οἷσπερ ἡμάρτηκεν. Ὁ δὲ κἀκείνῳ τὴν ἁμαρτίαν ὤμοσεν ἀφιέναι, καὶ πᾶσι τοῖς εἰς αὐτὸν πλημμελήσασιν. Ἀπήντησε δὲ καὶ ὁ Μεμφιβοσθέ. Καὶ ὁ βασιλεὺς, τί δή ποτε μὴ τῆς φυγῆς αὐτῷ κεκοινώνηκεν, ἤρετο. Ὁ δὲ τούτου τὸν Σιβὰ αἰτιώτατον ἔλεγε, μὴ ἑτοιμάσαντά οἱ τὰ πρὸς

A dum esset, percontanti Absaloni, respondet Achitophel, constuprandas esse paternas concubinas, ut omnes, inquit, intelligant, irreconciliabiles esse tuas adversus patrem inimicitias. Obtemperat ille consilio. Sed cum idem decem millia virorum peteret ut regem Davidem cum suis e vestigio persequeretur, fatigatione enervatos, ac illum quidem tolleret, hos autem reduceret : Absalon Chusum rogat, quid de eo consilio ipsi videatur? Respondet ille, non esse id bonum : *Nec enim ignoras*, inquit, *patris tui et militum ejus fortitudinem, atque rei militaris usum. Ego vero censeo, e tota provincia colligendum exercitum, et ductu auspiciisque tuis patrem persequendum. Vinces nimirum, cum multis in paucos facto impetu.* Absalon caterique, his auditis, Chusi consilium laudant, Achitophelis improbato. Quæ Chusus omnia per Sadocum et Abiatharem sacerdotes Davidi nuntiari jubet. Mittunt illi viros qui hæc regi significent. Verum Absalon cum id rescisset, eos persequitur. At illi, animadverso periculo, domum quamdam ingressi, in puteo delitescunt : et deceptis persecutoribus, rem omnem ad Davidem perferunt. Ille noctu Jordanem transit. Cæterum Achitophel tum alium sibi prælatum ægre ferens, tum cladem Absaloni imminentem animo prævidens, domum abit, ac se suspendit. David recensens exercitum quatuor millia virorum invenit, eumque trifariam partitur, cuique parti duce præposito. Verum amici eum interesse pugnæ pati noluerunt. Quod si cum illo in fugam verterentur, omni spe destituti forent : incolumi vero, spem adhuc reliquam habituri essent. Populum igitur suum ad pugnam mittit, rogans ut parcerent Absaloni, si vicissent. Commisso prælio, Davidici victores Absalonem mula fugientem persequuntur : qui nemus ingressus, coma, quam densissimam alebat, magnæ quercui implicita adhæsit, mula subter eum progressa. Ita dependentem quidam conspicatus, Joabo rem nuntiat. Is vero tribus spiculis in cor ejus conjectis, **78** eum perimit, et victoriæ nuntium ad Davidem mittit : qui audita victoria, num viveret filius percontatur; ejusque interitu cognito, lamentatur. Sed Joabus regem aggressus, suadet, ut finito luctu se militum conspectui offerret : quo facto, cum eos collaudasset, cæteri omnes ad officium rediere. Hierosolyma revertenti obviam fit Semeis, delictorum veniam petens. Rex et illi se condonare culpam, et omnibus iis a quibus violatus esset, jurat. Obviam egreditur et Memphibosthes, qui rege expostulante, cur fugæ socius non fuisset, culpam omnem in Sibam transfert, qui sibi ad iter necessaria non parasset : cum ipse, pedibus læsis, sequi non posset : nec his contentum adjecisse calumnias, et nefaria mendacia. David accepta hominis excusatione, bonorum semissem ei restitui jubet.

τὴν ἔξοδον· αὐτὸν δὲ τὰς βάσεις ὄντα βεβλαμμένον, μὴ οἷόν τ' εἶναι συνέπεσθαι. Τὸν δὲ καὶ προσβιαβαλεῖν αὐτὸν κακούργως, καὶ καταψεύσασθαι. Πρὸς ταῦτα Δαβὶδ καὶ συγγνώμην αὐτῷ παρεῖχε, καὶ τὰ ἡμίση τῆς ὑποστάσεως αὐτῷ ἀποκαταστῆναι ἐκέλευσε.

VI. Post hæc rege Galgala profecto, omnis populus Israeliticus ad eum convenit, Judaicam tribum accusans, quod clam ad illum se contulisset. At illi, non hoc sibi vitio esse dandum aiunt, quod genere conjuncti essent regi. Qui sermo durus visus est populo : et vir quidam factiosus atque improbus, nomine Sabeas, ex tribu Benjamitica, exclamat ; *Nobis nulla in Davide pars est, neque ulla in Jessæi filio hæreditas ;* inflatoque cornu, omnes a Davide ad sese abstrahit, sola tribu Judaica apud eum permanente. Rex autem Abesam imperatorem creatum, ad colligendas e Judaica tribu copias ablegat, ut intra triduum reverteretur. Verum illo cessante, Joabo mandat, ut cum iis militibus qui ad manum essent, Sabeam invaderet : *Ne*, inquit, *procrastinantibus nobis, inimici vires augeantur.* Statim ad bellum vadit Joabus, cui cum magnis copiis occurrit Abesa : quo accedente, gladio quo accinctus erat, de industria e vagina humi projecto, sublatoque, ad eum salutandum prope aggressus, Abesam ense in ventrem defixo occidit, et populo ejus assumpto Sabeam persequitur, qui in urbem munitam confugerat. Eam obsidente Joabo, cordata quædam mulier, de muro clamans : *Cur*, inquit, *eversurus es metropolim Israeliticam ? Ob Sabeam*, respondet Ille. Tum illa civibus persuadet, ut Sabeæ caput **79** amputatum in castra projicerent. Quo facto, Joabus obsidione soluta, Hierosolyma reversus, omnium copiarum imperator eligitur. Post hæc annonæ penuria per triennium pressit populum, cujus causam requirenti regi, respondet Deus, ob Gabaonitas factam famem : eisque satisfaciendum esse pro quibusdam eorum, quos Saul contra fidem a Jesu et senatoribus eis datam, occidisset. Itaque rex Gabaonitas accersit : qua re satisfieri sibi velint, rogat. Illi septem viros e Saulia familia postulant. Eos dedit rex, ut petierant, Memphibosthe conservato. Quibus acceptis, occisis, pluviam demisit Deus. Deinde bello contra Barbaros orto, David cum suo exercitu hostes persequitur, fatigatus plane viribus destituitur. Quem sic affectum quidam ex hostibus conspicatus, ad eum occidendum accurrit. Sed Abesa Joabi frater, defenso rege, Barbarum interficit. Ob id ejus satellites jurant, se posthac non passuros eum inire bellum. Barbaris denuo arma inferentibus, rex oppositis suis copiis multos occidit, reliquos in fugam vertit. Nec multo post, iidem resumptis armis incursionem faciunt in agros Israelitarum, adducto secum giganteæ staturæ viro, qui senos manuum et pedum digitos habebat : quo Jonathas Davidis fratris filius occiso spoliatoque, popularibus suis victoriam faciliorem reddidit. Ab eo tempore bellum inferre Barbari destiterunt.

Γ'. Παραγενομένου δὲ τοῦ βασιλέως εἰς Γάλγαλα, συνήχθη ἐκεῖ πᾶς ὁ λαὸς Ἰσραὴλ, αἰτιώμενοι τὴν Ἰούδα φυλὴν λάθρα πρὸς αὐτὸν ἐλθοῦσαν. Οἱ δὲ μηδὲν κακίζειν αὐτοὺς ἔλεγον διὰ τοῦτο οἰκείους ὄντας πρὸς γένος τῷ βασιλεῖ. Τῷ δὲ λαῷ σκληρὸς ὁ λόγος οὗτος ἐφάνη. Καί τις ἀνὴρ Βενιαμίτης στασιώδης καὶ πονηρὸς, Σαβεὲ κεκλημένος· *Οὐκ ἔστιν ἡμῖν μερὶς ἐν Δαβὶδ, οὐδὲ κληρονομία ἐν τῷ υἱῷ Ἰεσσαί*, ἀνεβόησε. Καὶ σαλπίσας ἐν κέρατι, ἀπέστησε πάντας ἀπὸ Δαβὶδ, μόνης τῆς Ἰούδα φυλῆς παραμεινάσης αὐτῷ. Ὁ βασιλεὺς δὲ, στρατηγὸν τὸν Ἀβεσὰ προβαλλόμενος, συλλέξαι στρατιὰν ἐκ τῆς Ἰούδα φυλῆς ἐξαπέστειλε, καὶ μετὰ τρεῖς ἡμέρας ἐπανελθεῖν. Χρονίζοντος δὲ τοῦ Ἀβεσὰ, τῷ Ἰωὰβ ἐγκελεύεται τὴν ἐκεῖ παροῦσαν λαβόντα δύναμιν, ἐξορμῆσαι κατὰ τοῦ Σαβεὲ, *Ἵνα μὴ, ὑπερτιθεμένων ἡμῶν, φησὶ, μᾶλλον ὁ ἐχθρὸς παρασκευασθῇ*. Καὶ αὐτίκα ὁ Ἰωὰβ ἐχώρει πρὸς πόλεμον. Ἀπιόντι δὲ μετὰ μεγάλης δυνάμεως, συνηντήκει αὐτῷ Ἀβεσά· καὶ Ἰωὰβ, προσιόντος αὐτῷ τοῦ Ἀβεσὰ, τὸ ξίφος, ὃ περιέζωστο, πεποίηκε τοῦ κουλεοῦ ἐκπεσεῖν, καὶ ἦρε τοῦτο ἀπὸ τῆς γῆς, καὶ ἀσπάσασθαι προσεγγίσας τῷ Ἀβεσὰ, ὥσε κατὰ τῆς γαστρὸς ἐκείνου τὴν μάχαιραν, καὶ ἀπέκτεινε. Προσλαβόμενος δὲ καὶ τὸν ἐκείνου λαὸν, τὸν Σαβεὲ κατεδίωκεν. Ὁ δὲ εἰς πόλιν κατέφυγεν ὀχυρὰν, καὶ ἐπολιόρκει τὴν πόλιν ὁ Ἰωάβ. Καί τις ἀπὸ τοῦ τείχους γυνὴ συνετὴ ἐβόησε πρὸς αὐτόν· *Ἵνα τί καταβαλεῖν ἐθέλεις μητρόπολιν Ἰσραήλ ;* Ὁ δὲ, *Διὰ τὸν Σαβεὲ*, ἀπεκρίνατο. Ἡ δὲ, πρὸς τοὺς πολίτας ἐλθοῦσα, πείθει τεμόντας τὴν κεφαλὴν Σαβεὲ, ῥίψαι εἰς τὸ στρατόπεδον. Καὶ τούτου γεγονότος, ὁ Ἰωὰβ τὴν πολιορκίαν λύσας, ἀπῆλθεν εἰς Ἱερουσαλὴμ, καὶ ἀπεδείχθη πάλιν πάσης τῆς δυνάμεως ἀρχιστράτηγος. Ἐγένετο δὲ μετὰ ταῦτα λιμὸς, καὶ ἐπὶ ἔτη τρία ἐπίεζε τὸν λαόν. Ζητήσαντος δὲ τοῦ βασιλέως περὶ τούτου, δεδήλωκεν ὁ Θεὸς, διὰ τοὺς Γαβαωνίτας γίνεσθαι τὸν λιμὸν, καὶ δεῖν αὐτοὺς ἐκδικίας τυχεῖν, ἀνθ' ὧν ὁ Σαοὺλ ἀπέκτεινεν ἐξ αὐτῶν, μὴ τηρήσας τοὺς παρὰ Ἰησοῦ καὶ τῆς γερουσίας γεγονότας ὅρκους αὐτοῖς. Ἐκάλεσεν οὖν τοὺς Γαβαωνίτας ὁ βασιλεὺς, καὶ τί ἂν βούλοιντο γενέσθαι αὐτοῖς ἐπύθετο εἰς ἐξίλασμα. Οἱ δὲ ἑπτὰ ἄνδρας ᾔτησαν δοθῆναι αὐτοῖς ἐκ τοῦ οἴκου Σαούλ. Καὶ ἔδωκεν αὐτοῖς ὁ βασιλεὺς τοὺς ἑπτὰ ἄνδρας, ὡς ᾔτησαν, τοῦ Μεμφιβοσθὲ φεισάμενος. Οἱ δὲ, λαβόντες τοὺς ἄνδρας, ἀπέκτειναν, καὶ κατήνεγκεν ὁ Θεὸς ἐπὶ τὴν γῆν ὑετόν. Πολέμου δὲ μετὰ ταῦτα γενομένου πρὸς ἀλλοφύλους, ὁ Δαβὶδ μετὰ τῆς οἰκείας στρατιᾶς κατεδίωξε τοὺς πολεμίους. Καὶ κατάκοπος γεγονὼς, παρεῖτο ἐκλυθείς· καί τις τῶν ἐναντίων, οὕτως ἔχοντα τὸν βασιλέα ἰδὼν, ὥρμησε παταξαι αὐτόν. Ἀβεσὰ δὲ ὁ ἀδελφὸς Ἰωὰβ, ὑπερασπίσας τοῦ βασιλέως, τὸν ἀλλόφυλον ἔκτεινε. Καὶ διὰ τοῦτο ὤμοσαν οἱ περὶ Δαβὶδ, μηκέτι παραχωρῆσαι αὐτὸν εἰς πόλεμον ἐξελθεῖν. Καὶ πάλιν δὲ τῶν ἀλλοφύλων στρατευσαμένων, στείλας ὁ βασιλεὺς στρατὸν ἐπ' αὐτοὺς, πολλοὺς μὲν κατανθῆναι ποιήσας, τοὺς δὲ περιλειφθέντας φυγεῖν.

Διαλιπόντες δὲ μικρὸν οἱ ἀλλόφυλοι, ἐπῆλθον ἔτι κατὰ τῆς χώρας τῶν Ἰσραηλιτῶν. Καὶ ἦν παρ' αὐτοῖς γιγαντιαῖος ἀνὴρ, ἓξ δακτύλους ἔχων ἐν ἑκατέρᾳ χειρὶ, καὶ ὁμοίως ἐν τοῖς ποσίν· ᾧ συμπλακεὶς Ἰωναθὰν ἀδελφιδοῦς τοῦ Δαβὶδ, κατέβαλεν αὐτὸν, καὶ ἐσκύλευσε, καὶ ῥοπὴν πρὸς νίκην τοῖς ὁμοφύλοις παρέσχετο. Οὐκέτι γοῦν προσέθεντο οἱ ἀλλόφυλοι τοῖς Ἑβραίοις μαχέσασθαι.

Ζ'. Εἰρήνης δὲ ἔκτοτε τυχὼν ὁ Δαβὶδ, ᾠδὰς συνέθετο πρὸς Θεὸν, καὶ ὄργανα κατασκευάσας, μετ' αὐτῶν ἐδίδαξε τοὺς Λευίτας τοὺς ὕμνους ᾄδειν. Τοιαῦτα δ' ἦσαν τὰ ὄργανα· ἡ μὲν κιννύρα δεκάχορδος ἦν, καὶ πλήκτρῳ ἐκρούετο. Ἡ δὲ ναῦλα, δώδεκα φθόγγους ἔχουσα, τοῖς δακτύλοις ἐπλήττετο. Κύμβαλά τε ὑπῆρχον χάλκεα, μεγάλα τε καὶ πλατέα. Ἦν δὲ περὶ τὸν Δαβὶδ καὶ σύστημα γενναίων ἀνδρῶν. Οἱ δὲ τούτων ἐπισημότατοι τριάκοντα ἑπτὰ ἐτύγχανον καὶ ἑπτὰ, οἳ πολλάκις ἠρίστευσαν. Καί ποτε ἀλλοφύλων ἐπὶ Βηθλεὲμ ἐστρατοπεδευκότων, ὁ βασιλεὺς ἐκ τοῦ ἐν Βηθλεὲμ φρέατος ὕδωρ πιεῖν ἐπεθύμησε. Καὶ τρεῖς ἐκ τῶν περὶ αὐτὸν ἀνδρείων, δραμόντες, καὶ μέσην τὴν τῶν ἐναντίων διελθόντες παρεμβολὴν, ὑδρεύσαντο ἐξ ἐκείνου τοῦ φρέατος. Καὶ αὖθις διὰ τῶν πολεμίων ἐλθόντες, καταπλαγέντων τὸ θάρσος αὐτῶν, καὶ ἠρεμούντων, τῷ βασιλεῖ τὸ ὕδωρ προσκεκομίκασιν. Ὁ δὲ, *Ἱλεώς μοι Κύριος*, εἶπεν, *οὐ πίομαι τοῦτο, αἵματι τῶν ἀνδρῶν καὶ κινδύνῳ τῶν ψυχῶν αὐτῶν κομισθέν.* Οὐκ ἔπιεν οὖν, ἀλλ' ἔσπεισεν αὐτὸ τῷ Θεῷ. Ἀπαριθμῆσαι δὲ τὸν λαὸν ἅπαντα βουληθεὶς, ἐκέλευσε τὸν Ἰωὰβ ποιῆσαι τὴν ἀπαρίθμησιν. Τοῦ δὲ μὴ ἐπαινέσαντος τὴν βουλὴν, καὶ τὴν πρᾶξιν οὐκ ἀγαθὴν λέγοντος, ὁ βασιλεὺς οὐκ ἐπείθετο. Καὶ ἀπῆλθεν Ἰωὰβ, καὶ ἠρίθμησε τὸν λαὸν, καὶ ἦν ὁ ἀριθμὸς Ἰσραὴλ ὀκτακοσίων χιλιάδων ἀνδρῶν δυνάμεως, σπωμένων ῥομφαίαν, καὶ πεντακοσίων χιλιάδων ἀνδρῶν μαχητῶν τῶν ἐξ Ἰούδα φυλῆς. Εἶτα μετεμέλετο ὁ Δαβὶδ, καὶ ὡμολόγει ἡμαρτηκέναι. Γὰδ δὲ ὁ προφήτης κελεύσαντος τοῦ Θεοῦ ἐπορεύθη πρὸς τὸν Δαβὶδ, καὶ φησιν· *Ἐκ τριῶν τούτων ἕλεξαί σοι πρὸς βουλῆς σοί ἐστι, πότερον αἰρῇ ἐπὶ ἔτη ἑπτὰ λιμὸν ἔσεσθαί σοι κατὰ τὴν χώραν, ἢ ἐπὶ τρεῖς μῆνας ὑπὸ πολεμίων διώκεσθαι, ἢ θάνατον ἐπὶ τρεῖς ἡμέρας ἐνσκῆψαι σου τῷ λαῷ.* Ὁ δὲ, Στενά μοι πάντοθεν, ἔφη, ἀλλὰ βέλτιόν μοι εἰς τὰς χεῖρας τοῦ Θεοῦ ἐμπεσεῖν. Καὶ ἐπῆλθε θάνατος τῷ λαῷ πρωῒθεν ἕως ὥρας ἀρίστου, καὶ ἀπέθανον ἐκ παντὸς τοῦ λαοῦ χιλιάδες ἑβδομήκοντα. Καὶ ὁ Δαβὶδ ἱκέτευε τὸν Θεὸν, καὶ ὁ ὀλοθρεύων ἄγγελος τῷ λαῷ, ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐπὶ Ἰερουσαλήμ. Εἶπεν οὖν ὁ βασιλεύς· *Ἐγὼ ἥμαρτηκα, Κύριε, ὁ ποιμήν· τὰ δὲ πολύια ὁ λαὸς οὐχ ἥμαρτοσαν· ἐγώ εἰμι κολάσεως ἄξιος, καὶ οὐχ οὗτοι.* Αὐτωπηθεὶς δὲ τὴν τοῦ βασιλέως κατάνυξιν ὁ Θεὸς, ἔπαυσε τὴν φθοράν, καὶ διὰ τοῦ προφήτου Γὰδ ἐν τῇ ἅλωνι τοῦ Ἰεβουσαίου Ὀρνᾶ θυσιαστήριον πήξασθαι ἐκέλευσε, καὶ θῦσαι ἐκεῖ. Καὶ ἐποίησεν οὕτως Δαβὶδ, ὠνησάμενος τὴν ἅλωνα ἐκ τοῦ Ὀρνᾶ. Ὡς δὲ Ἰώσηπος ἔγραψεν, ἐν ἐκείνῳ τῷ τόπῳ λέγεται ἀγαγεῖν Ἀβραὰμ τὸν Ἰσαὰκ, ὥστε ὁλοκαυτῶσαι αὐτόν. Ἠβούλετο δὲ καὶ ναὸν οἰκοδομῆσαι Δαβὶδ ἐκεῖ τῷ Θεῷ, ἀλλ' ἀπείρχθη πρὸς τοῦ Θεοῦ. Πρεσβύτης δὲ γενόμενος ὁ Δαβὶδ σφόδρα, δύσριγος ὑπὸ

VII. Otium igitur nactus David, odas composuit, Levitasque instrumentis ad eam rem factis, hymnos canere docuit. Instrumenta hujusmodi fuerunt : cynnira, decem ornata chordis, plectro : nablum chordarum duodecim, digitis pulsabatur. Parata erant et cymbala ærea, magna, lataque. Habebat porro circa se cœtum virorum fortium quorum illustrissimi triginta et septem rem sæpenumero bene gesserant. Et cum hostes quodam tempore circa Bethleemam castra posuissent, rex e puteo, qui circa id oppidum erat, aquam desideravit. Itaque tres ex ejus satellitibus per media hostium castra profecti, aquam inde petitam, eadem regressi via, hostibus eorum audacia consternatis et quiescentibus, regi attulerunt. At ille : *Sic propitius*, **80** inquit, *sit mihi Deus, ut aquam hanc non bibam, sanguine virorum et periculo animarum eorum allatam.* Neque bibit, sed libavit Deo. Post Joabo mandat ut populum numeret. Is etsi id consilium improbabat, et rem minime laudabat, tamen cum regem a sententia dimovere non posset, paret, numerat, invenit Israelitarum octingenta millia bellicosorum et fortium virorum, et quingenta millia Judaicæ tribus, item bellicosorum. Verum David statim facti pœnitens, se peccasse confitetur, et Gad propheta eum jussu Dei aggressus : *Trium*, inquit, *tibi rerum optio datur, num malis tu et regio per septennium fame premi, an per tres menses ab hostibus urgeri : an mortem per triduum grassari in populo.* Ibi David undique se in angustias redactum esse queritur, sed præstare sibi incidere in manus Domini. Itaque morte grassante, a diluculo usque prandii tempus, ex omni populo septuaginta millia cecidérunt. Tum David, cum angelus populi interfector manum super Hierosolyma extendisset, Deo in hæc verba supplicavit : *Ego pastor, o Domine, peccavi : sed populus, grex meus, non peccavit. Ego pœna dignus sum, non isti.* Hac mœstitia regis placatus Deus, luem compescuit, et per Gadem prophetam in Ornæ Jebusæi area constructa ara, sacra fieri jussit : itaque fecit David empta ab Orna area, quo in loco, ut Josephus tradit, Isaacum Abrahamus immolaturus fuisse perhibetur, et David ædem constructurus erat nisi a Deo prohibitus fuisset. Davidi cum ob senium algore vexaretur, puellam Abisagem adjunxerunt, cujus concubitu foveretur. Sed cum ea rem non habuit rex, ætate effetus. Adonias autem quartus ejus filius, homo perquam formosus, commotus patris senio, regnum sibi vindicat, Joabo imperatore et Abiathare pontifice suffragantibus. Itaque semel splendido sacrificio apparato, fratres convocat, et Judaicæ tribus principes, Abiatharem item et Joabum : Salome, Gade propheta, et

Banæa præfecto satellitum non invitatis. Ait igitur Bersabæ Nathan : *Num audisti regno potitum esse Adoniam?* Quæ ad Davidem ingressa : *Tu jurasti*, inquit, *domine mi rex, Salomonem filium tuum* **81** *in regno tibi successurum. Ecce autem Adonias te ignorante regno potitur.* Hæc nondum eloquta muliere, Nathan quoque propheta ingressus, rogat, num de illius sententia regnum Adonias occuparet? At ille Deum testatus : *Hodie*, inquit, *rex futurus est Salomon.* Vocatoque Sadoco pontifice, et Banæa, propheta quoque adhibito, et aulæ regiæ satellitibus, Salomonem in mula regis collocatum, et extra urbem ad fontem Sionem perductum, sacro oleo inaugurari, et cornibus inflatis regem proclamari, perque urbem mediam deduci jubet. Hi sine mora parent, Salomonis electio passim prædicatur : qua etiam apud Adoniam et convivas ejus cognita, cæteri suas quisque domos abeunt. Adonias autem majore perculsus metu, ad aram confugit ; et vitam ea conditione a Salomone impetrat, ut si denuo in facinore deprehenderetur, capite pœnas daret. Cæterum David mortem instare sibi videns, Salomonem accersit : mandat, ut Dei præcepta observet, et secundum leges ejus vivat : *Quo*, inquit, *semen nostrum, quemadmodum promisit mihi Dominus, thronum meum æternum teneat.* Adjicit ne Joabum impunitum dimittat, ob Abenneri et Amesiæ cædem : neque Semeim, qui fugienti sibi diras imprecatus fuerit. Ac præter alia, templum construere jubet Domino, descriptione illius exhibita : ad id opus et ipsum et principes et Leviticam tribum cohortatus, quod multa ad eam rem necessaria relinqueret, videlicet auri decies, argenti centies mille talenta, smaragdos, aliosque lapides pretiosos, æs et ferrum innumerabile, aliamque materiam copiosam. Ac prius collectis se adjicere auri puri puti ter mille talenta ad adytum, et decies mille stateres, et argenti talenta totidem. [Ad hæc, si cui gemma erat, eam quisque in thesauros congerebat.] Hæc effatus, paulo post moritur, expletis vitæ annis septuaginta, cum regnasset annos Chebrone septem, Hierosolymis tres et triginta, vir omnibus rege dignis virtutibus illustris. Mortuum Salomon Hierosolymis regaliter sepelit, magnis opibus cum eo consepultis.

A τοῦ γήρως ἐτύγχανε. Δὸ νεάνιδα ἐξελέξαντο (Ἀβισὰκ ὄνομα αὐτῇ), καὶ ἦν ἡ κόρη συγκοιταζομένη τῷ βασιλεῖ, καὶ θάλπουσα αὐτόν· καὶ οὐκ ἔγνω αὐτὴν, ἀφροδισιάζειν γὰρ διὰ γῆρας οὐκ ἠδύνατο. Ἀδωνίας δὲ τέταρτος ὢν ἐν τοῖς τοῦ βασιλέως υἱοῖς, ὡραίος πάνυ, ὁρῶν τὸν πατέρα γεγηρακότα, τῆς βασιλείας ἀντεποιεῖτο, συναντιλαμβανομένου αὐτῷ Ἰωὰβ τοῦ ἀρχιστρατήγου, καὶ Ἀβιάθαρ τοῦ ἀρχιερέως. Καί ποτε θυσίαν δαψιλῆ παρασκευασάμενος, τοὺς ἀδελφοὺς συνεκάλεσε, καὶ τοὺς προέχοντας τῆς Ἰούδα φυλῆς, καὶ Ἀβιάθαρ καὶ Ἰωάβ. Σολομῶντα δὲ καὶ τὸν προφήτην Νάθαν, καὶ Βαναίαν τὸν ἄρχοντα τῶν σωματοφυλάκων, οὐ κέκληκεν. Εἶπεν οὖν πρὸς Βηρσαβεὲ Νάθαν· Ἀκήκοας ὅτι ἐβασιλευσεν Ἀδωνίας; Ἡ δὲ πρὸς τὸν βασιλέα εἰσελθοῦσα, Σὺ ὤμοσας, εἶπε, κύριέ μου βασιλεῦ, ὡς Σολομὼν ὁ υἱός σου βασιλεύσει μετὰ σὲ, καὶ ἰδοὺ ἐβασίλευσεν Ἀδωνίας, σὺ δὲ ἠγνόησας. Ἔτι ταῦτα λεγούσης Βηρσαβεὲ, καὶ ὁ προφήτης Ναθὰν εἰσελθὼν ἠρώτα τὸν βασιλέα, εἰ κατὰ γνώμην αὐτοῦ βεβασίλευκεν Ἀδωνίας; Ὁ δὲ τὸν Θεὸν ὤμοσεν, ὡς Σήμερον βασιλεὺς ἔσται ὁ Σολομών. Καὶ καλέσας τὸν ἀρχιερέα Σαδὼκ καὶ Βαναίαν, κελεύει συμπαρειληφότας τὸν προφήτην, καὶ τοὺς περὶ τὴν αὐλὴν τὴν βασιλικὴν ὁπλίτας, ἀναβέσθαι τὸν Σολομῶντα ἐπὶ τὴν τοῦ βασιλέως ἡμίονον· καὶ ἀπαγαγόντας ἔξω τῆς πόλεως ἐπὶ τὴν πηγὴν τὴν καλουμένην Σιὼν, χρίσαι τῷ ἁγίῳ ἐλαίῳ, καὶ βασιλέα ἀναγορεῦσαι, σαλπίζοντας ἐν τοῖς κέρασι, καὶ διὰ μέσης τῆς πόλεως παραπέμψαι αὐτόν. Οἱ δὲ αὐτίκα, καθὼς ἐνετάλθησαν, πεποιήκασι· καὶ διεβοήθη πανταχοῦ ἡ τοῦ Σολομῶντος ἀνάρρησις. Ὡς δ' ἐγνώσθη καὶ τῷ Ἀδωνίᾳ καὶ τοῖς συνευωχουμένοις αὐτῷ, οἱ μὲν ἄλλοι πρὸς ἑαυτοὺς ἀπῆλθον· Ἀδωνίας δὲ μᾶλλον δεδιὼς, τῷ θυσιαστηρίῳ προσπέφευγε, καὶ πίστεις τῆς σωτηρίας ᾔτει παρὰ τοῦ Σολομῶντος. Ὁ δὲ τῆς μὲν τότε ἁμαρτίας ἀφῆκεν αὐτόν· εἰ δ' εἰς αὖθις κακόν τι ποιῶν εὑρεθῇ, θανατωθήσεται. Ὁρῶν δὲ Δαβὶδ ἐγγίζοντά οἱ τὸν θάνατον, προσκαλεῖται τὸν Σολομῶντα, καὶ ἐντέλλεται αὐτῷ φυλάττειν τὰς τοῦ Θεοῦ ἐντολὰς, καὶ κατὰ τοὺς νόμους αὐτοῦ πολιτεύεσθαι· Ἵνα τὸ σπέρμα ἡμῶν, φησὶ, καθὼς ἐπηγγείλατό μοι ὁ Κύριος, ἕως τοῦ αἰῶνος εἴη ἐπὶ τοῦ θρόνου μου. Καὶ προστίθησι μὴ ἐᾶσαι τὸν Ἰωὰβ ἀτιμώρητον, ἀνελόντα τὸν Ἀβεννὴρ, καὶ τὸν Ἀμασίαν (52)· μηδὲ μέντοι τὸν Σεμεεῖ, ὃς αὐτῷ κατηράσατο φεύγοντι. Καὶ ἄλλα αὐτῷ ἐντειλάμενος, καὶ ναὸν ἐπισκήψας οἰκοδομῆσαι Κυρίῳ, καὶ τὴν διαγραφὴν τῆς οἰκοδομῆς τοῦ ναοῦ παρέσχεν αὐτῷ, καὶ πρὸς τὸ ἔργον λόγοις διήγειρε καὶ αὐτὸν καὶ τοὺς ἄρχοντας καὶ τὴν φυλὴν τοῦ Λευΐ, πολλὰ φήσας καταλιπεῖν εἰς τὴν κατασκευὴν τοῦ ναοῦ, τάλαντα μὲν χρυσοῦ μύρια, μυριάδας δὲ παλάντων ἀργύρου δέκα, σμάραγδόν τε καὶ ἄλλους λίθους πολυτελεῖς, χαλκὸν δὲ καὶ σίδηρον ἀριθμὸν ὑπερβαίνοντα, καὶ ὕλην ἑτέραν ἄφθονον· καὶ νῦν δὲ προστιθέναι τοῖς ἤδη συνειλεγμένοις χρυσοῦ καθαροῦ τρισχίλια τάλαντα εἰς τὸ ἄδυτον, καὶ μυρίους στατῆρας, ἀργύρου δὲ μύρια τάλαντα. [Καὶ εἴ τινι δὲ λίθος ἦν τῶν τιμίων, ἐκόμισεν ἕκαστος, καὶ παρέδωκεν εἰς τοὺς θησαυρούς (53)]. Μετ' ὀλίγον δὲ ἐτελεύτησε Δαβὶδ, βιώσας ἐνιαυτοὺς ἑβδομήκοντα, βασιλεύσας ἐν Χεβρὼν μὲν ἔτη ἑπτὰ, ἐν Ἱερου-

Variæ lectiones et notæ.

(52) *Τὸν Ἀμασίαν.* Ita mss. Reg. et Colb. Ἀβεσάν supra vocavit.

(53) *Καὶ εἴ τινι δὲ λίθος ἦν τῶν τιμίων, ἐκόμισεν ἕκαστος, καὶ παρέδωκεν εἰς τοὺς θησαυρούς.* Hæc ejusmodi [ ] notis interclusi, ait Wolfius, cum ad institutum minime pertineant. Quod etsi verum sit, habentur tamen in mss. Reg. et Colbert.

σκλῆμ δὲ τρία πρὸς τοῖς τριάκοντα· ἀνὴρ πᾶσαν ἀρετὴν κατορθωκὼς, προσήκουσαν βασιλεῖ. Ἔθαψε δὲ αὐτὸν ὁ παῖς Σολομῶν ἐν Ἱεροσολύμοις βασιλικῶς, καὶ πλοῦτον ἄφθονον αὐτῷ συνεκήδευσεν.

Η'. Σολομῶν δὲ, ὅτε τὴν βασιλείαν παρέλαβε, νεώτατος ἦν, δωδέκατον ἔτος ἄγων τῆς ἡλικίας αὐτοῦ. Ὁ μέντοι Ἀδωνίας πορευθεὶς πρὸς Βηρσαβεὲ τὴν μητέρα τοῦ Σολομῶντος, Οἶδας, εἶπε, *τὴν βασιλείαν ἐμοὶ προσήκειν, καὶ διὰ πρεσβυγένειαν, καὶ διὰ τὴν αἵρεσιν τοῦ λαοῦ. Μετέβη δὲ πρὸς Σολομῶντα τὸν ἀδελφόν μου, καὶ μοι στερκτέον τὸ γεγονός, ὡς γνώμῃ Θεοῦ γεγονός. Μίαν δ' αἰτῶ αἴτησιν· δοθῆναί μοι πρὸς γάμον τὴν τῷ πατρὶ συγκοιμωμένην κόρην τὴν Ἀβισάκ, ἐπεὶ μηδ' ἔγνω ταύτην ὁ πατὴρ διὰ γῆρας, ἀλλ' ἔτι παρθένος ἐστίν.* Ἡ δὲ Βηρσαβεὲ κομίσειν τοὺς λόγους ὑπέσχετο τῷ υἱῷ, καὶ καταπράξασθαι τὸν γάμον αὐτῷ σπουδαιότατα (54). Καὶ πορευθεῖσα πρὸς τὸν υἱὸν, δοῦναι τῷ ἀδελφῷ Ἀδωνίᾳ τὴν Ἀβισὰκ παρεκάλει. Ὁ δὲ ὀργισθεὶς ἐπὶ τῷ λόγῳ, θαυμάζειν εἶπεν (55), εἰ μὴ καὶ τῆς βασιλείας παραχωρῆσαι Ἀδωνίᾳ ὡς πρεσβυτέρῳ αὐτὸν ἀξιοῖ. Καὶ αὐτίκα τῷ ἐπὶ τῶν σωματοφυλάκων Βαναίᾳ κτεῖναι τὸν Ἀδωνίαν προσέταξε. Τῷ δὲ Ἀβιάθαρ εἰς τὴν ἐνεγκαμένην πορευθῆναι ἐπέταξε, καὶ διάγειν ἐν τοῖς ἀγροῖς. Θανάτου γὰρ, φησὶ, ῥύεταί σε, ὅπόσα μου συνέκαμες τῷ πατρί. Καθὼς οὖν τῷ Ἠλεὶ προείρηκεν ὁ Θεὸς, ἀφῄρητο ἡ τῆς ἱερωσύνης τιμὴ ἐξ οἴκου Ἰθάμαρ, καὶ πρὸς Σαδὼκ μεταπέπτωκεν, ἐκ τοῦ γένους ὄντα τοῦ Φινεές. Ὁ δὲ στρατηγὸς Ἰωάβ, ταῦτα μαθὼν, καὶ περιδεὴς γεγονὼς, τῷ θυσιαστηρίῳ προσπέφευγε· καὶ καλούμενος, οὐκ ἂν ποτε ἐξελθεῖν εἶπεν, ἀλλ' αὐτοῦ τεθνήξεσθαι, καὶ οὐκ ἄλλοθεν. Τοῦτο τῷ βασιλεῖ ἀγγελθὲν, πέπεικε στεῖλαι, κἀκεῖ τὸν Ἰωάβ ἀνελεῖν. Ἐντεῦθεν Βαναίας μὲν πάσης τῆς δυνάμεως προκεχείριστο στρατηγὸς, Σαδὼκ δὲ τῆς ἀρχιερωσύνης ἠξίωτο. Τὸν δέ γε Σεμεεὶ ὁ βασιλεὺς ἐν Ἱερουσαλὴμ περιώρισεν, ὥστε ταύτης μὴ ἐξιέναι· εἰ δ' οὔ, θάνατον αὐτῷ τὸ ἐπιτίμιον ἔταξεν. Ὁ δὲ, μετὰ ἔτη τρία δούλων αὐτοῦ φυγόντων, ἐπὶ ζήτησιν αὐτῶν ἐξελήλυθε. Καὶ τοῦτο γνοὺς Σολομῶν, ἀναιρεθῆναι τὸν ἄνδρα ἐκέλευσεν. Ἄγεται δὲ Σολομῶν εἰς γυναῖκα θυγατέρα Φαραὼ, καὶ τὰ τείχη τῶν Ἱεροσολύμων ἐπὶ μεῖζον ἦρε, καὶ ὀχυρώτερα κατεσκεύασε. Καθ' ὕπνους δὲ χρηματίσας αὐτῷ ὁ Θεὸς, εἶπεν αὐτῷ αἰτῆσαι ὃ βούλοιτο. Ὁ δὲ σύνεσιν, καὶ φρόνησιν ᾔτησε δοθῆναι αὐτῷ. Καὶ ὁ Θεὸς ἀποδεξάμενος αὐτὸν τῆς αἰτήσεως, καὶ σοφίαν θώσειν αὐτῷ καὶ μέγαν νοῦν ἐπηγγείλατο, ὡς οὐχ ἑτέρῳ πρὸ αὐτοῦ, ἢ τινι μετ' αὐτόν. Προσθεῖναι δὲ καὶ ἅπερ οὐκ ᾔτησε, πλοῦτον καὶ νίκην καὶ εὐκλειαν, εἰ φυλάξειε τὰς αὐτοῦ ἐντολὰς καὶ δικαιώματα. Μετὰ ταῦτα δύο προσῆλθον αὐτῷ γυναῖκες· ὧν ἡ μία, *Βασιλεῦ*, ἔφη, *ἀλλήλαις ἡμεῖς συνῳκοῦμεν, καὶ οὐδεὶς μεθ' ἡμῶν. Ἐτέκομεν δὲ ἄμφω κατὰ τὸν αὐτὸν καιρὸν ἄρρενα. Καὶ μετὰ μικρὸν αὕτη, τῷ αὐτῆς ἐπιπεσοῦσα υἱῷ, νεκρὸν διὸπνισθεῖσα εὗρεν αὐτόν. Καὶ τὸ μὲν τεθνηκὸς, ὑπνούσης ἐμοῦ, ὑποτίθησι*

VIII. Salomon suscepto regno admodum fuit adolescens, annos duodecim natus, cujus matrem **82** Bersaben Adonias sic alloquitur : *Nosti regnum ad me pertinere, tum ob ætatis prærogativam, tum ex consensu populi. Sed id ad Salomonem fratrem meum transiit : quod æquo mihi ferendum est animo, quoniam Deo ita visum est. Unum tamen peto, ut Abisag patris mei concubina, quoniam præ senio illam non attigit, ac virginem reliquit, in matrimonium mihi detur.* Bersabe, illa se relaturam ad filium, et summo studio operam daturam pollicetur, ut nuptias illi conficiat. Sed re audita, rex iratus, mirari se ait, quod ut Adoniæ tanquam natu majori regno cederet, non postularet. Ac statim per Banæam satellitum præfectum eum occidi jubet. Abiatharem quoque in patriam relegat, ut ibi ruri degat : nam ei vitam se condonare, ob exantlatos cum patre suo labores. Ita sacerdotii honos, quemadmodum Helio prædixerat Deus, Ithamariæ familiæ ereptus, ad Sadocum transiit, e genere Phineis oriundum. His cognitis, Joabus imperator perterritus, ad aram confugit. Unde cum avocaretur, negavit se discessurum, sed ibi, et non alibi moriturum. Quo rex nuntiato, ibi eum interfici jubet. Tum Banæas totius exercitus imperator designatur, et Sadocus pontificatus dignitatem consequitur. Semeim vero rex Hierosolymis exire vetuit, mortem comminatus, si secus fecisset : cumque triennio post ad fugitivos servos inquirendos urbem egressum, interfici jubet. Uxorem duxit Salomon Pharaonis filiam, et mœnia Hierosolymorum altiora et munitiora fecit. Ac in somnis a Deo jussus optare quidquid vellet, intelligentiam et sapientiam petit: qua petitione Deus comprobata, ei se et sapientiam et mentem præstantem daturum pollicetur, qualem nec ante eum habuisset quisquam nec post habiturus esset : adjecturum porro ea etiam quæ non petiisset, opes, victoriam, gloriam, si mandata sua et jura conservaret. Post hæc, duæ mulieres eum convenere, quarum una : *Rex*, inquit, *nos in iisdem ædibus habitavimus, neque quisquam præterea nobiscum. Accidit autem, ut utraque masculum eodem tempore pareret. Paulo post, ista filium suum dormiens oppressit : et experrecta, infantem mortuum ulnis meis dormientis supponit, viventem ablatum sibi vindicat. Quo commento animadverso,* **83** *puerum repeto : illa negat. Altera, suum esse viventem puerum affirmat, adversariæ mortuum, neque eo se improbitatis progressam esse jurat.* Corona circumstantium dubitante, quo pacto verum dijudicari posset, rex puerum gladio in duas secari partes jubet, et utrique mulieri semissem dari. Eam sententiam vera infantis mater graviter ferens atque repudians, adversariæ puerum viventem tra..i

Variæ lectiones et notæ.

(54) *Σπουδαιότατα.* Alii codd. σπουδαιότατον.
(55) *Θαυμάζειν εἶπεν.* Versionem hic immutavimus juxta verborum sensum, et Josephum.

orat. Quæ vero se matrem ejus falso profitebatur, collaudato judicio, dissectionem maturari flagitat. Ibi rex puerum viventem ei tradi jubet, quæ dissectionem deprecabatur : eam enim esse matrem, quæ pueri cædem tantopere reformidaret. Id populo evidens argumentum fuit sapientiæ regis, qui quidem omnes veteres ingenio prudentiaque superabat. Similitudines ter mille composuit, cantilenas quinquies mille : et a cedro auspicatus usque ad hyssopum, describendis stirpibus progressus est, naturasque animalium terrestrium, aeriorum, aquatilium, ac proprietates perquisivit et indagavit. Invenit etiam ad utilitatem hominum, excantationes dæmonum, et adjurationum rationes reliquit, quibus dæmonia fugentur. Quam curationem ad suam usque ætatem durasse Josephus B asserit, et in ejus rei fidem hujusmodi experimentum narrat : Eleazarum quemdam popularem suum habuisse annulum, sub cujus pala radix esset, ex iis quas indicaverat Salomon, qui si naso dæmoniaci admoveretur, solo olfactu per nares extraheret dæmonium. Deinde Salomonis facta mentione, recitasse illius excantationes, et adjurasse dæmonium, ne in hominem reverteretur. Hoc in Vespasiani et filiorum ejus conspectu fecisse Eleazarum : et ut vim contra dæmones insitam probaret, posuisse poculum aqua plenum, et jussisse dæmonio, ut egressum ex homine id everteret : itaque factum esse, nemine cernente a quo everteretur.

ταῖς ἀγκάλαις μου. Τὸ δὲ ζῶν ἐξ ἐμοῦ ἀφελοῦσα, ὡς ἑαυτῆς ᾧ κειώσατο. Καὶ γνοῦσα τὸ δρᾶμα, ζητῶ τὸν παῖδα. Ἡ δέ μοι οὐ δίδωσιν. Ἡ δ' ἑτέρα τὸ ζῶν εἶναι τὸ ἑαυτῆς παιδίον ἀπισχυρίζετο, τῆς δ' ἀντιδίκου τὸ τεθνηκός. Καὶ ἐπὶ τοσοῦτον κακουργίας μὴ προδῆναι διώμνυτο. Ἀπορούντων δὲ τῶν παρισταμένων, πῶς ἂν διακριθείη τὸ ἀληθές, ὁ βασιλεὺς δίχῃ τμηθῆναι τὸ ζῶν παιδίον μαχαίρᾳ ἐκέλευσε, καὶ ἀνὰ μέρος δοθῆναι ἑκατέρᾳ τῶν γυναικῶν. Τοῦτο ἡ μὲν ἀληθὴς τοῦ βρέφους μήτηρ βαρέως ἤνεγκε, καὶ παρῃτεῖτο τὴν ψῆφον, καὶ δοθῆναι ζῶν τὸ παιδίον τῇ ἀντιδίκῳ ἱκέτευεν. Ἡ δὲ ψευδῶς ἑαυτὴν μητέρα τοῦ παιδὸς ὀνομάζουσα, καὶ ἐπῄνει τὴν κρίσιν, καὶ ἐπέσπευδε τὴν διαίρεσιν. Καὶ ὁ βασιλεὺς δοθῆναι ζῶν τὸ παιδίον προσέταξε τῇ παραιτουμένῃ τὴν ἐκείνου διαίρεσιν· Αὕτη, φήσας, ἡ τούτου μήτηρ ἐστίν, ἡ τοῦ παιδὸς σφαγῆναι μέλλοντος ὑπερήλγησε. Τοῦτο πᾶς ὁ λαὸς ἀκριβὲς τεκμήριον ἔσχηκε τῆς τοῦ βασιλέως φρονήσεως. Πάντας δὲ τοὺς πρὶν εἰς σοφίαν καὶ φρόνησιν ὑπερβέβηκε. Συνέταξε δὲ τρισχιλίας παραβολὰς, καὶ πενταχισχιλίας ᾠδάς, καὶ ἀπὸ τῆς κέδρου ἕως ὑσσώπου συνεγράψατο, καὶ περὶ φύσεως ζώων τῶν τε πεζῶν καὶ ἀερίων, καὶ νηκτῶν, καὶ τῶν ἰδιωμάτων αὐτῶν ἐξήτασε καὶ ἐφιλοσόφησε. Καὶ κατὰ τῶν δαιμόνων ἐξεύρηκεν ἐπῳδὰς, εἰς ἀνθρώπων ὠφέλειαν· καὶ τρόπους κατέλιπεν ἐξορκώσεων, αἷς τὰ δαιμόνια ἐδιώκοντο. Καὶ ταύτην τὴν θεραπείαν(a) φησὶν ὁ Ἰώσηπος καὶ μέχρις ἐκείνου ἰσχύειν· καί τι διηγεῖται, τοιοῦτον λόγον πιστούμενος. Ἐλεάζαρ τῶν ὁμοφύλων λέγει κεκτῆσθαί τινα δακτύλιον, ἔχοντα ὑπὸ τὴν σφραγῖδα ῥίζαν, ἐξ ὧν ὑπέδειξε Σολομών· καὶ τοῦτον ταῖς ῥισὶ τοῦ δαιμονῶντος προσφέρειν, καὶ τῇ ὀσφρήσει διὰ τῶν μυκτήρων τοῦ πάσχοντος ἐξέλκεσθαι τὸ δαιμόνιον. Εἶτα τοῦ Σολομῶντος μεμνημένον, ἐπῳδάς τε λέγειν ἐξ ὧν ἐκεῖνος συνέθετο, καὶ ἐξορκοῦν τὸ δαιμόνιον μηκέτι ἐπανελθεῖν εἰς τὸν ἄνθρωπον. Τοῦτο καὶ Οὐεσπασιανοῦ καὶ τῶν υἱῶν ἐκείνου ἐνώπιον λέγει ποιῆσαι τὸν Ἐλεάζαρ· καὶ διδόντα τῆς κατὰ τῶν δαιμόνων ἰσχύος ἀπόδειξιν, τιθέναι ποτήριον πλῆρες ὕδατος, καὶ ἐπιτάσσειν τῷ δαίμονι ἐξερχομένῳ τοῦ πάσχοντος, ἀνατρέψαι αὐτὸ, καὶ ἀνατρέπεσθαι τὸ ποτήριον, μηδενὸς ὁρῶντος τὸν ἀνατρέποντα.

IX. Ædificationem templi auspicatus est quarto C anno regni sui, anno post exitum populi ex Ægypto quadringentesimo quadragesimo. Verum de spatio, altitudine et longitudine, formaque ejus, non consentiunt Regum liber tertius, et Josephus libro *Antiquitatum* octavo, ubi de templo scribit ; sed in 84 plerisque discrepant. Quam eorum dissensionem, et alia, ut de duobus Cherubis aureis circa adyta collocatis, de arca, de mari æneo, de pelvibus, de magnitudine altaris ænei, de forma aureæ mensæ, et quæ vasa aurea et argentea templo Salomon dedicarit, qui curiosius cognoscere voluerit, is ea in tertio libro Regum, et in Josephi *Antiquitatibus* accurate descripta inveniet. Templo cum omni ornatu annis septem perfecto, populoque a rege Hierosolyma convocato, sacerdotes arcam et tabernaculum a Mose facta, et sacra vasa in templum transtulerunt, rege et omni populo præcedente, levitis libantibus et suffientibus. Arca, in qua duæ lapideæ tabulæ inerant, in adytum reposita est inter duos Cherubos. Sacerdotibus adytum egressis, domus gloria Domini repleta est, et nubes toti

Θ'. Ἤρξατο δὲ τῆς οἰκοδομῆς τοῦ ναοῦ κατὰ τὸ τέταρτον ἔτος τῆς βασιλείας αὐτοῦ, μετὰ ἔτη τῆς ἐξ Αἰγύπτου ὑποχωρήσεως τοῦ λαοῦ τετρακόσια τεσσαράκοντα. Περὶ δὲ τοῦ μέτρου τοῦ ὕψους αὐτοῦ, καὶ τοῦ μήκους, καὶ τῆς τούτου κατασκευῆς, οὐχ ὁμοφωνοῦσιν ἥ τε τρίτη τῶν Βασιλειῶν καὶ Ἰώσηπος ἐν τῷ ὀγδόῳ λόγῳ τῆς Ἀρχαιολογίας, περὶ τοῦ ναοῦ συγγραφόμενος, ἀλλ' ἐν τοῖς πλείοσι διαφέρονται. Ὁ δὲ τὰ περὶ τῆς διαφορᾶς πρὸς βουλὴν ἀκριβώσασθαι, καὶ περὶ τῶν δύο Χερουβὶμ ἃ χρυσοῦ ποιήσας κατὰ τὸ ἄδυτον ἔστησε, καὶ περὶ τῆς κιβωτοῦ, καὶ τῆς χαλκῆς θαλάσσης, καὶ τῶν λούτρων, καὶ πηλίκον ἦν τὸ χάλκεον θυσιαστήριον, οἷα δ' ἡ τράπεζα ἡ χρυσῆ, καὶ ὅσα σκεύη ἀργύρεά τε καὶ χρύσεα Σολομὼν ἀνέθετο τῷ ναῷ, καὶ περὶ τῶν ἄλλων, ἡ τρίτη τῶν Βασιλειῶν βίβλος, καὶ ἀρχαιολογῶν ὁ Ἰώσηπος ἀρκέσουσι παραστήσασθαι τὴν ἐφ ἑκάστῳ ἀκρίβειαν. Ἐν ἔτεσι δὲ ἑπτὰ συντελέσας ὁ βασιλεὺς τόν τε ναὸν καὶ ὅσα περὶ ἐκεῖνον, συνεκάλεσε τὸν λαὸν εἰς Ἱεροσόλυμα. Καὶ ἄραντες τὴν κιβωτὸν οἱ ἱερεῖς, καὶ τὴν σκηνὴν ἣν ἐπήξατο Μωσῆς, καὶ τὰ ἐν ταῖς θυσίαις ὑπηρετούμενα σκεύη, πρὸς

(a) De his quæ hic Zonaras ex Josepho narrat vide Testamentum Salomonis Patrologiæ tom. CXXII.

τὸν ναὸν μετεκόμιζον, τοῦ βασιλέως προάγοντος, καὶ τοῦ πλήθους πάντος, καὶ τῶν Λευιτῶν σπενδόντων καὶ θυμιώντων. Καὶ κατετέθη ἡ κιβωτὸς εἰς τὸ ἄδυτον μεταξὺ τῶν δύο Χερουβίμ, τὰς δύο λιθίνας πλάκας ἔχουσα ἔνδοθεν. Ἐξελθόντων δ' ἐκ τοῦ ἀδύτου τῶν ἱερέων, δόξης Κυρίου ὁ οἶκος ἐμπέπλητο, καὶ νεφέλη τὸν ναὸν ὅλον περιεκέχυτο· ἐξ ἧς ἐπιδημῆσαι τῷ ναῷ τὸν Θεὸν ἐφαντάζοντο, σκηνώσαντα ἐν αὐτῷ. Ὁ δὲ βασιλεὺς ἡσθεὶς ἐπὶ τούτοις, εὐχαριστίαν τε πρὸς τὸν Θεὸν ἐποιήσατο, καὶ τὸν λαὸν εὐλόγησε, καὶ ἱκέτευσεν ἐπήκοον γίνεσθαι τὸ Θεῖον πᾶσι τοῖς ἐν αὐτῷ εὐχομένοις. Εἶτα τῷ βωμῷ θυσίας προσήγαγε. Καὶ ὁ Θεὸς, δεικνὺς ὡς εὐμενῶς αὐτὰς προσεδέξατο, πῦρ ἐκλάμψαι δι' ἀέρος πεποίηκεν, ἐπενεχθῆναί τε τῷ βωμῷ, καὶ τὴν θυσίαν ἅπασαν καταδαίσασθαι. Ταῦθ' ὁ λαὸς ἰδὼν, εὐλόγησε τὸν Θεόν. Καὶ ὁ βασιλεὺς ηὐχαρίστησε, καὶ πολυτελῶς ἑορτάσαντες, τὸν σύλλογον διελύσαντο. Ὄνειρος δὲ γεγονὼς τῷ βασιλεῖ ἐπακοῦσαι τῆς εὐχῆς αὐτοῦ τὸν Θεὸν ἐδήλου, καὶ τὸν ναόν τε συντηρηθῆναι, καὶ αὐτὸν εἰς ἄκρον εὐδαιμονίας ἀναχθῆναι, καὶ τῆς χώρας ἄρξειν τοὺς ἐξ αὐτοῦ, εἰ αὐτός τε κἀκεῖνοι καὶ ὁ λαὸς τὰ θεῖα μὴ παραβαίεν ἐντάλματα· εἰ δ' οὔ, πρόῤῥιζον ἐκκόψαι ἠπείλει τὸ γένος αὐτοῦ, καὶ τὸν λαὸν δουλείας, καὶ κακώσεσι μυρίαις ὑποβαλεῖν, καὶ τὸν ναὸν παραδώσειν εἰς ἐμπρησμὸν καὶ διαρπαγήν, καὶ τὴν πόλιν εἰς κατασκαφήν τε καὶ προνομήν. Οὕτω μὲν οὖν τὰ τοῦ ναοῦ τῷ Σολομῶντι τετέλεστο. Μετὰ δὲ ταῦτα βασίλεια ἑαυτῷ ψκοδόμησε πολυτελῆ τε καὶ λαμπρὰ, καὶ τὰ τῶν Ἱεροσολύμων δὲ τείχη προσεπεσκεύασε, καὶ πόλεις ἄλλας προσῳκοδόμησε, καὶ τοὺς ἐν τῷ Λιβάνῳ ὄρει τῶν Χαναναίων ὑφ' ἑαυτὸν ποιησάμενος, μὴ πρὶν ὑποταγέντας, ὑποφόρους κατέστησε. Σοφίσματα δὲ καὶ λόγους αἰνιγματώδεις Χειρὰμ ὁ τῶν Τυρίων βασιλεὺς αὐτῷ πέπομφεν, ἀξιῶν σαφηνίσαι αὐτά· καὶ διέλυσε, καὶ τὸν ναῦν ἐκείνων διεδήλωκε. Μεμνῆσθαι τούτων ἱστορεῖ ὁ Ἰώσηπος καὶ συγγραφεῖς ἀρχαίους, τόν τε Δῖον, καὶ πρὸς τούτῳ τὸν Μένανδρον. Διαδοηθείσης δὲ πανταχοῦ τῆς σοφίας τοῦ Σολομῶντος καὶ τῆς φρονήσεως, βασίλισσά τις Αἰγύπτου καὶ Αἰθιόπων σοφίαν φιλοῦσα καὶ ἐκζητοῦσα, εἰς Ἱεροσόλυμα παραγέγονε. Καὶ ὁ βασιλεὺς φιλοτίμως αὐτὴν προσεδέξατο, καὶ τὰ σοφίσματα ἃ προετίθει ἐκείνη, ῥᾳδίως ἐπέλυεν, ὡς ἐκπλήττεσθαι τὴν βασίλισσαν, καὶ πλέον λέγειν τῶν ἠκουσμένων ὁρᾷν. Ἐθαύμαζε δὲ καὶ τὰ βασίλεια, καὶ τῶν δείπνων τὴν πολυτέλειαν, καὶ τὴν ὑπηρεσίαν πᾶσαν τὴν βασιλικὴν, καὶ τὰς ἐν τῷ ναῷ θυσίας, καὶ τῶν θυόντων τὸ εὔτακτον. Ἐδωρήσατο δὲ τὸν βασιλέα χρυσίῳ καὶ λίθοις τῶν πολυτίμων, καὶ ἀμυθήτοις ἀρώμασι, καὶ βαλσάμου ῥίζαις, ὡς ἐξ ἐκείνης ἐν Παλαιστίνῃ φυῆναι τὸ βάλσαμον. Καὶ Σολομῶν δὲ πολλοῖς ἀγαθοῖς τὴν βασίλισσαν ἀντημείψατο, καὶ ἡ μὲν εἰς τὰ ἑαυτῆς ὑπενόστησεν.

A templo circumfusa : unde conjiciebant, Deum templum ingressum, atque ibi habitaturum esse. Quibus rebus lætatus rex, et Deo gratias egit, et populo bene precatus, oravit ut Numen omnium eorum qui ibi precarentur, vota exaudiret. Deinde victimas aræ admovit, quas Deus se benigne accepisse declaravit, igne ex aere emisso, qui, in aram delatus, omnes victimas consumpsit. His visis, Deum laudat populus, rex gratias agit, festoque splendide celebrato, conventus dimittitur. His peractis, rex somniat Deum exaudisse preces, templum conservatum iri, se ad magnam felicitatem perventurum et regioni suos posteros imperaturos, si nec ipse, nec illi, nec populus divina præcepta violarent ; alioqui vero genus ejus radicitus exstirpaturum, et servitute populum atque aliis infinitis malis oppressurum, et templum ad incendium et direptionem daturum, urbem etiam solo æquandam et spoliandam. Sic ædificatione templi perfecta, sibi ipsi Salomon ædes construit sumptuosas et splendidas, Hierosolymorum mœnia instaurat, alias urbes condit, Chananæos montis Libani accolas insuetum subire jugum cogit ac sibi tributarios reddit. Præterea argutias et griphos a Chiramo Tyriorum rege ad se missos dissolvit atque explicat : quorum meminisse veteres historicos, Dium et Menandrum, Josephus auctor est. 85 Ejus igitur doctrina et sapientia ubique gentium celebrata, regina quædam Ægypti et Æthiopum, sapientiæ studiosa indagatrix, Hierosolyma proficiscitur. Eam rex honorifice excipit, quæstiones ab ea propositas facile solvit, ut regina, obstupescens, plura se videre diceret quam audivisset. Miratur et regiam, et cœnarum lauticias, et omnia ministeria regis, et templi sacrificia, et immolantium ordinem. Regem porro donat auro, gemmis pretiosis, ineffabilibus aromatibus, et balsami radicibus ; unde ab eo tempore balsamum in Palæstina nascitur. Salomon vicissim reginam domum redituram multis bonis remunerator.

Ι'. Ὁ δὲ βασιλεὺς, πάντων τῶν πρὸ αὐτοῦ γενόμενος ἐνδοξότατος, καὶ φρονήσει καὶ πλούτῳ διενεγκὼν, οὐκ ἐνέμεινε τοῖς θείοις θεσμοῖς. Ἀκρασίαν δὲ νοσήσας περὶ τὰ ἀφροδίσια, καὶ περὶ γυναῖκας ἐκμανεὶς, οὐ ταῖς ὁμογενέσιν ἠρκεῖτο, ἀλλὰ καὶ ἀλλοφύλους ἔγημε πλείστας, καὶ χαριζόμενος ἐκείναις διὰ τὸν ἔρωτα, ἐθρήσκευσε καὶ τοὺς ἐκείνων θεούς. Ἔγημε γὰρ θυγατέρας ἀρχόντων διασήμων ἑπτακοσίας, καὶ παλλακὰς τριακοσίας, καὶ τὴν θυγατέρα τοῦ βασιλέως τῶν Αἰγυπτίων. Εἶπεν οὖν ὁ Κύριος πρὸς Σολομῶντα· *Ὅτι οὐκ ἐφύλαξας ὅσα ἐνετειλάμην σοι, διαῤῥήξω τὴν βασιλείαν σου, καὶ*

X. Rex vero, cum esset omnium ante se regum illustrissimus, sapientia et opibus præstans, in divinis institutis non permansit : sed in libidinum intemperantiam prolapsus, insanoque mulierum amore correptus, neque popularibus suis contentus, etiam alienigenas complures duxit ; quibus ex amore obsequens, deos illarum coluit. Nam principum insignium filias septingentas matrimonio sibi junxit, concubinis trecentis ascitis, et filiam regis Ægyptiorum. Proinde Salomoni dixit Dominus : *Quoniam mandata mea non observasti, regnum tuum disrumpam, et servo tuo dabo. Neque tamen*

viventi tibi regnum eripiam, ob patrem tuum. Sed te mortuo, hæc filio tuo regnante faciam. Neque regnum omne tamen ab illo auferam, sed duabus tribubus et Hierosolymis illi relictis, ob avum Davidem, decem reliquas servo ejus dabo. Neque multum temporis intercessit, cum Ader Israelitas bello adortus est Fuit is Idumæus, regii generis, qui, Davidis temporibus Idumæa a Joabo subacta, puer in Ægyptum aufugerat, et, a Pharaone benigne susceptus atque adamatus, sororem regis conjugis uxorem duxerat. Is igitur, vir factus, Davidis et Joabi obitu cognito, cupidus in patrium regnum redeundi, a Pharaone retinebatur, donec Salomonis, rebus turbatis, affine consentiente, in Idumæam reversus est. Sed cum ea firmis præsidiis teneretur, in Syriam se contulit; et latronum manu comparata, cum hanc occupat, tum Israelitarum agros populatur. Jeroboamum autem Nabati filium, dum puer inservit regi, **86** Salomon, generosa ejus indole animadversa, cum Hierosolymorum mœnia conderet, operis structuræ præfecerat. Qui, cum aliquando iter ingressus esset, incidit in prophetam Achiam Silonitem. Is, eo de via nonnihil seducto, vesteque sua in duodecim lacinias discissa, decem illi dat cum his verbis: *Sic regnum Salomonis discindet Dominus, ejusque filio duas in avi gratiam tribus relinquet, te autem decem tribuum regem constituet. Tu vero fac leges Domini amplecteris et justitiam colas.* Hoc oraculo elatus Jeroboamus, novis rebus studet. Sed rex, cognita re, de illo tollendo cogitat. At ille in Ægyptum fugit ibique degit usque ad Salomonis obitum. Obiit autem is, ut liber Regum narrat, anno ætatis quinquagesimo secundo, cum duodecim annos natus regnum suscepisse memoretur, et id per quadraginta tenuisse. Josephus autem tradit eum annos vixisse quatuor et nonaginta, regnasse octoginta. Vita usus est felici et gloriosa, nisi in senectute patrias leges violasset, amoribus impulsus illicitis peregrinarum mulierecularum, earumque sectatus religiones.

A δώσω αὐτὴν τῷ δούλῳ σου. Οὐ σὲ δὲ ζῶντα τὴν ἀρχὴν ἀφαιρήσομαι διὰ τὸν πατέρα σου. Θανόντος δέ σου, ταῦτα ἐπὶ τῷ υἱῷ σου ποιήσω· καὶ οὐδὲ πᾶσαν ἐξ αὐτοῦ τὴν βασιλείαν ἀφέλωμαι, δύο δὲ φυλὰς αὐτῷ· καταλελοιπὼς, καὶ τὴν Ἱερουσαλὴμ διὰ τὸν πάππον Δαβὶδ, τὰς δέκα τῷ δούλῳ δώσω αὐτοῦ. Οὐ συχνὸς καιρὸς διελήλυθε, καὶ Ἄδερ εἰς πόλεμον κατέστη τῷ Ἰσραήλ. Ἦν δὲ ὁ Ἄδερ Ἰδουμαῖος ἐκ βασιλείου σπορᾶς, ὅ:, τοῦ Ἰωὰβ κατὰ τοὺς χρόνους Δαβὶδ καταστρεψαμένου τὴν Ἰδουμαίαν, παιδάριον ὢν, ἀπέδρα εἰς Αἴγυπτον, καὶ φιλοφρόνως δεχθεὶς, παρὰ Φαραὼ ἠγαπήθη, καὶ τὴν ἀδελφὴν ἔγημε τῆς γυναικὸς Φαραώ. Οὗτος οὖν ἀνδρωθεὶς, καὶ θανόντας μαθὼν τὸν Δαβὶδ καὶ τὸν Ἰωάβ, ἐπανελθεῖν ἐζήτει πρὸς τὴν πατρῴαν ἀρχήν· B ἀλλ' οὐ παρεχωρεῖτο πρὸς Φαραώ. Ἤδη δὲ τῷ Σολομῶντι τῶν πραγμάτων κακῶς ἐχόντων, παρεχωρήθη καὶ Ἄδερ, καὶ εἰς τὴν Ἰδουμαίαν ἐπανελήλυθε. Ταύτης δ' ἀσφαλῶς φρουρουμένης, εἰς τὴν Συρίαν ἀφίκετο, καὶ σύστημά τι σχὼν περὶ αὐτὸν ληστρικὸν, ταύτην τε κατέσχε, καὶ τὴν τῶν Ἑβραίων ἐληΐζετο χώραν. Ἱεροβοὰμ δὲ υἱὸς Ναβὰτ, παιδάριον ὢν, ὑπηρέτει τῷ βασιλεῖ. Ἰδὼν δὲ Σολομῶν αὐτὸν γενναῖον τὸ φρόνημα, ὅτι τῇ Ἱερουσαλὴμ περίβολον ᾠκοδόμει, ἐπέστησεν αὐτὸν τῆς οἰκοδομῆς ἐπιμελητήν. Ἀπερχομένῳ δέ που τῷ Ἱεροβοὰμ, συνήντησε προφήτης ὁ Σηλωνίτης Ἀχία, καὶ ἐκκλίνας αὐτὸν τῆς ὁδοῦ, διέῤῥηξε τὸ ἱμάτιον εἰς δώδεκα ῥήγματα, καὶ δέδωκεν ἐκείνῳ τὰ δέκα, εἰπών· Ὡς οὕτως διαῤῥήξει τὴν βασιλείαν Σολομῶντος ὁ Κύριος, καὶ τῷ μὲν ἐκείνου υἱῷ δύο καταλείψει φυλὰς διὰ τὸν πάππον, σοὶ δὲ τὰς δέκα δώσει, καὶ βασιλεύσει σε ἐν αὐταῖς. Σὺ δὲ ἀλλὰ τῶν νόμων ἀντέχου Κυρίου, καὶ γίνου δίκαιος. Τούτοις μέγα φρονήσας Ἱεροβοὰμ, νεωτερίζειν ἐπεχείρει. Καὶ γνοὺς τὸ πρᾶγμα ὁ βασιλεὺς, ἀνελεῖν ἐζήτει αὐτόν. Ὁ δὲ φεύγει εἰς Αἴγυπτον, κἀκεῖ διῆγεν, ἕως Σολομῶν ἐτελεύτησε. Τέθνηκε δὲ ὁ βασιλεὺς Σολομῶν, ὡς μὲν ἡ βίβλος Βασιλειῶν (56) ἱστορεῖ, ζήσας ἐνιαυτοὺς πεντήκοντα πρὸς δυσί. Δωδεκαέτης γὰρ τῆς βασιλείας ἐπιβῆναι ἱστόρηται, βασιλεῦσαι δὲ ἔτη τεσσαράκοντα. Ὡς δ' ὁ Ἰώσηπος συνεγράψατο, τέσσαρας μὲν ἐνιαυτοὺς ἐβίω καὶ ἐνενήκοντα· ὀγδοήκοντα δὲ βεβασίλευκεν, εὐτυχῶς μὲν ζήτας καὶ εὐκλεῶς, παρανομήσας μέντοι περὶ τὸ γῆρας ὑπ' ἐρώτων οὐκ εὐαγῶν ἀλλοεθνέσι πεισθεὶς γυναιξὶ, καὶ τοῖς ἐκείνων ἀκολουθήσας θρησκεύμασι.

XI. Successorem in regno habuit filium Roboamum, ad quem cum populus confluxisset, ac supplex petiisset, ut patre clementior servitutis jugum a Salomone cervicibus suis impositum relaxaret, ille se deliberaturum ait, et post triduum responsurum. Consulit itaque seniores ex patriis ministris, quid respondendum esset; monent, clementer, non superbe et arroganter alloquendum esse populum. Post senatum, re cum adolescentibus una secum educatis communicata, et consilio

D ΙΑ'. Διάδοχον δ' ἔσχε τῆς βασιλείας τὸν υἱὸν Ῥοβοάμ. Καὶ ὁ λαὸς συνήχθη πᾶς πρὸς αὐτὸν, καὶ ἱκέτευον ἐλαφρῦναι αὐτοῖς τὸν τῆς δουλείας ζυγὸν, ὃς παρὰ Σολομῶντος αὐτοῖς ἐπενήνεκτο, καὶ τοῦ πατρὸς φανῆναι χρηστότερος. Ὁ δὲ σκέψασθαι εἶπε, καὶ μετὰ τρεῖς ἡμέρας εἰπεῖν. Καλέσας οὖν τοὺς γηραιοτέρους τῶν πατρῴων θεραπόντων, τί ἂν ἀποκριθείη τῷ λαῷ· κἀκεῖνοι διαλεχθῆναι αὐτοῖς συνεβούλευον ἡπιώτερον, μὴ δ' ὑπερηφάνως καὶ ὀγκηρῶς. Μετὰ δὲ τὴν γερουσίαν τοῖς μειρακίσκοις, οἵπερ αὐτῷ

Variæ lectiones et notæ.

(56) *Βίβλος Βασιλειῶν*. Ita *Libros Regnorum*, libros alii *Regum*, hic et alibi non semel vocat Zonaras, quomodo etiam plerosque ex Patribus Latinis appellasse notavimus in Gloss. med. Lat.

συνετρέφοντο, τοῦ σχίμματος κεκοινώνηκε, καὶ τὴν A τῶν πρεσβυτέρων εἰπὼν συμβουλήν. Οἱ δὲ τραχύτερον αὐτῷ προσομιλῆσαι τῷ λαῷ συνεβούλευσαν, καὶ τοὺς λόγους ἀναλόγους τῷ τῆς ἀρχῆς ὄγκῳ ποιήσασθαι, καὶ τῷ βασιλικῷ ἀξιώματι. Καὶ ὃς τούτοις προσέθετο, καὶ ἐπεὶ τὸ πλῆθος αὖθις συνεληλύθει· *Εἰ τὸν ζυγὸν ὑμῖν ἐσκλήρυνεν ὁ πατήρ μου*, ἔφη, *τοῦτον αὐτὸς ἐπάξω βαρύτερον· καὶ εἰ μάστιξιν ἐκεῖνος ἐκέχρητο καθ' ὑμῶν, σκορπίοις ὑμᾶς κολάσω αὐτός· καί μου τῆς σμικρότητος παχυτέρας τῆς ὀσφύος τοῦ πατρὸς πειραθήσεσθε.* Τούτων τὸ πλῆθος ἀκούσαν, *Τίς ἡμῖν μερὶς ἐν Δαβίδ*, ἐξεβόησαν. Καὶ ἀποδυσπετήσαντες, ἀπῆσαν. Πέμψαντος δὲ Ῥοβοὰμ τῶν οἰκείων ἕνα διαλεχθῆναι αὐτοῖς καὶ πραῦναι, B ἔκτειναν ὑπ' ὀργῆς τὸν ἄνδρα λιθολεμστήσαντες. Ῥοβοὰμ δὲ δείσας, εἰς Ἱερσόλυμα πέφευγε, παραμενάσης αὐτῷ τῆς Ἰούδα φυλῆς, καὶ σὺν αὐτῇ τῆς Βενιαμίτιδος. Αἱ δέ γε λοιπαὶ ἤδη τοῦ Ἱεροβοὰμ ἐπανελθόντος ἐκ τῆς Αἰγύπτου, μετὰ τελευτὴν Σολομῶντος, καλέσασαι αὐτὸν, εἵλοντο βασιλέα. Ῥοβοὰμ δὲ ἡτοιμάζετο μαχέσασθαι τοῖς Ἰσραηλίταις περὶ τῆς βασιλείας, καὶ τῷ Ἱεροβοάμ· ἐκωλύθη δὲ παρὰ τοῦ Θεοῦ διὰ τοῦ προφήτου Σαμαΐα. Ἱεροβοὰμ, δείσας μὴ τὸ πλῆθος εἰς Ἱεροσόλυμα ἀπιὸν, καὶ τοῖς ἐκεῖ συναναμιγνύμενον, ἐπιστραφῇ πρὸς τὸν πρότερον αὐτοῦ βασιλέα, καὶ καταλείψῃ αὐτὸν, δύο δαμάλεις εἰργάσατο ἐκ χρυσοῦ, καὶ ἔθετο τὴν μὲν ἐν Βαιθήλ, τὴν δ' ἑτέραν ἐν Δάν. Καὶ ἐκκλησιάσας τὸ πλῆθος, *Παρταχοῦ ὁ Θεός ἐστιν*, εἶπεν, *ὦ ἄνδρες, ἀλλ' οὐ μόνον ἐν Ἱεροσολύμοις. Ἰδοὺ οὖν δύο δαμάλεις* C *πεποίηκα εἰς ὄνομα τοῦ Θεοῦ, καὶ οὐκέτι ὑμῖν ἀνάγκη πορεύεσθαι εἰς Ἱεροσόλυμα. Ἀπερχόμενοι δ' εἰς αὐτὰς, προσκυνεῖτε καὶ θύετε· καὶ ἱερεῖς γὰρ ἐξ ὑμῶν αὐτῶν ἀποδείξω.* Τούτοις ἐξαπατηθεὶς ὁ λαὸς, τά τε πάτρια παραβέβηκε, καὶ παρώργισε τὸν Θεὸν, ὡς καὶ εἰς αἰχμαλωσίαν παραδοθῆναι τοῖς ἀλλοφύλοις τὸν Ἰσραήλ. Ποιήσας δὲ ἱερεῖς Ἱεροβοὰμ καὶ θυσιαστήριον, ἑώρτασε, καὶ ἀνέβη αὐτὸς ἐπὶ τὸν βωμὸν, καὶ περὶ αὐτὸν οἱ ἱερεῖς. Καὶ ἤδη μέλλοντι θύειν, παρέστη προφήτης, σταλεὶς ἐκ Θεοῦ, καὶ εἶπε· *Τάδε λέγει Κύριος· Θυσιαστήριον, ἐκ Δαβὶδ ἔσεταί τις Ἰωσίας καλούμενος, ὃς θύσει τοὺς ἱερεῖς σου ἐπὶ σὲ, καὶ κατακαύσει τὰ ὀστᾶ αὐτῶν. Ἵνα δὲ εἰδῆτον, ὡς οἱ* D *λόγοι μου ἀληθεύουσιν, ἰδοὺ ῥαγήσεται τὸ θυσιαστήριον, καὶ ἡ ἐπ' αὐτὸ πιότης χυθήσεται κατὰ γῆς.* Καὶ αὐτίκα τό τε θυσιαστήριον διερράγη, καὶ ἡ πιότης τῶν θυμάτων ἐκκέχυτο. Ἐξέτεινε δὲ τὴν χεῖρα Ἱεροβοὰμ, συσχεθῆναι τὸν προφήτην ἐγκελευόμενος. Ἡ δὲ ξηρανθεῖσα ἀκίνητος ἔμεινε. Δεηθεὶς γοῦν Ἱεροβοὰμ τοῦ προφήτου, ἔσχεν αὖθις τὴν χεῖρα κινουμένην καὶ ἐνεργὸν, καὶ ἐξίου αὐτὸν συνδειπνῆσαι αὐτῷ. Ὁ δὲ οὐ κατένευσε, λέγων παρὰ τοῦ Θεοῦ κωλυθῆναι ἄρτον φαγεῖν, ἢ ὕδωρ πιεῖν, ἢ ὑποστρέψαι δι' ἧς ὁδοῦ εἰς τὴν πόλιν ἐλήλυθε, καὶ ἀπῆει,

seniorum exposito, illi auctores sunt, ut asperius agat cum populo, et pro auctoritate imperii ac regiæ dignitatis fastigio verba faciat. Roboamus horum sententia comprobata, cum populus iterum convenisset: *Si pater meus*, inquit, *durum vobis jugum imposuit, id ipse exasperabo: si flagellis ille vos cecidit, ego scorpionibus in vos animadvertam: et quod in me parvum est, id crassius paternis lumbis experiemini.* His multitudo auditis: *Quæ nobis in Davide pars est?* exclamans, rege fastidito discedit. Cum autem Roboamus quemdam suorum familiarium misisset, qui mollioribus verbis populum placaret, eum **87** ira concitati lapidibus peremerunt; quo facto, ille perterritus Hierosolyma confugit, sola Judaica et Benjamitica tribu penes se retenta. Reliquæ Jeroboamum, defuncto Salomone ex Ægypto reversum, regem crearunt. Cujus una cum Israelitis bello invadendi consilia agitantem Roboamum, Deus per Samæam vatem inhibuit. Veritus autem Jeroboamus ne multitudo, Hierosolyma profecta, illorum hominum commercio ad priorem regem, se deserto, reverteretur, duos vitulos aureos conflatiles facit, altero Bethele, Dane altero collocato; advocataque concione: *Deus*, inquit, *viri, ubique est, non Hierosolymis duntaxat. Ego igitur Dei nomine duos vitulos feci, neque posthac vobis necesse erit ire Hierosolyma, sed ad hos profecti, adorate et sacrificate: nam e vestro numero sacerdotes designabo.* His populus Israeliticus deceptus, patriis institutis violatis, iram Numinis in se provocavit, ut alienigenis in servitutem traderetur. Jeroboamus autem, sacerdotibus creatis araque exstructa, festum celebrat; conscensaque ara, cum sacerdotibus astantibus jam sacrificaturus esset, propheta a Deo missus: *Hæc*, inquit, *dicit Dominus: Heus ara, erit quidam ex David, nomine Josias, qui sacerdotes tuos supra te immolabit, et ossa eorum comburet. Ut autem verba mea vera esse constet, rumpetur ara, et pinguedo in ea sita fundetur humi.* Statim his dictis, et ara rumpitur, et pinguedo victimarum effunditur; et Jeroboami manus, quam extenderat prophetam comprehendi jubens, arida facta, mansit immobilis, donec precibus a propheta impetrasset ut in integrum restitueretur. Qui a rege ad cœnam invitatus, recusat, quod divinitus interdictum sibi esset, ne vel panem ederet, vel aquam biberet, vel eadem via reverteretur, qua urbem ingressus esset. Itaque alia via discedit. Cæterum in ea urbe quidam pseudopropheta erat, qui Jeroboamum seducebat, ejus gratiam aucupans. Is cum audisset quæ Dei propheta et dixisset et fecisset, abeuntem persequitur, et assecutus rogat ut suo hospitio utatur. Quod illo recusante ut divinitus interdictum, improbus ille vir: *Atqui et ego propheta sum*, inquit, *et ex Dei mandato adsum, ut sis mensæ meæ particeps.* Propheta, fide adhibita pseudoprophetæ **88**

Variæ lectiones et notæ.

(57) *Τὸν τῆς βασιλείας ζυγόν.* Rectius alter codex δουλείας. W. Ita etiam Reg. et Colbert.

verbis, redit : sed dum illo hospitio fruitur, divinitus audit se, propterea quod jussa exsecutus non sit, a leone interfectum iri. Domum rediturum occidit leo, atque assidens et cadaver et jumentum custodit. Quo pseudoprophela cognito, mortui corpus collectum sepelit, suisque liberis mandat ut se mortuum juxta illum sepelirent, eo utique consilio, ut, cum secundum prædictionem illius altare everteretur, et sacerdotum ac pseudoprophetarum ossa igni traderentur, eam contumeliam ipse, juxta hominem divinum situs, effugeret. Et hæc ita gesta sunt.

A ἑτέραν τραπόμενος. Ψευδοπροφήτης δέ τις ἦν ἐν τῇ πόλει ἐκείνῃ, τὸν Ἱεροβοὰμ ἀπατῶν, καὶ πρὸς χάριν αὐτῷ ὁμιλῶν. Οὗτος, μαθὼν ὅσα ὁ τοῦ Θεοῦ προφήτης καὶ εἴρηκε καὶ πεποίηκε, καὶ ὡς ἄπεισι, κατεδίωξεν ὀπίσω αὐτοῦ, καὶ καταλαβὼν αὐτὸν, ἠξίου ἀναστρέψαι, καὶ παρ' αὐτῷ ξενισθῆναι. Τοῦ δὲ ἀπαναινομένου, ὡς ἀπαγορεύσαντος τοῦ Θεοῦ, *Ἀλλὰ κἀγὼ προφήτης εἰμὶ, ὁ πονηρὸς ἐκεῖνος* εἶπεν ἀνὴρ, *καὶ ἦκω κατ' ἐντολὴν τοῦ Θεοῦ, ἐπιστρέψων σε τραπέζης μοι κοινωνήσοντα.* Ἐπίστευσεν ὁ προφήτης τοῖς τοῦ ψευδοπροφήτου λόγοις, καὶ ὑπενόστησε. Ξενισθέντι δ' ἐκεῖ τῷ προφήτῃ λόγος ἐγένετο Κυρίου· ἀνθ' ὧν οὐκ ἐτήρησε τὰ ἐνταλθέντα αὐτῷ, ἀναιρεθήσεσθαι κατὰ τὴν ὁδὸν παρὰ λέοντος. Καὶ ὑποστρέφοντα λέων αὐτὸν ἔκτεινε, καὶ παρακαθήμενος ἐφύλαττε τὸν νεκρὸν καὶ τὸ ὑποζύγιον. Μαθὼν δὲ τὸ γεγονὸς ὁ ψευδοπροφήτης, συνεκόμισε τὸ σῶμα τοῦ τεθνεῶτος (58), καὶ ἔθαψε, καὶ τοῖς ἑαυτοῦ παισὶν ἐνετείλατο τῷ προφήτῃ συγκηδεῦσαι καὶ αὐτοῦ τὸ σῶμα θανόντος· τί τοῦτο μηχανησάμενος, ἵν' ὅτε κατὰ τὴν ἐκείνου προφητείαν κατασκαφῇ τὸ θυσιαστήριον, καὶ τῶν ἱερέων καὶ ψευδοπροφητῶν πυρὶ παραδοθῇ τὰ ὀστᾶ, αὐτὸς διαφύγῃ τὴν ὕβριν, εἰ τῷ ἀνθρώπῳ τοῦ Θεοῦ συγκατατεθῇ. Ταῦτα μὲν οὖν οὕτως ἐγένετο.

XII. Jeroboamus autem suam impietatem adeo non minuebat, ut etiam in dies augeret, falsum illud editorum locorum sacerdotium quibusvis pretio venditans : quæ res noxæ illi fuit imputata, et in familiæ ejus perniciem et interitum vertit. Quod si profanum illud sacerdotium addicere pecunia nefas est habitum, quid de iis dicemus qui vere divinum illud sacerdotium, quo veneranda illa et incruenta victima immolatur, pretio vendunt atque redimunt? Cum autem Abias Jeroboami filius ægrotaret, rex uxorem suam, plebeia veste indutam, ad Achiam prophetam mittit, percontaturam num puer evasurus esset morbum. Sed prophela, commento agnito : *Ne te*, inquit, *dissimulato, Jeroboami uxor : sed marito tuo dicito, quia, Deo relicto, ipse sibi deos conflaverit, et regni amissionem et interitum cum omni familia ei esse exspectandum. Præterea cum populus ejus etiam impietatem sit secutus, ne illum quidem fore impunitum. Tu vero abi, mulier, filium tuum mortuum inventura, qui cum fletu sepelietur. Solus enim ex Jeroboam bonus fuit.* Mulier, digressa, filium mortuum invenit, et prophetæ verba nuntiat marito : quibus ille, quippe homo corrupti ingenii, nihilo factus est melior. Sed, Roboamo regnante Hierosolymis, Israelitici generis Levitæ et sacerdotes, et alii ex populo, quid bonum esset intelligentes, relictis suis oppidis, Hierosolyma concesserunt. Unde Roboami regnum augebatur, quamvis et ipse impietate laxerit Deum, et tota Judaica domus Dei cultum neglexerit. Quamobrem Susacus Ægyptiorum rex cum magnis copiis ascendit Hierosolyma, Roboamo **89** quintum jam annum regnante; qui una cum populo in urbe conclusus, salutem a Deo votis exposcebant, delicta sua confitentes. Deus

B ΙΒ'. Ἱεροβοὰμ δὲ τῆς αὐτῆς εἶχετο ἀσεβείας, ἥ καὶ ἐπεδίδου, καθ' ἑκάστην παρανομῶν, καὶ χρημάτων τὴν ψευδῆ τῶν ὑψηλῶν ἱερωσύνην παρεῖχε τοῖς θέλουσιν ὤνιον. Καὶ εἰς ἁμαρτίαν ἡ πρᾶξις αὕτη ἐλογίσθη αὐτῷ, καὶ εἰς ἀφανισμὸν τοῦ οἴκου αὐτοῦ γέγονε, καὶ εἰς ὄλεθρον. Εἰ δὲ τὸ τὴν ἀνίερον ἐκείνην ἱερωσύνην ἀποβίβοσθαι χρημάτων ἁμαρτία λελόγιστο, τί ἂν τις εἴποι περὶ τῶν πωλούντων καὶ ὠνουμένων τὴν θείαν ὄντως ἱερωσύνην, τὴν τῆς φρικτῆς καὶ ἀναιμάκτου θυσίας τελεστικήν; Ἐνόσησε δὲ Ἀβιὰ ὁ υἱὸς Ἱεροβοὰμ, καὶ ἔστειλε τὴν γυναῖκα αὐτοῦ ὁ βασιλεὺς πρὸς Ἀχιὰ τὸν προφήτην, εἰ ζήσεται ἐρωτήσουσαν. Ἡ δὲ, ἰδιωτικὴν μεταμφιεσαμένη στολήν, ἀπῆλθε. Καὶ ὁ προφήτης τὸ δρᾶμα γνούς· *Μὴ κρύπτε σαυτὴν, γύναι Ἱεροβοὰμ,* ἔφη. *Ἄπιθι δὲ, καὶ τῷ ἀνδρί σου εἰπὲ, ὅτι Ἐπεὶ καταλιπὼν τὸν Θεὸν, σεαυτῷ θεοὺς ἐποίησας χωνευτοὺς, προυδόκα τήν τε βασιλείαν ἀφαιρεθήσεσθαι, καὶ αὐτὸς παγγενῆ ἐξολοθρευθήσεσθαι. Ὅτι δέ σοι ἀσεβήσαντι καὶ τὸ πλῆθος ἐπηκολούθησεν, οὐδ' ἐκεῖνο μένει ἀτιμώρητον. Σὺ δὲ ἄπιθι, γύναι, καὶ θανόντα εὑρήσεις τὸν παῖδά σου, ὃς καὶ ταφήσεται θρηνηθείς. Μόνος γὰρ ἐξ Ἱεροβοὰμ οὗτος ἦν ἀγαθός.* Ἀπελθοῦσα δὲ ἡ γυνὴ, τὸν μὲν παῖδα εὗρε θανόντα· τῷ δὲ ἀνδρὶ τὰ παρὰ τοῦ προφήτου ἀπήγγειλεν. Οὐδὲν δὲ ἐξ ἐκείνων ἐβελτιώθη, τυγχάνων ἀσύνετος. Ῥοβοὰμ τοῦ υἱοῦ Σολομῶντος βασιλεύοντος ἐν Ἱερουσαλὴμ, οἱ παρὰ τοῖς Ἰσραηλίταις ἱερεῖς καὶ Λευῖται, καὶ ὅσοι τοῦ πλήθους ἦσαν συνιέντες τὸ ἀγαθὸν, ἀποστάντες τῶν ἰδίων πόλεων, εἰς Ἱεροσόλυμα παραγίνονται. Κάντεῦθεν ἡ βασιλεία τοῦ Ῥοβοὰμ ηὔξητο. Ὁ δὲ καὶ αὐτὸς ἠσέβησεν εἰς Θεὸν, καὶ πᾶς ὁ οἶκος Ἰούδα τῆς τοῦ Θεοῦ θρησκείας κατωλιγώρησε. Διὸ καὶ ἀνέβη Σουσακὶμ ὁ βασιλεὺς Αἰγύπτου ἐπὶ Ἱερουσαλὴμ μετὰ βαρείας δυνάμεως

C

D

Variæ lectiones et notæ.

(58) *Συνεκόμισε τοῦ τεθνεῶτος.* Τὰ ὀστᾶ, aut τὰ λείψανα, deesse videtur, inquit Wolfius, quam postremam vocem immisit in textum : sed cod. Colbert. habet τὸ σῶμα τοῦ τεθνεῶτος.

(59) *Εἰ δὲ τὴν σήμερον.* Carpit hoc loco Zonaras simoniacos suæ ætatis, apud Græcos, mores, cujusmodi fuisse ea ipsamet tempestate apud Latinos observavimus in nova appendice ad Glossarium med. Lat. in v, *Prabenda*.

ἐν ἔτει πέμπτῳ τῆς βασιλείας τοῦ Ῥοβοάμ. Συγκλείσας δὲ αὐτὸν Ῥοβοὰμ ἐν τῇ πόλει καὶ τὸν λαὸν, ἐδέετο τοῦ Θεοῦ δοῦναι σωτηρίαν αὐτοῖς, καὶ ἃ ἥμαρτον εἰς Θεὸν ἐξωμολογοῦντο. Παρακληθεὶς δὲ ὁ Θεὸς, οὐκ ἀπολέσειν αὐτοὺς, ἀλλὰ δώσειν εἶπεν ὑποχειρίους τοῖς πολεμίοις. Δεξαμένου τοίνυν ἐν τῇ πόλει Ῥοβοὰμ τὸν Αἰγύπτιον ἐπὶ συνθήκαις, παρασπονδήσας ἐκεῖνος, τοὺς τοῦ Θεοῦ τε θησαυροὺς ἐσύλησε, καὶ τοὺς βασιλικοὺς ἐξεκένωσε, καὶ τὰ χρυσᾶ ὅπλα, ἃ ἐποίησε Σολομῶν, καὶ τὰ δόρατα τὰ χρυσᾶ, ἃ ὁ Δαβὶδ ἀνέθετο, πάντα ἀφείλετο. Ἐτελεύτησε δὲ Ῥοβοὰμ ζήσας ἔτη πεντήκοντα καὶ ἑπτὰ, ἐξ ὧν ἑπτακαίδεκα βεβασίλευκε, διάδοχον τὸν υἱὸν καταλιπὼν Ἀβιοὺ, καθ' οὗ Ἱεροβοὰμ ἐξεστράτευσεν, ἀεὶ καὶ τῷ Ῥοβοὰμ πολεμῶν. Ἀβιοὺ δὲ οὐκ ἔπτηξε τὴν ἔφοδον, ἀλλ' ἀντιτάξας αὐτῷ τοὺς οἰκείους, νίκην νικᾷ περιβόητον, ὡς μηκέτι θαρσῆσαι τὸν Ἱεροβοὰμ ἀντιπαρατάξασθαι. Τελευτᾷ δὲ Ἀβιοὺ βασιλεύσας ἐν Ἱερουσαλὴμ ἔτη τρία, ποιήσας τὸ πονηρὸν ἐνώπιον Κυρίου. Καὶ ἐβασίλευσεν Ἀσὰ ὁ υἱὸς αὐτοῦ, τοὺς θείους θεσμοὺς τηρήσας κατὰ Δαβὶδ τὸν οἰκεῖον προπάτορα. Τέθνηκε δὲ καὶ Ἱεροβοὰμ ἀνύσας ἐν τῇ ἀρχῇ ἔτη δύο καὶ εἴκοσι. Καὶ διεδέξατο αὐτὸν Ναβὰτ ὁ υἱὸς αὐτοῦ. Κἀκεῖνος, ἀσεβὴς κατὰ τὸν πατέρα γενόμενος, ὃς πόλιν τῶν ἀλλοφύλων πολιορκῶν Γαβαθὼν, ἐπεβουλεύθη παρὰ Βαασὰν υἱοῦ Ἀχιά. Καὶ τέθνηκε, δύο ἄρξας ἐνιαυτούς. Βαασὰν δὲ, τῆς τῶν δέκα φυλῶν βασιλείας ἐγκρατὴς γεγονὼς, πᾶν τὸ γένος τοῦ Ἱεροβοὰμ ἐξωλόθρευσε. Καὶ οὗτος δὲ, ὡς Ἱεροβοὰμ, παρενόμησε, καὶ τὸν λαὸν ὁμοίως πεποίηκεν ἁμαρτεῖν. Καὶ ἠπείλησεν αὐτῷ ὁ Θεὸς διὰ Ἰηοῦ τοῦ προφήτου διαφθερεῖν τὸν οἶκον αὐτοῦ, ὡς τὸν οἶκον Ἱεροβοάμ. Τέθνηκε δὲ καὶ οὗτος ἐπὶ τὸν Ἰσραὴλ βασιλεύσας ἔτη ἐπὶ τέσσαρσιν εἴκοσι. Καὶ Ἠλὰ ὁ υἱὸς αὐτοῦ γέγονε τῆς πατρικῆς βασιλείας διάδοχος. Ὃν Ζαμβρῆς ὁ ἄρχων τῆς ἵππου αὐτοῦ μεθύοντα κτείνας, ἐπὶ δύο ἐνιαυτοὺς βασιλεύσαντα, τήν τε βασιλείαν ἀφείλετο, καὶ τὸ γένος ἅπαν τοῦ Βαασὰν ἐξωλόθρευσεν. Ἡ δὲ τῶν Ἰσραηλιτῶν στρατιὰ πολιορκοῦσα τὴν Γαβαθὼν, μαθοῦσα ὅτι Ζαμβρῆς κτείνας τὸν Ἠλὰ ἐβασίλευσε, τὸν οἰκεῖον στρατάρχην Ζαμβρῆν ἐν τῇ παρεμβολῇ ἀνηγόρευσε, καὶ τὴν πόλιν Θερσὰ μετ' αὐτοῦ προκαταλαβοῦσα, κρατεῖ ταύτης. Ζαμβρῆς δὲ, ὁ πρότερος εἰς τὸ μυχαίτατον τῶν βασιλείων εἰσδὺς, καὶ ἐμπρήσας αὐτὸ, συνδιέφθειρέν ἑαυτῷ καὶ ἑαυτὸν ἑπτὰ ἡμέρας τὴν ἀρχὴν κατασχών. Εἶτα μερίζεται ὁ λαὸς, καὶ τὸ μὲν αὐτοῦ τὸν Ζαμβρῆν ᾑρεῖτο, τὸ δ' ἕτερον τὸν Θαμνῆν. Ἀλλ' ὑπερισχύσαντες οἱ τοῦ Ζαμβρῆ, καὶ ἀνελόντες τὸν Θαμνῆν, ἀστασίαστον τὴν ἀρχὴν τῷ Ζαμβρῆ περιεποιήσαντο. Ὃς πρότερον μὲν ἐν Θερσὰ διῆγε βασιλεύων, ἔπειτα δ' ἐν Μαρεώνῃ τῷ ὄρει, ἐν ᾧ πόλιν ἐδομήσατο, ἡ Σαμάρεια κέκληται, αὐτοῦ Σαμαραὶν τὸ ὄρος καλέσαντος εἰς ὄνομα Σεμειρῶν,

A exoratus, se non deleturum illos, sed dediturum hostibus, respondit. Itaque susceptus a Roboamo per conditiones Ægyptius, rupto fœdere, et sacros et regios thesauros spoliat, et aurea arma a Salomone facta, et aureas hastas a Davide dedicatas omnes rapit. Moritur Roboamus anno ætatis quinquagesimo septimo, regni decimo septimo, successore relicto filio Abio, cui bellum intulit Jeroboamus, cum et Roboamum perpetuo armis lacessisset. Abius autem impetu ejus non reformidato, sed domesticis illi copiis oppositis, celebrem victoriam reportavit, ut Jeroboamus in aciem descendere postea non auderet. Mortuus est Abius, cum triennium regnasset Hierosolymis, homo in Deum impius. Asa vero, filius ejus, regno suscepto, divina instituta observavit, exemplo Davidis principis familiæ suæ. Mortuus est et Jeroboamus, exactis in imperio annis duobus supra viginti. Ei successit Nabat filius, homo et ipse ad exemplum patris impius: qui, dum Gabaton urbem barbaram oppugnat, per insidias Baasæ filii Achiæ occiditur, anno regni secundo. Baasas vero, regni Israelitici potitus, omne Jeroboami genus exstirpavit, vir et ipse Jeroboamo nihilo observantior legum, et populo delinquendi auctor. Quare Deus per prophetam Jehum ei comminatur, se ejus quoque familiam, ut Jeroboami, excisurum. Mortuus est et hic anno regni vicesimo quarto, Ela filio regni successore relicto, quem anno imperii secundo Zambres, ejus magister equitum, occidit ebrium, regnoque occupato, universum Baasæ genus delevit. Cæterum Israeliticus exercitus, dum Gabaton obsidet, audito Zambris facinore et occupatione regni, Zambrem alium, ducem suum, qui in castris erat, regem salutat, et urbem Thersam ductu illius occupatam obtinet. Quare prior ille Zambres in intimam regiam sese recipit, eaque incensa, una conflagrat, cum septem dies imperium tenuisset. Facta post hoc populi secessione, alii Zambrem eligunt, alii Thamnim. Verum Zambrea factio viribus superior, Thamni 80 sublato, regnum Zambri tranquillum tradiderunt. Is principio Thersæ regnavit. Deinde Mareone monte occupato, urbem condidit nomine Samariam, cum ipse monti nomen Samarei indidisset, de nomine Semeri, a quo eum emerat. Vicit hic improbitate superiores reges. Mortuus est Samariæ anno regni duodecimo, quod ad Achabum ejus filium devenit. Sic Israelitarum reges, alius post alium, ob patrias leges violatas, exiguo tempore perierunt. Asa vero, rex Hierosolymorum, Dei amans, regem Æthiopum cum magnis copiis invadentem, Deo adjutore invocato, aggressus, multos hostium occidit, reliquos in fugam versos persequitur, castra diripit, inultis et ipse et populus spoliis

B

C

D

Variæ lectiones et notæ.

(60) *Ἐπὶ τὸν Ἰσραήλ.* Hæc addidimus ex ms. codd.

(61) *Τὸν Θαμνῆν.* Ita codd. mss. Wolfius Θαμνί.

(62) *Σέμειρον.* Ita reposuimus ex mss. pro Σεβηρὼν, uti ediderat Wolfius. Josephus Σάμαρον habet.

auctus. Reducenti exercitum regi propheta Azarias occurrit, victoriæ Deum et ipsi et populo propter justitiæ cultum auctorem exstitisse affirmat: quod si virtutem colerent, in posterum etiam fore felices: sin Dei mandata neglexissent, multis ærumnis conflictaturos. Asa igitur vita pie acta, et longam senectutem adeptus, obiit anno regni primo et quadragesimo, filio Josaphato relicto successore.

A ἀφ' οὗ τοῦτο ἐπρίατο. Χείρων τῶν πρὸ αὐτοῦ γεγονώς, καὶ κατέστρεψε τὴν ζωὴν ἐν Σαμαρείᾳ δώδεκα βασιλεύσας ἐνιαυτούς. Ἡ δὲ βασιλεία περιῆλθεν εἰς Ἀχαὰβ τὸν υἱὸν αὐτοῦ. Οἱ μὲν οὖν τῶν Ἰσραηλιτῶν βασιλεῖς ἄλλος ἐπ' ἄλλῳ διὰ τὴν παρανομίαν αὐτῶν ἐν ὀλίγῳ χρόνῳ διεφθάρησαν. Ἀσὰ δὲ ὁ τῆς Ἰερουσαλὴμ βασιλεὺς θεοφιλὴς ἦν· οὗ τῷ δεκάτῳ τῆς βασιλείας ἔτει ὁ βασιλεὺς Αἰθιόπων στρατεύει κατ' αὐτοῦ μετὰ βαρείας δυνάμεως. Ὁ δὲ τὸν Θεὸν σύμμαχον ἐπεκέκλητο, καὶ συμπλακεὶς τοῖς Αἰθίοψι, πολλοὺς μὲν ἀνεῖλε· τοὺς δὲ λοιποὺς φυγόντας ἐδίωξε, καὶ τὴν παρεμβολὴν ἐκείνων διήρπασε, καὶ πολλὰ αὐτὸς καὶ ὁ λαὸς ἐκομίσαντο λάφυρα. Ἀναζευγνύντι δὲ τῷ βασιλεῖ καὶ τῇ στρατιᾷ ὁ προφήτης Ἀζαρίας ὑπαντήσας, τῆς νίκης τὸν Θεὸν εἶναι αὐτῷ δοτῆρα εἶπε, καὶ τῷ λαῷ, δικαιοσύνης ἐπιμελουμένοις. Καὶ μετιοῦσι μὲν ἀρετὴν εὐδαιμονίας καὶ εἰσέπειτα ἐπηγγείλατο· τῶν δὲ τοῦ Θεοῦ ἐντολῶν κατολιγωρήσασι, πολλὰ συμβήσεσθαι λυπηρά. Ἀσὰ τοίνυν, ἐν εὐσεβείᾳ τὴν ζωὴν ἀνύσας, καὶ εἰς γῆρας καταντήσας βαθύ, τέθνηκε, βασιλεύσας ἐνιαυτοὺς ἐφ' ἑνὶ τεσσαράκοντα, Ἰωσαφὰτ οἰκείῳ υἱῷ τὴν ἡγεμονίαν καταλιπών.

XIII. Achabus autem Samariæ regiam incolens, antecessoribus suis impietate superior, ab uxore Jezabele magis etiam ad improbitatem exstimulabatur. Erat illa regis Tyri et Sidonis filia, muliercula ferox et audax, quæ Belo deo suo ædem condidit et lucum consecravit, sacerdotibus etiam et pseudoprophetis institutis. Elias autem urbe Thesba ortus, perversam regis et populi religionem animo iniquissimo ferens, Achabo ait: *Ita vivit Dominus, ut pluvia non descendet, nisi ad preces meas.* Hæc elocutus, ex mandato Dei ad torrentem Chorath abiit, ubi a corvis alebatur, qui mane panes, vesperi carnes illi afferebant; potum præbebat torrens: quo exsiccato, Sarephtham Deo monente abit, urbem intra Tyrum et Sidonem sitam: ante quam, cum in mulierem quamdam incidisset, orat ut aquam sibi afferat: quæ dum abit, ut panem etiam afferat petit. Illam jurantem sibi pugillum duntaxat farinæ unum esse, et pauxillum olei, proinde se abire ad colligenda sarmenta, ut exiguum cibum sibi et liberis paret, quo absumpto, fame perituri sint **91** et ipsi, propheta bono animo esse jubet: neque farinæ cistam, neque olei ampullam defecturam esse, donec pluvia descendisset. Illa igitur et prophetam hospitem, et se et liberos suos exigua illa farina alit, donec fames præterisset. Cæterum filio suo ex morbo defuncto, in prophetam blasphemat; sed ille mortuum sibi puerum dari jubet: quem in cœnaculum, in quo ipse diversabatur, allatum, in suo lectulo collocat, invocatoque Deo, et cadavere ter afflato, puerum matri gratias agenti viventem restituit. Post hæc Eliæ mandat Deus, ut Achabo prædicat fore pluviam. Invaluerat autem Samariæ et in tota provincia fames. Achabus itaque cum Abdia œconomo suo, viro bono, exibat quæsitum equis suis pabulum, aliam ipse viam, aliam Abdias ingrediens, investigantes an in fontibus aut torrentibus alicubi gramen invenirent. Abdiæ obviam fit Elias, seque regi indicari jubet. At ille eum accurate ab Achabo ad cædem quæri respondet, monens ut se occultet: ac centum prophetas a se clam ali et conservari, cæteris omnibus a Jezabele interfectis. Elia vero jurante, se illo die in Achabi con-

ΙΓ'. Ἀχαὰβ δὲ ἐν Σαμαρείᾳ ἐκέκτητο τὰ βασίλεια, τοὺς πρὸ αὐτοῦ παραδρομὼν εἰς ἀσέβειαν, καὶ ὑπὸ τῆς γυναικὸς Ἰεζάβελ μᾶλλον εἰς κακίαν προβιβασθείς, ἣ τοῦ βασιλέως μὲν Τύρου καὶ Σιδῶνος θυγάτηρ ἦν, ἰταμὸν δὲ καὶ τολμηρὸν γύναιον. Αὕτη ναὸν τῷ οἰκείῳ θεῷ τῷ Βὴλ ἐδωρήσατο, καὶ ἄλσος ἐφύτευσε, καὶ ἱερεῖς αὐτῷ, καὶ ψευδοπροφήτας κατέστησεν. Ἡλιοῦ δὲ ὁ προφήτης ἐκ πόλεως Θέσβης, ζηλώσας ἐπὶ ταῖς ἀσεβείαις τοῦ βασιλέως καὶ τοῦ λαοῦ, εἶπε πρὸς Ἀχαὰβ· Ζῇ Κύριος, εἰ ἔσται ὑετός, εἰ μὴ διὰ λόγου μου. Καὶ ταῦτα εἰπὼν, ἀπῆλθεν ἐν τῷ χειμάρρῳ Χοραὶθ κατ' ἐντολὴν τοῦ Θεοῦ· ἔνθα παρὰ κοράκων ἐτρέφετο, ἄρτους αὐτῷ κομιζόντων πρωΐ, καὶ κρέα τὸ δειλινόν· τὴν δὲ πόσιν αὐτῷ ἐχορήγει ὁ χείμαρρος· οὗ ξηρανθέντος, εἰς Σαρεφθὰ πόλιν οὖσαν μεταξὺ Σιδῶνος καὶ Τύρου τῷ Θεῷ πειθόμενος ἄπεισι, καὶ πρὸ τῆς πόλεως γυναικί τινι ἐντυχὼν, ὕδωρ αὐτῷ κομίσαι ἱκέτευεν. Ὡς δ' ἐπορεύετο ἡ γυνὴ, καὶ ἄρτον αὐτῷ ἐνεγκεῖν ἐξίου. Ἡ δὲ μιᾶς δρακὸς ἀλεύρου ἐξώμνυτο εὐπορεῖν, καὶ βραχυτάτου ἐλαίου, καὶ συλλέξασα ξυλάρια ἀπιέναι ποιήσουσα μικρὰν τροφὴν ἑαυτῇ καὶ τοῖς παισὶν, ἧς ἐκλιποῦσης καὶ αὐτοὺς λιμῷ ἐκλιπεῖν. Ὁ δὲ προφήτης θαρρεῖν αὐτῇ ἐγκελεύεται· μηδὲ γὰρ ἐκλείψειν ἄλευρον ἐκ τοῦ ἀγγείου ταῦτο φέροντος, μηδ' ἔλαιον ἐκ τῆς ληκύθου, ἕως γένηται ὑετός. Ἡ δὲ, πορευθεῖσα, τόν τε προφήτην παρ' αὐτῇ ξενισθέντα, καὶ ἑαυτὴν, καὶ τὰ τέκνα ἐκ τοῦ βραχίστου ἐκείνου ἀλεύρου ἔτρεφεν, ἕως ὁ λιμὸς παρελήλυθε. Νοσήσαντος δὲ τοῦ υἱοῦ τῆς γυναικὸς ταύτης, καὶ θανόντος, ἐβλασφήμει κατὰ τοῦ προφήτου ἐκείνη. Ὁ δὲ δοθῆναι αὐτῷ τὸ τεθνηκὸς παιδίον ᾔτησε. Καὶ λαβὼν, εἰς τὸ ὑπερῷον ἔνθα ᾤκει ἀνήνεγκε, καὶ ἔθετο ἐπὶ τῆς κλίνης αὐτοῦ· καὶ τὸν Θεὸν ἱκετεύσας, τρισσάκις ἐνεφύσησε τῷ νεκρῷ, καὶ ἀνέζησε, καὶ ἔδωκε τὸν παῖδα ζῶντα τῇ τεκνωμένῃ· ἡ δ' ηὐχαρίστει. Καὶ μετὰ ταῦτα ἐνετείλατο τῷ Ἡλιοὺ ὁ Θεὸς πορευθῆναι, καὶ προειπεῖν Ἀχαὰβ, ὡς ἔσται ὑετός. Ὁ δὲ λιμὸς ἐπὶ Σαμάρειαν καὶ τὴν χώραν ἅπασαν κεκράτηκε. Ἀχαὰβ δὲ τὸν οἰκονόμον αὐτοῦ ἄνδρα χρηστὸν παραλαβὼν, ὥπτει εἰ εὕροι τοῖς ἵπποις χιλόν. Καὶ ὁ μὲν ἄλλην ἀπῆει ὁδὸν, ἑτέραν δὲ Ἀβδιοὺ, ἐρευνῶντες ποῦ ἂν εὕροιεν χόρτον ἐν πηγαῖς ἢ χειμάρ-

ρης. Συναντᾷ τοίνυν τῷ Ἀβδιοὺ ὁ Ἠλίας, καὶ ᾔτει τῷ βασιλεῖ μηνύειν αὐτόν. Ὁ δὲ καὶ μάλα ζητεῖσθαι παρὰ τοῦ Ἀχαὰβ ἔλεγεν αὐτὸν, ἵνα ἀνέλοι, εἰ εὕροι. Καὶ κρύπτεσθαι συνεβούλευεν, ἔλεγέ τε καὶ αὐτὸς ἑκατὸν προφήτας κρύπτειν καὶ τρέφειν, καὶ σώζειν οὕτω, τοὺς ἄλλους πάντας τῆς Ἰεζάβελ ἀνῃρηκυίας. Ὁ δὲ ὤμοσε κατ' ἐκείνην ὀφθήσεσθαι τὴν ἡμέραν τῷ Ἀχαάβ. Ἀπῆλθεν οὖν Ἀβδιοὺ, καὶ ἀπήγγειλε περὶ τοῦ Ἠλία τῷ βασιλεῖ. Καὶ ἰδὼν τὴν προφήτην ἐκεῖνος, *Εἰ αὐτός ἐστιν*, ἤρετο, *ὁ διαστρέφων τὸν Ἰσραήλ;* Ἠλίας δὲ, *Σὺ μᾶλλον*, εἶπε, *καὶ οἶκος τοῦ πατρός σου διαστρέψετε τὸν λαὸν καταλιπόντες τὸν Κύριον, καὶ ψευδεῖς τιμῶντες θεούς. Ἀλλ' ἄθροισον εἰς τὸ Καρμήλιον τὸν λαὸν, καὶ τοὺς σοὺς προφήτας, καὶ τοὺς τῆς γυναικός.* Πάντων δὲ συνελθόντων, εἶπεν Ἠλίας, ὡς *Ἐγὼ μόνος ὑπολέλειμμαι τοῦ Θεοῦ προφήτης· οἱ δὲ ψευδοπροφῆται σφόδρα πολλοί. Δότε οὖν μοι μόνῳ βοῦν, καὶ αὐτοῖς ἅπασιν ἕτερον, καὶ θύσαντες τοὺς βόας, ἐπιθῶμεν ξύλοις τὰ θύματα· πῦρ δέ γε μὴ ἐπενέγκωμεν· καὶ ἕκαστος ἐπικαλείσθω τὸν οἰκεῖον Θεὸν, καὶ ὑφ' οὗ ἂν αὐτόματον πῦρ ἐκλάμψῃ, καὶ κατακαύσῃ τὰ ξύλα τε καὶ τὰ θύματα, ἐκεῖνος λογιζέσθω Θεὸς ἀληθής.* Ἐπῄνεσε τὸ πλῆθος τοὺς λόγους, καὶ ἐποίησαν οὕτως οἱ ἱερεῖς τῆς αἰσχύνης, καὶ θύσαντες τὸν μόσχον, καὶ ἐπιθέντες ξύλοις ἄνευ πυρὸς, ἐπεκαλοῦντο τὸν Βαὰλ πρωΐθεν εἰς μεσημβρίαν. Μυκτηρίζων δὲ αὐτοὺς ὁ προφήτης, μέγα βοᾷν αὐτοῖς συνεβούλευε, μή ποτε καθεύδῃ αὐτοῖς ὁ θεὸς, ἤ τις ἀσχολία αὐτῷ ἐστιν. Ὡς δ' οὐδὲν ἐκείνοις δεομένοις πολλὰ ἐπεραίνετο, ὁ προφήτης δώδεκα λίθους λαβὼν καθ' ἑκάστην φυλὴν, ᾠκοδόμησε θυσιαστήριον, ὤρυξε δεξαμενὴν, ἑστοίβασε τὰς σχίδακας ἐπὶ τοῦ βωμοῦ, καὶ αὐταῖς τὰ ἱερεῖα ἐπενεγκών, ὕδωρ ἐπιχυθῆναι τῷ θυσιαστηρίῳ ἐκέλευσεν, ὥστε καὶ τὴν δεξαμενὴν πληρωθῆναι. Καὶ ἐπὶ τούτοις ἐπεκαλέσατο τὸν Θεὸν, καὶ πῦρ οὐρανόθεν ἐπὶ τὸν βωμὸν κατενήνεκτο, πάντων ὁρώντων, καὶ τὴν θυσίαν, καὶ τὰ ξύλα καὶ τοὺς λίθους κατέφαγε, τὸ ὕδωρ τε καὶ τὸν χοῦν. Ὁ λαὸς δ' ἐκπλαγεὶς ἔπεσεν ἐπὶ τὴν γῆν, ἕνα Θεὸν ἀληθῆ τε καὶ μέγαν ὁμολογοῦντες. Καὶ συλλαβόντες τοὺς ψευδοπροφήτας, ἀπέκτειναν, του προφήτου κελεύσαντος. Εἶπε δὲ τῷ βασιλεῖ, ὡς ὕσει μετὰ μικρὸν ὁ Θεός. Καὶ γέγονε κατὰ τὴν πρόρρησιν αὐτοῦ ῥαγδαῖος ὄμβρος. Ἀπειλησάσης δὲ τῆς Ἰεζάβελ ἀνελεῖν τὸν Ἠλίαν, φοβηθεὶς ὁ προφήτης, ἔφυγεν καὶ ἐν τῇ ἐρήμῳ γενόμενος, ἀθυμῶν ἀποθανεῖν ἐκέτευε τὸν Θεόν. Κοιμηθεὶς δὲ, διυπνίσθη παρά τινος ἀναστῆναι, καὶ φαγεῖν αὐτῷ ἐπιτρέποντος. Ὁρᾷ δὲ καὶ ὀλυρίτην ἄρτον ἐκεῖ, καὶ ὕδωρ. Καὶ φαγὼν, ἐκοιμήθη πάλιν, καὶ αὖθις ὁ ἄγγελος φαγεῖν αὐτῷ ἐγκελεύεται, ὡς πολλῆς αὐτῷ προκειμένης ὁδοῦ. Καὶ πάλιν δὲ φαγὼν καὶ ἐνισχύσας ἐκ τῆς τροφῆς ἐκείνης, ἐπορεύθη ἡμέρας τεσσαράκοντα. Καὶ γενόμενος ἐν τῷ ὄρει Χωρὴβ, εἰσῆλθεν εἰς σπήλαιον, καὶ φωνῆς ἤκουσε· *Τί παραγέγονας ἐνταῦθα;* Ὁ δὲ ἔφη· *Ὅτι ζηλώσας ἔκτεινα τοὺς προφήτας τῆς Ἰεζάβελ, ἡ δὲ ζητεῖ με κτανεῖν.* Ὁ δὲ ῥηματίζων εἶπεν αὖθις αὐτῷ· *Ἔξελθε αὔριον, καὶ στῆθι ἐνώπιον Κυρίου.* Καὶ ἐποίησεν οὕτως· καὶ αἰσθάνεται πνεύματός τε καὶ συστασμοῦ, καὶ ὁρᾷ καιόμενον πῦρ. Εἶτα λεπτῆς αὔρας γενομένης.

A spectum venturum, præsentiam ejus regi nuntiat. Quo ille conspecto: *Num tu*, inquit, *is es, qui depravat Israelem?* Cui Elias: *Tu potius*, inquit, *et domus patris tui, populum depravatis, relicto Domino, falsos deos venerantes. Verum populum, et tuos uxorisque tuæ prophetas in montem Carmelum convocato.* Quibus omnibus congressis, Elias ait: *Ego solus Domini propheta superstes: pseudoprophetæ autem plurimi sunt. Sed date soli mihi borem, et illis omnibus alterum, quibus immolatis, victimas lignis imponamus, igne non adhibito, ac suum quisque Deum invocato. A quo autem ignis ultro effulserit, et ligna cum victimis cremarit, is verus judicetur Deus.* Hac oratione a populo collaudata, cum ignominiæ sacerdotes ita fecissent, et, vitulo mactato ac sine igne lignis imposito, Baalem a diluculo usque ad meridiem invocassent, propheta per derisum eos hortatur, ut magnum vociferarentur, si forsitan dormitaret illorum deus, aut aliis negotiis B esset occupatus. Cum autem assidue flagitando nihil proficerent, propheta duodecim saxis pro tribuum numero sublatis, altare **92** struxit, scrobem effodit, ligna in altari digessit, victimas imposuit, aquam in altare effundi jussit, ut scrobs etiam impleretur. His peractis, invocato Numine, ignis videntibus omnibus de cœlo in aram delatus, et victimas et lapides una cum aqua et pulvere consumpsit. Quo portento consternatus populus, pronus in terram cecidit, unum esse Deum verum et magnum confitentes: et jussu prophetæ, manibus in impostores illos vates injectis, omnes occiderunt. Deinde regi dicit Elias, Deum paulo post missurum pluviam. Itaque factum est, ut prædixerat, et imber vehemens erupit. Sed Jezabele mortem illi comminata, propheta territus fugit, et in deserto agens C desperabundus, mortem a Deo expetit: sopitusque a quodam excitatur, jubente surgere et vesci. Videt autem panem siligineum illic et aquam. Cum edisset, rursus obdormiit. Angelus denuo eum vesci jubet, quod ei magnum iter instet. Rursus igitur cibo sumpto, et recuperatis ex eo viribus, diebus quadraginta ambulat, et in Chorebum montem profectus, antrum ingreditur. Ibi voce audita: *Cur eo venisti?* respondet: *Cum Dei studio vates Jezabelis occiderim, illa me ad necem quæritat.* Tum is cujus vocem audierat denuo illi ait: *Cras egressus, stato coram Domino.* Cum ita fecisset, ventum sentit et concussionem, et ignem ardentem videt. Deinde levi aura exorta, ex ea vocem audit quæ D reverti jubebat, et Asahelem Syriæ regem inungere, et Jehum regem Israelis, et Elisæum suo loco prophetam, qui impios deleturi essent. Regressus Elias, quemadmodum jussus fuerat, Elisæum arantem invenit: cui cum vellus suum injecisset, ille, relictis omnibus, eum sequitur, ad vaticinandi munus evectus.

λειαν ὁμολογοῦσιν αὐτῷ, τὰς κεφαλὰς πάντων τῶν παίδων τοῦ Ἀχαὰβ κομίσειν αὐτῷ. Κἀκεῖνοι τὸ ἐπιταχθὲν πεποιήκασιν. Ὁ δὲ πρὸ τῆς πύλης τῆς πόλεως τεθῆναι τὰς κεφαλὰς ἐν δυσὶ τόποις ἐκέλευσε. Καὶ τούτου γενομένου προελθών, *Ἐγὼ μὲν*, εἶπε, *τὸν βασιλέα ἀνῄρηκα, οὗτοι δὲ κατὰ τὴν πρόῤῥησιν τοῦ προφήτου ἀπώλοντο*· καὶ πάντας δὲ τοὺς συγγενεῖς Ἀχαὰβ ἐρευνήσας ἀπέκτεινεν Ἰηού. Ἀπιόντι δὲ αὐτῷ εἰς Σαμάρειαν, συναντᾷ Ἰωναδάβ, καὶ προσειπὼν εὐλόγησεν αὐτὸν, ὅτι ἐξωλόθρευσε τὸ γένος τοῦ Ἀχαάβ. Εἶτα ἵνα μή τις λάθῃ τῶν ψευδοπροφητῶν, καὶ τῶν ἱερέων τοῦ Βάαλ, θυσίαν ἐκήρυξε μέλλειν θύσαι πολυτελῆ, καὶ πάντας τοὺς ἱερεῖς τοῦ Βάαλ καὶ τοὺς προφήτας παρεῖναι ἐκέλευσεν. Εἰ δέ τις μὴ παρείη, θάνατον εἶναι οἱ ἔφη τὸ ἐπιτίμιον. Ἀθροισθεῖσι δὲ ἐνδύματα δοὺς, καὶ μετὰ ταῦτα εἰς τὸν οἶκον μετ' αὐτῶν ἀπελθὼν τοῦ Βάαλ, μή τινα αὐτοῖς ἕτερον ἀναμεμίχθαι προσέταξεν. Τῶν δὲ μηδένα παρεῖναι φησάντων ἕτερον, στρατιώτας περιέστησεν ἔξω, κελεύσας ἀποκτεῖναι τοὺς ἔνδον. Οἳ ἐκείνους τε πάντας ἀνεῖλον, καὶ τὸν οἶκον τοῦ Βάαλ ἐνέπρησαν, καὶ τὴν στήλην αὐτοῦ. Τὰς δὲ χρυσᾶς δαμάλεις οὐ περιεῖλεν. Ὁ δὲ Θεὸς αὐτῷ ἐπηγγείλατο, τὸν οἶκον ἐξαφανίσαντι Ἀχαὰβ ἐπὶ τετάρτην γενεὰν τῶν παίδων αὐτοῦ διαρκέσειν τὴν βασιλείαν αὐτοῦ.

A vinam demandat, sacerdotes et prophetas omnes adesse jubet, mortem ei comminatus, qui non venisset. Cum convenissent, vestes eis dat, et una templum Baalis ingressus, edicit, ne quis alius iis admisceretur. Qui cum neminem alium adesse dixissent, militibus qui foris astabant mandat, ut omnes illos occiderent, et templum incenderent, et ipsam statuam : cæterum aureos vitulos non sustulit. Promisit autem ei Deus, cum Achabi domum excidisset, regnum penes filios ejus ad quartum usque genus permansurum.

ΙΘ'. Οὕτω μὲν οὖν τὸ γένος ἐξωλοθρεύθη τοῦ Ἀχαάβ. Ἡ δὲ θυγάτηρ ἐκείνου Γοθολία, ἡ Ὀχοζίᾳ συνῴκει τῷ τῆς Ἱερουσαλὴμ βασιλεῖ, θανόντος ἐκείνου, τῆς βασιλείας Ἰούδα ἐγκρατὴς οὖσα, σπούδασμα ἔθετο καὶ αὐτὴ τὸ γένος ἐξολοθρεῦσαι τὸ τοῦ Δαβίδ. Καὶ χωρὶς ἑνὸς ἀπέκτεινεν ἅπαντας· ἡ γὰρ ἀδελφὴ Ὀχοζίου, Ἰωσαβεὲ καλουμένη, ἀναιρουμένων τῶν υἱῶν τοῦ ἀδέλφου αὐτῆς, ἠδυνήθη ἕνα νήπιον ὄντα, ὄνομα Ἰωὰς, ἀποκρύψαι, καὶ ἔτρεφεν αὐτὸν ἐπὶ ἔτη ἓξ λεληθότως. Ἐν δὲ τῷ ἑβδόμῳ, Ἰωδαὲ ὁ ἀρχιερεὺς, ᾧ συνῴκει ἡ Ἰωσαβεὲ, προσκαλεσάμενός τινας τῶν ἑκατοντάρχων, ὑπέδειξεν ἐκείνοις τὸν Ἰωὰς, καὶ κοινολογησάμενος τοῖς ἀνδράσι, πείθει τῇ μὲν Γοθολίᾳ ἐπαναστῆναι, τῷ δὲ παιδὶ τὴν πατρῴαν βασιλείαν ἐπανασώσασθαι. Οἳ καὶ ὅρκοις τὰς ὁμολογίας πιστώσαντες, ἀπῆλθον, καὶ συνήθροισαν τοὺς ἱερεῖς καὶ Λευίτας καὶ φυλάρχους πρὸς τὸν Ἰωδαέ. Ὁ δὲ αὐτοῖς τὸν Ἰωὰς ἐνεφάνισε λέγων· *Οὗτος ὑμῖν βασιλεὺς ἐκ σπέρματος τοῦ Δαβίδ.* Καὶ τὸ ἱερὸν περιεκύκλωσε τῷ λαῷ· μέσον δὲ στήσας τὸν Ἰωὰς, διάδημά τε αὐτῷ περιέθετο, καὶ τὸ τῆς χρίσεως ἔλαιον καταχέας αὐτοῦ, βασιλέα ἀπέδειξε, καὶ ὁ λαὸς ἐπευφήμησε. Ἧς δὲ βοῆς ἡ Γοθολία ἀκούσασα, τῶν βασιλείων τεθορυβημένη ἐξέθορεν, ἑπομένης αὐτῇ καὶ τῆς στρατιᾶς. Ἐλθοῦσαν δὲ εἰς τὸ ἱερὸν, τὴν μὲν ἐντὸς οἱ ἱερεῖς εἰσεδέξαντο, τοῖς δὲ περὶ αὐτὴν τὸ πλῆθος ἀπεῖρξε τὴν εἴσοδον. Ἡ δὲ τὸν παῖδα ἑστεμμένον ἰδοῦσα, ἠπείλησε τοὺς τὴν ἀρχὴν αὐτῆς ἀνελεῖν ἐπιχειρηκότας. Ἰωδαὲ δὲ τοῖς ἑκατοντάρχαις ἐπέτρεψεν, ἔξω τὴν Γοθολίαν ἑλκύσαντας ἀναιρεῖσθαι. Καὶ οἱ μὲν οὕτως ἐποίησαν. Ἰωδαὲ δὲ τόν τε βασιλέα καὶ τὸν λαὸν ὤρκωσε τιμᾷν τὸν Θεὸν, καὶ τοὺς νόμους τηρεῖν. Καὶ ἐπελθόντες αὐτίκα τῷ τοῦ Βάαλ ναῷ, κατέσκαψάν τε αὐτὸν, καὶ τὰ ἐνδάλματα τοῦ Βάαλ συνέτριψαν, καὶ τὸν ἱερέα ἀπέκτειναν. Τὸν δὲ βασιλέα ἐγκαθιστᾶσιν εἰς τὰ βασίλεια, ἐνιαύτῃ τότε τυγχάνοντα. Τῷ δὲ ἀρχιερεῖ Ἰωδαὲ τήν τε πρὸς τὸ Θεῖον πίστιν τηρεῖσθαι καὶ τοὺς νόμους φυλάττεσθαι σφόδρα ἐμέλησεν. Ἠθήσας μέντοι ὁ βασιλεὺς, καὶ γυναῖκας ἠγάγετο δύο. Τοῦ δὲ ναοῦ καθαιρε-

XIX. Sic Achabi familia exstirpata est. At filia ejus Gotholia, post obitum Ochoziæ mariti potita regno, **104** Davidis et ipsa genus exstirpare contendit, unoque excepto interfecit omnes. Nam Josabe Ochoziæ soror, cum filii fratris occiderentur, unum infantem nomine Joam suffurata, clam ad sexennium aluit. Anno autem septimo Joades pontifex, cui Josabe nupta erat, quibusdam centurionibus advocatis, Joam monstrat, sermoneque habito , persuadet ut a Gotholia desciscentes regnum Joæ paternum restituerent. Illi ea pactione jurejurando firmata, sacerdotes, Levitas et tribunos ad Jodaem convocant. Ille, Joa monstrato : *Hic*, inquit, *rex vester est, ex semine Davidico.* Populoque circum templum collocato, Joam in medio statuit, diademate cingit, unctionis oleo perfundit, regem declarat, populo lætis vocibus acclamante. Gotholia, clamore audito „ trepidans regia erumpit, sequente exercitu. Templum ingressam sacerdotes admittunt, sed satellites ejus multitudo aditu prohibuit. Illa puerum coronatum conspicata necem comminatur iis qui regnum suum invasissent. Jodaes autem centurionibus mandat, ut Gotholiam foras protractam trucident. Quo facto, regem et populum jurejurando adigit, ut Deum venerentur, et leges servent. Statim igitur Baalis ædem demoliti sunt, ejusque simulacra comminuerunt , sacerdote interfecto , regemque septennem tum in regiam introducunt. Jodaes magnum habuit studium, ut fides erga Deum et patriæ leges servarentur. Rex cum adolevisset, duas uxores duxit, et partes templi quasdam a Gotholia dirutas instauraturus, Joiadæ accersito, mandat, ut per totam provinciam dimitteret, qui ad templum renovandum in singula capita sicli semissem exigerent. Jodaes vero, qui id populo fore grave intelligeret, aliam cogendæ pecuniæ rationem excogitat. Cistulam undique clausam, quæ superne foramen habebat, juxta templum collocat, in quam quantum quisque vellet, ad templi in-

staurationem conjiceret. Quia igitur collatio illa cujusque voluntati libera relinquebatur, nec gravatim contulere, et liberalitate inter sese certaverunt. Itaque multum auri et plurimum argenti est collectum : unde et templum refectum, et **105** vasa multa ad sacrificia sunt parata, quæ quidem, quoad vixit Jodae, Deo certatim offerebantur. Illo autem, anno tricesimo et centesimo ætatis juste legitimeque actæ, defuncto, rex Joas circa Dei cultum factus est negligentior, una cum illo tribunis cæterisque magistratibus corruptis, neque ab impietate recesserunt, quamvis a prophetis admoniti. Cum autem Zacharias propheta Jodaæ filius regem et populum moneret, ut ex legibus viverent, Joas iratus eum lapidari jussit. Qui cum occideretur, Deum judicem invocavit, quod ab eo vita privaretur, qui patris sui beneficio viveret. Neque diu dilatum est illud judicium. Nam cum Syriæ rex Azahel Hierosolyma obsidione cinxisset, ille omnes et divinos et regios thesauros templique donaria ei dedit : qui, pecuniæ magnitudine delectatus, obsidionem solvit. Idem Syrus Israelitas etiam graviter afflixit. Nam et Jehus eorum rex divina præcepta violarat, anno regni septimo et vicesimo defunctus.

A θέντος ἐν τισι μέρεσι παρὰ Γοθολίας, ὁ Ἰωὰς ἀνακαινίσθαι αὐτὸν προετρέψατο. Καὶ τὸν ἱερέα καλέσας Ἰωδαὲ, ἐκέλευσε πέμψας τοὺς αἰτήσοντας ἐκ πάσης τῆς χώρας εἰς ἐπισκευὴν τοῦ ναοῦ ὑπὲρ ἑκάστης κεφαλῆς ἀργυρίου ἡμίσικλον. Ἰωδαὲ δὲ φορτικὸν τοῦτο τῷ λαῷ συνεὶς, λογισθήσεσθαι ἑτέρως μέτεισι τῶν χρημάτων τὸν ἔρανον. Κιβώτιον γάρ τι κατασκευάσας πάντοθεν κεκλεισμένον, τρῆμά τι πεποίηκεν ἄνωθεν ἐν αὐτῷ, καὶ ἔθετο αὐτὸ παρὰ τὸν ναόν, καὶ ἠξίου, ἐμβάλλειν διὰ τοῦ τρήματος, ὅσον ἑκάστῳ ἦν πρὸς βουλῆς εἰς ἀνακαινισμὸν τοῦ ναοῦ. Ὅτι γοῦν εἰς τὴν ἑκάστου προαίρεσιν ἀνεῖτο τὸ δοθησόμενον, ἀνεπαχθῶς τε τὴν δόσιν πεποίηντο. Καὶ ἐφιλοτιμοῦντο περὶ τὴν τῶν χρημάτων καταβολὴν, ὥστε πολὺ χρυσίον ἀθροισθῆναι, καὶ πλεῖστον ἀργύρων, B ἐξ ὧν ὅ τε ναὸς ἐπεσκευάσθη, καὶ σκεύη πολλὰ πρὸς τὰς θυσίας εἰργάσθησαν, αἱ φιλότιμοι μέχρις ἐδίω Ἰωδαὲ προσήγοντο τῷ Θεῷ. Ἐκείνου δὲ δικαίως καὶ κατὰ νόμον ζήσαντος ἔτη ἑκατὸν πρὸς τριάκοντα, καὶ οὕτω τὸν βίον ἐκλελοιπότος, ἀμελῶς περὶ τὴν εἰς τὸ Θεῖον διετέθη τιμὴν ὁ βασιλεὺς Ἰωὰς, καὶ οἱ φύλαρχοι καὶ οἱ ἄλλως ἐξάρχοντες τοῦ πλήθους συνδιεφθάρησαν. Καὶ προφητῶν δὲ διαμαρτυρομένων αὐτοῖς περὶ τῆς εἰς τὸν Θεὸν ἀσεβείας, οἱ δ' οὐκ ἐπαύσαντο. Ζαχαρίου δὲ τοῦ υἱοῦ τοῦ ἀρχιερέως Ἰωδαὲ προφητεύοντος, καὶ παραινοῦντος τὸν βασιλέα καὶ τὸν λαὸν κατὰ νόμους ζῆν, ὁ Ἰωὰς χαλεπήνας καταλευσθῆναι αὐτὸν ἐκέλευσεν. Ἀναιρούμενος δὲ ὁ προφήτης, δικάσαι τὸν Θεὸν ἠύξατο, ἄνθ' ὅτου τῆς ζωῆς στερεῖται παρὰ τοῦ εὐεργετηθέντος ἐκ τοῦ πατρὸς αὐτοῦ. Καὶ μέντοι καὶ ταχέως ἐδίκασεν. Ὁ γὰρ τῶν Σύρων βασιλεὺς Ἀζαὴλ ἐπελθὼν, ἐπολιόρκει τὴν Ἱερουσαλήμ· ὁ δὲ πάντας τοὺς θησαυροὺς τούς τε θείους καὶ τοὺς βασιλικοὺς ἀφελόμενος, καὶ ὅσα ἐν ἀναθήμασι τῷ Ἀζαὴλ παρέσχετο, ὃς τῷ πλήθει τῶν χρημάτων ἡσθεὶς, τῆς πολιορκίας ἀπέσχετο. Τοῖς δὲ Ἰσραηλίταις ὁ Σύρος οὗτος ἐπιτιθέμενος, ἐκάκου αὐτοὺς αφόδρα. Ἰηοῦ δὲ ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς παραβάτης τῶν θείων γεγονὼς ἐντολῶν, καὶ βασιλεύσας ἔτη εἴκοσι καὶ ἑπτὰ, τέθνηκεν.

XX. Ei successit filius Joachazus, quo regnante, Syrus regioni cladem intulit, multis urbibus occupatis, et ejus exercitu cæso. Joachazus vero precatus Deum, salutem impetravit, et mitigationem calamitatum, mortuus anno regni decimo septimo, filio Joa relicto successore, Judaicæ tribus regi cognomine. Hic patri dissimilis exstitit, et vir bonus. Nam Elissæum ex morbo morientem luxit, patrem vocitans, et præsidium, ut cujus ope victoria potiretur. At propheta eum consolatur, arcuque sumpto sagittas ejaculari jubet. Qui cum ter ejaculatus desiisset, dixit propheta : *Si plures sagittas emisisses, Syrorum imperium fuisses fundi-*

C Κ'. Τῆς βασιλείας δὲ ἐπελάβετο Ἰωάχαζ ὁ υἱὸς αὐτοῦ· οὗ βασιλεύοντος, ὁ τῶν Σύρων ἀρχηγὸς τὴν χώραν ἐκάκωσε· πόλεις τε πολλὰς αὐτοῦ κατασχὼν, τὴν στρατιὰν αὐτοῦ μαχαίρας ἔργον πεποίηκε. Ἐν τούτῳ δὲ ὁ Ἰωάχαζ τοῦ Θεοῦ δεηθεὶς, σωτηρίαν εὕρατο, καὶ ἀνακωχὴν τῶν δεινῶν (66). Ἑπταικαίδεκα δὲ βασιλεύσας ἔτη, θνήσκει, διάδοχον τῆς βασιλείας ἐσχηκὼς Ἰωὰς τὸν υἱὸν, ὁμώνυμοῦντα τῷ τῆς Ἰούδα φυλῆς βασιλεύοντι. Οὐχ ὅμοιος δὲ τῷ πατρὶ ὁ Ἰωὰς οὗτος ἐγένετο, ἀγαθὸς δὲ, ὃς καὶ τοῦ Ἐλισσαίου νοσήσαντός τε καὶ θνήσκοντος ἐθρήνει, πατέρα αὐτὸν καὶ ὅπλον καλῶν, ὡς δι' αὐτοῦ κρατιῶν τῶν ἐχθρῶν. Ὁ δὲ προφήτης παρεμυθεῖτο αὐτὸν, καὶ τόξον ἐκέλευε λαβόντα βέλη βαλεῖν. Τρισσάκις δὲ τοῦ βασιλέως τοξεύσαντος, καὶ παυσαμένου, εἶπεν ὁ Ἐλισσαῖος· *Εἰ μὲν πλείω ἀφῆκας βέλη, ἐξέκοψας ἂν ῥιζόθεν τὴν τῶν Σύρων ἀρχήν. Νῦν δ' ἰσαρίθμους τοῖς βέλεσι νίκας νικήσεις αὐτούς, καὶ τὴν χώραν ἣν ἐκεῖνοι ἀφείλοντο, ἐπανασώσεις σοὺ τῇ ἀρχῇ.* Εἶτα ὁ προφήτης ἐξέλιπε, καὶ ἔτυχε ταφῆς (67)

D

Varian lectiones et notæ.

(66) *Σωτηρίαν εὕρατο καὶ ἀνακωχὴν τῶν δεινῶν.* Ἐξηγητικῶς τὴν ἀνακωχὴν adjicitur ; *salutem consecutus est et malorum inducias* : id est, periculum in præsentia evitavit, quamquam quod differebatur, non auferebatur. W.

(67) *Καὶ ἔτυχε ταφῆς.* Illius corpus translatum Alexandriam Leone M. imperante, et in ecclesia S. Pauli Leprosi depositum. Chronicon ms. Georgii Hamartoli in Leone M. Καὶ τὸ τοῦ προφήτου Ἐλισσαίου σῶμα μετετέθη ἐν Ἀλεξανδρείᾳ ἐν τῇ μόνῃ τοῦ Παύλου τοῦ Λεπροῦ· λεπρὸν γὰρ ἰάσατο, λεπρὸν ἐποίησε, καὶ εἰς τὰ τοῦ Λεπροῦ ἐτέθη.

μεγαλοπρεποῦς. Ληστα δέ τινα ἀνελόντες, εἰς τὸν τάφον τοῦ προφήτου αὐτὸν ἔρριψαν· καὶ ἀνέζησεν ὁ ῥιφείς, καὶ ἀνέστη. Ἀπέθανε δὲ καὶ Ἀζαὴλ ὁ βασιλεὺς Συρίας, ἐπὶ διαδόχῳ τῷ υἱῷ Ἄδερ· ᾧ συμβαλὼν Ἰωάς, ὁ τῶν Ἰσραηλιτῶν βασιλεύς, καὶ τρισσάκις ἡττήσας, ἐπανεσώσατο τῷ Ἰσραὴλ τὴν χώραν καὶ τὰς πόλεις ἃς Ἀζαὴλ ἀφείλετο ὁ τοῦ Ἄδερ πατήρ. Ἰωὰς δὲ ὁ βασιλεὺς Ἰούδα ἐτῶν μὲν ὢν ἑπτά, ὅτε ἀνερρήθη, βασιλεύσας ἐνιαυτοὺς τεσσαράκοντα, ἐτελεύτησεν, ἀναιρεθεὶς παρὰ τῶν θεραπόντων αὐτοῦ. Καὶ τὴν βασιλείαν τῆς Ἱερουσαλὴμ ὁ υἱὸς αὐτοῦ Ἀμεσίας περιεζώσατο, εὐσεβὴς γεγονὼς, ἐτῶν ὢν, ὅτε τῆς ἀρχῆς ἐπέβη, πέντε καὶ εἴκοσι. Ἴννυκὼς δὲ τὴν βασιλείαν ἐπ' ἐνιαυτοὺς ἐννέα καὶ εἴκοσι, καὶ τοὺς ἀνελόντας τὸν πατέρα αὐτοῦ κολάσας, τοὺς ἐκείνων παῖδας ἀθώους ἀφῆκε, κατὰ τὸν νόμον λέγοντα, *Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ υἱῶν, οὐδὲ μέντοι διὰ πατέρας υἱοί.* Ὃς καὶ κατὰ τῶν Ἰδουμαίων καὶ Ἀμαληκιτῶν στρατεύσας, συμμάχους ἐκ τῶν Ἰσραηλιτῶν ἐμισθώσατο. Προφήτης δέ τις καταλιπεῖν τοὺς συμμάχους αὐτῷ συνεβούλευε, καὶ μετὰ μόνων τῶν οἰκείων διαθέσθαι τὸν πόλεμον. Ὦ πεισθεὶς, ἀπέλυτε τοὺς Ἰσραηλίτας, καὶ τὸν μισθὸν αὐτοῖς χαρισάμενος· συμβαλὼν οὖν τοῖς ἀλλοφύλοις ἐνίκησε. Οἱ δ' ἀπολυθέντες σύμμαχοι ὀργισθέντες, τήν τε χώραν τῶν Ἰουδαίων κατέδραμον, καὶ πολλοὺς ἀνεῖλον. Ἀμεσίας δὲ διὰ τὸ εὐτύχημα φρονηματισθεὶς, καὶ ἀσεβήσας εἰς Θεὸν, διεπέμψατο πρὸς Ἰωὰς τὸν βασιλέα, ἀπαιτῶν πρὸς αὐτὸν ἥξειν, ὡς ὑποκεῖσθαι οἱ ὀφείλοντα, ἀπογόνῳ Δαβὶδ καὶ Σολομῶντος τυγχάνοντι. Ὁ δὲ ἀνταπέστειλε, μηνύων αὐτῷ, ὡς *Τὴν κέδρον ἡ ἄκανθος ἠξίου κῆδος ἐπὶ τοῖς παισὶ τοῖς οἰκείοις ποιήσασθαι· ἐν τοσούτῳ δὲ τὰ θηρία τοῦ ἀγροῦ παρερχόμενα, συνεπάτησαν τὴν ἄκανθον, καὶ ἀπώλετο. Τοῦτό σοι ἀρκετὸν εἰς παράδειγμα· καὶ μὴ ὅτι εὐτύχησας, κατάξας τοὺς ἀλλοφύλους, μεγάλα φρόνει, μηδὲ τὸν λαόν σου καὶ ἑαυτὸν εἰς κινδύνους συνώθει.* Πρὸς ταῦτα ὀργισθεὶς Ἀμεσίας, στρατεύει κατὰ τοῦ Ἰωάς· φόβος δ' ἐμπίπτει τῇ αὐτοῦ στρατιᾷ, καὶ τρέπεται εἰς φυγήν. Μονωθεὶς δὲ Ἀμεσίας, συλλαμβάνεται παρὰ τῶν πολεμίων, καὶ ἀπάγεται πρὸς τὸν Ἰωάς. Ὁ δὲ δέσμιον ἄγων αὐτὸν, ἦλθεν εἰς Ἱερουσαλὴμ, καὶ καθελὼν τοῦ τείχους μέρος, εἰσήλασε διὰ τοῦ καθαιρεθέντος εἰς τὴν πόλιν ἐφ' ἅρματος, καὶ ἀφείλετο τοὺς τε ἱεροὺς θησαυροὺς, καὶ ὅσα ἐν τοῖς βασιλείοις ἀπέκειτο. Καὶ λύσας τὸν Ἀμεσίαν, ἐπανῆλθεν εἰς τὴν Σαμάρειαν. Καὶ βασιλεύσας τὰ πάντα ἓξ καὶ δέκα ἔτη τελευτᾷ, καὶ ἐβασίλευσεν Ἱεροβοὰμ ὁ υἱὸς αὐτοῦ. Ἀμεσίας δὲ μετὰ ταῦτα ἐπιβουλευθεὶς ἀνῃρέθη, ζήσας τέσσαρας ἐνιαυτοὺς καὶ πεντήκοντα, βασιλεύσας δὲ εἴκοσι καὶ ἐννέα. Ἐχρίσθη δὲ βασιλεὺς ὁ υἱὸς αὐτοῦ Ὀζίας, ἐτῶν ὑπάρχων ἑξκαίδεκα.

ΚΑ'. Ἱεροβοὰμ δὲ ὁ υἱὸς Ἰωὰς ἀσεβὴς ἐγένετο καὶ παράνομος. Καὶ τοιοῦτος δὲ ὢν, τοῦ Θεοῦ τὸν Ἰσραηλίτην λαὸν ἐλεήσαντος ταπεινωθέντα, τοῖς Σύροις πολεμήσας ἐνίκησε, τοῦ προφήτου Ἰωνᾶ τὴν νίκην αὐτῷ προαγορεύσαντος. Τοῦτον τὸν προφήτην ἀπέστειλεν ὁ Θεὸς εἰς Νινευὶ τὴν πόλιν, κηρύξοντα καταστροφὴν αὐτῆς, καὶ τῶν Νινευιτῶν ἐξολόθρευσιν. Ὁ δὲ οὐκ ἀπῆει, ἀλλ' ἀπεδίδρασκεν εἰς πλοῖον ἐμβάς. Κλύδωνος δὲ γεγονότος, ἡ ναῦς ἐκινδύνευε. Καὶ κλήρῳ τῶν ἐμπλεόντων πειρωμένων γνῶναι τὸν αἴτιον, κληροῦται ὁ Ἰωνᾶς, καὶ ὅστις εἴη ἀνακρινόμενος, ἐκεῖνος τὰ καθ' ἑαυτὸν διηγήσατο, καὶ ἐμ-

A litarum congressus, et ter victoria potitus, recuperavit Israelitarum provincias et urbes, quas eis Azahel Aderis pater ademerat. Joas autem Judæorum **106** rex declaratus septennis, anno imperii quadragesimo decessit, a famulis suis occisus: cujus filius Amesias Hierosolymitano imperio potitus est, vir pius, anno ætatis vicesimo quinto, eoque functus novem et viginti. Patris sui percussores supplicio affecit, eorum liberos indemnes dimisit, secundum legem, cujus hæc verba sunt: *Non morientur patres pro filiis, neque etiam filii pro patribus.* Idem, expeditione contra Idumæos et Amalechitas suscepta, socios ex Israeliticis stipendio conduxit. Sed cum prophetæ cujusdam monitu, Israelitis condonato stipendio, dimissis, cum suis
B duntaxat popularibus administrato bello, barbaros superasset, socii ob missionem irati, et agros Judæorum incursarunt, et multos occiderunt. Amesias porro successu elatus, religioneque violata, ad Joam Israelitarum regem missitavit, postulans ut ad se veniret, cui deberet obedientiam, quippe a Davide et Salomone prognato. Ille respondet ad hunc modum: *Rubus a cedro petebat, ut ipsorum liberi affinitate jungerentur: sed interea rubus a feris conculcatus periit. Hoc tibi pro exemplo sit satis, neque efferaris ob feliciter cæsos barbaros, neque populum tuum ac teipsum in pericula conjeceris.* Ob hæc iratus Amesias, Joæ bellum infert. Sed exercitus ejus metu consternatus, in fugam vertitur; ipse a suis destitutus,
C capitur ab hostibus, ad Joam adducitur, quem ille vinctum ducens, Hierosolymam venit, partem muri diruit, ea curru invehitur, sacros thesauros, et quidquid in regia repositum erat, aufert, solutoque Amesia, Samariam reversus, decimo sexto regni anno moritur, relicto successore filio Jeroboamo. Amesias autem post hæc per insidias occiditur, anno ætatis quinquagesimo quarto, regni tricesimo nono. Ozias filius ejus rex inungitur annos sexdecim natus.

D XXI. Jeroboamus autem Joæ filius, quamvis esset impius et legis contemptor, tamen, Deo Israelitici populi submisse se gerentis miserto, victoriam contra Syros est adeptus, a Jona propheta prædictam: quem Deus Ninivem misit, urbis excidium et populi interitum annuntiaturum. Ille vero non abit, sed conscensa navi fugit. Orta autem **107** tempestate, vectoribus sortem jacientibus ad cognoscendam causam illius, sors in Jonam cecidit: qui rogatus quis esset, negotium suum exponit, seque in mare abjici jubet, neque enim aliter periculum evasuros. Eo abjecto, tempestas sedata

est : sed cetus prophetam deglutit eumque post tres dies et totidem noctes viventem et incolumen evomit : qui, petita a Deo contumaciæ venia, denuo mittitur cum eodem mandato. Profectus igitur Ninivem, post triduum urbem eversam iri prædicat. Sed rex urbis et populus universus, fide prophetæ adhibita, acta pœnitentia, Deo supplicarunt, ut sui misereretur : quibus precibus lenitus Deus excidium ab eis avertit. Jeroboamus autem, cum annos unum et quadraginta regnasset, moritur, ac post eum potitur imperio Azarias filius ejus. Ozias autem rex Hierosolymorum, quia pius erga Deum et justus erga subditos erat, multos barbarorum vicit ac tributarios reddidit. Sed rebus secundis elatus, ab officio decessit : nam ritu sacerdotis ornatus, in aureo altari suffire aggressus est. A qua audacia pontifici Azariæ et sacerdotibus deterrentibus, ac monentibus, ne legem violaret, mortem comminatus est, nisi quiescerent. Interea quiddam luminis instar in æde effulsit, et in regis faciem illapsum, effecit ut in ea lepra efflorescceret. Eam calamitatem indicant sacerdotes, suadentes ut urbe exiret : in quo statu cum aliquandiu vixisset, præ mœrore obiit, anno regni quinquagesimo secundo, ætatis sexagesimo octavo, tradito imperio Joathamo filio. Azarias autem Jeroboami filius sexto regni mense, vita impie acta, dolo occisus est a Selumo, quem et ipsum Manaimus, cum triginta diebus imperasset, occidit, regno Israelitico occupato : et Phuam Assyriorum regem bellum inferentem, datis mille talentis, quæ a populo collegerat, placavit. Et cum annos decem impie crudeliterque imperasset, occisus est, regno in filium Phacesiam translato : qui patris ingenium et mores referens, a Phacea Romeliæ filio occiditur, qui cum interfecto successisset, atque imperium impie ac nefarie administraret : Thæglapharasar Assyriorum rex Israeliticam regionem **103** aggressus, cum multas urbes evertit, tum captivos secum adduxit pene innumerabiles. Joathamus autem Hierosolymorum rex, vir pius et justus, et urbis et templi curam gessit, et Ammanitas prælio victor tributarios reddidit. Excidium Israelitarum ab Assyriis Nahumus propheta prædixerat, cujus verba ad rem collata sunt, post annos centum et quindecim. Joathamus obiit anno ætatis quadragesimo primo, regni decimo sexto.

Βαλεῖν αὐτὸν εἰς τὴν θάλασσαν προετρέπετο. Οὐ γὰρ ἂν ἄλλως, ἔλεγε, τὸν κίνδυνον διαφύγοιτε. Ὁ μὲν οὖν ἐφίσφη, ὁ δὲ κλύδων ἐκόπασε. Κῆτος δὲ τὸν προφήτην καταπιὸν, μετὰ τρεῖς ἡμέρας καὶ ἴσας νύκτας ζῶντα καὶ σῶον αὐτὸν ἐξήμεσεν· ὁ δὲ συγγνώμην ἥτει τὸν Θεὸν διὰ τὴν παρακοὴν, καὶ ἐπέμφθη πάλιν κηρύξαι ἃ προσετέταχτο. Ὁ δὲ ἀπελθὼν, μετὰ τρεῖς ἡμέρας τὴν Νινευῖ καταστραφῆναι ἐκήρυξεν. Ὁ δὲ τῆς πόλεως βασιλεὺς καὶ ὁ λαὸς ἅπας τῷ προφήτῃ πιστεύσαντες, ἀπέκλιναν εἰς μετάνοιαν, καὶ τὸν Θεὸν ἱκέτευον ἐλεῆσαι αὐτούς. Καὶ ὃς τῇ μετανοίᾳ τοῦ πλήθους καμφθεὶς, ἀπέστρεψε τὸν ὄλεθρον ἀπ' αὐτῶν. Ἱεροβοὰμ δὲ τεσσαράκοντα πρὸς τῷ ἑνὶ βασιλεύσας ἐνιαυτοὺς ἔθνησκε. Καὶ μετ' αὐτὸν ἐκράτησε τῆς ἀρχῆς Ἀζαρίας ὁ παῖς αὐτοῦ. Ὁ δὲ βασιλεὺς Ἱερουσαλὴμ Ὀζίας εὐσεβὴς τὰ πρὸς τὸν Θεὸν καὶ τὰ πρὸς τοὺς ὑπηκόους δίκαιος ἦν· διὸ καὶ πολλοὺς τῶν ἀλλοφύλων ἐνίκησε, καὶ ὑποφόρους ἐποίησεν. Εὐδαιμονήσας δὲ καὶ τυφωθεὶς, ἐκπέπτωκεν τοῦ καθήκοντος, καὶ ὡς ἱερεὺς στολισθεὶς, ἐπὶ τοῦ χρυσοῦ βωμοῦ θυμιάσαι τῷ Θεῷ ἐπεχείρησεν. Κωλυόντων δ' αὐτὸν τοῦ ἀρχιερέως Ἀζαρίου καὶ τῶν ἱερέων, καὶ μὴ παρανομεῖν παρανούντων, θάνατον αὐτοῖς ἠπείλησεν, εἰ μὴ ἡσυχάσαιεν. Ἐν τούτῳ φῶς οἷον ἐπιλάμψαν ἐν τῷ νεῷ, καὶ τῇ τοῦ βασιλέως ὄψει προσβαλὸν, λέπραν ἐποίησε κατ' αὐτῆς ἐξανθῆσαι. Οἱ δ' ἱερεῖς τὴν συμφορὰν ἐδήλουν τῷ βασιλεῖ, καὶ ἐξιέναι τῆς πόλεως συνεβούλευον· καὶ οὕτως ζήσας χρόνον τινὰ, ὑπ' ἀθυμίας ἀπέθανε, βασιλεύσας ἔτη δύο τε καὶ πεντήκοντα, ζήσας δὲ τὰ πάντα ἑξήκοντα πρὸς ὀκτὼ, τὴν ἀρχὴν παραδοὺς τῷ υἱῷ αὐτοῦ Ἰωάθαμ. Ἀζαρίας δὲ ὁ τοῦ Ἱεροβοὰμ, ἐπὶ ἓξ βασιλεύσας μῆνας τῶν Ἰσραηλιτῶν, ἀπέθανεν, δολοφονηθεὶς ὑπὸ Σελοὺμ, ἀσεβῶς βιούς. Ἀνῃρέθη δὲ Σελοὺμ ἐφ' ἡμέρας βασιλεύσας τριάκοντα, παρὰ Μαναΐμ, βασιλεύσαντος ἐπὶ τὸν Ἰσραὴλ ἀντ' αὐτοῦ. Ἀραμένου δὲ πόλεμον πρὸς αὐτὸν Φουὰ τοῦ τῶν Ἀσσυρίων βασιλέως, χίλια δοὺς αὐτῷ τάλαντα ἀργυρίου, ἃ ἐκ τοῦ λαοῦ ἠρανίσατο, τὸν πόλεμον διελύσατο. Ἐπὶ ἔτη δὲ βασιλεύσας δέκα ὁ Μαναΐμ, ἀσεβής τε καὶ ἀπηνὴς γεγονὼς, ἀνῃρέθη, τὴν βασιλείαν διαβιβάσας εἰς τὸν υἱὸν Φακεΐαν. Ἀσεβὴς δὲ καὶ οὗτος καὶ ὠμὸς γεγονὼς, ἀνῃρέθη δολοφονηθεὶς παρὰ Φακεὲ τοῦ υἱοῦ Ῥομελίου, βασιλεύσαντος ἀντὶ τοῦ ἀναιρεθέντος, ἀσεβῶς καὶ αὐτοῦ καὶ παρανόμως ἀνύσαντος τὴν ἀρχήν. Ὅτε καὶ Θαιγλαφαρασὰρ ὁ τῶν Ἀσσυρίων βασιλεὺς τῇ χώρᾳ τῶν Ἰσραηλιτῶν ἐπελθὼν, πόλεις τε πολλὰς κατεστρέψατο, καὶ αἰχμαλωσίαν ἀπήγαγεν εἰς τὴν ἑαυτοῦ χώραν, οὐκ εὐαρίθμητον. Ὁ δὲ τοῦ Ὀζίου υἱὸς Ἰωάθαμ βασιλεὺς Ἱερουσαλὴμ εὐσεβὴς τυγχάνων, καὶ δίκαιος, τῆς τε πόλεως καὶ τοῦ ναοῦ ἐπεμέλετο. καὶ τοὺς Ἀμμανίτας ὑποφόρους ἔθετο, μάχῃ νικήσας αὐτούς. Ναοὺμ δὲ τότε προφητεύων, περὶ τῆς τῶν Ἀσσυρίων προεῖπε καταστροφῆς· καὶ ἡ πρόρρησις ἐκείνου ἔργον ἐγένετο, ἑκατὸν καὶ πεντεκαίδεκα παρελθόντων ἐνιαυτῶν. Τῷ δὲ Ἰωάθαμ ἐπέλιπε τὸ βιώσιμον, ζήσαντι μὲν ἔτη πρὸς ἑνὶ τεσσαράκοντα, δέκα δ' ἐπὶ ἓξ βασιλεύσαντι.

XXII. Hierosolymitanus principatus in filium ejus Achazum translatus est, qui impius in Deum, legibus ejus violatis, simulacra adoravit, et altaria eis struxit, et filium suum adolevit. Hunc Raason Syriæ dux, et Phacees rex Israelitarum, inita conspiratione, diu Hierosolymis obsederunt. Ac Raa-

ΚΒ'. Μετέπεσε δὲ τῆς Ἱερουσαλὴμ ἡ ἀρχὴ εἰς Ἄχαζ τὸν ἐκείνου υἱὸν, ἀσεβήσαντα πρὸς τὸν Θεὸν, καὶ τοὺς αὐτοῦ νόμους παραβάντα· εἰδώλοις γὰρ προσεκύνει, καὶ βωμὸν αὐτοῖς ἐν Ἱεροσολύμοις ἀνέστησε, καὶ παῖδα οἰκεῖον αὐτοῖς ὁλοκαύτωσε. Καθ' οὗ ὁ Ῥαασὼν ὁ τῶν Σύρων ἡγεμονεύων, καὶ

ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς Φακεὲ συμπνεύσαντες, ἐπολιόρκουν αὐτὸν ἐν Ἱερουσαλὴμ ἐπὶ μακρόν. Καὶ ὁ μὲν Ῥαασὼν πόλεων ἑτέρων κρατήσας, τοὺς αὐτῶν οἰκήτορας ἀνελὼν, καὶ Σύρους ἐγκατοικίσας αὐταῖς, ἐπανῆλθεν εἰς Δαμασκόν. Ἄχαζ δὲ, μόνου περιλειφθέντος τοῦ Φακεὲ, συμμίξας αὐτῷ ἥττητο, δώδεκα μυριάδας ἀποβαλὼν τοῦ λαοῦ, καὶ πολλοὺς τῶν ἐπισήμων, καὶ τὸν υἱόν. Φακεὲ δὲ ἀνέζευξεν εἰς Σαμάρειαν αὐτὸς καὶ ἡ στρατιὰ αὐτοῦ, αἰχμαλώτων πλῆθος πολὺ εἰς τὴν ἑαυτῶν μετοικίσαντες. Προφήτης δέ τις ἐν Σαμαρείᾳ πρὸ τῶν τειχῶν ὑπαντήσας αὐτοῖς, ὡς συγγενεῖς αἰχμαλωτίσασι, καὶ συνεβούλευεν ἐλευθερῶσαι αὐτούς. Οἱ δὲ πεισθέντες, ἀφῆκαν τοὺς αἰχμαλώτους. Ἄχαζ δὲ τῶν Ἀσσυρίων βασιλέα ἐξίου συμμαχῆσαι αὐτῷ κατὰ τῶν Σύρων, καὶ τῶν Ἰσραηλιτῶν. Ὁ δ' ἦκε· καὶ τήν τε χώραν τῶν Σύρων ἐπόρθησε, καὶ τὴν Δαμασκὸν εἷλε, καὶ τὸν Ῥαασὼν ἀνεῖλε, καὶ τὴν τῶν Ἰσραηλιτῶν χώραν καταδραμὼν, πλείστους αἰχμαλώτους ἀπήγαγεν. Ὁ δὲ Ἄχαζ ἀμοιβὴν ὑπὲρ τούτων τῷ Θαιγλαφαλασὰρ τοὺς τε βασιλικοὺς δέδωκε θησαυροὺς καὶ ὅσα τῷ ἱερῷ ἐναπέκειντο. Ἐς τοσοῦτον δ' ἠσέβησεν, ὡς μὴ μόνον τοὺς τῶν ἀλλοφύλων σέβειν θεοὺς, ἀλλὰ καὶ τὸν ναὸν ἀποκλεῖσαι, καὶ συλῆσαι τὰ αὐτοῦ ἀναθήματα. Οὕτω δὲ βιοὺς ἐτελεύτησεν ἓξ καὶ τριάκοντα ζήσας ἔτη, βασιλεύσας δ' ἐξκαίδεκα, Ἐζεκίᾳ τῷ υἱῷ τὴν βασιλείαν λιπών. Συνέβη δὲ καὶ τῶν Ἰσραηλιτῶν βασιλέα τότε θανεῖν κατ' ἐπιβουλὴν Ὡσηέ. Καὶ οὗτος πονηρὸς ἦν. Διὸ καὶ στρατεύσαντος κατ' αὐτοῦ τοῦ τῶν Ἀσσυρίων βασιλέως Σαλμαναζὰρ, ἐδουλώθη αὐτῷ, φόρους τελεῖν ἐτησίους ἐπιταχθείς. Ἐζεκίας δὲ εὐσεβὴς ὢν καὶ δίκαιος, ἐκκλησιάσας τοὺς ἱερεῖς καὶ Λευίτας, ἀνοῖξαι τὸ ἱερὸν ἐνετείλατο, καὶ θύειν ὡς νόμος αὐτοῖς, καὶ τὸν λαὸν μηδὲν τῆς τοῦ Θείου τιμῆς ἐκέλευε προτιμᾷν. Ἔστειλε μέντοι καὶ πρὸς πᾶσαν τὴν χώραν, μεταπεμπόμενος ἅπαντας τὴν τῶν Ἀζύμων ἑορτὴν ἑορτάσοντας, ἐπὶ μακρὸν μὴ τελεσθεῖσαν διὰ τὰς τῶν κρατούντων παρανομίας. Καὶ τοῖς Ἰσραηλίταις προὐτρέπετο τὸν πατρῷον σέβειν Θεὸν, κατὰ τὴν πάλαι συνήθειαν. Οἱ δὲ οὐκ ἐπείσθησαν, ἀλλὰ καὶ τοὺς προφήτας ταῦτα παραινοῦντας ἐφόνευσαν. Τινὲς δὲ πεισθέντες μετηνέχθησαν εἰς εὐσέβειαν, καὶ εἰς Ἱερουσαλὴμ συνέδραμον εἰς προσκύνησιν τοῦ Θεοῦ. Καὶ ὁ βασιλεὺς Ἐζεκίας μετὰ τῶν ἡγεμόνων τοῦ λαοῦ ἀπελθὼν εἰς τὸ ἱερὸν, ἔθυσε διὰ τῶν ἱερέων θυσίας πολυτελεῖς, καὶ τῷ λαῷ μετέδωκε ζώων πρὸς εὐωχίαν πολλῶν· καὶ τοῖς ἱερεῦσιν ἐξελθεῖν εἰς τὴν χώραν, καὶ ἁγνίσαι αὐτὴν ἐνετείλατο. Εἶτα κατὰ τῶν ἀλλοφύλων πόλεμον ἦρε, καὶ πόλεις εἷλεν αὐτῶν. Ὁ δὲ τῶν Ἰσραηλιτῶν βασιλεὺς Ὡσηὲ εἰς συμμαχίαν προσεκαλέσατο Σωὰ τὸν βασιλέα Αἰγύπτου κατὰ τῶν Ἀσσυρίων. Ὃ γνοὺς Σαλμαναζὰρ ὠργίσθη, καὶ ἐπὶ τρισὶν ἔτεσιν ἐπολιόρκησε τὴν Σαμάρειαν, καὶ κατέσχε τὴν πόλιν, καὶ τὴν βασιλείαν ἠφάνισε, καὶ τὸν λαὸν αἰχμαλωτίσας μετῴκισεν εἰς τὴν οἰκείαν χώραν, καὶ αὐτὸν τὸν βασιλέα τῶν Ἰσραηλιτῶν Ὡσηέ. Καὶ μεταναστεύσας ἐκ τῆς οἰκείας χώρας ἕτερα ἔθνη ἀπό τινος τόπου

A son quidem aliis urbibus potitus, civibus abductis, et Syris in eas collocatis, Damascum rediit. Achazus autem cum solo Phacea congressus, vincitur, centum viginti millibus amissis, atque inter eos multis viris illustribus, et filio. Phaceas exercitum reducit, et magnum captivorum numerum. Sed propheta quidam Samaritanus ante mœnia progressus, eis persuadet, ut captivos quod cognati sint missos faciant. Assyriorum autem rex ab Achazo contra Syros et Israelitas in auxilium evocatus, et Syriam vastat, Raasone cæso, et in Israelitarum regionem incursionibus factis, plurimos captivos abducit. Quem Achazus remuneratus est datis thesauris regiis, et quidquid in templo repositum erat : eo progressus impietatis, ut non B tantum alienos deos coleret, sed et templum clauderet, et donariis spoliaret. Obiit vita sic acta, anno ætatis tricesimo sexto, regni decimo sexto, relicto regno Ezechiæ filio. Quo tempore Israelitarum quoque rex insidiis Oseæ periit, qui cum et ipse improbus esset, a Salmanasare Assyriorum rege subactus, annua tributa pensitare coactus fuerat. Ezechias autem vir pius et justus, concione advocata, sacerdotes et Levitas templum aperire jussit, et de more sacra facere, populumque divino cultu nihil habere antiquius. Misit etiam qui ex toto regno homines convocarent ad festum Azymorum **109** celebrandum, longo tempore ob regum iniquitatem intermissum ; Israelitas etiam cohortatus, ut patrium Deum pro veteri consuetu- C dine venerarentur. Qui adeo non obtemperavere, ut et prophetas, a quibus monebantur, occiderent. Nonnulli tamen ad veram religionem reversi, Hierosolyma ad Deum adorandum accurrerunt. Rex cum populi principibus templum ingressus, hostias magnificas per sacerdotes immolavit, et populo multas pecudes in viscerationem dedit, et sacerdotibus mandavit, ut regionem passim piacularibus sacrificiis lustrarent. Deinde barbaros aggressus, urbes eorum cepit. Oseas autem cum Sobam Ægypti regem contra Assyrios ad belli societatem evocasset, Salmanasar ea re compĕrta iratus, Samariam per triennium obsedit, urbe potitus regnum delevit, populum una cum rege Osea in D suam provinciam captivum abduxit, et alias suæ ditionis gentes, quæ a loco quodam Chuto cognomen habent, Samariam et in regionem circumjacentem traduxit. Decem igitur Israeliticæ tribus, annis nongentis quadraginta septem, post exitum ex Ægypto, ducentis quadraginta mensibus septem, postquam relicto Roboamo Jeroboamum peculiarem sibi regem elegerant, translatæ sunt. Cæterum Chutæorum quinque populi a Persiæ loco, in quo consederant, ita cognominati, Samaria occupata, suos pristinos deos, ut soliti fuerant, coluerunt. Deus autem, ut quartus liber Regum docet, leones excitavit, a quibus eorum multi perierunt, aut (ut Josephus narrat) pestilentia conflictantes, cum ira Numinis se premi intellexissent,

regem suum orarunt, ut Israelitici generis sacerdotes sibi mitteret, a quibus Hebræorum religionem edocerentur. Quo facto, lues illa grassari desiit. Ab Hebræis Chutæi appellantur, a Græcis Samaritani.

Χούθου καλουμένου, μετῴκισεν εἰς Σαμάρειαν καὶ εἰς τὴν χώραν αὐτῆς. Μετήχθησαν οὖν αἱ δέκα φυλαὶ τῶν Ἰσραηλιτῶν μετὰ ἐννακόσια τεσσαράκοντα ἑπτὰ ἔτη, ἐξότου τὴν Αἴγυπτον λιπόντες ἐξήλθοσαν· μετά τε διακόσια τεσσαράκοντα, καὶ μῆνας ἑπτά, ἐξότου καταλιπόντες τὸν Ῥοβοὰμ, εἵλοντο ἑαυτοῖς εἰς βασιλέα τὸν Ἱεροβοάμ. Οἱ δὲ μετοικισθέντες εἰς τὴν Σαμάρειαν, Χουθαῖοι καλούμενοι, ἐκ τοῦ τόπου ἐν ᾧ κατῴκουν τὸ πρὶν ἐν Περσίδι, πέντε ὄντες ἔθνη, τοὺς ἰδίους θεοὺς καὶ αὖθις ἐθρήσκευον. Ὡς μὲν οὖν ἡ τετάρτη τῶν Βασιλειῶν λέγει, λέοντας ἐξήγειρεν ὁ Θεὸς, καὶ διέφθειρε πολλοὺς ἐξ αὐτῶν· ὡς δὲ Ἰώσηπος ἱστορεῖ, λοιμὸς αὐτοῖς ἐνέσκηψε. Γνόντες δὲ κατ' ὀργὴν τοῦ Θεοῦ ἐπιέναι αὐτοῖς τὰ κακὰ, τοῦ σφετέρου βασιλέως ἐδέοντο ἱερεῖς στεῖλαι αὐτοῖς ἐκ τῶν Ἰσραηλιτῶν, ἵν' αὐτοὺς τὴν τῶν Ἑβραίων θρησκείαν μυήσωσιν· οὗ γενομένου, ἐπαύσατο ἡ φθορά. Καλοῦνται δὲ παρὰ μὲν τῶν Ἑβραίων Χουθαῖοι, πρὸς δὲ τῶν Ἑλλήνων Σαμαρεῖται.

XXIII. Anno Ezeciæ regis Hierosolymitani decimo quarto, Senacherim rex Assyriorum Judæam invasit : qui cum omnia oppida duarum tribuum cepisset, Ezecias Hierosolymis metuens, legatos ad eum mittit, se tributum ei pensitaturum pollicens, quod jussisset. Senacherimus autem argenti talenta **110** trecenta, auri viginti postulavit : et sacramento interposito, iis acceptis, se discessurum pollicetur. Quibus appensis, ipse quidem contra Ægyptum et Æthiopes proficiscitur, Rapsacem autem imperatorem cum aliis duobus ducibus et magno exercitu ad vastanda Hierosolyma relinquit. Qui, aggeribus ante mœnia excitatis, ad colloquium evocant Ezeciam. Verum is se committere illis non ausus, tres ex honoratis ministris suis ad illos misit. Tum illi : *Si Ægyptiis*, inquiunt, *Ezecias fretus est, delirat non minus quam qui confracto arundineo baculo innititur, a quo nec a lapsu defenditur, et manu vulneratur. Talis est Pharao Ægyptius.* Hæc Rapsaces Hebraico cum legatis colloquebatur : qui cum rogarent, ut Assyrio sermone uteretur, ne populus ea quæ dicerentur intelligeret: ille magis etiam sublata voce, ut ab omnibus exaudiri posset, rursus Hebraice dixit : *Ne seducat vos Ezecias dicens, Dominus nos liberabit : nunquid Samariam liberavit?* His Ezecias renuntiatus vestes suas laceravit, et sacco indutus, et humi stratus, in rebus desperatis opem divinam implorat, et ad prophetam Isaiam mittit, obtestans ut Dei pacem exoret populo. Prædicit ille, hostes citra dimicationem superatum iri, et Senacherimum re infecta ex Ægypto reversum, occubiturum. Scripsit et Senacherimus ad Ezeciam, in hanc sententiam : *Ne extollat te Deus, quo fretus es, quo minus Hierosolyma capturum esse me existimes : sed illud potius cum animo tuo reputa, ubi sint reges gentium, quos majores mei confecerunt.* Eam epistolam Ezecias lectam in templo reposuit, et supplicavit Deo : *Vide*, inquit, *Domine, et audi verba Senacherimi, quæ ad me scripsit in tuam contumeliam, viventis Dei, et eripe nos e manu ejus.* Isaias confirmat regem, asserens Deum exaudisse preces ejus : eaque nocte cæsa sunt ab angelo in castris Assyriorum centum et octoginta quinque millia, quorum cadavera postridie inventa sunt. Exercitus reliquiæ Hierosolymis discesserunt. Coactus est et Senacherimus obsidionem Pelusii solvere, cum mures una nocte

ΚΓ'. Ἐν δὲ τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει τῆς βασιλείας Ἐζεκίου τοῦ τῆς Ἱερουσαλὴμ βασιλέως, ὁ τῶν Ἀσσυρίων βασιλεύων Σεναχηρεὶμ ἐπῆλθε τῇ Ἰουδαίᾳ, καὶ πάσας εἷλε τὰς πόλεις τῶν δύο φυλῶν. Δείσας δὲ Ἐζεκίας περὶ τῇ Ἱερουσαλὴμ, διαπέμπεται πρὸς αὐτὸν, ὑπισχνούμενος διδόναι φόρον, ὃν ἂν αὐτῷ ἐπενέγκοι· Σεναχηρεὶμ δὲ τριακόσια μὲν ἀργύρου τάλαντα, χρυσοῦ δὲ τριάκοντα ᾔτησε, καὶ πίστεις ἐνομότους παρέσχεν, ἢ μὴν ἀναχωρήσειν εἰ ταῦτα λάβοι. Λαβὼν δὲ, αὐτὸς μὲν ἐπ' Αἰγυπτίους ὥρμησε καὶ Αἰθίοπας. Τὸν δὲ ἀρχιστράτηγον αὐτοῦ Ῥαψάκην σὺν δυσὶ στρατηγοῖς ἑτέροις καὶ δυνάμει βαρείᾳ κατέλιπε, τὴν Ἱερουσαλὴμ ἐκπορθήσοντας. Οἱ δὲ πρὸ τῶν τειχῶν βαλόμενοι χάρακα, ἐντυχεῖν ἐζήτουν τῷ Ἐζεκίᾳ. Ἀλλ' ἐκεῖνος μὲν ἀπεδειλίασεν ἐξελθεῖν, τρεῖς δὲ τοὺς αὐτῷ τιμωμένους τῶν ὑπ' αὐτὸν ἔπεμψε. Κἀκεῖνοι· *Εἰ ἐπὶ τοὺς Αἰγυπτίους πέποιθεν Ἐζεκίας*, ἔφησαν, *μωραίνει ἐπίσης ἀνθρώπῳ καλαμίνῃ ῥάβδῳ ἐρειδομένῳ, καὶ αὐτῇ τεθλασμένῃ, ἣ οὐδὲν ἤμυνε τῷ κατέχοντι, ἀλλ' αὐτός τε συμπέπτωκε, καὶ ὁ κάλαμος τὴν αὐτοῦ χεῖρα διέτρησε. Τοιοῦτός ἐστι Φαραὼ ὁ Αἰγύπτιος.* Ταῦτα Ἑβραϊστὶ ὁ Ῥαψάκης τοῖς πεμφθεῖσιν ὡμίλει. Οἱ δὲ τῇ τῶν Σύρων διαλέκτῳ ὁμιλεῖν αὐτοῖς ἠξίουν αὐτὸν, ἵνα μὴ τὸ πλῆθος τῶν λεγομένων συνίησιν. Ὁ δὲ μᾶλλον τὴν φωνὴν ἐπάρας, Ἑβραϊστὶ πάλιν ἔλεγεν εἰς ἐπήκοον πάντων· *Μὴ ἀπατάτω ὑμᾶς Ἐζεκίας λέγων, Κύριος ῥύσεται ἡμᾶς· μὴ ἐῤῥύσατο Σαμάρειαν;* Καὶ ἀπήγγειλαν ταῦτα τῷ Ἐζεκίᾳ. Ὁ δὲ ἀκούσας, διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ περιεβάλετο σάκκον, καὶ πεσὼν, ἐδέετο τοῦ Θεοῦ βοήθειαν ἐπ' ἀνελπίστοις αὐτῶν· καὶ πρὸς Ἡσαΐαν τὸν προφήτην πέμψας, παρεκάλει αὐτὸν δέεσθαι τοῦ Θεοῦ, ἵν' ἵλεως ἔστιτο τῷ λαῷ. Ὁ δὲ ἀμαχητὶ τοὺς πολεμίους προείλετο ἡττηθήσεσθαι, καὶ τὸν Σεναχηρεὶμ κτανθῆναι, ἄπρακτον ἀπ' Αἰγύπτου ἐπανελθόντα. Ἐπέστειλε δὲ καὶ Σεναχηρεὶμ τῷ Ἐζεκίᾳ· *Μὴ ἐπαιρέτω σε ὁ Θεός σου, ἐφ' ᾧ πέποιθας μὴ παραδοθῆναι τὴν Ἱερουσαλὴμ εἰς χεῖράς μου· ἀναλόγισαι ποῦ εἰσιν οἱ βασιλεῖς τῶν ἐθνῶν, οὓς διέφθειραν οἱ πατέρες μου.* Ταύτην τὴν ἐπιστολὴν ἀναγνοὺς Ἐζεκίας, κατέθετο εἰς τὸ ἱερὸν, καὶ ἱκέτευσε τὸν Θεὸν, Ἴδε, λέγων, *Κύριε· καὶ ἄκουσον τοὺς λόγους Σεναχηρεὶμ, οὓς ἀπέστειλεν ὀνειδίζων σε τὸν ζῶντα Θεὸν, καὶ σῶσον ἡμᾶς ἐκ χειρὸς αὐτοῦ.* Ἡσαΐας δὲ παρεθάῤῥυνε τὸν βασιλέα, ἐπακοῦσαι

φάσκειν αὐτοῦ τὸν Θεόν. Καὶ τῇ νυκτὶ ἄγγελος ἐν τῇ παρεμβολῇ τῶν Ἀσσυρίων ἀνεῖλεν ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας, καὶ μεθ' ἡμέραν νεκρὰ τὰ τούτων σώματα εὑρέθησαν, καὶ ἀπῆρε τὸ περιλειφθὲν τῆς στρατιᾶς ἐξ Ἱερουσαλήμ. Σενναχηρεὶμ δὲ πολιορκῶν τὸ Πηλούσιον, ἔλυσε τὴν πολιορκίαν, μυῶν ἐν νυκτὶ μιᾷ καταφαγόντων τὰ τόξα τῶν Ἀσσυρίων, καὶ τὰ λοιπὰ τῶν ὅπλων αὐτῶν. Τοῦτο ἐν μὲν τῇ τῶν Βασιλειῶν οὐκ ἀναγράφεται βίβλῳ· Ἰώσηπος δὲ ἱστορεῖ ἐν Ἡροδότῳ εὑρών. Τὸν δὲ Βηρωσὸν τὰ Χαλδαϊκὰ συγγραψάμενον φάσκειν φησὶν, ὡς ἐπανελθὼν ὁ Σενναχηρεὶμ ἀπὸ τοῦ τῶν Αἰγυπτίων πολέμου, κατέλαβε τὴν σὺν τῷ Ῥαψάκῃ στρατιὰν εἰς Ἱεροσόλυμα· καὶ τοῦ Θεοῦ λοιμώδη νόσον ἐνσκήψαντος τοῖς Ἀσσυρίοις, ἐν μιᾷ νυκτὶ μυριάδες ὀκτωκαίδεκα φθείρονται καὶ πεντακισχίλιοι, σὺν ἡγεμόσι καὶ ταξιάρχαις. Δείσας οὖν ἐκεῖνος καὶ περὶ τῇ λοιπῇ στρατιᾷ, ἀπαίρει ἐκεῖθεν μετὰ τῆς περιλειφθείσης δυνάμεως, καὶ ἄπεισιν εἰς Νινευΐ, καὶ μετ' ὀλίγον ἐπιβουλευθεὶς παρὰ τῶν πρεσβυτέρων παίδων ἀνῃρέθη· τῶν μὲν ἀνῃρηκότων αὐτὸν φυγόντων, Ναχωρδὰν (68) δὲ τοῦ υἱοῦ αὐτοῦ τὴν ἀρχὴν διαδεξαμένου. Ἐξεκίας δὲ τοῦ φόβου ἀπαλλαγεὶς, τῷ Θεῷ ηὐχαρίστει. Καὶ μετ' ὀλίγον νοσήσαντι αὐτῷ προσελθὼν Ἡσαΐας κατ' ἐντολὴν τοῦ Θεοῦ, εἶπε· *Τάξαι τῷ οἴκῳ σου· οὐ γὰρ ζήσῃ*. Τῷ δὲ ἡ τοῦ θνήσκειν ἐλπὶς, καὶ ὅτι παῖδας μὴ ἔχων ἔρημον ἔμελλε τὴν βασιλείαν καταλιπεῖν γνησίας διαδοχῆς, ἐποίει μείζω τὴν συμφορὰν, καὶ ἀθυμῶν ἐπὶ τούτοις ἔκλαυσε, ζωὴν ἐπιδαψιλευθῆναι αὐτῷ ἐξαιτούμενος τὸν Θεόν. Ἐλθὼν δὲ αὖθις Ἡσαΐας, ὑγείαν αὐτῷ μετὰ τρίτην ἡμέραν εὐαγγελίζεται, καὶ προσθήκην ζωῆς ἐτῶν πεντεκαίδεκα. Ὁ δὲ τοῦ θαύματος τὸ ὑπερφυὲς λογιζόμενος, σημεῖον ᾔτει τὸν προφήτην δεῖξαι αὐτῷ εἰς πίστωσιν τῶν ἐπηγγελμένων. Τοῦ δὲ προφήτου τὸν Θεὸν ἱκετεύσαντος σημεῖον γενέσθαι, ἦδη ἐπὶ δυσμὰς δέκα βαθμοὺς ἀποκλίνας ὁ ἥλιος, καὶ σκιὰν ποιήσας, ἐπέστρεψεν εἰς τὰ ὀπίσω δέκα ἀναβαθμούς. Ἐντεῦθεν Ἐξεκίας τῆς νόσου ἀπήλλαχτο. Ὁ δὲ τῶν Βαβυλωνίων βασιλεὺς Βαλαδὰν πρὸς Ἐξεκίαν πρεσβείαν ποιησάμενος, καὶ δῶρα στείλας, σύμμαχον αὐτὸν καὶ φίλον ἔχειν ἠξίου. Ὁ δὲ τοῖς πρέσβεσι τοὺς θησαυροὺς ὑπέδειξε, καὶ τὰ ὅπλα, καὶ πᾶσαν τὴν βασιλικὴν πολυτέλειαν, καὶ ἀνταποστείλας δῶρα τῷ Βαβυλωνίῳ, ἀπέλυσεν αὐτούς. Ἡσαΐας δὲ εἶπε τῷ Ἐξεκίᾳ· *Ἐλεύσονται ἡμέραι, καὶ ὁ πλοῦτος ὃν ἐθεάτρισας εἰς Βαβυλῶνα μετατεθήσεται, καὶ οἱ υἱοί σου ἔσονται εἰς εὐνούχους τῷ βασιλεῖ Βαβυλῶνος*. Ἐξεκίας δὲ, ἐπεὶ μὴ διαπεσεῖν τὸν λόγον τοῦ Θεοῦ δυνατόν· *Ἔστω*, φησὶν, *εἰρήνη ἐν ταῖς ἡμέραις μου*. Ἐπιβιοὺς δὲ τὸν προστεθέντα αὐτῷ χρόνον εἰρηνικῶς, θνήσκει, πεντηκοστὸν καὶ τέταρτον ἔτος ἀνύσας ἐν τῇ ζωῇ, ἐννέα δὲ βασιλεύσας καὶ εἴκοσι. Διαδεξάμενος δὲ τὴν ἀρχὴν ὁ υἱὸς αὐτοῦ Μανασσῆς, πᾶν εἶδος κακίας καὶ ἀσεβείας πρότερον ἐπεδείξατο, μιάνας τε τὸν ναὸν, καὶ μηδὲ τῶν προφητῶν φεισάμενος. Ὀργισθεὶς δὲ διὰ ταῦτα ὁ Θεὸς, τὴν τῶν Βαβυλωνίων στρατιὰν κατὰ τῆς Ἰουδαίας ἐκίνησεν, ἥ τήν τε χώραν ἐλῃΐσατο, καὶ τὸν Μανασ-

A arcus cæteraque Assyriorum arma corrosissent. Hoc in libris Regum scriptum non reperitur, sed Josephus **111** ab Herodoto mutuatus refert : et Berosum Chaldaicarum rerum scriptorem narrare ait, Senacherimum ab Ægyptiaco bello redeuntem, exercitum Rhapsacis Hierosolymis reperisse : ac pestilenti morbo divinitus in Assyrios immisso, centum et octoginta quinque millia una nocte periisse, cum ducibus et centurionibus. Qua clade perterritum, et iis qui supererant metuentem, cum reliquiis Niniven profectum : et paulo post insidiis majorum filiorum sublatum esse, percussoribus fuga elapsis, et Nachordane filio ejus regnum adepto. Ezecias adempto metu gratias agit Deo. Verum non multo post cum ægrotantem Dei jussu B convenit Isaias, *ac testamentum facere jubet, neque enim victurum esse*. At illi et exspectatio mortis, et orbitas liberorum, qui in regno succéderent, exaggerabant malum. Itaque anxius flebiliter orat Deum, ut vita sibi prorogetur : cui, reversus Isaias, post triduum sanitatem pollicetur, et additamentum quindecim annorum vitæ. At ille miraculum quod veri fidem excedebat reputans, signum postulat in confirmationem pollicitationum. Quo prophetæ precibus impetrato, umbra solarii jam decem versus occasum progressa partes, totidem versus ortum regressa est. Ezecia morbo jam liberato, rex Babyloniorum Baladas legatos cum muneribus ad eum mittit, societatem ejus et amicitiam expetens. At ille thesauros et arma omnemque regiam ma- C gnificentiam legatis monstrat, eosque cum muneribus ad Babylonium remittit. Tum Isaias Ezechiæ ait : *Tempus erit, cum divitiæ quas spectandas exhibuisti Babylonem transferentur, et filii tui regis Babylonii eunuchi erunt*. Ezecias, qui verbum Domini non irritum esse posse sciret : *Pax*, inquit, *esto mea ætate*. Et adjecto sibi tempore pacate exacto, moritur anno vitæ quinquagesimo quarto, regni nono et vicesimo. Manasses autem filius ejus, suscepto regno, nullum flagitii et impietatis genus prætermisit. Nam et templum polluit, ac ne a prophetis quidem occidendis sibi temperavit. Quamobrem iratus Deus Babyloniorum exercitum contra Judæam excivit, qui et provinciam vastavit, D et Manassem cepit. **112** Qui se calamitatis esse causam intelligens, ad pœnitentiam dellexus, Deum orat, ut ærumnas depellat. Ita voti compos factus, et vinculis solvitur, et in regnum restitutus, cum ipse religionem colit, tum populo auctor est ut idem faciat : et exemplum pietatis factus, obit anno regni quinquagesimo quinto, ætatis sexagesimo septimo.

Variæ lectiones et notæ.

(68) *Ναχωρδάν*. Cod. Colb. Ναβορεάν, quem Josephus lib. x, cap 11, Ἀσσαρικάδδαν vocat.

σῆν ἐχειρώσατο. Ὁ δὲ συνεὶς ἑαυτὸν τῆς συμφορᾶς αἴτιον, ἀπέκλινεν εἰς μετάνοιαν, καὶ ἱκέτευε τὸν Θεὸν λύσαι οἱ τὰ δυσχερῆ. Καὶ ὁ Θεὸς ἐπακούσας αὐτοῦ, λύει τε τῆς αἰχμαλωσίας αὐτὸν, καὶ εἰς τὴν βασιλείαν ἀποκαθίστησιν. Ἐπανελθὼν δὲ ἐκεῖνος, εὐσέβειαν αὐτός τε μετῄει, καὶ τὸν λαὸν μετιέναι ἀνέπειθεν. Οὕτω δὲ ζήσας, ζηλωτὸς ἐγένετο διὰ τὴν εὐσέβειαν, καὶ ἐτελεύτησε, βασιλεύσας ἐνιαυτοὺς πέντε πρὸς πεντήκοντα, βιώσας δὲ τοὺς πάντας ἑξήκοντα καὶ ἑπτά.

XXIV. Regnum ad filium ejus Amosum devolvitur, qui adolescentiæ paternæ imitator, anno ætatis vicesimo quarto, regni secundo per insidias occiditur: de cujus percussoribus supplicio sumpto, populus filium ejus Josiam annos octo natum regem appellat. Is pius fuit, et populum ad Dei cultum cohortatus, susceptaque templi refectione, monuit eos qui aderant, ut suo quisque arbitratu ad opus aliquid conferret. Eo pacto, pecunia coacta, et templum instauratum est, et quæ superfuerat, in crateres, calices, et phialas collata, Chelcia pontifice administratore; qui dum pecuniam ex ærario depromit, sacros libros Mosis temere illuc conjectos invenit ac per scribam regi mittit. Qui, lectis illis, vestes suas lacerat, et Chelciam sacerdotem cum aliis ad Oldam fatidicam mulierem Selumi uxorem mittit, petens ut Deum placet. Illa respondet, Numen jam suffragium tulisse contra regionem, et populum violatæ religionis reum, tamen ob regis justitiam clades non esse nunc immissurum: sed amoto illo, tum demum sententiam latam exsecuturum. Rex, his auditis, populum Hierosolyma convocat, et sacros libros audientibus omnibus recitandos curat. Deinde jurejurando obstringit omnes, ut leges servent, et Numen colant. Quare populus sacrificiis placat Deum. Post hæc simulacrorum donaria incendit, eorum sacerdotes occidit, et pseudoprophetarum ossa in ea ara cremat, quam Jeroboamus exstruxerat: quemadmodum propheta ille ei immolanti prædixerat, fore Josiam quemdam e posteritate Davidica, qui illa facturus esset: idque factum post annos trecentos sexaginta unum. Idem etiam Israelitas, qui captivitatem effugerant, monuit, ut patrium Deum colerent, et leges observarent: et sublatis ex omni provincia simulacris, populoque Hierosolyma **113** congregato, Azymorum festum, quod Pascha vocant, celebravit, ac vita tranquilla acta, tandem sagitta ictus obiit. Nam rex Ægyptiorum Nechaus, bellum Medis illaturus, cum transitu per Judæam a Josia prohiberetur, quamvis sine maleficio transiturum promitteret, pugnam instruit, et Josia, dum aciem ordinaret, sagitta icto, bellum solvit. Rex Hierosolyma reversus decedit, anno regni tricesimo primo, quod annos octo natus susceperat. Sub hoc fuit propheta Jeremias, qui cladem Hierosolymis imminentem vaticinatus, fore prædixit, ut ab Assyriis caperentur. Neque hic solum, sed et Ezechiel primus his de rebus duos libros reliquit, uterque ex tribu sacerdotali. Josia defuncto, Joachasus filius ejus annos viginti tres natus, regnare incipit, homo impius, quem Ægypti rex a bello reversus, in vincula conjecit, ac regnum seniori fratri Eliacimo dedit, mutato ejus

ΚΔ'. Ἡ βασιλεία δὲ πρὸς Ἀμὼς μετῆλθε, τὸν παῖδα αὐτοῦ, μιμησάμενον τὰ τῆς νεότητος τοῦ οἰκείου πατρός· ἀπέθανε δὲ ἐπιβουλευθείς, ζήσας ἐνιαυτοὺς ἐπὶ τέσσαρσιν εἴκοσι, δύο δὲ βασιλεύσας. Τοὺς δὲ αὐτὸν ἀνελόντας ἐτιμωρήσατο ἡ πληθὺς, καὶ βασιλέα τὸν υἱὸν ἐκείνου ἀνέδειξεν Ἰωσίαν, ἔγδοον τῆς ἡλικίας ἀνύοντα χρόνον, ὃς εὐσεβὴς ἐγένετο, καὶ τὸν λαὸν ἀνέπειθεν εὐσεβεῖν. Ἐπισκευάσαι δὲ βουληθεὶς τὸν ναὸν, παρῆνει τοῖς ὑπὸ χεῖρα διδόναι εἰς τὴν ἐπισκευὴν, ὅσον ἕκαστος βούλεται. Καὶ οὕτω συναχθέντων χρημάτων, ὅ τε ναὸς ἀνεκαινίσθη, καὶ τοῖς περιττεύσασιν εἰς κρατῆρας, καὶ σπονδεῖα, καὶ φιάλας ἐχρήσατο, τοῦ ἀρχιερέως Χελκίου τούτοις ἐπιστατοῦντος· ὃς ἐντυγχάνει ταῖς ἱεραῖς τοῦ Μωσέως βίβλοις ἐν τῷ ἐξάγειν τοῦ ἱεροῦ ταμείου τὸ ἀργύριον, ἀποκειμέναις ἐκεῖ, καὶ στέλλει ταύτας διὰ τοῦ γραμματέως τῷ βασιλεῖ. Ὡς δ' ἀνεγνώσθησαν αὐτῷ, τὴν ἐσθῆτα διέῤῥηξε, καὶ πρὸς τὴν προφήτην Ὀλδὰν γυναῖκα Σελοὺμ, ἔπεμψε τὸν ἀρχιερέα Χελκίαν καὶ ἄλλους, ἱλεώσασθαι τὸν Θεὸν ἀξιῶν αὐτήν. Ἡ δὲ τὸ μὲν Θεῖον ἤδη ψῆφον εἶπεν ἐξενεγκεῖν κατὰ τῆς χώρας, καὶ τοῦ λαοῦ ἀσεβήσαντος, διὰ δὲ τὸν βασιλέα δίκαιον ὄντα, οὐκ ἐπάξειν νῦν τὰ κακὰ, αὐτοῦ παρελθόντος, γενήσεται τὰ ἐψηφισμένα. Ὁ δὲ τούτων ἀκούσας, συνήγαγε τὸν λαὸν εἰς Ἱεροσόλυμα, καὶ εἰς ἐπήκοον πάντων τὰς ἱερὰς βίβλους ἀναγνωσθῆναι πεποίηκεν. Εἶτα ὅρκους ἐκ πάντων ἀπῄτησε, φυλάττειν τοὺς νόμους, καὶ σέβεσθαι τὸν Θεόν. Καὶ θύων ὁ λαὸς ἐξιλεοῦτο τὸν Θεόν. Ἐνέπρησε δὲ καὶ τὰ ἀναθήματα τῶν εἰδώλων, καὶ τοὺς ἱερεῖς αὐτῶν ἐθανάτωσε, καὶ τὰ τῶν ψευδοπροφητῶν ὀστᾶ πυρὶ κατέκαυσεν ἐπὶ τοῦ βωμοῦ, ὃν ἀνέστησεν Ἱεροβοὰμ, κατὰ τὴν τοῦ προφήτου πρόῤῥησιν, ὃς θυσιάζοντι προσῆλθεν ἐκείνῳ, καὶ προεῖπε ταῦτα ποιήσειν ἀπόγονον τοῦ Δαβὶδ Ἰωσίαν μετὰ τριακόσια ἔτη καὶ ἑξήκοντα πρὸς ἑνί. Καὶ πρὸς τοὺς Ἰσραηλίτας δὲ πορευθεὶς Ἰωσίας, ὅσοι τὴν αἰχμαλωσίαν διέφυγον, τὸν πάτριον παρῆνει θρησκεύειν Θεὸν, καὶ κατὰ νόμους βιοῦν. Καὶ ἐξ ἁπάσης τῆς χώρας ἀφανίσας τὰ εἴδωλα, εἰς Ἱερουσαλὴμ τὸ πλῆθος συνήγαγε, καὶ τὴν τῶν Ἀζύμων ἑορτὴν, ἣν Πάσχα καλοῦσιν, ἐώρτασε. Βίον δὲ εἰρηνικὸν διαγαγὼν, τελευτᾷ, τὸν βίον κατέστρεψεν. Ὁ γὰρ τῶν Αἰγυπτίων βασιλεὺς Νεχαὼ Μήδους πολεμήσων ἀπῄει, εἶργε δὲ αὐτὸν Ἰωσίας διὰ τῆς χώρας αὐτοῦ παρελθεῖν. Ὁ δὲ μὴ ἐπ' αὐτὸν στρατεύειν ἐδήλου αὐτῷ. Ἰωσίας δὲ οὐ μεθίετο. Ἤδη οὖν παρατάσσοντο μαχεσόμενοι, καὶ Ἰωσίαν διατάσσοντα τὸν οἰκεῖον λαὸν τοξεύσας Αἰγύπτιος, τὸν πόλεμον ἔλυσεν. Ὁ δὲ βασιλεὺς ἀναζεύξας εἰς Ἱεροσόλυμα, τελευτᾷ, βασιλεύσας ἔτη τριάκοντα πρὸς ἑνὶ, ζήσας δὲ πρὸ τῆς βασιλείας ὀκτώ. Ἐπὶ τούτου Ἱερεμίας ἦν ὁ προφήτης, ὃς καὶ τὰ συμβήσεσθαι μέλλοντα τῇ Ἱερουσαλὴμ ὀλίγα προηγόρευσε, καὶ τὴν ὑπὸ Ἀσσυ-

ρ'ῶν αὐτῆς ἅλωσιν (69). Οὐ μόνος δὲ οὗτος περὶ τούτων προέγραψεν, ἀλλὰ καὶ Ἰεζεκιὴλ πρῶτος περὶ τούτων δύο βιβλία κατέλιπεν· ἦσαν δὲ ἄμφω τῆς ἱερατικῆς φυλῆς. Τελευτήσαντος δὲ Ἰωσίου, Ἰωάχαζ ὁ παῖς αὐτοῦ ἦρξεν, εἴκοσιν ἐπὶ τρισὶν ἐνιαυτῶν ὤν, ἀσεβὴς γεγονώς· ὃν ἀπὸ τοῦ πολέμου ἀναζεύγνυς ὁ τῶν Αἰγυπτίων βασιλεὺς, ἔδησε, καὶ τὴν μὲν βασιλείαν τῷ πρεσβυτέρῳ ἀδελφῷ Ἐλιακεὶμ δέδωκεν, Ἰωακεὶμ μετονομάσας αὐτὸν, καὶ εἰσφορὰν τῇ χώρᾳ ἐπιτάξας ἑκατὸν ἀργυρίου τάλαντα, ἓν δὲ χρυσοῦ. Τὸν δὲ Ἰωάχαζ ἀπήγαγεν εἰς τὴν Αἴγυπτον, ὅπου καὶ ἐτελεύτησεν. Ὁ δὲ χρόνος τῆς βασιλείας αὐτοῦ τρεῖς ἦσαν μῆνες ἐπὶ δέκα ἡμέραις. Ἰωακεὶμ δὲ ἀσεβεῖ τε ὄντι, καὶ κακούργῳ, ἔτος ἤδη τῆς βασιλείας ἤνυτο τέταρτον, καὶ τὴν Βαβυλωνίων ἀρχὴν Ναβουχοδονόσορ περιεζώσατο. Οὗτος τὸν Αἰγύπτιον Νεχαὼ νικήσας πολὺ μέρος τῆς χώρας αὐτοῦ παρεσπάσατο. Ἐν ὀγδόῳ δ' ἔτει τῆς βασιλείας Ἰωακεὶμ, ἐπιστρατεύει τῷ Ἰουδαίᾳ μετὰ βαρείας δυνάμεως. Ἰωακεὶμ δὲ δείσας, ὑπόφορον ἔθετο τῷ Βαβυλωνίῳ τὴν χώραν τὴν ἑαυτοῦ, καὶ τρισὶ μὲν ἔτεσι προσῆγε τοὺς φόρους. Εἶτα τοὺς Αἰγυπτίους ἀκούσας κατὰ τοῦ Βαβυλωνίου χωρεῖν, ἐπέσχε τὴν τῶν φόρων καταβολήν, καίτοι τοῦ προφήτου Ἱερεμίου προλέγοντος τὴν ὑπὸ τοῦ Βαβυλωνίου τῆς πόλεως ἅλωσιν, καὶ τὴν τοῦ βασιλέως Ἰωακεὶμ ἀναίρεσιν, καὶ οὐ μόνον εἰπόντος, ἀλλὰ καὶ γράψαντος, καὶ εἰς ἐπήκοον τοῦ πλήθους ἀναγνόντος τὴν συγγραφήν· ἣν λαβόντες οἱ ἡγεμόνες, τῷ βασιλεῖ προσήνεγκαν. Ὁ δὲ ἐπὶ τοῖς γεγραμμένοις χολωθείς, πυρὶ τὸ σύγγραμμα κατηθάλωσε, τὸν δὲ προφήτην καὶ Βαροὺχ τὸν γραμματέα αὐτοῦ κολάσαι ἐζήτει· ἀλλ' οἱ μὲν φυγόντες ἐξέκλιναν τὴν ὀργὴν αὐτοῦ. Μετ' οὐ πολὺ δὲ κατ' αὐτοῦ στρατεύει ὁ Βαβυλώνιος. Ἰωακεὶμ δὲ ἀπραγμόνως αὐτὸν εἰς τὴν πόλιν εἰσδέχεται. Ὁ δὲ τούς τε κρείττους τῶν πολιτῶν, καὶ αὐτὸν τὸν βασιλέα ἐφόνευσε. Τρισχιλίους δὲ τοὺς καλλίστους αἰχμαλώτους ἀπήγαγεν, ἐν οἷς ἦν καὶ ὁ προφήτης Ἰεζεκιὴλ, παῖς ὤν, τὸν δὲ υἱὸν τοῦ κτανθέντος βασιλέως Ἰωακεὶμ ὀνομαζόμενον καὶ αὐτὸν, ἀναδείξας βασιλέα τῆς Ἰουδαίας. Οὕτω μὲν τέλος ἔσχεν Ἰωακεὶμ, ἐνιαυτοὺς βιώσας ἓξ καὶ τριάκοντα, βασιλεύσας δὲ ἕνδεκα. Ὁ δὲ Βαβυλώνιος ὑποπτεύσας μνησικακῆσαι τὸν υἱὸν ἐκείνου, διὰ τὸν φόνον τὸν τοῦ πατρὸς, καὶ ἀποστατῆσαι, πέμψας ἐπολιόρκει αὐτόν. Ὁ δὲ μὴ θέλων τὴν πόλιν δι' αὐτὸν κινδυνεῦσαι, παραδίδωσιν ἑαυτὸν καὶ τοὺς προσήκοντας αὐτῷ τοῖς πολεμίοις, ἐπὶ συνθήκαις μή τι κακῶσαι τὴν πόλιν ἢ αὐτούς· ἃς παρέβη ὁ Βαβυλώνιος, κελεύσας τὴν ἐν τῇ πόλει πᾶσαν νεότητα καὶ τοὺς τεχνίτας ἀπαγαγεῖν πρὸς αὐτὸν, οἳ πρὸς ὀκτακοσίοις τριάκοντα δύο εἰς δέκα χιλιάδας ἠριθμηντο. Τὸν Ἰωακεὶμ δὲ καὶ τὴν μητέρα αὐτοῦ καὶ τοὺς φίλους καθείρξας ἐφύλαττε, μῆνας τρεῖς βασιλεύσας καὶ ἡμέρας δέκα.

ΚΕ'. Τὴν δὲ τῆς Ἱερουσαλὴμ βασιλείαν τῷ τοῦ Ἰωακεὶμ πατραδέλφῳ τῷ Σεδεκίᾳ παρέδωκεν, ὁμόσαντι μὴ εὐνοήσειν τοῖς Αἰγυπτίοις, ἀλλ' αὐτῷ φυλάξειν τὴν χώραν. Ὁ δὲ νέος ὢν (εἴκοσι γὰρ καὶ ἑνὸς ἦν ἐτῶν ὅτε παρέλαβε τὴν ἀρχὴν) καὶ ὑπερόπτης τοῦ δικαίου τε καὶ τοῦ δέοντος, παραινοῦντι τῷ Ἱερεμίᾳ τὰς ἀσεβείας καὶ τὰς παρανομίας λιπεῖν, οὐκ ἐπείθετο, οὐδ' ἐπίστευε λέγοντι τὰς μελλούσας ἔσεσθαι συμφορὰς αὐτῷ τε καὶ τῷ λαῷ, ἃς καὶ Ἰεζε-

nomine in Joachimum: imperatoque regioni centum argenti, et unius auri talentum tributo, Joachasum in Ægyptum abduxit, ubi et mortuus est. Tempus regni ejus fuere tres menses et decem dies. Joachimus autem vir impius et facinorosus, cum quartum jam annum imperaret, Nabuchodonosor Babylonium imperium suscipit. Nechaum Ægyptium victum magna parte provinciæ multat: anno Joachimi octavo cum magnis copiis Judæam ingressus, ita hominem perterrefacit, ut suam regionem Babylonio tributariam redderet, ac tributa per triennium solvit. Post, cum audiisset Ægyptios rebellantes Babylonium invasuros, ea inhibuit: quamvis Jeremias propheta prædixisset, fore ut Babylonius et urbem caperet, et Joachimum tolleret: neque prædixisset solum, sed etiam scripsisset, scripturamque populo audiente recitasset, quam duces regi obtulerunt. Ille vero iratus exussit, prophetam et Baruchum scribam ejus ad supplicium quærens: sed illi fuga iram ejus declinarunt. Neque multo post bellum infert Babylonius, et a Joachimo otioso in urbem admissus, et civium optimum quemque, et ipsum regem occidit, et tria millia formosissimorum captiva abducit, inter quos et propheta Ezechiel fuit, **114** puer adhuc. Filium autem regis interfecti, qui et ipse Joachimus vocabatur, Judæorum regem appellat. Hic finis Joachimi fuit, cum vixisset annos triginta sex, imperasset undecim. At Babylonius, veritus ne filius paternæ cædis memor descisceret, missis copiis eum obsedit. Qui cum urbem sua causa periclitari nollet, se cum necessariis eo pacto illi dedit, ut nec urbem nec ipsos violaret: quo non stetit hostis: sed omnem pubem civitatis, et artifices ad se perduci jussit, quorum numerus inventus est ad decem mille octingenta et triginta duo. Joachimum cum matre et amicis in custodia habuit.

XXV. Regnum Hierosolymitanum Sedeciæ Joachimi patruo tradidit, quem jurejurando adegit, ne studeret Ægyptiis, sed provinciam ipsi conservaret. Is vero principatum adeptus, adolescens natus annos unum et viginti, fastu elatus, æquitatis et officii nulla ratione habita, Jeremiæ ab impietate et injuriis dehortanti neque paruit, neque credidit eas sibi et populo clades imminere, quas et Ezechiel Babylone prædicens, litteris mandatas Hierosolyma

Variæ lectiones et notæ.

(69) *Καὶ τὴν ὑπὸ Ῥωμαίων αὐτῆς ἅλωσιν.* Legendum haud dubie *ὑπὸ Χαλδαίων*, aut *Ἀσσυρίων*, aut Βαβυλωνίων. W.

miserat. Neutri autem fidem adhibuit, fortassis ob dissensionem. Nam in cæteris quidem congruebant, de Sedecia autem videbantur discrepare, cum Ezechiel cum Babylonem non visurum prædixisset, Jeremias captivum abductum iri Babylonem vaticinaretur. Sed et illa inter se consentiebant: nam cæcatus in Judæa, et captivus abductus Babylonem non vidit. Hic Sedecias Babyloniis per octo annos servata fide ad Ægyptios inclinavit. Qua de causa Nabuchodonosor Hierosolyma obsedit, profligatis prius Ægyptiis, qui Judæis suppetias veniebant: quos dum persequeretur, negabant pseudoprophetæ hostes urbem porro obsessuros. Jeremias contra, et redituros, et capturos urbem, et eversuros affirmabat, et templum incensuros, et populi reliquias in captivitatem abducturos, ubi serviturus esset annos septuaginta, donec Persæ et Medi Babyloniorum imperium destruxissent: ac tum demum captivos dimissum iri, et templum atque urbem instauraturos. Jeremiam hæc asseverantem rex et aulici proceres **115** subsannabant. Qui cum aliquando in patriam Anatholam iret, in via a principe quodam pro transfuga comprehensus, ad magistratus adducitur: a quibus excruciatus, ad supplicium asservabatur. Anno regni Sedeciæ nono, secundum aggreditur Hierosolyma Babylonius: cumque urbem menses octodecim obsidione pressisset, ad hostilem metum fames et pestis accessit. Tum Jeremias in carcere multitudinem adhortatur, ut Babylonium recipiant, sic fore incolumes, alioqui vel fame vel gladio perituros: qui autem ad hostes transisset, mortem vitaturum. Cæterum prophetæ fidem habebat nemo; duces etiam regem contra eum instigabant: qui tempori serviens, cum illis tradit, ut suo arbitratu tractent: quem illi in lacum cœnosum conjecerunt. Unde Sedecias extractum et clam accersitum interrogat, quid de urgentibus malis sentiret? Propheta urbem Babylonio dedendam censet, regemque metum exitii causantem confirmat, si obtemperasset, nihil ei grave eventurum: itaque dimittitur. At Babylonius magna vi urbem adortus, undecimo regni Sedeciæ anno capit. Sedecias ex urbe fugiens, ab hostibus cum liberis et uxoribus capitur, a suis ducibus et amicis, aliis alio dilapsis, destitutus. Babylonius ad se perducto ingratum animum et perfidiam exprobrat, liberos atque amicos in ejus conspectu jugulari jubet, ipsum effossis oculis vinctum Babylonem adducit. Tum demum sensit, utrumque prophetam fuisse veracem. Hic postremus fuit familiæ Davidicæ regum, qui numero viginti unus fuerant universi: elapsis, ex quo Saul regnum inierat, annis quingentis et quatuordecim, mensibus sex, diebus sexdecim. Nabuzardan Nabuchodonosoris magister coquorum, jussu regis et templum et regiam incendit, et urbem evertit, omni ornatu templi spoliato. Crematum est templum anno quadringentesimo septuagesimo, mense sexto, die decimo

κὴλ ἐν Βαβυλῶνι προέλεγε, καὶ γράψας ἀπέσταλκεν εἰς Ἱεροσόλυμα. Ἠπίστησε δὲ ἀμφοῖν τοῖς προφήταις ὁ Σεδεκίας, ὡς τάχα διαφωνοῦσι. Περὶ μὲν γὰρ τῶν ἄλλων συνεφώνουν, περὶ δὲ αὐτοῦ Σεδεκίου ἐδόκουν ἐναντιοῦσθαι. Ἰεζεκιὴλ μὲν γὰρ μὴ ὄψεσθαι τὴν Βαβυλῶνα αὐτὸν προεφήτευεν, Ἱερεμίας δὲ δέσμιον αὐτὸν ἀπαχθῆναι πρὸς Βαβυλῶνα προέλεγε. Συνῳδὰ δὲ τοῖς προφήταις καὶ τὰ περὶ τούτου προεῤῥηντο· τυφλωθεὶς γὰρ ἐν Ἰουδαίᾳ, καὶ δέσμιος ἀπαχθεὶς, τὴν Βαβυλῶνα οὐκ ἐθεάσατο. Οὗτος ὁ Σεδεκίας ἐπὶ ἔτη ὀκτὼ τηρήσας τὴν πίστιν τὴν πρὸς τὸν Βαβυλώνιον, πρὸς τοὺς Αἰγυπτίους ἀπέκλινε. Διὸ στρατεύσας ὁ Ναβουχοδονόσορ, ἐπολιόρκει τὴν Ἱερουσαλήμ. Τῶν δ' Αἰγυπτίων εἰς συμμαχίαν ἡκόντων τοῖς Ἰουδαίοις, προϋπαντήσας σφίσιν ὁ Βαβυλώνιος, καὶ τρεψάμενος αὐτοὺς διώκει. Οἱ δὲ ψευδοπροφῆται, μηκέτι τοὺς πολεμίους πολιορκήσειν αὐτοὺς ἔλεγον· Ἱερεμίας δὲ, καὶ ὑποστρέψαι αὐτοὺς, καὶ τὴν πόλιν αἱρήσειν καὶ κατασκάψειν, καὶ τὸν ναὸν ἐμπρήσειν, καὶ τὸν λαὸν τὸν τέως περιλειφθησόμενον ἀπάξειν προηγόρευε δυσάλωτον, ἐπ' ἔτη δουλεύσοντα ἑβδομήκοντα, μέχρις οὗ Πέρσαι καὶ Μῆδοι τὴν Βαβυλωνίων ἀρχὴν καταλύσουσι. Τότε δὲ λυθῆναι τῆς αἰχμαλωσίας αὐτοὺς, καὶ τὸν ναὸν αὖθις καὶ τὴν πόλιν ἀνοικοδομῆσαι. Ταῦτ' ἔλεγεν Ἱερεμίας. Ὁ δὲ βασιλεὺς καὶ οἱ περὶ αὐτὸν τοὺς λόγους αὐτοῦ ἐμυκτήριζον. Ἀπιόντι δὲ τῷ προφήτῃ πρὸς Ἀναθὼθ τὴν πατρίδα, συναντήσας τις τῶν ἀρχόντων, καὶ κατασχὼν, ὡς αὐτόμολον ἤγαγε πρὸς τοὺς ἄρχοντας· οἳ αἰκισάμενοι αὐτὸν ἐτήρουν εἰς κόλασιν. Κατὰ δὲ τὸ ἔνατον ἔτος τῆς βασιλείας Σεδεκίου, ἔπεισι τὸ δεύτερον κατὰ τῶν Ἱεροσολύμων ὁ Βαβυλώνιος· καὶ ἐφ' ἕνα πρὸς τῷ ἡμίσει ἐνιαυτὸν, κραταιῶς τὴν πόλιν πολιορκεῖ. Τῇ δὲ πολιορκίᾳ καὶ λιμὸς συνηνέχθη, καὶ ἐπὶ τούτους λοιμός. Ἱερεμίας δὲ καὶ καθειργμένος δέξασθαι τὸν Βαβυλώνιον παρεκάλει τὸ πλῆθος· σωθήσεσθαι γὰρ οὕτω· εἰ δ' οὔ, μένοντας ἀπολεῖσθαι ἢ λιμῷ ἢ μαχαίρᾳ· εἰ δέ τις προσχωρήσει τοῖς πολεμίοις, τὸν θάνατον, ἔλεγε, διαφεύξεται. Οὐδενὶ μέντοι πιστὸς ὁ προφήτης ἐλέλογιστο. Οἱ δ' ἡγεμόνες καὶ προσηρέθιζον κατ' ἐκείνου τὸν βασιλέα. Ὁ δὲ διὰ τὸν καιρὸν αὐτοὺς θεραπεύων, ἐνέδωκεν αὐτοὺς χρήσασθαι τῷ προφήτῃ ὡς βούλονται. Κἀκεῖνοι αὐτὸν εἰς λάκκον βορβορώδη ἐνέβαλον. Σεδεκίας δὲ τοῦτο μαθὼν, ἀνελκυσθῆναι αὐτὸν ἐκεῖθεν ἐκέλευσε· καὶ λάθρα καλέσας, ἤρετο τί φησι πρὸς τὰ παρόντα δεινά; Ὁ δὲ παραδοῦναι τὴν πόλιν συνεβούλευε τῷ Βαβυλωνίῳ. Σεδεκίας δὲ δεδιέναι ἔλεγε μὴ ἀναιρεθῇ. Ὁ δὲ προφήτης οὐδενὸς αὐτὸν οὕτω ποιοῦντα πειραθήσεσθαι δυσχεροῦς ἰσχυρίζετο. Τὸν μὲν οὖν ὁ βασιλεὺς ἀπέλυσεν. Ὁ δέ γε Βαβυλώνιος ἐπολιόρκει τὴν πόλιν μετὰ σφοδρᾶς ἐπιθέσεως, καὶ εἷλε ταύτην τῷ ἑνδεκάτῳ ἐνιαυτῷ τῆς ἀρχῆς Σεδεκίου. Σεδεκίας δὲ μετὰ τῶν γυναικῶν, καὶ τῶν τέκνων, καὶ τῶν προσηκόντων, καὶ τῶν φίλων ἔφευγεν ἐκ τῆς πόλεως. Οἱ δὲ πολέμιοι κατεδίωξαν αὐτὸν, καὶ κατέλαβον μονωθέντα. Οἱ γὰρ ἡγεμόνες, καὶ οἱ φίλοι αὐτοῦ διεσπάρησαν.

Ζωγρήσαντες οὖν αὐτὸν, καὶ τὰ τέκνα, καὶ τὰς γυναῖκας, ἤγαγον εἰς τὸν Βαβυλώνιον. Ὁ δὲ ὠνείδισεν αὐτὸν εἰς ἀχαριστίαν καὶ ἀπιστίαν. Ἐκέλευσέ τε τοὺς παῖδας αὐτοῦ καὶ τοὺς φίλους κτανθῆναι ἐν ὀφθαλμοῖς αὐτοῦ· εἶτα καὶ τὰ ὄμματα πηρώσας αὐτοῦ, δέσμιον εἰς Βαβυλῶνα ἀπήγαγεν. Καὶ τότε συνῆκε, καὶ ἄμφω τοὺς προφήτας ἀληθῶς προειπεῖν. Οὗτος τέλος ἐγένετο τῶν ἐκ τοῦ σπέρματος τοῦ Δαβὶδ βεβασιλευκότων· εἴκοσι δὲ καὶ εἷς ἐτύγχανον ἅπαντες· ἐτῶν διελθόντων, ἐξότου τῆς βασιλείας ἐπέβη Σαοὺλ, πεντακοσίων δέκα καὶ τεσσάρων, μηνῶν ἓξ, ἡμερῶν δεκαέξ. Πεμφθεὶς δὲ Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος τοῦ Βαβυλωνίου (70), τόν τε ναὸν καὶ τὰ βασίλεια ἐνέπρησε, καὶ τὴν πόλιν κατέσκαψε, καὶ τὰ τοῦ ναοῦ πάντα ἐσύλησεν. Ἐμπέπρηστο δὲ ὁ ναὸς μετὰ τετρακόσια ἔτη καὶ ἑβδομήκοντα, μῆνάς τε ἓξ καὶ ἡμέρας δέκα, ἀφ' οὗ ἐδομήθη καιροῦ· ἐκ δὲ τῆς ἐξ Αἰγύπτου τῶν Ἑβραίων μεταναστεύσεως, μετὰ ἑξήκοντα δύο ἔτη καὶ χίλια, καὶ μῆνας ἓξ, καὶ ἡμέρας δέκα· ἀπὸ δὲ τοῦ κατακλυσμοῦ, μετὰ χιλίους ἐνναkοσίους πεντήκοντα ἑπτὰ ἐνιαυτοὺς, καὶ μῆνας ἓξ, καὶ ἡμέρας δέκα· ἐκ δὲ τῆς παραγωγῆς τοῦ πρώτου ἀνθρώπου (71) μέχρις τότε, τρισχίλια πεντακόσια δέκα καὶ τρία ἔτη παρήλθοσαν, μῆνες ἓξ, καὶ ἡμέραι δέκα.

A postquam conditum fuerat : post Israelitarum migrationem ex Ægypto annis mille sexaginta duobus, mensibus sex, diebus decem : a diluvio, annis mille nongentis, mensibus sex, diebus decem, a primo homine condito **116** in eum usque diem : annis ter mille quingentis tredecim, mensibus sex, et diebus decem.

LIBER TERTIUS.

Α. Ναβουζαρδὰν δὲ κατασκάψας τὴν Ἱερουσαλὴμ, τόν τε λαὸν, καὶ τὸν ἀρχιερέα Σαβαῖον, καὶ τὰ σκεύη τὰ ἱερὰ εἰς Βαβυλῶνα ἐκόμισε. Ναβουχοδονόσορ τὰ σκεύη τοῦ Θεοῦ τοῖς ἑαυτοῦ θεοῖς ἀνατέθεικε, τοὺς δὲ αἰχμαλώτους εἰς τὴν οἰκείαν χώραν κατῴκισε. Τοὺς δ' αὐτομολήσαντας ἐν τῇ πολιορκίᾳ πρὸς τοὺς Βαβυλωνίους, ἐν Ἰουδαίᾳ καταλιπὼν ὁ Ναβουζαρδὰν, καὶ τοὺς πένητας, ἡγεμόνα τούτοις ἐπέστησε Γοδολίαν, ἄνδρα τῶν εὖ γεγονότων, ἐπιεικῆ τε καὶ δίκαιον, καὶ τὴν χώραν ἐργάζεσθαι αὐτοῖς ἐνετείλατο, καὶ δασμοφορεῖν τῷ Ναβουχοδονόσορ ἐπέταξε. Τῷ δὲ προφήτῃ Ἱερεμίᾳ εἰς Βαβυλῶνα ἀπελθεῖν προετρέπετο (72)· ὁ δὲ ἐν τοῖς ἐρειπίοις τῆς πατρίδος ἤθελε διατρίβειν, καὶ ἀφῆκεν αὐτὸν ἐκεῖ, τῷ Γοδολίᾳ ἐπιτάξας, ποιεῖσθαι αὐτοῦ πᾶσαν πρόνοιαν. Ἀπέλυσε δὲ αὐτῷ καὶ τὸν φοιτητὴν Βαρούχ, τῇ πατρῴῳ γλώττῃ διαφερόντως πεπαιδευμένον. Ὅσοι δ' ἐκ τῆς Ἱερουσαλὴμ διὰ τὴν πολιορκίαν ἀπέδρασαν, ἦκον πρὸς Γοδολίαν. Ὁ δὲ γεωργεῖν τὴν χώραν αὐτοῖς συνεβούλευε, καὶ κατοικεῖν ἣν ἕκαστος βούλεται πόλιν, καὶ ἀνοικοδομεῖν τὰ ἐρείπια. Γνόντες δὲ τὸν Γοδολίαν ἄνδρα χρηστὸν, ὑπερηγάπησαν αὐτόν. Ἐπανῆλθε δὲ σὺν τοῖς ἄλλοις καί τις καλούμενος Ἰσμαὴλ, ἐκ τοῦ βασιλείου γένους ὑπάρχων, ὃς πρὸς τοὺς Ἀμμανίτας ἀπέδρα κατὰ τὸν τῆς πο-

I. Nabuzardan, Hierosolymis eversis, et populum et pontificem Sabæum et sacra vasa Babylonem transfert. Ea Nabuchodonosor suis diis dedicat, et captivis in sua regione sedes attribuit. Qui in obsidione urbis ad Babylonios transfugerant pauperes, Nabuzardan in Judæa relinquit, præposito eis Godolia viro nobili, justo et moderato : et agros colere jubet, ac Nabuchodonosori tributa pendere. Jeremiam prophetam hortatus ut Babylonem iret, cum ille in ruinis Hierosolymorum degere mallet, ibi relinquit, Godoliæ diligentissime commendatum, concesso etiam Barucho scriba, in lingua patria præclare erudito. Quotquot igitur propter obsidionem transfugerant, cum ad Godoliam se contulissent, ab eo moniti sunt ut agros colerent, et quas quique vellent urbes incolerent, ruinasque instaurarent : quem ob probitatem ejus mirifice dilexerunt. Cum autem inter cæteros Ismael quidam ex regio genere, qui tempore obsidionis ad Ammanitas confugerat, accessisset, quidam hominis occidendi potestatem a Godolia petierunt, quod ejus vitæ ab illo insidiæ struerentur. Verum Godolias fidem illis non habuit, atque etiam præstare dixit, semetipsum perire, quam occidere hominem, qui ipsius fidei se com-

Variæ lectiones et notæ.

(70) *Ἀρχιμάγειρος τοῦ Βαβυλωνίου.* Quid coquo cum belli administratione? Quare ex auctoritate Bibliorum ἀρχιστράτηγος legendum esse censeo. W.

(71) *Ἐκ τῆς παραγωγῆς τοῦ πρώτου ἀνθρώπου.* Cod. Colb. τοῦ πριότου ἐνιαυτοῦ.

(72) *Τῷ δὲ προφήτῃ προστρέπετο.* Malim, τὸν δὲ προφήτην. Etsi enim aliquot insolentiores constructiones et phrases in hoc auctore reperiuntur, eæ tamen haud scio an librariis sint imputandæ. W.

misisset. Aliquanto post, ille Ismael cum aliis a Godolia hospitio exceptus, tum ipsum, tum cæteros convivas occidit. Deinde Babylonios in urbe relictos nocte aggressus, una cum omnibus Judæis qui ibi erant perimit. Postridie viros octoginta Godoliæ dona oblaturos, paucis exceptis, qui in agris occultatam supellectilem, vestes et frumentum se ei ostensuros pollicebantur, trucidat: iisque rebus et multis captivis acceptis, reditum ad Ammanitas parat. His duces quidam Judæorum cognitis, cohortati suos, et Ismaelem persecuti, captivos recipiunt, illo cum octo viris elapso. Qui cladi illi superfuerant, Babylonios metuentes, de petenda Ægypto deliberabant. **117** Cum autem Jeremias eis manendi auctor esset (Deum enim provisurum, ne quid mali paterentur: sin abissent, deserturum eos), fidem prophetæ non habuerunt: sed spretis ejus monitis, in Ægyptum et ipsum et Baruchum secum abduxerunt. Quo propheta cum pervenisset, quid futurum esset divinitus edoctus, popularibus prædicit, Babylonium Ægyptios invasurum, Ægyptique potiturum, atque alios occisurum, alios in captivitatem abducturum: eaque de causa a popularibus suis, lapidibus obrutus occidit, sed quæ prædixerat facta sunt. Nam quinto post vastationem Hierosolymorum anno Nabuchodonosor Cœlesyria occupata, Moabitis et Ammanitis subactis, Ægyptoque in potestatem redacta, et rege obtruncato, alium provinciæ præposuit: Judæos qui illic erant Babylonem traducit. Ferunt Alexandrum regem, Ægypto subacta, cum Jeremias ab Ægyptiis divinis laudibus celebraretur, ossa ejus in urbem a se conditam Alexandriam transtulisse. Propheta igitur, ut jam exposui, sic res futuras prædixit: gens autem Hebræorum talem sortita est exitum, ultra Euphratem abducta. Nam decem tribus Osea Samariæ regnante ab Assyriis, post duæ tribus cum iis qui captivitati Hierosolymorum superfuerant, a Nabuchodonosore captæ fuerunt. At Salmanasar Chutæorum gentem Persicam Samariam transtulit: Nabuchodonosor vero Judæam vastam jacere passus est, itaque mansit per annos septuaginta. Inter captivitatem tribuum Samariæ decem, et Hierosolymorum duarum, intercesserunt anni centum triginta, menses septem, et dies decem.

II. Captivorum puerorum nobilissimum quemque, et regi Sedeciæ cognatum, et e cæteris robustissimos et formosissimos, Babylonius castratos pædagogis tradidit, litteris et institutis Chaldæorum erudiendos, victu de sua mensa illis constituto. Fuerunt autem quatuor pueri regii

A λιορκίας καιρόν. Τοῦτον προσελθόντα τῷ Γοδολίᾳ. τινὲς ἐπιβουλεύειν αὐτῷ ἔλεγον· εἰ δ' ἐπιτρέψει αὐτοῖς κτεῖναι τὸν ἄνδρα, διαφεύξεται τὴν ἐπιβουλήν. Ὁ δ' ἠπίστει, ἢ καὶ βέλτιον ἔλεγεν ἡγεῖσθαι αὐτὸς ἀποθανεῖν, ἢ ἄνθρωπον κτεῖναι πιστεύσαντα αὐτῷ ἑαυτόν. Μετὰ καιρὸν δὲ σὺν ἑτέροις ὁ Ἰσμαὴλ οὗτος πρὸς Γοδολίαν ἐλθών, καὶ ξενισθείς, ἀπέκτεινε τόν τε Γοδολίαν καὶ τοὺς συμποσιάζοντας. Εἶτα νυκτὸς ἐπιθέμενος, τοῖς καταλειφθεῖσιν ἐν τῇ πόλει Βαβυλωνίοις, αὐτούς τε ἀνεῖλε, καὶ πάντας τοὺς ἐκεῖ Ἰουδαίους. Τῇ ἐπαύριον δὲ ὀγδοήκοντα ἀνδρῶν ἐκ τῆς χώρας σὺν δώροις πρὸς Γοδολίαν ἐλθόντων, καὶ τούτους ἀνεῖλεν ὁ Ἰσμαὴλ, ἄνευ ὀλίγων τινῶν, οἳ κεκρυμμένα ἐν τοῖς ἀγροῖς ἔπιπλά τε καὶ ἐσθῆτας καὶ σῖτον ὑπέσχοντο δείξειν αὐτῷ. Λαβὼν δὲ καὶ αἰχμαλωσίαν πολλὴν, ἀπῄει πρὸς Ἀμμανίτας. Ταῦτα δὲ μαθόντες ἡγεμόνες τῶν Ἰουδαίων τινες, καὶ τοὺς σὺν αὐτοῖς παραθήξαντες, κατεδίωξαν αὐτόν· καὶ τὴν μὲν αἰχμαλωσίαν ἐπανεσώσαντο, Ἰσμαὴλ δὲ σὺν ἀνδράσιν ὀκτὼ διαπέφευγεν. Οἱ δὲ περισωθέντες τοὺς Βαβυλωνίους δεδοικότες, ἀπιέναι πρὸς Αἴγυπτον ἐβουλεύοντο. Καὶ τοῦ Ἱερεμίου μένειν αὐτοῖς συμβουλεύοντος (μένουσι γὰρ τὸ Θεῖον αὐτοῖς προμηθεύσεσθαι, μή τι πείσεσθαι κακόν· ἀπιοῦσι δὲ, μὴ συνέσεσθαι αὐτοῖς) οὐκ ἐπίστευον. Ἀλλ' ἀπειθήσαντες, ἀπῆραν εἰς Αἴγυπτον, ἄγοντες καὶ τὸν Ἱερεμίαν καὶ τὸν Βαρούχ. Ἀπελθόντι δ' ἐκεῖ τῷ προφήτῃ, δηλοῖ τὸ Θεῖον τὰ μέλλοντα. Ὁ δὲ προὔλεγε τοῖς ὁμοφύλοις, ὡς ἐπὶ τοὺς

B Αἰγυπτίους στρατεύσει ὁ Βαβυλώνιος, καὶ τῆς Αἰγύπτου κρατήσει, καὶ ὡς τοὺς μὲν αὐτῶν κτενεῖ, τοὺς δὲ δορυαλώτους ἀπάξει. Δι' ἃ καὶ καταλευσθεὶς ὑπὸ τῶν συμφυλετῶν, τέθνηκεν· ἃ δὲ προείρηκε γέγονε· πέμπτον γὰρ ἔτος μετὰ τὴν τῶν Ἱεροσολύμων ἠνύετο πόρθησιν. Καὶ Ναβουχοδονόσορ κατὰ τῆς Κοίλης Συρίας ἐξώρμησε, καὶ κατασχὼν αὐτὴν, Ἀμμανίταις ἐπῆλθε καὶ Μωαβίταις. Κἀκεῖθεν ἐπ' Αἴγυπτον ἐξεστράτευσε, καὶ ὑποτάξας αὐτὴν, κτείνει τὸν βασιλεύοντα, ἕτερον δ' ἐγκαθίστησι. Τοὺς δ' ἐκεῖ Ἰουδαίους εἰς Βαβυλῶνα μετήνεγκεν. Ἱερεμίου δ' ἐν Αἰγύπτῳ ταφέντος, λέγεται ὁ βασιλεὺς Ἀλέξανδρος, κυριεύσας τῆς Αἰγύπτου μετὰ τῶν ἄλλων, ἐξυμνούντων τὸν προφήτην τῶν Αἰγυπτίων, μετενεγκεῖν τὰ ὀστᾶ ἐκείνου εἰς τὴν παρ' αὐτοῦ κτισθεῖσαν πόλιν τὴν Ἀλεξάνδρειαν. Ὁ μὲν οὖν προφήτης προεῖπεν, ὡς εἴρηταί μοι, τὰ συμβησόμενα. Τὸ δὲ τῶν Ἑβραίων γένος τοιοῦτον εὔρατο τέλος, πέραν Εὐφράτου μετενεχθέν. Αἱ μὲν γὰρ δέκα φυλαὶ, Ὡσηὲ βασιλεύοντος εἰς Σαμάρειαν παρὰ τῶν Ἀσσυρίων ᾐχμαλωτίσθησαν. Αἱ δὲ δύο φυλαὶ μετὰ ταῦτα παρὰ Ναβουχοδονόσορ ἐλήφθησαν δορυάλωτοι, καὶ ὅσοι μετὰ τὴν τῶν Ἱεροσολύμων ἅλωσιν ὑπελείφθησαν. Καὶ ὁ μὲν Σαλμανασὰρ τὸ τῶν Χουθαίων ἔθνος ἐκ Περσίδος μετῴκισεν εἰς Σαμάρειαν. Ὁ δὲ Ναβουχοδονόσορ ἔρημον ἀφῆκε τὴν Ἰουδαίαν, καὶ ἔμεινεν οὕτως ἐπὶ ἐνιαυτοὺς ἑβδομήκοντα. Ὁ μεταξὺ δὲ τῆς τῶν δέκα φυλῶν αἰχμαλωσίας ἐκ Σαμαρείας, καὶ τῆς τῶν δύο ἐξ Ἱερουσαλὴμ, χρόνος ἑκατὸν τριάκοντα ἔτη, καὶ μῆνες ἕξ, πρὸς ἡμέραις δέκα ἐγένοντο.

Β'. Τοὺς δὲ εὐγενεστέρους τῶν αἰχμαλώτων παῖδας, καὶ τῷ βασιλεῖ Σεδεκίᾳ προσήκοντας, καὶ τῶν ἄλλων ἀκμαιοτέρους καὶ ὡραιοτέρους ἐκτομίας ποιήσας ὁ Βαβυλώνιος, καὶ παιδαγωγοῖς παραδοὺς, τά τε τῶν Χαλδαίων ἐδίδασκε γράμματα· καὶ τὰ ἐπιχώρια ἐκ τῆς ἰδίας τραπέζης, ἀποτάξας σφίσι τὴν

δίαιταν. Τέσσαρες δὲ τῶν παίδων ἦσαν ἐκ τοῦ βασιλικοῦ γεγονότες γένους, καλοὶ τὰς ὄψεις, καὶ ἀγαθοὶ τὰς φύσεις· ὧν τὸν μὲν Δανιὴλ καλούμενον, Βαλτάσαρ ὁ Βαβυλώνιος μετωνόμασε· τὸν δὲ Ἀνανίαν ὠνομασμένον Σεδράχ· Μισαὴλ δὲ τὸν ἕτερον κεκλημένον Μισάκ· καὶ τὸν λοιπὸν Ἀζαρίαν, Ἀβδεναγώ· οὓς καὶ τῶν ἄλλων ἦγεν ἐντιμοτέρους, δι' εὐφυΐαν ἐπὶ σοφίᾳ προκόπτοντας. Οὗτοι τοίνυν οἱ νεανίαι τοῦ προεστῶτος αὐτῶν εὐνούχου ἐδέοντο, μὴ τοῖς ἐκ τῆς βασιλικῆς τραπέζης χορηγουμένοις αὐτοῖς διαιτᾶν σφᾶς, ἀλλ' ὄσπρίοις καὶ φοίνιξι καὶ τοιούτοις ἄλλοις. Ὁ δὲ, δεδιέναι ἔλεγε μὴ, τοιούτοις τρεφόμενοι, λεπτωθῶσι τὰ σώματα, καὶ παρὰ τοῦ βασιλέως διὰ τοῦτο αὐτὸς κακωθῇ. Οἱ δὲ ἐφ' ἡμέρας δέκα οὕτω διαιτῆσαι αὐτοὺς παρεκάλουν, καὶ εἰ μὲν μὴ μεταβάλλοιτο ἡ τῶν σωμάτων ἕξις αὐτοῖς, οὕτω διαιτᾶν αὐτοὺς καὶ εἰς τὸ ἑξῆς· εἰ δ' ἴδοι τὰ σώματα αὐτῶν ἰσχναινόμενα, τῆς προτέρας ἔχεσθαι διαιτήσεως. Πείθεται τούτοις ὁ τῶν παίδων προεστηκώς, καὶ οὕτω ποιήσας, ὡς οὐδὲν αὐτοὺς ἐκ τῶν τοιούτων τροφῶν παθόντας εἶδε, μᾶλλον μὲν οὖν καὶ τῶν ἄλλων θαλερωτέρους γεγονότας, ἀψύχους αὐτοῖς προσῆγε τροφάς. Οἱ δὲ λεπτυνθέντος αὐτοῖς τοῦ νοὸς, πᾶσαν κατώρθωσαν παιδείαν Χαλδαϊκὴν καὶ Ἀσσύριον. Ὁ δέ γε Δανιὴλ καὶ περὶ κρίσεις ὀνείρων κατέτεινε τὴν σπουδήν. Εἶτα ἐνύπνιον ὁ Ναβουχοδονόσορ ἐξαίσιον θεάσαμενος, καὶ τὴν κρίσιν τούτου κατὰ τοὺς ὕπνους μαθὼν, τοῦ τε ὀνείρου καὶ τῆς κρίσεως αὐτοῦ ἐπελάθετο. Ἔωθεν οὖν μεταπεμψάμενος τοὺς Χαλδαίους καὶ τοὺς μάντεις καὶ μάγους, ἀπῄτει τούτου τό ὄναρ τε εἰπεῖν αὐτῷ, καὶ τὴν τούτου δήλωσιν. Οἱ δὲ αὐτὸν ἤθελον πρότερον εἰπεῖν τὸ ἐνύπνιον, καὶ οὕτως αἰτεῖν ἐξ ἐκείνων τὸ σημαινόμενον. Ὠργίσθη ἐπὶ τούτοις ὁ βασιλεὺς, καὶ θάνατον ἁπάντων κατεψηφίσατο, μὴ δύνασθαι λεγόντων εὑρηκέναι τὸν ὄνειρον. Τούτοις, ὡς σοφοὶ, καὶ Δανιὴλ καὶ οἱ τρεῖς παῖδες καὶ συνεκλήθησαν καὶ συγκατεκρίθησαν. Προσεισι τοίνυν ὁ Δανιὴλ τῷ τῶν βασιλικῶν σωματοφυλάκων ἐξάρχοντι, καὶ ἠξίωσεν ἐπὶ μίαν νύκτα τὴν ἀναίρεσιν τῶν κατακρίτων ὑπερτεθῆναι· Ἴσως γὰρ, ἔφη, *δι' αὐτῆς δεηθησόμεθα τοῦ Θεοῦ καὶ γνωσόμεθα τὸ ἐνύπνιον.* Ἐνέδωκεν ὁ βασιλεὺς πρὸς τὴν αἴτησιν. Καὶ συμπαραλαβὼν ὁ Δανιὴλ καὶ τοὺς τρεῖς αὐτοῦ συγγενεῖς παῖδας, ἱκέτευσε διὰ τῆς νυκτὸς τὸν Θεόν. Δηλοῦται οὖν αὐτῷ θεόθεν, καὶ τὸ ἐνύπνιον, καὶ τὰ δι' αὐτοῦ σημαινόμενα, καὶ μεθ' ἡμέραν ἀπῄει πρὸς τὸν βασιλέα. Καὶ οἱ παρὰ τοῦ Θεοῦ ἔφη γνωρισθῆναι αὐτὸ καὶ τὸ ὄναρ, καὶ τὴν αὐτοῦ δήλωσιν, ἐλεήσαντος τοὺς ἀδίκως διὰ τοῦτο ἀποθανεῖν κινδυνεύοντας· οὐδὲν δ' ἧττον καὶ σὲ τὸν κτεῖναι θέλοντα ἀναιτίως τούτους ἐξ ὧν ἀπῄτεις ἀδύνατα, ἃ μόνῃ τῇ θείᾳ φύσει γνωστά. Ἃ δ' ἐθεάσω, τοιαῦτά εἰσιν. *Ἔδοκεις ὁρᾶν ἀνδριάντα μέγαν ἑστῶτα, οὗ χρυσῆ μὲν ἡ κεφαλὴ, οἱ δὲ ὦμοι καὶ οἱ βραχίονες ἀργυροῖ, ἡ δέ γε γαστὴρ μετὰ τῶν μηρῶν ἐκ χαλκοῦ, αἱ κνῆμαι δὲ καὶ οἱ πόδες ἦσαν μέρος μέν τι σιδήρεοι, μέρος δέ τι ὀστράκινοι. Εἶτα λίθος ἐξ ὄρους ἀποῤῥαγεὶς, τῷ ἀνδριάντι ἔδυξεν ἐμπεσεῖν, καὶ συντρῖψαι*

A generis, et forma et ingeniis præstantes, quorum Danieli Balthasaris, Ananiæ Sedrachi, Misaeli Misaci, Azariæ Abdenagi nomen fecit Babylonius, et præ cæteris honorem habuit, ob indolem disciplinarum capacem. Ili igitur **118** adolescentes eunuchum cui parebant, rogarunt, ne sibi regiæ mensæ fercula præberentur, sed legumina, dactyli, et alia id genus. Ille cum sē vereri diceret, ne illo cibo extenuatis eorum corporibus, ipse a rege male tractetur: tamen, pueris petentibus, ut decem diebus ita pascerentur, quod si corpora sua non mutarentur, ita pergeret: sin extenuari videret, pristinum victum præberet, obtemperat. Cumque non modo nihil eis decedere, sed vegetiores etiam cæteris reddi videret, cibos inanimes B eis præbet. Ita subtilioribus redditis ingeniis, in omni doctrina Chaldaica et Assyriaca egregie profecerunt. Daniel etiam somniis conjiciendis animum intendit. Cum autem Nabuchodonosor mirabile somnium vidisset, cum ejusdem enarratione: utriusque oblitus, mane Chaldæos vates et magos accersit, somnium et ejus explicationem ab eis flagitat. Verum illis petentibus, ut somnium prius enarraret, ac tum demum dijudicationem postularet: rex iratus, quod somnium se reperire posse negassent, omnes capitis condemnat. Inter hos et Daniel et tres pueri, ut homines eruditi, et vocati et una condemnati fuerant. Daniel igitur regiorum satellitum præfectum orat, ut cædem damnatorum unam noctem differret. *Fortassis* C *enim*, inquit, *precati Deum, somnium cognoscemus.* Mora impetrata, tribus cognatis adhibitis, pernox precatus Deum, et somnium et ejus significationem cognoscit: mane regem accedit, somnium et ejus significationem a Deo sibi revelatam esse indicat, miserto eorum, qui propterea insontes in capitis periculo essent: nec minus ipsius regis, qui tot occisurus esset sine culpa, a quibus ea postulasset, quæ sciri ab eis non potuissent, ac soli naturæ divinæ cognita essent. *Ea vero quæ vidisti*, inquit, *hujusmodi sunt. Visus es videre statuam magnam hominis stantem, cujus caput esset aureum, humeri et brachia argentea, venter cum femoribus æreus, crura et pedes partim ferrei,* D *partim testacei. Deinde lapis ex monte abruptus, visus illidi statuæ, eamque conterere, atque aurum, argentum, æs, ferrum, et testam ita comminuere, ut a vento dissiparentur. Lapis vero in tantam molem excrescere, ut omnem terram impleret.* **119** *Et hoc somnium vidisti, cum de regno et successore imperii sollicite cogitares: quæ vero eo significantur, hæc sunt. Aureum caput tu es, et cæteri reges Babyloniorum: nam aurum imperii tui felicitatem innuit. Duæ vero manus et humeri, duo regna repræsentant, a quibus vester principatus destruetur. Venter et femora ærea regem significant ære indutum, qui eos opprimet, a quibus vos opprimendi estis; illius porro regnum ab alio potentiore destruetur. Nam et auro et argento et ære ferrum est du-*

rius. Aurum enim, purum putum præsertim, est argento mollius : argentum, ut auro densius, ita ære laxius : ferrum porro ære etiam solidius est. Capiti igitur regnum Assyriorum est comparatum, ut antiquius et vetustius cæteris. Altero, Medorum et Persarum regnum intelligitur, qui Assyriorum everterunt. Nam Cyrus, ut post narrabitur, Persa patre, matre Medica natus, utriusque gentis armis Assyrios devicit, eorumque regnum evertit. Duabus autem manibus duæ gentes significantur. Tertium regnum est Macedonum, æri comparatum, utpote potentius, quod Persicum imperium destruxit, ac venter quidem Alexandrum refert, duo femora divisionem regni post ejus obitum. Quartum regnum est Romanorum, cui ferrum attribuit ob soliditatem, et tibias, ratione temporis, quod cæteris magnis imperiis sit posterius, quemadmodum crura et pedes extremæ sunt partes corporis. Jam testa ferro admista significat regnum illud, etsi robustum sit, tamen fragile aliquid et imbecillum habere adjunctum, cujusmodi est testa limo constans.

Δ αὐτὸν, καὶ λεπτύναι τὸν χρυσὸν, καὶ τὸν ἄργυρον, καὶ τὸν χαλκὸν, καὶ τὸν σίδηρον, καὶ τὸν ὄστρακον ἐς τοσοῦτον, ὡς ὑπ' ἀνέμου ἐκλιμηθῆναι (73-74) αὐτά. Ὁ δὲ λίθος ἐδόκει αὐξῆσαι, καὶ εἰς τοσοῦτον μέγεθος προελθεῖν, ὡς πᾶσαν ὑπ' αὐτοῦ πεπληρῶσθαι τὴν γῆν. Οὗτος μὲν οὖν σοι ὁ ὄνειρος. Ἃ δὲ δηλοῦταί σοι δι' αὐτοῦ, φορτίζοντι περὶ τῆς βασιλείας, καὶ τίς ἄρξει μετὰ σὲ, ταῦτά εἰσιν. Ἡ μὲν χρυσῆ κεφαλὴ, σύ τε εἶ, καὶ οἱ λοιποὶ βασιλεῖς τῶν Βαβυλωνίων. Τὸ πολύολβον δ' ὁ χρυσὸς τῆς ἀρχῆς σου παραδηλοῖ. Αἱ δὲ δύο χεῖρες καὶ οἱ ὦμοι διττὰς εἰκονίζουσι βασιλείας, ὑφ' ὧν ἡ ὑμῶν ἡγεμονία καταλυθήσεται· ἡ χαλκὴ δὲ γαστὴρ, καὶ οἱ τοιοῦτοι μηροὶ, βασιλέα δηλοῦσι χαλκὸν ἐνδεδυμένον, Β ὃς τοὺς ὑμᾶς καταλύσαντας καθαιρήσει. Τὴν δ' ἐκείνου βασιλείαν αὖθις ἑτέρα καταπαύσει δυνατωτέρα. Τοῦ τε γὰρ χρυσοῦ καὶ τοῦ ἀργύρου καὶ τοῦ χαλκοῦ ὁ σίδηρος δυνατώτερος. Ὁ μὲν γὰρ χρυσὸς, καὶ μᾶλλον ὁ καθαρώτατος, τοῦ ἀργύρου ἐστὶ μαλακώτερος. Ὁ δ' ἄργυρος τοῦ μὲν χρυσοῦ στεγανώτερος, τοῦ δὲ χαλκοῦ τυγχάνει χαυνότερος. Ὁ δὲ σίδηρος αὖθις καὶ τοῦ χαλκοῦ στερεώτερος.

Κεφαλῇ μὲν οὖν ἡ τῶν Ἀσσυρίων βασιλεία ἀπείκασται, ὡς προγενεστέρα τῶν ἄλλων, καὶ τῷ χρόνῳ πρεσβεύουσα. Δευτέραν δὲ τὴν τῶν Μήδων καὶ τῶν Περσῶν ἐκάλεσεν, αἳ τὴν τῶν Ἀσσυρίων ἀρχὴν καθῃρήκασιν. Ὁ γὰρ Κύρος, ὥσπερ ἱστορηθήσεται, Πέρσης μὲν ἦν πατρόθεν, τοῖς δὲ Μήδοις προσῆκεν ἐκ τῆς μητρός· ὃς ἄμφω τὰ ἔθνη συμπαραλαβὼν, καὶ πολεμήσας τοῖς Ἀσσυρίοις, τὴν αὐτῶν βασιλείαν κατέλυσε. Τῇ δυάδι δὲ τῶν χειρῶν, ἡ τῶν ἐθνῶν τούτων ἀμφοῖν δυὰς εἰκονίζεται. Τρίτην δὲ βασιλείαν τὴν τῶν Μακεδόνων καλεῖ. Τῷ χαλκῷ δὲ ταύτην ἀπείκασεν ὡς δυνατωτέραν, οἷα καὶ τὴν Περσικὴν ἀρχὴν καταλύσασαν. Καὶ διὰ μὲν τῆς κοιλίας, ἡ Ἀλεξάνδρου μοναρχία ὑποτυποῦται· διὰ δὲ τῶν μηρῶν, ἡ μετὰ θάνατον ἐκείνου τῆς βασιλείας διαίρεσις, καὶ ὁ αὐτὸς μερισμός. Τετάρτην δὲ βασιλείαν τὴν τῶν Ῥωμαίων ἐκάλεσεν, ἢ τὸν σίδηρον ἀπένειμε, διὰ τὸ στερέμνιον. Ταῖς δὲ κνήμαις αὐτὴν εἰκόνισεν διὰ τὸ μετάχρονον. Τῶν γὰρ ἄλλων μεγάλων βασιλειῶν μεταγενεστέρα ἡ τῶν Ῥωμαίων. Καὶ αἱ κνῆμαι δὲ καὶ οἱ πόδες, τελευταῖα μέρη τοῦ σώματος. Τὸ δὲ τῷ σιδήρῳ ἀναμεμίχθαι τὸ ὄστρακον, αἰνίττεται τὸ ἰσχυρὰν μὲν τὴν βασιλείαν εἶναι, ἔχειν δὲ παρ' ἑαυτῇ καὶ εὔθραυστόν τι καὶ ἄναλκι· τοιοῦτον γὰρ τὴν φύσιν τὸ ὄστρακον, συγκείμενον ἐκ πηλοῦ.

III. Quod si quis hanc visionem ad priorem reipublicæ statum, quo penes senatum, dictatores, consules, tribunos et plebem, summa rerum fuit, referat, videbit plebem sæpe motis seditionibus a patribus dissensisse, alia senatu, alia plebe decernente. Unde cum inter sese pugnarent, res eorum ex discordia nonnunquam deteriores et imbeciliores exstiterunt : ac senatus cum ferro conferri queat, ob animi gravitatem · plebs magistratibus et senatui admista, iostæ, cum ob vilitatem et humilitatem, cujusmodi limus est, unde testa conficitur, tum ob levitatem et infirmitatem consilii. Est enim multitudo **120** levi sententia, et facile huc atque illuc impellitur : quæ, si quis Romanorum veteres annales evolvat, ei genti sæpissime accidisse reperiet. Hæc igitur diversæ materiæ mistionem ad primum reipublicæ statum referenti, in mentem veniro queant. Sin posteriorem imperii rationem species, republica ex aristocratia in monarchiam commutata, et ab imperatoribus occupata, etiam

Γ'. Εἰ μὲν οὖν πρὸς τὴν προτέραν κατάστασιν τῆς Ῥωμαίων ἡγεμονίας ἀναγαγεῖν τις βουληθείη τὸ ὅραμα, ὅτε ἡ γερουσία καὶ οἱ δικτάτορες καὶ οἱ ὕπατοι, καὶ οἱ δήμαρχοι καὶ ὁ δῆμος τῆς τῶν πολιτικῶν πραγμάτων ἀντείχοντο διοικήσεως, εὑρήσει πολλαχοῦ τὸν δῆμον τῇ γερουσίᾳ διαφερόμενον, καὶ στάσεις ἐγειρομένας, ἄλλα μὲν τῶν τῆς βουλῆς διατατομένων, ἄλλα δὲ τῶν τοῦ πλήθους ἀντεισαγόντων, ὡς ἐκ τούτου μάχεσθαί τε ἀλλήλοις, καὶ σφίσι τὰ πράγματα, διὰ τὴν διχόνοιαν, ἔστιν οὗ ῥέπειν ἐπὶ τὸ χεῖρον καὶ ἀσθενέστερον, σιδήρῳ μὲν οὖν ἄν τις εἰκονίσῃ τὴν σύγκλητον, διὰ τὸ τῆς γνώμης στερέμνιον. Ὀστράκῳ δ' ἂν εἰκασθείη τὸ πλῆθος ἀναμεμιγμένον ὂν τοῖς ἐν τέλει καὶ τῇ βουλῇ, διά τε τὸ συρφετῶδες καὶ τὸ χαμαίζηλον (τοιοῦτον γὰρ ὁ πηλὸς, ὅθεν τὸ ὄστρακον γίνεται), καὶ διὰ τὸ εὔμεταβολον, καὶ διὰ τὴν ἀσθένειαν τοῦ φρονήματος. Εἰωθὲν γὰρ τὸ πλῆθος ἀστατεῖν, ῥᾳδίως τε μετάγεσθαι καὶ μεταβουλεύεσθαι. Ταῦτα δέ τις εὑρήσει πλειστάκις τῇ Ῥωμαίων πολιτείᾳ συμβεβηκότα, ἐπιὼν

C

D

Variæ lectiones et notæ.

(73-74) *Ἐκλιμηθῆναι.* Addit Colbert. καὶ σκεδασθῆναι.

τὰ περὶ ταύτης ἀρχαῖα συγγράμματα. Εἰ μὲν οὖν πρὸς τὴν προτέραν κατάστασιν τῆς Ῥωμαϊκῆς πολιτείας ἀναφέροι τις τὴν διαφορὰν τῶν ὑλῶν, καὶ τὴν μίξιν αὐτῶν, ταῦτ' ἂν ἴσως λογίσαιτο. Εἰ δὲ πρὸς τὴν ὑστέραν, ὅτε πρὸς μοναρχίαν ἐξ ἀριστοκρατίας μετήνεχτο Ῥωμαίοις τὰ πράγματα, εἰ καὶ πρὸς τὴν εἰσέπειτα τῆς βασιλείας κατάστασιν, καὶ τότε πλείστην ἂν καταλάβοι τῇ πολιτείᾳ προξενήσασαν βλάβην, τὴν πρὸς ἀλλήλους τῶν Ῥωμαίων διχόνοιαν. Ὅτε γὰρ Καῖσαρ τῆς μοναρχίας ὁρμηνθείς, ἐμφυλίους πολέμους πρὸς τὸν Μάγνον Πομπήϊον, καὶ πρὸς τοὺς ἄλλους οἱ τῆς ἐλευθερίας ἀντεποιοῦντο τῆς παλαιᾶς, συνεστήσατο, καὶ πρὸς τοὺς ἀνελόντας αὖθις αὐτὸν ὁμοίας μάχας ὁ Καῖσαρ ὁ Αὔγουστος καὶ ὁ Ἀντώνιος συνεκρότησαν· εἶτ' αὖθις ἄμφω πρὸς ἀλλήλους οὗτοι περὶ τῆς αὐταρχίας διαφερόμενοι, πολέμους βαρεῖς κεκινήκασιν, ἀμφοτέρωθεν ἐν πάσαις ταῖς μάχαις φθειρομένων ὁμογενῶν, κἀντεῦθεν τῆς Ῥωμαϊκῆς ἐλαττουμένης δυνάμεως. Καὶ οὐδ' ἐν τοῖς μετέπειτα τὰς στάσεις λωφησάσας ἴδοι τις ἄν. Εἰ δέ τις πρὸς τὰς ὕστερον βασιλείας τὴν τοῦ σιδήρου καὶ τοῦ ὀστράκου φύσιν παραβαλεῖ, εὑρήσει πῇ μὲν ἰσχυρὰν τὴν τῶν Ῥωμαίων ἀρχήν, πῇ δὲ ἀσθενοῦσαν (75) καὶ τὸ πλεῖστον τῆς παλαιᾶς ἀποβεβληκυῖαν ἐπικρατείας, καὶ πολλοστῷ νῦν μέρει τῆς παλαιᾶς ἐκείνης περιγεγραμμένην ἡγεμονίας. Τὰ μὲν οὖν τῶν τεσσάρων βασιλειῶν ἐν τούτοις. Ἡ δὲ λοιπή τε καὶ ἀκατάλυτος, ἣν ὁ λίθος εἰκόνιζεν, ὃς ἄνευ χειρῶν ἐτμήθη, καὶ τὰς ὕλας ἐλέπτυνεν, ἐξ ὧν συνετέθειτο ἡ εἰκών, καὶ τὴν γῆν ἐπλήρωσεν ἅπασαν, ἣν εἰς τοὺς αἰῶνας ὁ προφήτης εἴρηκε μὴ διαφθαρήσεσθαι, ἡ μέλλουσα ἐπιφάνεια εἴη ἂν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἥτις τῆς σιδηρᾶς βασιλείας γενομένης ἀσθενεστέρας, διὰ τὴν τοῦ ὀστράκου ἐπιμιξίαν, ἀναφανήσεται· ὅτε αὐτῷ τὰ πάντα ὑποταγήσεται, καὶ βασιλείας ἀτελευτήτου τε καταξιώσει καὶ ἀδιαφθόρου τοὺς ταύτης ἀξίους ἑαυτοὺς καταστήσαντας. Λίθον γὰρ εἴωθεν ἡ Γραφὴ καλεῖν τὸν Χριστόν. Ὅ τε γὰρ Δαβὶδ, *Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, ἔφη, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.* Καὶ ὁ Ἡσαΐας ἐκ προσώπου φησὶ τοῦ Θεοῦ· *Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον.* Καὶ ὁ μέγας Παῦλος ἀκρογωνιαῖον καλεῖ τὸν Χριστὸν, ἐφ' ᾧ ἐποικοδομηθῆναι τοὺς πιστεύσαντας ἔγραψε. Καὶ πάλιν λέγει· *Θεμέλιον ἕτερον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός.* Καὶ αὖθις ἑτέρωθι· *Ἔπινον ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός.* Καὶ πέτρα δὲ σκανδάλου, καὶ λίθος προσκόμματος λέγεται, καὶ πολλαχοῦ ἂν εὑρεθείη λίθος καὶ πέτρα κεκλημένος ὁ Κύριος. Τὸ δ' ἄνευ χειρῶν τμηθῆναι τὴν ὑπὲρ φύσιν αὐτοῦ γέννησιν προεδήλου, τὴν ἄνευ σπορᾶς, τὴν γαμικῆς ὁμιλίας χωρίς. Ὄρος μὲν γὰρ ἡ τοῦ Ἰούδα νομισθείη φυλή,

A tum e Romanorum dissensionibus multas ortas esse calamitates deprehendas. Nam et Cæsar cupiditate regni impulsus, bellum civile cum Pompeio et cæteris antiquæ libertatis defensoribus gessit, et Cæsar Augustus atque Antonius itidem bellum ejus interfectoribus intulerunt. Qui deinde ambo inter sese, uter solus regnaret, certantes, gravia bella gesserunt, cæsis utrinque civibus in præliis, et Romanorum viribus imminutis. Imo nec deinceps quievisse seditiones videas. Jam si ferri et testæ qualitatem cum posterioribus regnis conferas, Romanum imperium ibi quoque partim firmum invenies, partim imbecillum, amissa maxima parte potentiæ veteris, vix reliquiis quibusdam retentis. Atque hæc de quatuor regnis. Restat illud, quod
B non est evertendum, lapide sine manibus exciso adumbratum, comminuente materias quibus imago constabat, et universam terram implente, quodque propheta dixit nullo ævo periturum. Hoc Christi Domini nostri adventum significat, qui, cum regnum ferreum, ob testæ admistionem, factum fuerit imbecillius, apparebit, cum ei subjicientur omnia: cum regno infinito et non perituro dignabitur eos, qui se illo dignos præbuerunt. Lapidem enim Scriptura Christum solet dicere. Nam et David: *Lapis*, inquit, *quem rejecerunt ædificantes, in caput anguli translatus est* [1]. Et Isaias sub persona Dei dicit: *Ecce pono lapidem in summo angulo* [2]. Divus Paulus item angularem lapidem Christum vocat: cui inædificatos esse credentes scribit [3]. Atque iterum: *Aliud*, inquit, *fundamentum nemo jaciet, præter id quod jactum est, Jesum Christum* [4]. Item alibi: *Biberunt de petra spirituali, eos secuta, qui est Christus* [5]. Ad hæc petra scandali, et lapis offensionis
C dicitur: multaque **121** præterea loca invenias, ubi Dominus petra et lapis appellatur. Quod autem is sine manibus excisus est, id ortum ejus naturam superantem indicat, sine semine et conjugali congressu. Nam mons putari queat Judaica tribus, e qua ortus fuit David. Lapis autem, Christus, secundum humanitatem ex ea excisus. Sine manibus, quia non lege naturæ prodiit, sed ex utero rudi viri et sancto: qui primum parvus est visus, ob naturam humanam, in progressu vero terram om-
D nem sua gloria implevit, magis etiam impleturus futuro suo adventu. Propheta igitur et somnium Nabuchodonosori exposuit, et comparationem ejus revelavit. Qui conjecturæ solertiam admiratus, pronus in faciem cecidit, et sacrificari Danieli jussit, non ipsi omnem illum honorem tribuens, homo superbus et arrogans, sed Deo, qui a Daniele colebatur. Dixit enim: *Vere Deus vester Deus est deorum, et Dominus regum, et arcanorum revelator:* datisque multis muneribus Danielem totius Babylo-

[1] Psal. cxvi., 22. [2] Isa. xxviii, 16. [3] Ephes. ii, 20. [4] I Cor. iii, 11. [5] I Cor. x, 4.

Variæ lectiones et notæ.

(75) *Πῇ δὲ ἀμελοῦσαν.* Hoc est, *partim negligentem.* Viennensis rectius habet ἀσθενοῦσαν, *imbecillem.* W.

nis principem constituit, nomine Baltasaris (sic A deus ejus vocabatur) indito.

ἐξ ἧς ὁ Δαβίδ. Λίθος δὲ ὁ Χριστὸς, τιμηθεὶς ἐξ αὐτῆς κατὰ τὸ ἀνθρώπινον. Ἄνευ δέ γε χειρῶν, ὅτι μὴ κατὰ τοὺς φυσικοὺς προῆλθε θεσμοὺς, ἀλλ' ἐξ ἀπειράνδρου καὶ ἁγίας γαστρός. Ὁ μικρὸς μὲν ἐδόκει πρότερον διὰ τὴν φύσιν τῆς ἀνθρωπότητος, προϊὼν δὲ, τὴν οἰκουμένην πᾶσαν τῆς οἰκείας δόξης ἐπλήρωσε, καὶ ἔτι μᾶλλον πληρώσει κατὰ τὴν μέλλουσαν αὐτοῦ ἐπιφάνειαν. Ὁ μὲν οὖν προφήτης τό τε ἐνύπνιον τῷ Ναβουχοδονόσορ ἀπήγγειλε, καὶ τὴν τούτου σύγκρισιν ἀνεκάλυψεν. Ὁ δὲ θαυμάσας, ἐπὶ πρόσωπον ἔπεσε, καὶ τῷ Δανιὴλ προσεκύνησε, καὶ θύειν αὐτῷ διετάξατο, οὐκ ἐκείνῳ τὴν ἄπασαν ἀπονέμων τιμὴν ὁ ἁλαζὼν ἐκεῖνος καὶ ὑπερήφανος, ἀλλὰ τῷ παρ' ἐκείνου θρησκευομένῳ Θεῷ. Ἔφη γάρ, *Ἐπ' ἀληθείας ὁ Θεὸς ὑμῶν οὗτός ἐστι Θεὸς θεῶν, καὶ Κύριος βασιλέων, καὶ ἀποκαλύπτων μυστήρια.* Δόματά τε αὐτῷ παρέσχε πολλὰ, καὶ πάσης τῆς Βαβυλῶνος κατέστησεν ἄρχοντα, καὶ Βαλτάσαρ αὐτὸν ἐπωνόμασε, τὴν προσηγορίαν αὐτῷ θέμενος τοῦ οἰκείου Θεοῦ.

IV. Deinde auream statuam cubitos altam sexaginta, latam sex erigit, principes ex omni suo imperio convocat, auditaque tuba, prostratos illam adorare, qui non paruissent, in caminum ignis conjici jubet, quem ibi magnum et vehementem incenderat. Quam cum adorarent omnes, tres adolescentes, quos historia cognatos fuisse Danielis tradit, patria instituta violare nolentes, non adorarunt: itaque statim in caminum conjecti sunt. Verum ignis eos non attigit, sed stantes in medio flammæ intolerabilis, hymnum cecinerunt Deo. Astitit tribus illis et quartus, qui una cum eis descenderat, et ardentem illum aerem in auram roscidam commutabat. Hæc immanem et atrocem regis animum ita obstupefecerunt, ut seposito fastu accedens, adolescentes nominatim vocaret, et eorum Deo collaudato, ipsos honore afficeret, et principes omnium Judæorum qui Babylone erant crearet. Non multo post idem Assyrius aliud somnium videt hujusmodi. Arbor erat magna, extremitates terræ amplectens, foliis ornata, et fructu gravis, sub qua **122** bestiæ agrestes degebant, et volucres in ramis ejus nidificabant. Deinde Ir cernit cœlo egressum, qui contenta voce clamaret: *Excidite arborem, et ramos ejus evellite, et folia decutite, et fructum ejus dissipate: verum stirpem radicum ejus relinquite, et vinculo ferreo ligate: in herba terræ, et in rore cœlesti habitabit, degel cum bestiis, cor ejus ab hominibus alienabitur, et cor bestiæ ei dabitur, et septem tempora super eo mutabuntur.* Hac visione conspecta, rursus sapientes et magos Babylonios convocat, ejus significationem scire cupiens. Qui cum æstuarent, nec significationem somnii reperirent, iterum ad Danielem confugit, narratoque somnio, ejus expositionem requirit: id enim posse, cum sanctus Domini Spiritus in eo sit. Tum ille: *Domine mi rex*, inquit, *somnium istud in eos vertatur, qui te oderunt.* Deinde significationem ei exponit, hoc modo: *Arbor magna, quam vidisti, rex, tu es, qui magnus et potens evasisti, ac magnitudo tua cœlum attingit, et dominatus tuus ad terræ extremitates protenditur* (magnitudinem autem vocavit elationem animi et fastum). *Ir autem sanctus, qui de cœlo descendit, est divinus angelus. Nam Ir Græcis vigilantem declarat, quo natura incorporea innuitur: nam cui corpus est, is somno succumbit: qui non, natura est corporis experte. Quoniam igitur vigilantem illum clamantem vidisti, ut arbor ex-*

Δ'. Εἶτα χρύσεον ἀνδριάντα στήσας, πήχεων μὲν τὸ ὕψος ἑξήκοντα, πλάτος δὲ ἕξ, συνεκάλεσεν ἐξ ἁπάσης αὐτοῦ τῆς ἀρχῆς τοὺς πρώτους, προστάξας, ὅταν ἀκούσωσι τῆς σάλπιγγος, τότε πεσόντας προσκυνεῖν τὸν ἀνδριάντα· τοὺς δ' ἀπειθήσαντας εἰς τὴν τοῦ πυρὸς ἐμβληθῆναι κάμινον, ἣν ἐκεῖ μεγάλην ἐξέκαυσε καὶ σφοδράν. Πάντων οὖν προσκυνούντων, οἱ τρεῖς νεανίαι, οὓς συγγενεῖς τοῦ Δανιὴλ ἡ ἱστορία παρέδωκε, μὴ παραβῆναι τὰ πάτρια θέλοντες, οὐ προσεκύνησαν. Καὶ οἱ μὲν εἰς τὴν κάμινον αὐτίκα ἐβλήθησαν· τὸ δὲ πῦρ ἐκείνων οὐχ ἥψατο, ἀλλ' ἑστῶτας ἐν μέσῳ τῆς ἀνυποστάτου φλογὸς ἐκείνης, ὕμνον ἀνέπεμπον τῷ Θεῷ. Συνεστήκει δὲ τοῖς τρισὶν ἐκείνοις καὶ τέταρτος· ἄγγελος δ' ἦν συγκαταβὰς αὐτοῖς, καὶ τὸν φλογερὸν ἐκεῖνον ἀέρα μετατρέπων εἰς αὔραν δροσώδη. Ταῦτα ἐξέστησαν τὴν θηριώδη ψυχὴν τοῦ βασιλέως ἐκείνου καὶ ἀτεράμονα, καὶ τὸν τύφον ἀφεῖς πρόσεισι, καὶ ἐξ ὀνόματος τοὺς νεανίας καλεῖ, καὶ τὸν Θεὸν αὐτῶν εὐλογεῖ, καὶ τοὺς ἄνδρας ἐκείνους τιμῆς ἀξιοῖ, καὶ ἡγεμόνας τῶν ἐν Βαβυλῶνι πάντων Ἰουδαίων καθίστησιν. Ὁρᾷ δὲ μετ' ὀλίγον ὁ Ἀσσύριος ἐκεῖνος ἐνύπνιον ἕτερον· Δένδρον ἐώρα μέγα τε καὶ τῆς γῆς περιέχον τὰ πέρατα, φύλλοις ὡραΐζόμενον, καὶ βρίθον καρπῷ. Ὑπ' αὐτὸ δὲ κατεσκήνουν τὰ θηρία τὰ ἄγρια, καὶ τὰ πετεινὰ ἐν τοῖς κλάδοις κατῴκει αὐτοῦ. Εἶτα Ἴρ εἶδεν οὐρανόθεν ἐλθόντα, καὶ ἐν ἰσχύϊ φωνήσαντα· *Ἐκκόψατε τὸ δένδρον, καὶ τοὺς κλάδους αὐτοῦ ἐκτιλατε, καὶ τὰ φύλλα ἐκτινάξατε, καὶ διασκορπίσατε τὸν καρπὸν αὐτοῦ, πλὴν ἐάσατε τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ, καὶ ἐν δεσμῷ σιδηρῷ καὶ ἐν τῇ χλοῇ τῆς γῆς, καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται, καὶ μετὰ τῶν θηρίων ἡ μερὶς αὐτοῦ, καὶ ἡ καρδία αὐτοῦ ἀπὸ τῶν ἀνθρώπων ἀλλοιωθήσεται, καὶ καρδία θηρίου δοθήσεται αὐτῷ, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπ' αὐτόν.* Ταύτην ἰδὼν τὴν ὄψιν, συγκαλεῖ πάλιν τοὺς μάγους καὶ τοὺς σοφοὺς Βαβυλῶνος, καὶ ζητεῖ μαθεῖν τὰ δι' αὐτῆς σημαινόμενα. Ἀπόρουν δ' ἐκεῖνοι, καὶ οὐκ εἶχον λέγειν τοῦ ἐνυπνίου τὴν δήλωσιν. Εἶτα πάλιν καταφεύγει ἐπὶ τὸν Δανιὴλ, καὶ διηγεῖται αὐτῷ τὸ ἐνύπνιον, καὶ ἠξίου λέγειν τὸ σύγκριμα. Δύνασαι γάρ, φησὶ, ὅτι Πνεῦμα Θεοῦ ἅγιον ἐν σοί. Ὁ δὲ, *Κύριέ μου, φησὶ, βασιλεῦ, τὸ ἐνύπνιον τοῦτο τοῖς μισοῦσί σε.* Εἶτα τὴν σημασίαν ἐξηγεῖται αὐτῷ, καὶ φησι· *Τὸ δένδρον τὸ μέγα ὃ ἑώρακας, σὺ εἶ, ὦ βασιλεῦ, ὅτι ἐμεγαλύνθης καὶ ἴσχυσας, καὶ ἡ μεγαλωσύνη σου ἐφθασεν εἰς τὸν οὐρανὸν, καὶ ἡ*

κυρεία σου εἰς τὰ πέρατα τῆς γῆς. (Μεγαλοσύνην δὲ τὴν τοῦ νοὸς ἐκάλεσεν ἔπαρσιν, καὶ τοῦ φρονήματος τὸ ὑπέρογκον.) Ὅτι δὲ εἶδες Ἴρ ἅγιον ἐκ τοῦ οὐρανοῦ καταβαίνοντα, τουτέστιν ἄγγελον θεῖον. Τὸ γὰρ Ἴρ ἐξελληνιζόμενον ὀρ ἐγρηγορότα δηλοῖ, δι' οὗ τὸ ἀσώματον ὑπαινίττεται. Ὁ γὰρ σῶμα περικείμενος ὕπνῳ δουλοῦται· ὁ τούτῳ δὲ μὴ δουλεύων ἀσώματον ἔχει φύσιν. Ὅτι τοίνυν τὸν ἐγρηγορότα, φησὶν, ἐκεῖνον εἶδες φωνήσαντα, ἐκκοπῆναι τὸ δένδρον, ἐαθῆναι δὲ τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ (καὶ τὰ λοιπὰ), ἔλλιπε τῆς βασιλείας μὲν ἐκπεσεῖν, καὶ τῆς πρὸς ἀνθρώπους κοινωνίας ἐκδιωχθῆναι, θηρίοις δὲ συναυλίζεσθαι, καὶ χόρτον ἐσθίειν, μὴ μέντοι πάντη στερηθῆναι τῆς βασιλείας, ἐπανασωθῆναι δέ σοι αὖθις αὐτήν. Τούτου γὰρ εἶναι σημαντικὸν τὸ τὴν φυὴν τῶν ῥιζῶν ἐαθῆναι τοῦ δένδρου. Τοιαύτην τῷ Ναβουχοδονόσορ ὁ Δανιὴλ τὴν ἐξήγησιν τοῦ ὁράματος ἐποιήσατο, καὶ γέγονε πάντα κατὰ τὸν θεῖον χρηματισμόν. Καὶ μανίαν νοσήσας ὁ βασιλεὺς ἐκεῖνος διὰ τὸ ἀλαζονικόν τε καὶ ὑπερήφανον, καὶ ἐπὶ τῆς ἐρήμου διατρίψας ἐπταετίαν, οὐδενὸς ἐπιθεμένου τῇ βασιλείᾳ αὐτοῦ, πάλιν ἀπολαμβάνει αὐτήν, ἱλεωσάμενος τὸν Θεόν. Ἔτη δὲ τρία βασιλεύσας καὶ τεσσαράκοντα, τελευτᾷ. Μεμνῆσθαι δὲ αὐτοῦ ὁ Ἰώσηπος λέγει καὶ πολλοὺς τῶν ἀρχαίων ἱστορικῶν, τόν τε Βηρωσὸν, καὶ τὸν Μεγασθένη, καὶ τὸν Διοκλέα, καὶ τὸν Φιλόστρατον. Τούτου δὲ τελευτήσαντος, Εὐϊλὰδ Μαρωχὰδ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος τὴν ἀρχὴν διαδέχεται. Ὃς αὐτίκα λύει μὲν τῶν δεσμῶν τὸν βασιλέα Ἰωακεὶμ, τὸν καὶ Ἰεχονίαν καλούμενον, ὃν καθειργμένον εἶχεν ὁ Ναβουχοδονόσορ, καὶ τιμῆς ἀξιοῖ· δίδωσι δὲ καὶ δωρεὰς αὐτῷ, καὶ ὁμοδίαιτον εἶχε διαπαντός.

A scinderetur, et stirps radicum ejus relinqueretur, etc. futurum est, ut regno excidas, et commercio hominum pulsus, inter bestias degas, gramine vescens. Regnum tamen non penitus amittes, sed in integrum restitutus, recipies: id enim significatur, stirpe radicum relicta. Sic igitur visionem Nabuchodonosori Daniel exposuit, omniaque facta sunt secundum divinum oraculum: et rex furore percitus, ob arrogantiam et superbiam, post septem annos in desertis exactos, regnum interea a nemine occupatum recipit, placato Deo: et cum annos quadraginta tres regnasset, moritur. Hujus multos etiam ex veteribus historicis, Berosum, Metasthenem, Dioclem et Philostratum meminisse, Josephus refert. Huic defuncto, filius natu major Evilad Marochad in imperio succedit, qui regem Joachimum (idem et Jechonias **123** appellatur), a Nabuchodonosore in vinculis habitum, solvit, et honorifice tractat, muneribus allicit, et perpetuum convictorem habet.

Ε'. Καὶ τούτου δὲ παρελθόντος, εἰς τὸν ἀδελφὸν αὐτοῦ μετῆλθεν ἡ βασιλεία, Βαλτάσαρ καλούμενον· καθ' οὗ Κῦρος μετὰ Περσῶν τε καὶ Μήδων ἐστράτευσεν. Οὗτος γοῦν πότον ποιήσας τοῖς μεγιστᾶσιν αὐτοῦ, καὶ μετὰ τῶν παλλακῶν κατακείμενός τε καὶ μεθυσκόμενος, ἐκέλευσεν ἐνεχθῆναι τὰ σκεύη τὰ ἱερὰ, ἃ ἐξ Ἱεροσολύμων ὁ Ναβουχοδονόσορ ἐσύλησεν, καὶ τοῖς οἰκείοις θεοῖς ἀνατέθεικε. Κομισθέντων δ' ἐκείνων, οἷς ὁ πατὴρ αὐτοῦ οὐκ ἐχρήσατο, αὐτὸς ἐκέχρητο τούτοις, καὶ μεταξὺ πίνων ἐβλασφήμει κατὰ τοῦ Θεοῦ. Ὁρᾷ τοίνυν ἀστράγαλον ἐκ τοῦ τοίχου προϊόντα χειρὸς ἀνθρωπίνης, καὶ γράφοντα ἐπὶ τὸ κονίαμα τοῦ τοίχου, καὶ ἐξέστη, καὶ ἡ μορφὴ αὐτοῦ ἠλλοιώθη. Καὶ τοὺς Χαλδαίους καὶ τοὺς μάγους καλέσας, τὴν τῶν γραμμάτων ἀπῄτει δήλωσιν, καὶ ἀμοιβὰς μεγάλας δώσειν ἐκήρυξε τῷ σαφηνίζοντι τὴν σημασίαν αὐτῶν. Ἀλλ' ἦσαν ἄγνωστα πᾶσι τὰ γεγραμμένα. Ἀθυμοῦντα δὲ τὸν βασιλέα καὶ ταραγμένον ἰδοῦσα ἡ μάμμη αὐτοῦ, ἔφη, ὡς εἰ μεταπεμφθῇ Βαλτάσαρ ὁ Ἰουδαῖος, ὃς καὶ τῷ Ναβουχοδονόσορ πολλὰ ἐσήμανεν, ἃ ἕτερος ἐκφράσαι οὐδεὶς ἠδύνατο, ἐκεῖνός σοι τὸ ἀπόῤῥητον τούτων τῶν συλλαβῶν σημανεῖ· ἔστι γὰρ Πνεῦμα ἅγιον Θεοῦ ἐν αὐτῷ. Αὐτίκα τοίνυν καλέσας τὸν Δανιὴλ ὁ κρατῶν, ἠξίου δηλοῦν αὐτῷ περὶ τῶν γραμμάτων, καὶ μὴ ὑποσταλῆναι, κἂν εἴη σκυθρωπὸν τὸ ὑπ' αὐτῶν σημαινόμενον· καὶ γέρας δώσειν αὐτῷ ἐπηγγέλλετο πορφύραν ἐνδεδύσθαι, καὶ περιαυχένιον χρύσεον καὶ τὸ τρίτον τῆς ἀρχῆς μέρος. Δανιὴλ δὲ τὰς μὲν δωρεὰς παρῃτεῖτο, μηνύειν δ' ἔλεγεν αὐτῷ τὰ γεγραμμένα τοῦ βίου καταστροφὴν, ὅτι μηδ' οἷς ὁ πατὴρ αὐτοῦ δι' ἀσέβειαν ἐκολάσθη, ἐσωφρονίσθη αὐτὸς, ἀλλὰ τοῖς

B

C

D

V. Eo quoque mortuo, regnum ad fratrem ejus Balthasarum transit, qui Cyri ductu et auspiciis a Persis et Medis est oppugnatus. Hic proceribus ad compotationem invitatis, cum concubinis suis accumbens, atque inebriatus, sacra vasa, quæ Nabuchodonosor Hierosolymis direpta, diis suis consecrarat, afferri jubet, atque iis utitur, quorum usu pater abstinuerat: dumque inter pocula blasphemat Deum, videt digitos humanæ manus e pariete prodeuntes in tectorio parietis scribere: quibus conspectis obstupefactus, toto corpore cohorruit: et Chaldæis ac magis accersitis, magnis propositis muneribus, sententiam litterarum ab eis requirit. Sed scriptura illa ignota erat omnibus. Quamobrem avia regem tristem conspicata, et perturbatum, ait: Si Baltassar Judæus accersereture, qui et Nabuchodonosori multa significavit, quæ nemo alius explicare potuerit, eum arcanum syllabarum illarum declaraturum: esse enim sanctum Dei Spiritum in eo. Statim igitur rex Danielem accersi jubet, flagitans scripturæ illius declarationem, citra dissimulationem omnem, etsi triste aliquid portenderet: daturum pollicitus gestandæ purpuræ et torquis aurei jus, et tertiam regni sui partem. Daniel vero muneribus recusatis, dicebat, scripturam ei obitum portendere, quod ne paternæ quidem impietatis pœna factus esset modestior, sed divinis vasis cum concubinis ad ministerium esset usus. Litteras vero ita legebat: *Mani, Tekel, Phares*: quarum significationem sic interpretabatur: *Numeravit Deus tempus vitæ tuæ, atque imperii tui, cujus perparum superest.* Nam vocabulum

Mani, Græcis est numerus; *Tekel*, spatium: quod Deus limitem regni ejus constituisset, quod quidem deorsum vergeret et frangeretur. Nam *Tekel* etiam *fragmen* significat lingua Græca. *Phares* divisionem interpretabatur, quod regnum ejus inter Medos et Persas a Deo distribuendum esset. Scripturam igitur parietis ita legit, itaque syllabas eas inter sese comparavit, hoc est, interpretatus est, rege mœrore affecto, nec diu post prophetæ prædictione **124** eventu comprobata, cum Cyrus Persarum rex bello illato, Babylonem capit, Balthasare in captivitate urbis interfecto. Sunt qui asserant, eadem nocte, qua visi essent digiti scribentes, et Babylonem captam, et regem cæsum esse. Cæterum post urbis captivitatem, Daniel a Dario Medo, qui et Cyaxares nominabatur, Cyri avunculus, filius Astyagis Medorum regis, in Mediam translatus, omni honore afficiebatur. Qua de causa Medorum principes ei invidentes, insidias parant vitæ ejus. Nam cum eum quotidie ter Deum adorantem viderent, Cyaxari sive Dario auctores sunt ferendæ legis, ut intra dies triginta neque deos adoret quisquam, neque ipsum regem oret: quam legem qui violasset, in caveam leonum conjiciendum. Rex qui ignoraret illud in perniciem Danielis strui, edictum hujusmodi proponit. Ac cæteris secundum edictum quiescentibus, Daniel qui de more Deo supplicabat, delatus a satrapis, bestiis objicitur. Rex lapide, quo cavea claudebatur, signato, discedit: eamque noctem insomnem agit, sollicitus et dolens. Nam etsi Danielem a bestiis non læsum iri sperabat, quippe quem sancto Dei Spiritu præditum sciret, non tamen tranquillo esse animo poterat, metuens ne quid ei accideret, nec Dei potentiam, ut homo barbarus, satis intelligens. Statim vero ut diluxerat, ad caveam leonum accedit, Danielem vocat: respondentem extrahi jubet, intactum et salvum videns obstupescit. Sed cum delatores dixissent, leones ob saturitatem illum non attigisse: improbitatis illorum odio, intellecta fraude atque insidiis, quas prophetæ struxerant, affatim bestias pasci jubet, iisque jam satiatis accusatores Danielis objici, ut cognosceretur, an leones ob saturitatem homines non tangerent. Tum improbis illis statim dilaceratis, perspicuum fuit omnibus, vi quadam divina Danielem conservatum esse, obturatis bestiarum faucibus. Itaque rex prophetæ Deum celebrat, eique majores etiam honores habet: et hoc quidem posterius accidit.

σκεύεσι τοῦ Θεοῦ μετὰ τῶν παλλακῶν εἰς διακονίαν ἐχρήσατο. Τὰ μὲν οὖν γράμματα ἀνεγίνωσκεν οὕτως· *Μανὴ, Θεκὲλ, Φαρές*. Τὴν δὲ τούτων σημασίαν ἑρμηνεύων ἔλεγεν· *Ἠρίθμησεν ὁ Θεὸς τὸν χρόνον τῆς ζωῆς σου, καὶ τῆς ἀρχῆς σου, καὶ εἰς ὀλίγον βραχὺ περιέστησεν*. Ἐξελληνιζομένη καὶ ἡ λέξις λέγοιτ' ἂν ἀριθμός· οὕτω μὲν οὖν ἡρμήνευσε τὸ *Μανή*. Τὸ δέ γε *Θεκέλ*, σημαίνειν ἔφη σταθμόν. Στήσας οὖν τὸν ὅρον τῆς βασιλείας σου ὁ Θεὸς, καταφέρεσθαι ταύτην δηλοῖ καὶ κεκλᾶσθαι· καὶ κλάσμα γὰρ τὸ *Θεκὲλ* σημαίνει καθ' Ἑλλάδα διάλεκτον. Τὸ *Φαρὲς*, διαίρεσιν ἑρμηνεύων ὁ προφήτης (τοῦτο γὰρ εἰς Ἕλληνα φωνὴν ἡ λέξις μεταγομένη δηλοῖ) διαιρεθῆναι τὴν βασιλείαν αὐτοῦ ἔλεγεν εἰς Πέρσας καὶ Μήδους παρὰ Θεοῦ. Τὰ μὲν οὖν ἐν τῷ τοίχῳ γεγραμμένα οὕτως ἀνέγνω ὁ Δανιὴλ, καὶ τοιαύτην τὴν τῶν συλλαβῶν ἐκείνων ἐποιήσατο σύγχρισιν, τὴν ἑρμηνείαν δηλαδή. Τὸν δὲ βασιλέα λύπη κατέσχε. Καὶ μετ' ὀλίγον ἡ τοῦ προφήτου ἐκβέβηκε πρόῤῥησις, Κύρου τοῦ Περσῶν βασιλέως ἐπ' αὐτὴν ἐλάσαντος, ὑφ' οὗ ἥ τε Βαβυλὼν ἑλήφθη, καὶ ὁ Βαλτάσαρ ἐν τῇ ἁλώσει ἀνῄρητο. Εἰσὶ δ' οἳ κατὰ τὴν νύκτα ἐκείνην, καθ' ἣν τὸν ἀστράγαλον τὸν γράφοντα ἐθεάσατο, φασὶ καὶ τὴν πόλιν αἱρεθῆναι, κἀκεῖνον ἀναιρεθῆναι. Μετὰ δὲ τὴν τῆς Βαβυλῶνος ἅλωσιν ὁ προφήτης Δανιὴλ παρὰ Δαρείου τοῦ Μήδου, ὃς καὶ Κυαξάρης ὠνόμαστο, καὶ μητράδελφος ἦν τοῦ Κύρου, υἱὸς ὢν Ἀστυάγους τοῦ βασιλεύσαντος Μήδων (76), εἰς Μηδίαν μετήνεκτο, καὶ πάσης ἠξιοῦτο τιμῆς. Οὕτω δ' ἔχων, ἐφθονήθη παρὰ τῶν ἐν Μήδοις ὑπερεχόντων, καὶ μηχανῶνται τρόπον καθ' ὃν ἤλπισαν ἀπολέσαι αὐτόν. Ὁρῶντες γὰρ αὐτὸν τρὶς τῆς ἡμέρας προσευχόμενον τῷ Θεῷ, προσίασι τῷ Κυαξάρῃ (77) τῷ καὶ Δαρείῳ, ἀξιοῦντες αὐτὸν θεῖναι νόμον, ἵνα ἐπὶ τριάκοντα ἡμέρας μή τις ἢ τοῖς θεοῖς προσευχόμενος εἴη, μήτ' αὐτοῦ τοῦ βασιλέως δεόμενος, καὶ τὸν μὴ τὸν νόμον φυλάξαντα εἰς τὸν τῶν λεόντων λάκκον ἐμβάλλεσθαι. Ὁ δὲ τὸ κατὰ τοῦ Δανιὴλ παρ' αὐτῶν τυρευόμενον ἀγνοήσας, προὐτέθεικε πρόγραμμα, τὰ εἰρημένα διατάττομενον. Οἱ μὲν οὖν ἄλλοι ἠρέμουν κατὰ τὸ θέσπισμα· Δανιὴλ δὲ κατὰ τὸ ἔθος αὐτοῦ ηὔχετο τῷ Θεῷ. Καὶ οἱ Σατράπαι κατεῖπον αὐτοῦ πρὸς τὸν βασιλέα, καὶ κατὰ τὸν νόμον ἀπῄτουν εἰς τὸν λάκκον αὐτὸν τῶν λεόντων ἐμβάλλεσθαι. Βληθέντος δ' ἐκεῖ τοῦ προφήτου, τὸν ἐπὶ τοῦ στομίου λίθον σφραγίσας ὁ βασιλεὺς, ἀνεχώρησεν. Ἀγωνιῶν δὲ καὶ ἀλγῶν, ἄϋπνος τὴν νύκτα διήγαγεν. Ἤλπισε μὲν γὰρ, μὴ βλαβῆσεσθαι τὸν Δανιὴλ ὑπὸ τῶν θηρίων, εἰδὼς ὅτι πνεῦμα ἅγιον Θεοῦ ἐστιν ἐν αὐτῷ. Ἀλλ' ὅμως δειλιῶν ἠγωνία, μή τι αὐτῷ συμβαίη κακὸν, μὴ πάνυ γινώσκων, οἷα βάρβαρος, τὴν δύναμιν τοῦ Θεοῦ. Ἅρτι δ' ἡμέρας ἀναλαμψάσης, τῷ λάκκῳ ἐπέστη, καὶ ἐκάλει τὸν Δανιήλ· ὁ δὲ ἀπεκρίνατο· καὶ ὁ βασιλεὺς ἀνελκυσθῆναι τὸν προφήτην αὐτίκα ἐκέλευσε, καὶ ἀθιγῆ τοῦτον καὶ σῶον βλέπων, ἐξίστατο. Τῶν δὲ κατειπόντων αὐτοῦ, τροφῆς κεκορεσμένους εἶναι λεγόντων τοὺς λέοντας, καὶ διὰ τοῦτο μὴ θίξαι τοῦ Δανιὴλ, μισήσας αὐτοὺς τῆς πονηρίας ὁ βασιλεὺς, καὶ τὸ κατὰ τοῦ προφήτου μηχάνημα καὶ τὸν δόλον ἐκείνων

Daniel ergo, ut ex prophetia ejus patet, ad Cyrum usque vixit, et ab eo honoratus est. Nam et Cyrus Persarum rex, Babylone capta, Judæos in patriam remittit, templum ædificare jubet, et vasa sacra, quæ Nabuchodonosor ex templo Hierosolymitano abstulerat, reddit. Quæ omnia Esdras scribit. Cyro autem mortuo, Cambyses filius ejus regnum obtinuit, qui Ægyptum bello petit, et Memphi potitus, Apim deum Ægyptiorum occidit, et Ægyptios ad deorum cultum impellit. Quo facto, Ægyptii ad Persas defecerunt. Cambyses autem, cum in Ægypto esset, Smerdin fratrem suum occidit, et Magum quemdam Persam regnum occupare jussit. Cambyses autem, cum in Syria esset, ex equo lapsus, femur sibi fregit, et ex vulnere mortuus est. Magus autem, qui regnum occupaverat, Smerdis nomine, Cambysis frater, Persarum rex fuit. Hic, cum aures ei Cambyses abscidisset, ut Persæ ferebant, regnum occupavit. Quo cognito, Persæ Darium Hystaspis filium regem constituunt. Hic Ægyptios rebellantes subjugavit, et Babylonem, quæ defecerat, recepit. Scythas quoque bello petit, et Istrum transiit. Deinde Græciam bello petit, et Athenienses, Lacedæmonios, Thebanos, et alios Græcos vicit. Postea Græcos bello petit, et Marathone, Salamine, Thermopylis, Platæis, Mycalæ, et Eurymedonte victus est. Deinde Artaxerxes Longimanus regnum obtinuit, qui Judæis templum ædificare prohibuit. Deinde Xerxes regnum obtinuit, qui Judæis templum ædificare permisit. Deinde Darius regnum obtinuit, qui Judæis templum ædificare jussit. Deinde Artaxerxes Mnemon regnum obtinuit, qui Judæis templum ædificare jussit. Deinde Ochus regnum obtinuit, qui Judæis templum ædificare jussit. Deinde Arses regnum obtinuit, qui Judæis templum ædificare jussit. Deinde Darius regnum obtinuit, qui Judæis templum ædificare jussit. Deinde Alexander regnum obtinuit, qui Judæis templum ædificare jussit. Deinde Ptolemæus regnum obtinuit, qui Judæis templum ædificare jussit. Deinde Antiochus regnum obtinuit, qui Judæis templum ædificare jussit. Deinde Seleucus regnum obtinuit, qui Judæis templum ædificare jussit. Deinde Antioch

συνεὶς, ὀλιγιλῇ παρατιθῆναι τροφὴν τοῖς θηρίοις προσέταξε. Κεκορεσμένων δ' ἦδη, τοὺς τοῦ προφήτου κατηγόρους εἰς τὸν λάκκον τῶν θηρῶν ἐμβληθῆναι προσέταξεν, ἵνα γνῶμεν, εἰπὼν, εἰ διὰ κόρον αὐτῶν οἱ λέοντες οὐ προσφαύσουσι. Διασπαραχθέντων δ' εὐθὺς τῶν πονηρῶν ἐκείνων ἀνδρῶν, δῆλον ἅπασι γέγονεν, ὡς θεία τις δύναμις τὸν Δανιὴλ συνετήρησε, τοὺς θῆρας φιμώσασα. Διὸ καὶ τὸν τοῦ προφήτου Θεὸν ὁ βασιλεὺς ἐμεγάλυνε, κἀκεῖνον ἐν τιμῇ πεποίητο πλείονι. Ταῦτα μὲν οὖν συμβέβηκεν ὕστερον.

Ϛ'. Ἐν δὲ τῷ πρώτῳ ἔτει τῆς βασιλείας Βαλτάσαρ ἐνύπνιον ὁ προφήτης εἶδεν· ἦν δὲ τοιοῦτον τὸ ὅραμα. Τέσσαρα ἐδόκει θηρία ἀνιέναι ἐκ τῆς θαλάσσης, ὧν τὸ πρῶτον λεαίνης εἶχε μορφὴν, καὶ πτερὰ ὡσεὶ ἀετοῦ. Ὃ καὶ ἐξήρθη ἀπὸ τῆς γῆς, καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη, καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῷ. Ἡ μὲν οὖν θάλασσα τὸν ἀνθρώπινον ἐδήλου βίον, τὸν πολυκύμαντον, καὶ πλείστας καὶ συνεχεῖς μεταβολὰς δεχόμενον, καὶ περιτροπάς· τὸ δὲ θηρίον ἡ λέαινα τὴν τῶν Ἀσσυρίων βασιλείαν εἰκόνιζε· τὸ δ' ἐξαρθῆναι ἀπὸ τῆς γῆς τὴν τῆς ἀρχῆς ἐκείνης ἐδήλου κατάπαυσιν, καὶ τῆς ἐξουσίας τὴν περιαίρεσιν. Καὶ τὸ ἐπὶ ποδῶν ἀνθρώπου στῆναι τὸ ἴσην τοῖς ὑπηκόοις γενήσεσθαι (78) ὑπηνίττετο. Τὸ δὲ καρδίαν ἀνθρώπου δοθῆναι αὐτῇ τὸ διὰ τῆς πείρας ἀνθρώπινα φρονεῖν διδαχθῆναι, καὶ μή τι τῶν ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν ἐξ ἀλαζονείας φαντάζεσθαι. Καὶ τὰ πτερὰ γὰρ ἃ τῷ θηρίῳ παρὰ φύσιν προσεπεφύκεσαν τὴν ἔπαρσιν ἐδήλουν τῶν βασιλέων ἐκείνων, καὶ τὸ ἐξ ὑπερηφανίας τοῦ νοὸς αὐτῶν ὑπερνέφελον. Τὸ δὲ δεύτερον θηρίον ἄρκτῳ ὡμοίωτο, καὶ εἰς μέρος ἓν ἔστη, καὶ τρία εἶχε πλευρὰ ἐν τῷ στόματι. Καὶ ἐλέγετο αὐτῇ· *Ἀνάστα, φάγε σάρκας πολλάς.* Τῆς Περσῶν δὲ βασιλείας ἡ ἄρκτος ἐγένετο τύπωσις διὰ τὸ ὠμὸν τοῦ ἔθνους καὶ ἀπηνές. Πάντων γὰρ τῶν βαρβάρων οἱ Πέρσαι τιμωρήσασθαι ἀπηνέστεροι, σκαφεύσεσί τε καὶ δορᾶς ἀφαιρέσει πικροτέρας καὶ μακροτέρας τὰς κολάσεις τιθέμενοι. Εἰκὸς δέ τισιν ἀγνοεῖσθαι τὴν κόλασιν τῆς σκαφεύσεως· καλὸν οὖν καὶ ταύτην δῆλην θέσθαι τοῖς ἀγνοοῦσι. Δύο σκάφας ἴσας ἀλλήλαις προσαρμόσαντες καὶ ταύτας ἐγκόψαντες, ὥστε τὴν κεφαλὴν τοῦ κολαζομένου ἐκτὸς περιλελεῖφθαι τῶν σκαφῶν, καὶ τὰς χεῖρας, ἀλλὰ μὴν καὶ τοὺς πόδας, ὕπτιον ἐντὸς τὸν τιμωρούμενον ἀνακλίνουσι, καὶ οὕτω τὰς σκάφας προσηλοῦσιν ἀλλήλαις. Εἶτα κρᾶμα ἐκ μέλιτός τε καὶ γάλακτος κερασάμενοι, ἐγχέουσιν εἰς τὸ στόμα τοῦ ἀθλίου ἐκείνου, μέχρις ἂν ὑπερκορὴς ὁ ἄνθρωπος γένηται· καὶ ἐκ τοῦ τοιούτου κράματος τοῦ προσώπου αὐτοῦ καὶ τῶν ποδῶν καὶ τῶν χειρῶν καταχέουσιν, ὕπαιθρόν τε θέντες αὐτὸν, εἰληθριᾶσθαι τῷ ἡλίῳ ποιοῦσι, καὶ οὕτως ἑκάστης ἡμέρας πράττουσιν ἐπ' αὐτῷ. Μυῖαι μὲν οὖν καὶ σφῆκες καὶ μέλισσαι διὰ τὴν τῶν καταχυθέντων γλυκύτητα ἀθροιζόμενοι, τῷ τε προσώπῳ αὐτοῦ καὶ τοῖς ἄλλοις ἐφιζάνουσιν μέλεσιν, ἃ τῶν σκαφῶν ἐκτὸς, ὡς εἴρηται, περιλέλειπται, ἐνοχλοῦσαι· αἱ δὲ τὸν ἄθλιον κατατιτρώσκουσιν. Ἡ δέ γε γαστὴρ ἐκείνου πλησθεῖσα τοῦ μέλιτος καὶ τοῦ γάλακτος, ὑγρὰ προΐησι

A VI. Cæterum primo anno regni Baltasaris, hujusmodi visum Prophetæ oblatum fuit: Quatuor animalia mari emergere videbantur, **125** quorum primum leænam referret, pennis aquilinis: idque a terra elatum, pedibus institit, accepto etiam corde humano. Mare autem significat vitam humanam fluctuantem, plurimis, iisque assiduis, mutationibus et inversionibus obnoxiam. Leæna regnum Assyriorum repræsentabat: sublatio a terra, imperii illius finem denotabat, et potestatis amissionem. Quia pedibus hominis insistebat, id subditis par fore, innuebatur. Quia cor hominis ei dabatur, notabat, fore ut experientia disceret se hominem esse: neque per arrogantiam ea sibi fingeret, quæ naturam humanam excedunt. Alæ præter naturam bestiæ enatæ, elationem regum illorum significabant, quorum animi superbia nubes transcendebat. Alterum animal ursæ erat simile, et in una parte stabat, ac tres costas in ore habebat: cui dicebatur: *Surge, et ede carnes multas.* Ea regnum Persarum denotabat, ob sævitiam gentis, et immanitatem. Nam Persæ atrocitate pœnarum omnes Barbaros vincunt; scaphismis et excoriationibus supplicia graviora et diuturniora reddentes. Cæterum quod de scaphismo dixi, declarandum est, ob imperitiores. Duas scaphas, inter sese pares conjungunt, ita incisas, ut caput, manus et pedes foras emineant, in quibus cum qui supplicio afficitur, supinum reclinant, itaque scaphas clavis inter se compingunt. Deinde potionem ex melle et lacte in os miseri infundunt, donec ad nauseam repleatur, eademque et faciem et pedes et brachia ejus perfundunt, et sub dio ad solem exponunt: et hoc quotidie faciunt. Ita fit, ut muscæ, vespæ et apes liquorum suavitate allectæ, faciei et reliquis membris e scaphis prominentibus insideant, miserumque vexent et pungant. At venter ejus lacte et melle distentus, liquida rejicit excrementa, e quibus putrefactis lumbrici et vermes scaturiunt: qui vero in scaphis jacet, in sordibus illis carne putrescente, a vermibus crosus, et crudelius et tardius interit. Hoc supplicii genere Parisatis, Artaxerxis et Cyri mater, cum sustulisse fertur, qui se Cyrum cum fratre de regno pugnantem, interfecisse gloriatus fuerat, per dies quatuordecim excruciatum. Ac scapharum **126** supplicium hujusmodi est. Cæterum verba ista, *Surge et comede carnes*, non sunt hortantis, sed futura prædicentis. Nam quatuor Assyrii, et socii illorum

Variæ lectiones et notæ.

(78) *Τὸ ἴσην τοῖς ὑπηκόοις γενήσεσθαι.* Verteram principio, *æquitatis erga subditos observationem.* Nam τὸ, ἴσον, sæpe τὸ δίκαιον καὶ ἐπιεικὲς καὶ ὀδέκαστον significat. Sed quia de eversione regni agitur, reposui, *id subditis par fore, nullam potestatis prærogativam habiturum.* W.

pluriml, sunt a Persis interfecti. Eadem etiam ad crudelitatem gentis referri queant. Tres vero costæ vel alæ, quas ore tenebat, trium orbis terræ partium imperium denotabant. Nam Cyrus Assyrii regni eversor, orientem omnem usque ad Hellespontum subegit. Cujus filius Cambyses et Ægyptum et Æthiopiam, quæ austro obversæ jacent, obtinuit. Darius autem Hystaspis filius, Scythas vagos domuit : hi versus septentrionem habitant. Xerxes porro Darii filius expeditione susceptа, conatus quidem est Europam subigere : sed ab Athenicnsibus navali pugna victus, cum dedecore domum rediit. Jam statio in parte, significat eos regnum non prorsus amissuros, sed ejus exiguam partem retenturos. Nam cum imperium illud olim totam Asiam, Æthiopiam, Ægyptum, Palæstinam, Phœniciam, ipsamque Ciliciam teneret, reliquis excidit, Media et Perside retentis. Vel statio illa in parte referri potest eo, quod Persarum regnum ad tempus otiosum et ignavum sit futurum : nam Alexandro post id subactum mortuo, ejus monarchia in quatuor regna est distracta. Cum autem successores ejus crebris inter sese præliis vires suas attrivissent, Persæ arrepta occasione, resumptaque fiducia, multum de suo imperio recuperarunt. Tertium animal pantheræ fuit simile, quatuor alis vólucribus in dorso præditum, quatuor etiam capitibus in eo enatis, cui Propheta potestatem esse datam ait. Hoc animal imperium Macedonicum repræsentat. Nam pantheræ comparatus est Alexander ob celeritatem et agilitatem, quod ipsum et alæ innuebant, quarum quaternio quatuor mundi partes notabat, quas instar volucris est pervagatus, ac prope omnium potitus. Quatuor capita, divisionem imperii post ejus obitum in partes totidem declararunt. Nam Ægyptum Ptolemæus Lagi filius obtinuit, ejusque posteri usque ad Cleopatram ; Syria et adjacentibus regionibus Seleucus est potitus ; Antigonus Asiam subegit ; Macedoniæ Antipater imperavit; **127** vel, ut quidam narrant, Aridæus frater Alexandri ex patre Philippo. Ait enim Chæronensis, Perdiccam maxima potentia præditum, statim post mortem Alexandri Aridæum, tanquam regni munimentum attraxisse, ex muliere ignobili et vulgari ortum, et mentis parum compotem : non quidem ita genitum, sed veneficio Olympiadis corruptum.

σκύβαλα, ὧν ἐνσηπομένων, εὐλαί τε καὶ σκώληκες ἀναζέουσιν · ὁ δ' ἐγκαταλειμενος τῇ ὑγρότητι, καὶ τὰς σάρκας αὐτῇ ἐνσηπόμενος, καὶ ὑπὸ τῶν σκωλήκων αὐτὰς δαπανώμενος, οὕτως οἰκτρότερόν τε θνήσκει, καὶ χρονιώτερον. Ταύτῃ τῇ κολάσει χρήσασθαι ἱστορεῖται καὶ ἡ Παρύσατις ἡ Κύρου καὶ Ἀρταξέρξου μήτηρ, κατὰ τοῦ ἀνελεῖν τὸν Κῦρον αὐχήσαντος, μαχόμενον περὶ τῆς βασιλείας τῷ ἀδελφῷ, ἐπὶ τεσσαρεσκαιδεκάτην ἡμέραν τῇ τιμωρίᾳ διαρκέσαντος τῆς σκαφεύσεως. Ἡ μὲν οὖν σκάφευσις (79) τοιάδε τις εἶναι ἱστόρηται. Τὸ δὲ Ἀνάστα, φάγε σάρκας, οὐκ ἐπιτρέποντός ἐστιν, ἀλλὰ προλέγοντος τὰ ἐσόμενα. Πολλὴ γὰρ φθορὰ τῶν Ἀσσυρίων καὶ τῶν συμμαχούντων ἐκείνοις ὑπὸ Περσῶν τε καὶ Μήδων ἐγένετο. Εἴποι δ' ἂν τις καὶ τὸ, Φάγε σάρκας πολλὰς, τῆς ὠμότητος τοῦ ἔθνους σημαντικόν. Τὰ δὲ τρία πλευρὰ ἢ πτερὰ, ἃ ἐν τῷ στόματι κατεῖχε, τὴν τῶν τριῶν τμημάτων ἀρχὴν τῆς οἰκουμένης ἣν προχαράττοντα. Κῦρος μὲν γὰρ ὁ τὴν τῶν Ἀσσυρίων βασιλείαν καθῃρηκὼς τὸ ἑῷον ἅπαν μέχρι τοῦ Ἑλλησπόντου ὑπέταξεν · ὁ δὲ τούτου υἱὸς Καμβύσης καὶ τὴν Αἴγυπτον καὶ τὴν Αἰθιοπίαν ἔσχεν ὑφ' ἑαυτόν. Νότιοι δ' αἱ χῶραι αὗται εἰσι. Δαρεῖος δὲ ὁ Ὑστάσπου καὶ τοὺς νομάδας ἐχειρώσατο Σκύθας · οὗτοι δ' οἰκοῦσι τὸ κλίμα τὸ βόρειον. Ὁ δέ γε Ξέρξης ὁ τοῦ Δαρείου, ὥρμησε μὲν κατὰ τῆς Εὐρώπης, κρατῆσαι καὶ ταύτης πειρώμενος · ἀπεκρούσθη δέ γε ναυμαχίᾳ πρὸς Ἀθηναίων ἡττηθεὶς, καὶ ἀναζεύξας κατῃσχυμμένος. Τὸ δ' ἐν μέρει (80) στῆναι τὸ θηρίον σημαντικὸν τοῦ μὴ πάντη τῆς ἀρχῆς ἐκπεσεῖν, ὀλίγῳ δὲ μέρει ταύτης περιγραφῆναι. Πάσης γὰρ τῆς Ἀσίας πρώην κρατοῦσα ἡ βασιλεία ἐκείνη, καὶ Αἰθιόπων καὶ Αἰγυπτίων, Παλαιστίνης τε καὶ Φοινίκης, καὶ τῆς Λιβύης αὐτῆς, ἐξέπεσε μὲν τῶν λοιπῶν, περιελείφθη δ' αὐτῇ Μηδία τε καὶ Περσίς. Ἢ καὶ ἄλλως τὸ ἐν μέρει στῆναι τὸ θηρίον ἐκληφθήσεται, ἐπὶ καιρόν τινα δηλαδὴ σχολάσαι τὴν τῶν Περσῶν βασιλείαν, καὶ ἀπρακτῆσαι. Τοῦ γὰρ Ἀλεξάνδρου καθῃρηκότος αὐτὴν, εἶτα θανόντος, εἰς τέσσαρας ἀρχὰς ἡ ἐκείνου μοναρχία διῄρητο. Κατ' ἀλλήλων δὲ τῶν διαδόχων αὐτοῦ χωρησάντων, καὶ ἐν ταῖς πρὸς ἀλλήλους μάχαις ἠσθενηκότων, οἱ Πέρσαι πάλιν καιροῦ λαβόμενοι ἀνεθάρσησαν, καὶ πολλὰ τῆς σφετέρας ἀρχῆς ἀνεκτήσαντο. Τὸ δὲ τρίτον θηρίον παρδάλει ἦν ἐμφερὲς, καὶ πτερὰ εἶχε τέσσαρα πετεινοῦ ὑπεράνω αὐτῆς. Καὶ τέσσαρες κεφαλαὶ τούτῳ τῷ θηρίῳ ἐπεφύκεσαν, καὶ ἐξουσίαν λέγει δοθῆναι αὐτῷ (81). Τοῦτο δὲ τὸ θηρίον τὴν Μακεδονικὴν εἰκόνιζε βασιλείαν. Παρδάλει μὲν γὰρ ἠκάσθη

Variæ lectiones et notæ.

(79) *Σκάφευσις.* Persis usitatum supplicium, illudque præ cæteris acerbissimum ac atrocissimum, ut testatur Eunapius in Maximo, pag. 105 : Μικρὰ γὰρ (ἡ συμφορὰ) καὶ ἡ Περσῶν λεγομένη σκάφευσις· *Nam scaphismus, supplicium Persis usitatum, præ tormentis huic allatis parvum fuerit.* Hinc Σκαφεύειν, apud Ctesiam in Persicis pag. 11, ubi de Aspamitra qui Xerxem et Aridæum interfecerat, et apud Plutarchum in Artaxerxe, a quo hausit Zonaras quæ habet de hujusce supplicii Persici descriptione, tametsi verbis aliquantum immutatis, ubi de Mithridate qui Cyrum se interfecisse gloriabatur. Vide præterea Baron. ad Martyrol. 28 Julii, et Antonium Gallonium, *De cruciatib. martyrum*, p. 12.

(80) *Τὸ δ' ἐν μέρει στῆναι.* Ἐν μέρει, alias, *per vices, vicissim, alternis :* sed hic aliter esse vertendum sententia docet. W.

(81) *Καὶ ἐξουσίαν λέγει δοθῆναι αὐτῷ.* Λέγει, scilicet ὁ προφήτης αὐτῷ, τῷ θηρίῳ· nec enim intelligendum, ὅτι τὸ θηρίον λέγει ἑαυτῷ δοθῆναι ἐξουσίαν, *potestatem sibi esse datam :* nam in Daniele hoc tantum legitur, *eique datum est imperium.* W.

Ἀλέξανδρος διὰ τὸ ὀξύῤῥοπον καὶ εὐκίνητον, ὃ καὶ τὰ πτερὰ ἐδήλουν. Ἡ δὲ τούτων τετρακτὺς, τὰ τέσσαρα τῆς οἰκουμένης μέρη ἠνίττετο, ἃ πτηνοῦ διῆλθε τρόπον, καὶ σχεδὸν ἁπάντων ἐκράτησεν. Αἱ δέ γε τέσσαρες κεφαλαὶ τὴν μετὰ θάνατον ἐκείνου διαίρεσιν ἐσήμαινον τῆς ἀρχῆς. Εἰς γὰρ τέσσαρας βασιλείας ἡ ἐκείνου ἐπικράτεια διῄρητο· καὶ τῆς μὲν Αἰγύπτου Πτολεμαῖος ὁ Λάγου κεκράτηκε, καὶ οἱ ἐξ ἐκείνου μέχρι τῆς Κλεοπάτρας· τῆς δέ γε Συρίας καὶ τῶν αὐτῇ προσεχῶν ὁ Σέλευκος ἐκυρίευσεν· Ἀντίγονος δὲ τὴν Ἀσίαν ὑφ' ἑαυτὸν ἐποιήσατο· τῆς δὲ Μακεδονίας ἦρξεν Ἀντίπατρος, ὡς δέ τινες ἱστοροῦσιν, ὁ Ἀριδαῖος ἀδελφὸς ἑτεροθαλὴς ἐκ πατρὸς ὢν Ἀλεξάνδρου. Φησὶ γὰρ ὁ Χαιρωνεὺς τὸν Περδίκκαν, μετὰ θάνατον Ἀλεξάνδρου ἐν μεγίστῃ δυνάμει ὄντα, εὐθὺς τὸν Ἀριδαῖον ὥσπερ δορυφόρημα βασιλείας ἐφέλκεσθαι, γεγονότα μὲν ἐκ γυναικὸς ἀδόξου καὶ κοινῆς, ἀτελῆ δὲ τὴν φρόνησιν ὄντα, οὐ φύσει τοιοῦτον προαχθέντα, ἀλλὰ τῆς Ὀλυμπιάδος φαρμάκοις διαφθειράσης αὐτῷ τὴν διάνοιαν.

Ζ'. Τοῦ δὲ τετάρτου θηρίου εἶδος μὲν οὐκ ἐσήμανεν ὁ προφήτης, φοβερὸν δ' εἶπε τοῦτο, καὶ ἔκθαμβον περισσῶς, ὀδόντας ἔχον μεγάλους καὶ σιδηροῦς, ἐσθίον τε καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα συμπατοῦν, καὶ τὸ διάφορον αὐτοῦ πρὸς τὰ προηγησάμενα θηρία ἔφη τυγχάνειν πολύ. Ἡ τῶν Ῥωμαίων δὲ διὰ τούτου βασιλεία σημαίνεται. Διὸ οὐδὲ εἶδος ὁ προφήτης τούτων οὐδ' ὄνομα ἔθετο. Πολυειδὴς γὰρ ἡ τῶν Ῥωμαίων ἀρχὴ, πρότερον μὲν βασιλεῦσιν ἰθυνομένη ἀπὸ Ῥωμύλου μέχρι τῶν Ταρκυνίων· τῆς δὲ ἐκείνων τυραννίδος καταλυθείσης, ἀριστοκρατουμένη, τῆς συγκλήτου καὶ τῶν ὑπάτων διοικούντων τὰ πράγματα. Ἔστι δ' ὅτε καὶ δημοκρατουμένη, τοῦ δήμου πολλάκις πρὸς τὴν σύγκλητον στασιάσαντος· μετέπειτα δ' αὖθις εἰς μοναρχίαν μεταπεσοῦσα, κἀκ ταύτης εἰς βασιλείας κλῆσιν ἐπαναχάμψασα. Φοβερὸν δὲ τὸ θηρίον καὶ ἔκθαμβον εἶπεν, ὅτι δυνατωτέρα τῶν ἄλλων βασιλειῶν αὕτη γεγένηται· καὶ ὅσα ἡ Μακεδονικὴ μὴ ὑπέταξε βασιλεία, ὑφ' ἑαυτὴν αὕτη ποιησαμένη, τὴν Ἑλλάδα δηλαδὴ πᾶσαν, τὴν Καρχηδόνα σὺν τῇ Λιβύῃ, τὴν Σικελίαν, τὴν Σαρδὼ τε καὶ νήσους ἄλλας, καὶ ἔθνη ἑσπέρια διάφορα ἕτερα, ὧν οὐκ ἦρξεν Ἀλέξανδρος. Ἅπερ ὁ βουλόμενος γνῶναι, τὰς βιβλοὺς τοῦ Ῥωμαίου Δίωνος (81') ἀναγνώτω, καὶ τὰ τοῦ Πολυβίου συγγράμματα. Φοβερὸν δὲ τὸ θηρίον, καὶ ἔκθαμβον, καὶ σιδηροῦς ὀδόντας ἔχον, ὡς τῆς τῶν Ῥωμαίων ἡγεμονίας τῶν ἄλλων βασιλειῶν ἁπασῶν φρικωδεστέρας γεγενημένης. Καὶ ἐν τῇ εἰκόνι γὰρ τῇ κατ' ὄναρ ὀφθείσῃ τῷ Ναβουχοδονόσορ, τὸν σίδηρον τέθεικε τῆς τετάρτης βασιλείας εἰκόνισμα. Τοῖς οὖν σιδηροῖς ὀδοῦσιν ἐσθίειν τὸ θηρίον εἶπε, καὶ λεπτύνειν, καὶ τὰ λοιπὰ συμπατεῖν τοῖς ποσί. Τὸ μὲν οὖν ἐσθίειν καὶ λεπτύνειν εἰς τὴν τῶν δασμῶν ἐξείληπται εἰσφοράν, ὡς βαρυτέρων τοῖς ὑπηκόοις φόρων ἐπιτεθέντων, οἳ τοὺς βασιλεύοντας τρέφουσι καὶ παίνουσι, τοὺς δὲ εἰσπραττομένους αὐτοὺς ἐκλεπτύνουσι πενητεύοντας. Οἱ δὲ δασμοφορεῖν οὐκ ἠνείχοντο, τῆς ἐλευθερίας ἀντιποιούμενοι, τούτους τοῖς ποσὶ συνεπάτει τὸ θηρίον, καὶ ἐξωλόθρευε. Διὰ τῶν ποδῶν δὲ τὸ στρατιωτικὸν ὑπαινίττεται, ὡς ἐν τούτῳ τῆς βασιλείας ἐρειδομένης καὶ βεβηκυίας, καὶ ἐξ ἑτέρων μεταβαινούσης εἰς ἕτερα. Καὶ κέρατα δ' εἶναι τῷ θηρίῳ δέκα φησὶν, ὑπεμφαίνων, ὡς εἰς πολλὰς ἡγεμονίας ἐπ' ἐσχάτων ἡ βασιλεία διαιρεθήσεται. Ἐν μέσῳ

VII. Quarti animalis formam non expressit Propheta, sed formidabile et terribile nominat; magnis ferreis dentibus vorans et comminuens, et reliqua pedibus conculcans, magno discrimine inter illud et cætera constituto. Verum id Romanorum imperium innuit: quod cum sit varium et multiforme, Propheta neque nomen ejus, neque formam posuit. Nam a Romulo usque ad Tarquinios Roma regibus paruit: quorum tyrannide eversa, optimates, senatus et consules rempublicam administrarunt. Aliquando etiam ad popularis imperii formam redacta est, seditione plebis adversus patres, post iterum unius potestate oppressa, et ad regii nominis appellationem reversa. Bestiam porro illam terribilem et formidabilem vocat, quod Romanum imperium cæteris potentius exstitit, et quæ Macedones non attigerant, ea quoque subegit, Græciam videlicet universam, Carthaginem cum Libia, Siciliam, Sardiniam, cæterasque insulas, et complures gentes occidentales, quibus non imperavit Alexander: quæ cui scire studio est, is Dionis Romani et Polybii legat historias. Ferrei dentes ei bestiæ sunt attributi, quod Romanorum principatus omnibus aliis imperiis horribilior fuit: atque etiam in imagine per somnium oblata Nabuchodonosori, quartum regnum ferro comparatur. Ferreis porro dentibus edere et comminuere bestiam dixit, et reliqua conculcare pedibus: quorum priora ad tributorum exactionem referuntur, graviorem cæteris, quibus reges aluntur, et saginantur, et subditi attenuantur et ad egestatem rediguntur. Qui vero tributa detrectabant, et libertatem defendebant, eos conculcabat bestia, et exterminabat. Per pedes autem intelliguntur exercitus, ut quibus regnum insistat et innitatur, et ab aliis ad alia **128** transeat. Præterea decem cornua bestiæ, significant, id imperium postremis temporibus in multa esse regna dividendum. In medio porro decem cornuum, parvum prodire cornu, quo tria alia cornua exsirpentur: et oculos habere cornu illud, et os magniloquum et infestum sanctis. Hoc cornu quidam Antichristum interpretantur; parvum autem vocatur, quod ex parva tribu Hebræorum sit oriturum, et tres de decem regibus eversurum. Per oculos, improbitatem ejus, et calliditatem innuit, quibus multos sit seducturum.

Variæ lectiones et notæ.

(81') *Τὰς βίβλους τοῦ Ῥωμαίου Δίωνος.* Dionem Cassium Nicæum intelligit, qui Romanorum Historiam conscripsit, et quem Zonaras integrum, non ut hodie exstat, maxima sui parte mutilum vidit, et sæpe exscribit.

Per os magniloquum, ejus arrogantia, et animi elatio declaratur. Jam belli adversus sanctos susceptio arguit, omne studium adhibiturum esse, ut omnes ad suæ improbitatis et blasphemiæ communionem pertrahat. Blasphemiam porro contra Deum illa arguunt, cum ait : *In sublime verba faciet*. His propheta subjicit : *Spectabam, donec sellis positis, longævus consedisset, cujus vestis erat niveo candore, capillus instar puræ lanæ, sedes ut flamma ignis, rotæ ejus ignis comburens, fluvius igneus ante eum manans evolvebatur : decies centena millia ministrabant ei, et millies centena millia astabant ei, judicioque coacto libri aperti sunt*. Quæ igitur cornu facere dicitur, ea non diu esse duratura, monstratum est Danieli : sed donec longævus judicium coegerit, hoc est, judicii tempus statuerit, et facta cujusque memoria repetierit. Recordationem enim, libros vocat : et longævum, eum qui æternus est : candor autem capillorum et vestis, puritatem ejus et integritatem ostendit. Ut autem significet ea quæ ab Antichristo agentur, Deo connivente actum iri : non vero ita, quasi a divina potentia vel coerceri, vel ne prorsus non fierent, prohiberi non possent : decies centena millia ministrorum, et millies centena millia apparitorum commemorat, et sellam igneam, consimilesque rotas, et fluvium ardentem : spectavitque donec bestia tolleretur, et corpus ejus igni conflagraret. Nam ob furorem Antichristi, totum ab eo regnum auferetur : neque ipsa bestia igni tradetur, sed corpus ejus. Nam cum bestia regnum innuat, probabile est in eo fore multos qui Deum colant, et virtuti studeant. Non eos **129** igitur conflagraturos, sed maleficos, et corporis voluptatibus assidue deditos, spiritus prorsus negligentes. Post interitum bestiæ, Propheta ait, se quondam vidisse tanquam Filium hominis in nubibus venientem, et usque ad longævum progressum, cui datum sit imperium, honos et regnum, ejusque servituti subjecti populi omnes, linguæ et tribus : et potestatem ejus æternam fore, non præterituram, nec regnum ejus interiturum. Hæc aperte secundum adventum Servatoris nostri Jesu Christi prænuntiant. Filius enim hominis dicitur ob assumptam naturam nostram, venturus in nubibus, ex promisso ipsius, cum dixit [a], visuros Filium hominis venientem in nubibus cœli.

δὲ τῶν δέκα μικρὸν ἀνιέναι κέρας, καὶ ἐκριζωθῆναι τῶν κεράτων τρία παρ' αὐτοῦ, καὶ ὀφθαλμοὺς ἔχειν ἐκεῖνο τὸ κέρας, καὶ στόμα λαλοῦν μεγάλα, καὶ πολεμεῖν τοῖς ἁγίοις. Τοῦτο τὸ κέρας εἰς τὸν Ἀντίχριστον ἐξειλήφασί τινες. Μικρὸν δ' ἐκλήθη, ὡς ἀπὸ μικρᾶς φυλῆς τῶν Ἑβραίων μέλλων φυήσεσθαι, τρεῖς δὲ τῶν δέκα βασιλέων καταλύσει. Διὰ δὲ τῶν ὀφθαλμῶν τὴν πονηρίαν αὐτοῦ καὶ τὸ πανοῦργον ἠνίξατο, ὡς διὰ τούτων ἐξαπατῆσον πολλούς. Διὰ δὲ τοῦ μεγάλα λαλοῦντος στόματος, τὴν ἀλαζονείαν αὐτοῦ καὶ τὸ ἐπηρμένον ὑπενέφηνε τοῦ φρονήματος. Τὸ δὲ πόλεμον μετὰ τῶν ἁγίων ποιεῖν, τὸ πᾶσαν ἐνδείξασθαι σπουδὴν δηλοῖ, τῆς οἰκείας κακίας καὶ βλασφημίας ἅπαντας λαβεῖν κοινωνούς. Τῆς δὲ κατὰ τοῦ Θεοῦ βλασφημίας ἐκείνου ἐμφαντικὸν, τό· *Λόγους εἰς τὸ ὕψος λαλήσει*. Ἐπὶ τούτοις ὁ προφήτης ἐπήγαγεν· *Ἐθεώρουν ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθισε, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν, ὁ θρόνος αὐτοῦ ὡς φλὸξ πυρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον, ποταμὸς πυρὸς εἵλκεν ἐκπορευόμενος ἔμπροσθεν αὐτοῦ* (82), *χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ*. Κριτήριον ἐκάθισε, καὶ βίβλοι ἀνεῴχθησαν. Ἃ μὲν οὖν εἴρηται ποιοῦν τὸ κέρας, οὐκ ἐπὶ μακρὸν διαρκέσειν ἐδείχθη τῷ Δανιήλ· ἕως δὲ ὁ αἰώνιος κριτήριον ἐκάθισεν, ἀντὶ τοῦ, κρίσεως καιρὸν ἔστησε, καὶ τὴν μνήμην τῶν ἑκάστῳ πεπραγμένων ἀνέπτυξε. Βίβλους γὰρ τὰς ἀναμνήσεις ἐκάλεσε· καὶ Παλαιὸν ἡμερῶν, τὸν αἰώνιον. Ἡ δὲ λευκότης τῶν τριχῶν καὶ τοῦ ἐνδύματος, τὸ καθαρὸν αὐτοῦ πανταχόθεν καὶ ἄμωμον δείκνυσιν. Ἵνα δὲ κατὰ συγχώρησιν Θεοῦ δείξῃ γενήσεσθαι τὰ παρὰ τοῦ Ἀντιχρίστου ἐσόμενα, καὶ οὐχ ὡς ἀδυνατούσης τῆς θείας φύσεως ταῦτα παῦσαι, ἢ μηδὲ τὴν ἀρχὴν συγχωρῆσαι γενέσθαι, τὰς χιλίας χιλιάδας τῶν λειτουργῶν, καὶ τὰς μυρίας μυριάδας τῶν περιεσταμένων εἰσήγαγε, καὶ τὸν πύρινον θρόνον, καὶ τοὺς ὁμοίους τροχοὺς, καὶ τὸν φλέγοντα ποταμὸν, καὶ ἐθεώρει ἕως οὗ ἀνῃρέθη τὸ θηρίον, καὶ τὸ σῶμα αὐτοῦ εἰς καῦσιν ἐδόθη πυρός. Διὰ γὰρ τὴν μανίαν τοῦ Ἀντιχρίστου ἡ ὅλη βασιλεία περιαιρεθήσεται, καὶ οὐκ αὐτὸ τὸ θηρίον εἰς καῦσιν δοθήσεται, ἀλλὰ τὸ σῶμα αὐτοῦ. Τοῦ γὰρ θηρίου τὴν βασιλείαν αἰνιττομένου, εἰκός ἐστιν ἐν τῇ βασιλείᾳ πολλοὺς εἶναι καὶ τὸν Θεὸν σέβοντας, καὶ ἀρετὴν μετιόντας. Οὐ τούτους οὖν φησιν εἰς καῦσιν δοθῆναι, ἀλλὰ τοὺς κακίας ἐργάτας, καὶ ταῖς τοῦ σώματος ἐπιθυμίαις ἐγκειμένους διαπαντὸς, καὶ μή τι φρονήσαντας πνευματικόν. Μετὰ δὲ τὴν τοῦ θηρίου ἀπώλειαν, ὁρᾷν ὁ προφήτης φησὶν ὡς Υἱὸν ἀνθρώπου, ἐρχόμενον ἐπὶ νεφελῶν, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν φθάσαντα, ᾧ καὶ δοθῆναι λέγει τὴν ἀρχὴν καὶ τὴν τιμὴν καὶ τὴν βασιλείαν, καὶ αὐτῷ δουλεῦσαι τοὺς λαοὺς πάντας, καὶ τὰς γλώσσας καὶ τὰς φυλὰς, καὶ τὴν ἐξουσίαν αὐτοῦ αἰώνιον ἔσεσθαι, καὶ μὴ παρελεύσεσθαι καὶ τὴν βασιλείαν αὐτοῦ μὴ διαφθαρήσεσθαι. Ταῦτα σαφῶς τὴν δευτέραν ἐπιφάνειαν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ προθεσπίζουσιν. Υἱὸς μὲν γὰρ ἀνθρώπου καλεῖται διὰ τὴν ἡμετέραν φύσιν, ἣν προσελάβετο.

[a] Matth. xxvi, 64.

Variæ lectiones et notæ.

(82) *Ποταμὸς πυρὸς εἵλκεν ἐκπορευόμενον ἔμπροσθεν αὐτοῦ*. Εἵλκεν poni videtur ἀντὶ τοῦ, εἱλεῖτο, vel ἐκύμαινε, *volvebatur*, vel *undabat*. W.

Ἐπὶ δὲ τῶν νεφελῶν ἐρχόμενος, κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ, εἰπόντος, Ὄψεσθαι τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ.

Η'. Ταῦτα μὲν οὖν τῷ πρώτῳ ἔτει τῆς βασιλείας Βαλτάσαρ ἐμυήθη ὁ Δανιήλ. Ἐν δὲ τῷ τρίτῳ ἑτέραν ὀπτασίαν ἑώρακεν· Ἐν Σούσοις γὰρ ὤν, ἦρα, λέγει, τοὺς ὀφθαλμούς μου, καὶ ἰδοὺ κριὸς ἑστηκὼς ἐπὶ τοῦ Οὐβάλ, καὶ αὐτῷ κέρατα ὑψηλά, καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου καὶ τὸ ὑψηλότερον ἀνέβαινεν ἐπ' ἐσχάτου, καὶ ἦν κερατίζων ἐπὶ θάλασσαν καὶ βορρᾶν καὶ νότον (83). Καὶ πάντα τὰ θηρία στῆναι αὐτοῦ ἐνώπιον οὐκ ἠδύναντο, καὶ ἐποίησε κατὰ τὸ θέλημα αὐτοῦ, καὶ ἐμεγαλύνθη. Πάλιν κἀνταῦθα τὰ περὶ τῶν βασιλειῶν ὁ προφήτης διδάσκεται, καὶ κριῷ μὲν ἀπῃκάσθη ἡ ἀρχὴ τῶν Περσῶν διὰ τὸν περικείμενον αὐτῇ πλοῦτον. Ἐστὼς δ' ἦν ὁ κριὸς ἐπὶ τοῦ Οὐβάλ, ἤγουν ἐπὶ τῆς πύλης τῶν Σούσων. Αὕτη γὰρ ἦν ἡ πόλις μητρόπολις τῶν Περσῶν, καὶ ἐκεῖ τοῖς βασιλεῦσιν ἦν τὰ βασίλεια. Καὶ ὁ προφήτης, ἐν ταύτῃ τῇ πόλει διάγων, εἶδε τὸ ὅραμα. Τὰ δὲ δύο κέρατα, τὰ τὴν βασιλείαν ταύτην ἰθύναντα, δύο γένη ἐτύπουν. Τὸ μὲν γὰρ ἧττον κέρας τὸν Κῦρον, καὶ τὸν αὐτοῦ υἱὸν τὸν Καμβύσην εἰκόνιζε· μέχρις αὐτῶν γὰρ ἡ τῆς βασιλείας ἔστη ἀρχή, καὶ οὐ προῆλθε περαιτέρω τὸ Κύρου γένος· τὸ δὲ μεῖζον κέρας τὸ Δαρείου γένος ἠνίττετο, ὃ μέχρι τοῦ τελευταίου Δαρείου προέκοψεν, ὃν κατεπολέμησεν ὁ Ἀλέξανδρος. Καμβύσου γὰρ τοῦ Κύρου παιδὸς θανόντος, οἱ μάγοι μετὰ δόλου τὴν βασιλείαν ἐσφετερίσαντο, οὓς ἐπ' ὀλίγον κρατήσαντας, καὶ γνωσθέντας οἵτινες ἦσαν, οἱ ἑπτὰ τῶν Περσῶν οἶκοι καθεῖλον. Ἐξ ὧν ἐβασίλευσεν ὁ Ὑστάσπου Δαρεῖος, οὗ τὸ γένος μέχρι τέλους τῆς βασιλείας διῆρκεσε. Τοῦτο γὰρ ἐμφαίνει ὁ προφήτης, προσθείς, ὅτι τὸ ὑψηλότερον ἀνέβαινεν ἐπ' ἐσχάτου, τὸ ἐπὶ μακρὸν δηλαδὴ διαρκέσαι, καὶ ἕως τέλους τῆς Περσικῆς βασιλείας τῶν κεράτων ἕτερον. Ἐκεράτιζε δὲ ὁ κριὸς κατὰ νότον καὶ βορρᾶν καὶ θάλασσαν. Τό τε γὰρ νότιον κλίμα καὶ τὸ βόρρειον ἐχειρώσατο, καὶ τῶν νήσων τὰς πλείους (ταύτας γὰρ διὰ τῆς θαλάσσης ἠνίξατο) ὑπὸ δουλείαν πεποίητο. Καὶ συνεμάχουν τῷ Ξέρξῃ κατὰ τῆς Ἑλλάδος στρατεύοντι οἱ τὰς νήσους οἰκοῦντες. Διὸ καὶ κατὰ θάλασσαν τὸν κριὸν κερατίζειν ὁ προφήτης ἑώρακεν. Οὐδέν τε τῶν θηρίων ἐνώπιον αὐτοῦ στῆναι ὑπέμενε. Θηρία δὲ τὰς μερικὰς βασιλείας ἐκάλεσεν ὡς φοβερὰς τοῖς ὑπηκόοις. Εἶεν δ' ἂν αὗται ἡ Σύρων, ἡ Κιλίκων, ἡ Ἀράβων, ἡ Αἰγυπτίων, ἡ Ἰουδαίων, καὶ ἕτεραι. Οὐδὲ μία γοῦν τούτων ἀντιστῆναι εἰς τέλος ἠδυνήθη τῇ Περσῶν ἀρχῇ, ἀλλ' ἅπαντας οἷς προσέβαλεν ὑπέταξε. Καὶ ἐμεγαλύνθη· ἢ ὅτι μεγάλη γέγονεν ἡ ἀρχή, πολλῶν ἐθνῶν καὶ χωρῶν κυριεύσασα· ἢ ὅτι μεγάλα, καὶ ὑπὲρ ἀνθρωπίνην ἐφαντάσθη φύσιν, ὀγκωθεῖσα τῇ εὐτυχίᾳ. Ἀπορῶν δὲ ὁ προφήτης περὶ τῶν ὁρωμένων, ὁρᾷ τράγον ἀπὸ λιβὸς ἐρχόμενον ἐπὶ πᾶσαν τὴν γῆν, καὶ αὐτῷ κέρας ἦν

VIII. Hæc Daniel edoctus est primo anno Baltasaris. Tertio, visum aliud vidit: *Nam cum Susis*, inquit, *essem, sublatis oculis, vidi arietem stantem in Ubale, altis cornibus, altero tamen altiore: id ad extremum surgebat, et contra mare, septentrionem et austrum arietabat, neque ulla animalia coram eo consistere poterant. Fecit igitur omnia suo arbitratu, et magnus evasit.* Hac visione propheta rursus de regnis edocetur. Nam Persarum imperium ob divitiarum affluentiam arieti comparatum est. Stabat autem is in Ubale, quæ est porta Susorum, metropolis et regiæ Persarum, in eaque degenti Prophetæ visio oblata erat. Duo cornua significabant duas familias, illius imperii gubernatrices: minus, Cyrum, et Cambysem, ejus filium, in quibus imperium constitit, non progresso ulterius Cyri genere; majus, Darii genus portendit, quod usque ad eum Darium perduravit, quem devicit Alexander. Nam Cambyse filio Cyri mortuo, Magi per fraudem regnum sibi vindicabant: quo non diu retento, agniti, a septem Persicis familiis sunt oppressi, e quarum una Darius ortus, Hystaspis filius, regno potitus est, familia ejus usque ad regni excidium propagata: id quod Propheta innuit, cum addit, altius cornu ad extremum crevisse, hoc est, diu et usque ad Persici regni excidium durasse. Arietabat autem is aries versus austrum, septentrionem et mare; nam et australem et septentrionalem plagam subegit, et insulas plerasque, quæ per **130** mare intelliguntur, in servitutem redegit. Est et Xerxes insularium auxiliis usus, bello illato Græciæ; quamobrem Propheta arietem etiam mare ferire cornibus videt, neque ullam feram consistere coram eo posse. Feras porro vocat regna singularia, quippe subditis formidabilia, cujusmodi fuerunt, regnum Syrorum, Cilicum, Arabum, Ægyptiorum, Judæorum, et cætera, quorum nullum tandem Persico imperio obsistere potuit, quin id subigeret omnes quos invasisset. *Et magnus evasit*; sive quod amplificatum est imperium, multis gentibus et provinciis subactis; sive quod magna quædam et natura humana majora sibi finxit, rebus secundis elatum. Dum Propheta de iis quæ viderat, dubitat, hircum videt ab africo venientem in omnem terram, cui cornu erat spectabile in medio oculorum: qui usque ad arietem progressus, ferociter illum petulit, et ejus cornua comminuit, et humi prostratum conculcavit pedibus, neque erat qui arietem eriperet de manu ejus. Macedonicum imperium repræsentavit hircus, ariete celerior et agilior. Veniebat autem ab Africo, quod Alexander Ægypto prius subacta, tum demum Darium invasit denuo: eoque victo, Persi-

Variæ lectiones et notæ.

(83) *Τὸ ὑψηλότερον ἀνέβαινεν ἐπ' ἐσχάτου.* *Altius surgebat posterius.* Propter coactam Zonaræ interpretationem visionis istius, coactus sum vertere τὸ, ἐπ' ἐσχάτου, *ad extremum*. W.

cum imperium everlit : nam eum prius etiam ad Issum profligarat, ejus uxore, filiabus, curru et arcu potitus, direptisque castris Persicis. Sed Darius fuga elapsus, et recollectis copiis, pugna cum Alexandro ex Ægypto reverso ad Arbela commissa, iterum superatus, in fuga periit. Spectabile porro cornu vocat, ut insigne et conspicuum, regnum Alexandri per id intelligens. Et in medio oculorum ejus enatum esse cornu dicit, ob solertiam et prudentiam, ac generosum animum Alexandri. *Et venit*, inquit, *hircus usque ad arietem cornigerum, et vidi eum progressum ad arietem, et efferatum contra illum : quem cum perculisset, ambo ejus cornua contrivit, ut coram eo consistere non posset, sed ab hirco prostratus humi conculcaretur. Et sunt*, inquit, *ambo arietis cornua contrita ab hirco , impetu in eum facto.* Hoc est, ambæ ejus copiæ, Persicæ et Medicæ, quibus fretus erat. Nam Persarum rex utrique genti imperabat, Cyro, ut dictum est, utrinque **131** ducente originem, et utroque regno potito, quæ gentes ambæ Assyriorum regnum everterunt. *Et hircus evasit valde magnus.* Neque enim ea duntaxat quæ Assyriis paruerant, sed alia quoque multa subegit. Indiam aggressus, Porum devicit, et Taxilem sibi conciliavit, et alias Indicæ regionis partes occupavit. Deinde non diu duraturam ejus felicitatem Propheta significans, subjungit : *Et inter vincendum comminutum est cornu illud magnum, et infra ipsum quatuor cornua sunt enata.* Nam Alexandro brevi post successus illos mortuo, ejus imperium in partes quatuor est divisum : ut jam in tertia fera dictum est, quæ in somnis Danieli visa est e mari egressa, quatuor prædita capitibus. *Et ex uno cornu exstitit cornu terribile, idque in immensum est auctum versus austrum, versus orientem, versus africum, et versus occidentem : et amplificatum est usque ad potentiam cœli, et ceciderunt stellæ etiam in terram a potentia ejus, et conculcatæ sunt.* His verbis Daniel ea prædocet, quæ sub Antiocho Epiphane contigerunt, Antiochi Magni filio, superiorum regum potentiam supergresso, qui Seleuco successerant. Is Ægypto et aliis provinciis potitus, belloque Judæis illato, et Hierosolymâ et totam gentem subegit, Templum spoliavit et polluit, porcis in eo immolatis, et ara Jovi exstructa, populumque ad paganismum adegit, et pueros mares circumcidi vetuit. Nam ejus furorem contra Deum illa verba innuunt : *Et elatus est usque ad cœli potentiam.* Illa vero : *Ceciderunt a potentia ejus et stellæ in terram, et conculcavit eas*, significant eos ex Judaico populo, qui ab illo coacti religionem violarunt, et tyranno cessere, legitima divinaque vivendi ratione deserta, ab eoque conculcati sunt. Stellæ autem vocantur, vel ob pietatis puritatem et splendorem : vel quod Abrahamo promiserat Deus, se progeniem ejus stellarum cœlestium instar amplificaturum. *Et usque ad principem copiarum est elatus.* Contra ipsum Deum furorem exercuit, principem cœlestium copiarum. *Et sacrificium turba-*

Α ἓν θεωρητὸν ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ. Καὶ ἕως τοῦ κριοῦ φθάσας, ἐξηγριώθη πρὸς αὐτὸν, καὶ ἔπαισεν αὐτὸν, καὶ συνέτριψε τὰ κέρατα αὐτοῦ, καὶ ἔρριψεν αὐτὸν ἐπὶ τὴν γῆν, καὶ συνεπάτησεν αὐτὸν, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος τὸν κριὸν ἐκ τῆς χειρὸς αὐτοῦ. Τὴν Μακεδονικὴν βασιλείαν ὑπετύπου ὁ τράγος· ὀξύτερος γὰρ τοῦ κριοῦ, καὶ μᾶλλον εὐκίνητος. Ἀπὸ λιβὸς δ' ἤρχετο· ὅτι τὴν Αἴγυπτον πρότερον ὑφ' ἑαυτὸν ποιησάμενος ὁ Ἀλέξανδρος, οὕτω πρὸς Δαρεῖον τὸ δεύτερον ὥρμησε, καὶ κατατροπωσάμενος αὐτὸν, τὴν τῶν Περσῶν βασιλείαν κατέλυσεν. Ἐν Ἰσσῷ γὰρ πρώην τῆς Κιλικίας αὐτῷ συμβαλὼν, ἥττησεν αὐτὸν, καὶ τὴν μὲν γυναῖκα καὶ τὰς θυγατέρας αὐτοῦ καὶ τὸ ἅρμα καὶ τὸ τόξον κατέσχε, καὶ διήρπασε τὸ στρατόπεδον τὸ Περσικόν. Ἔφυγε δ' Β ἐκεῖθεν ὁ Δαρεῖος, καὶ αὖθις δυνάμεις συναγαγὼν, ἐμαχέσατο τῷ Ἀλεξάνδρῳ, ἐξ Αἰγύπτου πρὸς ἐκεῖνον ὁρμήσαντι, καὶ πάλιν ἡττήθη ἐν Ἀρβήλοις, καὶ φεύγων ἀπώλετο. Θεωρητὸν δὲ τὸ κέρας φησὶν, ἀντὶ τοῦ ἐπίσημον καὶ περίβλεπτον· τὴν Ἀλεξάνδρου δὲ καὶ διὰ τούτου αἰνίττεται βασιλείαν. Καὶ ἀνὰ μέσων τῶν ὀφθαλμῶν αὐτοῦ ἐκφῦναι τὸ κέρας λέγει, διὰ τὸ ἀγχίνουν καὶ τὴν σύνεσιν, καὶ τὸ γενναῖον τοῦ φρονήματος τοῦ Ἀλεξάνδρου. *Καὶ ἦλθε*, φησὶν, *ὁ τράγος ἕως τοῦ κριοῦ τοῦ τὰ κέρατα ἔχοντος, καὶ εἶδον αὐτὸν φθάσαντα ἕως τοῦ κριοῦ, καὶ ἐξηγριώθη πρὸς αὐτὸν, καὶ ἔπαισε τὸν κριὸν, καὶ συνέτριψεν ἀμφότερα τὰ κέρατα αὐτοῦ, καὶ οὐκ ἦν ἰσχὺς τῷ κριῷ τοῦ στῆναι ἐνώπιον αὐτοῦ, καὶ ἔρριψεν αὐτὸν εἰς γῆν, καὶ συνεπάτησεν αὐτόν. Συνετρίβη δέ*, φησὶ, *καὶ ἄμφω τὰ κέρατα τοῦ κριοῦ προσαράξαντος τοῦ τράγου αὐτῷ·* τουτέστι, καὶ ἄμφω αἱ δυνάμεις αὐτοῦ αἷς ἐπεποίθει, ἥ τε Περσικὴ καὶ ἡ Μηδικὴ. Περσῶν γὰρ καὶ Μήδων ἦρχον οἱ βασιλεῖς τῶν Περσῶν, ὡς τοῦ Κύρου ἐξ ἀμφοῖν, ὡς εἴρηται, φύντος, καὶ τὴν ἀμφοῖν βασιλείαν σχόντος ὑφ' ἑαυτὸν, καὶ ἄμφω ταῦτα τὰ γένη τῶν Ἀσσυρίων τὴν βασιλείαν κατέλυσαν. *Καὶ ὁ τράγος ἐμεγαλύνθη σφόδρα.* Οὐ γὰρ μόνα τὰ ὑπήκοα τῇ τῶν Ἀσσυρίων ἀρχῇ ὑφ' ἑαυτὸν ἐποιήσατο, ἀλλὰ καὶ ἄλλα πολλὰ ἐχειρώσατο. Τῇ τε γὰρ Ἰνδίᾳ προσέβαλε, καὶ τὸν Πῶρον ἐνίκησε, καὶ τὸν Ταξίλην ᾠκειώσατο, καὶ ἄλλα μέρη τῆς Ἰνδικῆς κατέσχεν. C Εἶτα δηλῶν ὁ προφήτης, ὅτι καὶ οὗτος εὐδαιμονήσας μικρὸν, παρελεύσεται, ἐπήγαγε· *Καὶ ἐν τῷ ἰσχῦσαι αὐτὸν, συνετρίβη τὸ κέρας τὸ μέγα, καὶ τέσσαρα κέρατα ὑποκάτωθεν ἐξέφυ αὐτοῦ.* Τοῦ γὰρ Ἀλεξάνδρου μετὰ τὴν εὐτυχίαν ἐκείνην συντόμως θανόντος, εἰς τέσσαρα ἡ ἐκείνου διηρέθη ἀρχὴ, ὡς εἴρηται ἤδη ἐν τῷ τρίτῳ θηρίῳ, ὃ τῷ Δανιὴλ καθ' ὕπνους ἔδοξεν ἐκ τῆς θαλάσσης ἐξέρχεσθαι, ἔχον τέσσαρας κεφαλάς. *Καὶ ἐκ τοῦ ἑνὸς τῶν κεράτων ἐξῆλθε κέρας φοβερὸν, καὶ ἐμεγαλύνθη περισσῶς πρὸς νότον καὶ πρὸς ἀνατολὴν, καὶ πρὸς λίβα, καὶ πρὸς τὴν δόσιν. Καὶ ἐμεγαλύνθη ἕως τῆς δυνάμεως τοῦ οὐρανοῦ, καὶ ἔπεσον ἐπὶ τὴν γῆν ἀπὸ τῆς δυνάμεως, καὶ ἀπὸ τῶν ἀστέρων, καὶ συνεπάτησεν αὐτούς.* Τὰ περὶ τοῦ Ἐπιφα-

νοῦς Ἀντιόχου διὰ τούτων ὁ Δανιὴλ προδιδάσκεται, ὃς Ἀντιόχου μὲν τοῦ μεγάλου υἱὸς ἦν, μᾶλλον δὲ τῶν πρὸ αὐτοῦ κρατυνθεὶς βασιλέων, τῶν ἀπὸ Σελεύκου δηλαδὴ, καὶ τῆς Αἰγύπτου κρατήσας, καὶ ἑτέρων χωρῶν, καὶ ἐπὶ Ἰουδαίους ἐστράτευσε, καὶ τῆς τῶν Ἱεροσολύμων ἐκυρίευσε πόλεως, ἀλλὰ καὶ τοῦ ἔθνους παντός. Καὶ τόν τε ναὸν ἐσύλησε καὶ ἐμίανε, σύας ἐν αὐτῷ θύσας, καὶ τῷ Διὶ βωμὸν ἱδρυσάμενος, τὸ ἔθνος ὅλον ἑλληνίζειν ἠνάγκαζε, κωλύων αὐτοὺς περιτέμνειν τὰ ἄῤῥενα. Τὴν γὰρ κατὰ τοῦ Θεοῦ μανίαν αὐτοῦ, τὸ *Ἐμεγαλύνθη ἕως τῆς δυνάμεως τοῦ οὐρανοῦ*, ὑπαινίττεται. Τὸ δὲ, *Ἔπεσον ἀπὸ τῆς δυνάμεως καὶ ἀπὸ τῶν ἀστέρων ἐπὶ τὴν γῆν, καὶ συνεπάτησεν αὐτούς*· τοὺς ἐκ τοῦ Ἰουδαϊκοῦ λαοῦ ἀσεβήσαντας διὰ τὴν ἐξ ἐκείνου ἐπαγομένην αὐτοῖς ἀνάγκην δηλοῖ, οἳ τῆς νομίμου καὶ θείας διαγωγῆς ἐκπεπτώκασι, τῷ τυράννῳ ὑπείξαντες, καὶ ὑπ' ἐκείνου συμπατηθέντες. Ἀστέρες δ' ἐκλήθησαν, διὰ τὸ τῆς εὐσεβείας καθαρὸν καὶ ὑπέρλαμπρον· ἢ ὅτι τῷ Ἀβραὰμ ὁ Θεὸς ἐπηγγείλατο πληθῦναι τὸ σπέρμα αὐτοῦ ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ. *Καὶ ἕως τοῦ ἄρχοντος τῆς δυνάμεως ἐδρύθη*. Καὶ κατ' αὐτοῦ γὰρ τοῦ Θεοῦ ἐλύττησε τοῦ ἄρχοντος τῶν ἄνω δυνάμεων. *Καὶ θυσία ἐταράχθη πτώματι, καὶ ἐγενήθη, καὶ εὐωδώθη, καὶ ἐδόθη ἐπὶ τὴν θυσίαν ἁμαρτία, καὶ ἐρρίφη χαμαὶ δικαιοσύνη*. Ἀπηγορευμένα γὰρ θύσας, ἐτάραξε τὴν θυσίαν, ἀντὶ τοῦ, συνέχεεν, ἐμίανε. Πτώματα δὲ τοὺς σύας λέγει, καὶ ἁμαρτίαν ἐπὶ τὴν θυσίαν τὴν ἐπ' αὐτῇ παρανομίαν. Διὰ δὲ τοῦ, Ἐρρίφη χαμαὶ δικαιοσύνη, ἡ τῶν νομίμων ἀθέτησις, καὶ οἱ ἄδικοι φόνοι δηλοῦνται τῶν ἀσεβήσαι μὴ καταδεξαμένων. Ἀλλὰ καὶ ταῦτα πράττων, καὶ οὕτως ἀσεβῶν ὁ Ἀντίοχος, εὐωδοῦτο, φησίν. Ἐπὶ τούτοις ἐπάγει ὁ Δανιήλ· *Καὶ εἶπεν εἷς ἅγιος τῷ Φελμουνὶ· Ἕως πότε ἡ ὅρασις στήσεται, καὶ ἡ θυσία ἡ ἀρθεῖσα, καὶ ἡ ἁμαρτία τῆς ἐρημώσεως ἡ δοθεῖσα; Καὶ εἶπεν αὐτῷ· Ἕως ἑσπέρας καὶ πρωΐ, ἡμέραι δισχίλιαι καὶ τριακόσιαι, καὶ καθαρισθήσεται τὸ ἅγιον*. Ἀγωνιῶντι τῷ προφήτῃ διὰ τὰ ὁρώμενα, ἐπιπέμπονται ἄγγελοι δηλοῦντες αὐτῷ, ὅτι τέλος ἕξουσι τὰ δυσχερῆ, καὶ τὸν καιρὸν διδάσκοντες τῆς αὐτῶν παρελεύσεως. Καὶ ἠρώτα ἕτερος τὸν ἕτερον. Τὸ γὰρ Φελμουνὶ ἑξελληνιζόμενον, τινὰ σημαίνει. Ἠρώτα δὲ οὐχ ὡς ἀγνοῶν, ἀλλ' ἵνα μάθῃ ὁ Δανιήλ. Ὁ δ' ἐρωτώμενος ἀπεκρίνατο· Ἡμέραι δισχίλιαι καὶ τριακόσιαι ἕως ἑσπέρας καὶ πρωΐ, καὶ καθαρισθήσεται τὸ ἅγιον. Ἑσπέραν μὲν οὖν ἐκάλεσε τὴν ἀρχὴν τῶν ἀνιαρῶν, ἢ καὶ ὅλον τὸν χρόνον αὐτῶν· νυκτὶ γὰρ καὶ σκότῳ τὰ λυπηρὰ ἔοικε· πρωῒ δὲ τὴν μετὰ τὰς συμφορὰς εἰρηναίαν κατάστασιν. Τοῦτο τοίνυν σημαίνει, δι' ὧν φησιν, ὅτι ἀπὸ τῆς τῶν κακῶν ἀρχῆς μέχρι τέλους αὐτῶν τόσος καιρὸς παρελεύσεται. Αἱ δὲ ἡμέραι πρὸς ἐνιαυτοὺς ἀριθμούμεναι ἐξ ἀποτελοῦσι μῆνας, καὶ ἰσαρίθμους ἐνιαυτοὺς, κατὰ τὴν τῶν Ἑβραίων ψῆφον. Ἐπὶ τοσοῦτον γὰρ ἡ ἐπ' Ἀντιόχου τοῖς Ἰουδαίοις ἐπενεχθεῖσα συμφορὰ ἐπεκράτησε. Ταῦτα παρὰ τοῦ ἀρχαγγέλου Γαβριὴλ τῷ προφήτῃ ζητοῦντι σύνεσιν ἐμυήθη.

tum est cadaveribus, et factum est, ac secundis rebus usus est, et datum est ad victimam peccatum, et humi abjecta est justitia. Nam cum interdicta sacrificasset, turbavit sacrificium, hoc est, confudit, **132** polluit. Cadavera porcos nominat : et peccatum in sacrificio, violatas ab eo leges. Projectam humi justitiam dicit, ob contempta instituta patria. Significantur etiam injustæ cædes eorum, qui ab impietate abhorruerunt. Sed quamvis, inquit, hæc ageret, tamque impie se gereret Antiochus, tamen rebus secundis usus est. Iis subjicit Daniel : *Et dixit unus sanctus Phelmuni, Quando tandem visio terminabitur? et sublatum sacrificium, et peccatum vastationis concessum? Is dixit ei : Usque ad vesperam et mane, dies bis mille et trecenti, tunc repurgabitur sanctum.* Ad Prophetam ex visione sollicitum mittuntur angeli, qui ei significent, finem ærumnarum fore, et tempus eum docent, quo desituræ sint. Et alius alium interrogabat : nam Phelmuni, aliquem significat. Rogabat autem non ut ignarus, sed ut Daniel cognosceret. Qui rogabatur, respondet : Dies bis mille trecenti usque ad vesperam et mane, tum repurgabitur sanctum. Vesperam igitur vocavit principium molestiarum, aut totum tempus earum (nam molestiæ nocti et tenebris comparantur, mane, pacatum statum post calamitates. Verba igitur illa hoc volunt. A principio malorum usque ad eorum finem, tantum temporis elabetur. Dies autem in annos redacti, conficiunt sex menses, et annos totidem, secundum calculum Hebræorum. Nam tandiu viguit calamitas Judæis ad Antiocho illata. Hæc Danieli intelligere cupienti, a Gabriele archangelo sunt revelata.

Θ'. Εἶτα διὰ τὴν τῶν ὁμοφύλων αἰχμαλωσίαν, ἐπὶ Δαρείου πάλιν τοῦ Μήδων ἄρχοντος, ὃς καὶ Κυαξάρης ὠνόμαστο, καὶ Ἀσούηρος, Ἀστυάγους ὢν υἱὸς, τοῦ προφήτου θρηνοῦντος, καὶ τοῦ Θεοῦ δεομένου, ἥψατό τις ἀνὴρ, ᾧ ὄνομα Γαβριήλ. Ἥψατο δὲ αὐτοῦ ὡσεὶ ὥραν θυσίας ἑσπερινῆς, ἢ κατὰ τὸν καιρὸν τῆς ἐν ἑσπέρᾳ λατρείας, ἢ ἐπὶ τοσαύτην ὥραν ἐφ' ὅσην ἡ ἑσπερινὴ ἐτελεῖτο λατρεία. Καὶ εἶπε τῷ Δανιήλ· *Νῦν ἐξῆλθον συμβιβάσαι σοι σύνεσιν, καὶ ἀναγγεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ. Καὶ ἐννοήθητι ἐν τῷ ῥήματι, καὶ σύνες ἐν τῇ ὁράσει*· ἀντὶ τοῦ, Ἀκριβῶς πρόσχες τοῖς λεγομένοις· ἀκουστικὸς γὰρ ἀνὴρ ἐπιθυμητὴς ἐπιστήμης. Ἐπὶ τοσοῦτον οὖν ἐκράτησε τὰ δυσχερῆ, ἕως ἂν ἐκπληρωθῇ τὰ ἑβδομήκοντα ἔτη τῆς αἰχμαλωσίας. Ἐπὶ τοσοῦτον γὰρ ἐκράτησε καὶ τὰ τῆς ἐρημώσεως τοῦ ναοῦ. Ἐπὶ τοσοῦτον γὰρ ἐρημωθεὶς ὁ ναὸς, ἐκαθαρίσθη πάλιν ἐπὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, ὡς ἐν τοῖς Μακκαβαϊκοῖς ἱστόρηται. Ἐπὶ τοσοῦτον γὰρ ἐρημωθεὶς ὁ ναὸς, ἐκαθαρίσθη πάλιν ἐπὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, ὡς ἐν τοῖς Μακκαβαϊκοῖς ἱστόρηται. Ἐπὶ τοσοῦτον γὰρ ἐρημωθεὶς ὁ ναὸς, ἐκαθαρίσθη πάλιν ἐπὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, ὡς ἐν τοῖς Μακκαβαϊκοῖς ἱστόρηται.

IX. Deinde iterum sub Dario Medorum principe, (qui et Cyaxares et Assuerus,) Astyagis filio, Prophetam popularium suorum captivitatem lamentantem, et Deum deprecantem, attigit vir quidam nomine Gabriel. Attigit autem sub tempus sacrificii vespertini, sive tempus vespertini cultus intelligatur, sive tantum spatium, quanto sacrificium vespertinum peragitur : et ait Danieli : *Nunc egressus sum ad tribuendam tibi intelligentiam, et ad annuntiandum, quia vir desideriorum es. Quare considera quæ dicuntur, et visionem intellige* : hoc est, attente ausculta. Nam verba obscura sunt,

maximamque postulant attentionem. Aliquando autem res divinæ per ambages innuuntur, ne omnium intelligentiæ **133** expositæ contemnantur. Vir autem desideriorum appellatus est Daniel, sive quod pravis desideriis fortiter et generose resisteret, sive quod scire desideraret, quid populo et tribulibus suis eventurum esset, sive quod ob studium virtutis desiderabilis esset atque amabilis. Deinde subjicit angelus : *Septuaginta hebdomades contractæ sunt super populum tuum, et super sanctam urbem tuam, donec inveterascat delictum et perficiatur peccatum, et obsignetur peccatum et expietur injustitia, et æterna justitia adducatur, et obsignetur visio et prophetia, et ungatur Sanctus sanctorum.* Ad Deum Propheta inter orandum dixerat : *Populus tuus et urbs tua* Angelus autem Danieli ait : *Populus tuus et urbs tua* ; quasi indignus esset, qui populus Dei vocaretur. Eadem loquendi ratio et in Mose reperitur, cum Israelitæ vitulo a se facto sacrificarent. Nam tum etiam Prophetæ precanti sic respondet Deus. Ait igitur angelus Danieli, et Hierosolyma instauratum iri, et populum esse reversurum, et ad annos quadringentos nonaginta permansurum. Nam septuaginta hebdomades tantum conficiunt, singulis diebus pro singulis annis supputatis. Contractæ, hoc est, decretæ ac præfinitæ sunt. Donec inveterascat delictum, et peccatum consummetur, hoc est, donec durarit et auctum fuerit peccatum ; hoc enim significat inveterascere : iis verbis designat audaciam Judæorum, et rabiem contra Dominum. Nam prius etiam multa scelera perpetrarant, eorumque pœnas dederant, sed revocati fuerunt. Postquam autem contra Servatorem insanierunt, et ad summum improbitatis pervenerunt, peccatumque consummarunt, non amplius revocati sunt. Obsignari peccatum, et expiari injustitiam, significat remissionem delictorum a Domino iis donatam, qui ei credunt. Hic enim est, qui tollit peccatum mundi. Nam obsignari idem est, quod desinere. Adducere justitiam æternam, est ipsum venire in mundum, qui est justitia, redemptio et sanctificatio. Obsignari visionem et prophetiam, significat, prophetiam desiisse : sive quod ea quæ a prophetis de Christo prædicta fuerunt, evenerint, sive quod prophetiæ donum apud Judæos desierit, sive utrumque. **134** Nam Christus cum venisset, prophetias obsignavit, hoc est, implevit et confirmavit, atque etiam terminavit. Neque enim jam apud eos princeps est, propheta aut dux. Et adduci justitiam æternam, est ipsius Domini et Servatoris nostri adventus, *qui*, ut Apostolus ait, *datus est nobis sapientia a Deo, justitia, sanctificatio et redemptio* [7]. Atque alibi de Evangelio scribens : *Justitia*, inquit, *in eo revelatur* [8]. Dominus porro docet, regnum Dei petendum esse, et justitiam ejus, quam ipse adduxit, suaque doctrina aperuit.

νοις, αἰνιγματώδεσιν οὖσι, καὶ πλείονος δεομένοις σπουδῆς. Ἐνίοτε δὲ δι' αἰνιγμάτων τὰ θεῖα δηλοῦται, ἵνα μὴ πᾶσι γίνοιντο δῆλα, καὶ διὰ τοῦτο εὐκαταφρόνητα. Ἀνὴρ δ' ἐπιθυμιῶν ἐκλήθη ὁ Δανιὴλ, ἢ ὡς κατὰ τῶν σαρκικῶν παθῶν ἀνδριζόμενος, καὶ γενναίως αὐτοῖς ἀνθιστάμενος· ἢ ὡς ἐπιθυμῶν μαθεῖν τὰ τῷ λαῷ καὶ τοῖς αὐτοῦ συμφυλέταις ἐσόμενα· ἢ ὅτι ἐπιθυμητὸς ἦν καὶ ἐπέραστος, δι' ἣν μετήρχετο ἀρετήν. Εἶτα ἐπάγει ὁ ἄγγελος· *Ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν σου, ἕως τοῦ παλαιωθῆναι τὸ παράπτωμα, καὶ τοῦ τελεσθῆναι τὴν ἁμαρτίαν, καὶ τοῦ σφραγίσαι ἁμαρτίαν, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίαν, καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην, καὶ τοῦ χρῖσαι Ἅγιον ἁγίων.* Ὁ μὲν προφήτης προσευχόμενος, *Ὁ λαός σου, πρὸς τὸν Θεὸν ἔλεγε, καὶ ἡ πόλις σου·* ὁ δὲ ἄγγελος πρὸς τὸν Δανιὴλ φησιν· *Ὁ λαός σου καὶ ἡ πόλις σου,* ὡς μὴ ἀξίου ὄντος τοῦ λαοῦ τοῦ Θεοῦ καλεῖσθαι. Εὕρηται δὲ ὁμοίως καὶ ἐπὶ Μωϋσέως, ὅτε τὸν μόσχον ποιήσαντες οἱ Ἰσραηλῖται, θυσίαν αὐτῷ προσήνεγκαν. Καὶ τότε γὰρ τοῦ προφήτου δεομένου, ὁ Θεὸς ἔφη ὡσαύτως. Φησὶν οὖν ὁ ἄγγελος, ὅτι καὶ ἡ Ἱερουσαλὴμ οἰκοδομηθήσεται, καὶ ὁ λαός σου ἐπανελεύσεται, καὶ ἐπὶ ἔτη τετρακόσια ἐνενήκοντα διαμενοῦσιν. Αἱ γὰρ ἑβδομήκοντα ἑβδομάδες εἰς τοσοῦτον συμψηφίζονται ἀριθμὸν, ἑκάστην δ' ἡμέραν εἰς ἐνιαυτὸν ἐλογίσατο. Τὸ δὲ συνετμήθησαν, ἀντὶ τοῦ, ἐκρίθησαν καὶ ὡρίσθησαν, κεῖται. Ἕως τοῦ παλαιωθῆναι τὸ παράπτωμα, καὶ τοῦ τελεσθῆναι τὴν ἁμαρτίαν, τουτέστιν, ἕως τοῦ χρονίσαι καὶ αὐξηθῆναι. Τοῦτο γὰρ δηλοῖ τὸ παλαιωθῆναι, καὶ τελείαν γενέσθαι τὴν ἁμαρτίαν. Διὰ τούτων δὲ τὴν κατὰ τοῦ Κυρίου τόλμαν καὶ λύτταν τῶν Ἰουδαίων παρίστησιν. Πολλὰ μὲν γὰρ καὶ πρὸ τούτου ἡμάρτοσαν, καὶ δίκας ἔτισαν, ἀλλ' ἀνεκλήθησαν αὖθις. Ἐπεὶ δὲ κατὰ τοῦ Σωτῆρος ἐμάνησαν, τὴν εἰς ἔσχατον κακίας ἀφίκοντο, καὶ ἐντελῆ τὴν ἁμαρτίαν εἰργάσαντο, οὐκέτι ἀνακλήσεως ἔτυχον. Τὸ δὲ σφραγίσαι ἁμαρτίαν καὶ ἐξιλάσασθαι ἀδικίαν, τὴν ἄφεσιν δηλοῖ τῶν πταισμάτων, τὴν παρὰ τοῦ Κυρίου δεδωρημένην τοῖς πιστεύουσιν εἰς αὐτόν. Οὗτος γάρ ἐστιν ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Τὸ γὰρ σφραγίσαι τοῦ παυθῆναι σημαντικόν. Τὸ δὲ ἀγαγεῖν δικαιοσύνην αἰώνιαν τὸ αὐτὸν εἰς τὸν κόσμον ἐλθεῖν, ὅς ἐστι δικαιοσύνη καὶ ἀπολύτρωσις καὶ ἁγιασμός. Τὸ μέντοι σφραγίσαι ὅρασιν καὶ προφήτην τὸ τέλος ἐσχηκέναι τὰς προφητείας δηλοῖ, ἢ ὅτι τὰ παρ' ἐκείνου περὶ τοῦ Χριστοῦ λαληθέντα ἐκβέβηκεν, ἢ ὅτι τὸ τῆς προφητείας χάρισμα τοῖς Ἰουδαίοις ἐκλέλοιπεν, ἢ καὶ ἀμφότερα. Ἐλθὼν γὰρ ὁ Χριστὸς τὰς προφητείας ἐσφράγισεν, ἐπλήρωσε δηλαδὴ, καὶ ἐβεβαίωσε, καὶ μέντοι καὶ ἔπαυσεν. Οὐκέτι γὰρ παρ' αὐτοῖς ἄρχων, καὶ προφήτης, καὶ ἡγούμενος. Καὶ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, ἤτις αὐτός ἐστιν ὁ Κύριος ἡμῶν καὶ Σωτήρ. Ὁ μὲν γὰρ

[7] 1 Cor. 1, 30. [8] Rom. 1, 17.

Ἀπόστολος, *Ἐδόθη σοφία ἡμῖν*, φησὶν, *ἀπὸ Θεοῦ δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις*· καὶ ἀλλαχοῦ περὶ τοῦ Εὐαγγελίου γράφων, *Δικαιοσύνη ἐν αὐτῷ ἀποκαλύπτεται*, λέγει· ὁ δὲ Κύριος, Αἰτεῖτε, διδάσκει, τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, ἣν αὐτὸς ἦγαγε φανερώσας ἡμῖν διὰ τῆς αὐτοῦ διδαχῆς. Καὶ τὸ χρῖσαι Ἅγιον ἁγίων, αὐτὸν δηλοῖ τὸν Δεσπότην παραγενέσθαι Χριστόν. Τίς γὰρ ἕτερος Ἅγιος ἁγίων κληθείη ἄν, εἰ μὴ ὁ Κύριος ἡμῶν, καὶ Σωτήρ; Ὅς, ἁγιωσύνης ὑπάρχων πηγὴ, χρίεται μὲν τῷ ἁγίῳ Πνεύματι κατὰ τὸ ἀνθρώπινον, ὡς Ἡσαΐας προανεφώνησε, λέγων· *Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με*· καὶ ὡς Δαβὶδ ἐμελῴδησεν, εἰπών· *Ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου*· καὶ ὡς ἡ κορυφαία τῶν ἀποστόλων ἀκρότης ὁ Πέτρος ἐδίδαξε, περὶ τοῦ Σωτῆρος γράψας, ὡς *Ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι ἁγίῳ καὶ δυνάμει*. Σφραγίζει δὲ καὶ βεβαιοῖ τὰς παλαιὰς Γραφὰς, ποιῶν ἅπαντα καὶ πάσχων, ὅσα δι' ἐκείνων προείρητο. Καὶ ἐξιλάσκεται ἀδικίαν, καταλλάσσων τοὺς ἁμαρτήσαντας τῷ Θεῷ καὶ Πατρὶ, καὶ αὐτὸν τοῖς πταίσασιν ἱλεούμενος. Εἶτα ἐπάγει ὁ θεῖος ἀρχάγγελος· *Καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγων τοῦ ἀποκριθῆναι, καὶ τοῦ οἰκοδομῆσαι* (84) *Ἰερουσαλήμ. Ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτὰ, καὶ ἑβδομάδες ἑξηκονταδύο.* Ἤρξατο μὲν οὖν ὁ ναὸς ἐπὶ Κύρου οἰκοδομεῖσθαι. Κῦρος γὰρ πρῶτος τῆς ἐπανόδου παρεχώρησε τῷ ἔθνει τῶν Ἰουδαίων, ἀλλ' ἐπεσχέθη παρὰ Καμβύσου τοῦ Κύρου παιδὸς, φθόνῳ τῶν αὐτοῖς ὁμορούντων ἐθνῶν. Ἐπετράπη δ' αὖθις τοῖς Ἰουδαίοις ἡ τούτου ἀνέγερσις, ὅτε Δαρεῖος ὁ Ὑστάσπου ἐκράτησε τῆς βασιλείας Περσῶν. Ἐξ οὐδενὸς δὲ τούτων ἀριθμούμενος ὁ καιρὸς, εὑρίσκεται σώζων κατὰ τὴν τοῦ ἀρχαγγέλου φωνὴν, ἀλλ' ὑπερβάλλων. Εἰ δ' ἐκ τῶν χρόνων τῆς Ἀρταξέρξου βασιλείας τοῦ Μακρόχειρος ὁ καιρὸς ἀριθμοῖτο, εὑρεθείη ἂν οὔτε περιττεύων οὔτ' ἐλαττούμενος, κἀκ τούτου δεῖον ἀριθμεῖσθαι αὐτὸν, ὅτι τότε καὶ τῇ πόλει περιεβλήθη περίβολος, καὶ τῷ ναῷ προσετέθη τὰ λείποντα, καὶ οἰκητόρων ἡ πόλις πεπλήρωτο. Ὅτε Νεεμίας, οἰνοχεύων τῷ Ἀρταξέρξῃ, ἐδεήθη αὐτοῦ ἐπιτραπῆναι αὐτῷ τὴν εἰς τὴν πατρίδα ἐπάνοδον. Καὶ ἀπελθὼν, τήν τε πόλιν περιετείχισε καὶ συνῴκισε, καὶ τὸν ναὸν ἀτελῆ ὄντα ἀπήρτισεν. Εἰ γοῦν ἀπὸ τῆς τοῦ Σωτῆρος ἐπιφανείας, δι' οὗ μόνου ἄφεσις ἁμαρτημάτων ἐδόθη, καὶ δικαιοσύνη εἰσήνεκται, καὶ τῶν προφητῶν αἱ προρρήσεις πεπλήρωνται, ἀναποδίζων τις ἀριθμήσει τὸν χρόνον, εὑρήσει τοῦτον συμπληρούμενον ἕως τοῦ εἰκοστοῦ ἔτους τῆς βασιλείας τοῦ Ἀρταξέρξου, ὅτε δηλαδὴ ὁ Νεεμίας παραχωρηθεὶς εἰς

stribuit, quas Persæ tum primum inducerunt. Stolis optimis inter optimos distributis, etiam aliis Medicis stolis prolatis (ut enim plurimas pararet, neque purpureis, neque orphninis, neque carycinis, neque puniceis pannis pepercerat) cuique ducum partem earum tradidit, quibus et illi suos exornarent. Rogatus autem a quodam, quando ipse sese ornaturus esset : *Nonne*, inquit, *vobis nunc ornatus esse videor, cum vos ornavi? Nam ubi de amicis fuero bene meritus, qualibet in veste formosus ero.* Supplicatione absoluta et victimis immolatis, cum familiaribus cœnatus est, amicis honoratissimis ad lævam collocatis, ut quæ magis opportuna sit insidiis; cæteris ad dextram. A cœna eos qui ultro in bellis secuti fuerant, dimisit domum, præter eos qui sponte mancre vellent : iis vero et agros et ædes dedit, discedentibus tam militibus quam ducibus plurima donavit. Dedit et suis militibus multa de Sardianis pecuniis, pro dignitate cujusque. Qui ut ea acceperant, alii dixere, nimirum ipsum Cyrum habere plurimá, qui tam multa largitus esset : alii non id esse Cyri ingenium, ut pecuniam **166** faceret, qui dando quam accipiendo delectetur magis. Quibus Cyrus animadversis, amicis et aliis idoneis advocatis : *Apertissimi*, inquit, *ingenii mihi esse videtur, ut princeps copiis suis palam expositis, de laude bonitatis certet. Et ego igitur, quidquid mearum opum est, quod monstrari possit, ostendam : quæ ostendi nequeunt, enarrabo.* His dictis res multas et præclaras deprompsit. Quæ vero reposita erant, nec proferri facile poterant, recensuit : *Et hæc*, inquit, *viri, non tam mea sunt existimanda, quam etiam vestra. Nam ea colligo, ut qui honeste se erga nos gesserit, eum remunerari queam: et si cui vestrum quid opus fuerit, a me uti petat.*

Λεῦ, καὶ ἐμοὶ ἤδη ὡς πλουσίῳ χρῶ. Πάμπολλα γὰρ ἔχων πάρειμι δῶρα, διὰ τὰ σὰ γράμματα. Καὶ ὁ Κῦρος· *Εἰς μὲν τοίνυν, ὦ Κροῖσε*, εἶπε, *καὶ αὐτὸς ἡμῖν θησαυρός. Τοὺς δὲ ἄλλους καταθεῶ, καὶ λόγισαι κόσα μοί ἐστιν ἕτοιμα χρήματα, ἢν τι δέωμαι χρῆσθαι.* Λέγεται δὴ λογιζόμενος ὁ Κροῖσος πολλαπλάσια εὑρεῖν, ἢ ἔφη Κύρῳ ἂν εἶναι ἐν τοῖς θησαυροῖς, εἰ συνέλεγεν. Ἐπὶ τούτοις δὲ τὸν Κῦρον εἰπεῖν· *Ὁρᾷς, ὦ Κροῖσε, ὡς εἰσι καὶ ἐμοὶ θησαυροί.* Δόξαν δὲ αὐτῷ εἰς τοὺς θεοὺς ἐξῃρημένα τεμένη, ποιήσασθαι πρόπομπήν (4), καλέσας τοὺς τὰς ἀρχὰς ἔχοντας Περσῶν τε καὶ τῶν ἄλλων, διέδωκεν αὐτοῖς στολὰς Μηδικὰς, καὶ τότε πρῶτον Πέρσαι Μηδικὴν στολὴν ἐνεδύσαντο. Ἐπεὶ δὲ τοῖς κρατίστοις διέδωκε τὰς κρατίστας στολὰς, ἐξέφερε, καὶ ἄλλας Μηδικὰς στολὰς, παμπόλλας γὰρ παρεσκεύασατο, οὔτε πορφυρίδων φειδόμενος, οὔτε ὀρφνίνων, οὔτε φοινικίδων (5), οὔτε καρυκίνων ἱματίων· νείμας δ' ἑκάστῳ τῶν ἡγεμόνων μέρος αὐτῶν, ἐκέλευσε τούτοις τοὺς ὑπ' αὐτοὺς κοσμεῖν. Καί τις τῶν παρόντων ἐπήρετο αὐτόν· *Σὺ δὲ, ὦ Κῦρε, πότε κοσμήσῃ;* Ὁ δὲ, *Οὐ γὰρ νῦν*, ἔφη, *δοκῶ ὑμῖν αὐτὸς κοσμεῖσθαι, ὑμᾶς κοσμῶν; ἢν γὰρ δύνωμαι τοὺς φίλους ποιεῖν εὖ, ὁποίαν ἂν ἔχω στολὴν ἐγὼ, ἐν ταύτῃ καλὸς φαροῦμαι.* Ποιήσας δὲ τὴν προπομπὴν, καὶ θύσας τοῖς θεοῖς μετὰ τῶν φίλων ἐδείπνει, οὓς μὲν μάλιστα ἐτίμα, παρὰ τὴν ἀριστερὰν χεῖρα καθίσας, ὡς εὐεπιβουλευτέρας ταύτης οὔσης ἢ τῆς δεξιᾶς· τοὺς δ' ἄλλους παρὰ τὴν δεξιάν. Μετὰ δέ γε τὸ δεῖπνον τοὺς ἐθελουσίους αὐτῷ συμμαχήσαντας ἀπέπεμψεν οἴκαδε, πλὴν τῶν βουληθέντων παρ' αὐτῷ καταμεῖναι. Τούτοις δὲ καὶ χώραν καὶ οἴκους ἔδωκε. Τοῖς δ' ἀπιοῦσι καὶ στρατιώταις καὶ ἄρχουσι πολλὰ ἐδωρήσατο, εἶτα καὶ τοῖς περὶ αὐτὸν στρατιώταις καὶ ἡγεμόσι πολλὰ διένειμεν, ὅσα ἐκ Σάρδεων ἔλαβε χρήματα, πρὸς τὴν ἀξίαν ἑκάστῳ. Ὡς δὲ εἰλήφεσαν τὰ δοθέντα, ἔλεγον περὶ τοῦ Κύρου· Ἥπου αὐτός γε πολλὰ ἔχει, ὅτι καὶ ἡμῶν ἑκάστῳ τοσαῦτα δέδωκεν. Οἱ δ' ἔλεγον, Οὐχ ὁ Κύρου τρόπος τοιοῦτος, ὡς χρηματίζεσθαι, ἀλλὰ διδοὺς μᾶλλον ἢ κτώμενος ἥδεται. Αἰσθόμενος δὲ ταῦτα ὁ Κῦρος, συνέλεξε τοὺς φίλους καὶ τοὺς ἐπικαίρους ἅπαντας, καὶ εἶπεν· *Ἁπλουστάτου μοι δοκεῖ εἶναι ἤθους, τὸ τὴν δύναμιν τὸν ἄρχοντα φανερὰν ποιησάμενον ἐκ ταύτης ἀγωνίζεσθαι περὶ καλοκαγαθίας. Κἀγὼ οὖν*, ἔφη, *βούλομαι ὑμῖν, ὅσα μὲν οἷόν τε ἐστὶ τῶν ἐμοὶ ὄντων ἰδεῖν, δεῖξαι· ὅσα δὲ μὴ οἷόν τε ἰδεῖν, διηγήσασθαι.* Ταῦτα εἰπὼν, τὰ μὲν ἐδείκνυ πολλὰ καὶ καλὰ χρήματα· τὰ δὲ κείμενα, ὡς μὴ ῥᾴδιον εἶναι ἰδεῖν, διηγήσατο· Καὶ εἶπεν, *Ὦ ἄνδρες, ταῦτα οὐδὲν μᾶλλον ἐμὰ δέον ἡγεῖσθαι, ἢ καὶ ὑμέτερα. Ἐγὼ γὰρ ταῦτα ἀθροίζω, ὅπως ἔχω τῷ καλόν τι ὑμῶν ποιοῦντι διδόναι· καὶ ὅπως, ἤν τις ὑμῶν τινὸς δέηται, λάβῃ πρός με ἰών.*

XXVI. Rebus Babylone compositis, reditum in Persiam parat. In Mediam progressus, se ad Cyaxarem convertit : eoque salutato, et multis egre-

ΚϚ'. Ὅτε δὲ τὰ ἐν Βαβυλῶνι εὖ κατεστήσατο, εἰς Πέρσας ἀπελθεῖν ἡτοιμάζετο. Ἐπεὶ δὲ πορευόμενος γίνεται κατὰ τὴν Μηδικὴν, τρέπεται ὁ Κῦρος πρὸς

Variæ lectiones et notæ.

(4) *Προπομπήν*. Supra, εἶτα τοὺς μάγους καλέσας, ὡς ζορυαλώτου τῆς πόλεως οὔσης, ἀκροθοίνια τοῖς θεοῖς ἐκέλευσεν ἐξελεῖν. Locus paulo intricatior est. Ποιήσασθαι προπομπὴν εἰς τὰ τεμένη. est *ire supplicatum ad pulvinaria deorum*. Sed τὰ τοῖς θεοῖς ἐξῃρημένα τεμένη, videntur esse fana de manubiis constructa ; nisi forte non ædificia, sed lucidiis consecrati intelligantur. W.

(5) *Οὔτε ὀρφνίνων, οὔτε καρυκίνων ἱματίων*. Ms. cod. καρυκίνων, atque ita reposuimus; ὄρφνινον, esse colorem nigricantem, qualis sit combustæ purpuræ, Joach. Camerarius ex Platone in *Timæo* adnotat. Philadelphus in Xenophonte Ferrugineum vertit. Pollux τὰ μέλανα ἱμάτια dicta fuisse ὄρφνινα tradit; unde Hesychio ὄρφνιον et ὀρφνὶς μέλαν ἱμάτιον exponitur. De carycino colore agimus in Gloss. med. Græcit.

Κυαξάρην, καὶ ἀσπασάμενος αὐτὸν εἶπεν, ὅτι οἶκος αὐτῷ ἐν Βαβυλῶνι ἐξήρηται· καὶ δῶρα παρέσχεν αὐτῷ πολλὰ καὶ καλά. Ὁ δὲ Κυαξάρης προσέπεμψεν αὐτῷ τὴν θυγατέρα στέφανόν τε χρυσοῦν, καὶ ψέλλια φέρουσαν, καὶ στρεπτὸν, καὶ στολὴν Μηδικὴν καλλίστην· καὶ ἡ μὲν παῖς ἐστεφάνου τὸν Κῦρον. Ὁ δὲ Κυαξάρης· *Δίδωμί σοι*, ἔφη, ὦ *Κῦρε*, *καὶ αὐτὴν ταύτην γυναῖκα*, *θυγατέρα οὖσαν ἐμὴν*, *ἐπιδίδωμι δὲ αὐτῇ καὶ φερνὴν Μηδίαν πᾶσαν· οὐδὲ γάρ ἐστί μοι ἄῤῥεν παῖς γνήσιος.* Ὁ δὲ Κῦρος· Τὸ μὲν γένος, ὦ Κυαξάρη, ἐπαινῶ, εἶπε, καὶ τὴν παῖδα, καὶ τὰ δῶρα. Βούλομαι δὲ τὴν γνώμην τοῦ πατρός τε καὶ τῆς μητρὸς γῆμαι αὐτήν. Καὶ ταῦτα εἰπὼν, εἰς Πέρσας ἐπορεύετο. Ἐν δὲ τοῖς Περσῶν ὁρίοις ἐλθὼν, τὸ μὲν στράτευμα ἐκεῖ κατέλιπεν. Αὐτὸς δὲ σὺν τοῖς φίλοις τὴν πόλιν εἰσῆλθε, ἱερεῖα ἄγων πᾶσι Πέρσαις ἱκανὰ θύειν καὶ ἑστιᾶσθαι· δῶρα δὲ τῷ πατρὶ καὶ τῇ μητρὶ ἔφερεν οἷα εἰκὸς ἦν, καὶ τοῖς φίλοις, οἷα δ' ἔπρεπεν ἀρχαῖς καὶ γεραιτέροις. Ἔδωκε δὲ καὶ πᾶσι Πέρσαις, ἀλλὰ μὴν καὶ Περσίσι, καὶ χρόνου τινὰ τοῖς τεκοῦσι συνδιατρίψας, ἀπῆλθε. Καὶ γενόμενος ἐν Μήδοις, συνδόξαν τῷ πατρὶ, γαμεῖ τὴν Κυαξάρου θυγατέρα. Γήμας δ' εὐθὺς ἔχων αὐτὴν ἀνεζεύγνυεν. Ὡς δ' ἦκεν εἰς Βαβυλῶνα, σατράπας ἐπὶ τὰ κατεστραμμένα ἔπεμπεν ἔθνη, εἰς Ἀραβίαν δηλαδὴ καὶ Καππαδοκίαν, εἰς Φρυγίαν τε τὴν μεγάλην, εἰς Λυκίαν τε καὶ Ἰωνίαν, εἰς Καρίαν, εἰς Φρυγίαν τὴν παρ' Ἑλλήσποντον, καὶ Αἰολίδα. Κίλιξι δὲ καὶ Κυπρίοις καὶ Παφλαγόσιν οὐκ ἔπεμψε σατράπας, ὅτι ἑκόντες ἐδόκουν αὐτῷ συστρατεύεσθαι. Δασμοὺς μέντοι καὶ οὗτοι ἀπέφερον. Ἵνα δὲ, μεγάλης αὐτῷ τῆς ἀρχῆς οὔσης, ταχέως καὶ πόῤῥωθεν οἱ κομίζοιντο ἀγγελίαι, ἐσκέψατο πόσην ἂν ὁδὸν ἵππος ἐλαυνόμενος ἀνύῃ, καὶ ἱππῶνας τοσοῦτον ἀλλήλων διέχοντας ἐποιήσατο, καὶ ἵππους κατέστησεν ἐν αὐτοῖς, καὶ τοὺς αὐτῶν ἐπιμελουμένους, καὶ ἄνδρα ἐφ' ἑκάστῳ ἔταξε τὸν ἐπιτήδειον παραδέχεσθαι τὰ φερόμενα γράμματα, καὶ παραδιδόναι, καὶ παραλαμβάνειν τοὺς ἀπειρηκότας ἵππους, καὶ ἄλλους πέμπειν ῥαλεῖς. Ἤδη δὲ παρελθόντος ἐνιαυτοῦ, στρατείαν ἐποιήσατο, ἐν ᾗ λέγεται καταστρέψασθαι πάντα τὰ ἔθνη, ὅσα Συρίαν εἰσβάντι οἰκεῖ, μέχρις Ἐρυθρᾶς θαλάσσης. Μετὰ δὲ ταῦτα στρατεύει ἐπ' Αἴγυπτον, καὶ καταστρέφεται καὶ αὐτὴν, ὡς ἐντεῦθεν ὁρίζειν αὐτοῦ τὴν ἀρχὴν πρὸς ἕω μὲν τὴν Ἐρυθρὰν θάλασσαν· πρὸς ἄρκτον δὲ, τὸν Πόντον τὸν Εὔξεινον· πρὸς δ' ἑσπέραν, Κῦπρον καὶ Αἴγυπτον· τὴν δ' Αἰθιοπίαν πρὸς μεσημβρίαν. Αὐτὸς δ' ἐν μέσῳ τούτων πεποιημένος τὴν δίαιταν, ἐν Βαβυλῶνι μὲν μῆνα διῆγεν ἑπτὰ, τὸν χρόνον δὴ τὸν χειμέριον· ἀλεεινὴ γὰρ αὕτη ἡ χώρα· τρεῖς δὲ μῆνας τοὺς ἀμφὶ τὸ ἔαρ ἐν Σούσοις. Ἐν δ' Ἐκβατάνοις δύο διῆγε μῆνας τὴν τοῦ θέρους ἀκμήν. Οὕτω δὲ ζήσας ὁ Κῦρος, καὶ μάλα πρεσβύτης γενόμενος, ἀφικνεῖται εἰς Πέρσας τὸ ἕβδομον, πάλαι τῶν τοκέων τετελευτηκότων αὐτῷ. Καὶ κοιμωμένῳ κατὰ τὰ βασίλεια, ἔδοξεν αὐτῷ κατ' ὄναρ τις προσελθεῖν κρείττων ἢ κατὰ ἄνθρωπον, λέγων· *Συσκευάζου*, ὦ *Κῦρε*, *ἤδη γάρ σε μεταπέμπονται οἱ θεοί*. Ἐκ τούτου δ' εἴκαζεν, ὅτι

A giis muneribus affecto, ait, domum etiam illi Babylone assignatam esse. At Cyaxares filiam ad eum mittit, cum aurea corona, armillis, torque et veste Medica pulcherrima; illa Cyrum coronat. Rex vero: *Hanc*, inquit, *Cyre, filiam meam, uxorem tibi do, et totam Mediam doti dico. Neque enim mihi sunt mores liberi germani.* Ad hæc Cyrus, se et genus laudare, et puellam et munera, sed eam de sententia patris et matris ducturum esse. His dictis, in Persiam contendit, relictoque in finibus exercitu, ipse cum amicis urbem ingreditur, victimas adducens, quæ et ad sacrificandum et ad convivandum Persis omnibus satis essent: parentibus atque amicis munera affert, qualia par erat, et qualia magistratus ac seniores decebant, B nec non Persis omnibus eorumque uxoribus et liberis. Aliquandiu apud parentes commoratus, in Mediam revertitur: probatoque a patre conjugio, Cyaxaris filiam ducit. Celebratis nuptiis, statim cum ea Babylonem proficiscitur. Inde satrapas ad gentes subactas mittit, ut in Arabiam, Cappadociam, Phrygiam majorem, Lyciam, Ioniam, Cariam, Phrygiam Hellespontiacam et Æoliam. Ad Cilices vero, Cyprios et Paphlagones satrapas non misit, eo quod ultro se ad illum contulisse videbantur; nihilominus tamen et hi tributa pensitabant. Ut **168** autem in tanta imperii amplitudine nuntii celeriter ad se perferrentur, consideravit, quantum itineris equus uno die cursu conficere posset: ac tanto intervallo distincta diversoria C struxit, equis et equisonibus in iis collocatis, quorum cuique præfecit virum ad recipiendas litteras quæ afferrentur idoneum, qui et traderet et acciperet fatigatos equos, et alios mitteret integros. Anno jam elapso, expeditionem suscepit, in qua omnes gentes quæ ab ingressu Syriæ usque ad mare Rubrum incolunt, subegisse fertur, deinde Ægyptum etiam, ut ejus imperium versus orientem Rubro mari, versus septentrionem, Ponto Euxino: ab occasu, Cypro et Ægypto, versus meridiem Æthiopia terminaretur. Ipse in medio constitutus, septenos menses hiberno tempore, ob regionis temperiem, Babylone degit: ternos menses vernos, Susis: Ecbatanis binos æstivo tempore. Vita igitur D sic acta, senex admodum in Persiam septimum venit, parentibus jam olim defunctis. Ibi in regia dormienti, visus est in somnis apparere vir quidam humana conditione major, qui diceret: *Para te, Cyre, nam dii te nunc accersunt.* Unde conjiciebat, sibi vitæ finem instare: ac tertio die post, filiis (nam eum comitati fuerant), amicis et Persarum magistratibus accersitis: *Mihi*, inquit, *jam vitæ finis instat. Est autem declarandum, cui relinquam imperium, ne controversiæ de eo ortæ vobis negotium facessant. Tu igitur, Cambyse, qui natu major es, regnum teneto, quod tibi et a diis et a me tribuitur. Te vero, Tanaoxare, satrapam constituo Medorum, Armeniorum et Caduſiorum.* Hæc uni filiis mandarat, multaque præceperat, affatus eos

qui aderant, ac dextra porrecta omnibus, contecta facie, exspiravit. Eo defuncto, statim filii seditionem moverunt, urbes ac provinciæ defecerunt, ac in pejus ruebant omnia. Atque hæc a Xenophonte de Cyro prodita sunt. Sed Herodotus Halicarnasseus ea de Cyri educatione, obitu, totaque vita narrat, quæ recensere prolixum fuerit. Mihi vero compendium historiarum scribenti, non convenit verbosum opus contexere : sed satis est ea consectari, quæ probabiliora videntur. **169** Cui vero etiam Herodoti de illo narrationes evolvere libet, is hæc libro primo, cui Clionis Musæ primæ titulum indidit, inveniet.

παρείη τοῦ βίου ἡ τελευτὴ, καὶ τριταῖος τοὺς παῖδας ἐκάλεσε (συνείποντο γὰρ αὐτῷ) καὶ τοὺς φίλους καὶ τὰς Περσῶν ἀρχὰς, καὶ εἶπεν· *Μοὶ μὲν τοῦ βίου τὸ τέλος ἤδη πάρεστι, δεῖ δὲ σαφηνίσαι περὶ τῆς βασιλείας, τίνι ἔσεται μετ' ἐμὲ, ἵνα μὴ πράγματα ὑμῖν παράσχῃ, γενομένη ἀμφίλογος. Σὺ μὲν οὖν, ὦ Καμβύση, πρεσβύτερος ὢν, τὴν βασιλείαν ἔχε, θεῶν διδόντων, ἀμοῦ. Σοὶ δὲ, ὦ Ταναοξάρη* (6), *εἶναι σατράπῃ δίδωμι Μήδων τε καὶ Ἀρμενίων καὶ Καδδουσίων.* Ταῦτα τοῖς παισὶν ἐντειλάμενος, καὶ παραινέσας πολλὰ, καὶ προσειπὼν τοὺς παρόντας, καὶ πάντας δεξιωσάμενος, συνεκαλύψατο, καὶ οὕτως ἐξέλιπεν. Ἐπεὶ δ' ἐκεῖνος ὑπῆει, εὐθὺς οἱ παῖδες αὐτοῦ ἐστασίαζον, πόλεις δὲ καὶ ἔθνη ἀφίσταντο, πάντα δ' ἐπὶ τὸ χεῖρον ἐτράπετο. Ταῦτα μὲν οὖν τῷ Ξενοφῶντι περὶ **Κύρου** ἱστόρηται. Ὁ δ' Ἁλικαρνασεὺς Ἡρόδοτος ἄλλα περὶ τῆς Κύρου φησὶν ἀναγωγῆς τε καὶ τελευτῆς, καὶ τῆς λοιπῆς βιοτῆς, ἃ μακρὸν ἂν εἴη διηγεῖσθαι. Ἐμοὶ δ' ἐπιτομὴν ἱστορίας πεποιημένῳ, οὐκ ἐπέοικε τὴν πραγματείαν θέσθαι πολύστιχον, ἀλλ' αὐτὸς μὲν τὰ πιθανώτερα ἔγραψα. Ὅτῳ δ' εἰδέναι βούλημα, καὶ ἅπερ Ἡρόδοτος περὶ αὐτοῦ συνεγράψατο, τὴν ἐκείνου μεταχειριτάμενος βίβλον, εὑρήσει ταῦτα κατὰ τὸν πρῶτον λόγον, ᾧ τὴν πρώτην τῶν Μουσῶν ἐπέγραψε τῇ βίβλῳ τὴν Κλειώ.

LIBER QUARTUS.

1. Cyrus igitur Assyriorum regnum sic evertit, et primo sui imperii anno, a captivitate Hebraicæ gentis septuagesimo, Judæis qui Babylone degebant, redire Hierosolyma, urbemque et templum instaurare permisit, id quod propheta Jeremias prædixerat, et ante illum Isaias. Nam ille tum vixit, cum urbs caperetur : hic ante captivitatem urbis, et templi eversionem, annis centum quadraginta. Neque vero hæc duntaxat concessit, sed et sacra vasa, a Nabuchodonosore Babylonem translata, per Mithridatem quæstorem suum et Zorobabelem una remisit. Et Syriacis satrapis mandavit, ut eis ad ædificationem adjumento essent, et omnes sumptus de regia pecunia suppeditarent. His a Cyro constitutis, duarum tribuum Judaicæ et Benjamiticæ principes, Levitæ et sacerdotes Hierosolyma contenderunt. Multi etiam Babylone manere, quam suas possessiones relinquere maluerunt. Quo cum pervenissent, Cyri satrapæ omnes ad ædificationem eis (fuere autem quadraginta duo millia et sexcenta) adjumento fuerunt. Jam in urbis et templi instaurationem intentis, finitimæ gentes, Chuthæi præsertim, quos Salmanasar, captis Israelitis Samariam traduxerat, invidentes, satrapas in primis sibi conciliant, ne ædificationem promoverent. Deinde Cyro defuncto, apud Cambysem illium et successorem ejus, Hebræos, ut gentem perfidam et rebellem, per litteras criminantur. Quod si urbem et templum perfecerint, neque tributa pensuros, neque dicto audientes futuros. His et pluribus aliis scriptis ei persua-

Α'. Κῦρος μὲν οὖν οὕτω τὴν τῶν Ἀσσυρίων ἀρχὴν καταλέλυκε. Τῷ δὲ πρώτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, ἑβδομηκοστῷ ὄντι ἐξότου Ἑβραῖοι εἰς Βαβυλῶνα ἐξ Ἱερουσαλὴμ μετηνέχθησαν, ἐπέτρεψε τοῖς ἐν Βαβυλῶνι οὖσιν Ἰουδαίοις ἀπελθεῖν εἰς Ἱεροσόλυμα, καὶ ἀνοικοδομῆσαι τήν τε πόλιν καὶ τὸν ναὸν, ὡς ὁ προφήτης Ἱερεμίας προανεφώνησε, καὶ πρὸ ἐκείνου ὁ Ἡσαΐας προεῖρηκεν. Ὁ μὲν γὰρ ἦν, ὅτε ἡ πόλις ἥλω, καὶ ὁ ναὸς κατεσκάφη, ὁ δ' Ἡσαΐας ἔτεσιν ἑκατὸν καὶ τεσσαράκοντα πρότερον ἦν, ἢ τὴν πόλιν ἁλῶναι, καὶ κατασκαφῆναι τὸ ἱερόν. Οὐ μόνον δ' ἐφῆκε τοῖς αἰχμαλώτοις τὴν ἐπάνοδον, καὶ τὴν τῆς πόλεως καὶ τοῦ ναοῦ ἐξανάστασιν, ἀλλὰ καὶ τὰ σκεύη τὰ τοῦ ναοῦ ἃ Ναβουχοδονόσορ εἰς Βαβυλῶνα ἐκόμισε, συνέπεμψε, παραδοὺς ταῦτα φέρειν Μιθριδάτῃ τῷ αὐτοῦ γαζοφυλάκι, καὶ τῷ Ζοροβάβελ. Ἐπέστειλε δὲ καὶ τοῖς ἐν Συρίᾳ σατράπαις, συναίρεσθαι αὐτοῖς ἐπὶ τῇ τῶν ἔργων οἰκοδομῇ, καὶ τὴν δαπάνην αὐτοὺς χορηγεῖν πᾶσαν ἐκ τῶν βασιλικῶν χρημάτων. Ταῦτα τοῦ Κύρου θεσπίσαντος, ἐξώρμησαν οἱ τῶν δύο φυλῶν ἄρχοντες τῆς τε τοῦ Ἰούδα καὶ τῆς Βενιαμίτιδος, οἵ τε Λευῖται καὶ οἱ ἱερεῖς. Πολλοὶ δὲ ἐν τῇ Βαβυλῶνι κατέμειναν, τὰς κτήσεις καταλιπεῖν οὐχ αἱρούμενοι. Παραγενομένοις δὲ εἰς Ἱεροσόλυμα, οἱ τοῦ Κύρου πάντες συνήργουν αὐτοῖς εἰς τὰς οἰκοδομὰς, καὶ συνέπραττον. Ἦσαν δ' οἱ ἐπανελθόντες μυριάδες τέσσαρες, δισχίλιοί τε καὶ ἑξακόσιοι. Πόῃ δὲ περὶ τὴν οἰκοδομὴν τῆς πόλεως σπευδόντων, καὶ τοῦ ναοῦ, τὰ πέριξ ἔθνη, καὶ μάλιστα τὸ Χουθαίων οὓς Σαλμανασὰρ μετῴκισεν εἰς Σαμάρειαν, ὅτε τοὺς Ἰσραηλίτας ἐξημαλώτισε, φθονοῦντες, τοὺς σατρά-

Variæ lectiones et notæ.

(6) *Ταναοξάρη*. Ita Xenophon ; at cod. Colb. **Ταναξάρη** præfert.

πας ἐδεξιώσαντο πρότερον, μὴ ἐπαρήγειν τοῖς Ἰουδαίοις εἰς τὴν οἰκοδομήν. Εἶτα τοῦ Κύρου τὴν ζωὴν καταλύσαντος, Καμβύσου δὲ τοῦ παιδὸς ἐκείνου τὴν ἀρχὴν διαδεξαμένου, γράφουσι τῷ Καμβύσῃ, διαβάλλοντες τοὺς Ἑβραίους ὡς ἔθνος ἀποστάτικόν τε καὶ ἀνυπότακτον, καὶ εἰ τὴν πόλιν καὶ τὸν ναὸν ἐκτελέσουσι, λέγοντες, οὔτε φόρους δώσουσιν, οὔθ' ὑπακούσονται. Ταῦτα, καὶ πλείω τοιαῦτα γράψαντες, ἔπεισαν αὐτὸν κωλύσαι τὴν τῆς πόλεως καὶ τοῦ ναοῦ ἀνοικοδόμησιν, καὶ ἐπεσχέθη τὰ ἔργα μέχρι τοῦ δευτέρου ἔτους τῆς βασιλείας Δαρείου τοῦ Ὑστάσπου, ἐπ' ἔτη ἐννέα. Καμβύσης γὰρ ἑπτὰ βασιλεύσας ἔτη, καὶ καταστρεψάμενος ἐν τούτοις τὴν Αἴγυπτον, ὑποστρέψας ἐν Δαμασκῷ ἐτελεύτησε, τῶν Μάγων τῆς βασιλείας ἐγκρατῶν γενομένων. Καλὸν δὲ καὶ τὴν περὶ τούτων διήγησιν ποιήσασθαι ἐν ἐπιτομῇ. Τῷ Καμβύσῃ ἦν ἀδελφὸς, κατὰ μὲν τὸν Ξενοφῶντα Ταναοξάρης, κατὰ δὲ τὸν Ἡρόδοτον Σμέρδης ὀνομαζόμενος. Ἔδοξεν οὖν ἐν Αἰγύπτῳ τῷ Καμβύσῃ τυγχάνοντι καθ' ὕπνους τις ἐπιστὰς λέγειν, ὡς ἐς τὸν βασιλικὸν καθίσας θρόνον ὁ Σμέρδης, τῇ κεφαλῇ τοῦ πόλου προσψαύσειε. Δείσας οὖν περὶ τῇ βασιλείᾳ, τὸν Πρηξάσπην παραυτίκα παραπέμπει ἐς Σοῦσα, κτενοῦντα λάθρα τὸν ἀδελφόν. Καὶ ὁ μὲν οὕτω διέφθαρτο· ὁ δὲ Καμβύσης τὸ χρεὼν οὐκ ἐξέφυγε. Δύω γὰρ ἦσαν ἀδελφοὶ Μῆδοι, μάγοι κεκλημένοι, ὧν τῷ μὲν Κατιζίθης, τῷ δὲ Σμέρδης ἦν τὰ ὀνόματα. Ὁ δὲ Σμέρδης οὐ τοῦ ὀνόματος ἐκοινώνει μόνον Σμέρδῃ τῷ Κύρου παιδὶ, ἀλλὰ καὶ τοῦ εἴδους αὐτοῦ. Τούτων τὸν ἕτερον φροντιστὴν τῶν ἑαυτοῦ πραγμάτων ὁ Καμβύσης ἐκέκτητο. Χρονίζοντος δ' ἐν Αἰγύπτῳ αὐτοῦ, γνοὺς τὸν φόνον τοῦ Σμέρδου τοῦ τοῦ Κύρου παιδὸς ὁ Κατιζίθης, καὶ ὡς ὀλίγοις ὁ ἐκείνου θάνατος ἔγνωσται, ἐπιθέσθαι τῇ βασιλείᾳ ἐσκέψατο· καὶ τὸν ἀδελφὸν ὁμωνυμοῦντα τῷ Σμέρδῃ, καὶ πολλὴν πρὸς ἐκεῖνον ἐμφέρειαν ἔχοντα, εἰς τὸν θρόνον ἐκάθισε τὸν βασίλειον, οὐχ ὡς οἰκεῖον ὁμαίμονα, ἀλλ' ὡς τοῦ Κύρου υἱὸν, καὶ τοῦ Καμβύσου ὁμόγνιον· καὶ κήρυκας διέπεμψε πανταχοῦ, βασιλέα τὸν Κύρου Σμέρδην ἀγγέλλοντας. Μαθὼν οὖν ταῦτα καὶ ὁ Καμβύσης, τὸν Πρηξάσπην ἀνέκρινεν, ὡς μὴ πληρώσαντά οἱ τὸ κελευσθέν. Ὁ δὲ διεβεβαίου, μὴ τὸν ἀδελφὸν ἐπαναστῆναι αὐτῷ· Ἐκεῖνον γὰρ ἐγὼ, ἔλεγεν, ὡς σὺ ἐνετείλω, ἔκτανόν τε καὶ ἔθαψα. Συλληφθῆναι τοίνυν κελεύει Καμβύσης τὸν ἐν τῷ στρατῷ κηρύσσοντα, τὸν τοῦ Κύρου Σμέρδην βασιλεῦσαι Περσῶν. Καὶ συλληφθεὶς ἠρωτᾶτο, εἰ αὐτὸς τὸν Σμέρδην ἑώρακε, καὶ εἰ ἐκεῖνος αὐτῷ ἐνετείλατο λέγειν ἅπερ φησίν; Ὁ δὲ μὴ θεάσασθαι τὸν Σμέρδην ἀνταπεκρίνατο, παρὰ δὲ τοῦ Μάγου τοῦ τῶν βασιλείων ἐπιτροπεύοντος, ταῦτα λέγειν ἐπιταχθῆναι. Γνοὺς οὖν ἐντεῦθεν ὁ Καμβύσης τὸ ἀληθὲς, ἐθρήνησε μὲν ὡς μάτην κτείνας τὸν ἀδελφὸν, ὥρμησε δ' αὐτίκα κατὰ τῶν μάγων στρατεύεσθαι. Ἀναθρώσκοντι δέ οἱ ἐπὶ τὸν ἵππον, τοῦ κωλέου τοῦ ξίφους ὁ μύκης ἐξέπεσε, καὶ γυμνωθὲν τὸ ξίφος παίει αὐτοῦ τὸν μηρὸν καιρίως. Ἤρετο οὖν, ὅπως ἡ πόλις καλοῖτο; καὶ μαθὼν ὡς Ἐκβάτανα, εἶπεν, ὡς Ἐνταῦθά μοι πέπρωται τελευτᾷν. Ἐκέχρητο γὰρ αὐτῷ ἐν Ἐκβατάνοις μέλλειν θανεῖν. Καὶ ὁ μὲν παρὰ τοῖς ἐν Μηδίᾳ Ἐκβατάνοις ἐδόκει πρώην τὸ τέλος αὐτὸν καταλήψεσθαι. Ὁ δὲ χρησμὸς οὐκ ἐκεῖνα ἐδήλου, ἀλλὰ τὰ ἐν Συρίᾳ Ἐκβάτανα. Ὁ μὲν οὖν μεθ' ἡμέρας τινὰς τελευτᾷ ἅπαις, βασιλεύσας ἐπ' ἔτη ἑπτὰ, ἐπὶ πέντε μησίν.

B'. Ὁ δὲ Μάγος, τοῦ Καμβύσου θανόντος, ἀδεῶς ἐβασίλευσεν, ἑαυτῷ τὸν τοῦ Κύρου Σμέρδην ἐπιγραφόμενος· καὶ πέμψας εἰς πᾶν ἔθνος ὧν ἦρχεν, ἀτέ-

A serunt, ut urbis et templi instaurationem prohiberet. Ita opus impeditum est usque ad secundum annum Darii regis, filii Hystaspis per annos novem. Nam Cambyses cum septem regnasset annos, et Ægyptum subegisset, inde reversus Damasci obiit, regno a magis occupato, de quibus et hic breviter est dicendum. **170** Cambyses fratrem habuit, quem Xenophon Tanaoxarem, Herodotus Smerdim appellat. Visus igitur est in somnis Cambysi in Ægypto agenti quidam dicere, Smerdim, regio throno occupato, capite cœlos attingere. Regno igitur metuens, Prexaspem Susa mittit, qui fratrem clanculum perimeret. Ac ille quidem ita periit, sed Cambyses fati vim non effugit. Fuerunt enim duo fratres Medi, quorum alter Catizithes,
B alter Smerdis vocabatur, professione magi. Ac Smerdis non tantum nomen, sed formam etiam cum Smerdi Cyri filio communem habebat. Alterum Cambyses suarum rerum curatorem delegerat. Dum igitur rex in Ægypto morabatur, Catizithes cæde Smerdis, quam pauci norant, cognita, regnum invadere destinat: idque fratri qui Smerdi et nomine et lineamentis corporis persimilis esset, tradit, non ut fratri suo, sed ut Cyri filio, fratri Cambysis, et præcones passim dimittit, qui Smerdim Cyri filium regem proclament. Ea re cognita, Cambyses Prexaspen incusat, ut mandata non exsecutum: qui cum affirmaret, fratrem, quem ipse et occidisset et sepelisset, ei non movere seditio-
C nem: præconem qui Smerdim, Cyri filium, regem in exercitu proclamabat, comprehensum rogat, num ipse Smerdim viderit, et num de illius mandato ista proclamet? Respondet homo, se Smerdim non vidisse, sed jussu Magi regiæ magistri ea proclamare. Cambyses igitur veritate inde cognita, fratrem a se temere occisum luget, et bellum inferre magis parat. Sed dum in equum insilit, elapso vagina gladio lethaliter in femore vulneratus, quod illius loci nomen esset, rogat? Cum Ecbatana dici, responsum esset: ibi sibi fatale esse mori, respondet. Acceperat enim oraculum, se Ecbatanis moriturum: et hactenus putarat, se Ecbatanis Medicis obiturum, cum oraculum de Ecbatanis Syriæ locutum esset. Ita moritur orbus
D liberis, cum annos septem et quinque menses regnasset.

II. Eo mortuo, Magus securus tenebat imperium, usurpans Smerdis Cyri filii nomen: et missis in **171** omnes provincias legatis, triennii immunita-

tem proclamat. Cum autem jam menses septem regnasset, hoc modo est agnitus. Otanes nobilitate et opibus Persicorum principum nullo inferior, filiam habebat Phædymiam, Cambysi nuptam. Eadem Magus, ut et cæteris regiis concubinis, utebatur. Ab ea pater clam per internuntium quærit, num cum Smerdi Cyri filio concumbat? illa respondet se nec vidisse Cyri Smerdim, neque scire quis sit is cum quo dormiat. Pater denuo ad eam mittit, ut suum mandatum vel cum periculo exsequatur, si sit opus : ac monet ut, quando cum rege dormiat, ejus dormientis aures contrectet. Nam si habeat aures, sciendum eam cum Smerdi Cyri filio concumbere : sin minus, Magum Smerdim existimandum esse. Paret Phædymia patri : eumque carere auribus, qui rem secum haberet, patri significat. Præciderat autem ei Cyrus aures, ob delictum quoddam. Otanes arcanum illud cum amicis, Aspathine et Gobrya, Persarum principibus communicat : qui cum idem prius essent suspicati, statim fidem habent. Statuunt igitur alios quoque sibi adjungere : Otanes Intaphernem, Gobryas Megabyzum, Aspathines Hydarnem et Darium Hystaspis filium, qui recens ex Persia Susa pervenerat. Qui cum rem cupide audivisset, ejus statim aggrediendæ fit auctor : quod si vel illum diem ignavum elabi paterentur, se insidias Mago indicaturum. Consilio ejus et cæteri assensi, negotium capessunt. Nam et alia conatus maturandi causa inciderat. Cum enim scirent magi, Prexaspem, Smerdis Cyri filii perpetrasse cædem, atque ob id facinus male audire a Persis : amicitia cum eo inita, magnaque polliciti, jurejurando hominem obstrinxerant, ne cui commentum illud detegeret. Quæ cum ille promisisset, subjunxerunt, se advocaturos populum ad mœnia regiæ; ei, turri conscensa, proclamandum, omnibus exaudientibus, Smerdim Cyri filium, et non alium, esse regem. Nam se illi pepercisse, nec occidisse, ut Cambyses jussisset. Cum et hæc promisisset, convocatur populus : Prexaspes turrim **172** conscendit, beneficia a Cyro in Persas collata commemorat. Filium ejus Smerdin se a Cambyse coactum occidisse, magos tenere imperium affirmat : Persas exsecratur, si id facinus inultum sinant. His dictis, se de turre præcipitavit, ac mortuus est. Septem igitur illi ea re audita, statim ad regiam feruntur, non prohibentibus custodibus, dignitatem eorum reveritis. Progressi in aulam, in eunuchos, qui nuntios ultro citroque perferebant, incidunt. Eos, rogati quid venirent, et ulteriore progressu prohibiti, occidunt, et propere ingrediuntur. Magi, qui intus eunuchorum tumultum cognorant, ad vim propulsandam se parant : atque alter qui hastam arripuerat, Aspathinem in femore, Intaphernem in facie vulnerat, unde læsus ei est oculus : alteri arcus fuit inutilis, cum res cominus gereretur. Itaque in thalamum se proripit, insequitur Gobryas et Darius : ac ille magum amplectitur : hic veritus

Ἀλειαν πᾶσιν ἐπ' ἔτη τρία ἐκήρυξεν. Ἤδη δὲ μῆνας ἄρξας ἑπτά, ὅστις ἦν ἐγνώσθη· ἐγνώσθη δ' οὕτως. Ὀτάνης ἦν γένει καὶ πλούτῳ Περσῶν τοῖς πρώτοις ἐνάμιλλος. Τούτου θυγατέρα Καμβύσης ἔσχεν, ἡ Φαιδυμίη ἐκέκλητο. Ταύτῃ καὶ ὁ Μάγος ἐκέχρητο, ὥσπερ καὶ ταῖς λοιπαῖς ἃς εὗρεν, εἰς τὰ βασίλεια. Πέμψας οὖν ὁ πατὴρ, ἠρώτα αὐτὴν λάθρα, εἰ τῷ Κύρου Σμέρδῃ, εἴθ' ἑτέρῳ τινὶ συνευνάζοιτο. Ἡ δὲ μήτ' ἰδέσθαι τὸν Κύρου Σμέρδην ἀνταπεκρίνατο, μήτ' εἰδέναι ὅτινι συγκοιτάζοιτο. Ὁ δὲ καὶ πάλιν στέλλει παρ' αὐτὴν, κινδυνεύειν αὐτῇ ἐντελλόμενος, εἰ δείσειεν, ἵνα πληρώσῃ πατρικὴν ἐντολήν. Καὶ ὑποτιθεὶς, ὁπηνίκα συγκοιμῷτο τῷ βασιλεῖ, καὶ ὑπνώττοντα αὐτὸν γνῷ, ψαῦσαι τῶν ὤτων αὐτοῦ. Καὶ εἰ μὲν ἔχοντα ὦτα γνοίη, εἰδέναι ὡς τῷ Κύρου Σμέρδῃ συγγίνεται· εἰ δὲ μὴ ἔχοι, τὸν Μάγον Σμέρδην αὐτὸν νομίζειν. Πείθεται τῷ πατρὶ ἡ Φαιδυμίη, καὶ γνοῦσα τὸν αὐτῇ συγγινόμενον ὦτα μὴ ἔχοντα, ἐσήμηνε τῷ πατρί. Οὐκ εἶχε δ' ὦτα, ὅτι ὁ Κῦρός ποτὲ ταῦτα δι' ἁμάρτημά τι ἀπέτεμεν. Ὁ δὲ Ὀτάνης Ἀσπαθίνῃ καὶ Γωβρύᾳ πρωτεύουσι τῶν Περσῶν καὶ αὐτῷ φιλουμένοις, κοινοῦνται δὴ τὸ ἀπόῤῥητον. Οἱ δὲ καὶ πρώτην ἐν ὑποψίᾳ ὄντες τοῦ πράγματος, εὐθὺς τοὺς λόγους ἐδέξαντο. Ἔδοξεν οὖν αὐτοῖς καὶ ἑτέρους προσεταιρίσασθαι. Καὶ Ὀτάνης μὲν ἐπάγεται Ἰνταφέρνην, Γωβρύας δὲ Μεγάβυζον, Ὑδάρνην δὲ Ἀσπαθίνης, καὶ Δαρείῳ δὲ τῷ Ὑστάσπου υἱῷ ἄρτι πρὸς Σοῦσα ἐκ Περσίδος ἐλθόντι, τὸ ἀπόῤῥητον ἐκοινώσαντο. Ὁ δὲ καὶ ἐδέξατο τὸν λόγον, καὶ πρὸς τὴν πρᾶξιν αὐτίκα ὁρμᾷν συνεβούλευεν· ἢ τῇ παρούσης ἡμέρας διακενῆς παρερχομένης, αὐτὸς ἔλεγε γενέσθαι τῷ Μάγῳ μηνυτὴς τῆς ἐπιβουλῆς. Ἐπείσθησαν τῇ συμβουλῇ τοῦ Δαρείου, καὶ οἱ λοιποὶ, καὶ τοῦ ἔργου εἶχοντο· Συνέδη δέ τι καὶ ἕτερον, ὃ ἐπισπεῦσαι αὐτοὺς ἠρέθισε τὴν ἐγχείρησιν. Κιδόντες γὰρ οἱ μάγοι, ὅτι Ἱππιξάσπης ἐχειρούργησε τὸν Σμέρδου φόνον τοῦ Κύρου παιδὸς, καὶ ὅτι διὰ τοῦτο καὶ ἐν αἰτίᾳ τοῖς Πέρσαις ἐστὶν, προσκαλεσάμενοι αὐτὸν, φίλον τε ἐποιοῦντο, καὶ ὅρκοις προκατελάμβανον, καὶ λαμπραῖς ὑποσχέσεσι, μή τινι αὐτῶν ἐκφῆναι τὸ σόφισμα. Καταθεμένου δ' ἐκείνου ποιήσειν ταῦτα, προσεπῆγαν συγκαλέσειν τὸ πλῆθος ὑπὸ τὸ τεῖχος τῶν βασιλείων, αὐτὸν δ' ἐπὶ πύργον ἀναβάντα, εἰς ἐπήκοον πᾶσιν ἐκβοῆσαι, ὡς ὑπὸ Σμέρδου τοῦ Κύρου υἱέος, οὐχ ὑφ' ἑτέρου δὲ βασιλεύονται. Φείσασθαι γὰρ αὐτοῦ, καὶ μὴ κτεῖναι αὐτὸν, ὡς ὁ Καμβύσης αὐτῷ ἐνετείλατο. Συνθεμένου δὲ καὶ ταῦτα ποιήσειν, συνῆκτο μὲν τὸ πλῆθος, Ἱππιξάσπης δὲ ἐπὶ τὸν πύργον ἀνῆει, καὶ ἔλεξεν ὅσα τοῖς Πέρσαις ἀγαθὰ παρὰ Κύρου γεγόνασι. Προσετίθει δὲ, ὡς τὸν ἐκείνου παῖδα τὸν Σμέρδην αὐτὸς ἀνέλοι, τοῦ Καμβύσου βιάσαντος. Τοὺς μάγους δὲ τὴν βασιλείαν ἔχειν ἐπληροφόρει. Καὶ ἐπηρᾶτο Πέρσαις, εἰ μὴ αὐτοὺς τίσαιντο. Ταῦτα εἰπὼν, ἑαυτὸν κατεκρήμνισε, καὶ ἀπέθανεν. Οἱ δὲ ἑπτὰ ἄνδρες ἐν τῇ ὁδῷ τὰ κατὰ τὸν Ἱππιξάσπην μαθόντες, ὥρμησαν αὐθὺς ἐπὶ τὰ βασίλεια, καὶ εἰσῆεσαν, παρὰ τῶν φυλάκων μὴ κωλυόμενοι· ἠδοῦντο γὰρ τὴν ὑπεροχὴν τῶν ἀνδρῶν. Παρελθόντες δ' εἰς τὴν αὐλὴν, ἐνέτυχον τοῖς ἀγγελιαφό-

ροις εὐνούχοις, οἱ σφᾶς ἠρώτων, ὅτου χρῄζοντες ἥκοιεν, ἐκώλυόν τε προσωτέρω ἰέναι. Οἱ δὲ τοὺς μὲν ἐκεῖ διεχρήσαντο, αὐτοὶ δὲ δρομαίως εἰσῆεσαν. Οἱ μάγοι δ' ὄντες ἐντὸς, καὶ τῶν εὐνούχων γνόντες τὸν θόρυβον, ἐτράποντο πρὸς ἀλκήν. Καὶ ὁ μὲν τὴν αἰχμὴν, ὁ δὲ τὸ τόξον μετεχειρίσαντο, καὶ θάτερος μὲν τῇ αἰχμῇ Ἀσπαθίνην παίει κατὰ μηρὸν, τὸν δ' Ἰνταφέρνην κατ' ὄψιν, ὅθεν ἐκεῖνος ἐβλάβη τὸν ὀφθαλμόν. Τὰ τόξα δ' ἦν ἄπρακτα, χερσὶν ἐγγύθεν αὐτοῖς χρωμένοις. Καὶ ὁ ταῦτα κατέχων εἰσέδυ πρὸς θάλαμον. Συνεισπίπτουσι δ' αὐτῷ Γωβρύας τε καὶ Δαρεῖος. Καὶ ὁ μὲν συνεπλάκη τῷ Μάγῳ· Δαρεῖος δὲ ἀπορῶν διὰ σκότος, καὶ δεδιὼς μὴ τὸν ἑταῖρον πλήξῃ, ἵστατο ἄπρακτος. Γωβρύας δὲ ἤρετο ὅτου χάριν ἀργὸς ἵσταται; ὃδ' εἶπε τὸ αἴτιον· καὶ ὃς, Ὤθει τὸ ξίφος καὶ δι' ἀμφοῖν, ἔφησε. Καὶ ὁ Δαρεῖος ὧσε τὸ ἐγχειρίδιον, καὶ τοῦ Μάγου ἐπέτυχε. Κτείναντες οὖν καὶ τὸν ἕτερον, οἱ λοιποὶ ἔτεμον τὰς κεφαλὰς καὶ ἀμφοῖν, καὶ τοὺς μὲν δύο τοὺς τραυματίας αὐτῶν διά τε τὰ τραύματα, καὶ τὴν τῆς ἀκροπόλεως φυλακὴν, κατέλιπον ἐν αὐτῇ· οἱ δὲ λοιποὶ τὰς κεφαλὰς ἐπιφερόμενοι τῶν μάγων, ἐξέθεον, καὶ Πέρσαις ταύτας ἐδείκνυον, καὶ ἐξηγοῦντο τὸ γεγονός. Οἱ δὲ τὴν ἀπάτην μαθόντες, ἔκτεινον ᾧ ἂν τῶν μάγων ἐντύχον.

A ne amicum in tenebris interficeret, astat otiosus. Ob eam rem a Gobrya objurgatus, et vel utrumque trajicere jussus, pugione Magum ferit. Cæteri etiam, altero occiso, capita utriusque amputant, eaque ferentes, relictis duobus, tum ob vulnera, tum ad regiæ custodiam, excurrunt, cæsorum capita Persis ostendunt, rem gestam narrant. Illi fraude intellecta, magos omnes obvios occidunt.

Γ'. Ἐπεὶ δὲ κατέστη ὁ θόρυβος, καὶ ἤδη τινὲς ἡμέραι παρῆλθοσαν, ἐβουλεύοντο περὶ τῆς τῶν πραγμάτων οἰκονομίας. Καὶ Ὀτάνης μὲν δημοκρατείαν εἶσθαι παρῄνει, ἀριστοκρατείαν δὲ ὁ Μεγάβυζος, ὁ δέ γε Δαρεῖος βασιλείαν καὶ αὖθις αἱρήσεσθαι συνεβούλευε. Συνέθεντο οὖν τῇ τούτου γνώμῃ καὶ οἱ τέσσαρες οἱ λοιποί. Καὶ ἔδοξεν αὐτοῖς, ἐπιβῆναι τῶν ἵππων, καὶ ὅτου ἂν ὁ ἵππος, ἡλίου ἀνατείλαντος, πρεμετίσῃ ἐν τῷ προαστείῳ γενομένων, τοῦτον ἔχειν τὴν βασιλείαν. Δαρεῖος δὲ τὴν βουλὴν τῷ ἱπποκόμῳ αὐτοῦ ἐξηγήσατο. Ἦν δὲ σοφὸς ὁ ἀνὴρ, καὶ, Θάρρει, ὦ δέσποτα, ἔφη, ὡς σὴ ἔσται ἡ βασιλεία. Γενομένης οὖν νυκτὸς, θήλειαν ἵππον λαβὼν ἦν· ὁ Δαρείου ἔστεργεν ἵππος, καὶ δήσας εἰς τὸ προάστειον ἐπήγαγε τὸν ἵππον, καὶ περιῆγεν αὐτὸν ἀγχοῦ τῇ θηλείᾳ, καὶ τέλος, ἐφῆκεν ὀχεῦσαι τὴν ἵππον. Ἕωθεν δὲ τῶν ἑπτὰ παραγενομένων εἰς τὸ προάστειον, καὶ διεξελαυνόντων ἐν αὐτῷ, ὡς ἐκεῖ γεγόνασιν ἔνθαπερ ἡ θήλεια ἵππος ἐδίδετο, εἰς μνήμην ταύτης ὁ Δαρείου ἵππος ἰὼν ἐχρεμάτισεν, κἀκ τούτου τῷ Δαρείῳ ἡ βατιλεία προσγέγονεν. Οἱ μὲν οὖν τοῦτό φασι μηχανήσασθαι τὸν Οἰβαρέα (τοῦτο γὰρ τῷ τοῦ Δαρείου ἱπποκόμῳ ὄνομα ἦν)· οἱ δ' ἕτεροίον εἶναί φασι τὸ τούτου μηχάνημα. Τῆς γὰρ ἵππου ἐκείνης, ἣν ὁ Δαρείου ἵππος ἐφίλει, τῶν ἄρθρων ἐπιψαῦσαι τῇ χειρὶ καὶ τὴν χεῖρα κρύπτειν ἐν τῇ ἀναξυρίδι. Ἤδη δὲ τοῦ ἡλίου ἀνίσχοντος, καὶ τοὺς ἵππους ἀναβαινόντων τῶν ἑπτὰ ἐκείνων ἀνδρῶν, προσαγαγεῖν αὐτὸν τὴν χεῖρα τοῖς τοῦ ἵππου τοῦ Δαρείου μυκτῆρσι, καὶ τὸν αὐτίκα αἰσθόμενον φρι- D μάξασθαί τε καὶ χρεμετίσαι. Εἰθ' οὕτως, εἶτ' ἐκείνως, ὁ Δαρεῖος τῆς βασιλείας ἐπέτυχεν. Οὗτος οὖν ἰδιώτης ὢν, ηὔξατο τῷ Θεῷ, εἰ γένοιτο βασιλεὺς, πάντα τὰ σκεύη τοῦ Θεοῦ, ὅσα ἦν ἔτι ἐν Βαβυλῶνι, πέμψειν εἰς τὸν ἐν Ἱεροσολύμοις ναόν. Ἦν δὲ αὐτῷ πάλαι καὶ πρὸς τὸν Ζοροβάβελ φιλία, δι' ἣν καὶ σωματοφυλακεῖν μεθ' ἑτέρων δύο ἠξίωτο, ἄρτι ἐξ Ἱεροσολύμων πρὸς αὐτὸν ἀφικόμενος. Τῷ δὲ πρώτῳ ἔτει τῆς αὐτοῦ βασιλείας πότον τοῖς μεγιστᾶσιν αὐτοῦ Δαρεῖος ἡτοίμασεν. Ὡς δ' εὐωχηθέντες ἀνέλυσαν, καὶ αὐτὸς ἐπὶ τῇ κοίτῃ κατέβαρτε· μικρὸν οὖν ὑπνώσας, ἀφύπνωσε, καὶ μετὰ τῶν σωματοφυ

III. Sopito post aliquot dies tumultu, de componendis rebus deliberant. Ac Otanes democratiam instituendam, Megabysus aristocratiam, Darius iterum eligendum esse regem censet. Cujus sententiæ et cæteri quatuor principes suffragati, decrevere, conscendendos esse equos: et cujus equus, exorto sole, cum in suburbium pervenerint, primus hinnierit, ejus esse regnum. Id decretum Darius suo equisoni aperit: qui cum vir prudens esset, bono animo dominum esse jubet, ejus enim regnum fore. Noctu equam a Darii equo adamatam in suburbio alligat, equum prope illam adducit, ac denique ad coitum admittit. Mane cum septem viri in suburbium convenissent, quaque equa alligata fuerat, transirent, 173 Darii equus illius recordatus hinniit: itaque Darius regno potitus est. Nonnulli igitur Darii equisonem Œbarem hoc machinatum esse ferunt, alii diversum quiddam tradunt. Nam equæ a Darii equo adamatæ, genitalia contrectasse manu, eaque intra subligaculum condita, cum sole jam oriente septem viri equos conscenderent, Darii equi nares palpasse: qui percepto odore, statim cum fremitu hinnierit. Hoc sive ita, sive aliter factum fuerit, regno certe potitus est Darius: qui privatus adhuc votum fecerat Deo, si rex esset factus, se vasa reliqua, quæ adhuc Babylone essent, omnia, in templum Hierosolymitanum remissurum esse. Et quia vetustate amicitiæ cum Zorobabele conjunctus erat, eum recens Hierosolymis profectum cum aliis duobus ad custodiam sui corporis adhibuerat. Cum autem primo sui regni anno convivio magnates excepisset, ac post eorum abitum, parum in lectulo dormisset, expergectus, cum suis custodibus colloquitur, et singulis singulas quæstiones proponit. Primo, an vinum omnia vincat? alteri, an rex? tertio (is Zorobabel fuit) an mulieres, easque veritas? pollicitus victori præmia, ut purpuram, cydarim byssinam, et torquem aureum gestaret, ac potestatem haberet ex auro bibendi, et in lecto aureo dormiendi, et curru aureis frenis vehendi: utque proximum a se locum teneret, et suus cognatus vocaretur. Mane procoribus accersitis, quemque satellitum quæstionem

suam declarare jubet. Primus igitur vini potentiam extollit, quod animos abutentium decipëret, affectus mutaret, et ebrios variis modis transformaret. Alter regem præstare omnibus disputat, cum homines ob sapientiam cæteris omnibus antecellant : iis autem quibus alia pareant, reges imperent. At Zorobabel majus esse robur mulierum asserit : nam ex eis et reges nasci, et vinitores : eas ab omnibus et parentibus et patriæ et charissimis quibusque anteponi : eas ipsis regibus imperare, qui se submittant et adulentur si quid illas ægre ferre cognorint. Sed veritatem tamen potentiorem esse mulieribus. **174** Ipsum enim Deum veracem et esse et perhiberi : cumque cætera caduca sint, veritatem esse immortalem et æternam. In hujus sententiam cum ivissent omnes, ut qui de veritate rectissime disseruisset: Darius ei permisit, ut præter promissa præmia, quidvis etiam postularet. At ille regem admonet, quemadmodum vovisset si regno potiretur, se et templum Hierosolymitanum instauraturum, et vasa quæ Babylone reliqua essent, remissurum : *Et hæc*, inquit, *peto*. His rex delectatus, scribit ad satrapas, ut cedrina ligna præbeant ad templi structuram, et ad urbis instaurationem Zorobabeli sint adjumento : omnes Israelitas, qui in Judæam abeant, libertate et immunitate donat : ad templum instaurandum L talenta largitur, vasa quæ penes ipsum erant, mittit : et quæcunque Cyrus de Judæis promulgarat, eadem et ipse confirmat.

A λάκων ὠμίλει, καὶ τούτων ἑκάστῳ ἀγῶνα λόγου προτίθησι· τῷ πρώτῳ μὲν, εἰ ὁ οἶνος πάντων κρατεῖ; τῷ δευτέρῳ δὲ, εἰ οἱ βασιλεῖς; τῷ δέ γε λοιπῷ (οὗτος δὲ ὁ Ζοροβάβελ ἦν) εἰ αἱ γυναῖκες, καὶ αὐτῶν ἡ ἀλήθεια; καὶ τῷ νικήσαντι γέρας δώσειν ὑπέσχετο νικητήριον, πορφύραν φορεῖν, καὶ κίδαριν βυσσίνην, καὶ περιαυχένιον χρύσεον, καὶ ἐν ἐκπώμασι πίνειν χρυσοῖς, καὶ ἐπὶ χρυσίου καθεύδειν, καὶ ἅρμα χρυσοχάλινον ἔχειν, καὶ μετ' αὐτὸν προεδρεύειν, καὶ συγγενῆ καλεῖσθαι αὐτοῦ. Ὄρθρου τοίνυν τοὺς μεγιστᾶνας μεταπεμψάμενος, τῶν σωματοφυλάκων ἕκαστον ἐκέλευε περὶ τοῦ προβλήματος ἀποφαίνεσθαι, καὶ ὁ μὲν τὴν ἰσχὺν ἐξῆρε τοῦ οἴνου, ὡς τὴν τῶν κατακρωμένων ἀπατῶντος διάνοιαν, καὶ τὰς τῶν ψυχῶν διαθέσεις μεταποιοῦντος, καὶ ἄλλους ἐξ ἄλ-

B λων ἐργαζομένου τοὺς οἰνωθέντας. Ὁ δὲ τὸν βασιλέα πάντων ὑπερέχειν ἐφιλοσόφησεν, ὡς τῶν ἀνθρώπων κρατούντων τῶν ἄλλων ἁπάντων διὰ σοφίας, τούτων δ' αὖ οἷς ἅπαντα ὑποτάσσεται, κυριευόντων τῶν βασιλέων. Ὁ δέ γε Ζοροβάβελ, τὰς γυναῖκας κρειττονεύειν τὴν ἰσχὺν ἀπεφήνατο, ὡς καὶ τῶν βασιλέων δι' αὐτῶν γενομένων, καὶ τῶν τὰς ἀμπέλους δὲ φυτευόντων, καὶ πάντων αὐτὰς γονέων τε προτιμώντων, καὶ τῶν πατρίδων καὶ τῶν φιλτάτων αὐτῶν· καὶ τῶν βασιλέων δ' αὐτῶν κρατεῖν τὰς γυναῖκας κολακευόντων αὐτάς, καὶ ταπεινουμένων, εἰ κατά τι δυσχεραινούσας γνοίεν αὐτάς. Μᾶλλον δὲ τούτων δύνασθαι τὴν ἀλήθειαν, ἐπεὶ καὶ ὁ Θεὸς ἀληθὴς ἐστι, καὶ οὕτω καλεῖται, καὶ τὰ μὲν ἄλλα θνητά· ἀθάνατον δὲ χρῆμά ἐστιν ἡ ἀλήθεια, καὶ ἀΐδιον. Πάντων δὲ τῇ γνώμῃ τούτου θεμένων, ὡς ἄριστα περὶ τῆς ἀληθείας φιλοσοφήσαντος ὁ Δαρεῖος αἰτήσασθαι ὃ βούλεται, πάρεξ τῶν ὑπεσχημένων, ἐπέτρεψεν. Ὁ δὲ τῆς εὐχῆς αὐτὸν ἀνέμνησεν, ἦν, εἰ λάβοι τὴν βασιλείαν, πεποίητο. Αὕτη δὲ ἦν, τὸν ἐν Ἱεροσολύμοις τοῦ Θεοῦ κατασκευάσαι ναὸν, ἀποκαταστῆσαι δὲ καὶ τὰ σκεύη, ὅσα ἔτι ἐν Βαβυλῶνι περιελέλειπτο. *Καὶ τοῦτο*, ἔφη, *τὸ αἴτημα τὸ ἐμόν*. Ἠσθεὶς δ' ἐπὶ τούτοις ὁ βασιλεὺς, γράφει τοῖς σατράπαις, κέδρινα ξύλα χορηγεῖν εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ, καὶ συγκατασκευάζειν τὴν πόλιν τῷ Ζοροβάβελ, καὶ πάντας τοὺς εἰς τὴν Ἰουδαίαν ἀπελθόντας αἰχμαλώτους τῶν Ἰσραηλιτῶν ἐλευθέρους εἶναι καὶ ἀτελεῖς, καὶ τάλαντα δοθῆναι πεντήκοντα εἰς τὴν ἀνέγερσιν τοῦ ναοῦ. Καὶ τὰ σκεύη δὲ πάντα ὅσα ἦν παρ' αὐτῷ, ἔπεμψε, καὶ ὅσα Κῦρος περὶ τῶν Ἰουδαίων ἐθέσπισε, ταῦτα καὶ Δαρεῖος προσδιετάξατο.

IV. His peractis, Zorobabel Babylonem proficiscitur, et popularibus suis lætum affert de regis benignitate nuntium. Quibus igitur cordi erat reditus, ii Hierosolyma se conferunt, quorum summa fuit myriades CCCCLXII et millia VII absque Levitis et janitoribus et sacris servis ac ministris, qui reducem populum sequebantur. Horum dux fuit Zorobabel, Salathielis filius, ex tribu Judaica et Davidis posteritate, et Jesus Josedeci pontificis filius. Præter hos et Mardochæus et Gerebus, delecti a populo : urbem ingressi, victimis immolatis templi ædificationem auspicantur, eaque celeriter

C Δ'. Ἦκεν οὖν, τούτων γεγονότων εἰς Βαβυλῶνα ὁ Ζοροβάβελ, καὶ τοῖς ὁμοφύλοις τὰ παρὰ τοῦ βασιλέως εὐηγγελίσατο· καὶ ὅσοι προτεθύμηντο ἐπανελθεῖν εἰς Ἱεροσόλυμα, ἀπῆσαν. Τὸ δὲ κεφάλαιον τῶν ἀπιόντων ἦν μυριάδες τετρακόσιαι (7) ἑξήκοντα δύο καὶ ὀκτακισχίλιοι, ἄτερ Λευϊτῶν τε καὶ Πυλωρῶν καὶ δούλων ἱερῶν καὶ θεραπόντων, οἳ τοῖς ἀναβαίνουσιν εἵποντο. Ἡγεμὼν δὲ τούτων ἦν Ζοροβάβελ, Σαλαθιὴλ παῖς, ἐκ τῆς Ἰούδα φυλῆς ἀπόγονος τοῦ Δαβὶδ, καὶ Ἰησοῦς υἱὸς Ἰωσεδὲκ τοῦ ἀρχιερέως· πρὸς τούτοις δὲ Μαρδοχαῖος καὶ Γερὲβ ἐκ τοῦ πλήθους κεχρισμένοι ἄρχοντες (8) ἦσαν. Ἀπελθόντες δὲ

D

Variæ lectiones et notæ.

(7) *Μυριάδες τετρακόσιαι.* Ita cod. ms. quater millies mille sexcenties mille, vicies octies mille. Immensus hic est numerus, et fortasse falsus, ex imperitia scriptoris atque oscitantia; qui pro μ, 40, posuit υ, 500, et pro χιλιάδες, *μυριάδες*. Apud Josephum quidem l. b. *Antiquit.*, XI tantumdem legitur. Sed Esdræ lib. III, cap. 5, ex conversione Castalionis numerantur 40000 Israelitarum; quibus cum servi, ancillæ, cantores, psaltriæ adduntur, fiunt 49952. Vetus translatio numerat Israelitas 42340, servos et ancillas 7339, cantores et cantatrices 365, qui faciunt 49942. W.

(8) *Κεχρισμένοι ἄρχοντες.* Ita cod. ms. *unxit magistratus*. Josephus habet κεχριμένοι.

εἰς Ἱεροσόλυμα, ἔθυσαν, καὶ τῆς οἰκοδομῆς ἀπήρξαντο τοῦ ναοῦ. Καὶ ὁ μὲν ναὸς θᾶττον ἔλαβε τέλος. Ἀπαρτισθέντος δ' ἤδη τοῦ ἱεροῦ, οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ Ἀσὰφ παῖδες ὕμνουν τὸν Θεόν. Τῶν δὲ πατριῶν οἱ πρεσβύτεροι τὸν πρὶν ναὸν ταῖς μνήμαις ἀναπολοῦντες, καὶ τὸν ἄρτι γεγενημένον ἐνδεέστερον ὁρῶντες τοῦ πάλαι, εἰς δάκρυά καὶ θρήνους προήγοντο, καὶ ἡ τούτων οἰμωγὴ ὑπερεφώνει τὴν τῶν σαλπίγγων ἠχήν. Προσίασι δ' οἱ Σαμαρεῖται τῷ Ζοροβάβελ, ἔτι τοῦ ναοῦ ἀνεγειρομένου, ἀξιοῦντες συγκοινωνῆσαι αὐτοῖς τῆς οἰκοδομῆς τοῦ ναοῦ. Ὁ δὲ τῆς μὲν οἰκοδομῆς αὐτοὺς μετασχεῖν οὐ προσήκατο, προσκυνεῖν δ' ἐν αὐτῷ ἔλεγεν αὐτοῖς ἐφιέναι. Πρὸς ταῦτα οἱ Σαμαρεῖται ἠχθέσθησαν, καὶ πείθουσι τὰ ἐν Συρίᾳ ἔθνη, δεηθῆναι τῶν σατραπῶν, ἐπισχεῖν τοῦ ναοῦ τὴν ἀνέγερσιν. Ἀναβάντες δὲ εἰς Ἱεροσόλυμα οἱ Συρίας ἐπάρχοντες καὶ Φοινίκης, ἠρώτων, τίνος συγχωρήσαντος ὡς φρούριον τὸν ναὸν ἀνεγείρουσι, καὶ τῇ πόλει τείχη σφόδρα περιβάλλουσιν ἰσχυρά; Ζοροβάβελ δὲ καὶ ὁ ἀρχιερεὺς Ἰησοῦς, ἐκ Κύρου πρῶτον ἐπιτραπῆναι τὴν οἰκοδομὴν ἔφασαν, εἶθ' αὖθις ἐκ τοῦ Δαρείου. Οἱ δ' ἔπαρχοι τῶν τῆς Συρίας καὶ Φοινίκης χωρῶν, τὴν μὲν τῶν ἔργων οἰκοδομὴν ἐπισχεῖν οὐκ ἔκριναν, Δαρείῳ δὲ παραχρῆμα ἔγραψαν. Τῶν δὲ Ἰουδαίων κατεπτηχότων, μὴ μεταδόξῃ τῷ βασιλεῖ περὶ ὧν ᾠκονόμησεν, Ἀγγαῖος καὶ Ζαχαρίας οἱ προφῆται θαρρεῖν αὐτοὺς παρώρμων, καὶ μηδὲν ὑφορᾶσθαι ἀβούλητον. Πιστεύοντες οὖν τοῖς προφήταις, ἐντεταμένως εἶχοντο τῆς οἰκοδομῆς. Δαρεῖος δὲ τὰς ἐπιστολὰς δεξάμενος, καὶ τὰς τῶν Σαμαρειτῶν κατηγορίας, ὅτι τήν τε πόλιν ὀχυροῦσιν Ἰουδαῖοι, καὶ τὸν ναὸν οἰκοδομοῦσιν ὡς φρούριον, καὶ ὅτι Καμβύσης τὴν τούτων ἐκώλυσεν οἰκοδομήν, προσέταξεν ἐν τοῖς βασιλικοῖς ὑπομνήμασι ζητηθῆναι τὰ περὶ τούτου, καὶ εὑρέθη ἐν Ἐκβατάνοις τῇ βάρει τῇ ἐν Μηδίᾳ γεγραμμένον, ὡς τῷ πρώτῳ ἔτει τῆς αὐτοῦ βασιλείας Κῦρος ἐκέλευσε τὸν ναὸν οἰκοδομηθῆναι τὸν ἐν Ἱεροσολύμοις, καὶ τὸ θυσιαστήριον, καὶ τὴν εἰς ταῦτα δαπάνην ἐκ τῶν βασιλικῶν διετάξατο γίνεσθαι, καὶ τὰ τοῦ ναοῦ σκεύη ἀποδοθῆναι, καὶ συλλαβέσθαι πρὸς τὸ ἔργον τοῖς ἐκεῖσε ἄρχουσιν ἐκέλευσε, καὶ τελεῖν τοῖς Ἰουδαίοις εἰς θυσίαν ταύρους καὶ κριοὺς καὶ ἄρνας καὶ ἐρίφους, σεμιδαλίν τε καὶ οἶνον καὶ ἔλαιον. Ταῦτα ἐν τοῖς ὑπομνήμασι Δαρεῖος εὑρὼν, ἀντέγραψε τοῖς ἐπεσταλκόσι· *Τὸ ἀντίγραφον ὑμῖν τῆς ἐπιστολῆς, ἐν τοῖς ὑπομνήμασιν εὑρὼν τοῖς Κύρου, ἀπέσταλκα, καὶ βούλομαι γενέσθαι πάντα, ὡς περιέχει αὐτή. Ἔρρωσθε.* Γνόντες δὲ τὴν τοῦ βασιλέως προαίρεσιν οἱ τῶν χωρῶν ἐκείνων ἐπιτροπεύοντες, συνήργουν τοῖς Ἰουδαίοις. Καὶ ᾠκοδομήθη ἐν ἔτεσιν ἑπτὰ ὁ ναός, καὶ ἔθυσαν οἱ Ἰσραηλῖται θυσίας ἀνανεωτικὰς τῶν προτέρων ἀγαθῶν. Τῆς δὲ τῶν Ἀζύμων ἑορτῆς ἐνστάσης, συνερρύη πᾶς ὁ λαὸς ἐκ τῶν κωμῶν εἰς τὴν πόλιν, καὶ τὴν ἑορτὴν ἦγαγον, καὶ τὴν Πάσχα προσαγορευομένην θυσίαν ἐτέλεσαν. Κατῴκησαν δ' ἐν Ἱεροσολύμοις πολιτείᾳ χρώμενοι ἀριστοκρατικῇ μετὰ ὀλιγαρχίας. Οἱ γὰρ ἱερεῖς προεστήκεσαν τῶν πραγμάτων, ἄχρις οὗ τοὺς Ἀσαμωναίου συνέβη βα-

A absoluta, sacerdotes, Levitæ et Asaphi liberi Deum celebrant. Tribuum vero seniores, repetita prioris templi magnificentia, quod recens illud longe inferius esse cernerent, ita illacrymant atque lugent, ut eorum ejulatus sonum tubarum superaret. Dum templum conderetur, Samaritani Zorobabelem adeunt, petentes se in structuræ societatem admitti. Id ille recusat : cæterum ea absoluta, si in templo adorare velint, licere. Ea repulsa homines irritati, Syriæ gentibus auctores sunt petendi a satrapis, ut templi ædificationem prohibeant. Itaque præsides Syriæ **175** et Phœniciæ Hierosolyma profecti, rogant, cujus concessu templum instar castelli ædificent, et urbem muris fortissimis cingant? Zorobabel et pontifex Jesus id primum a Cyro, B deinde a Dario etiam permissum esse, respondent. Quo illi audito, non impedienda opera censuerunt, sed Dario statim scripserunt. Judæos autem perterritos ac metuentes, ne regem liberalitatis suæ pœniteret, Aggæus et Zacharias prophetæ bonis animis esse jubent, neque molesti quidquam suspicari. Igitur prophetis freti, continenter instant operi. Darius autem litteris et Samaritanorum accusationibus acceptis, quod Judæi urbem munirent, et templum castelli instar exstruerent, cum eorum ædificatio a Cambyse prohibita fuerit, hæc in regiis monumentis inquiri jubet : ac inventum est Ecbatanis (id Mediæ castellum est) in turri scriptum, Cyrum anno regni sui primo jussisse, templum et sacrarium Hierosolymitanum exstrui, C et sumptus ad eam rem ex regia suppeditari, templique vasa restitui, et vicinos prætores opus illud adjuvare ; et Judæis ad sacrificia pendere tauros, arietes, agnos et hædos, similamque, vinum et oleum. Hæc Darius cum in commentariis invenisset, præsidibus in hanc sententiam rescripsit : *Exemplum vobis mandati Cyri in monumentis repertum mitto : atque omnino id fieri volo, quod illo continetur. Valete.* Regis voluntate cognita, provinciarum illarum prætoribus Judæos adjuvantibus, temploque annis septem absoluto, Israelitæ victimas immolarunt, pristinorum bonorum renovatrices. In festo Azymorum omnes e pagis in urbem confluxerunt : peractoque sacrificio, quod Pascha D dicitur, festivitatem concelebrarunt. Qui Hierosolymis consederant, formam reipublicæ tenuerunt ex optimatum et paucorum potestate contemperatam. Summa rerum enim usque ad regnum Asamonæorum penes sacerdotes fuit. Nam ante captivitatem quidem regibus per annos DXXXII menses VI et dies X paruerunt. Ante reges, magistratus ii præfuere, qui judices vocabantur, et dictatores : sub quibus et ipsis annos **176** amplius D post Mosem et Jesum egerunt. Samaritani tamen infesti Judæis, multa mala dederunt. Quamobrem Zorobabel et alii IV ex magistratibus cum eo Hierosolymis legati ad Darium iverunt. Quorum rex querelis cognitis, ad magistros equitum et senatum Samariæ scripsit ; ne molesti essent Judæis, sed

e regio fisco tributorum Samariæ, omnia suppeditarent ad sacrificia necessaria.

V. Dario mortuo, Xerxes filius paterni et regni et pietatis successor, erga Judæos optime affectus fuit. Erat autem eo tempore Babylone Esdras, vir bonus, et Mosaicæ legis peritissimus. Is cum se in regis amicitiam insinuasset, atque ascendere Hierosolyma, Judæis quibusdam Babyloniis secum adductis, cuperet, regem oravit, ut se per litteras satrapis commendaret. Rex igitur hujusmodi scribit litteras : *Meæ humanitatis esse ratus, ut qui ex Israelitis voluerint, Hierosolyma discedant : hoc negotium Esdræ Scribæ et divinæ legis lectori dedi. Qui igitur voluerit, abeat : et quidquid auri atque argenti in regione Babyloniorum inventum fuerit, Deo consecratum, id omne jubeo perferri Hierosolyma. Tu vero, Esdra, quæcunque tibi visa fuerint, ea perficito, impensis e fisco regio sumptis. Sacerdotibus porro, Levitis, et omnibus templi ministris neque tributum, neque quidquam aliud molestum imperari volo. Tuque, Esdra, pro divina tua sapientia designato judices legis peritos, qui in Syria totaque Phœnicia jus dicant, et ignorantibus legem cognoscendam exhibeto.* Hanc epistolam Esdras Judæis Babylone degentibus legit, et exempla ejus in omnes provincias ad populares suos misit : qui omnes supra modum exhilarati sunt, quidam etiam cum sua re familiari se Babylonem contulerunt, ut redirent Hierosolyma. Sed universus Israelitarum populus illic mansit. Ea de causa Josephus ait, duas tantum tribus tam in Europa quam in Asia parere Romanis : decem vero ultra Euphratem esse, quarum infinita sit multitudo, cujus iniri nullus queat numerus. Esdras igitur multis Hierosolyma secum profectis, munera quæ Xerxes, ejusque consiliarii et Babylonii Israelitæ Deo donarant, magnam argenti et æris summam gazæ custodibus, provinciarum prætoribus litteras regis reddit, qui genti honorem habuerunt, omnibusque rebus adjumento fuerunt. Postea cum intellexisset quosdam e populo, sacerdotibus et Levitis alienigenas duxisse uxores : eos multis lacrymis et crebris monitis impulit, ut eas una cum liberis ejicerent. Festo tabernaculorum omnis fere populus congregatus, ab Esdra petiit, ut leges Mosaicas legeret : quibus auditis, commissa flaccula deplorarunt. Sed Esdras, in festo non esse lacrymandum, dixit : sed operandum sacris, et convivandum, ac leges in posterum

A σιλεύειν ἐκγόνους. Πρὸ μὲν γὰρ τῆς αἰχμαλωσίας, ἐβασιλεύοντο ἐπὶ ἔτη πεντακόσια τριακονταδύο, μῆνας ἕξ, ἡμέρας δέκα. Πρὸ δὲ τῶν βασιλέων ἄρχοντες αὐτοὺς διεῖπον οἱ προσαγορευόμενοι κριταὶ, καὶ μόναρχοι. Καὶ τοῦτον πολιτευόμενοι τὸν τρόπον ἐπ' ἔτεσι πλείοσιν ἢ πεντακοσίοις διήγαγον, μετὰ Μωϋσῆν τε καὶ Ἰησοῦν. Οἱ δέ γε Σαμαρεῖς ἀπεχθῶς πρὸς αὐτοὺς διακείμενοι, πολλὰ κακὰ τοὺς Ἰουδαίους εἰργάζοντο. Πρέσβεις οὖν ἐξ Ἱεροσολύμων πρὸς Δαρεῖον ἐστάλησαν, Ζοροβάβελ, καὶ τῶν ἀρχόντων ἕτεροι τέσσαρες. Μαθὼν δὲ ὁ βασιλεὺς τὰ κατὰ τῶν Σαμαρέων αἰτιάματα, ἔγραψε πρὸς τοὺς ἱππάρχους (9) τῆς Σαμαρείας καὶ τὴν βουλὴν, μήτ' ἐνοχλεῖν Ἰουδαίοις, ἀλλὰ καὶ χορηγεῖν αὐτοῖς ἐκ τοῦ βασιλικοῦ γαζοφυλακίου τῶν φόρων τῆς Σαμαρείας, πάνθ' ὅσα πρὸς τὰς θυσίας αὐτοῖς ἐστι χρήσιμα.

Ε'. Δαρείου δὲ τελευτήσαντος, παραλαβὼν τὴν βασιλείαν ὁ παῖς αὐτοῦ Ξέρξης, καὶ τὴν πρὸς Θεὸν εὐσέβειαν διεδέξατο, καὶ πρὸς τοὺς Ἰουδαίους ἔσχε φιλοτιμότατα. Ἦν δ' ἐν Βαβυλῶνι τότε Ἔζρας, ἀνὴρ ἀγαθὸς, καὶ τῶν νόμων Μωσέως εἰς ἐμπειρίαν ἀκριβέστατος. Οὗτος φίλος τῷ Ξέρξῃ γίνεται, καὶ ἀναβῆναι θελήσας εἰς Ἱεροσόλυμα, καί τινας ἐπαγαγέσθαι τῶν ἐν Βαβυλῶνι Ἑβραίων, ἐδεήθη τοῦ βασιλέως διὰ γραμμάτων αὐτοῦ γνωρίσαι τοῖς σατράπαις αὐτόν. Ὁ δὲ γράφει ταῦτα· *Τῆς ἐμαυτοῦ φιλανθρωπίας ἔργον εἶναι νομίσας, τὸ τοὺς βουλομένους τῶν Ἰσραηλιτῶν συναπαίρειν εἰς Ἱεροσόλυμα, Ἔζρᾳ ἱερεῖ καὶ ἀναγνώστῃ τοῦ θείου νόμου τοῦτο προσέταξα, καὶ ὁ βουλόμενος ἀπίτω. Καὶ ἄργυρος καὶ χρυσὸς, ὅσος ἂν εὑρεθείη ἐν τῇ χώρᾳ τῶν Βαβυλωνίων ὠνομασμένος* (10) *τῷ θεῷ, τοῦτον πάντα κελεύω εἰς Ἱεροσόλυμα κομισθῆναι. Καὶ ὅσα ἂν ἐννοήσῃς, ὦ Ἔζρα, καὶ ταῦτα ἐργάσαι, τὴν εἰς αὐτὰ δαπάνην ἐκ τοῦ βασιλικοῦ γαζοφυλακίου ποιούμενος· καὶ τοῖς ἱερεῦσι δὲ καὶ Λευίταις καὶ πᾶσι τοῖς τοῦ ἱεροῦ δουλευταῖς, μήτε φόρους μήτε ἄλλο τι φορτικὸν ἐπιτάγῃ αἴρειν κελεύω. Καὶ σὺ δὲ κατὰ τὴν τοῦ Θεοῦ σοφίαν, Ἔζρα, ἀπόδειξον κριτὰς, ὅπως δικάζωσιν ἐν Συρίᾳ καὶ Φοινίκῃ πάσῃ, τοὺς ἐπισταμένους τὸν νόμον· καὶ τοῖς ἀγνοοῦσι παρέξεις αὐτὸν μαθεῖν.* Ἀναβὰν δὲ ταύτην Ἔζρας τὴν ἐπιστολὴν, ἀνέγνω ἐν Βαβυλῶνι τοῖς ἐκεῖ Ἰουδαίοις, καὶ τὸ ἀντίγραφον αὐτῆς πρὸς πάντας ἔπεμψε τοὺς ὁμοεθνεῖς· οἱ ἅπαντες ὑπερήσθησαν. Πολλοὶ δ' αὐτῶν καὶ τὰς κτήσεις ἀναλαβόντες, ἦλθον εἰς Βαβυλῶνα, ἵν' ἐπανέλθωσιν εἰς Ἱεροσόλυμα. Ὁ δὲ πᾶς λαὸς τῶν Ἰσραηλιτῶν κατὰ χώραν ἔμεινε· διὸ καὶ δύο φυλὰς ἐπί τε τῆς Ἀσίας καὶ τῆς Εὐρώπης Ῥωμαῖοι ὑπηκόους εἶναι, φησὶν ὁ Ἰώσηπος, τὰς δὲ δέκα φυλὰς πέραν εἶναι τοῦ Εὐφράτου, μυριάδας οὔσας ἀπείρους, καὶ ἀριθμῷ γνωσθῆναι μὴ δυναμένας. Πρὸς Ἔζραν δὲ πολλοὶ τὸν ἀριθμὸν ἀφικνοῦνται, καὶ σὺν αὐτῷ παραγίνονται εἰς Ἱεροσόλυμα. Καὶ παραδέδωκεν ὁ Ἔζρας τοῖς γαζοφύλαξιν, ἃ ὁ Ξέρξης καὶ οἱ σύμβουλοι αὐτοῦ, καὶ οἱ ἐν Βαβυλῶνι Ἰσραηλῖται, τῷ θεῷ ἐδωρήσαντο, εἰς πολλὰ τάλαντα ἀργυρίου καὶ χαλκοῦ συμποσούμενα, καὶ τοῖς τῶν χωρῶν ἐπιτροπεύουσι τὰ γράμματα τοῦ βασιλέως ἐπέδωκεν. Οἱ δὲ τὸ ἔθνος ἐτίμησαν, καὶ πρὸς πᾶσαν χρείαν συνήργησαν. Γνοὺς δ' ἔπειτα, ὡς τινες τοῦ

B

C

Variæ lectiones et notæ.

(9) *Τοὺς ἱππάρχους.* Ita cod. ms. et Josephus. Wolfius reposuerat ὑπάρχους, præfectos.

(10) *Ὠνομασμένος τῷ θεῷ. Nominatum Deo,* pro dedicatum. Ἀφιερωμένος, καθωσιωμένος. W.

πλήθους καὶ τῶν ἱερέων καὶ τῶν Λευϊτῶν ἀλλοεθνεῖς γυναῖκας ἠγάγοντο, ἔπεισεν αὐτοὺς δάκρυσι πολλοῖς καὶ πυκναῖς παραινέσεσιν, ἐκβαλεῖν τὰς ἀλλοεθνεῖς, καὶ τὰ ἐξ αὐτῶν γεννηθέντα. Τῆς ἑορτῆς δὲ τῆς Σκηνοπηγίας ἐπιστάσης, σχεδὸν ἅπαν τὸ τοῦ λαοῦ πλῆθος συνελήλυθὸς εἰς αὐτὴν, ἠξίωσαν τὸν Ἔζραν, τοὺς νόμους ἀναγνωσθῆναι τοῦ Μωϋσέως. Καὶ ἀκούσαντες τούτων, εἰς δάκρυα προήχθησαν, δυσφοροῦντες περὶ τῶν παρελθόντων. Ἔζρας δὲ, μὴ δεῖν ἔφη θρηνεῖν, ἑορτῆς οὔσης· ἑορτάζειν δὲ, καὶ εὐωχεῖσθαι, καὶ τηρεῖν τοὺς νόμους εἰς τὸ μέλλον. Καὶ ὁ μὲν γηραιὸς ἐτελεύτησεν. Τῶν δ' αἰχμαλώτων τις Νεεμίας τὴν κλῆσιν, οἰνοχόος ὢν τοῦ Ξέρξου, πρὸ τῶν Σούσων περιπατῶν, ξένους εἰδέ τινας εἰσιόντας τὴν πόλιν· καὶ ἀκούσας αὐτῶν Ἑβραΐστὶ ὁμιλούντων, προσελθὼν ἐπυνθάνετο, πόθεν εἶεν; Ἥκειν δ' ἐκ τῶν Ἱεροσολύμων, εἰπόντων, πως αὐτῶν ἔχει τὸ πλῆθος, καὶ ἡ μητρόπολις Ἱερσόλυμα, προσηρώτησεν· ἀποκριναμένων δὲ, κακῶς ἔχειν· πολλὰ γὰρ δεινὰ τὰ περιξ ἔθνη αὐτοῖς ἐπάγειν, ἐδάκρυσεν ὁ νεανίας (11)· καὶ τῇ ὥρας ἐπιστάσης, ὡς εἶχε, διακονήσων τῷ βασιλεῖ, εἰσελήλυθεν. Ὁ δὲ βασιλεὺς σκυθρωπὸν αὐτὸν θεασάμενος, ἤρετο διότι κατηφιᾷ; ὁ δὲ τῆς λύπης αἰτία εἶπε, τὰ τῆς πατρίδος αὐτοῦ δυστυχήματα. Καὶ ἐδέετο συγχωρηθῆναι αὐτῷ πορευθῆναι, καὶ τό τε τεῖχος ἀνεγεῖραι, καὶ τοῦ ἱεροῦ τὸ λεῖπον ἀναπληρῶσαι. Καὶ ὁ βασιλεὺς κατένευσε πρὸς τὴν αἴτησιν· καὶ δίδωσιν αὐτῷ τῇ ἐπιούσῃ ἐπιστολὴν πρὸς τὸν τῆς Φοινίκης καὶ Συρίας καὶ Σαμαρείας ἐπίτροπον ἐντελλομένην αὐτῷ, τιμῆσαι τὸν Νεεμίαν, καὶ χορηγῆσαι τὰς εἰς τὴν οἰκοδομίαν δαπάνας. Ἦκεν οὖν εἰς Ἱεροσόλυμα, πολλῶν αὐτῷ ἐκ τῶν ὁμοφύλων συνεπομένων, πέμπτον καὶ εἰκοστὸν ἔτος βασιλεύοντος Ξέρξου, καὶ τὴν ἐπιστολὴν τῷ ἐπιτρόπῳ τῶν ῥηθεισῶν χωρῶν ἐπιδέδωκε. Τὴν δὲ τοῦ τείχους οἰκοδομὴν διένειμε τῷ λαῷ κατὰ κώμας καὶ πόλεις, ἵν' ὅτι τάχιστα ἀνυσθῇ. Καὶ Ἰουδαῖοι μὲν πρὸς τὸ ἔργον παρεσκευάζοντο, οὕτω κληθέντες, ἐξ ἧς ἡμέρας ἐκ Βαβυλῶνος ἀνέβησαν. Ἀπὸ γὰρ τῆς Ἰούδα φυλῆς πρώτης ἐλθούσης εἰς ἐκείνους τοὺς τόπους, αὐτοί τε Ἰουδαῖοι καὶ ἡ χώρα ὁμοίως ἐξ αὐτῶν μετωνόμαστο. Ἀμμανῖται δὲ καὶ Μωαβῖται καὶ Σαμαρεῖται, τῇ τῶν τειχῶν οἰκοδομῇ ἠχθοντο, καὶ αὐτοῖς ἐπετίθεντο. Καὶ πλείστους ἐκτίννυον, καὶ αὐτῷ τῷ Νεεμίᾳ ἐπεβούλευον. Καὶ τὸ μὲν πλῆθος τούτοις ἐκταραττόμενον, μικροῦ τῆς οἰκοδομῆς ἂν ἀπέστη. Νεεμίας δὲ στίφος τι φυλακῆς ἕνεκα τοῦ σώματος προστησάμενος, ἀτρύτως ἐπέμενε νύκτωρ τε καὶ μεθ' ἡμέραν, τῆς πόλεως τὸν κύκλον περιιών, καὶ ταύτην τὴν ταλαιπωρίαν ὑπέμεινεν ἐπὶ διετίαν καὶ μῆνας τέσσαρας. Ἐν τοσούτῳ γὰρ χρόνῳ τοῖς Ἱεροσολύμοις τὸ τεῖχος ἀπήρτιστο, ὀγδόῳ καὶ εἰκοστῷ τῆς Ξέρξου βασιλείας ἔτει, μηνὶ ἐννάτῳ. Νεεμίας δὲ τὴν πόλιν ὀλιγανδροῦσαν ὁρῶν, παρεκάλεσε τοὺς ἱερεῖς καὶ Λευΐτας, τὴν χώραν ἐκλείποντας, εἰς τὴν πόλιν μεταναστεῦσαι. Ἐτελεύτησε δὲ Νεεμίας γηραιὸς ἀνὴρ χρηστὸς τὸν τρόπον, καὶ δίκαιος, καὶ φιλοτιμότατος πρὸς τοὺς ὁμοεθνεῖς.

A observandas. Et hic quidem senex obiit. Quidam autem ex captivis, Xerxis pincerna, ante mœnia Susorum deambulans, cum hospites quosdam urbem ingredientes, qui Hebraice colloquebantur, vidisset, rogat qui sint? Cum se Hierosolymis venisse responderent, de statu populi et metropolis percontatur: cumque intellexisset, res male se habere, et multis malis affici Judæos a vicinis gentibus, lacrymat: et hora instante regi ministraturus, ita uti erat, cœnaculum ingreditur. Qui cum tristitiæ causam percontaretur, patriæ calamitates commemorans Neemias, orat regem ut sibi liceat eo proficisci, et muros exstruere, et quod templo adhuc desit, perficere. Rex postulatis annuit, et postridie litteras ei dat ad Phœniciæ, Syriæ et Samariæ præsidem, quibus jubebatur honorem habere adolescenti, et sumptus ædificationis præbere. Venit igitur Hierosolyma, cum magno popularium comitatu, anno regni Xerxis XXV redditis præsidis litteris: et ædificationem oppidatim et vicatim distribuit, ut ea quam primum absolveretur. Judæi igitur operi accinguntur, sic nominati, ex quo die Hierosolyma Babylone redierunt. Nam tribu Judaica primum in loca illa reversa, et ipsi Judæi vocati sunt, et nomen regioni indiderunt. Cæterum Ammanitæ, Moabitæ et Samaritani mœnium structuram ægre ferentes, aggressi Judæos, multos occiderunt, ipsi etiam Neemiæ insidiati. Ac populus iis rebus perturbatus, parum abfuit B quin opus inchoatum desereret. Verum Neemias satellitibus præsidii causa ascitis, constanter perseverans, noctu et interdiu mœnia urbis obibat. Eamque ærumnam per biennium et menses quatuor toleravit, donec muri absoluti essent, anno imperii Xerxis XXVIII, et mense IX. Cumque urbem infrequenter habitari videret, persuasit sacerdotibus et Levitis, ut agris relictis in eam se conferrent. Obiit Neemias senex, vir bonus et justus, suorumque popularium studiosissimus. C 178

Γ'. Τελευτήσαντος δὲ Ξέρξου, ἡ βασιλεία εἰς τὸν υἱὸν αὐτοῦ Κῦρον, ὃν καὶ Ἀρταξέρξην καλοῦσι, μετέπεσε. Τῷ γοῦν τρίτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, τοὺς ἡγεμόνας αὐτοῦ καὶ τοὺς σατράπας τῶν οἰκείων καλέσας ἐθνῶν, ἐφ' ἡμέρας πολλὰς εἱστία τούτους πολυτελῶς. Καὶ ἡ βασίλισσα δὲ Οὐάστη, ταῖς γυναι-

VI. Xerxe quoque mortuo, filius ejus Cyrus, quem et Artaxerxem vocant, regno potitus, tertio imperii sui anno, duces et satrapas provinciarum suarum per multos dies magnificis convivils excepit. Regina quoque Vasta matronis epulum præbuit: quam forma præstantem omnibus, rex con-

D

Variæ lectiones et notæ.

(11) *Ἐδάκρυσεν ὁ νεανίας.* Credo legendum ὁ Νεεμίας, sicut paulo post Viennensis codex pro νεανίαν habet Νεεμίαν. W.

vivis suis ostentare cupiens, ad convivium accersi A juoet. Illa recusante, et nuntios complures infecta re dimittente : iratus, uxoris contumaciam cum septem Persarum senatoribus communicat : hi ejus ejiciendæ auctores sunt. Ejectæ vero desiderium iniquo animo ferenti, suadent amici, ut formosas virgines colligat, earumque præstantissimam uxorem ducat. Paret consilio rex : multisque virginibus collectis, Babylone puella, Judæa genere, inventa est, ex tribu Benjamitica, ambobus orba parentibus, quæ a patruo Mardochæo principe Judæorum educabatur, Esthera nomine. Eam rex, lepore ejus captus, uxorem ducit, et diademate ornat. Patruus item ejus Mardochæus Babylone Susa commigravit, ut regiam frequentaret, et de nepte sua percontaretur. Neque enim illa unde B nata esset, indicarat : neque ipse, aliquam cum illa necessitudinem sibi intercedere ostendebat. Tulerat autem rex legem, ne quis ad se in solio sedentem accederet invocatus : qui secus fecisset, statim ab apparitoribus securi feriretur, nisi ipse virgam quam manu teneret, illi porrexisset : eam enim qui attigerat, indemnis erat. Cum autem duo eunuchi regi insidias struerent, Barnabazus Judæus, servus alterius eunuchi, iis animadversis, rem ad Mardochæum defert. **179** Ille per Estheram ad regem : qui eunuchis in crucem actis, Mardochæum in commentarios inscribi, et in regia manere jubet. Amanem porro amicum summum regis, omnes adorabant : quod cum Mardochæum C propter legem Judaicam prætermittere cognovisset, indignatus ei dixit, se a Persis ingenuis adorari : cur ille, qui servus esset, idem non faceret? totaque gente apud regem accusata, petiit ut ea funditus exstirparetur, ita ut nullæ reliquiæ superessent. Ne vero tributis rex fraudaretur, ipse quadraginta argenti millia se daturum est pollicitus. Rex Amani et pecuniam et homines condonat, ut eos suo arbitratu tractet. Is igitur statim edictum nomine regis in omnes provincias mittit, his verbis : *Eos qui ab altero patre meo Amane judicantur, omnes cum uxoribus et liberis interfici volo, idque fieri* XIV *die mensis* XII *hoc anno*. Ilis litteris in urbes et provincias perlatis, internecio Judæis parabatur. Idem Susis etiam agitabatur. D Mardochæus autem, cum quid actum esset cognovisset, saccum indutus, et pulvere oppleto capite, clamitans, gentem immeritam deleri, ante regiam astabat. Neque enim eo habitu ingredi decere arbitrabatur. Quod cum ad reginam Estheram perlatum esset, misso eunucho, causam luctus ex eo quærit. Ille quid accidisset, eunucho narrat, petit ut illa apud regem pro populo intercedat. Cui Esthera vicissim nuntiat, vereri se, si invocata ad regem accesserit, ne occidatur. Respondet Mardochæus, non illi privatam, sed gentis publicam salutem esse spectandam : id nisi fecerit, populum utique divinitus iri conservatum, ipsam vero cum paterna domo interituram. Proinde regina eum

ξιν ὁμοίως συνεκρότει συμπόσιον, ἣν κάλλει πάσας νικῶσαν, ἠθέλησεν ὁ βασιλεὺς τοῖς αὐτῷ συμποσιάζουσιν ἐπιδεῖξαι· καὶ πέμψας ἧκειν αὐτὴν ἐκέλευε παρὰ τὸ συμπόσιον. Ἡ δὲ οὐκ ἐπείθετο, καὶ πολλάκις στείλαντος, ἀνένδοτος ἦν. Ὠργίσθη οὖν ὁ βασιλεὺς διὰ τὴν ἀπείθειαν, καὶ κοινοῦται τοῖς ἑπτὰ τῶν Περσῶν συμβούλοις τῆς γυναικὸς τὴν ἀπείθειαν. Οἱ δ' ἐκβαλεῖν αὐτὴν δεῖν ἔκριναν. Καὶ ἡ μὲν ἐκβέβλητο· ὁ δ' ἦχθετο, πρὸς αὐτὴν ἐρωτικῶς διακείμενος. Οὕτω δ' ἔχοντι συνεβούλευον οἱ φίλοι, παρθένους εὐπρεπεῖς πανταχόθεν συναγαγεῖν, καὶ τὴν προκριθεῖσαν ἕξειν γυναῖκα. Πείθεται τῇ συμβουλῇ ταύτῃ· καὶ πολλῶν παρθένων ἀθροισθεισῶν, εὑρέθη ἐν Βαβυλῶνι κόρη τις, Ἰουδαία τὸ γένος, ἐκ φυλῆς τῆς Βενιαμίτιδος, ὀρφανὴ καὶ ἀμφοῖν τῶν γονέων, παρὰ τῷ θείῳ Μαρδοχαίῳ τρεφομένη, τῶν πρώτων παρὰ τοῖς Ἰουδαίοις· Ἐσθὴρ ἦν τῇ κόρῃ τὸ ὄνομα. Ἡσθεὶς οὖν ταύτῃ ὁ βασιλεὺς, εἰς γυναῖκα ταύτην ἠγάγετο, καὶ περιτίθησιν αὐτῇ τὸ διάδημα, καὶ ὁ θεῖος αὐτῆς ἐκ Βαβυλῶνος εἰς Σοῦσα μετῴκησε, περὶ τὰ βασίλεια διατρίβων, καὶ περὶ τῆς ἀδελφιδῆς πυνθανόμενος. Οὔτε γὰρ ἐκείνη δῆλον τὸ ἔθνος, ἐξ οὗπερ ἐτύγχανεν, ἔθετο, οὔτε ὁ Μαρδοχαῖος τὴν πρὸς αὐτὴν ὠμολόγει συγγένειαν. Ἔθετο δὲ νόμον ὁ βασιλεὺς, ὥστε μηδένα οἱ ἐπὶ τοῦ θρόνου καθημένῳ ἄκλητον προσιέναι, ἢ θνήσκειν τὸν οὕτω προσιόντα ὑπὸ τῶν σὺτῷ περισταμένων πελεκυφόρων, εἰ μὴ ἐκεῖνος ὂν ἐν χερσὶ κατεῖχε λύγον ἐξέτεινε πρὸς αὐτόν· ὁ γὰρ τοῦ λύγου ἁπτόμενος, ἀκίνδυνος ἦν. Ἐπιβουλευσάντων δὲ τῷ βασιλεῖ Ἀρταξέρξῃ δύω εὐνούχων αὐτοῦ, Βαρνάβαζος οἰκέτης τοῦ ἑτέρου, τὸ γένος ὢν Ἰουδαῖος, συνεὶς τὴν ἐπιβουλὴν, τῷ Μαρδοχαίῳ ἀπήγγειλε, καὶ ὃς διὰ τῆς Ἐσθὴρ τῷ βασιλεῖ τοὺς ἐπιβούλους ἐμήνυσεν. Ὁ δὲ τοὺς μὲν εὐνούχους ἀνεσταύρωσε, τοῦ δὲ Μαρδοχαίου τὸ ὄνομα ἐκέλευσεν ἐγγραφῆναι τοῖς ὑπομνήμασι, καὶ προσμένειν τοῖς βασιλείοις αὐτόν. Ἀμὰν δὲ φίλον ὄντα τῷ βασιλεῖ ἐς τὰ μάλιστα ἅπαντες προσεκύνουν. Μαρδοχαίου δὲ μὴ προσκυνοῦντος διὰ τὸν νόμον αὐτὸν, μαθὼν ὡς Ἰουδαῖός ἐστιν, ἠγανάκτησε καὶ εἶπεν αὐτῷ, ὡς οἱ μὲν ἐλεύθεροι Πέρσαι προσκυνοῦσιν αὐτὸν, ὁ δὲ δοῦλος ὤν, ἀπαξιοῖ τοῦτο ποιεῖν. Προσελθὼν οὖν τῷ βασιλεῖ κατηγόρει τοῦ ἔθνους παντὸς, καὶ ᾔτει κελεῦσαι πρόῤῥιζον ἀπολέσθαι αὐτὸ, καὶ μή τι λείψανον αὐτοῦ καταλιπεῖν. Ἵνα μέν τοι μὴ ζημιωθῇ τοὺς φόρους αὐτῶν, αὐτὸς ἐπηγγείλατο δώσειν μυριάδας ἀργυρίου τέσσαρας. Ὁ μὲν οὖν Ἀμὰν ᾔτει ταῦτα. Ὁ δὲ βασιλεὺς καὶ τὸ ἀργύριον αὐτῷ χαρίζεται καὶ τοὺς ἀνθρώπους, ὥστε χρῆσθαι τούτοις ὡς βούλεται. Αὐτίκα οὖν διάταγμα παρὰ τοῦ Ἀμὰν ἐπέμφθη εἰς πάντα τὰ ἔθνη, ὡς ἐκ τοῦ βασιλέως, περιέχον ταῦτα· *Τοὺς δηλουμένους ὑπὸ τοῦ δευτέρου μου πατρὸς Ἀμὰν, κελεύω πάντας σὺν γυναιξὶ καὶ τέκνοις ἀπολέσθαι, καὶ τοῦτο γενέσθαι βούλομαι τῇ τετάρτῃ καὶ δεκάτῃ τοῦ δωδεκάτου μηνὸς τοῦ ἐνεστῶτος ἔτους.* Τούτου κομισθέντος τοῦ γράμματος εἰς τὰς πόλεις καὶ τὰς χώρας, ἡ τῶν Ἰουδαίων ἀπώλεια ἡτοιμάζετο. Εἶχον δὲ καὶ οἱ ἐν τοῖς Σούσοις ὁμοίως. Ὁ δὲ Μαρδοχαῖος μαθὼν τὸ γενό-

μενον, σάκκον ἐνδὺς, καὶ καταχεάμενος σποδιάν, ἐβόα, ὅτι μηδὲν ἀδικῆσαν ἔθνος ἀναιρεῖται. Καὶ πρὸς τὰ βασίλεια ἐλθὼν, ἐκτὸς ἵστατο. Οὐ γὰρ ἠξίου μετὰ τοιούτου σχήματος εἰσελθεῖν. Γνοῦσα δὲ τοῦτο Ἐσθὴρ ἡ βασίλισσα, εὐνοῦχον πρὸς Μαρδοχαῖον ἀπέστειλε, γνωσόμενον ὅτου χάριν πενθεῖ. Ὁ δὲ τὰ συμβάντα τῷ εὐνούχῳ ἐγνώρισε, καὶ περὶ τούτων ζεηθῆναι τοῦ βασιλέως τῇ Ἐσθὴρ ἐνετέλλετο. Ἡ δὲ μαθοῦσα ταῦτα, δηλοῖ αὐτῷ, ὅτι μὴ κληθεῖσα παρὰ τοῦ βασιλέως, δέδοικεν ὡς ἀποθανεῖται, εἰ ἄκλητος αὐτῷ προσέλθοι. Μαρδοχαῖος δὲ ἐδήλου αὐτῇ, μὴ τὴν ἰδίαν σωτηρίαν σκοπεῖν, ἀλλὰ τὴν τοῦ ἔθνους. Εἰ δ' οὖ, ἔσεσθαι μὲν πάντως ἐκείνῳ (12) βοήθειαν ἐκ Θεοῦ, αὐτὴν δὲ καὶ τὸν πατρῷον οἶκον αὐτῆς διαφθαρήσεσθαι. Ἡ δὲ ἐνετέλλετο αὐτῷ εἰς Σοῦσα πορευθέντι, παρασκευάσαι τοὺς ἐκεῖ Ἰουδαίους νηστεῦσαι τρεῖς ἡμέρας ὑπὲρ αὐτῆς. Καὶ Μαρδοχαῖος μὲν οὕτως ἐποίησεν. Ἡ δ' Ἐσθὴρ ῥίψασα κατὰ γῆς ἑαυτὴν μετὰ πενθίμου ἐσθῆτος, καὶ ἄτροφος ἐπὶ τρισὶν ἡμέραις διαμείνασα, ἐδέετο τοῦ Θεοῦ. Μετὰ δὲ τὰς τρεῖς ἡμέρας κόσμον μεταμφιασαμένη βασίλειον, σὺν δυσὶ θεραπαινίσιν, ὧν τῇ μὲν κούφως ἦν ἐπερειδομένη, ἡ δὲ τὸ βαθὺ τοῦ χιτῶνος καὶ μέχρι τῆς γῆς κεχυμένον ἄκροις ἀπηώρει δακτύλοις, ἦκε πρὸς τὸν κρατοῦντα, εἰσῄει δὲ μετὰ δέους. Ὡς δὲ κατὰ πρόσωπον αὐτοῦ ἐπὶ τοῦ θρόνου βασιλικῶς καθεζομένου ἐγένετο, προσιδόντος αὐτὴν βλοσυρῶς, πάφεσις ὑπὸ τοῦ δέους λαμβάνει αὐτὴν, καὶ τῇ περὶ πλευρὰν ἰούσῃ ἐπέπεσεν ἀχανής. Ὁ δὲ βασιλεὺς δείσας περὶ τῇ γυναικὶ, τοῦ Θεοῦ προμηθευσαμένου τοῦτο, ἀνεπήδησεν ἐκ τοῦ θρόνου, καὶ ταῖς ἀγκάλαις αὐτὴν ὑπολαβὼν ἀνεκτᾶτο κατασπασάμενος, καὶ θάῤῥεῖν ἐγκελευόμενος, καὶ τὴν ῥάβδον ἐκτείνας αὐτοῦ τὴν χρυσῆν, καὶ τὸ σκῆπτρον ἐνθέμενος ταῖς χερσὶν αὐτῆς. Ἡ δὲ ἐντεῦθεν ἀναθαρσήσασα, ἐφ' ἑστίασιν αὐτὸν μετὰ τοῦ Ἀμὰν πρὸς αὐτὴν ἠξίου ἐλθεῖν. Ὡς δὲ ἐπένευσε, καὶ παρῆσαν, ἐκέλευεν ἐκείνῃ ὁ βασιλεὺς δηλοῦν ὅ τι βούλεται, μηδενὸς γὰρ ἀτευκτήσειν. Ἡ δὲ εἰς τὴν ἐπιοῦσαν φράζειν αὐτῷ τὴν βούλησιν ἔλεγεν, εἰ πάλιν πρὸς αὐτὴν μετὰ τοῦ Ἀμὰν ἐφ' ἑστίασιν ἔλθοι. Τοῦ δὲ βασιλέως ὑποσχομένου, περιχαρὴς ὁ Ἀμὰν ἐξῄει· καὶ ἰδὼν τὸν Μαρδοχαῖον ἐν τῇ αὐλῇ, ἠγανάκτησεν, ὅτι μὴ αὐτῷ προσεκύνησε. Καὶ οἶκοι ἐλθὼν πρὸς τὴν γυναῖκα καὶ τοὺς φίλους, διηγεῖτο οἵας καὶ παρὰ τῆς βασιλίσσης ἀπολαύει τιμῆς, καὶ ὡς ὄχθεται τὸν Μαρδοχαῖον βλέπων ἐν τῇ αὐλῇ. Τῆς δὲ γυναικὸς αὐτοῦ φησάσης, κελεύσαι κοπῆναι ξύλον πεντήκοντα πήχεων, καὶ πρωῒ παρὰ τοῦ βασιλέως αἰτησάμενον ἀνασταυρῶσαι τὸν Μαρδοχαῖον, τὴν γνώμην ἀποδεξάμενος, προσέταξε τοῖς οἰκέταις, ξύλον ἑτοιμάσαι, καὶ στῆσαι τοῦτο ἐν τῇ αὐλῇ πρὸς τιμωρίαν Μαρδοχαίου. Καὶ τὸ μὲν ἦν ἕτοιμον· ὁ δὲ Θεὸς τῆς νυκτὸς ἐκείνης ἀφαιρεῖται τὸν ὕπνον τοῦ βασιλέως. Ὁ δὲ ἀγρυπνῶν, τὸν γραμματέα κομίσαντα τῶν ἰδίων πράξεων τὰ ὑπομνήματα (13) ἀναγινώσκειν ἐκέλευσε. Καὶ ἀναγινωσκο-

A Susa ire, et Judæis Susiis tridui jejunium pro sese indicere jubet. Paret Mardochæus : ipsa prostrata humi, veste lugubri induta, per tres dies cibo non gustato, Deum orat. Iis elapsis, ornatu regio culta, cum duabus ancillis, quarum alteri leviter innitebatur, altera promissam vestem et humi fusam summis digitis allevabat, regem adit, perculsa metu : cumque in conspectum ejus in regio throno **180** sedentis, ac torvum tuentis venisset, exanimata metu, in ancillam lateri adhærentem procumbit. Rex autem, divina providentia sic eventum moderante, solio exsilit, mulieri metuens : eamque ulnis exceptam complectens, et bono esse animo jubens, reficit, porrecta virga aurea, sceptroque in manus ei tradito. Illa resumpta fiducia, petit, ut cum Amane ad se comessatum veniat. Annuit rex : cumque venisset, jubet eam dicere quid velit ? nam nihil non impetraturam. Illa se postridie dicturam ait, si denuo cum Amane ad convivium veniret. Rege assenso, Aman lætitia exsultans egreditur : visoque in aula Mardochæo, indignatur, se ab eo non adorari. Domi uxori suæ et amicis refert, quantus a regina etiam sibi sit honos habitus, quamque graviter Mardochæi conspectum in aula ferat. Cumque ab uxore esset monitus, ut lignum L cubitorum excidendum curaret, et mane a rege peteret, ut Mardochæum in crucem agere liceret : approbato consilio, servos lignum parare jubet, idque in aula erigere ad Mardochæi supplicium. Eo parato, Deus noctu regi somnum adimit : qui cum vigilaret, privatarum rerum commentarios scribam afferre et recitare jubet : in quibus cum lectum esset, Mardochæum detulisse eunuchos insidiatores regis, et scriba statim ad aliud caput properaret, rex eum inhibuit, percontans, an scriptum esset præmium quo donatus esset ? Illo negante, quota hora noctis esset rogat : cum audisset diluculum esse, quemcunque amicorum ante regiam invenirent, intro vocari jubet. Inventus autem est Aman, qui aderat, ut Mardochæum poseeret. Ei accersito rex : *Consule mihi*, inquit, *quo honore sit afficiendus quidam mihi dilectus ?* Ille ratus quam sententiam dixisset, eam in suam rem dicturum, qui regi charior esset cæteris : *Eum*, inquit, *si illustrem reddere volueris, facito ut equo vehatur, pari tecum veste indutus, et aureo torque ornatus, et aliquis ex necessariis amicis tuis antecedens, per totam urbem proclamet : Tali honore affici eum, quem rex honore afficiat.* Consilio delectatus rex : **181** *Quare*, inquit, *Mardochæum Judæum, datoque equo et veste, et torque, illum antecede et proclama : tu enim amicus es meus maxime necessarius. Hæc autem illi a me tribuentur, ob conservatam vitam meam.* His Aman auditis, perturbatus, et animo æstuans, tamen egreditur, equum adducit, et purpuram atque torquem. Cumque Mardochæum

Variæ lectiones et notæ.

(12) *Πάντως ἐκείνῳ.* Cod. Colb. ἐκείνῃ.

(13) *Τῶν ἰδίων πράξεων τὰ ὑπομνήματα.* Vide Gloss. med. Græcit. in Ἀναμνήσεις.

ante regiam invenisset sacco indutum, purpuram A induere jubet. At ille, *Pessime*, inquit, *mortalium, hunc nostris malis insultas?* Sed cum intellexisset ea sibi tribui munera a rege, cujus vitam, indicatis eunuchorum insidiis, conservasset: purpuram induit, collo torquem accommodat, et equo conscenso passim urbem circuit, præcedente Amane, et proclamante: *Sic honorare regem eum quem diligat.* Ita Mardochæus urbem circumvectus, ad regem redit.

μένων, εὑρέθη μηνυτὴς Μαρδοχαῖος γενόμενος τὸ βασιλεῖ ἐπιβουλῆς εὐνούχων. Φράσαντος δὲ τοῦτο μόνον τοῦ γραμματέως, καὶ μεταβάντος ἐφ' ἕτέραν πρᾶξιν, ἐπέσχεν ὁ βασιλεὺς, πυθόμενος εἰ ἔχει γέρας αὐτῷ δοθὲν ἀναγεγραμμένον. Ὡς δ' ἤκουσε μηδὲν εἶναι, τίς δὲ εἴη τῆς νυκτὸς ὥρα ἤρετο; Μαθὼν δὲ, ὡς ὄρθρος ἤδη ἐστὶν, ἐκέλευσε τῶν φίλων ὃν ἂν πρὸ τῆς αὐλῆς εὕρωσιν, εἰσκαλεῖν. Εὑρέθη δὲ ὁ Ἀμὰν ταχύνας, ἵνα τὸν Μαρδοχαῖον αἰτήσηται. Κληθέντι δὲ εἶπεν ὁ βασιλεύς· *Συμβούλευσόν μοι, πῶς ἂν τιμήσαιμί τινα στεργόμενον ὑπ' ἐμοῦ;* Ὁ δὲ λογισάμενος, ἣν ἂν δῷ γνώμην ὑπὲρ ἑαυτοῦ ταύτην δώσειν (στέργεσθαι γὰρ αὐτὸν ὑπὸ τοῦ βασιλέως τῶν ἄλλων μᾶλλον), *Εἰ βούλοιο*, ἔφη, *τοῦτον δοξάσαι, ποίησον ἐφ' ἵππου βαδίζειν, τὴν αὐτήν σοι ἐσθῆτα φοροῦντα, καὶ περιαυχένιον χρυσοῦν ἔχοντα, καὶ προϊόντα τῶν ἀναγκαίων σου φίλων ἕνα κηρύσσειν δι' ὅλης τῆς πόλεως, ὅτι Ταύτης τυγχάνει τῆς τιμῆς, ὃν ἂν βασιλεὺς τιμήσῃ.* Ἡσθεὶς οὖν τῇ παραινέσει ὁ βασιλεύς· *Ἐπιζήτησον*, φησὶ, *Μαρδοχαῖον τὸν Ἰουδαῖον, καὶ δοὺς ἐκείνῳ τὸν ἵππον, καὶ τὴν στολὴν, καὶ τὸν στρεπτὸν, πρόαγων αὐτοῦ καὶ κήρυττε· σὺ γάρ μοι φίλος ἀναγκαιότατος. Ταῦτα δὲ αὐτῷ παρ' ἐμοῦ ἔσται, σώσαντί μου τὴν ψυχήν.* Τούτων ἀκούσας συνεχύθη, καὶ πληγεὶς ὑπὸ ἀμηχανίας, ὅμως ἐξεισιν ἄγων τὸν ἵππον, καὶ τὴν πορφύραν, καὶ τὸν στρεπτόν. Καὶ τὸν Μαρδοχαῖον πρὸ τῆς αὐλῆς εὑρὼν σάκκον ἐνδεδυμένον, ἐκέλευσεν ἐνδύσασθαι τὴν πορφύραν. Ὁ δὲ, *Κάκιστε*, εἶπεν, *ἀνθρώπων, οὕτως ἡμῶν ταῖς συμφοραῖς ἐγγελᾷς;* Γνοὺς δὲ, ὡς γέρας αὐτῷ ταῦτα ἀντὶ τῆς σωτηρίας παρέσχεν ὁ βασιλεὺς, μηνύσαντι τὴν τῶν εὐνούχων ἐπιβουλὴν, ἐνδύεται τὴν πορφύραν, καὶ περιτίθεται τὸ περιαυχένιον, καὶ ἐπιβὰς τὸν ἵππον, ἐν κύκλῳ περιῄει τὴν πόλιν, προϊόντος Ἀμὰν καὶ κηρύσσοντος, ὅτι *Οὕτως τιμᾷ βασιλεὺς ὃν ἂν στέρξῃ.* Ὁ μὲν οὖν τὴν πόλιν περιελθὼν, πρὸς τὸν βασιλέα ἐπάνεισιν.

VII. Amanus vero domum regressus, casum B illum plorans uxori exponit. Interea veniunt eunuchi ab Esthera, qui Amanem propere ad cœnam ire jubent. Quorum unus cruce in ejus ædibus visa, cum e famulo didicisset, eam ab Amane ad Mardochæi supplicium, quem a rege postulaturus esset, paratam esse: tum quidem abit. Convivio vero prope finito, rex dicere jubet reginam quid velit? At illa gentis suæ interitum deplorat, seseque una cum illa exitio destinatam esse refert, eamque Amanem petiisse. Ob quæ rex perturbatus, e convivio se proripit. Aman Estheram orat, eumque in lectum prolapsus esse', reginæ supplicans, rex ingressus: *Pessime*, inquit, *etiam vim uxori meæ inferre paras?* Mox eunuchus quoque adest, et de cruce refert, quam in Amanis ædibus Mardochæo paratam viderat. Rex vero Amanem e vestigio de ea suspendi jubet: itaque ille periit, et opes ejus reginæ donat. Cognitaque cognatione Mardochæi et Estheræ, eum annulum, quem prius Aman habuerat, ei dat. Eidem et regina facultates Amanis largitur, et regem orat, ut Hebræorum gentem periculo liberet. Tum ille suo nomine eam scribere permisit, quidquid velit. Litteræ porro hæc continebant: Amanem **182** ut improbum et ingratum accusabant, quod insontis populi exitium postulasset. Mardochæum servatorem nominabant. Judæos celebrabant, ut qui optima reipublicæ forma uterentur, et Deum colerent: neque supplicio tantum ab Amane præparato D eos liberabant, sed et honore afficiebant, et suis legibus pacate vivere sinebant: data potestate, ut XIII die mensis XII qui est Adar, ulciscerentur eos a quibus læsi essent. Mandabantque provinciarum satrapis, ut eis adjumento essent, ad ulciscendos inimicos. Cæterum Susiani Judæi, Mardochæi

Ζ'. Ἀμὰν δὲ οἴκοι ὑπέστρεψε, καὶ τὰ συμβάντα κλαίων τῇ γυναικὶ διηγεῖτο. Ἐν τούτοις ἦκον ἐκ τῆς Ἐσθὴρ εὐνοῦχοι, ἐπὶ τὸ δεῖπνον τὸν Ἀμὰν ἐπισπεύδοντες. Εἷς δὲ τούτων ἰδὼν τὸν σταυρὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ μαθὼν παρά του τῶν οἰκετῶν, ὡς ἐπὶ Μαρδοχαῖον τοῦτον ἡτοίμασαν πρὸς τιμωρίαν αἰτησόμενον, τότε μὲν ἀπῆλθεν. Ὡς δ' ἡ εὐωχία πρὸς τέλος ἦν, ἐπέτρεπε τῇ βασιλίσσῃ λέγειν ὁ βασιλεὺς τίνα αἰτεῖ; Ἡ δὲ τὸν τοῦ λαοῦ κίνδυνον ἀπωδύρετο, καὶ μετὰ τοῦ ἔθνους ἔλεγεν ἐκδεδόσθαι· καὶ αὐτὴ πρὸς ἀπώλειαν, καὶ τὸν Ἀμὰν ταῦτα ἐπῆγεν αἰτήσασθαι. Ταραχθέντος δὲ πρὸς τοῦτο τοῦ βασιλέως, καὶ ἐκπεπηδηκότος τοῦ συμποσίου, τῆς Ἐσθὴρ ὁ Ἀμὰν ἐδέετο, καὶ ἐπὶ τῆς κλίνης πεσόντος καὶ ἱκετεύοντος τὴν βασίλισσαν, ἐπεισελθὼν ὁ βασιλεὺς, *Ὦ κάκιστε*, εἶπε, *καὶ βιάζεσθαί μου τὴν γυναῖκα ἐπιχειρεῖς;* Ἐν τούτοις παρὼν ὁ εὐνοῦχος, περὶ τοῦ σταυροῦ, εἶπεν, ὃν εἶδεν ἐπὶ Μαρδοχαῖον ἡτοιμασμένον. Καὶ ὁ βασιλεὺς αὐτίκα κελεύει τὸν Ἀμὰν ἐπ' ἐκείνου τοῦ σταυροῦ κρεμασθῆναι. Καὶ ὁ μὲν οὕτως ἀπώλετο, τὴν δὲ οὐσίαν αὐτοῦ δῶρον ἔσχηκεν ἡ βασίλισσα. Γνοὺς δὲ τὴν πρὸς Ἐσθὴρ τοῦ Μαρδοχαίου συγγένειαν ὁ βασιλεὺς, δίδωσιν αὐτῷ τὸν δακτύλιον, ὃν ἔδωκε πρὶν τῷ Ἀμάν. Καὶ ἡ βασίλισσα τὴν ἐκείνου κτῆσιν τῷ Μαρδοχαίῳ παρέχετο, καὶ τοῦ κινδύνου ἀπαλλάξαι τὸ τῶν Ἑβραίων ἔθνος τοῦ βασιλέως ἐδέετο. Καὶ ὃς γράφειν ἃ βούλεται ἐξ ὀνόματος αὐτοῦ ἐφῆκε περὶ τοῦ ἔθνους. Τὰ δὲ γραφέντα ἦσαν τοιαῦτα· Τοῦ μὲν Ἀμὰν κατηγόρουν, ὡς πονηροῦ καὶ ἀγνώμονος, καὶ αἰτησαμένου ἔθνους ἀπώλειαν, μηδὲν ἀδικήσαντος. Τὸν δέ γε Μαρδοχαῖον σωτῆρα ἐκάλουν, καὶ τοὺς Ἰουδαίους τὸν ἄριστον πολιτευομένους τρόπον, καὶ τὸν Θεὸν σεβομένους· καὶ οὐ μόνον σφᾶς τῆς τιμωρίας ἀπέλυον εἰς ἣν ὁ Ἀμὰν αὐτοὺς ἐξῃτήσατο, ἀλλὰ καὶ τιμῆς ἠξίουν, καὶ τοῖς ἰδίοις νόμοις χρω-

μένους, ζῆν μετ' εἰρήνης ἐπέτρεπον· καὶ ἐδίδουν ἀμύνεσθαι τῇ τρισκαιδεκάτῃ ἡμέρᾳ τοῦ δωδεκάτου μηνὸς, ὅς ἐστιν Ἄδαρ, τοὺς αὐτοὺς ἀδικήσαντας. Καὶ τοῖς τῶν χωρῶν σατράπαις ἐκέλευον βοηθεῖν αὐτοῖς, ἵνα τοὺς ἐχθροὺς μετελεύσωνται. Οἱ δὲ ἐν Σούσοις Ἰουδαῖοι τὰ κατὰ τὸν Μαρδοχαῖον γνόντες, κοινὴν τὴν εὐπραγίαν ἡγήσαντο, καὶ κατὰ τὴν τρισκαιδεκάτην τοῦ Ἄδαρ μηνὸς, ὃς κατὰ Μακεδόνας Δύστρος ὠνόμασται, οἵ τε ἐν Σούσοις Ἰουδαῖοι περὶ πεντακοσίους ἀπέκτειναν τῶν ἐχθρῶν, καὶ οἱ ἐν ταῖς ἄλλαις πόλεσί τε καὶ χώραις ἑπτακισμυρίους πεντακισχιλίους ἀπώλεσαν. Οἱ δ' ἐν Σούσοις καὶ τῇ καὶ ἑξῆς ἡμέρᾳ τριακοσίους διέφθειραν, τοῦτο αἰτησαμένης Ἐσθήρ· καὶ οἱ δέκα τοῦ Ἁμὰν παῖδες ἀνεσταυρώθησαν, χαρισαμένου καὶ τοῦτο τοῦ βασιλέως αὐτῇ. Τὴν δὲ τεσσαρτσκαιδεκάτην τοῦ μηνὸς ἑορτάσιμον τὸ ἔθνος ἅπαν ἐποίησε, καὶ ἔκτοτε τὰς ἡμέρας καὶ ἄμφω ἑορτάζουσι, Φρουραίας ταύτας προσαγορεύοντες. Ὁ δὲ Μαρδοχαῖος μέγας τε ἦν, καὶ συνδιεῖπε τῷ βασιλεῖ τὴν ἀρχήν. Τῆς δ' ἀρχιερωσύνης εἰς Ἰωάνναν μεταπεσούσης τὸν υἱὸν Ἰωδαὲ, ὁ ἀδελφὸς αὐτοῦ Ἰησοῦς φίλος ὢν Βαγώα τοῦ στρατηγοῦ τῆς Ἀρταξέρξου δυνάμεως, ὑπόσχεσιν ἔσχε τὴν ἀρχιερωσύνην λαβεῖν. Διὰ ταύτην γοῦν τὴν αἰτίαν ὁ Ἰωάννας παροξυνθεὶς, ἐν τῷ ναῷ ἀνεῖλε τὸν ἀδελφόν. Καὶ ὁ Βαγώας εὐθὺς ἐπιστὰς, εἰς τὸν ναόν τε εἰσῆλθεν, εἰπών, ὡς *Εἰ οἱ τὸν φόνον ἐν τῷ ναῷ τολμήσαντες, εἰσέρχονται ἐν αὐτῷ, κἀγὼ εἰσελεύσομαι καθαρώτερος τυγχάνων αὐτῶν*. Καὶ ἐπ' ἔτεσιν ἑπτὰ τοὺς Ἰουδαίους ἐκάκωσε. Τοῦ Ἰωάννα δὲ τὴν ζωὴν καταστρέψαντος, διαδέχεται τὴν ἀρχιερωσύνην ὁ υἱὸς αὐτοῦ Ἰωάδ. Ἦν δὲ καὶ τούτῳ ἀδελφὸς Μανασσῆς, ᾧ Σαναβαλέτης Δαρείου σατράπης τοῦ τελευταίου βασιλέως Περσῶν, τὴν ἑαυτοῦ θυγατέρα συνῴκισε, Νικασὼ καλουμένην. Οἱ δὲ τῶν Ἱεροσολυμιτῶν λογάδες ἐστασίαζον, ὅτι ἀλλοφύλῳ συνῴκησεν ὁ τοῦ ἀρχιερέως ἀδελφὸς, καὶ ἢ διαζεύγνυσθαι ταύτης ἐκέλευον, ἢ τοῦ θυσιαστηρίου ἀπέχεσθαι. Ὁ δὲ πρὸς τὸν πενθερὸν ἀφικόμενος, διηγήσατο ταῦτα. Τοῦ δὲ Σαναβαλέτου, καὶ τὴν ἱερωσύνην αὐτῷ συντηρήσειν ὑπισχνουμένου, καὶ ἀρχιερέα ἀποδείξειν, καὶ ἡγεμόνα, ὧν αὐτὸς ἦρχε τόπων, εἰ τῆς αὐτοῦ θυγατρὸς μὴ ἀπόσχοιτο, καὶ ναὸν οἰκοδομήσειν ἐπὶ τοῦ Γαριζὶν ὄρους, ὃ τῶν κατὰ Σαμάρειαν ἐστὶν ὀρῶν ὑψηλότατον, τοῦ ἐν Ἱεροσολύμοις κρείττονα ἐπαγγελλομένου μετὰ γνώμης τοῦ βασιλέως Δαρείου· ἐπαρθεὶς τούτοις ὁ Μανασσῆς, κατέμενε παρὰ τῷ Σαναβαλέτῃ. Πολλῶν δὲ καὶ ἄλλων ἱερέων καὶ Ἰσραηλιτῶν τοιούτοις γάμοις ἐμπεπλεγμένων πάντες συνῆεσαν πρὸς τὸν Μανασσῆν. Ὁ μὲν οὖν Σαναβαλέτης τῷ βασιλεῖ Δαρείῳ τὴν περὶ τῆς οἰκοδομῆς τοῦ ναοῦ ἐν Γαριζὶν ἀξίωσιν προσάγειν ἡτοίμαστο. Ὁ δὲ τῷ Ἀλεξάνδρῳ συμβαλὼν ἐν Ἰσσῷ τῆς Κιλικίας, καὶ ἡττηθεὶς ἔφυγεν. Ἀπογνοὺς οὖν ὁ Σαναβαλέτης Δαρεῖον, τῷ Ἀλεξάνδρῳ πρόσεισι σὺν ὀκτακισχιλίοις τῶν ὑπ' αὐτὸν, καὶ ἑαυτὸν καὶ τοὺς τόπους ὧν ἦρχεν ἔλεγε παραδιδόναι αὐτῷ. Προσδεξαμένου δὲ τοῦ Ἀλεξάνδρου αὐτὸν, θαῤῥῶν ἤδη περὶ τοῦ γαμβροῦ, καὶ τῆς τοῦ ναοῦ ἀνεγέρσεως ἐν τῷ Γαριζὶν, προσῆγεν ἀξίωσιν. Καὶ ἐπιτραπεὶς τὴν οἰκοδομὴν, σὺν πάσῃ σπουδῇ τὸν ναὸν ᾠκοδόμησε, καὶ Μανασσῆν τὸν γαμβρὸν ἀρχιερέα κατέστησεν.

Η'. Ἐπεὶ δὲ μνείαν τοῦ Ἀλεξάνδρου καὶ ὁ τῆς ἱστορίας λόγος πεποίηται, καλὸν καὶ τούτου τὰς πράξεις τε καὶ τὰ ἤθη, καὶ ὅθεν καὶ τίνων ἦν, κατ' ἐπιδρομὴν διηγήσασθαι, καὶ οὕτως αὖθις ἐπαναγαγεῖν τὸν λόγον πρὸς τὴν συνέχειαν. Καὶ μᾶλ-

A eventu cognito, felicitatem eam publicam esse judicarunt, et XIII die mensis Adar, qui a Macedonibus Dystrus dicitur, circiter D ex inimicis occiderunt: qui vero in aliis urbibus et provinciis degebant, LXXV millia sustulerunt. Iidem Susiani etiam postridie CCC jussu Estheræ interfecerunt. X Amanis liberis in cruces actis: ea quoque re a rege concessa conjugi. XIV vero die tota gens festum esse jussit: atque ab eo tempore ambos hos dies festos ducunt, et præsidiarios appellant. Mardochæus autem magnus evasit, et regis in administrando imperio socius. Cum vero sacerdotium ad Joannam Jodais filium rediisset: fratri ejus Jesu, amico Bagoæ ducis copiarum Artaxerxis

B id promissum fuerat. Qua re Joannas irritatus, fratrem in æde sustulit. Bagoas igitur statim adest, ac templum ingressus: *Si ii qui eadem in templo commiserunt*, inquit, *templum ingrediuntur, et ego ingrediar, qui sum illis prior*, et Judæos per annos VII vexavit. Joannæ defuncto Joad filius in pontificatu succedit. Is fratrem habuit Manassem, cui Sanabaletes Darii postremi Persarum regis satrapes, filiam Nicasom in matrimonium dederat. Sed cum Hierosolymitani proceres tumultuarentur, quod pontificis frater peregrinam uxorem haberet, eamque vel repudiare, vel sacrario abstinere juberent: Manasses socero negotium exposuit. Cui ille pollicetur, se ei et sacerdotium conservaturum, atque etiam pontificem et ducem

C eorum locorum quibus ipse imperaret, creaturum si filiam **183** suam retineret: et in Carizino, Samaritanorum montium altissimo, de sententia Darii regis Persarum, templum Hierosolymitano illustrius esse conditurum. His pollicitationibus Manasses adductus, apud Sanabaletem mansit: ad eumque se multi etiam alii sacerdotes Israelitici, talibus implicati conjugiis, contulerunt. Ac Sanabaletes quidem in eo erat, ut a Dario templi in Carizino condendi facultatem impetraret. Sed rege ad Issum ab Alexandro profligato, desperatis illius rebus, cum octo millibus, quibus præerat, ad Alexandrum profectus, seipsum et provincias ei tradit. A quo receptus, jam audacter causam generi et templi Carizinii proponit. Voti compos

D factus, omnique studio structura absoluta, generum pontificem constituit.

VIII. Sed quia in Alexandri mentionem incidimus, non alienum fuerit, hujus etiam res gestas, mores et natales perstringere breviter: eoque facto, ad instituæ historiæ seriem redire: vel ea de causa, quod Hierosolyma adiit et ab eo

aliquid admiratione dignum et pontifici et populo accidit, atque ipse divinam quamdam visionem expositit, ut Josephus refert, quæ in progressu ejus historiæ referentur. Hic Philippi regis Macedonum filius fuit, natus ex Olympiade. Cæterum fabulantur eum Hammone satum esse, qui specie draconis Olympiadem fuerit amplexus. Hammonem autem Jovem appellant: sed hoc fabulosum est. Illud autem fertur, matrem ejus ante eam noctem qua cum Philippo concubuerit, somnio putasse, fulmen in uterum suum illapsum esse, atque inde magnam exstitisse flammam: quæ cum passim vagaretur, evanescoret. Post nuptias, putabat Philippus se imprimere sigillum utero uxoris, leonis imagine. Id somnium conjectoribus aliis aliter interpretantibus, Aristander reginam ferre uterum respondit: neque enim obsignari solere inania; puerum vero qui ex eo conceptu exspectaretur, fore animosum, et leonino ingenio. Natus est eo die, quo Ephesiæ Dianæ templum conflagravit: **184** et Magi quidam illic circumcursantes, exclamarunt, magnum Asiæ malum et calamitatem eo die natum esse. Fuit colore ita candido, ut is circa faciem et pectus maxime purpurasceret. Suavis item e corpore et ore ejus fragrabat odor: cujus utique causa fuit calor et ardor corporis, quo humores, unde putere corpora queant, consumebantur. Animi gravitatem puer etiamnum præ se tulit. Nam cum celeritate pedum valeret, rogatus, an Olympiæ in stadio decursurus esset? respondit se facturum, si reges concertatores haberet. Cum vel urbs insignis capta, vel illustris victoria parta a Philippo nuntiabatur, quasi ægre ferens, ad æquales dicebat: *Pater nullius egregiæ rei vobiscum gerendæ occasionem mihi relicturus est.* Bucephala equo ad Philippum allato, qui tredecim talentis æstimabatur, nec sessorem tum admittebat, nec vocem ferebat, cum Philippo ostenderetur, ob eamque rem inutilis putaretur: *Qualem*, inquit, *equum ob tractandi imperitiam rejiciunt?* Quod dictum pater reprehendens: *Tu vero*, inquit, *eum tractare poteris?* Tum ille: *Rectius utique quovis alio;* permissuque patris, prehensis habenis, eum ad solem convertit: quod fortassis animadverterat, eum umbræ ante oculos agitatione perturbari. Cumque eum paululum demulsisset manu, insiliit atque insedit: et parumper cohortatus, ad cursum dimisit. Quod qui videbant, solliciti erant. Ut autem alacer et lætus revertebatur, Philippi comites exclamabant: ipse vero rex præ lætitia lacrymabundus, puerum deosculatus: *Quærito*, inquit, *fili, regnum tibi par:*

Ἀλον, ὅτι καὶ τοῖς Ἱεροσολύμοις οὗτος ὁ βασιλεὺς ἐπεδήμησε, καί τι θαύματος ἄξιον γέγονε πρὸς τὸν ἀρχιερέα καὶ τὸν λαὸν ἐξ αὐτοῦ. Καὶ αὐτός τι θεῖον ὅραμα διηγήσατο, ὡς Ἰώσηπος ἱστορεῖ, ἃ προϊὼν ὁ λόγος μετὰ τὴν περὶ αὐτοῦ ἱστορίαν (14) διδάξει. Οὗτος Φιλίππου μὲν ἦν τοῦ Μακεδόνων βασιλέως υἱός, ἐξ Ὀλυμπιάδος αὐτῷ γεννηθείς. Μυθεύεται δὲ Ἄμμωνος εἶναι υἱὸς, ἐν εἴδει δράκοντος τῇ Ὀλυμπιάδι συνευναασθέντος. Ἄμμωνα δὲ τὸν Δία φασίν· ἀλλὰ τοῦτο μὲν μῦθος. Λέγεται δὲ τὴν μητέρα αὐτοῦ πρὸ τῆς νυκτὸς, ἣ τῷ Φιλίππῳ συγκατηυνάσθη, ἐν ὀνείρῳ δόξαι κεραυνὸν ἐμπεσεῖν αὐτῆς τῇ γαστρὶ, κἀκ τούτου πῦρ ἐξαφθῆναι πολὺ, καὶ τοῦτο πάντη φερόμενον διαλυθῆναι. Μετὰ δὲ τὸν γάμον ὁ Φίλιππος καθ' ὕπνους ἐδόκει, σφραγῖδα τῇ γαστρὶ τῆς γυναικὸς ἐπιβαλεῖν, ἐγγελγύφθαι δὲ τῇ σφραγῖδι λέοντα. Οἱ μὲν οὖν ἄλλοι μάντεις ἄλλως τὸν ὄνειρον ἐξηγοῦντο. Ἀρίστανδρος (15) δὲ κύειν ἔφη τὴν σφραγισθεῖσαν· μὴ γὰρ δὴ σφραγίζεσθαι τὰ κενά, θυμοειδῆ δ' ἀποβήσεσθαι καὶ λεοντώδη τὸν τεχθησόμενον. Ἐγεννήθη δὲ καθ' ἣν ἡμέραν ἐν Ἐφέσῳ ὁ ναὸς τῆς Ἀρτεμίδος ἐνεπέπρηστο· ὅτε καί τινες ἐκεῖ παρόντες τῶν μάγων, διαθέοντες ἄτην καὶ συμφορὰν βαρεῖαν τὴν ἡμέραν ἐκείνην τῇ Ἀσίᾳ τεκεῖν ἔλεγον. Ἦν δὲ τὴν χρόαν λευκὸς ὁ Ἀλέξανδρος· ἡ λευκότης δ' ἐφοινίσσετο περὶ τὸ στῆθος μάλιστα καὶ τὸ πρόσωπον· καὶ ἡδεῖά τις ἐκ τοῦ χρωτὸς αὐτοῦ ἀπέπνει ἀποφορὰ, κἀκ τοῦ στόματος. Τούτου δ' αἴτιον ἡ θερμότης ἂν εἴη τοῦ σώματος· πυρώδες γὰρ δν, καὶ πολύθερμον, ἀνήλισκε τὰ ὑγρὰ, καὶ οὐδὲν ἐπιπολάζειν αὐτοῦ τῷ σώματι σηπεδονώδες εἴα. Παρενέφαινε δὲ παιδόθεν τὴν ἐμβρίθειαν τοῦ φρονήματος. Ποδώκης γὰρ ὤν, πρὸς τοὺς ἐρομένους εἰ Ὀλυμπιάσιν ἀγωνίσεται στάδιον, εἶπεν, εἰ βασιλεῦσιν ἀνταγωνίσασθαι ἔμελλεν. Εἰ δὲ πόλις τις τῶν ἐπιφανῶν ἁλοῦσα παρὰ τοῦ πατρὸς αὐτῷ ἀπηγγέλη, ἢ ἐν μάχῃ νίκη γεγονυῖα περιφανὴς, ὥσπερ ἀχθόμενος τοῖς ἡλιξιν ἔλεγεν, ὡς *Οὐδὲν ἐμοὶ σὺν ὑμῖν ὁ πατὴρ ἀπολείψει λαμπρόν τι ἔργον ἐνδείξασθαι.* Τοῦ Βουκεφάλα (16) δ' ἵππου κομισθέντος Φιλίππῳ τρισκαίδεκα ταλάντων τιμῆς, καὶ μήτε ἀναβάτην προσιεμένου, ὡς τῷ Φιλίππῳ ἐδείκνυτο μή τε φωνὴν ὑπομένοντος, κάντεῦθεν δυσχρήστου δόξαντος κομιδῇ· *Οἷον ἵππον*, ὁ Ἀλέξανδρος ἔφη, *μὴ εἰδότες χρήσασθαι, ἀποπέμπονται!* Καὶ ὁ πατὴρ ἐπιμῶν αὐτῷ, εἶπε· *Σὺ δὲ χρήσασθαι δυνήσῃ αὐτῷ;* Ὁ δ' ἀπεκρίθη· *Βέλτιον ἂν ἑτέρου τούτῳ χρησαίμην.* Καὶ χρήσασθαι τῷ ἵππῳ ἐπιτραπείς, παραλαβὼν τὴν ἡνίαν, ἐπέστρεψε πρὸς τὸν ἥλιον· συνεὶς ἴσως, ὅτι τῇ σκιᾷ πρὸ αὐτοῦ σαλευομένῃ διεταράττετο. Βραχὺ δὲ καταψήσας, αὐτὸν ἀνέθορε καὶ ἐπέβη αὐτοῦ. Καὶ παρακαλπάσας (17) μικρὸν,

Variæ lectiones et notæ.

(14) *Μετὰ τὴν περὶ αὐτοῦ ἱστορίαν.* Malim κατά. W.

(15) Ἀριστάρχος. Ita codd. mss. sed legendum ex Plutarcho et aliis Ἀρίστανδρος.

(16) *Βουκεφάλα.* Quem alii Βουκέφαλον vocant. Constantinus Manasses p. 170 ex codd. Allatiano et Reg. p. 146 et 170. Καθάπερ τὸν Ἀλέξανδρον ἵππος ὁ Βουκεφάλας. Ita etiam appellatur ab Eustathio in *Iliad.* β', p. 309 et aliis.

(17) *Παρακαλπάσας.* Vide Gloss. med. Græcit. in Κάλπη.

ἀφῆκε πρὸς ὁρόμον. Ἡγωνίων δ' οἱ βλέποντες. Ἤδη δ' ἐπιστραφέντος σὺν φρονήματι καὶ χαρᾷ, οἱ μὲν περὶ Φίλιππον ἀνεβόησαν, ἐκεῖνος δὲ χαρμόσυνα προήνεγκε δάκρυα, καὶ φιλήσας τὸν παῖδα, *Ζήτει, τέκνον*, ἔφη, *σοὶ βασιλείαν ἀνάλογον. Μακεδονία γάρ σε οὐ χωρεῖ.* Ἦν δὲ ἡ φύσις αὐτῷ δυσκίνητος μὲν ἐπιταττομένῳ· εἰ δὲ λόγῳ τις αὐτὸν καὶ πείθοι μετῄει, πειθήνιος. Ὡμίλησε δὲ τῷ Ἀριστοτέλει, μετασχὼν οὐ μόνον τοῦ ἠθικοῦ καὶ πολιτικοῦ λόγου, ἀλλὰ καὶ τῶν ἀποῤῥητοτέρων, οὓς οὐκ ἐκοινοῦντο πολλοῖς, ἐποπτικοὺς καὶ ἀκροαματικοὺς καλοῦντες αὐτούς. Φέρεται γὰρ πρὸς Ἀριστοτέλη αὐτοῦ ἐπιστόλιον, οὕτως ἔχον· *Οὐκ ὀρθῶς ἐποίησας, ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων. Τίνι γὰρ τῶν ἄλλων διοίσομεν, εἰ πᾶσι κοινοὶ ἔσονται οἷς ἐπαιδεύθημεν λόγους, οὗτοι πάντων ἔσονται κοινοί;* Ὁ δὲ ἀντεπέστειλεν, ὡς *Ἐκδέδονται, καὶ οὐκ ἐκδέδονται*· διὰ τούτων δηλῶν τὴν ἀσάφειαν, καὶ τὸ δυσκατάληπτον. Καὶ τῆς ἰατρικῆς δὲ οὐ τὸ θεωρητικὸν μετῄει μόνον, ἀλλὰ καὶ τὴν πρᾶξιν αὐτήν. Ἐξαιδεκέτης δὲ γεγονὼς, καὶ τοῦ φρονήματος, καὶ τῆς ἀνδρείας ἀπόπειραν ἤδη διδοὺς, ὑπερηγαπᾶτο πρὸς τοῦ πατρός· διὰ δὲ τοὺς παρ' ἡλικίαν ἔρωτας τοῦ Φιλίππου, καὶ τὸ τῆς μητρὸς ζηλότυπον καὶ βαρύθυμον, ὁ Ἀλέξανδρος ἔσχε πρὸς τὸν πατέρα διαφοράς.

A *nam te Macedonia non capiet.* Ingenio fuit ad imperata contumaci, sed rationibus et suasionibus tractabili. Magistro usus est Aristotele : nec doctrinam de moribus duntaxat, gerendaque republica percepit, sed et arcanarum rerum scientiam : quæ quod paucis communicaretur, epoptica et acroamatica dicebatur, quarum vocum altera inspiciendi, altera auscultandi notionem habet. Ac circumfertur ejus epistolium ad Aristotelem, in hanc sententiam : *Non* **185** *recte fecisti, acroamaticis disputationibus editis. Num qua re aliis præcellemus, si ea doctrina qua eruditi sumus, communis erit omnibus?* At ille respondit : *Et editas esse, et non editas.* Quibus verbis obscuritatem illarum rerum, et intelligendi difficultatem significabat. B Medicinæ non scientiam duntaxat, sed ipsam etiam actionem tractavit. Annos natus XVI cum generosi et fortis animi jam specimina ederet, supra modum a patre amabatur. Cum quo tamen ei non optime convenit, ob amores illius ætati indecoros, et matris zelotypiam et asperitatem.

Θ'. Παυσανίου δὲ τὸν Φίλιππον κτείναντος, παρέλαβε τὴν βασιλείαν εἴκοσι τυγχάνων ἐτῶν. Καὶ τεταραγμένων πάντοθεν τῇ ἀρχῇ τῶν πραγμάτων, τόλμῃ καὶ βάρει φρονήματος αὐτὰ ταχὺ κατεστήσατο, τὰς μὲν Θήβας ἑλὼν καὶ κατασκάψας, καὶ τοὺς ἁλόντας τῶν Θηβαίων ἀποδόμενος. Ἀθηναίοις δέ γε σπεισάμενος. Ὅτε καὶ Τιμόκλειαν γυναῖκα Θηβαίαν, καὶ τῶν ἐπιφανῶν Θρᾴξ τις τῶν ἡγεμόνων κατῄσχυνε βιασάμενος, εἶτα περὶ χρημάτων ἀνέκρινεν. Ἡ δὲ μόνον αὐτὸν ἀπολαβοῦσα εἰς φρέαρ ἀπήγαγεν, ἐν τούτῳ φαμένη τῶν κειμηλίων καταχρύψαι τὰ κάλλιστα. Τοῦ δ' ἡγεμόνος ἐπικλιθέντος τῷ στομίῳ τοῦ φρέατος, ὦσεν αὐτὸν ἡ γυνὴ κατ' αὐτοῦ, καὶ λίθους ἄνωθεν βαλοῦσα ἔκτεινεν. Ἦν δέσμιον πρὸς αὐτὸν ἀχθεῖσαν ἐρώτησεν ὁ Ἀλέξανδρος, ἥτις εἴη; Ἡ δὲ ἀτρέστως, Θεαγένους εἰμὶ ἀδελφή, ἀπεκρίνατο, ὃς πρὸς Φίλιππον ἡρέθη στρατηγὸς, καὶ ὑπὲρ τῆς Ἑλλήνων ἀγωνιζόμενος ἐλευθερίας, ἔπεσεν. Ἀγάμενος οὖν τήν τε μεγαλοφροσύνην τῆς γυναικὸς ὁ Ἀλέξανδρος, καὶ τὸ παράστημα τῆς ψυχῆς, ἐλευθέραν σὺν τοῖς τέκνοις ἀπέλυσε. Πρὸς Διογένην δὲ τὸν Σινωπέα περὶ Κόρινθον διατρίβοντα ἀπελθὼν, καὶ ἡλίῳ θαλπόμενον εὑρηκὼς, ἠσπάσατό τε τὸν ἄνδρα, καὶ εἴ τινος δέοιτο, ἤρετο. Ὁ δὲ τῆς τοῦ ἡλίου εἶπεν ἀλέας δεῖσθαι, καὶ μεταστῆναι αὐτὸν ἠξίου. Ἀπιόντος δὲ τοῦ Ἀλεξάνδρου, οἱ περὶ αὐτὸν κατεγέλων τοῦ Διογένους. Ὁ δὲ πρὸς αὐτοὺς ἔφη, θαυμάζων τὸ ὑπεροπτικὸν τοῦ ἀνδρὸς, ὡς Εἰ μὴ Ἀλέξανδρος ἦμην, Διογένης ἂν ἦμην. Ὁρμήσας δὲ εἰς τὴν ἐν τῇ Ἀσίᾳ στρατείαν (18), οὐ πρότερον τῆς νηὸς ἐπέβη, πρὶν τῷ μὲν τῶν ἑταίρων ἀγρὸν ἀπονεῖμαι, τῷ δὲ κώμην,

IX. Philippo a Pausania interfecto, in regno successit, annos XX natus : et quamvis res imperii undique turbatæ essent, eas tamen audacia et consilii gravitate celeriter composuit : Thebis captis C et eversis, captivisque venditis, et pace cum Atheniensibus facta, in Thebarum excidio Thrax quidam dux illustrem matronam Timocleam vi constupravit : ac deinde, ubi pecunia ejus esset, percontatus est, quem illa solum ad puteum quemdam deduxit, in eoque se ornamenta sua pulcherrima abscondisse dixit : cumque dux ad orificium putei sese inclinasset, mulier eum impulit, ac dejectum saxis injectis interfecit. Eam Alexander vinctam ad se perductam interrogavit, quæ esset? Respondit illa intrepide, se Theagenis esse sororem, qui dux contra Philippum electus, pro defensione libertatis Græcorum occubuerit. Ejus igitur indolem D et animi magnitudinem admiratus, liberam cum liberis suis dimisit. Cum ad Diogenem Sinopensem, qui Corinthi degebat, venisset, eumque dicta salute rogasset : Num qua re egeret? respondit ille, sibi opus esse calore solis; utque inde discederet, petiit. Alexandro digresso, comites ejus Diogenem deridebant. Quibus ille sublimem viri animum admiratus, dixit se, nisi Alexander esset, Diogenem esse velle. Cum Asiaticam expeditionem moliretur, navem non conscendit prius, quam amicorum aliis agros, aliis pagos, aliis reditus aliquos donasset. A Perdicca rogatus, *quid sibiipsi reservaret? Spem*, inquit. Cum Hellespontum trajecisset, satrapæ Darii circa transitum Granici cum **186**

Variæ lectiones et notæ.

(18) *Εἰς τὴν ἐν τῇ Ἀσίᾳ στρατείαν.* Ita habent mss., at Wolfius legendum putabat ἐπὶ τὴν Ἀσίαν. Hæcque subdit : *Auctor noster non adeo barbarus est, sed est multis in locis depravatus, ut* me collatio codicum docuit.

magnis copiis occurrerunt. Militibus autem profunditatem et impetum fluminis, atque etiam hostium aggressionem reformidantibus, ipse cum XIII equitum turmis flumen est ingressus, eademque opera et ipsum et hostes et ripas altiores ac præruptas est periclitatus, ut furiose magis quam prudenter transisse putaretur. Flumine ad hunc modum superato, tumultuariam pugnam committere est conatus : et multis contra se ruentibus (erat enim ex armis notus), jaculis non est vulneratus : sed quidam ejus galeæ tantum ictum gladio intulit, ut capillos etiam perstringeret. Dum pugna ita committeretur, Macedonicæ copiæ Granicum transierunt, quarum vim Darii milites non ferentes, fugæ se mandarunt. Ejus prælii successus Alexandro magnæ felicitatis fuit occasio. Nam et Sardeis in deditionem accepit, et reliqua se cum eo conjunxerunt. Inde ad oram maritimam conversus, Pamphyliam, Ciciliam et Phœniciam occupavit, Pisidiamque et Phrygiam. Deinde Paphlagones et Cappadoces subegit. Darius autem Susis profectus est cum DC millibus, tum exercitus magnitudine elatus, tum eo fretus, quod Alexandrum ob longiorem in Cicilia moram timere arbitrabatur. Id vero ob morbum fiebat : cujus curatione a cæteris omnibus medicis desperata, solus Philippus Acarnan ei medicinam adhibere ausus est : cum quidem Parmenio scripsisset, illum a Dario corruptum esse ingentibus muneribus et pollicitationibus, si eum sustulisset. Ea epistola Alexander lecta, asservataque, ac re nemini communicata, calicem medicamenti a Philippo oblatum accepit alacer : illi vero epistolam dedit. Sic alter bibit, alter legit, uterque alterum intuens : Alexander vultu jucundo et hilari, Philippus sollicito et perturbato. Cum autem Darius contra Alexandrum festinaret, ne, ut dicebat, hostes aufugerent, Amyntas Macedo transfuga bono animo eum esse jussit : neque enim fugiturum Alexandrum, sed statim contra ipsum iturum esse. Commisso autem in Isso Ciliciæ prælio, magnum quidem et ipsius loci angustiæ momentum **187** Alexandro ad victoriam attulerunt, sed ipsius dexteritas et solertia longe majus. Tunc inter principes pugnans, ense femur est vulneratus. Victoriam illustrem adeptus, Dario fuga elapso, curru et arcu ejus est potitus : castra a Macedonibus direpta sunt, ac Darii tentorium cum ministeriis, opibus, omnique apparatu Alexandro exemptum. Deinde cum ei nuntiaretur, Darii matrem, uxorem et duas filias captivas duci, Darium pro mortuo deplorantes, quod ejus currum et arcum captum vidissent : commotus eo nuntio propter fortunæ inconstantiam, quemdam ad mulieres mittit, qui eis indicet, Darium vivere, neque eis quidquam molestiæ illatum iri. Neque enim se Darium hostem judicare, sed cum eo de imperio certare : neque de ministeriis quæ habebant quidquam eis detraxit, neque in conspectum earum venit, neque passus est ut ab ullo quidquam indignum vel sustinerent, vel exspectarent.

A τῷ δὲ πρώτῳ ἄλλην Τοῦ δὲ Περδίκκου, Τί δ', ὦ βασιλεῦ, σεαυτῷ καταλείπεις; εἰπόντος, Τὰς ἐλπίδας, ἐκεῖνος ἀντέφησε. Διαβάντι δὲ τὸν Ἑλλήσποντον, οἱ τοῦ Δαρείου σατράπαι μετὰ βαρείας δυνάμεως περὶ τὴν τοῦ Γρανικοῦ διάβασιν αὐτῷ συνηντήκεισαν. Τῶν δὲ περὶ αὐτὸν τὸ βάθος διδιότων τοῦ ποταμοῦ, τοῦ ῥοθίου τε τὴν φοράν, καὶ τὴν ἐπὶ τούτοις τῶν πολεμίων ἐπίθεσιν, ἐκεῖνος σὺν ἵλαις ἱππέων τρισκαίδεκα ἐμβάλλει τῷ ῥεύματι, πρὸς αὐτὸ ἀποκινδυνεύων, καὶ πρὸς τοὺς ἐναντίους, καὶ πρὸς ἀποβάσεις ὀχθώδεις καὶ ἀπορρῶγας. Διὸ καὶ μανικῶς μᾶλλον, ἀλλ' οὐ στρατηγικῶς ἔδοξε τότε ποιήσασθαι τὴν διάβασιν. Οὕτω δὲ διαβὰς, φύρδην ἠναγκάζετο μάχεσθαι. Καὶ πολλῶν πρὸς αὐτὸν ὡρμηκότων (ἦν γὰρ ἐκ τῶν ὅπλων διάδηλος), ἀκοντισθεὶς μὲν οὐκ ἐτρώθη, κοπίδι δὲ τὸ κράνος αὐτοῦ πλήξαντός τινος, μέχρι τοσούτου τοῦ κράνους καθίκετο ἡ πληγὴ, ὡς καὶ τῶν τριχῶν αὐτοῦ παραψαῦσαι τὴν κοπίδα. Τῆς μάχης δ' οὕτω συνισταμένης, τὸν Γρανικὸν αἱ Μακεδονικαὶ δυνάμεις διαβεβήκασι· καὶ οἱ τοῦ Δαρείου οὐκέτι ἀντεῖχον, ἀλλ' ἐκλιναν εἰς φυγήν. Ἐκ γοῦν τῆς μάχης ταύτης πολλή τις ἐγένετο πρὸς εὐτυχίαν τῷ Ἀλεξάνδρῳ φορά. Αἵ τε γὰρ Σάρδεις οἱ προσεχώρησαν, καὶ τἆλλα προσέθεντο. Ἐντεῦθεν εἰς τὴν παραλίαν ἐτράπετο, καὶ τήν τε Παμφυλίαν ἔσχε, καὶ Κιλικίαν τε καὶ Φοινίκην, Πισιδίαν τε καὶ Φρυγίαν· εἶτα Παφλαγόνας καὶ Καππαδόκας ἐχειρώσατο. Δαρεῖος δὲ ἐκ Σούσων σὺν ἑξήκοντα μυριάσιν ὥρμησε, τῷ τε πλήθει τῆς στρατιᾶς ἐπηρμένος, καὶ θάρσος ἔχων, ὡς δειλιῶντος Ἀλεξάνδρου, ὅτι ἐπὶ μα-

C κρὸν ἐκεῖνος ἐν Κιλικίᾳ διέτριβε· τὸ δὲ διὰ νόσον ἦν, ὅτε πρὸς τῶν ἄλλων μὲν ἀπέγνωστο ἰατρῶν, Φίλιππος δὲ μόνος ὁ Ἀκαρνὰν ἐθάρρησε φαρμακεῦσαι αὐτόν. Τοῦ δὲ Παρμενίωνος φθάσαντος ἐπιστεῖλαι αὐτῷ, ὑπὸ Δαρείου διεφθάρθαι τὸν Φίλιππον δωρεαῖς μεγάλαις καὶ ὑποσχέσεσιν, εἰ αὐτὸν ἀνέλοι· τὴν ἐπιστολὴν ἐπῆλθε, καὶ μηδενὶ περὶ αὐτῆς ἐκφήνας, εἶχε παρ' ἑαυτῷ. Ἄρτι δὲ τοῦ Φιλίππου τὴν κύλικα τοῦ φαρμάκου προσαγαγόντος αὐτῷ, αὐτὸς μὲν θαῤῥῶν ἐδέξατο ταύτην, ἐκείνῳ δὲ τὴν ἐπιστολὴν ἐνεχείρισε. Καὶ ὁ μὲν ἔπινεν, ὁ δὲ ἀνεγίνωσκεν, ἐωρῶντες ἀλλήλους, ὁ μὲν Ἀλέξανδρος ἐν ὄψει χαριέσσῃ καὶ ἱλαρᾷ, ὁ δὲ Φίλιππος ἐν περιδεεῖ καὶ τεθορυβημένῃ. Τοῦ δὲ Δαρείου σπεύδοντος ἐπ' Ἀλέξανδρον, ἵν', ὡς ἔλεγε, μὴ ἀποδράσωσιν οἱ πολέμιοι,

D Μακεδὼν Ἀμύντας ὢν αὐτόμολος παρ' αὐτῷ, Θάῤῥει, ἔφη, ὦ δέσποτα, οὐ γὰρ φεύξεται ὁ Ἀλέξανδρος, ἀλλ' ὅσον ἤδη βαδιεῖται πρὸς σέ. Ἐν Ἰσσῷ δὲ τῆς Κιλικίας τῆς μάχης συγκροτηθείσης, πολλὴν μὲν καὶ ὁ τόπος διὰ τὴν στένωτιν παρέσχε ῥοπὴν τῷ Ἀλεξάνδρῳ, πλείω δ' αὐτὸς ἑαυτῷ δεξιῶς στρατηγήσας, ὅτε καὶ τὸν μηρὸν ἐπλήγη ξίφει, ἐν τοῖς προμάχοις ἀγωνιζόμενος. Περιφανῶς δὲ νικήσας, Δαρεῖον μὲν οὐχ εἷλε φυγόντα, τὸ ἅρμα δὲ καὶ τὸ τόξον αὐτοῦ ἔλαβε. Τὸ δὲ Δαρείου στρατόπεδον διηρπάγη παρὰ τῶν Μακεδόνων, ἡ μέντοι τοῦ Δαρείου σκηνὴ τῷ Ἀλεξάνδρῳ ἐξῄρητο μετὰ τῆς θεραπείας, καὶ τοῦ πλούτου, καὶ τῆς ἄλλης παρασκευῆς. Εἶτα τὴν μητέρα, καὶ τὴν γυναῖκα Δαρείου, καὶ δύω θυγατέρας αἰχμαλώτους ἄγεσθαί τις ἀγγέλλει αὐτῷ,

ἐλαλυζούσας ὡς τεθνηκότος Δαρείου, ἐπεὶ τὸ ἄρμα ἐκείνου καὶ τὰ τόξα ληφθέντα τεθέανται. Περιπαθήσας δὲ πρὸς τὴν ἀγγελίαν, διὰ τὸ τῆς τύχης ἀστάθμητον, πέμπει τινὰ πρὸς τὰς γυναῖκας, ἐροῦντα, ὅτι τε ζῇ Δαρεῖος, καὶ ὅτι αὐταῖς οὐδὲν ἀηδὲς ἀπαντήσεται. Οὐ γὰρ ἐχθρὸν ἡγεῖσθαι Δαρεῖον, ἀλλ' ὑπὲρ τῆς βασιλείας αὐτῷ διαφέρεσθαι· οὔτε δὲ τῆς θεραπείας ἣν εἶχον ἀφεῖλετό τι, οὔτε εἰς ὄψιν ἦλθεν αὐταῖς, οὔτε ἀνάξιόν τι παρὰ τοῦ ταύτας παθεῖν, ἢ προσδοκῆσαι ἠνέσχετο.

Γ. Ἤδη δὲ νενικηκὼς ἐν Ἰσσῷ, γέγονεν ἐγκρατὴς Α καὶ τῆς Δαμασκοῦ, ἔνθα οἱ Πέρσαι καὶ Δαρεῖος αὐτὸς τά τε χρήματα καὶ τῆς ἀποσκευῆς τὰ πλείω κατέλιπον. Μετὰ δὲ ταῦτα ἥ τε Κύπρος καὶ ἡ Φοινίκη, τῆς Τύρου χωρὶς, αὐτῷ ἐγκεχείριστο. Ἡ δὲ Τύρος πολιορκίᾳ ἑάλω, ὀττοὺς ὀνείρους ἐν τῷ ταύτην πολιορκεῖν τοῦ Ἀλεξάνδρου θεασαμένου. Ἐδόκει γὰρ ὁ Ἡρακλῆς, καλῶν αὐτὸν ἐκ τοῦ τείχους καὶ δεξιούμενος. Ὁ δὲ ἕτερος ὄνειρος Σάτυρον αὐτῷ ἐδείκνυ προσπαίζοντα, καὶ βουλομένῳ συσχεῖν, διαφεύγοντα, ὀψὲ δὲ εἰς χεῖρας ἐλθόντα αὐτῷ. Ἐκρίθη δ' οὗτος ὁ ὄνειρος δηλοῦν αὐτῷ κατὰ διαίρεσιν τοῦ ὀνόματος, ὡς Σὰ Τύρος ἔσται. Εἶτα τὴν Γάζαν πολιορκῶν, πόλιν τῆς Συρίας μεγάλην, ἐπλήγη τὸν ὦμον λίθῳ, τὴν δὲ πόλιν κατέσχε. Κυριεύσας δὲ τῆς Αἰγύπτου, ἐβουλήθη πόλιν ἐν αὐτῇ Ἑλληνίδα εἰς ὄνομα οἰκεῖον ἱδρύσασθαι, καί τινα τόπον ἤδη τῇ πόλει ἀφώρισε. Κοιμωμένῳ δὲ ἀνὴρ ἔδοξεν ἐπιστῆναι πολιός τε καὶ γεραρὸς, εἶναι δὲ τὸν φανέντα τὸν Ὅμηρον (19), καὶ λέγειν τὰ ἔπη ταῦτα·

Νῆσος ἔπειτά τις ἐστι πολυκλύστῳ ἐνὶ Πόντῳ,
Αἰγύπτου προπάροιθε. Φάρον δὲ ἐπικλήσκουσιν.

X. Post Issicam victoriam, etiam Damasci est potitus, ubi Persæ et ipse Darius pecunias et maximam impedimentorum partem reliquerant. Post hæc Cyprus et Phœnicia, excepta Tyro, sunt ei traditæ. Tyrus obsidione capta est, quam dum oppugnaret, duo somnia vidit: altero putabat se ab Hercule de mœnibus vocari, porrigente dexteram: alterum ei satyrum ostendebat, secum colludentem, qui jamjam comprehendendus, effugeret, ac sero tandem in manus suas veniret. Id conjectores interpretati sunt significare Tyri possessionem: nam Satyrus, si vocabulum dividas, notat, *Tua Tyrus*. Deinde cum Gazam urbem Syriæ magnam oppugnaret, saxo humerum ictus est, urbem vero cepit. Ægypto in potestatem suam redacta, urbem B in ea Græcam de suo nomine condere voluit, et locum quemdam ad structuram designavit. Dormienti autem visus est astare vir canus et venerabilis, qui Homerus esset, et hos versus recitaret:

Insula fluctivago quatitur circumflua Ponto:
Ægyptum jacet ante, Pharon quam nomine dicunt.

188 Ἀναθορὼν οὖν, αὐτίκα πρὸς τὴν Φάρον ἀφίκετο, καὶ τῇ τοῦ τόπου ἀρεσθεὶς εὐφυΐᾳ, ἐκεῖ τὴν πόλιν ἱδρύσατο, ἠπειρώσας αὐτὴν διὰ χώματος, νῆσον οὖσαν τὸ πρότερον. Λέγεται δὲ ὡς ἡσθεὶς τῷ τοῦ τόπου φυσικῇ ἐπιτηδειότητι, ἔφη, ὡς Ὅμηρος ἄρα τἄλλα τε μέγας ἦν, καὶ ἀρχιτέκτων σοφός. Εἰς Ἄμμωνος δὲ ἱερὸν ἀπιὼν δι' ἀνύδρου καὶ ἀμμώδους τόπου, τὴν αὐτῷ παρομαρτοῦσαν ἐν ἅπασιν εὐτυχίαν εὗρε κἀκεῖ, τὸ ἐργῶδες τῆς πορείας ἐκείνης ἐπικουφίζουσαν. Ὑετοὶ γὰρ γενόμενοι, τὸν ἐκ τῆς ἀνυδρίας κίνδυνον διεκρούσαντο, καὶ τὸν ἀέρα εὐκρῆ πεποιήκασιν, ὑγρανθείσης τῆς ἄμμου, καὶ συμπιληθείσης ἐκ τῆς ὑγρότητος. Τῶν δὲ τῆς ὁδοῦ γνωρισμάτων συγχυθέντων, οἱ ταύτης ἡγεμόνες ἐπλάνηντο. Κόρακες δὲ ὑπαντήσαντες, τῆς πορείας ἡγοῦντο τοῖς μετ' αὐτοῦ· καὶ εἴ τινες βραδυποροῦντες ὑπελιμπάνοντο, νυκτὸς ἐκείνους ταῖς κλαγγαῖς ἀνεκόμιζον. Οὕτω δὲ διελθόντι τῆς πορείας τὸ δύσεργον, καὶ εἰς Ἄμμωνος φθάσαντι, ὁ ἐκεῖ προφήτης Ἕλληνι φωνῇ (20) θέλων προσφωνῆσαι αὐτῷ, ἐβαρβάρισε περὶ τὸ τέλος τὸ πρόσρημα, Ὦ παῖ Διός, ἀντὶ τοῦ Παιδίον εἰπών. Καὶ ὁ βαρβαρισμὸς δόξαν πολλοῖς παρέσχε, τοῦ ἐκ θεῶν τοῦ Ἀλεξάνδρου γεγονέναι τὴν γένεσιν, λόγου διαδοθέντος, ὅτι

188 Statim igitur exsiliit, Pharumque profectus, et loci opportunitate captus, illic urbem exstruxit, aggeribus insula in continentem redacta. Ac naturali loci commoditate delectatus, dixisse fertur: Homerum cum cætera magnum, tum vero egregium architectum fuisse. Ad Ammonis templum per loca sicca et arenosa proficiscens, comitem individuam felicitatem ibi quoque reperit, itineris illius difficultates sublevantem. Nam pluviæ delatæ sitis periculum dispulerunt, aeremque temperarunt, humefacta arena, et ex humore densata. Cum autem confusis itineris notis, aberrassent duces, corvi supervolantes viam eis monstrarunt: iidemque eos qui tardius incesserant, exercitum non consecuti, noctu crocitando revocarunt. Sic difficultate itineris superata, 31 Ammonis templum progressus est. Ubi cum eum propheta Græce filium appellare vellet, in hoc verbi lapsus est, et unius litteræ errore Alexandrum filium Jovis appellasse visus. Unde a nonnullis divina ejus origo credita, qua apud barbaros ita gloriabatur, ut et Olympias diceret: *Non desinet me Alexander apud Junonem calumniari?* apud Græcos vero ea oratione abstinuit. Aliquando

Variæ lectiones et notæ.

(19) *Τὸν Ὅμηρον.* Vide Eustathium in Iliad. β', p. 239.

(20) *Ἕλληνι φωνῇ.* Ita mss. cod. Wolfius Ἑλληνίδι mavult, ut infra legitur lib. IV, n. 16, ubi etiam Ἑλλάδα διάλεκτον dixit. Observat Eustathius II. ω' Atticos et Dorienses τοῖς κυριωτέροις uti solitos, ἀντὶ κτητικῶν, ὡς φασιν οἱ παλαιοὶ, οἷον Ἕλληνα στρατὸν, τὸν Ἑλληνικόν· ἄνθρωπον ἦθος, ἀντὶ τοῦ ἀνθρώπινον· Ἑλλάδα διάλεκτον, δοῦλον γένος, etc.

Sagitta ictus, manante sanguine dixit : Sanguis hic quidem est, non ichor,

Παῖ Διὸς ὁ προφήτης εἶπεν αὐτῷ. Κἀκεῖνος πρὸς μὲν τοὺς βαρβάρους ἐμεγαλαύχει τὴν γένεσιν τὴν ἐκ τοῦ θεοῦ, ὡς καὶ τὴν Ὀλυμπιάδα λέγειν· *Οὐ παύσεται διαβάλλων με πρὸς τὴν Ἥραν ὁ Ἀλέξανδρος*; πρὸς δὲ τοὺς Ἕλληνας τοῦ λόγου ἐφείδετο. Βλύσει δέ ποτε τρωθεὶς, αἵματος ἐκ τῆς πληγῆς καταῤῥέοντος, Τὸ ῥέον, εἶπεν, αἷμα, καὶ οὐκ

Qualis de superis solet emanare beatis.

ἼΙχωρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν.

Cum Darius ei x millia talentum pro redemptione suorum charissimorum obtulisset, et omni provincia extra Euphratem ei cederet, affinitatem filia desponsa cum eo juncturus : Parmenion dixit : *Si Alexander essem, acciperem ista : Et ego*, inquit, *profecto, si Parmenio essem ;* Darioque rescripsit, si ad se veniret, eum nullum humanitatis officium desideraturum. Regina ex partu mortua, quidam ex eunuchis elapsus, ejus obitum Dario nuntiavit: quo audito lamentatus est, quod non tantum captiva fuisset, sed et regia sepultura caruisset. Ibi eunuchus : *Bono*, inquit, *animo esto, domine. Neque enim vivens domina mea et mater tua liberique ullum malum sunt perpessæ, neque illa mortua honesta sepultura caruit, sed hostium quoque luxuriis est ornata.* Ex iis verbis Darius suspicionibus sinistris ohortis, **189** eunuchum seductum jurejurando adegit, ut sibi diceret, an Alexander uxoris amore captus fuisset? *Nam alioqui cur*, inquit, *et ab hoste et ab adolescente honorata est?* Sed eunuchus, sermone interrupto : *Domine, bona verba*, inquit, *neque tu vel uxorem probro afficeris, vel Alexandrum accusaris, qui modestiam suam Persicis mulieribus magis declaravit, quam Persis fortitudinem ;* cujus continentiam cæterasque virtutes dum prædicaret, orationem suam jurejurando confirmavit. Darius igitur optavit, ut aut Alexandro gratiam referre posset pro beneficiis in suos charissimos collatis. aut ut ne alius, quam ille in Cyri solio sederet.

Ὡς δὲ ὁ Δαρεῖος ἐπέστειλεν αὐτῷ μύρια μὲν τάλαντα, δι δοὺς λύτρον τῶν φιλτάτων αὐτοῦ, καὶ τῆς ἐντὸς Εὐφράτου (21) πάσης αὐτῷ ἐξιστάμενος, καὶ φίλον αὐτὸν ποιούμενος, μίαν τῶν θυγατέρων αὐτοῦ γήμαντα· ὁ Παρμενίων, *Εἰ Ἀλέξανδρος*, εἶπεν, *ἤμην, ἔλαβον ἂν ταῦτα· Κἀγὼ*, ἔφη, *νὴ Δία, εἰ Παρμενίων*. Ἀντεπέστειλε δὲ τῷ Δαρείῳ, εἰ πρὸς αὐτὸν ἀφίκηται, μή τινος ἀτυχήσαι τῶν φιλανθρώπων. Ἀποδρὰς δέ τις τῶν εὐνούχων τῆς γυναικὸς Δαρείου, καὶ πρὸς ἐκεῖνον διασωθεὶς, τὸν θάνατον τῆς βασιλίσσης ἀπήγγειλεν· ἔφθη γὰρ θανοῦσα ἐκ τοκετοῦ. Δαρεῖος δὲ ἀνεκλαύσατο, φήσας ὅτι οὐ μόνον αἰχμάλωτος ἡ βασίλισσα γέγονεν, ἀλλὰ καὶ ταφῆς βασιλικῆς οὐ τετύχηκε. Καὶ ὁ εὐνοῦχος, *Ἀλλὰ θάῤῥει*, ἔφη, *ὦ δέσποτα. Οὔτε γὰρ ζῶσά μου ἡ δέσποινα καὶ ἡ μητὴρ ἡ σὴ καὶ τὰ τέκνα κακοῦ τινος ἐπειράθησαν, οὔτ' ἀποθανοῦσα ταφῆς ἐκείνη πρεπούσης ἡμοίρησεν, ἀλλὰ καὶ πολεμίων τετίμηται δάκρυσι.* Τούτοις ὁ Δαρεῖος εἰς ὑποψίας ἀτόπους ἐνέπεσε, καὶ τὸν εὐνοῦχον ἰδίᾳ παραλαβὼν, ὅρκοις προκατελάμβανεν, εἰπεῖν, εἴ τις περὶ τὴν γυναῖκα γέγονε τῷ Ἀλεξάνδρῳ ἐμπάθεια; *Πῶς γὰρ*, ἔλεγε, *παρ' ἐχθροῦ καὶ νέου ἀνδρὸς πολεμίου γυνὴ, ὡς ἔφης, οὕτω τετίμηται;* Ὁ δ' εὐνοῦχος τὸν λόγον ἐγκόψας, *Εὖφημει, δέσποτα*, ἔφη, *καὶ μήτε τὴν γυναῖκα καταίσχυνε, μὴ δ' αὖ κατηγόρει Ἀλέξανδρον, ὃς πλέον ταῖς Περσῶν τὸ σῶφρον, ἢ τοῖς Πέρσαις τὸ γενναῖον ἐνέφηνε*· καὶ ὅρκοις τοὺς λόγους ἐβεβαίου, περὶ τῆς ἐγκρατείας τοῦ Ἀλεξάνδρου καὶ τῆς ἄλλης ἀρετῆς διηγούμενος. Καὶ ὁ Δαρεῖος ἠδέχετο δυνηθῆναι καλῶν ἐνδείξατο, ἢ μὴ ἄλλον εἰς τὸν Κύρου καθίσαι θρόνον, ἢ τὸν Ἀλέξανδρον.

XI. Alexander autem provinciis intra Euphratem jam potitus, contra Darium ibat, decies centena hominum millia secum trahentem. Ut in conspectum venerant exercitus, et noctu barbarorum pyræ planitiem interjectam collustrabant, eque castris eorum magnus tumultus resonabat : Parmenio et quidam ex amicis multitudine perterriti, Alexandro suadent, ut noctu hostes invadat, neque enim posse justa acie cum tanto exercitu decertari. Is vero se furari velle victoriam negavit. Postridie pugna commissa, ut quidam aiunt, Arbelis, ut alii, Gausamelis, barbari terga dederunt, eosque victores persecuti sunt. Alexander autem cum Darium eminus in sublimi curru plurimis equitibus splendide armatis circumdatum vidisset, fugientes eo compulit : quibus eos etiam qui loca sua non deseruerant, perturbavit, mul-

ΙΑ'. Ἤδη δὲ τὴν ἐντὸς Εὐφράτου χώραν παραλαβὼν ὁ Ἀλέξανδρος, ἐπὶ Δαρεῖον ἀπῆει, ἑκατὸν μυριάδας στρατοῦ ἐπαγόμενος. Ὡς δ' ἐν ὄψει ἀλλήλων ἐγένοντο τὰ στρατεύματα, καὶ νὺξ ἦν, καὶ τὸ μεταξὺ πεδίον τὰ πυρὰ τῶν βαρβάρων κατέλαμπον, καὶ θόρυβος ἐκ τοῦ στρατοπέδου προσῄχει πολὺς, Παρμενίων καὶ τῶν ἑταίρων τινὲς ἐκπλαγέντες τὸ πλῆθος, συνεβούλευον Ἀλεξάνδρῳ νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις· μὴ γὰρ ἂν δυνηθῆναι κατὰ συστάδην ἀντιστῆναι τοσούτῳ στρατεύματι. Ὁ δὲ, Οὐ κλέπτω τὴν νίκην, εἶπε· τῇ δ' ἐπιούσῃ τῆς μάχης συγκροτηθείσης, ὡς μέν τινες φασιν ἐν Ἀρβήλοις, ὡς δ' ἕτεροι ἐν Γαυσαμήλοις, οἱ βάρβαροι ἐνέκλιναν, καὶ ἦν αὐτῶν διωγμός. Ἀλέξανδρος δὲ πόῤῥωθεν τὸν Δαρεῖον ἰδὼν ἐφ' ἅρματος ὑψηλοῦ, ἱππόταις πλείστοις καὶ λαμπρῶς ὡπλισμένοις περικυκλούμε-

Variæ lectiones et notæ.

(21) *Ἐκτὸς Εὐφράτου.* Viennensis, Regii et Colbert. ἐντὸς habent, ut referatur ad Macedoniæ situm et ad Alexandrum. Sequitur non ita multo post : τὴν ἐντὸς Εὐφράτου χώραν παραλαβὼν ὁ Ἀλέξανδρος. Si ἐκτὸς legitur, ut referatur ad Darium et Persidis situm.

νον, ἐκεῖ συνιόθει τοὺς φεύγοντας, ὡς τε τούτοις A συνταράξαι τοὺς μένοντας, καὶ πολλοὺς σκεδάσαι αὐτῶν. Πολλῶν δὲ πεσόντων τοῦ Δαρείου ἐνώπιον, ὡς οὐκ ἦν ἐξελάσαι τὸ ἅρμα τοῖς πτώμασι συνεχόμενον, τούτου μὲν ἀπέβη Δαρεῖος· θήλειαν δ' ἵππον ἀναβεκηκώς, ἔφυγεν. Ἑάλω δ' ἂν, εἰ μὴ Παρμενίων τὸν Ἀλέξανδρον μετεπέμψατο, ἐπαρήξοντα τῷ κατ' αὐτὸν κέρατι πονουμένῳ. Ἡ μὲν οὖν νίκη λαμπρὰ τῷ Ἀλεξάνδρῳ προσγέγονεν. Ἡ δὲ Περσῶν βασιλεία ἐντεῦθεν καθῄρητο, Ἀλέξανδρος δὲ τῆς Ἀσίας βασιλεὺς ἀνηγόρευτο, καὶ ἐπ' αὐτῷ ἡ Βαβυλωνία πᾶσα ἐγένετο. Σούσων δὲ κρατήσας, τετρακισμύρια τάλαντα νομίσματος κατὰ τὰ βασίλεια εὗρηκε, καὶ ἄλλων χρημάτων ἀμυθήτων πολυτέλειαν. Κυριεύσας δὲ καὶ τῆς Περσίδος, νομίσματος εὗρε πλῆθος ὅσον ἐν Σούσοις. Τὸν ἄλλον δὲ πλοῦτον ἱστο- B ροῦσιν ἐκκομισθῆναι μυρίοις ὁρικοῖς ζεύγεσι, καὶ πεντακισχιλίοις καμήλοις. Ἐμπρήσας δὲ τὰ βασίλεια, ταχὺ μετεμελήθη, καὶ κατασβεσθῆναι ταῦτα προσέταξε. Μεγαλόδωρος δὲ τυγχάνων, ἔτι μᾶλλον ἐπιδίδου πρὸς τοῦτο, τῶν πραγμάτων αὐξανομένων αὐτῷ. Ὁρῶν δὲ τοὺς περὶ αὐτὸν τρυφῶντας, καὶ ταῖς δαίταις πολυτελεῖς, καθήψατο πράως αὐτῶν, θαυμάζειν εἰπὼν, εἰ μὴ ἔμαθον ἐκ συγκρίσεως τοῦ τῶν Περσῶν βίου πρὸς τὸν σφέτερον, ὅτι δουλικώτατον μέν ἐστι τὸ τρυφᾶν, τὸ δὲ πονεῖν ἀρχικώτατον. Αὐτὸς μέντοι οὐκ ἐνεδίδου, καὶ στρατείαις καὶ θήραις πονῶν. Οἱ δ' ἑταῖροι αὐτοῦ διὰ πλοῦτον τρυφᾶν βουλόμενοι, συνέπεσθαι δέ οἱ ἀναγκαζόμενοι, εἰς τὸ βλασφημεῖν αὐτὸν προῆσαν. Ὁ δὲ πράως ἤνεγκε περὶ τὴν ἀρχὴν τὰς βλασφημίας, λέγων, βασιλικὸν εἶναι τὸ κακῶς ἀκούειν εὐεργετοῦντα. Ὕστερον μέντοι αὐτὸν αἱ πολλαὶ διαβολαὶ ἐξετράχυναν, καὶ πρὸς τοὺς βλασφημοῦντας αὐτὸν χαλεπὸν γενέσθαι καὶ ἀπαραίτητον παρεσκεύασαν. Καί τοι πρώην καὶ θανατικῶν ἠκροᾶτο δικῶν, εἰώθει τῷ ἑνὶ τῶν ὤτων τὴν χεῖρα ἐπιτιθέναι, ὡς ἄψαυστον αὐτὸ τῷ κατηγορουμένῳ τηρῶν, καὶ τῆς κατηγορίας ἀμέθεκτον. Ἐξελαύνων δ' ἐπὶ Δαρεῖον, μετὰ τρισχιλίων, ἐφ' ἡμέρας πλείους ἐδίωκεν, ὡς ἀπαγορεῦσαι τοὺς πλείονας, διά τε τὴν χαλεπότητα τῆς ὁδοῦ καὶ τὴν ἀνυδρίαν. Ὅτε Μακεδόνες τινὲς ἐν ἀσκοῖς ὕδωρ κομίζοντες αὐτῷ συνήντησαν, καὶ πλήσαντες κράνος, προσήνεγκαν αὐτῷ κακῶς ὑπὸ δίψης διακειμένῳ· ὁ δὲ τὸ κράνος λαβὼν, καὶ τοὺς περὶ αὐτὸν πρὸς αὐτὸν ἰδὼν ἀποβλέποντας, οὐκ ἔπιεν, ἀλλ' ἐπέδωκε τοῖς δοῦσιν αὐτὸ, εἰπὼν, ὡς *Εἰ ἐγὼ πίομαι μόνος, ἀθυμήσουσιν οὗτοι.* Ἐμβαλὼν δὲ ἤδη τοῖς πολεμίοις, τὸ μὲν στρατόπεδον αὐτῶν παρῆλθε, τὸν δὲ Δαρεῖον ἠπείγετο καταλήψεσθαι. Ὁ δ' ἔκειτο ἐν ἁρμαμάξῃ τραυμάτων κατάπλεως, καὶ ἤδη ἐκλείπων. Αἰτήσας δὲ ὕδωρ, καὶ πιὼν, εἶπε πρὸς τὸν δόντα Πολύστρατον· *Τοῦτό μοι πέρας δυστυχίας ἁπάσης, ὅτι εὖ παθὼν, ἀμείψασθαί σε οὐ δύναμαι. Ἀλέξανδρος δέ σοι τὴν χάριν ἀνταποδοίη, Ἀλεξάνδρῳ δ' οἱ θεοὶ τῆς εἰς μητέρα καὶ γυναῖκα καὶ παῖδας τοὺς ἐμοὺς ἐπιεικείας.* Καὶ ἐπὶ τούτοις ἐξέλιπεν. Ἐπιστὰς δὲ αὐτῷ θανόντι Ἀλέξανδρος, τῇ ἑαυτοῦ χλαμύδι τὸν ἐκείνου νεκρὸν περιέστειλε, καὶ πρὸς τὴν

tosque dissipavit. Multis autem in conspectu Darii cæsis, cum is præ cadaveribus currum agere non posset: eo relicto, et equa conscensa, fugæ se mandat: in qua captus etiam fuisset, nisi Parmenio Alexandrum accersisset, ut suo cornu laboranti subveniret. Hac illustri parta victoria, Persarum regno everso, Alexander Asiæ rex declaratus, omni Babylonia potitus est. Susis captis, XL millia talentum signatæ pecuniæ, et alias infinitas opes maximi pretii in regia invenit. Persia quoque subacta, tantumdem quantum Susis invenit; aliasque præterea divitias exportatas esse **190** memorant, decies mille jugis mulorum, et quinquies mille camelis. Regiæ incensæ statim eum pœnituit, atque ignem exstingui jussit. Porro cum natura magnificus esset, auctis fortunis, etiam ejus aucta est liberalitas. Suos delicate vivere videns, leniter castigavit: seque mirari dixit, eos ex comparatione suæ et Persicæ vitæ non dedicisse, deliciis nihil esse servilius, labore nihil regalius. Ipse quidem de expeditionum et venationum laboribus nihil remisit: amici vero, qui propter divitias genio indulgere cupiebant, cum sequi coacti, maledictis non abstinebant. Quæ ille principio æquo ferebat animo, regium esse dicens, male audire cum benefaceret: sed tandem frequentibus calumniis exasperatus, sævus et inexorabilis exstitit erga maledicos. Prius autem cum pro tribunali capitales causas cognosceret, alteri auri manum admovere solebat, ut eam reo intactam conservaret, et accusationis expertem. Cum Darium per dies complures tribus millibus assumptis persequeretur, plerique et itinerum difficultatibus et aquæ inopia defatigati sunt. Tum ei Macedones quidam occurrerunt, aquam in utribus ferentes: impletamque galeam obtulerunt ex siti male affecto. Qua accepta, cum se a comitibus aspici videret, non bibit, sed iis qui dederant illa reddita, dixit: *Si ego solus bibero, hi deficient animis.* Hostes jam assecutus, castris præteritis, ad Darium capiendum properavit. Is vero in curru jacebat moribundus, et confectus vulneribus, cumque petita aqua bibisset, ad Polystratum dixit, qui eam dederat: *Hoc extremum est calamitatum mearum omnium, quod tibi de me bene merito gratiam referre non possum. Sed et Alexander tibi gratiam referet, et Alexandro dii immortales, pro clementia, qua erga matrem uxoremque et liberos meos usus est.* His dictis, exspiravit: cui Alexander morienti astans, sua chlamyde cadaver tectum, et regaliter ornatum, ad matrem ejus misit. Bessum vero a quo occisus fuerat, duabus arboribus vi inflexis alligari jussit, quibus laxatis, cum utraque vehementi impetu ad suam naturam rediret, homo discerptus est. **191** Cum in Hyrcaniam abiret, et barbari quidam circa pelagus Hircanum, quod et Caspium dicitur, equum ejus Bucephalam rapuissent, ægre tulit, eisque per nuntios comminatus est, ni equum redderent, se omnes occisurum. At illi et equum reddiderunt, et semetipsos ei dediderunt.

μητέρα βασιλικῶς κεκοσμημένον ἀπέστειλε. Τὸν δὲ Βῆσσον, ὃς ἐκεῖνον ἀνεῖλε, διεσφενδόνησε, δυσὶ βίᾳ κλιθεῖσι δένδροις προσαρτηθῆναι κελεύσας αὐτὸν, εἶτα μεθεῖναι τὰ δένδρα, καὶ οὕτω διασπασθῆναι τὸν ἄνθρωπον, ἑκάστου τῶν δένδρων μετὰ σφοδρότητος εἰς τὴν κατὰ φύσιν ὡρμηκότος ἀνάτασιν. Εἰς Ὑρκανίαν δὲ ἀπιὼν περὶ τὸ Ὑρκάνιον πέλαγος, ὃ καὶ Κάσπιον λέγεται, βαρβάρων τινῶν τὸν ἵππον αὐτοῦ τὸν Βουκεφάλαν ἀφελομένων, ἐβαρυθύμησε, καὶ πέμψας ἠπείλησε πάντας ἀποκτενεῖν, εἰ μὴ τὸν ἵππον αὐτῷ ἀναπέμψειαν· οἱ δὲ καὶ τὸν ἵππον, καὶ ἑαυτοὺς αὐτῷ ἐνεχείρισαν.

XII. Inde in Parthicam est profectus, ubi primum barbaricam vestem induit, Medica minus superbam, Persica insolentiorem, quod spectaculum arrogans visum est Macedonibus. E captivis tricies mille pueros delectos, et Græcis litteris erudiri, et ritu Macedonum armari jussit. Roxanæ formosæ mulieris amoribus eatenus indulsit, ut eam legitimo sibi matrimonio jungeret. Ex amicis Hephæstionem, qui vestitum ejus laudabat, similemque vestem et ipse induerat, Alexandri amantem; Craterum vero, qui a patriis institutis non recedebat, regis amantem appellabat: illoque apud barbaros utebatur, per Craterum Macedonibus et Græcis respondebat. Philotam Parmenionis filium, rerum gestarum gloriam sibi et patri vindicantem, et Alexandrum adolescentem appellantem, deprehensis etiam insidiis, sustulit. Patrem quoque ejus Parmenionem in Media occidendum curavit. Et amicum Clitum, cum in convivio poemata in duces quosdam recens victos a barbaris facta canerentur, eaque Alexander libenter audiret, præ insolentia et ebrietate refragantem et indignantem et gloriantem, maledictaque ingerentem, primum malo petiit. Sed cum ne sic quidem impudentiæ et audaciæ suæ modum illo statuens, Euripidis iambum:

ΙΒ'. Ἐντεῦθεν εἰς τὴν Παρθικὴν ἀναζεύγνυσιν, ἔνθα πρῶτον βαρβαρικὴν στολὴν ἐνεδύσατο, καὶ τῆς μὲν Μηδικῆς ἁπλουστέραν, τῆς δὲ Περσικῆς σοβαρωτέραν. Ἔδοκει δὲ τοῖς Μακεδόσι τὸ θέαμα φορτικόν. Ἐπιλεξάμενος δὲ τρισμυρίους παῖδας τῶν αἰχμαλώτων, ἐκέλευσε γράμματα σφᾶς Ἑλληνικὰ ἐκδιδάσκεσθαι, καὶ κατὰ Μακεδόνας ὁπλίζεσθαι. Τῆς Ῥωξάνης δὲ ὡραίας ἐρασθεὶς γυναικὸς, οὐκ ἄλλως αὐτῇ προσῆλθεν ἢ κατὰ νόμον. Τῶν δὲ φίλων αὐτοῦ τὸν μὲν Ἡφαιστίωνα ἐπαινοῦντα τὴν στολὴν ἣν ἐνέδυ, καὶ ὁμοίως αὐτῷ μεταμφιασάμενον, Φιλαλέξανδρον ἐκάλει, τὸν Κρατερὸν δὲ μὴ παρεξιόντα τὰ πάτρια, Φιλοβασιλέα· καὶ τὸ μὲν πρὸς τοὺς βαρβάρους ἐκέχρητο, διὰ δὲ τοῦ Κρατεροῦ τοῖς Μακεδόσι καὶ τοῖς Ἕλλησιν ἐχρημάτιζε. Φιλώταν δὲ τὸν υἱὸν Παρμενίωνος μεγαλαυχοῦντα, ὡς παρ' αὐτοῦ καὶ τοῦ πατρὸς αὐτοῦ τῶν κατορθωμάτων γινομένων, καὶ μειράκιον τὸν Ἀλέξανδρον ὀνομάζοντα, εἶτα καὶ ἐπιβουλεύοντα γνοὺς, ἀνεῖλε. Πέμψας δὲ εἰς Μηδίαν, καὶ τὸν πατέρα αὐτοῦ (ἐκεῖ γὰρ ἦν) προσαπέκτεινε. Καὶ τὸν Κλεῖτον δὲ τῶν ἑταίρων ἕνα τυγχάνοντα παρὰ πότον, ᾀδομένων ποιημάτων εἰς τινας στρατηγοὺς πεποιημένων ἔναγχος, ἡττηθέντας ὑπὸ βαρβάρων, καὶ τοῦ Ἀλεξάνδρου ἡδέως αὐτῶν ἀκούοντος, πραχυνόμενον καὶ ἀγαναχτοῦντα καὶ μεγαλαυχοῦντα ὑπὸ αὐθαδείας καὶ μέθης, καὶ κατ' αὐτοῦ βλασφημοῦντα, πρῶτον μὲν μήλῳ ἔβαλεν. Ἔτι δ' ἀναιδευόμενόν τε καὶ θρασυνόμενον, καὶ τὰ τοῦ Εὐριπίδου ἰαμβεῖα λέγοντα·

Heu quam perversa consuetudo Græciæ est! *Οἵ μοι καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται!*

et qui sequuntur, recenseret: bile effervescente hasta trajectum interfecit, iraque mox sopita, ejus facinoris pœnitens, sibiipsi manus attulisset, nisi a satellitibus cohibitus fuisset. In thalamum illatus, eam noctem et secutam in lacrymis egit, jacuitque desperabundus et tacitus, tantum gravissime suspirans. Neque ullius amici orationem admittebat, donec Aristander augur eum visionis de Clito oblatæ, et de ominibus quibusdam admonuit, quibus fatalem illius 192 casum fuisse arguebat. Tum demum enim minuere luctum cœpit. Impressionem in Indiam facturus, cum apparatos currus videret, primum suis, deinde amicorum injecto igne, postremo etiam Macedonum, comburi jussit. Id factum paucis molestum fuit. Reliqui vero, cum clamore, et quasi afflatu quodam numinis concitati essent, profectionem aggressi, Alexandrum alacritatis ad capessendam militiam implevorunt. Cum vero jam et formidabilis esset, ac delinquentibus inexorabilis, in multa pericula in prœliis incidit, et insignia vulnera accepit. Maxima tamen exercitui pernicies e penuria commeatus et aeris intemperie provenit. Sed ipse ea erat audacia, ut nihil viris fortibus obsistere posse, nihil ignavis tutum

καὶ τὰ λοιπὰ, ὑπερζέσας θυμῷ ὁ Ἀλέξανδρος, αἰχμῇ διελάσας ἀπέκτεινεν. Αὐτίκα δὲ τοῦ θυμοῦ παυθέντος μεταμεληθεὶς, ὥρμησε καὶ ἑαυτὸν ἀνελεῖν, ἐπεσχέθη μέντοι παρὰ τῶν σωματοφυλάκων, καὶ εἰσηνέχθη πρὸς θάλαμον, ἔνθα τὴν νύκτα καὶ τὴν μετ' αὐτὴν ἡμέραν ἐν θρήνοις διαγαγὼν, ἀπειρηκὼς ἔκειτο, ἄϋπνος, στένων μόνον βαρύτατα. Καὶ τῶν φίλων εἰσιόντων πρὸς αὐτὸν, οὐ προσίετο τοὺς λόγους αὐτῶν. Ἀριστάνδρου δὲ τοῦ μάντεως ὄψεως αὐτὸν ἀναμνήσαντος, ἣν εἶδε περὶ τοῦ Κλείτου, καί τινων σημείων ἐκείνῳ γενομένων, καὶ εἱμαρτὸν εἶναι τὸ γενόμενον λέγοντος, ἤρξατο ἐνδιδόναι. Μέλλων δὲ εἰς τὴν Ἰνδικὴν ἐμβάλλειν, συνεσκευασμένων τῶν ἁμαξῶν, πρώταις μὲν ταῖς οἰκείαις ἐνῆκε πῦρ, εἶτα καὶ ταῖς τῶν φίλων, καὶ μετὰ ταῦτα καὶ τὰς τῶν Μακεδόνων καταπρῆσαι ἐκέλευσε. Τοῦτο δὲ γεγονὸς, ὀλίγους μὲν ἐλύπησεν· οἱ δὲ λοιποὶ βοῇ καὶ ἐνθουσιασμῷ πρὸς τὸ ἔργον ὡρμήκασι, καὶ τὸν Ἀλέξανδρον προθυμίας πρὸς τὴν στρατείαν ἐνέπλησαν. Ἤδη δὲ καὶ φοβερὸς ἦν, καὶ ἀπαραίτητος κολαστὴς τῶν πλημμελούντων. Πολλοὶ μὲν οὖν κατὰ τὰς μάχας αὐτῷ συνέπεσον κίνδυνοι, καὶ νεανικοῖς ἀπήντησε τραύμασι. Τὴν δὲ πλείστην φθορὰν τῆς στρατιᾶς ἀπορίαι τῶν ἀναγκαίων καὶ δυσκρασίαι

τοῦ περιέχοντος ἀπειργάσαντο. Αὐτὸς δὲ διὰ τόλμαν οὐδὲν ἧσσον τοῖς θαρσαλέοις ἀνάλωτον, οὐδέ τι ὀχυρὸν τοῖς ἀτόλμοις. Πέτρᾳ δέ τινι ἀποτόμῳ προσβαλὼν σὺν τοῖς νεωτέροις τῶν Μακεδόνων, Ἀλέξανδρόν τινα ἐν τούτοις καλούμενον προσαγορεύσας, Ἀλλά σοί γε, εἶπε, καὶ διὰ τὴν κλῆσιν ἀνδραγαθεῖν προσήκει. Ποταμὸν δὲ βαθὺν τῶν Μακεδόνων περᾶν ὀκνούντων, Τί γάρ, εἶπεν, ὁ κάκιστος ἐγὼ νεῖν οὐκ ἔμαθον; Ὡς δὲ παρῆσαν πρέσβεις πρὸς αὐτὸν ἀπὸ τῶν πολιορκουμένων πόλεων, ὁ πρεσβύτατος αὐτῶν, Ἄκουφις τοὔνομα, ἠρώτησε, τί ἂν ποιοῦντες φίλοι αὐτοῦ λογίζοιντο; Ὁ δὲ Ἀλέξανδρος, Εἰ σὲ μέν, εἶπεν, αἱρήσονται ἄρχοντα, ἐμοὶ δὲ πέμψουσιν ἄνδρας ἑκατὸν τοὺς ἀρίστους. Γελάσας οὖν πρὸς ταῦτα ὁ Ἄκουφις, Ἀλλὰ βέλτιον, εἶπεν, ἄρξω, ὦ βασιλεῦ, εἰ τοὺς κακίστους σοί, καὶ μὴ τοὺς ἀρίστους στελῶ.

esse arbitraretur. Petram quamdam præruptam cum junioribus Macedonum aggressus, quemdam inter eos nomine Alexandrum cohortatus: *At te*, inquit, *vel propter nomen, strenuum esse decet.* Macedonibus profundum quemdam fluvium transire dubitantibus: *Cur*, inquit, *ego omnium mortalium ignavissimus natare non didici?* Cum legati urbium quas obsidebat, ad eum venissent, eorumque natu maximus Acuphis rogaret, *quibus rationibus ejus amicitiam sibi conciliarent?* Alexander respondit: *Si te principem crearint, et mihi vivos præstantissimos centum miserint.* Ad hæc rideus Acuphis: *Atqui*, inquit, *rex melius imperabo, si tibi non optimos, sed pessimos misero.*

ΙΓ'. Ὁ μέντοι Ταξίλης μοίρας ἄρχων τῆς Ἰνδικῆς Παμφόρου τε καὶ εὐδαίμονος, οὐκ ἀποδεούσης Αἰγύπτου, σοφὸς δὲ ὢν ἀνήρ, πέμψας ἠσπάσατο τὸν Ἀλέξανδρον, καὶ, Τί δεῖ πολέμων ἡμῖν, ἔφη, εἰ μήτε ὕδωρ ἀφαιρησόμενος ὑμῶν ἀφῖξαι, μήτε τροφὴν ἀναγκαίαν; τοῖς δ' ἄλλοις εἰ μὲν κρείττων ὦ, ἕτοιμός εἰμι εὖ ποιεῖν· εἰ δὲ ἧττων, οὐ φεύγω χάριν ἔχειν εὖ παθών. Ἡσθεὶς οὖν ἐπὶ τούτοις ὁ Ἀλέξανδρος, Ἐγὼ, φησὶν, ἀγωνιοῦμαι πρὸς σὲ, καὶ διαμαχοῦμαι ταῖς χάρισιν, ὡς μου χρηστὸς ὢν μὴ περιγένῃ. Λαβὼν δὲ δῶρα πολλὰ, καὶ πλείονα παρασχών, τέλος χίλια τάλαντα νομίσματος αὐτῷ ἐδωρήσατο. Σπεισάμενος δέ τινι πόλει τῶν Ἰνδικῶν, ἀπιόντας ἐκεῖθεν τοὺς ἐν αὐτῇ μισθοφοροῦντας τῶν μαχιμωτάτων Ἰνδῶν, ἀπέκτειναν ἅπαντας· ὃ τοῖς αὐτοῦ πολεμικοῖς ἔργοις οἷά τι, κηλὶς πρόσεστιν. Εἶτα πρὸς Πῶρον ἐμαχέσατο, καὶ τοῦτον χώρας Ἰνδικῆς βασιλεύοντα, τὸ μέγεθος τοῦ σώματος ἔχοντα εἰς τέσσαρας πήχεις ἀνατρέχων καὶ σπιθαμήν. Τοῦτον νικήσας καὶ ζῶντα λαβὼν ὁ Ἀλέξανδρος, ἠρώτησε, πῶς ἂν αὐτῷ χρήσαιτο· ὁ δὲ, Βασιλικῶς, ἀπεκρίνατο. Πυνθανομένου δὲ τοῦ Ἀλεξάνδρου, εἴ τι καὶ ἕτερον λέγει, ὁ Πῶρος, Πάντα, ἔφη, τῷ βασιλικῶς ἐνεστιν. Ἀφῆκεν οὖν αὐτὸν, καὶ ἄρχειν ἔδωκε, σατράπην ὀνομαζόμενον, οὐ μόνον ὧν ἦρχε πρώην, ἀλλὰ καὶ ἄλλων πολλῶν. Ἐν ταύτῃ τῇ μάχῃ καὶ ὁ Βουκεφάλας τρωθεὶς, μετὰ καιρὸν ἐτελεύτησεν, ἤδη ὑπέργηρως γεγονώς. Ὁ δὲ Ἀλέξανδρος ἤλγησεν, ὡς τινα φίλον ἀποβαλών. Οἱ μέντοι Μακεδόνες ἐν τῇ πρὸς Πῶρον μάχῃ πεπονηκότες, οὐκ ἐπείθοντο Ἀλεξάνδρῳ, καὶ τὸν Γάγγην ποταμὸν περάσαι βιαζομένῳ, εὖρος μὲν ἔχοντα σταδίους ἑξήκοντα πρὸς δυσὶ (22), βάθος δὲ ὀργυιὰς ἑκατόν. Ὁ δὲ δυσθυμήσας ἀπρόϊτος (23) ἐν τῇ σκηνῇ ἔμενεν, ἥττην λογιζόμενος συγκατάθεσιν τὸ τὸν Γάγγην μὴ παρελθεῖν. Τῶν δὲ φίλων παρακαλούντων, καὶ τῶν στρατιωτῶν ἀντιβολούντων μετὰ κλαυθμοῦ, ἐνδέδωκέ τε καὶ ἀνεζεύγνυε. Πολλὰ δὲ

XIII. Taxiles, qui Indiæ parti omnis generis fructuum feraci ac beatæ, quæque Ægypto nihil cederet, imperabat, vir sapiens, missis legatis Alexandro salutato: *Quid*, inquit, *bello nobis opus est, si huc venisti, ut nobis neque aquam, neque victum necessarium eriperes? cæteris autem rebus, si plus possum, paratus sum ad benefaciendum. Si minus, non recuso pro acceptis beneficiis habere gratiam.* His Alexander delectatus: *Ego*, inquit, *certabo tecum beneficiis, et ne tua benignitate vincar elaborabo.* Acceptisque multis muneribus, pluribus datis, denique mille talenta ei donavit. Pace cum urbe quadam Indica facta, milites qui præsidii causa conducti fuerant e bellicosissimis Indis, **193** ex ea discedentes, universos occidit: quod bellicis ejus operibus ignominiæ veluti maculam quamdam impressit. Deinde cum Poro et ipso Indiæ rege pugnavit, qui staturæ erat quatuor cubitorum et spithamæ. Quem cum victum captumque rogasset, quomodo tractandus esset: Regaliter, inquit. Percontante Alexandro, nunquid aliud vellet, respondit, in regali tractatione inesse omnia. Eum igitur dimissum, satrapen appellavit non earum duntaxat provinciarum quibus prius imperarat, sed et aliarum multarum. In ea pugna Bucephalas etiam vulneratus, paulo post, jam admodum senex, obiit: cujus obitum Alexander non secus doluit, ac si amicum amisisset. Cum Macedones pugna cum Poro commissa fatigati, Alexandro Gangem etiam, cujus latitudo versus occasum stadiorum LXII, profunditas c orgyarum erat, vi transituro, non parerent: animo æger, in tabernaculo desidens, non prodiit in publicum, perinde esse judicans, si Gangem non transisset, ac si victum se confiteretur. Sed amicis obtestantibus et militibus cum ploratu supplicantibus, tandem cessit, exercituque reducto, multa navigia et rates fabricavit, quibus flumina trajiceret, exterius quoque mare inspecturus,

Variæ lectiones et notæ.

(22) Ἑξήκοντα πρὸς δυσὶν. Cod. ms. λ' πρὸς δυσί. Arrianus in lib. *Rer. indicar.* scribit patere Gangem, qua maxime angustus est, ad centum stadia.

(23) Ἀπρόϊτος. Ita mss. codd. Reg. et Colb. Viennensis ἀπρόσιτος. Sed priorem lectionem secutus est ut meliorem interpres.

et prætervigando urbes subegit. Cum autem ad Mallos pervenisset, Indorum pugnacissimos, parum ab interitu abfuit. Nam cum primus per scalas murum conscendisset, iisque comminutis ab hostibus peteretur, impetu in medios hostes desiliit, et casu rectus stetit, ac barbari primum dispersi sunt: sed eum solum esse cum duobus duntaxat armigeris conspicati, ad defensionem conversi, cominus eum feriebant. Quidam vero longius absistens, sagittam ex arcu emissam in ossibus circa mammam defixit: quæ plaga sic eum perculit, ut cederet atque inclinaretur, is vero qui eum icerat, stricto gladio accurreret. Sed Peucestas et Lemnæus regem defendentes, ambo sunt vulnerati, alter etiam mortuus. Alexander autem, propugnante adhuc Peucesta, barbarum a quo vulneratus erat, occidit: multisque vulneribus acceptis, **194** cum in collo etiam tragula ictus esset, ad murum inclinatus, barbaros intuetur. Interim a Macedonibus conglobatis raptus, sensuque destitutus exportatur. Cum autem acies sagittæ ossi inhæreret, in extrahendo telo acerrimis doloribus affectus, in animi deliquia incidit, ut de vita ejus actum putaretur. Tamen periculo evitato, cum longiore tempore curaretur, Macedonibus ejus videndi desiderio tumultuantibus, in medium processit.

A πορθμεῖα καὶ σχεδίας πηξάμενος, ἐκομίζετο διὰ τῶν ποταμῶν, θέλων τὴν ἔξω θάλασσαν ἐπιδεῖν· καὶ παραπλέων ἀπέβαινε, καὶ πόλεις ἐχειροῦτο. Ἐν δὲ Μαλλοῖς γεγονὼς, μαχιμωτάτοις οὖσιν Ἰνδῶν, μικροῦ ἐκινδύνευσε. Πρῶτος γὰρ διὰ κλίμακος ἐπὶ τὸ τεῖχος ἀναβὰς, τῆς κλίμακος συντριβείσης, καὶ τῶν πολεμίων ἐπιτιθεμένων καὶ βαλλόντων αὐτὸν, συστρέψας ἑαυτὸν εἰς μέσους ἄνωθεν ἀφῆκε τοὺς ἐναντίους· καὶ κατὰ τύχην ὀρθὸς ἔστη, καὶ τὸ μὲν πρῶτον οἱ βάρβαροι ἐσκεδάσθησαν. Ἰδόντες δὲ αὐτὸν καὶ δύω μόνους ὑπασπιστὰς, ἐπαναστραφέντες ἠμύνοντο, καὶ ἀγχεμάχοις ὅπλοις ἐτίτρωσκον. Εἷς δ' ἀποστὰς βέλει ἐκ τόξου βαλὼν αὐτὸν, τοῖς περὶ τὸν μαζὸν ὀστέοις τὸ βέλος ἐνέπειρε, καὶ οὕτως αὐτοῦ καθίκετο ἡ πληγὴ, ὡς ἐνδοῦναί τε καὶ καμφθῆναι· ὅθεν ὁ βαλὼν αὐτὸν, μετὰ ξίφους ἐπέδραμε. Πευκέστας δὲ καὶ Λημναῖος ὑπεραπίσαντες, καὶ ἄμφω ἐτρώθησαν, καὶ ὁ μὲν τέθνηκε· Πευκέστας δὲ ἔτι ἠμύνετο, τὸν δὲ τρώσαντα αὐτὸν βάρβαρον ἀνεῖλεν Ἀλέξανδρος. Πολλαχοῦ δὲ τρωθεὶς, εἶτα καὶ κατὰ τοῦ τένοντος ὑπέρῳ βληθεὶς, τῷ τείχει προσερεισθεὶς πρὸς τοὺς βαρβάρους ἀπέβλεπεν. Ἐν τοσούτῳ δ' ἀθροισθέντων τῶν Μακεδόνων, ἁρπασθεὶς εἰς τὴν σκηνὴν ἀναισθητῶν ἐκομίζετο. Ἐνὶ δὲ τῶν ὀστέων τῆς ἀχίδος ἐμπαγείσης, τοῦ οἴστοῦ ἐλκομένου, ὀδύναι δριμεῖαι καὶ λειποθυμίαι ἐγίνοντο, ὡς καὶ θανεῖν ἐκεῖνον ἐλπίζεσθαι (24). Ὅμως μέντοι τὸν κίνδυνον διαδρὰς, καὶ χρόνον πλείω θεραπευόμενος, εἰς θόρυβον τοὺς Μακεδόνας ἐνέβαλε, ποθοῦντας ἰδεῖν αὐτὸν, καὶ προσῆλθεν.

B

XIV. Confirmata valetudine ulterius pergendo, multas provincias et urbes subegit. Cumque quosdam Gymnosophistas cepisset, eisque multas difficiles quæstiones proposuisset, muneribus datis, homines dimisit. Taxiles vero, uni inter illos celebri Calano persuasit, ut Alexandrum conveniret. Is corium aridum projecit, et ejus extrema per vices calcavit: quod dum fieret, aliæ partes attollebantur. Cum autem medium calcasset ac compressisset, totum corium quietum mansit et immobile. Quo exemplo monebat Alexandrum ne in regni extremitatibus se contineret, sed media occuparet, ut et circumjacentia loca in officio continerentur. Septem mensibus per flumina in mare devectus, fertur navibus Oceanum ingressus, indeque reversus, navibus dextram Indicæ regionis oram legere jussis, ipse pedestri itinere proficiscens, in extremam inopiam incidisse: tantamque multitudinem amisisse, ut non quarta exercitus pars, ob morbos, malum victum, æstum et famem, ex India reverteretur. Inopem enim provinciam pertransibat, quæ paucas oves habebat, marinis piscibus ali solitas, insuavi et fœtenti carne. Cæterum ea diebus LX superata, cum Gedrosiam copiosam regionem attigisset, et exercitum et semetipsum comessationibus refecit. Deinde ad mare descendit, et improbos duces multavit. Nam superior expeditio, et ad Mallos acceptum vulnus, et mul-

C

D

ΙΔ'. Ἀναῤῥωσθεὶς δὲ αὖθις παρεκομίζετο, χώραν τε πολλὴν καὶ πόλεις χειρούμενος. Τῶν δὲ γυμνοσοφιστῶν τινας συλλαβὼν, καὶ ἐρωτήσεις αὐτοῖς ἀπόρους προθέμενος, ἐδωρήσατο, καὶ ἀφῆκεν. Ἕνα δὲ τῶν ἐν δόξῃ παρ' αὐτοῖς ὄντων, Κάλανον κεκλημένον, ἔπεισεν ὁ Ταξίλης πρὸς Ἀλέξανδρον ἀφικέσθαι. Οὗτος βύρσαν ξηρὰν ἐνώπιον τοῦ βασιλέως καταβαλὼν, περιῄει τὰ ἄκρα ταύτης πατῶν· ἡ δὲ ἐν μέρει τῶν ἄκρων πιεζομένη τῇ συμπατήσει, τοῖς ἄλλοις ἦρετο μέρεσιν. Εἶτα μέσον αὐτὴν πατήσαντος καὶ συσχόντος, ἡ ὅλη βύρσα ἠτρέμει καὶ ἀκίνητος ἦν. Παρῄνει δὲ διὰ τοῦ ὑποδείγματος, τὸν Ἀλέξανδρον μὴ τοῖς ἄκροις τῆς ἀρχῆς ἐμφιλοχωρεῖν. τὰ μέσα δὲ κατέχειν, ἵν' οὕτω καὶ τὰ πέριξ ἠρέμα ᾖ. Ἑπτὰ δὲ μησὶ διὰ τῶν ποταμῶν εἰς τὴν θάλασσαν ὑπαχθεὶς, λέγεται ταῖς ναυσὶν εἰς τὸν Ὠκεανὸν ἐμβαλεῖν. Εἶτα ἀναστρέφων, τὰς μὲν ναῦς παραπλεῖν ἐν δεξιᾷ τὴν Ἰνδικὴν ἐχούσας, ἐκέλευσεν. Αὐτὸς δὲ πεζῇ πορευόμενος, εἰς ἐσχάτην ἀπορίαν κατήντησε, καὶ πλῆθος τοσοῦτον ἀπώλεσεν, ὥστε τῆς στρατιᾶς μηδὲ τὸ τέταρτον ἐκ τῆς Ἰνδικῆς ἀναχομισθῆναι διὰ νόσους καὶ πονηρὰς διαίτας, καὶ καύματα καὶ λιμόν. Ἄπορον γὰρ διῄει χώραν, ὀλίγα πρόβατα ἔχουσαν, καὶ ταῦτα θαλαττίοις ἰχθύσι τρεφόμενα, καὶ σάρκα μοχθηρὰν ἔχοντα καὶ δυσώδη. Ἐν ἑξήκοντα δ' ἡμέραις διελθὼν τὴν χώραν ἐκείνην, καὶ τῆς Γεδρωσίας ἐψάμενος, ἐν ἀφθόνοις ἐγένετο, καὶ τὴν τε δύναμιν ἀνεκτᾶτο, καὶ αὐτὸς ἐκώμαζε. Καταβαίνων δ' ἐπὶ θά-

Variæ lectiones et notæ.

(24) Ἐλπίζεσθαι. Vide Gloss. med. Græcit. in hac voce.

λασσαν, ἐκβλαζε τοὺς πονηροὺς τῶν στρατηγῶν. Ἡ γὰρ ἄνω στρατεία, καὶ τὸ περὶ Μαλλοὺς τραῦμα, καὶ ἡ τοῦ πλήθους φθορὰ, ἀπιστεῖν τῇ σωτηρίᾳ αὐτοῦ παρεσκεύασε, καὶ τοὺς στρατηγοὺς καὶ σατράπας εἰς ὕβριν καὶ ἀδικίαν ἠρέθισεν· οἱ δὲ πρὸς ἀποστασίαν τοὺς ὑποφόρους ἐκίνησαν. Ἀβουλίτου δὲ τῶν σατραπευόντων ἑνὸς μή τι τῶν ζωαρκῶν ἑτοιμάσαντος, νομίσματα δὲ προσαγαγόντος αὐτῷ τρισχίλια τάλαντα, παραθεῖναι ταῦτα τοῖς ἵπποις ἐκέλευσε. Μὴ ἐσθιόντων δὲ, *Τί ὄφελος*, ἔφη, *τούτων ἡμῖν*; Ἐν δὲ Πέρσαις γενόμενος, καὶ τὸν Κύρου τάφον ὀρωρυγμένον ἰδὼν, ἀπέκτεινε τὸν ὀρύξαντα Πελλαῖον ὄντα, καὶ οὐδὲ τῶν ἀσήμων. Εἶχε δὲ ὁ Κύρου τάφος ἐπιγεγραμμένα ταυτί· *Ὦ ἄνθρωπε, ὅστις εἶ, καὶ πόθεν ἥκεις, ὅτι γὰρ ἥξεις οἶδα, ἐγὼ Κῦρός εἰμι, ὁ Πέρσαις κτησάμενος τὴν ἀρχήν. Μὴ οὖν τῆς ὀλίγης μοι ταύτης τῆς γῆς φθονήσῃς, ἣ τοὐμὸν σῶμα περικαλύπτει.* Ταῦτα δ' ἀναγνωσθέντα τὸν Ἀλέξανδρον περιπαθῆ πεποιήκασι, λογισάμενον τὸ τῶν πραγμάτων ἀστάθμητον. Τὴν δὲ θυγατέρα Δαρείου τὴν Στάτειραν ἑαυτῷ μνηστευσάμενος, καὶ τοὺς γάμους τελῶν, ἑκάστῳ τῶν ἑστιωμένων ἐννακισχιλίων ὄντων φιάλην χρυσῆν ἐδωρήσατο, καὶ τἆλλα τε ἐλαμπρύνατο, καὶ τὰ χρέα ὑπὲρ τῶν ὀφειλόντων κατέβαλεν, ὀλίγῳ δέοντα μυρίων ταλάντων. Ὅτε καὶ Ἀντιγένης τῶν ἡγεμόνων εἰς ὀφείλειν πλασάμενος, καί τινα παραγαγὼν ψευδῶς δανειστὴν, καὶ λαβὼν τὸ ἀργύριον, ἐφωράθη. Ὀργισθεὶς οὖν ὁ βασιλεὺς, ἀπήλασεν αὐτὸν τῆς αὐλῆς, καὶ τὴν ἡγεμονίαν ἀφείλετο. Τοῦ δὲ ὑπὸ λύπης ἑαυτὸν ὑποπτευομένου διαχειρίσασθαι, δείσας ὁ Ἀλέξανδρος, καὶ τὴν ὀργὴν ἀνῆκεν αὐτῷ, καὶ ἀφῆκε τὰ χρήματα. Τῶν δὲ παίδων τῶν τρισμυρίων, οὓς διδάσκεσθαι ἐκέλευσε, καὶ γενναίων ἀποβάντων καὶ εὐπρεπῶν, καὶ οὐχ ἁφυῶν ταῖς ἀσκήσεσιν, ὁ μὲν Ἀλέξανδρος ἥδετο, οἱ δὲ Μακεδόνες ἐδάκνοντο. Καταπέμποντος δὲ τοὺς ἀσθενεῖς καὶ πεπηρωμένους ὡς εἰς θάλασσαν, ὕβριν ἡγεῖσθαι τοῦτ' ἔλεγον καὶ προπηλακισμὸν, καὶ πάντας ἐκέλευον ἀφιέναι, καὶ τοῖς νέοις ἀρκεῖσθαι πυρρίχισταῖς. Ὀργισθεὶς δ' ἐπὶ τούτοις Ἀλέξανδρος, τοῖς Πέρσαις τὰς φυλακὰς παραδέδωκε. Ταπεινωθέντας δ' αὖθις τοὺς Μακεδόνας προσήκατο, καὶ ἀπέλυσε τοὺς ἀχρήστους, δωρησάμενος μεγαλοπρεπῶς· καὶ τῷ Ἀντιπάτρῳ ἐπέστειλε παρὰ τοὺς ἀγῶνάς τε καὶ τὰ θέατρα προεδρεύειν αὐτοὺς, καὶ ἐστεφανωμένους καθέζεσθαι. Ἐν Ἐκβατάνοις δὲ γενομένου αὐτοῦ, ὁ Ἡφαιστίων ἐπύρεττε, καὶ ἐξ ἀκολάστου δι:αίτης τῆς νόσου κρατυνθείσης, ἐξέλιπεν· οὐκ ἤνεγκεν οὖν λογισμῷ τὸ πάθος Ἀλέξανδρος, ἀλλὰ τὸν μὲν ἰατρὸν ἀνεσταύρωσεν, ἵππους δὲ κεῖραι καὶ ἡμιόνους προσέταξε, καὶ τὰς ἐπάλξεις περιεῖλε τῶν πόλεων, καὶ μουσικὴν καὶ αὐλοὺς ἐν τῷ στρατοπέδῳ πολὺν χρόνον κατέπαυσεν. Ἀπιόντος δὲ εἰς Βαβυλῶνα, Νέαρχος ἐπανῆλθεν, εἰσπλεύσας αὖθις εἰς τὸν Εὐφράτην ἐκ τῆς μεγάλης θαλάσσης, λέγων, Χαλδαίους αὐτῷ συγγενέσθαι, βουλεύοντας ἀπέχεσθαι τῆς Βαβυλῶνος Ἀλέξανδρον. Ὁ δὲ μὴ προσχὼν τῷ λόγῳ ἀπῆει. Καὶ πρὸς τοῖς τείχεσι γενομένου, κόρακες ἀλλήλοις μαχόμενοι ἐνώπιον αὐτοῦ

A litudinis interitus, efficiebant ut Alexander superstes esse non crederetur. Unde ducibus et satrapis insolentioribus factis et injustis, populi vectigales ad defectionem spectaverunt. Cum ex satrapis quidam Abulitus nullum commeatum **195** parasset, sed ter mille talenta attulisset, ea equis proponi jussit; qui cum non ederent: *Quæ*, inquit, *nobis est istorum utilitas?* In Persiam profectus, dum Cyri sepulcrum effossum vidisset, effossorem, quamvis non obscurum hominem Pellæum, occidit. Erant autem hæc inscripta sepulcro Cyri: *O homo quisquis es, et undecunque venis (nam te venturum esse scio), ego Cyrus sum, qui Persis imperium peperi. Ne igitur exiguam hanc terram mihi invideas, quæ meum corpus contegit.* Quæ lecta Alexandrum
B moverunt, rerum humanarum inconstantiam reputantem. Darii filia Statira uxore ducta, nuptias celebrans, singulis convivis, qui novies mille fuerunt, phialam auream donavit. Et cum cæteris in rebus splendide se gessit, tum æs alienum pro debitoribus dissolvit, cujus summa circiter x mille talentum fuit. Tum Antigenes quidam ex ducibus, creditore subornato, et ob æris alieni simulationem accepta pecunia, a rege per iracundiam et ducatu privatus est, et aula exactus. Qui cum ex mœstitia sibi manus illaturus esse putaretur, id veritus Alexander, ira posita, pecuniam ei reliquit. Cum autem pueri tricies mille, quos doceri jusserat, in viros fortes et decoros, et in exercitationibus non
C sinistros evasissent, iis ut Alexander delectabatur, ita Macedones mordebantur. Cumque infirmos et mutilatos ad mare mitteret: contumeliam et insectationem id factum interpretabantur, petebantque ut se omnes dimitteret, novis istis saltatoribus contentus. Ob id iratus Alexander, Persis custodias mandavit: sed Macedonibus culpam deprecantibus in gratiam receptis, inutiles magnifice donatos dimisit, atque Antipatro scripsit ut eis in certaminibus et theatris principem locum, et coronas gestandi potestatem daret. Ut Ecbatana venerat, Hephæstion febricitare cœpit, auctoque intemperantia morbo decessit. Eum casum Alexander, non ut ratio postulat, tulit: sed medicum in
D crucem egit, equos et mulos tonderi jussit, et pinnacula dempsit civitatibus, et musicam atque tibias longo tempore in castris inhibuit. Babylonem proficiscenti Nearchus **196** occurrit, navigiis e magno mari in Euphratem revectus: qui nuntiabat, se congressum esse cum Chaldæis, qui Alexandro vitandam esse Babylonem censerent. Verum ille neglecta ea admonitione, pergebat. Cum autem mœnibus propinquasset, corvi inter se dimicantes, coram eo conciderunt. Nuntiatum ei porro est, Apollodorum prætorem Babylonis, pro eo rem divinam fecisse. Quod cum Pythagoras aruspex, qui id sacrum fecerat, non negaret, et de modo sacrificii rogatus, jecur sine capite fuisse dixisset: *Papæ*, inquit, *ut grave istud prodigium est!* aruspicemque indemnem dimisit. Inter alia prodigia

etiam illud fuit: cum vestes deposuisset ut ungeretur, et pila luderet adolescentes, collusores ejus, et ipsi vestes exuturi, vident quemdam in regio solio tacite sedentem, regia veste indutum, et diademate ornatum. Qui cum rogaretur quis esset? diu nulla voce edita, vix tandem respondit, se Dionysium vocari, genere Messenium, et captivum adductum esse propter objecta crimina: sed Serapidem sibi vincula solvisse, et huc perductum jussisse, veste et diademate sumptis, tacite sedere. Eo homine Alexander de vatum consilio e medio sublato, æger animo, sollicitus et perturbatus, nihil non in omen vertebat. Lotus ad Mediam comessatum abiit, ibique nocte in poculis acta, postridie febricitare cœpit. Cumque vehementer sitiret, hausto vino phreneticus decessit. Quidam igitur hoc modo eum obiisse tradunt. Alii narrant, cum dies plures febricitasset, lavisse, itaque aucto morbo mutum jacuisse. Macedones vero, tanquam eo mortuo perturbatos vociferatos esse contra duces, donec apertis foribus Alexandrum in lecto jacentem viderint: qui tum demum decesserit. Quidam aiunt postea rumorem exstitisse veneno exstinctum, quod suasu et ingenio Aristotelis pararit Antipater. Aquam autem esse gelidam et glacialem e petra Nonacrina, tenuis roris instar exundantem, quam ungula asini excipiant. Neque enim ullo alio vase contineri, quin frigiditate et acrimonia ejus rumpatur. Sed plerique hoc ut commentitium refellunt: indicio **197** esse quod cadaver ejus, cum dies complures in locis calidis neglectum jaceret, ducibus inter sese rixantibus, nullam veneni notam habuerit, sed purum manserit, quasi recens esset. Fertur, cum instare sibi necem animadverteret, voluisse clam se in Euphratem demergere, ut e conspectu sublatus opinionem afferret hominibus, se, ut diis genitus esset, ita ad deos rediisse, sed cum Roxane, consilio ejus cognito, obstitisset, cum gemitu dixisse: *Invides mihi, mulier, divinitatis gloriam et immortalitatis.* Sic Alexander ad tantum fortunæ fastigium evectus, decessit.

Α ἔπεσον. Ἤγγελη δ' αὐτῷ, ὡς Ἀπολλόδωρος ὁ στρατηγὸς Βαβυλῶνος, εἴη περὶ αὐτοῦ θύσας· τοῦ δὲ θύσαντος μάντεως, ὃς Πυθαγόρας ὠνόμαστο, μὴ ἀρνησαμένου, ἐρώτησε τὸν τρόπον τοῦ θύματος. Τοῦ δὲ φήσαντος, ἄλοβον εἶναι τὸ ἧπαρ, *Παπαί*, εἶπεν, *ἰσχυρὸν τὸ σημεῖον*. Καὶ τὸν μάντιν ἀθῶον ἀφῆκε. Σημεῖα δ' αὐτῷ καὶ ἄλλα γεγόνασι, καὶ τοῦτο δέ· ἀποδυσαμένου γὰρ πρὸς ἄλειμμα καὶ σφαῖραν αὐτοῦ, οἱ νεανίσκοι οἱ σφαιρίζοντες ἐνδύεσθαι μέλλοντες, ὁρῶσί τινα ἐν τῷ τοῦ βασιλέως θρόνῳ καθήμενον σιωπῇ, ἐνδεδυμένον τὴν στολὴν τὴν βασίλειον, καὶ τὸ διάδημα περικείμενον. Ὃς ἀναχρινόμενος, ὅστις εἴη, ἐπὶ πολὺ μὲν ἄφωνος ἦν, μόλις δέ ποτε Διονύσιος ἔφη καλεῖσθαι, τὸ δὲ γένος εἶναι Μεσσήνιος, δέσμιος δ' ἀχθῆναι διὰ κατηγορίαν, λῦσαι δὲ οἱ τὸν Σάραπιν τὰ δεσμά· καὶ ἀγαγόντα δεῦρο, κελεῦσαι τὴν στολὴν καὶ τὸ διάδημα περιθέσθαι, καὶ καθέζεσθαι σιωπῇ. Τὸν μὲν οὖν ἄνθρωπον ὁ Ἀλέξανδρος, ὡς οἱ μάντεις ὑπετίθουν, ἠφάνισεν· αὐτὸς δὲ ἠθύμει, καὶ περιδεὴς καὶ ταραχώδης γενόμενος, οὐδὲν ἦν ὃ μὴ τέρας πεποιητο. Λουσάμενος δὲ, καὶ πρὸς Μηδίαν παρευθεῖς κωμασόμενος, κἀκεῖ τὴν νύκτα διαγαγὼν ἐν τῷ κόμῳ, καὶ τὴν ἐπιοῦσαν ἡμέραν, ἤρξατο πυρέσσειν. Πυρέττων δὲ καὶ διψήσας σφοδρῶς, ἔπιεν οἶνον, καὶ φρενητιάσας ἀπέθανεν. Εἷς μὲν οὖν ὁ τῆς ἐκείνου τελευτῆς λόγος οὗτος. Ἕτερος δ' ἔχει, ἐφ' ἡμέρας αὐτὸν πυρέττειν πλείους καὶ λούεσθαι, οὕτω δὲ κραταιωθῆναι τὸν πυρετὸν, ὡς ἄφωνον κεῖσθαι αὐτόν· τοὺς δὲ Μακεδόνας θορυβεῖσθαι ὡς θανόντος αὐτοῦ, καὶ καταβοᾷν τῶν ἡγεμόνων, ἕως αὐτοῖς αἱ θύραι ἠνοίχθησαν, καὶ τὸν Ἀλέξανδρον ἐν τῇ κλίνῃ κατεῖδον, καὶ μετὰ ταῦτα ἐξέλιπε. Φασὶ δέ τινες μετέπειτα λόγον γενέσθαι, ὡς ὑπὸ φαρμάκου διέφθαρτο, καὶ τὸν Ἀριστοτέλη Ἀντιπάτρῳ σύμβουλον γενέσθαι τῆς πράξεως, καὶ δι' ἐκείνου κομισθῆναι τὸ φάρμακον. Τὸ δὲ ὕδωρ εἶναι ψυχρὸν καὶ παγετῶδες ἀπὸ πέτρας τινὸς ἐν Νωναχρίδι οὔσης, ὃ δρόσον ὥσπερ λεπτὴν ἀναλαμβάνοντες, εἰς ὄνου χηλὴν ἀποτίθενται· οὐδὲν γὰρ ἕτερον ἀγγεῖον στέγει αὐτὸ, ἀλλ' ὑπὸ ψυχρότητος καὶ δριμύτητος διακόπτεται. Οἱ δὲ πλείους πιπλάσθαι φασὶ, τῷ φαρμάκῳ θανεῖν τὸν Ἀλέξανδρον, καὶ τοῦτο τεκμηριοῦνται ἐκ τοῦ τὸ σῶμα ἐφ' ἡμέρας πλείονας κείμενον ἐν τόποις θερμοῖς ἀτημέλητον, τῶν ἡγεμόνων πρὸς ἀλλήλους στασιασάντων, μηδὲν ἐμφῆναι τοιαύτης φθορᾶς σημεῖον, ἀλλὰ καθαρὸν διαμεῖναι, καὶ δοκεῖν πρόσφατον. Λέγεται δὲ, ὡς γνοὺς ἤδη ἐκλείπειν αὐτῷ τὸ βιώσιμον, ἐβουλήθη ἐς τὸν Εὐφράτην καταποντῶσαι λαθρηδὸν ἑαυτὸν, ἵνα γενόμενος ἀφανὴς, παράσχῃ δόξαν ὡς εἰς θεοὺς μετελήλυθεν, ἐξ ἐκείνων γενόμενος. Ἡ δὲ Ῥωξάνη τοῦτο γνοῦσα, εἶργεν αὐτῷ τὸ ἐγχείρημα. Ὁ δὲ μετ' οἰμωγῆς ἔφη, ὡς *Ἐφθόνησας ἄρα, γύναι, μοι δόξης τοῦ θεωθῆναι, καὶ μὴ θανεῖν;* Ὁ μὲν οὖν Ἀλέξανδρος οὕτως εἰς μέγα τύχης προαχθεὶς, ἐτελεύτησεν.

XV. Hic porro dum Tyrum obsidebat, per litteras a pontifice Judæorum petiit, auxilia sibi mitti, et forum præberi exercitui, sibique ea dari, quæ pensitare Dario soliti essent. Cum autem pontifex se jurejurando obstrictum esse Dario, ne arma contra illum ferret, dixisset, idque vivente illo violaturum negasset: Alexander iratus, se bello petiturum Hierosolyma comminatur, captaque Tyro, contra urbem proficiscitur. At pontifex Joaus ob regis iram anxius, Deum orat, ne populum

Β

C

D

ΙΕ'. Ὅτε δὲ τὴν Τύρον ἐπολιόρκει, ἐπιστείλας τῷ τῶν Ἰουδαίων ἀρχιερεῖ, ἠξίου συμμαχίαν αὐτῷ πέμπειν, καὶ ἀγορὰν τῷ στρατεύματι, καὶ ὅσα Δαρείῳ ἐδασμοφόρουν αὐτῷ διδόναι. Τοῦ δὲ ἀρχιερέως ὅρκους Δαρείῳ δοῦναι φήσαντος, μὴ ἆραι κατ' αὐτοῦ ὅπλα, καὶ τούτους ζῶντος Δαρείου μὴ παραβήσεσθαι· ὀργισθῆ Ἀλέξανδρος, καὶ ἠπείλησε στρατεύειν κατὰ τῆς Ἰουδαίας. Ἄρτι δὲ τὴν Τύρον παρειληφὼς, ἐπὶ τὰ Ἱεροσόλυμα ὥρμησεν. Ὁ δὲ ἀρχιερεὺς Ἰωαδὲ ἐν ἀγωνίᾳ ἦν διὰ τὴν τοῦ βασιλέως ὀργὴν, καὶ τοῦ

Θεοῦ ἐδεῖτο, μὴ ἀποστῆναι τοῦ ἔθνους. Ὁ δὲ Θεὸς κατ' ὕπνους αὐτῷ ἐχρημάτισε θαρρεῖν, καὶ κοσμήσαντας τὴν πόλιν ἀνοῖξαι τὰς πύλας, καὶ αὐτὸν μὲν μετὰ τῶν ἱερέων ταῖς συνήθεσι στολαῖς ὑπαντῆσαι τῷ βασιλεῖ, τὸ δὲ πλῆθος ἐσθῆσι λευκαῖς. Καὶ ὁ μὲν ἐποίησεν ὡς αὐτῷ κεχρημάτιστο. Καὶ ἤδη τοῦ Ἀλεξάνδρου τῇ πόλει προσάγοντος, πρόεισι μετὰ τῶν ἱερέων καὶ τοῦ πλήθους τῆς πόλεως, εἰς τόπον τινά, ὅθεν ἡ πόλις καὶ ὁ ναὸς καθώρατο. Τῶν δ' ἑπομένων τῷ βασιλεῖ, διαρπάζειν κελεῦσαι αὐτὸν τὴν πόλιν λογιζομένων, καὶ τὸν ἀρχιερέα διαφθεῖραι, ὁ Ἀλέξανδρος πόρρωθεν ἰδὼν καὶ τοὺς ἱερεῖς κεκοσμημένους, καὶ τὸ πλῆθος, ὡς εἴρηται, τὸν δὲ ἀρχιερέα ἐνδεδυμένον τὴν ὑακίνθινον στολὴν καὶ διάχρυσον, καὶ ἐπὶ τῆς κεφαλῆς τὴν κίδαριν ἔχοντα, καὶ τὸ χρυσοῦν ἐπ' αὐτῆς ἔλασμα, ᾧ τὸ τοῦ Θεοῦ ὄνομα ἐπεγέγραπτο, μόνος προσελθών, προσεκύνησε, καὶ τὸν ἀρχιερέα ἠσπάσατο. Ἐπὶ τούτῳ οἱ μὲν ἄλλοι ξύμπαντες κατεπλάγησαν. Παρμενίων δὲ καὶ ἠρώτησε, τί δή ποτε τὸν τῶν Ἰουδαίων προσεκύνησεν ἀρχιερέα; Ὁ δέ· Οὐ τοῦτον, εἶπε, τὸν δὲ Θεὸν προσεκύνησα, οὗ τῇ ἀρχιερωσύνῃ οὗτος τετίμηται. *Τοῦτον γὰρ ἐν τοῖς ὕπνοις εἶδον, ἐγγὺς ὢν ἔτι Μακεδονίας, ἐν τῇ στολῇ ταύτῃ· καί μοι φροντίζοντι πῶς ἂν τῆς Ἀσίας κρατήσαιμι, μὴ μέλλειν παρεκελεύετο, καὶ αὐτὸς ἡγεῖσθαί μοι τῆς στρατιᾶς ἐπηγγέλλετο, καὶ τὴν Περσῶν παραδώσειν ἀρχήν. Οὐδένα οὖν ἐν τοιαύτῃ στολῇ θεασάμενος, ἀλλ' ἢ τοῦτον, ἄρτι τῆς ὄψεώς τε τοῦ ἐνυπνίου ἐμνήσθην, καὶ σὺν Θεῷ τὴν στρατείαν νομίζω πεποιημένος, τὸν Δαρεῖον ἡττήσειν, καὶ τὴν Περσῶν ἀρχὴν κατακτήσασθαι.* Ταῦτα εἰπὼν, καὶ τὸν ἀρχιερέα δεξιωσάμενος, τὴν πόλιν εἰσελήλυθε· καὶ εἰς τὸ ἱερὸν ἀναβάς, ἔθυσε τῷ Θεῷ, ὡς ἀφηγεῖτο ὁ ἀρχιερεύς. Καὶ τὴν Δανιὴλ εἶδε βίβλον, ἐν ᾗ τινα τῶν Ἑλλήνων τὴν Περσῶν βασιλείαν καταλύσειν ἐγγέγραπται, καὶ ἤσθη ἐπ' αὐτῇ. Καὶ ὅστις ἠτήσαντο Ἰουδαῖοι, ἐπλήρωσε. Ταῦτα ἰδόντες οἱ Σαμαρεῖται, καὶ αὐτοὶ οὐ πόρρω τῶν Ἱεροσολύμων τῷ Ἀλεξάνδρῳ ὑπήντησαν, ἐσκευασμένοι λαμπρῶς, καὶ παρεκάλουν τιμῆσαι αὐτὸν τῇ παρουσίᾳ καὶ τὸ παρ' αὐτοῖς ἱερόν. Ὁ δὲ, Ἥξω, ἔφη, ὅθ' ὑποστρέφω. Αἰτουμένων δὲ χαρίσασθαι αὐτοῖς ὅσα τοῖς Ἰουδαίοις, τίνες εἰσὶν, ἐπυνθάνετο. Οἱ δὲ Ἑβραῖοι ἔφασαν εἶναι, χρηματίζειν δὲ οἱ ἐν Σικίμοις Σιδώνιοι. Καὶ ὅς, εἰ Ἰουδαῖοι εἶεν, πάλιν ἠρώτησεν. Ὡς δ' οὐκ εἶναι κατέθεντο, Ἔγωγε, εἶπεν, Ἰουδαίοις ἐχαρισάμην ἃ αἰτεῖσθε ὑμεῖς. Τὸ δὲ ἐν τῷ Γαριζὶν ὄρει ἱερὸν εἰς καταφύγιον τῶν παρανομούντων ἐγίνετο· εἰ γάρ τις κοινοφαγήσας, ἢ ἄλλο τι παρανομήσας ὑπὸ αἰτίαν ἐγίνετο, παρὰ τοὺς Σικιμίτας κατέφευγε. Τοῦ δὲ ἀρχιερέως Ἰωαδὲ τελευτήσαντος Ὀνίας ὁ παῖς αὐτοῦ τὴν ἀρχιερωσύνην παρέλαβε.

destituat : quem Deus in somnis bono animo esse jubet : ac portis apertis et urbe exornata ipsum cum sacerdotibus solito habitu, populum candidis vestibus regi obviam prodire. Facit ille, ut jussus erat. Alexandro jam appropinquante, cum sacerdotibus et urbana multitudine in locum quemdam prodit, unde et urbs et templum conspiciebatur. Militibus autem opinantibus regem jussurum urbem diripi, et pontificem occidi : Alexander cum sacerdotes et populum, ut ante dictum est, ornatos vidisset, ac pontificem hyacinthina et inaurata stola indutum, cidari capiti imposita, et auream in eo laminam, cui Dei nomen inscriptum erat : solus accessit, atque adoravit, pontificemque salutavit. Eo facto cum cæteri omnes obstupuissent, Parmenio etiam rogare ausus est, cur Judæorum pontificem adorasset? Cui respondit se non illum, sed Deum, cujus ille sacerdotio ornatus esset, adorasse : *Nam hunc*, inquit, *in somnis vidi, dum adhuc parum a Macedonia recessissem, in hoc habitu. Is me de Asia subigenda cogitantem* **198** *hortabatur, ne cunctarer, et promittebat seipsum fore ducem exercitus, et regnum Persarum mihi traditurum. Cum autem neminem adhuc, præter istum modo, tali habitu viderim, tum visionis nocturnæ sum recordatus, tum Deo auctore bello moto me Darium superaturum confido, et regno Persarum potiturum.* His dictis, et dextera sacerdoti porrecta, urbem est ingressus. Cumque in templum ascendisset, Deo victimas ex præscripto pontificis immolavit : ac Danielis libro viso, quo scriptum est, regnum Persicum a Græco evertendum esse, lætatus : omnibus Judæorum postulatis annuit. Quo Samaritani viso, et ipsi prope Hierosolyma Alexandro occurrerunt, splendide ornati, petentes, ut suum quoque templum præsentia sua ornare vellet. Id se in reditu facturum promisit Alexander. Cum autem rogarent ut sibi quæ Judæis tribuisset, concederet, qui essent, rogavit. Illis respondentibus, se Hebræos esse, cæterum Sicimatas Sidonios appellari : denuo rogavit, an Judæi essent? Negantibus illis, dixit se quæ illi peterent, Judæis concessisse. Templum porro Garizinium, refugium erat eorum qui patrias leges violarant. Nam si quis immundis cibis usus esset, aut alioqui a more majorum recessisset, ad Sicimitas se recipiebat, Pontifice Joado mortuo, Onias filius ejus pontificatum iniit.

ΙϚ'. Θανόντος δὲ Ἀλεξάνδρου (25), εἰς τέσσαρας

XVI. Post Alexandri porro obitum, ejus impe-

Variæ lectiones et notæ.

(25) *Θανόντος δὲ Ἀλεξάνδρου.* Hanc post Alexandri obitum provinciarum direptionem ex Satyro, veteri scriptore, ut et Ptolemæorum genealogiam, attigit præ cæteris Eudocia Augusta, Diogenis Romani imp. uxor, in Ioniis, ex quibus, quia inedita, haud ingratum forte lectori videbitur, si qualiacunque sunt hoc loco describantur (*a*). Ἐπειδὴ δὲ εἰς τὴν τῶν Πτολεμαίων προσηγορίαν κατηντήσαμεν, φέρε καὶ τὴν ἐξ ἀρχῆς τοῦ γένους αὐτῶν καταγωγήν τε καὶ διαδοχὴν παρεκβατικώτερόν πως διεξέλθωμεν· Ἡρακλεῖδαι γὰρ καὶ αὐτοί· Σάτυρος τοὺς τῶν Ἀλεξανδρέων δήμους ἱστορῶν, ἀρξάμενος

(*a*) Nonnihil differunt ab editis Villoisoni *Anecdot. Gr.* I. 366.

rium in partes quatuor est distractum : ac Asia potitus Antigonus, reliquis partibus ii quorum supra facta est mentio. Qui cum inter sese dissiderent, et bella continua exsistebant, et urbes vexabantur. Ptolemæus autem Lagus, qui et Servator vocabatur, longe aliter quam pro cognomento suo tractavit Syriam, et Hierosolyma dolo occupavit. Nam urbem, per speciem sacrificandi Sabbato ingressus, sine labore domuit : Judæis voluntatem ejus ignorantibus, et propter Sabbatum non resistentibus. Gente autem ad hunc modum subacta, acerbissime imperavit, et multos captivos in Ægyptum abduxit. Inter Samaritanos porro et Hierosolymitanos contentiones fuere, cum utrique sui templi sanctitatem celebrarent, in co- **199** que victimas immolari oportere dicerent. Ptolemæo, quadragesimo Ægyptiaci regni anno defuncto, filius Philadelphus successit. Qui operam dedit, ut Scripturæ Hebraicæ in linguam Græcam transferrentur : et Hierosolymitas qui in Ægypto serviebant, liberavit. Nam cum in libris conquirendis multum studii poneret : Demetrium Phalereum bibliothecæ præposuit. Qui aliquando a rege interrogatus, quot librorum millia comparasset ? circiter xx respondit esse jam collecta. Esse autem apud Hebræos etiam libros de illorum

ἀρχὰς ἡ ἐκείνου βασιλεία διῆρητο, καὶ τῆς μὲν Ἀσίας Ἀντίγονος ἦρξε, τῶν δὲ λοιπῶν οἱ προγεγραμμένοι (26). Τούτων δὲ πρὸς ἀλλήλους στασιαζόντων, πόλεμοί τε συνεχεῖς ἦσαν, καὶ ἐκακοῦντο αἱ πόλεις. Ὁ δὲ Πτολεμαῖος ὁ Λάγος ὁ τῆς Αἰγύπτου βασιλεύων, ὃς καὶ Σωτὴρ ἐχρημάτιζε, τῇ τε Συρίᾳ τἀναντία τῇ ἐπικλήσει αὐτοῦ γέγονε, καὶ τὰ Ἱεροσόλυμα δόλῳ κατέσχεν. Εἰσελθὼν γὰρ εἰς τὴν πόλιν Σαββάτῳ ὡς θύσων, ἀπόνως ταύτης ἐκράτησεν. Οἱ γὰρ Ἰουδαῖοι μή τε τὴν διανοιαν εἰδότες αὐτοῦ, καὶ διὰ τὴν ἡμέραν ἐν ἀργίᾳ ὄντες οὐκ ἀντέστησαν· κρατήσας δ' οὕτω τοῦ ἔθνους, πικρότατα ἦρχε, καὶ πολλοὺς λαβὼν αἰχμαλώτους εἰς Αἴγυπτον ἀπήγαγε, καὶ κατῴκισε. Τοῖς δ' ἐν Ἱεροσολύμοις στάσεις πρὸς τοὺς Σαμαρείτας ἐγένοντο, τῶν μὲν Ἱεροσολυμιτῶν τὸ παρ' αὐτοῖς ἱερὸν καλούντων ἅγιον, καὶ τὰς θυσίας ἐν αὐτῷ γενέσθαι δεῖν λεγόντων, τῶν δὲ Σικιμιτῶν τὸν ἐν τῷ Γαριζὶν ὄρει σεμνυνόντων ναόν. Τεσσαράκοντα δ' ἔτη τοῦ Λάγου Πτολεμαίου βασιλεύσαντος τῆς Αἰγύπτου, καὶ τελευτήσαντος, ὁ παῖς αὐτοῦ Πτολεμαῖος ὁ Φιλάδελφος διεδέξατο τὴν ἀρχὴν, ὃς τάς τε Γραφὰς τὰς Ἑβραϊκὰς (27) ἐκ τῆς πατρίου γλώττης εἰς Ἑλλάδα μεταβληθῆναι διάλεκτον ἔσπευσε, καὶ τοὺς δουλεύοντας ἐν Αἰγύπτῳ τῶν Ἱεροσολυμιτῶν ἠλευθέρωσε. Συλλογὴν γὰρ βιβλίων ποιήσασθαι βουληθείς, καὶ περὶ ταύτην φιλοτιμού-

Variæ lectiones et notæ.

ἀπὸ τοῦ Φιλοπάτορος τοῦ καὶ Πτολεμαίου προσαγορευθέντος, τοῦτου μηνύει Διονύσιον ἀρχηγέτην γεγονέναι. Λέγει οὖν ὁ Σάτυρος οὕτως· Διονύσου καὶ Ἀλθαίας τῆς Θεστίου γεγενῆσθαι Δηϊάνειραν. Τῆς δὲ καὶ Ἡρακλέους τοῦ Διὸς Ὕλλον· τοῦ δὲ Ἀριστόμαχον· τοῦ δὲ Τήμενον· τοῦ δὲ Χειστόν· τοῦ δὲ Μάρωνα· τοῦ δὲ Θέστιον· τοῦ δὲ Ἀκοόν· τοῦ δὲ Ἀριστομήδαν· τοῦ δὲ Καρανόν· τοῦ δὲ Κοινόν· τοῦ δὲ Τυρίμμαν· τοῦ δὲ Περδίκκαν· τοῦ δὲ Φίλιππον· τοῦ δὲ Ἀέροπον· τοῦ δὲ Ἀλκετάν· τοῦ δὲ Ἀμύνταν· τοῦ δὲ Βόκρον· τοῦ δὲ Μελέαγρον· τοῦ δὲ Ἀλσινόην· τῆς δὲ καὶ Λάγου Πτολεμαῖον καὶ Σωτῆρα· τοῦ δὲ καὶ Βερονίκης Πτολεμαῖον τὸν Φιλάδελφον· τοῦ δὲ καὶ Ἀρσινόης Πτολεμαῖον τὸν Εὐεργέτην· τοῦ δὲ καὶ Βερονίκης τῆς Μέγα τοῦ ἐν Κυρήνῃ βασιλεύσαντος Πτολεμαῖον τὸν Φιλάδελφον. Ἡ μὲν οὖν πρὸς Διόνυσον τοῖς ἐν Ἀλεξανδρείᾳ βασιλεύσασι συγγένεια οὕτω περιέχει. Ἡ δὲ τῆς Πτολεμαίου βασιλείας ἀρχὴ τοιουτοτρόπως τὴν πρόφασιν ἔσχε. Μετὰ Δαρείου ἐβασίλευσεν Ἀρταβάνης μῆνας ἑπτά. Μετὰ δὲ Ἀρταβάνην ἐβασίλευσεν Ἀρταξέρξης ὁ Μακρόχειρ ἔτος τεσσαράκοστον πρῶτον· ἐφ' οὗ Σοφοκλῆς, καὶ Ἡράκλειτος, καὶ Ἀναξαγόρας, καὶ Πυθαγόρας, καὶ Θουκιδίδης, καὶ Εὐριπίδης, καὶ Ἡροδότης, καὶ Ἐμπεδοκλῆς, καὶ Διογένης, καὶ Ζήνων, καὶ Φερεκύδης, καὶ Ἀρίσταρχος, καὶ Ἱπποκράτης, καὶ Παρμενίδης, καὶ Πλάτων, καὶ Ἀριστοτέλης, καὶ Δημοσθένης κατά τινας ἐγνωρίζοντο. καὶ Σωκράτης ὃς φανλίσας τοὺς νόμους τῶν Ἑλλήνων, θανατοῦται, τὸ κώνειον πιὼν ἐν τῷ δεσμωτηρίῳ. Μετὰ δὲ Ἀρταξέρξην ἐβασίλευσεν ἄλλος Ἀρταξέρξης, καὶ οἱ καθεξῆς ἕως Δαρείου Ἀλσάμου· ὃν Ἀλεξανδρος ὁ τῶν Μακεδόνων βασιλεὺς ἕκτον ἄγων ἔτος τῆς βασιλείας χειρωσάμενος, καθεῖλε τὴν Περσῶν βασιλείαν διαρκέσασαν ἀπὸ Κύρου μέχρι Δαρείου ἔτη σλ'. Τῆς δὲ ἰῶν Μακεδόνων βασιλείας κατασχούσης ἀπὸ Κραναοῦ ἕως Ἀλεξάνδρου ἔτη φιή', καὶ τούτου τελευτήσαντος ἐν Βαβυλῶνι, διαιροῦνται τὴν βασιλείαν οἱ παῖδες αὐτοῦ καὶ μεγιστᾶνες· τῆς μὲν Μακεδονίας Φίλιππος ἐβασίλευσε, τῆς δὲ Ἀσιας πάσης Ἀντίγονος ἐκράτησε. Τῆς δὲ Συρίας καὶ Βαβυλωνίας καὶ Παλαιστίνης Σέλευκος ἐβασίλευσεν ὁ Νικάνωρ. Ὃς καὶ πόλεις κτίσας δύο εἰς τὰ μέρη Κιλικίας, καὶ ἄλλην ἐν Συρίᾳ τὴν μὲν Σελευκίαν ὠνόμασε· τὴν δὲ Ἀντιόχειαν, τὴν δὲ Λαοδίκειαν εἰς τὸ ἑαυτοῦ ὄνομα, καὶ τοῦ αὐτοῦ υἱοῦ Ἀντιόχου, καὶ τῆς θυγατρὸς Λαοδικίας. Καὶ οἱ μὲν τῆς Συρίας βασιλεύσαντες μετὰ Ἀλέξανδρον, οὗτοί εἰσι, μετὰ Σέλευκον τὸν Νικάνορα, Ἀντίοχος, ὁ υἱὸς αὐτοῦ ὁ ἐπικληθεὶς Σωτὴρ, Ἀντίοχος ὁ Νόθος, Σέλευκος ὁ Καλλίνικος, Ἀλέξανδρος, Ἀντίοχος, Σέλευκος ὁ Φιλοπάτωρ, Ἀντίοχος ὁ Ἐπιφανὴς, Ἀντίοχος ὁ Εὐπάτωρ, Δημήτριος. Σέλευκος, Ἀλέξανδρος ὁ τοῦ Βαλά, Δημήτριος ὁ Νικάνωρ, Ἀντίοχος, Τρύφων, Πτολεμαῖος, Ἀντίοχος ὁ Σιδήτης, Δημήτριος, Ἀντίοχος ὁ Γρυπὸς, Ἀντίοχος ὁ Κυζικηνὸς, Σέλευκος ὁ τοῦ Γρυποῦ, ἐφ' οὗ ἡ Ἀντιόχεια ὑπὸ Ῥωμαίων ἥλω, καὶ ἡ τῆς Συρίας ἀρχὴ κατελύθη, διαρκέσασα ἔτη σν'. Τῆς δὲ Αἰγύπτου Πτολεμαῖος ἐβασίλευσεν ὁ Λάγου, καὶ οἱ καθεξῆς Πτολεμαῖοι, ἕως Κλεοπάτρας θυγατρὸς Διονύσου· οἱ δὲ τῆς Αἰγύπτου βασιλεύσαντες μετὰ Ἀλέξανδρόν εἰσιν οἵδε· Πτολεμαῖος ὁ Λάγου, ἐφ' οὗ Μένανδρος ὁ Κωμωδοποιὸς ἐγνωρίζετο, καὶ Θεόφραστος ὁ Φιλόσοφος· Πτολεμαῖος ὁ Φιλάδελφος, ἐφ' ᾧ οἱ, ἑβδομήκοντα Ἑβραίων σοφοὶ τὸν νόμον ἡρμήνευσαν· Πτολεμαῖος ὁ Εὐεργέτης, Πτολεμαῖος ὁ Φιλάδελφος ὁ υἱὸς αὐτοῦ, Πτολεμαῖος ὁ Φιλοπάτωρ, Πτολεμαῖος ὁ Ἐπιφανὴς, Πτολεμαῖος ὁ Φιλομήτωρ, Πτολεμαῖος ὁ Εὐεργέτης, Πτολεμαῖος ὁ Σωτὴρ, Πτολεμαῖος ὁ Ἀλέξανδρος, Πτολεμαῖος ὁ ἀδελφὸς αὐτοῦ, Πτολεμαῖος ὁ Διόνυσος, Κλεοπάτρα ἡ ταύτου θυγάτηρ, ἣν Αὔγουστος ἀνελὼν ἐν ἔτει κδ' τῆς ἑαυτοῦ βασιλείας, ἐκράτησε τῆς Αἰγύπτου, καθελὼν τὴν βασιλείαν τῶν Πτολεμαίων διαρκέσασαν ἔτη σ'.

(26) *Τῶν δὲ λοιπῶν οἱ προγεγραμμένοι.* Scilicet Seleucus, Ptolemæus, Antigonus, Antipater, Aridæus, Perdiccas, de quibus supra egit. W.

(27) *Περὶ εἴκοσιν.* Sic quod ms. Wolfius verteral ec reposuimus xx ut est in textu Græco.

θόντων κτείνειν τοὺς συμβουλεύσαντας Ἀλεξάνδρῳ τὴν τῶν ὀκτακοσίων διαφθοράν. Ἕνα δὲ τέως αὐτοὶ σφάττουσι, καὶ ἐπ' ἐκείνῳ ἄλλου ἐπ' ἄλλοις, ἕως οἱ δυνατοὶ παρελθόντες εἰς τὰ βασίλεια, καὶ Ἀριστόβουλος σὺν αὐτοῖς (οὐ γὰρ ἠρέσκετο τοῖς δρωμένοις) πολλὰ εἰκόντες, καὶ τοὺς ἤδη φθαρέντας ἀποκλαυσάμενοι, εἰς οἶκτον τῶν κινδυνευόντων τοὺς παρόντας ἐκίνησαν, καὶ εἰς δάκρυα. Ἀριστόβουλος δὲ τὴν μητέρα διὰ ταῦτα κατῃτιᾶτο. Ἡ δὲ οὐκ εἶχεν ὅ τι καὶ πράξειε. Κατὰ τοῦτον τὸν καιρὸν ἀγγέλλεται Τιγράνης σὺν στρατιᾷ μεγάλῃ εἰς τὴν Συρίαν ἐμβεβληκὼς, καὶ ἐπὶ τὴν Ἰουδαίαν ἀφιξόμενος. Τοῦτο ἐφόβησε καὶ τὸ ἔθνος καὶ τὴν βασίλισσαν, καὶ δῶρα πολλὰ καὶ πολλοῦ ἄξια καὶ πρέσβεις αὐτῷ πέμπουσι, τὴν Πτολεμαΐδα πολιορκοῦντι. Ὁ δὲ ταῦτά τε ἐδέξατο, καὶ χρηστὰ ἐπηγγέλλετο. Ἄρτι δὲ τὴν Πτολεμαΐδα πορθήσαντι, ἀγγέλλεταί οἱ Ἀκέλαος εἰς Ἀρμενίαν ὁρμήσας, καὶ διὰ τοῦτο ἀνεχώρει πρὸς τὴν οἰκείαν. Τῆς δὲ βασιλίσσης δεινῶς νοσησάσης, Ἀριστόβουλος λάθρα ὑπεξελθὼν, ἦει ἐπὶ τὰ φρούρια, ὅπου οἱ πατρῷοι κατετάχθησαν φίλοι, μόνης τῆς γυναικὸς αὐτοῦ συνειδυίας τῇ πράξει, καὶ ὑπεδέχθη παρ' αὐτῶν. Αἰσθομένη δὲ ἡ μήτηρ αὐτοῦ τὴν ἀπόδρασιν, καὶ ὅτι πάντα τὰ φρούρια ὑπηγάγετο, ἐν μεγάλῃ ἦν ταραχῇ καὶ αὐτὴ καὶ τὸ ἔθνος· ἔθεντο δὲ τὴν γυναῖκα αὐτοῦ καὶ τοὺς παῖδας εἰς τὸ ὑπὲρ τοῦ ἱεροῦ φρούριον. Ὑρκανὸς δὲ καὶ οἱ τῶν Ἰουδαίων πρεσβύτεροι, μαθόντες ὡς ἐν ἡμέραις πεντεκαίδεκα χωρίων εἴκοσι καὶ δύο ἐκράτησεν ὁ Ἀριστόβουλος, καὶ πολλὰ συνήγαγε χρήματα, καὶ συνήθροιζε στράτευμα, ἐξέοντο τῆς βασιλίσσης ὑποθέσθαι γνώμην περὶ Ἀριστοβούλου. Ἡ δὲ οὐκέτι μέλειν αὐτῇ τῶν πραγμάτων εἰποῦσα, ὡς ἤδη ἐκλείπουσα, ἐφῆκε πράττειν αὐτοῖς, ὃ συμφέρον κρινοῦσι. Καὶ μετ' οὐ πολὺ τετελεύτηκε, βασιλεύσασα ἔτη ἐννέα, βιώσασα δὲ τρία καὶ ἑβδομήκοντα. Τῆς Ἀλεξάνδρας μέντοι θανούσης, εὐθὺς πόλεμον κατὰ τοῦ ἀδελφοῦ ὁ Ἀριστόβουλος ἦρατο, καὶ πολλοὶ τῶν στρατιωτῶν Ὑρκανοῦ αὐτομολοῦσι πρὸς Ἀριστόβουλον. Ὁ δὲ φεύγει πρὸς τὴν ἀκρόπολιν, ἔνθα καὶ ἡ Ἀριστοβούλου γυνὴ καὶ οἱ παῖδες πρὶν κατεκλείσθησαν. Εἰς λόγους δὲ ἐλθόντες οἱ ἀδελφοὶ, λύουσι τὴν ἔχθραν, ὥστε βασιλεύειν μὲν τὸν Ἀριστόβουλον, Ὑρκανὸν δὲ ζῆν ἀπραγμόνως. Ὅρκοις οὖν ἐμπεδώσαντες τὰς συνθήκας, ὁ μὲν ἀνεχώρησεν εἰς τὰ βασίλεια, εἰς δὲ τὴν οἰκείαν Ἀριστοβούλου ὁ Ὑρκανός. Ἀντίπατρος δέ τις Ἰδουμαῖος, φίλας ὢν Ὑρκανοῦ, στασιώδης δὲ καὶ δραστήριος, καὶ εὐπορῶν χρημάτων πολλῶν, λάθρα τοῖς δυναστεύουσι τῶν Ἰουδαίων διαλεγόμενος, καὶ πρὸς Ὑρκανὸν διαβάλλων τὸν Ἀριστόβουλον, ὡς κτείναι αὐτὸν βουλευόμενον, πείθει πρὸς Ἀρέταν βασιλέα τῶν Ἀράβων φυγεῖν. Καὶ πέμπει τὸν Ἀντίπατρον πρὸς Ἀρέταν ὁ Ὑρκανὸς, πίστεις λαβόμενον, ὡς οὐκ ἐκδώσει αὐτὸν τοῖς ἐχθροῖς, προσελθόντα αὐτῷ. Λαβὼν δὲ πίστεις, ὑπέστρεψεν ὁ Ἀντίπατρος, καὶ συμπαραλαβὼν τὸν Ὑρκανὸν νύκτωρ, ἦκεν ἄγων αὐτὸν εἰς τὴν καλουμένην Πέτραν πρὸς τὸν Ἀρέταν. Παρακάλει οὖν ὁ Ὑρκανὸς αὐτὸν καταχθῆναι ὑπὲ

illos perimendi. Ac initio uno occiso, post alios atque alios trucidabant : donec viri potentes cum Aristobulo, cui illa non placebant, regiam ingressi, multis verbis factis, et occisis deploratis, eos qui ibi erant ad misericordiam periclitantium, et ad lacrymas commoverunt. Aristobulus etiam cum matre propterea expostulavit; ea vero quod faceret non habebat. Sub id tempus nuntiatur, Tigranem cum ingenti exercitu impressionem fecisse in Syriam, et in Judæam venturum. Ea fama et populus et regina territi, multa munera magni pretii per legatos ad eum Ptolemaidem obsidentem mittunt. Quibus ille acceptis, eos bonis animis esse jussit. Sed modo Ptolemaide, de Acelai in Armeniam impressione certior factus, domum se ad sua tuenda recipit. Cum autem regina graviter ægrotaret, Aristobulus clam egressus, castella adiit, quibus paterni amici præerant, sola uxore ejus rei conscia, et ab iis susceptus est. Cujus fuga et castellorum omnium occupatione mater cognita, non ipsa tantum, sed populus etiam admodum perturbati, uxorem ejus et liberos in castellum quod supra templum est, transtulerunt. Hyrcanus vero et Judæorum seniores, ubi didicerunt Aristobulum diebus xv castellis xxii potitum esse, ac magnam pecuniam et exercitum coegisse, reginam orarunt, ut exponeret quid de illo statuendum esset? Ea vero se res non amplius curare, ut quæ jamjam moritura esset, dixit, et ipsis permisit, ut ea agerent quæ ex re publica esse judicarent. Nec multo post exstincta est, anno regni ix, ætatis ii et lxx. Matre defuncta, Aristobulus statim Hyrcano fratri, militibus illius multis ad ipsum deficientibus, bellum infert : qui cum in arcem, in qua dudum Aristobuli uxor et liberi conclusi fuerant, **222** confugisset, fratres colloquio habito, inimicitias ea conditione ponunt, ut Aristobulus regnum teneat, Hyrcanus in otio degat. His pactis jurejurando sancitis, Aristobulus in regiam se confert, in Aristobuli ædes Hyrcanus. Cæterum Idumæus quidam Antipater, Hyrcani amicus, homo factiosus, strenuus, et pecuniis abundans, clam cum Judæorum proceribus colloquendo, et Aristobulum quasi vitæ fratris insidiantem calumniando, auctor est Hyrcano, ad Arabiæ regem Aretam confugiendi. Itaque Hyrcanus Antipatrum illo mittit, ut fidem ab eo accipiat, se non deditum iri hostibus, si ad illum se receperit. Ea impetrata reversus Antipater, Hyrcanum nocte secum Petram perducit : regem orat Hyrcanus, ut in Judæam reductum, in regnum restituat. Quod si fiat, pollicetur se ei et provinciam et xii urbes redditurum, quas pater suus Alexander Arabibus ademerit. Aretas igitur expeditione suscepta, Aristobulum acie victum, multis ad Hyrcanum deficientibus, Hierosolyma compellit : impetuque facto, in templo obsidet, etiam plebe Hyrcani partes secuta, solis sacerdotibus Aristobulum defendentibus. Cum autem Judæi Oniam, virum justum et Deo charum

qui aliquando in æstu et siccitate imbrem a Deo precibus impetrarat, rogarent, ut Aristobulum cum sua factione devoveret, non paruit, sed cum cogeretur: *O Deus rex universi*, inquit, *quia et ii qui mihi astant, tui sunt, et sacerdotes qui obsidentur, iidem tui: oro, ut neque his contra illos, neque his contra hos opem feras.* Hac precatione peracta, statim virum lapidibus obruerunt. Neque vero multo post numen ejus impietatis pœnas exegit, violento turbine frugibus regionis vastatis.

Α αὐτοῦ εἰς τὴν Ἰουδαίαν, καὶ εἰς τὴν βασιλείαν ἀποκαταστῆναι, ὑπισχνούμενος, εἰ ταῦτα γένοιτο, δώσειν αὐτῷ τήν τε χώραν καὶ τὰς δώδεκα πόλεις, ἃς Ἀλέξανδρος ὁ πατὴρ αὐτοῦ τῶν Ἀράβων ἀφείλετο. Καὶ ὁ Ἀρέτας ἐστράτευσεν ἐπὶ τὸν Ἀριστόβουλον, καὶ τῆς μάχης κρατεῖ. Πολλῶν οὖν πρὸς τὸν Ὑρκανὸν αὐτομολησάντων, εἰς Ἱεροσόλυμα ὁ Ἀριστόβουλος ἔφυγε. Καὶ ὁ Ἄραψ, τῷ ἱερῷ προσβαλών, ἐπολιόρκει τὸν Ἀριστόβουλον, προστιθεμένου καὶ τοῦ δήμου τῷ Ὑρκανῷ, μόνων τῶν ἱερέων τῷ Ἀριστοβούλῳ παραμενόντων. Ὀνίαν δέ τινα, ἄνδρα δίκαιον καὶ θεοφιλῆ, ὃς, αὐχμοῦ ποτε γενομένου, εὐχῇ τὸν Θεὸν δυσωπήσας, ἔλυσε τὴν ἀνομβρίαν, ἠξίουν οἱ Ἰουδαῖοι εὔξασθαι κατὰ Ἀριστοβούλου καὶ τῶν μετ' αὐτοῦ. Ὁ δ' οὐκ ἐπείθετο. Ὡς δὲ ἐβιάσθη, Ὦ Θεὲ βασιλεῦ τῶν ὅλων, εἶπεν, ὅτι καὶ οἱ μετ' ἐμοῦ ἑστηκότες σοί εἰσι, σοὶ δὲ καὶ οἱ πολιορκούμενοι ἱερεῖς, δέομαι, μήτε κατὰ τούτων ἐκείνοις ἐπαρήξῃς, μήτε κατ' ἐκείνων τούτοις. Καὶ αὐτίκα τὸν ἄνδρα περιστάντες, κατέλευσαν. Οὐκ εἰς μακρὰν δὲ τὸ Θεῖον δίκας αὐτοὺς εἰσεπράξατο τῆς ἀσεβείας, πνεύματος βιαίου πνεύσαντος, καὶ τὸν τῆς χώρας καρπὸν διαφθείραντος.

VI. Scaurus porro a Pompeio in Armenia bellum cum Tigrane gerente, in Syriam missus, legatos ab Aristobulo et Hyrcano accepit, utroque auxilia postulante, et Aristobulo se conjunxit, cccc talentis acceptis: jussoque Areta discedere, alioqui a Romanis hostem judicatum iri, obsidionem discussit. Ea soluta, Aristobulus moto contra Aretam et Hyrcanum bello, utrumque vincit. Non multo post **223** Pompeio Damascum profecto, cum multis aliis ex locis, tum ex Judæa legati venerunt, Aristobuli munus vitem auream C talentum ferentes; quam se Josephus Romæ vidisse asserit, in Capitolio dedicatam. Legatis denuo venientibus, Antipatro pro Hyrcano, Nicodemo pro Aristobulo, Pompeius ipsos inter quos controversia sit, adesse jubet. Cum autem Judæi, eorumque duces Damascum venissent, alii regnum detrectabant, patrium enim esse, ut pontificibus pareant: illos vero, quamvis sacerdotalis sint generis, sacerdotium regno commutasse. Hyrcanus vero fratrem accusabat, quod principatu ob ætatis prærogativam sibi attributo, ab illo spoliatus esset, multis etiam aliis criminibus in illum congestis, Antipatri opera amplius mille probatissimorum Judæorum suffragantibus. Aristobulus contra, Hyrcanum ob ignaviam ingenii, quæ contemptum ei facile pareret, imperium amisisse, quod sibi necessario vindicandum fuerit, ne ab aliis occuparetur: neque se alium quam quo pater usus esset, titulum usurpare. Pompeius vim quidem fecisse Aristobulum decernit: sed tum clementer eos allocutus, interim quiescere jubet, donec ipse in Judæam veniret: tum enim se ordinaturum esse omnia. Sed cum Aristobulus eo non exspectato, in Judæam recessisset, et Alexandrium castellum occuparet: Pompeius iratus, bello suscepto, eum ad se venire jussit. Hic hortantibus amicis ne Romanis adversaretur, descendit, causaque dicta, eo unde venerat, rediit. Ac Pompeio jubente ut munitiones

Β Γ'. Πεμφθεὶς δὲ παρὰ Πομπηΐου ἐν Ἀρμενίᾳ πολεμοῦντος Τιγράνῃ, Σκαῦρος εἰς Συρίαν πρέσβεις ἐδέξατο παρά τε Ἀριστοβούλου καὶ Ὑρκανοῦ, συμμαχεῖν ἀξιοῦντος ἑκατέρου. Λαβὼν οὖν ὑπ' Ἀριστοβούλου τετρακόσια τάλαντα, αὐτῷ προσετέθη. Καὶ κελεύσας ἀναχωρεῖν τὸν Ἀρέταν, ἢ πολέμιον Ῥωμαίων κριθήσεσθαι, ἔλυσε τὴν πολιορκίαν. Ἧς λυθείσης, ὁ Ἀριστόβουλος ἐπὶ Ἀρέταν καὶ Ὑρκανὸν ἐξεστράτευσε, καὶ συμβαλὼν νικᾷ. Μετ' οὐ πολὺ δὲ Πομπηΐου ἀφικομένου εἰς Δαμασκόν, ἦκον πρέσβεις πολλαχόθεν τε καὶ ἐξ Ἰουδαίας, δῶρον ἐξ Ἀριστοβούλου μέγα κομίζοντες, ἄμπελον χρυσῆν ἐκ πεντακοσίων ταλάντων. Ταύτην φησὶν ὁ Ἰώσηπος ἐν Ῥώμῃ θεάσασθαι, τῷ ἐν Καπιτωλίῳ (34) ἀνατεθειμένην Διΐ. Καὶ αὖθις ἦκον πρὸς αὐτὸν Ἀντίπατρος μὲν ὑπὲρ Ὑρκανοῦ, ὑπὲρ δὲ Ἀριστοβούλου Νικόδημος. Ὁ δὲ αὐτοὺς ἐλθεῖν τοὺς διαφισβητοῦντας ἐκέλευσεν. Ἀφικομένων δέ γε εἰς Δαμασκὸν τῶν Ἰουδαίων καὶ τῶν ἡγεμόνων αὐτῶν, οἱ μὲν ἠξίουν μὴ βασιλεύεσθαι· πάτριον γὰρ εἶναι αὐτοῖς παρὰ τῶν ἀρχιερέων ἄρχεσθαι· τούτους δὲ τοῦ γένους ὄντας ἐκείνου, εἰς βασιλείαν τὴν ἀρχὴν μεταθεῖναι. Ὑρκανὸς δὲ κατηγόρει τοῦ ἀδελφοῦ, ὅτι τῆς ἀρχῆς αὐτῷ νεμηθείσης διὰ τὴν πρεσβυγένειαν, ὑπ' ἐκείνου ταύτην ἁφῄρητο, καὶ ἄλλα κατ' αὐτοῦ συνείρων πολλὰ αἰτιάματα. Συνεφθέγγοντο δὲ αὐτῷ ταῦτα λέγοντι καὶ τῶν δοκιμωτάτων Ἰουδαίων πλείους ἢ χίλιοι, Ἀντιπάτρου παρασκευάσαντος. Ἀριστόβουλος δὲ τοῦ μὲν ἐκπεσεῖν τῆς ἀρχῆς τὸν Ὑρκανὸν τὴν ἐκείνου φύσιν αἰτίαν εἰσήγαγεν, ἄπρακτον οὖσαν, καὶ διὰ τοῦτο εὐκαταφρόνητον· αὐτὸς δ' ἐξ ἀνάγκης ἔλεγεν αὐτὴν ὑπελθεῖν, φόβῳ τοῦ μὴ πρὸς ἄλλους γενέσθαι αὐτὴν, ὀνομάζεσθαι δὲ ὅπερ καὶ ὁ πατήρ. Πομπήϊος δὲ βίαν μὲν κατέγνω Ἀριστοβούλου, πράως δὲ τότε προσομιλήσας αὐτοῖς, ἡσυχίαν τέως ἄγειν ἐκέλευσεν· ἐλθὼν δ' εἰς τὴν χώραν, διατάξειν ἕκαστα ἐπηγγέλλετο. Οὐκ ἀναμείνας μέντοι ὁ Ἀριστόβουλος, εἰς τὴν Ἰουδαίαν ἀπῆρε. Καὶ ὁρισθεὶς ὁ Πομπήϊος, ἐστράτευσε κατ' αὐτοῦ. Συμπεφευγότος

Variæ lectiones et notæ.

(34) *Τῷ ἐν Καπιτωλίῳ.* Ms. τῷ Καπιτωλίῳ, *Jovi Capitolino.*

δ' εἰς ἔρυμα, καλούμενον Ἀλεξάνδριον, ἐκέλευε πρὸς αὐτὸν ἥκειν. Ὁ δὲ τῶν φίλων μὴ πολεμεῖν Ῥωμαίοις ἀξιούντων, κάτεισι· καὶ δικαιολογησάμενος, πάλιν ὅθεν ἦκεν ὑπέστρεψε. Κελεύοντος δὲ Πομπηΐου παραδιδόναι τὰ ἐρύματα, καὶ αὐτοχείρως ἐπιστεῖλαι τοῖς φρουράρχοις (ἀπείρητο γὰρ τούτων ἄλλως ἀφίστασθαι), πείθεται μέν, δυσανασχετῶν δὲ ἀνεχώρησεν εἰς Ἱεροσόλυμα, καὶ πολεμεῖν ἡτοιμάζετο. Πομπηΐῳ δὲ στρατεύοντι ἐπ' αὐτὸν ἡ Μιθριδάτου μεμήνυτο τελευτή, ἐκ Φαρνάκου τοῦ παιδὸς αὐτοῦ γενομένη. Περὶ Ἰεριχοῦντα δὲ γεγονότι, οὗ τὸ ὁποβάλσαμον τρέφεται, τῶν μύρων τὸ ἀκρότατον, ὃ τῶν βάμνων τεμνομένων ὀξεῖ λίθῳ ἀναπιδύει ὥσπερ ὀπός, πρόσεισιν ὁ Ἀριστόβουλος αὐτῷ, καὶ ἱκέτευε παύσασθαι τοῦ πολέμου, χρήματά τε διδοὺς, καὶ εἰς τὰ Ἱεροσόλυμα αὐτὸν εἰσδεχόμενος, ὥστε πράττειν ὃ βούλεται. Ὁ δὲ, συγγνοὺς αὐτῷ, πέμπει Γαβήνιον ἐπὶ τὰ χρήματα καὶ τὴν πόλιν. Τῶν δὲ Ἀριστοβούλου στρατιωτῶν οὐκ ἐώντων τὰς συνθήκας πληρωθῆναι, ἄπρακτος ἐπανῆλθεν ὁ Γαβήνιος· ἦκε δὲ ἐπὶ τὴν πόλην Πομπήϊος, καθείρξας τὸν Ἀριστόβουλον. Οἱ δ' ἔνδον οὐχ ὡμονόουν. Τοῖς μὲν γὰρ ἐδόκει δέχεσθαι τὸν Πομπήϊον, τοῖς δ' Ἀριστοβούλου τοὐναντίον, οἳ, καὶ τὸ ἱερὸν κατειληφότες, εἰς πολιορκίαν παρεσκευάζοντο. Οἱ δ' ἄλλοι τὴν πόλιν ἐγχειρίζουσι Πομπηΐῳ, καὶ τὰ βασίλεια. Ὁ δὲ ἐντὸς στρατοπεδευσάμενος, ἐπολιόρκει τὸ ἱερόν. Ἀλόντος δὲ περὶ τρίτον μῆνα, ἐπεισφρήσαντες οἱ πολέμιοι, ἔσφαζον τοὺς ἐν αὐτῷ. Οἱ δὲ οὐδὲν ἧττον ἦσαν ἱερουργοῦντες καὶ θύοντες, φόνου δὲ πάντα μεμέστωτο. Οἱ μὲν γὰρ τῶν Ἰουδαίων ὑπὸ Ῥωμαίων, οἱ δ' ὑπ' ἀλλήλων ἐσφάττοντο, ἢ καὶ ἑαυτοὺς κατεχρήμνιζον. Παρῆλθε δὲ εἰς τὸ ἐντὸς τοῦ ναοῦ τὸ ἅβατον ὁ Πομπήϊος, καὶ τῶν περὶ αὐτόν τινες, καὶ εἶδον ὅσα τοῖς ἄλλοις πλὴν τῶν ἀρχιερέων ἦσαν ἀθέατα. Οὐδενὸς μέντοι τῶν ἐν αὐτῷ ἀναθημάτων ἢ τῶν χρημάτων ἥψατο δι' εὐσέβειαν. Τῇ δ' ὑστεραίᾳ καθάρσι παραγγείλας τὸ ἱερὸν, καὶ θύειν νομίμως, τὴν ἀρχιερωσύνην παρέδωκεν Ὑρκανῷ, τοὺς αἰτίους τοῦ πολέμου πελέκει διαχρησάμενος, καὶ τὰ Ἱεροσόλυμα ποιήσας Ῥωμαίοις ὑπόφορα. Πομπήϊος δὲ ἐπὶ Ῥώμην ἀπιὼν, ἐπήγετο τὸν Ἀριστόβουλον δεδεμένον, καὶ τοὺς παῖδας αὐτοῦ. Ἦσαν δὲ αὐτῷ δύο θυγάτρια, καὶ τοσοῦτοι υἱοί, ὧν ὁ πρεσβύτερος Ἀλέξανδρος ἀπέδρα, καὶ τὴν Ἰουδαίαν κατέτρεχεν, ὕστερον μὴ δυναμένου τοῦ Ὑρκανοῦ αὐτῷ ἀντικαθίστασθαι.

A traderet, et castellorum præsidibus sua manu scriberet (alioqui enim iis cedere non licebat), pare: ille quidem, sed indignabundus Hierosolyma profectus, ad bellum se parat. Pompeio contra illum ducenti, Mithridati cædes a filio Pharnace patrata nuntiatur: et ad Hierichunta progresso, ubi opobalsamum nascitur, unguentorum præstantissimum, quod fruticibus acuto lapide incisis, instar succi exsudat, Aristobulus occurrit, supplicans, ut bellum omittat: se pecuniam ei daturum, et Hierosolymis recepturum esse pollicens, quidvis agendi potestate permissa. Ille data venia, **224** Gabinium ad pecuniam et urbem accipiendam mittit. Quo, Aristobuli militibus pacta perfici prohibentibus, re infecta reverso, ipse Pompeius Aristobulo in vincula con- B jecto, ad civitatem venit non consentientem, aliis Pompeium recepturis, Aristobuli vero factione contrarium censente, quæ templo occupato, ad tolerandam obsidionem se parabat. Urbe autem et regia a cæteris Pompeio traditis, et castris in ipsa urbe positis, ac templo tertio mense expugnato, milites eos qui intus erant, trucidabant, nihilo secius sacris operantes, et victimas immolantes: ac cædibus referta erant omnia, Judæis partim a Romanis, partim a sese intercuntibus, vel gladio vel præcipitatione. Pompeius vero cum quibusdam ex suis adytum templi ingressus est, eaque vidit quæ non nisi pontificibus videre fas est: neque tamen, qua erat pietate, quidquam vel ex donariis, C vel ex pecuniis attigit. Postridie populum hortatus, ut templum repurgarent, et rite immolarent, Hyrcano pontificatum restituit: bellique auctoribus securi percussis, et tributo Hierosolymis imposito, Romam rediens Aristobulum vinctum cum duabus filiabus, totidemque filiis secum abduxit. Quorum natu major Alexander arrepta fuga, post Judæam incursavit, neque ei resistere Hyrcanus potuit.

Ζ'. Ὡς δὲ Γαβήνιος εἰς Συρίαν ἦκε, πέμπει πρὸς τὸν Ἀλέξανδρον Ἀντώνιον Μάρκον μετὰ στρατεύματος. Καὶ γενομένης μάχης, κτείνουσιν οἱ Ῥωμαῖοι τῶν πολεμίων περὶ τρισχιλίους, καὶ οὐκ ἐλάττους ζωγροῦσι. Καταφυγόντος δὲ Ἀλεξάνδρου ἐπί τι ἔρυμα, λεγόμενον Ἀλεξάνδριον, ἐπολιόρκει τοῦτο. Διαπρεσβεύεται οὖν πρὸς Γαβήνιον ὁ Ἀλέξανδρος, συγγνώμην αἰτῶν, καὶ παραδίδωσιν ἃ κατεῖχεν ἐρύματα. Ὁ δὲ ἀρχιερεὺς Ὑρκανὸς εἰς Ἱεροσόλυμα κατήχθη παρὰ τοῦ Γαβηνίου. Ὁ μέντοι Ἀριστόβουλος, διαδρὰς ἐκ Ῥώμης, καὶ εἰς τὴν Ἰουδαίαν ἐλθὼν, τειχίζειν ἐπειρᾶτο τὸ Ἀλεξάνδριον, ἄρτι κατεσκαμμένον. Ὁ δὲ Γαβήνιος στέλλει τοὺς κωλύσοντας αὐτὸν, ἢ καὶ συλλήψομένους. Ἠολλοὶ δὲ τῷ Ἀριστοβούλῳ τῶν Ἰουδαίων προσέρρυτον, ὧν οἱ πλείους ἐτύγχανον ἄοπλοι. Τοιούτους μὲν οὖν ἀπέλυσεν Ἀριστόβουλος, τοὺς δ' ὡπλισμένους ὄντας περὶ ὀκτακισχιλίους εἶχε μεθ'

VII. Gabinius autem cum in Syriam venisset, M. Antonium cum exercitu contra Alexandrum mittit, qui prælio commisso hostium ad tria millia D cecidit, non paucioribus captis. Alexander autem in castello, quod Alexandrium vocabatur, obsessus, veniam a Gabinio per legatos impetrat, munitionibus quas tenebat traditis, Hyrcanusque pontifex ab eodem Gabinio Hierosolyma reducitur. Aristobulus vero cum Roma in Judæam profugisset, ac Alexandrium modo eversum instaurare conaretur: Gabinius copias misit, quæ id prohiberent, aut ipsum etiam comprehenderent. Sed cum multi Judæi majori ex parte inermes ad Aristobulum confluerent, cæteris dimissis, solos armatos qui ad VIII millia fuere, retinuit: ii a Romanis prælio victi, partim cæduntur, partim dissipantur. Aristobulus vero **225** cum mille viris Machæruntem se

contulit : ac biduo post sauciatus et captus, una cum Antigono filio fugæ socio ad Gabinium perducitur, et denuo Romam missus, in vinculis tenetur, regno et pontificatu triemium functus. Gabinius vero Ægyptum profectus, atque inde reversus, reperit Alexandrum cum magno exercitu Judæam obeuntem, et obvios quosque Romanos trucidantem. Cum eo igitur triginta Judæorum millia ducente, juxta montem Itabyrium congressus, circiter decem millia occidit, et Hierosolymitanis rebus ex Antipatri sententia constitutis, et aliis magni imperatoris operibus editis, provincia Crasso tradita, Romam discessit. Crassus autem Judæam ingressus, templi Hierosolymitani pecuniam, quæ bis mille talenta erant, abstulit, atque omnem templi ornatum spoliavit, qui ad talenta auri octies mille æstimabatur. Rapuit et trabem ex auri ccc minis fabrefactam. Mina porro Judaica libras binas et semissem pendit. His acceptis, contra Parthos profectus, cum exercitu interiit. Unde Cassius fuga elapsus, in Judæam ascendit. Apud quem, ut et apud Idumæos, multum potuit Antipater : ibique uxore Arabica ducta, nomine Cypro, quatuor suscepit filios, Phasaelum, Herodem, Josephum, Pheroram, et filiam Salomen. Aliquanto post Caius Julius Cæsar, post Pompeii et maximæ partis senatus fugam, Aristobulum vinculis solutum cum exercitu in Syriam mittit : qui antequam eo venisset, a Pompeianis veneno sublatus est, Alexander ejus filius, jussu Pompeii, a Scipione securi percussus. Post Pompeii interitum Antipater Cæsari in Ægypto gerenti bellum, strenuam operam totius belli tempore navavit, ubi etiam vulnus accepit : et cum Antigonus quoque Aristobuli filius ad Cæsarem venisset, potens ut sui misereretur principatu dejecti, et patris sui memoriam ob illum interfecti renovaret : Antipater, qui tum ibi aderat, sua defensione id effecit, ut Cæsar Hyrcano, qui causa meliore niti videretur, sacerdotium confirmaret, et ipse Judææ procurator constitueretur. Itaque Cæsare Romam abeunte, suscepta **226** rerum Judææ cura, quia Hyrcanum tardum et socordem esse cernebat, Phasaelum filium natu maximum Hierosolymorum et finitimarum civitatum prætorem designat : Herodem, illi ætate proximum, admodum adolescentem, Galilææ præficit. Qui cum generoso esset animo, magistratu in virtutis materiam converso, Ezechiam latronum ducem cum magno globo Syriam finitimam prædantem, comprehensum, ejusque sociorum plurimos occidit. Unde Syris charus, etiam in Sexti Cæsaris, qui cognatus Magni Cæsaris Syriæ præturam gerebat, notitiam pervenit. Est et Phasaelus fratrem æmulatus. Quæ res effecerunt, ut Antipater et a gente Judaica regio honore coleretur, et una cum filiis procerum invidiam susciperet, metuen-

A ἑαυτοῦ. Καὶ μάχης αὐτοῖς πρὸς Ῥωμαίους συγχροτηθείσης, ἡττῶνται Ἰουδαῖοι, καὶ φεύγουσι· καὶ οἱ μὲν κτείνονται, σκεδάννυνται δὲ οἱ λοιποί. Ἀριστόβουλος δὲ μετὰ χιλίων εἰς Μαχαιροῦντα συνέφυγε μετὰ τοῦ παιδὸς Ἀντιγόνου, συναποδράντος ἐκ Ῥώμης αὐτῷ. Μετὰ δὲ δύω ἡμέρας τραυματισθεὶς ἑάλω, καὶ σὺν τῷ υἱῷ Ἀντιγόνῳ αἰχμάλωτος πρὸς Γαβήνιον ἄγεται, καὶ ἀναπέμπεται αὖθις εἰς Ῥώμην, καὶ δεθεὶς κατείχετο, βασιλεύσας καὶ ἀρχιερατεύσας ἔτη τρία. Γαβήνιος δὲ ἀπῆει εἰς Αἴγυπτον. Ἐπανελθὼν δὲ ἐκεῖθεν, εὗρε τὸν Ἀριστοβούλου παῖδα Ἀλέξανδρον, στρατεύματι μεγάλῳ τὴν χώραν ἐπιόντα, καὶ ὅσοις ἐντύχοι τῶν Ῥωμαίων πάντας κτιννύοντα. Συμβαλὼν οὖν τούτῳ περὶ τὸ Ἰταβύριον ὄρος, τρισμυρίους ἄγοντι Ἰουδαίους, κτείνει περὶ μυρίους. Καταστησάμενος δὲ τὰ ἐν Ἱεροσολύμοις, ὡς ὁ Ἀντίπατρος ἤθελε, καὶ ἄλλα δὲ στρατηγήσας ἔργα μεγάλα, εἰς Ῥώμην ἀπῆρε, Κράσῳ παραδοὺς τὴν ἀρχήν. Οὗτος δὲ ὁ Κράσος, εἰς τὴν Ἰουδαίαν ἐλθών, τὰ ἐν τῷ ἱερῷ χρήματα, ὧν οὐχ ἥψατο ὁ Πομπήϊος (ἦσαν δὲ ὀκτακισχίλια τάλαντα), πάντα ἀφείλετο, καὶ τὸν ναὸν περιδύσας τὸν κόσμον πάντα ἐσύλησεν, εἰς τάλαντα χρυσοῦ ὀκτακισχίλια ἀριθμούμενον. Ἔλαβε δὲ καὶ δοκὸν σφυρήλατον, ἐκ χρυσοῦ μνῶν τριακοσίων πεποιημένην. Ἡ δὲ μνᾶ παρ' Ἰουδαίοις ἕλκει λίτρας δύο καὶ ἡμίσειαν. Ταῦτα λαβών, ἐπὶ Πάρθους ἐξώρμησε, καὶ ἐφθάρη σὺν τῷ στρατεύματι. Κάσσιος δὲ, εἰς Συρίαν ἐκεῖθεν φυγών, εἰς τὴν Ἰουδαίαν ἀνέβη. Μέγα γοῦν παρ' αὐτῷ ἐδύνητο ὁ Ἀντίπατρος, καὶ παρὰ Ἰδουμαίοις, παρ' οἷς ἄγεται (35) γυναῖκα ἐξ Ἀραβίας, Κύπρον ὄνομα, ἐξ ἧς αὐτῷ τέσσαρες ἐγένοντο υἱοί, Φασάηλος καὶ Ἡρώδης, Ἰωσὴφ καὶ Φερώρας, καὶ θυγάτηρ Σαλώμη. Χρόνῳ δὲ ὕστερον Καῖσαρ Ἰούλιος Γάϊος κατασχὼν τὴν Ῥώμην, μετὰ τὸ Πομπήϊον καὶ τὸ πλέον τῆς συγκλήτου ἐκεῖθεν φυγεῖν, λύσας τὸν Ἀριστόβουλον, εἰς Συρίαν ἔπεμψε σὺν στρατεύματι. Ἀλλὰ φθάσαντες οἱ τὰ Πομπηΐου φρονοῦντες φαρμάκῳ τὸν Ἀριστόβουλον διαφθείρουσι. Σκηπίων δὲ, ἐπιστείλαντος αὐτῷ Πομπηΐου, τὸν Ἀριστοβούλου Ἀλέξανδρον ἐπελέκισε. Μετὰ δὲ τὸν Πομπηΐου θάνατον Καίσαρι πολεμοῦντι κατ' Αἴγυπτον, εἰς πολλὰ χρήσιμον ἑαυτὸν παρέσχεν Ἀντίπατρος, ὥστε τὸν Καίσαρα κεχρῆσθαι αὐτῷ εἰς πάντα τὸν πόλεμον, ὅπου καὶ τρωθῆναι συμβέβηκεν αὐτόν. Ἐλθὼν δὲ καὶ Ἀντίγονος τότε ὁ Ἀριστοβούλου πρὸς Καίσαρα, ἐδεῖτο λαβεῖν οἶκτον αὐτοῦ τῆς ἀρχῆς ἐκβεβλημένου, καὶ τοῦ πατρὸς ἀνεμίμνησκε, καὶ ὡς δι' αὐτὸν ἀποθάνοι. Παρὼν δὲ καὶ ὁ Ἀντίπατρος ἀπελογεῖτο. Δοξάντων δὲ τῶν λόγων αὐτοῦ ἐπικρατεστέρων, ὁ Καῖσαρ Ὑρκανῷ μὲν τὴν ἀρχιερωσύνην ἐπεβεβαίωσεν, Ἀντίπατρον δὲ ἀπέδειξε τῆς Ἰουδαίας ἐπίτροπον. Ὡς δὲ Καῖσαρ εἰς τὴν Ῥώμην ἀπῆει, ὁ Ἀντίπατρος τὰ κατὰ τὴν Ἰουδαίαν καθίστα. Βραδὺν δὲ ὁρῶν καὶ νωθῆ τὸν Ὑρκανὸν, Φασάηλον μὲν τὸν πρεσβύτατον τῶν παίδων, Ἱεροσολυμιτῶν καὶ τῶν πέριξ στρατηγὸν ἀποδείκνυσι· τὸν

Variæ lectiones et notæ.

(35) *Παρ' οἷς ἄγεται.* Ita mss. et Josephus lib. XIV, παρ' ὧν.

δὲ μετ' αὐτὸν Ἡρώδην, ὄντα λίαν νεώτατον, τῆς Γαλιλαίας προϊστήσατο. Γενναῖος δ' ὢν ὁ Ἡρώδης τὸ φρόνημα, ἀφορμὴν εἰς ἐπίδειξιν ἀρετῆς τὴν ἀρχὴν ἐποιήσατο, καὶ τὸν ἀρχιληστὴν Ἔζεκίαν σὺν μεγάλῳ στίφει τὰ προσεχῆ τῆς Συρίας λῃζόμενον συλλαβών, κτείνει, καὶ πλείστους τοὺς σὺν αὐτῷ ὅλεν τοῖς Σύροις περίλητο. Ἐγένετο δὲ διὰ τοῦτο καὶ Σέξτῳ Καίσαρι γνώριμος, ὄντι τοῦ μεγάλου Καίσαρος συγγενεῖ, καὶ ἄρχοντι τῆς Συρίας. Ζηλεῖ δὲ τὸν ἀδελφὸν καὶ Φασάηλος. Ταῦτα δὲ ἐποίει τιμῆς ὑπὸ τοῦ ἔθνους τυγχάνειν βασιλικῆς τὸν Ἀντίπατρον. Οἱ δὲ ἐν τέλει τῶν Ἰουδαίων διὰ ταῦτα ἐθάρσυνον τῷ Ἀντιπάτρῳ καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ ἐδεδίεσαν, ὁρῶντες βίαιον καὶ τολμηρὸν τὸν Ἡρώδην, καὶ τυραννίδος ἐρῶντα, καὶ κατηγόρουν Ἀντιπάτρου πρὸς Ὑρκανὸν, καὶ ἠρέθιζον κατ' αὐτοῦ καὶ τῶν παίδων αὐτοῦ, λέγοντες μὴ ἐπιτρόπους εἶναι τῶν τῆς βασιλείας πραγμάτων, ἀλλὰ δεσπότας. Καὶ γὰρ τὸν Ἡρώδην κτεῖναι τὸν Ἔζεκίαν, καὶ πολλοὺς τῶν σὺν ἐκείνῳ, τοῦ νόμου ἀπειρηκότος, ἄνθρωπον ἀναιρεῖσθαι, κἂν πονηρὸς εἴη, εἰ μὴ πρότερον ὑπὸ τοῦ συνεδρίου κατακριθῇ. Ὑρκανὸς δὲ τούτοις ἠρέθιστο εἰς ὀργήν· προσεξῆψαν δὲ τὴν ὀργὴν καὶ αἱ μητέρες τῶν ὑπὸ Ἡρώδου πεφονευμένων, παρακαλοῦσαι ἵνα δίκας ὑπόσχῃ τῶν πεπραγμένων. Κινηθεὶς οὖν ὁ Ὑρκανὸς, Ἡρώδην ἐκάλει δικασόμενον. Ὁ δὲ ἦκε μετὰ στίφους ἀποχρῶντος αὐτῷ, ὥστε μὴ γυμνὸν καὶ ἀφύλακτον εἶναι πρὸς δίκην. Ἐλθὼν δὲ ἐν τῷ συνεδρίῳ μετὰ τοῦ στίφους, κατέπληξεν ἅπαντας, καὶ οὐδεὶς ἐθάρρει κατηγορεῖν αὐτοῦ, ἀλλ' ἦν ἀπορία τοῦ τί χρὴ ποιεῖν. Εἷς δέ τις, Σαμαῖος ὀνόματι, δίκαιος ἀνὴρ, καὶ παρρησίᾳ, ὡς λέων, εἶπεν· Ὦ ἄνδρες, *οὐκ οἶδά τινα τῶν κεκλημένων εἰς δίκην οὕτω παραστάντα, οὔτε ὑμεῖς, οἶμαι. Ἀλλὰ κἂς κριθησόμενος, δεδιότος παρίσταται σχήματι. Ὁ δὲ βέλτιστος Ἡρώδης, φόνων δίκην φεύγων, ἔστηκε, περὶ αὑτὸν ἔχων ὁπλίτας, εἰ κατακριθείη κατὰ τὸν νόμον, κτενοῦντας ἡμᾶς. Ἀλλ' Ἡρώδην μὲν οὐ μεμψαίμην, ὑμᾶς δὲ τοσαύτην ἄδειαν παρασχόντας αὐτῷ. Ἴστε τοίνυν δίκαιον τὸν Θεὸν, καὶ ὡς οὗτος ὃν νῦν δι' Ὑρκανὸν ἀπολῦσαι βούλεσθε, κολάσει ὑμᾶς ποτε, καὶ αὐτὸν Ὑρκανόν.* Ὅτι δὲ ταῦτα εἰς ἔργον ἐξέβη, δηλώσει προϊὼν ὁ λόγος. Ὑρκανὸς δὲ εἰς ἄλλην ἡμέραν τὴν δίκην ὑπερέθετο, καὶ λάθρα ὑπέθετο τῷ Ἡρώδῃ τὴν πόλιν ὑπεξελθεῖν. Καὶ ὁ μὲν ἀπῆει, οἱ δὲ τοῦ συνεδρίου ἠγανάκτουν. Σέξτου δὲ τὴν στρατηγίαν τῆς Κοίλης Συρίας χρημάτων τῷ Ἡρώδῃ ἀποδομένου, οὐ πολὺ τὸ ἐν μέσῳ παρῆλθε. Καὶ ἦκεν Ἡρώδης σὺν στρατιᾷ ὀργιζόμενος κατὰ Ὑρκανοῦ, ὅτι ὅλως εἰς δίκην ἐκλήθη. Ἐκώλυσαν δὲ αὐτὸν τοῖς Ἱεροσολύμοις προσβαλεῖν ὁ πατὴρ καὶ ὁ ἀδελφός.

Η'. Καὶ τὰ μὲν κατὰ τὴν Ἰουδαίαν ἐν τούτοις ἦν· τὰ δὲ κατὰ τὴν Συρίαν τετάραχτο ἐξ αἰτίας τοιαύτης. Βάσσος Κικίλιος, εἷς τῶν τὰ Πομπηΐου φρονούντων, κτείνει μὲν Σέξτον Καίσαρα δι' ἐπιβουλῆς, αὐτὸς δὲ τῶν πραγμάτων ἐκράτει. Τῶν δὲ Καίσαρος Ἰουλίου στρατηγῶν κατὰ Βάσσου ὡρμηκότων ὁ Ἀντίπατρος αὐτοῖς διὰ τῶν υἱῶν συνεμάχησε, μεμνημένος ὧν ὑπὸ τοῦ Καίσαρος εὐηργέτητο. Τριβομένου δὲ τοῦ καιροῦ ἐν τῷ πολέμῳ, Μάρκος ἦλθεν ἐκ Ῥώμης εἰς τὴν Σέξτου ἀρχήν. Ὁ δέ γε Καῖσαρ ὑπὸ τῶν περὶ Βροῦτον καὶ Κάσσιον ἐν Ῥώμῃ κτείνεται. Πολέμου δὲ συναῤῥωγότος ἐπὶ τῷ θανάτῳ τοῦ Καίσαρος, καὶ τῶν ἐν τέλει ἐπὶ στρατιᾶς συλλογὴν ἄλλων ἀλλαχῇ διεσπαρμένων, Κάσσιος ἀφικνεῖται εἰς Συρίαν, καὶ περιὼν ταύτην, ὅπλα καὶ στρατιώτας συνήθροιζε, καὶ ἐφορολόγει βαρύτατα, καὶ ἐξ Ἰουδαίας πολλὰ ἐπέβαλλε. Καὶ ὁ Ἀντίπατρος τὸν μὲν Ἡρώδην ἐπὶ τὴν Κοίλην Συρίαν ἔπεμπε, τὸν δὲ Φασάηλον ἐπὶ τὴν Ἰουδαίαν, καὶ τὸν Φερώραν ἐπὶ τὴν Ἰδουμαίαν, καὶ τὸν Μάλιχον ἐπὶ τὴν Ἀραβίαν, καὶ τὸν Σαμαΐαν ἐπὶ τὴν Γαλιλαίαν, καὶ τὸν Ἡρώδην ἐπὶ τὴν Κοίλην Συρίαν, καὶ τὸν

sio fuisset occisus, nisi Hyrcanus ejus iram, intercessore Antipatro, c talentis placasset. Verum Cassio jam ex Judæa digresso Malichus Antipatro insidias struit, quod eo sublato Hyrcani principatus in tuto collocandus esset. Quod cum Antipatrum haud lateret, quamvis ille ejuraret facinus, se contra illum muniebat. Marcus etiam Syriæ præter parum abfuit quin Malichum tolleret, ni is quoque salutem ejus precibus Antipatri condonasset. Cassius porro et Marcus exercituum quos coegerant cura Herodi mandata, promiserunt, se confecto bello, quod tum adversus Antonium et adolescentem Cæsarem parabatur, eum Judææ regem creaturos. Eodem tempore Malichus corrupto Hyrcani, apud quem uterque epulabatur, pincerna, Antipatrum veneno sustulit : sed cum filii ejus insidias cognovissent, inficiatus est facinus. Cum autem Herodes necem patris statim ulcisci vellet, Phasaelus dolo **228** Malichum circumvenire potius duxit, ne intestini belli causam præberent. Se igitur inficiationi Malichi fidem habere simulant. Herodem vero ad festum cum exercitu venientem, Hyrcanus Malichi impulsu, urbis ingressu prohibuit, per eam causam, ne turba peregrina populo puritatem servanti permisceretur. At ille, spretis illius verbis, noctu urbem ingreditur : et Malichus simulationem adhuc urget, Antipatrum deplorando, et ut amicum inclamando, sed clam custodia corpus munit. Laodicæa porro capta a Cassio, uterque ad eum proficiscitur : ac Herodes id operam dabat, ut Malichus ibi pœnas lueret. Ille vero id agi suspicatus, filium qui Tyri obses erat, suffurari, ac in Judæam proficisci et regnum occupare cogitabat. Sed Herodes Malichi consilio sagaci conjectura indagato, nuntio clam Tyrum misso, tribunis militum persuadet, ut ad illum egrediantur, eumque occidant. Nam a Cassio jam præscriptum habebant, ut Herodi ad res justas adjumento essent. Ita Malicho ab eis prope urbem confosso, Hyrcanus præ metu obmutuit. Deinde cum sibi reddito, id Cassii jussu factum esse responderetur, probavit cædem, illum improbum fuisse hominem et patriæ insidiatorem testatus.

δαία; ἑπτακόσια τάλαντα ἀργυρίου ἐπράξατο, ὧν τὴν εἴσπραξιν ὁ Ἀντίπατρος τοῖς υἱοῖς ἀμφοῖν κατεμέρισεν. Ὁ οὖν Ἡρώδης πρῶτος ὅσα ἦν αὐτῷ προστεταγμένον, Κασσίῳ προσενεγκών, φίλος ἦν αὐτῷ ἐς τὰ μάλιστα. Ἀνηρέθη δ' ἂν ὑπὸ Κασσίου ὁ Μάλιχος (36), εἰ μὴ ὁ Ὑρκανὸς ἐπέσχεν αὐτῷ τὴν ὁρμὴν, ἑκατὸν ταλάντοις δεξιωσάμενος δι' Ἀντιπάτρου αὐτόν. Ἤδη δὲ Κασσίου μεταστάντος τῆς Ἰουδαίας, Ἀντιπάτρῳ Μάλιχος ἐπεβούλευεν, ὡς εἰ οὗτος φθαρείη, ἀσφαλείας ἐσομένης τῷ Ὑρκανῷ περὶ τὴν ἀρχήν. Ταῦτα δ' οὐκ ἐλάνθανε τὸν Ἀντίπατρον, ἀλλ' ἠσφαλίζετο ἑαυτὸν, καὶ ὁ Μάλιχος ἠρνεῖτο μεθ' ὅρκων. Μάρκος δ' ἐν τῇ Συρίᾳ στρατηγῶν (37) μικροῦ ἀνεῖλεν ἂν τὸν Μάλιχον, εἰ μὴ Ἀντίπατρος παρακαλέσας αὐτὸν περιέσωσε. Κάσσιός γε μὴν καὶ Μάρκος, ἀθροίσαντες στρατιάν, τῷ Ἡρώδῃ τὴν ἐπιμέλειαν ἐνεχείρισαν, στρατηγὸν αὐτὸν Κοίλης Συρίας ποιήσαντες, ὑποσχόμενοι καὶ βασιλέα τῆς Ἰουδαίας ἀναδείξειν μετὰ τὸν πόλεμον, ὃς τότε πρὸς Ἀντώνιον καὶ τὸν νέον Καίσαρα συγκεκρότητο· ὅτε καὶ Μάλιχος, τὸν Ὑρκανοῦ οἰνοχόον χρήμασιν ὑπαλθών, φαρμάκῳ κτείνει Ἀντίπατρον. Παρὰ γὰρ Ὑρκανῷ εἱστιῶντο ἑκάτεροι. Γνόντων δὲ τὴν ἐπιβουλὴν τῶν Ἀντιπάτρου υἱῶν, ὁ Μάλιχος ἔξαρνος ἦν. Τῷ μὲν οὖν Ἡρώδῃ εὐθὺς ἐδόκει τὸν φόνον τοῦ πατρὸς ἐκδικεῖν· ὁ δέ γε Φασάηλος δόλῳ μᾶλλον ἤθελε τὸν Μάλιχον μετελθεῖν, ἵνα μὴ ἐμφυλίου πολέμου γένωνται αἴτιοι. Πιστεύειν οὖν τῇ ἀρνήσει τοῦ Μαλίχου ὑπεκρίνοντο. Ἑνστάσης ἑορτῆς ἐν Ἱεροσολύμοις, ἦκεν Ἡρώδης μετὰ στρατιᾶς εἰς τὴν πόλιν· Ὑρκανὸς δὲ, Μαλίχῳ πεισθεὶς, ἐκώλυεν αὐτῷ τὴν εἰς τὴν πόλιν εἴσοδον, προφάσει τοῦ μὴ δεῖν ὄχλον ἀλλοδαπὸν ἀναμίγνυσθαι τῷ πλήθει ἀγνεύοντι. Ὁ δὲ, μὴ φροντίσας τῶν λόγων, εἴσεισι νυκτὸς εἰς τὴν πόλιν. Μάλιχος δ' ἔτι τῆς ὑποκρίσεως εἶχετο, δακρύων τὸν Ἀντίπατρον, καὶ ὡς φίλον ἀνακαλούμενος, κρύφα δὲ ἐποιεῖτο τοῦ σώματος φυλακήν. Ἑλόντος δὲ Κασσίου τὴν Λαοδίκειαν, ἄμφω πρὸς αὐτὸν ἀπῆεσαν· καὶ Ἡρώδης μὲν ἐκεῖ τίσαι δίκας τὸν Μάλιχον ἐταμίευεν· ὁ δὲ ὑποπτεύσας τὸ πρᾶγμα τοῦ παιδὸς αὐτῷ ὁμηρεύοντος ἐν Τύρῳ, ἐμελέτησε τοῦτον ὑποκλέψαι, καὶ εἰς τὴν Ἰουδαίαν ἀπᾶραι, καὶ τὴν ἀρχὴν κατασχεῖν. Ἡρώδης δὲ τὴν γνώμην τοῦ Μαλίχου ὑπονοήσας, προεπέμψας εἰς Τύρον λάθρᾳ, πείθει τοὺς χιλιάρχους πρὸς Μάλιχον ἐξελθεῖν, καὶ διαφθεῖραι αὐτόν. Ἤδη γὰρ αὐτοῖς παρὰ Κασσίου προώριστο συμπράττειν Ἡρώδῃ ἐπὶ δικαίαν πρᾶξιν. Οἱ δὲ, πλησίον τῆς πόλεως αὐτῷ ὑπαντήσαντες, κατακεντοῦσιν αὐτόν. Ὑρκανὸς δὲ ὑπὸ φόβου ἄφωνος ἦν. Ἀνενεγκὼν δὲ ἠρώτα, ὅπως ἀνῄρηται Μάλιχος· καὶ ἀκούσας ὅτι Κασσίου προστάξαντος, ἐπῄνεσε τὴν πρᾶξιν, πονηρὸν εἰπὼν εἶναι καὶ τῆς πατρίδος ἐπίβουλον.

IX. Cassio ex Syria adversus Antonium profecto, Herodes variis in locis rem bene gessit, et Antigonum Aristobuli filium fines Judææ jam in-

Θ'. Κασσίου δὲ ἐκ Συρίας ἀπάραντος πρὸς Ἀντώνιον, ὁ Ἡρώδης ἐν διαφόροις ἠρίστευσε. Καὶ τῷ Ἀριστοβούλου δὲ υἱῷ Ἀντιγόνῳ ἄρτι τῶν ἄκρων

Variæ lectiones et notæ.

(36) *Ἀνηρέθη δ' ἂν ὑπὸ Κασσίου ὁ Μάλιχος.* Josephus lib. XIV : Τὰ δὲ Μαλίχῳ κακοήθως πρὸς αὐτὸν διακειμένῳ, τὰ δ' ἄλλοις προσέταξεν εἰσπράττεσθαι. *Pecuniam partim Malicho, a quo insidiæ ei struebantur, partim aliis exigendam mandavit.* Noster auctor (si nihil deest) ex abrupto hanc clausulam nescio quo pacto inscruit, ut non intelligatur. cur Malicho iratus fuerit Cassius. Sed ex Josepho apparet, pecuniam segnius exactam causam fuisse iracundiæ. W.

(37) *Μάρκος δ' ἐν τῇ Συρίᾳ στρατηγῶν.* Quis Marcus? inquit Wolfius. Antonius, an Brutus, an alius? Josephus etiam tantum prænomen hoc ponit.

ἐπιβάντι τῆς Ἰουδαίων γῆς (58) ὑπαντήσας, μάχῃ A gressum, prælio victor, finibus regionis expulit. ἐνίκησε, καὶ τῶν ὁρίων ταύτης ἐξέωσεν. Ὅθεν ἀφικόμενον εἰς Ἱεροσόλυμα ἐστεφάνου ὅ τε δῆμος καὶ Ὑρκανός· μνηστεύεται δὲ καὶ τὴν Ὑρκανοῦ θυγατρὸς δῆν, Ἀλεξάνδρου δὲ θυγατέρα, τοῦ Ἀριστοβούλου παιδός. Εἶχε δὲ πρότερον ἑτέραν γυναῖκα δημότιν, Δωρίδα καλουμένην, ἐξ ἧς αὐτῷ παῖς Ἀντίπατρος γίνεται, τῶν ἄλλων πρεσβύτερος. Ἀντωνίου δὲ καὶ Καίσαρος Κάσσιον καὶ Βροῦτον περὶ Φιλίππους νενικηκότων, ὁ μὲν ἐπὶ Γαλλίας ἐχώρει, πρὸς δὲ τὴν Ἀσίαν Ἀντώνιος. Γενομένῳ δ' ἐν Βιθυνίᾳ, πανταχόθεν ἁπάντων πρεσβεῖαι. Παρῆσαν δὲ καὶ Ἰουδαῖοι, κατηγοροῦντες Φασαήλου τε καὶ Ἡρώδου. Ἐλθόντα δὲ τὸν Ἡρώδην ἐπὶ ἀπολογίᾳ, διὰ τιμῆς ἦγεν Ἀντώνιος. Καὶ οὐδὲ λόγου ἠξίωντο οἱ κατήγοροι, χρήμασι ταῦτα τοῦ Ἡρώδου πριαμένου παρ' Ἀντωνίου. Ἐλθόντι δ' εἰς Ἔφεσον Ἀντωνίῳ ἔπεμψεν Ὑρκανὸς στέφανον χρυσοῦν, καὶ ἠξίου τοὺς Ἰουδαίους οὓς ἠχμαλώτισε Κάσσιος, οὐ νόμῳ πολέμου, ἐλευθέρους ἀπολυθῆναι, καὶ τὴν χώραν ἀποδοθῆναι, ἣν αὐτοὺς ἀφείλετο Κάσσιος. Δικαίαν οὖν εἶναι κεκρικὼς τὴν ἀξίωσιν, εἰς ἔργον ἐκβῆναι προσέταξε. Μετὰ ταῦτα εἰς Συρίαν παραγενομένῳ τῷ Ἀντωνίῳ, καὶ ὑπὸ τῶν τῆς Κλεοπάτρας ἐρώτων κεκρατημένῳ προσίασιν ἄνδρες ἑκατόν, Ἰουδαίων οἱ δυνατώτατοι, καὶ κατηγόρουν Ἡρώδου καὶ τῶν περὶ αὐτόν, παρόντος καὶ Ὑρκανοῦ. Ἀντώνιος δὲ πυνθάνεται Ὑρκανοῦ, πότεροι τοῦ ἔθνους προΐστανται ἄμεινον· καὶ ὃς τοὺς περὶ Ἡρώδην εἶπεν, ὧν αὐτῷ κηδεστής. Ὁ γοῦν Ἀντώνιος, οἰκείως πρὸς αὐτοὺς ἔχων διὰ τὴν τοῦ C πατρὸς αὐτῶν ξενίαν, καὶ ἄμφω τετράρχας ὠνόμασε, καὶ τὰ Ἰουδαίων αὐτοῖς ἐπέτρεψε πράγματα· καὶ δέκα δήσας τῶν κατηγόρων, ἔκτεινεν ἂν αὐτούς, εἰ μὴ οἱ ἀδελφοὶ παρῃτήσαντο. Λῦδοι δὲ χίλιοι περὶ Τύρον τῷ Ἀντωνίῳ ὑπήντησαν. Ὁ δὲ δώροις προκατειλημμένος, τῷ κατὰ τόπον ἄρχοντι κολάσαι τοὺς Ἰουδαίους ἐκέλευσεν, ὡς νεωτερίζοντας. Ὁ δὲ Ἡρώδης ἀπιέναι ταχὺ αὐτοῖς συνεβούλευεν, ἵνα μὴ μεγάλου πειρασθῶσι κακοῦ. Ὡς δ' οὐχ ὑπήκουον, ἐκβραμόντες οἱ Ῥωμαῖοι, τινὰς μὲν ἀπέκτειναν, πολλοὺς δ' ἐτραυμάτισαν· καὶ οἱ λοιποὶ διαφυγόντες ἡσύχαζον. Τοῦ δὲ δήμου καταβοῶντος Ἡρώδου, παροξυνθεὶς ὁ Ἀντώνιος τοὺς δεδεμένους ἀπέκτεινεν. Ἀντίγονος δὲ Πακόρῳ τῷ Πάρθων βασιλεῖ ὑπισχνεῖται D χίλια δῶσειν τάλαντα, καὶ γυναῖκας πεντακοσίας, εἰ τὴν ἀρχὴν Ὑρκανὸν ἀφέλωνται, καὶ παραδῶσιν αὐτῷ, καὶ τοὺς περὶ Ἡρώδην ἀνέλοιεν. Διὰ ταῦτα ἐπὶ τὴν Ἰουδαίαν κατάγοντες Ἀντίγονον οἱ Πάρθοι ἐστράτευσαν· οἷς πολλάκις οἱ περὶ Ἡρώδην συμμίξαντες ἐκράτουν. Ὁ δὲ τῶν Πάρθων βασιλεὺς (59) σὺν ὀλίγοις ἱππεῦσιν εἰς τὴν πόλιν ἦλθεν, ὡς τάχα κατευνάσων τὴν στάσιν, τὸ δ' ἀληθὲς ὡς Ἀντιγόνῳ συμπράξων. Φασαήλου δὲ ξενίσαντος

Unde Hierosolyma veniens, et a populo et ab Hyrcano coronatur : cujus ex filia neptem, Alexandri Aristobuli filii natam, uxorem ducit, cum prius etiam Doridem popularem suam uxorem haberet, e qua filium natu maximum Antipatrum susceperat. Antonius et Cæsar Bruto et Cassio ad Philippos victis, alter in Galliam abit, Antonius in Asiam : qui cum Bithyniam attigisset, undique legationes ad eum venerunt. Aderant et Judæi, Phasaelum et Herodem accusaturi. Herodem vero sui defendendi causa eo profectum, et munera offerentem, Antonius honorifice excepit, ne dicendi quidem potestate data accusatoribus. Inde Ephesum progresso Antonio, Hyrcanus auream **229** B coronam misit, petens, ut Judæos, quos Cassius contra belli morem cepisset, liberaret, et agros ab eodem ademptos restitueret. Cujus postulatis, qui ea æqua judicaret, Antonius satisfieri jussit. Deinde in Syriam profectum, et Cleopatræ amore captum, Judæorum centum viri potentissimi conveniunt, Herodem et Phasaelum accusantes, Hyrcano etiam præsente. Qui rogante Antonio, utri populo rectius præessent, respondit, Phasaelum et Herodem, ut cujus socer esset. Proinde Antonius, ob paternum hospitium eis amicus, utrumque tetrarcham appellavit, Judææ administratione illis mandata : ac decem ex accusatoribus in vincula conjectos occidisset, nisi fratres pro eis deprecati essent. Rursus mille viri circa Tyrum Antonio occurrerunt. Is vero muneribus jam ante conciliatus, ejus loci præfecto mandavit, ut Judæos tanquam novis rebus studentes supplicio afficeret. Herodes vero eos monuit, ut abire maturarent, ne grave malum experirentur : qui cum non auscultassent, Romani impetu in eos facto quosdam occiderunt, multos vulnerarunt, maxima vero pars evitato periculo quievit. Populo autem contra Herodem vociferante, irritatus Antonius, vinctos interfecit. Enimvero Antigonus Pacoro Parthorum regi mille talenta et 9 mulieres pollicitus, si principatum Hyrcano ademptum sibi daret, et Herodem cum suis tolleret : a Parthis in Judæam reductus est, quos Herodiani sæpius vicerunt. Sed rex Parthorum cum paucis equitibus urbem ingressus, per speciem componendæ seditionis, revera ut Antigono opem ferret, Phasaelo hospiti suo persuadet ut ad Barzapharnanem legatus eat. Phasaelus et Hyrcanus legati eunt, duce eos comitante, sed Herode non probante. Ac principio a Barzapharnane sincere accepti, post insidiis appetiti sunt, Phasaelo suspectos habente barbaros, cum se noctu clam custodiri animad-

Variæ lectiones et notæ.

(58) Ἄρτι τῶν ἄκρων ἐπιβάντι τῆς Ἰουδαίων γῆς. Ἄκρα, sive montana, sive extremos fines et limites significant. W.

(59) Ὁ δὲ τῶν Πάρθων βασιλεύς. Josephus æque obscurus est in hac Parthica expeditione, ut videatur κυκεῶνα potius miscuisse, quam rem explicasse. W.

verterent, atque etiam indicatum esset, fuisse comprehendendos, nisi id barbari distulissent, donec Herodes a Parthis qui Hierosolymis essent caperetur, ne cognito ipsorum statu elaberetur. Ac Phasaelo quidam suaserunt, ut statim **230** ausugeret. Ophellius etiam, quod mare in propinquo esset, naves ad fugam pollicebatur. Sed cum is Hyrcanum deserere nollet, ambo comprehensi vinciuntur. Quo Herodes cognito, militibus suis, matre, sorore, desponsa sibi Hyrcani filia, ejusque matre noctu assumptis, cum omni comitatu versus Idumæam abit, deceptis hostibus. Cum autem vehiculo in itinere everso, mater ejus de vita periclitaretur, parum abfuit quin sibi ipsi manus afferret. Qua recreata, et ut tempus ferebat, curata, ad Masadam castellum strenue pergit : interim etiam et Parthis persequentibus, et Judæis insidiantibus superatis. Jam quia tanta multitudo eum comitabatur, quam Masada castellum, quo properabat, omnem capere non posset : majori parte dato viatico dimissa, cum expeditis et maxime necessariis castellum ingreditur, ibique mulieribus et ministris cum sufficienti commeatu relictis, ipse ad Arabiæ Petram contendit. Mane Parthi cum aliis Hierosolymitarum ædibus, tum ipsa regia direptis, sola Hyrcani pecunia, quæ ad LXXX talenta erat, intacta, agros quoque vastarunt.

Α αὐτὸν; πείθει τὸν Φασάηλον, παρὰ Βαρζαφαρμάνην ἐλθεῖν πρεσβεύοντα. Καὶ ἦχοντο Ὑρκανὸς καὶ Φασάηλος πρεσβεύοντες, Ἡρώδου μὴ συναινοῦντος· ὁ δὲ στρατηγὸς προὔπεμπε σφᾶς. Καὶ ὁ Βαρζαφαρμάνης (40) τὸ μὲν πρῶτον γνησίως σφᾶς ὑπεδέξατο, ἔπειτα ἐπεβούλευε. Καὶ οἱ περὶ Φασάηλον ἐν ὑπονοίαις ἦσαν κατὰ τῶν βαρβάρων. Ἔγνων δὲ καὶ νυκτωρ λάθρα παρ' αὐτῶν φυλασσόμενοι. Μεμήνυτο δ' αὐτοῖς ὅτι καὶ συνελήφθησαν ἄν, εἰ μὴ ὑπερετίθεντο οἱ Βάρβαροι, μέχρις ἂν Ἡρώδης τοῖς ἐκεῖ Πάρθοις ληφθείη, μὴ τὰ περὶ αὐτῶν μαθὼν διαφύγοι. Φασαήλῳ μὲν οὖν τινες συνεβούλευον εὐθὺς παριππάσασθαι· Ὀφέλλιος δὲ καὶ πλοῖα πρὸς τὴν φυγὴν ὑπισχνεῖτο, ἐγγὺς γὰρ ἡ θάλασσα ἦν. Ὁ δὲ Ὑρκανὸν ἀπολιπεῖν οὐκ ἐβούλετο. Συλλαμβάνονται οὖν, καὶ δεσμοῦνται. Ἡρώδης δὲ, ταῦτα μαθών, οὓς εἶχεν ὁπλίτας παραλαβὼν νυκτὸς, καὶ τὴν μητέρα, καὶ τὴν ἀδελφὴν, καὶ τὴν ἐγγεγυημένην αὐτῷ παῖδα τῆς Ὑρκανοῦ θυγατρὸς, καὶ τὴν τῆς μνηστῆς ταύτης μητέρα, τήν τε θεραπείαν πᾶσαν, τὴν ἐπὶ Ἰδουμαίαν ἀπῆρε, τοὺς πολεμίους λαθών. Τοῦ ζεύγους δὲ περιτραπέντος ἐν τῇ ὁδῷ, καὶ τῆς μητρὸς αὐτοῦ κινδυνευούσης ἀποθανεῖν, μικροῦ ἑαυτὸν διεχρήσατο. Ἀνακτησάμενος οὖν τὴν μητέρα, καὶ θεραπείας, ὡς ὁ καιρὸς ἤπειγεν, ἀξιώσας, ἐβάδιζε συντονώτερον πρὸς Μασάδαν τὸ ἔρυμα. Ἐν τῷ μέσῳ δὲ καὶ πρὸς Πάρθους διώκοντας μαχεσάμενος, καὶ πρὸς Ἰουδαίους αὖθις ἐπιθεμένους αὐτῷ, ἐνίκησε καὶ ἐκράτησε. Τοῦ μέντοι πλήθους τοῦ συνεπομένου αὐτῷ πολλοῦ ὄντος, Τοῦ δὲ τῆς Μασάδας φρουρίου, πρὸς ὅπερ ἤπείγοντο, οὐκ ἐξαρκοῦντος ἅπαντας ὑποδέξασθαι, τοὺς μὲν πλείους ἀπέλυσε, δοὺς ἀφίσιν ἑκάστοις, ὅσοι δὲ ἦσαν κοῦφοι, καὶ τοὺς ἀναγκαιοτάτους ἔχων, εἰς τὸ ἔρυμα παρεγίνεται· καὶ ἀφεὶς αὐτόθι τάς τε γυναῖκας καὶ τὴν θεραπείαν ἀρκοῦντα τὰ ἐπιτήδεια ἔχοντας, αὐτὸς ἐπὶ τὴν Πέτραν τῆς Ἀραβίας ἐξώρμησεν. Ἔωθεν δὲ τὰ μὲν ἄλλα τῶν Ἱεροσολυμιτῶν οἱ Πάρθοι διήρπαζον, καὶ αὐτὰ τὰ βασίλεια· μόνων δὲ ἀπείχοντο τῶν Ὑρκάνου χρημάτων, ὄντων εἰς ὀγδοήκοντα τάλαντα, καὶ τὴν χώραν δὲ ἐκάκουν οἱ Πάρθοι.

X. Antigonus autem hoc modo in Judæam reductus, Hyrcanum et Phasaelum captivos accipit ; et quia timebat ne populus regnum Hyrcano restitueret, aures ei præcidit, cum lex sacrorum antistites integros esse jubeat. Phasaelus autem cum intellexisset se jugulatum iri, quia manus in vinculis erant, capite saxo illiso necem sibi conscivit, prærepta hosti occidendi voluptate. Sed cum paulo ante quam exspiraret, Herodem fratrem e manibus hostium evasisse audivisset, hilariter est mortuus, ultore et vindice relicto. Herodes autem ad Malchum Arabiæ regem properabat, suo beneficio devinctum, ut ab eo pecuniam ad redimendum fratrem acciperet, quem mortuum esse adhuc ignorabat. Sed cum Malchus ei denuntiasset, ne veniret, sibi enim interdictum esse a Parthis ne illum reciperet : respondit se non adesse ut ei molestiam pareret, sed ut de rebus maxime necessariis colloqueretur. His dictis, in Ægyptum abiit. Atque in eo itinere, quomodo cum fratre **231** actum esset, cognovit. Cum autem Malchus mutata sententia

Β

C

D

Ι'. Ἀντίγονος μὲν οὖν οὕτω καταχθεὶς εἰς τὴν Ἰουδαίαν, Ὑρκανὸν καὶ Φασάηλον δεσμώτας παραλαμβάνει. Φοβούμενος δὲ τὸν Ὑρκανὸν, μὴ τὸ πλῆθος αὐτῷ τὴν βασιλείαν ἀποκαταστήσῃ, ἀποτέμνει αὐτοῦ τὰ ὦτα, τοῦ νόμου τοὺς ἱερᾶσθαι μέλλοντας ὁλοκλήρους εἶναι κελεύοντος. Φασάηλος δὲ, γνοὺς ἑαυτὸν μέλλοντα σφάττεσθαι, ἐπεὶ τὰς χεῖρας δεδέσμητο, πέτρᾳ προσαράξας τὴν κεφαλὴν, ἑαυτὸν ἐξήγαγε τοῦ βίου, τὴν δ' ἐκ τοῦ κτεῖναι αὐτὸν ἡδονὴν ἐστέρησε τὸν πολέμιον. Πρὸ δέ γε τοῦ πάνυ ἐκλιπεῖν ἀκούσας, ὡς διέδρα τοὺς πολεμίους Ἡρώδης ὁ ἀδελφὸς, εὐθύμως ἀπέθανε, καταλιπὼν ἐκδικητὴν καὶ τῶν ἐχθρῶν τιμωρόν. Ἡρώδης δὲ πρὸς Μάλχον τῶν Ἀράβων ἔσπευδε βασιλέα, εὐεργετηθέντα πρόσθεν ὑπ' αὐτοῦ, ὡς παρ' αὐτοῦ ληψόμενος χρήματα εἰς λύτρον τοῦ ἀδελφοῦ. Οὔπω γὰρ ἦν τὰ κατ' ἐκεῖνον μαθών. Ἀγγείλαντος δὲ τοῦ Μάλχου αὐτῷ διά τινων ἀναχωρεῖν, ὡς τῶν Πάρθων παραγγειλάντων μὴ δέχεσθαι αὐτὸν, ἀπεκρίνατο μηδὲν ἐνοχλήσων ἥξειν, διαλεξόμενος δὲ περὶ τῶν ἀναγκαιοτάτων. Καὶ ταῦτα εἰπὼν, ἀπῆει (41) ἐπ'

Variæ lectiones et notæ.

(40) *Βαρζαφαρμάνης*. Josephus, Βαρζαφάρνης.

(41) *Καὶ ταῦτα εἰπὼν, ἀπῆει*. Ms. καὶ ὃς ἀπῆει·

Αἴγυπτον, καὶ ἁπιὼν τὰ κατὰ τὸν ἀδελφὸν ἤκουσε. Μάλχῳ δὲ μετεμέλησε, καὶ ἔστειλε τοὺς ἀναστρέψοντας τὸν Ἡρώδην. Ὁ δὲ πορρωτάτω ἦν, καὶ εἰς Αἴγυπτον καταχθείς, κἀκεῖθεν εἰς Ῥώμην ἀφικόμενος, Ἀντωνίῳ φράζει τὰ αὑτῷ καὶ τῷ Φασαήλῳ συμβεβηκότα, καὶ ὡς Ἀντίγονος ὑπὸ Πάρθων εἰς τὴν βασιλείαν εἰσήχθη, χρημάτων ὑποσχέσει καὶ γυναικῶν, καὶ τἆλλα ὅσα ἔδρασέ τε καὶ ἔπαθεν. Ἀντώνιον δὲ οἶκτος εἰσέρχεται τῆς Ἡρώδου μεταβολῆς. Καὶ Καῖσαρ διά τε ἄλλα, καὶ χαριζόμενος Ἀντωνίῳ τοῦ Ἡρώδου ὑπεραλγοῦντι, πρὸς συντέλειαν ἑτοιμότερος ἦν. Παραστησάμενος οὖν τῇ βουλῇ τὸν Ἡρώδην, τάς τε τοῦ πατρὸς αὐτοῦ διεξῆλθεν εὐεργεσίας, καὶ τὴν αὐτοῦ πρὸς Ῥωμαίους ἔλεγον εὔνοιαν. Κατηγόρουν δὲ Ἀντιγόνου, καὶ πολέμιον ὠνόμαζον καὶ ἄλλοθεν μέν, καὶ ὅτι παρὰ Πάρθων ἔλαβε τὴν ἀρχήν, τοὺς Ῥωμαίους ὑπεριδών. Προσεπῆγε δὲ ὁ Ἀντώνιος ὅτι καὶ πρὸς τὸν κατὰ Πάρθων πόλεμον Ἡρώδην βασιλεύειν συμφέρει. Καὶ δόξαν πᾶσι, τοῦτο ψηφίζονται. Καὶ ὁ μὲν οὕτω τὴν βασιλείαν εἴληφε· Ἀντίγονος δὲ τὴν Μασάδαν δι' ὅλου ἐπολόρκει. Οἱ δὲ ἐντὸς αὐτῆς ἐσπάνιζον ὕδατος, ὡς καὶ τὸν ἀδελφὸν Ἡρώδου τὸν Ἰωσὴφ ἀποδράναι βουλεύεσθαι σὺν διακοσίοις πρὸς Ἄραβας, ἀλλ' ἐπεσχέθη, νυκτὸς γενομένου ὑετοῦ. Βεντίδιος δὲ ὁ Ῥωμαίων στρατηγὸς πεμφθεὶς ἐκ Συρίας Πάρθους ἀνείργειν (42), εἰς Ἰουδαίαν παρέβαλεν, ὡς συμμαχήσων δῆθεν τοῖς πολιορκουμένοις, τὸ δ' ὅλον ὡς παρὰ Ἀντιγόνῳ χρηματισόμενος. Ὁ μὲν οὖν, πληρώσας τὸ βούλημα, ἀνεχώρησε· Σίλωνα δὲ μετὰ μέρους τῆς στρατιᾶς καταλέλοιπεν, ἵνα μὴ γένηται τὸ λῆμμα κατάφωρον· Ἡρώδης δὲ, ἐκ τῆς Ἰταλίας εἰς Πτολεμαΐδα καταπεπλευκώς, ἤλαυνεν ἐπ' Ἀντίγονον, δύναμιν ἀθροίσας. Ἐλὼν δ' ἐν τῷ μέσῳ τὴν Ἰώππην, ἵνα μηδὲν εἴη τοῖς ἐχθροῖς ἔρυμα, ἔσπευδεν εἰς Μασάδαν, τοὺς οἰκείους ῥυσόμενος· καὶ τούτους ἀναλαβών, πρὸς τὰ Ἱεροσόλυμα παραγίνεται. Συνῆν δὲ αὐτῷ καὶ τὸ μετὰ Σίλωνος στρατιωτικὸν, καὶ ἐκτὸς ἐστρατοπεδεύσαντο· οἱ δ' ἐντὸς ἀπὸ τοῦ τείχους μαχόμενοι, ἀνεῖργον αὐτοὺς ἀπὸ τῶν πύργων. Καὶ ὁ Σίλων δὲ τῶν οἰκείων στρατιωτῶν τινας καταβοᾶν τοῦ Ἡρώδου ἐποίησε διὰ σπάνιν τῶν ἀναγκαίων, ἐκίνει τε τὸ στρατόπεδον ὡς ἀναχωρήσων. Ταῦτα δ' ἐποίει, τὸν Ἀντίγονον διὰ τὴν δωροδοκίαν αἰδούμενος. Ἡρώδης δὲ ἠξίου μένειν αὐτὸν, καὶ ἐξορμήσας πλῆθος ἐπιτηδείων ἐκόμισεν, ὥστε μηκέτι ὑπολιπεῖν Σίλωνι τῆς ἀναχωρήσεως πρόφασιν· καὶ οἱ μὲν ἐν ἀφθόνοις ἦσαν. Ἡρώδης δὲ, παραγενόμενος εἰς Σαμάρειαν, ἐκεῖ τήν τε μητέρα καὶ τοὺς ἄλλους οἰκείους κατέθετο. Αὐτὸς δὲ ἐπὶ Γαλιλαίαν ᾤχετο, καὶ προσάγεται πᾶσαν αὐτὴν πλὴν τῶν ἐν τοῖς σπηλαίοις κατοικούντων. Ἦν δὲ τὰ σπήλαια ἐν ὄρεσι πάντη ἐξερρωγόσι καὶ πέτραις ὀξείαις ἐμπεριεχόμενα. Καὶ τούτων δὲ δυσχερῶς μὲν, ἀλλ' ὅμως ἐκράτησε. Καταστήσας δὲ τὰ αὐτόθι ὁ βασιλεὺς, εἰς

misisset, qu. Herodem iter convertere juberent: illo jam longissime abierat, et ex Ægypto Romam profectus, suos et Phasaeli casus Antonio exponit, et ut Antigonus a Parthis in regnum collocatus sit pecuniarum et mulierum pactione, cæteraque quæ ipse tum fecisset, tum perpessus esset. Motus est ob eam fortunæ commutationem Herodis misericordia Antonius. Cæsar quoque tum ob alia, tum in Antonii gratiam casum Herodis perquam dolenter ferentis, alacrior factus ad suffragandum. Igitur Herode in senatum adducto, paterna beneficia, et ipsius erga Romanos benevolentiam commemorant. Antigonum vero ut hostem accusant, cum ob alia, tum quod despectis Romanis regnum a Parthis accepisset: Antonio illud etiam adjiciente, e fe publica esse, ob Parthicum bellum, Herodem rerum potiri. Hac sententia ab omnibus approbata, regnum Herodi decernitur: Antigono interea Masadam continenter obsidente. Obsessos aqua jam defecerat: et Josephus Herodis frater cum cc ad Arabes aufugere decreverat, sed nocturna pluvia consilium id discussit. Ventidius porro prætor a Romanis missus ad Parthos Syria pellendos, in Judæam abiit, per speciem obsessis auxiliandi, revera ut ab Antigono pecuniam caperet: ac voti compos factus, recessit, Silone cum parte copiarum relicto, ne largitio deprehenderetur. Herodes vero ex Italia Ptolemaidem transvectus, collecto exercitu, contra Antigonum ducens, obiter Joppe capta, ne qua hostibus munitio relinqueretur, Masadam ad suos tutandos properabat. Iisque receptis, adjunctis etiam Silonis cohortibus, extra Hierosolyma castrametatur. Iis autem qui in urbe erant, ex propugnaculis hostes arcentibus, etiam Silo quosdam e suis subornavit, ut ob commeatus penuriam contra Herodem vociferarentur, castraque movit tanquam recessurus. Id eo faciebat, quod Antigonum ob largitionem reverebatur. Herodes vero ab illo petiit, ut maneret, et commeatus copiam attulit, ne qua Siloni causa discessus relinqueretur. **232** Cum exercitui abunde prospectum esset, matre cæterisque necessariis Samariæ collocatis, Galilæam omnem sibi adjungit: iis exceptis qui speluncas incolunt, undique acutis et præruptis petris obseptas. Tandem iis quoque licet difficulter potitus, rebus ibi ordinatis, Samariam rediit, ut acie cum Antigono decerneret. Interea Pacoro in prælio cæso, Parthisque a Romanis profligatis, Ventidius Herodi Machæram cum legionibus auxilio mittit, apud quem Herodes fratre Josepho relicto, mandat ne Martis aleam experiatur, neve cum Machæra contendat: Ipse ad Antonium abit, Samosata urbem ad Euphratem sitam, oppugnantem. Cui cum appropinquasset, Antonius exercitum ei obviam mittit, præsentemque am-

Variæ lectiones et notæ.

(42) *Πεμφθεὶς ἐκ Συρίας Πάρθους ἀνείργειν*. Ambiguum utrum τὸ ἐκ Συρίας, ad τὸ πεμφθεὶς, an ad τὸ ἀνείργειν referatur. W.

plexus, Sossium ei opitulatum ire jubet. Josephus vero frater Herodis dum Hierichuntem properat, ab Antigoni militibus in angustiis exceptus, fortiter pugnans occumbit, omni amisso exercitu : cujus caput amputatum Antigonus fratri filius quinquaginta talentis vendidit.

A Σαμάρειαν ὥρμησεν, ὡς μάχῃ κριθησόμενος πρὸς Ἀντίγονον. Ἐν τούτοις δὲ πεσόντος Πακόρου ἐν πολέμῳ, καὶ τῶν Πάρθων τραπέντων ὑπὸ Ῥωμαίων, πέμπει τῷ Ἡρώδῃ βοηθὸν Μαχαιρᾶν σὺν στρατιᾷ ὁ Ἡνδίδιος. Καὶ τούτῳ μὲν ὁ Ἡρώδης τὸν ἀδελφὸν Ἰωσὴφ καταλέλοιπεν, ἐντειλάμενος μὴ ἀποκινδυνεύειν, μηδὲ τῷ Μαχαιρᾷ διαφέρεσθαι· αὐτὸς δὲ πρὸς Ἀντώνιον ἔσπευδε, πολιορκοῦντα Σαμόσατα, πόλιν τῶν παρευφρατιδίων. Ὡς δὲ ἤγγιζεν ὁ Ἡρώδης, πέμπει τὸ στράτευμα ὑπαντησόμενον αὐτῷ ὁ Ἀντώνιος, καὶ παρόντα ἠσπάζετο, καὶ Σοσσίῳ συμμαχεῖν αὐτῷ ἐνετέλλετο· καὶ ὃς τὸ κεκελευσμένον ἐπλήρου. Ἰωσὴφ δὲ ὁ ἀδελφὸς Ἡρώδου, ἐπὶ Ἱεριχοῦντα σπεύδων, περιπίπτει τοῖς Ἀντιγόνου, καὶ ἐν δυσχωρίαις ἀπολῃφθεὶς, θνήσκει γενναίως μαχόμενος, καὶ ἅπαν ἀπέβαλε τὸ στράτευμα. Ἀντιγονος δὲ, τὴν αὐτοῦ τεμὼν κεφαλὴν, τῷ ἀδελφῷ αὐτοῦ Φερώρᾳ ἀποδίδωσι ταλάντων πεντήκοντα.

XI. Galilæi quoque per defectionem Herodianos in lacu demerserunt, multaque in Judæa novata sunt. Quibus rebus una cum cæde fratris in Daphne Antiochiæ nuntiatis, Herodes propere in Galilæam profectus, hostibus profligatis, et in castellum quoddam compulsis, Hierichuntem contendit ad necem fratris ulciscendam. Antigonus vero Pappo duce cum copiis ad Samariam misso, opinionem hostibus eam afferre voluit, quasi in opum affluentia bellum gereret. Sed Herodes illos acie victos in vicum persecutus, omnes occidit quos adipisci potuit : cumque ædes armatis complerentur, et multi in superiora confugerent, tectis ædium destructis, lapidibus milites qui infra erant obruit. Ea re hostium animos ita fregit, ut statim cum exercitu Hierosolyma intrare potuerit, nisi tempestate magna impeditus esset. Et quia jam serum erat, in domuncula quadam lavit, uno tantum puero ministrante : in cujus interiorem partem aliquot ex hostibus armati se abdiderant. Dum igitur rex lavat, unus stricto gladio progreditur, deinde alter, post **233** alius, eodem modo armati : neque tamen quemquam percusserunt, ut in metu salutem quæsivisse contenti. Hujusmodi periculo evitato, postridie Pappi jam interfecti caput amputatum, Pheroræ fratri pro Josephi capite misit, Pappi manibus interfecti. Tempestate sedata, castris proxime Hierosolyma collocatis, et cura parandæ obsidionis certis hominibus mandata, Samariam abit, ut cum Alexandri filia sponsa sua concumberet. Nuptiis absolutis, et ipse et Sossius cum exercitu ad Hierosolymorum mœnia profecti, aggeribus excitatis, adductisque machinis muro dejecto, iis qui intus erant ex desperatione magis quam consilio resistentibus : primum viginti lecti milites, deinde Sossii centuriones mœnia conscendere. Ac prior murus diebus quadraginta, posterior quindecim est expugnatus. Capto etiam exteriore templo, et urbe inferiore, in templum interius et superiorem urbem confugerunt. Iis quoque expugnatis, cædibus referta fuerunt omnia. Antigonus vero neque præsentis neque pristinæ fortunæ memor, turri relicta, Sossio supplex accidit. Quem ille, tantæ mutationis nihil misertus, cum plausu manuum, Antigonem appellat, et vinctum in custodiam tradit. Herodes socios ad templum et sacrarii adytum spectandum properantes, partim

ΙΑ'. Ἀποστάντες δὲ οἱ Γαλιλαῖοι, τοὺς τὰ Ἡρώδου φρονοῦντας ἐν τῇ λίμνῃ κατεπόντωσαν, καὶ τῆς Ἰουδαίας ἐνεωτερίσθη πολλά. Ἠγγέλη δὲ ταῦτα Ἡρώδῃ καὶ ἡ τοῦ ἀδελφοῦ τελευτὴ ἐν Δάφνῃ τῆς Ἀντιοχείας. Ἐπειγομένῳ οὖν, ὡς κατὰ Γαλιλαίαν ἐγένετο, συνήντησαν αὐτῷ οἱ πολέμιοι, καὶ ἡττηθέντες, κατεκλείσθησαν εἴς τι χωρίον. Ὁ δὲ ἔσπευδεν εἰς Ἱεριχοῦντα, τιμωρήσασθαι θέλων αὐτοὺς διὰ τὸν ἀδελφόν. Ἀντίγονος δὲ ἐπὶ τὴν Σαμάρειαν πέμπει στρατηγὸν Πάππον ὄνομα σὺν δυνάμει, παρέχων τοῖς ἐναντίοις δόξαν πολεμοῦντος ἐκ περιουσίας. Καὶ Ἡρώδης ἦλθεν ἐπὶ τὸν Πάππον, καὶ συμβαλὼν τοῖς πολεμίοις κρατεῖ, καὶ εἵπετο φεύγουσιν εἰς τὴν κώμην, κτείνων οὓς ἂν καταλάβοι. Πεπληρωμένων δὲ τῶν οἰκιῶν ὁπλιτῶν, καὶ πολλῶν ἐπὶ τὰς στέγας ἀναφευγόντων, τοὺς ὀρόφους τῶν οἴκων καθαιρῶν, ἐκράτει τούτων. Καθαιρουμένων δὲ τῶν ὀρόφων, ἔμπλεα ἐωρῶντο τὰ κάτω στρατιωτῶν, οὓς λίθοις ἄνωθεν βαλόντες ἔκτεινον. Τοῦτο τὰ τῶν πολεμίων φρονήματα ἔθραυσε· καὶ ἦκεν ἂν εἰς Ἱεροσόλυμα ὁ Ἡρώδης μετὰ τῆς στρατιᾶς αὐτίκα, καὶ τὸ πᾶν ἐξειργάσατο, εἰ μὴ χειμὼν ἐπέσχε βαθύς. Τότε ὀψίας οὔσης, ὁ βασιλεὺς Ἡρώδης, εἴς τι δωμάτιον εἰσελθών, περὶ λουτρὸν ἦν, καὶ ἀποδυσάμενος ἐλούετο, ἑνὸς αὐτῷ ὑπηρετουμένου παιδός· κατὰ δέ γε τὸ ἐνδότερον οἴκημα τῶν πολεμίων τινὲς συμπεφευγότες ὡπλισμένοι, ἐκεῖ διὰ φόβον ἐκρύπτοντο. Καὶ μεταξὺ λουομένου τοῦ βασιλέως, εἷς τις ἐπεξέρχεται ξίφος ἔχων γυμνὸν, καὶ μετ αὐτὸν ἄλλος, καὶ αὖθις ἕτερος, ὁμοίως ὡπλισμένοι, οὐδένα πλήξαντες ὑπὸ δέους, ἀγαπῶντες δὲ εἰ αὐτοὶ σωθεῖεν. Τοιοῦτον ἔφυγε κίνδυνον ὁ Ἡρώδης. Τῇ δὲ ὑστεραίᾳ τὴν τοῦ Πάππου τεμὼν κεφαλὴν, ἤδη ἀνηρημένου, ἔπεμψε Φερώρᾳ τῷ ἀδελφῷ ἀντὶ τῆς τοῦ Ἰωσὴφ κεφαλῆς· οὗτος γὰρ ἦν ὁ Πάππος, αὐτόχειρ ἐκείνου γενόμενος. Λήξαντος δὲ τοῦ χειμῶνος, ἀφίκετο πρὸς Ἱεροσόλυμα, καὶ στρατοπεδεύεται τῆς πόλεως ἔγγιστα· καὶ καταλιπὼν ἐκεῖ τοὺς τὰ πρὸς τὴν πολιορκίαν ἑτοιμάσοντας, αὐτὸς εἰς Σάμάρειαν ᾤχετο, τῇ Ἀλεξάνδρου θυγατρὶ συνευνασθησόμενος, ἤδη κατεγγυηθείσῃ αὐτῷ, ὡς ἱστόρηται. Μετὰ δὲ τοὺς γάμους ἀφίκετο ἐκ Σαμαρείας. Ἦκε δὲ σὺν στρατιᾷ καὶ ὁ Σόσσιος, καὶ πρὸς τὸ τεῖχος τῶν Ἱεροσολύμων ἠθροίζοντο, καὶ χώματα ἐγείραντες, καὶ πολιορκητικὰς μηχανὰς προσάγοντες, τὸ τεῖχος κατέσειον. Καὶ οἱ ἐντὸς δὲ ἀπονοίᾳ μᾶλλον ἢ προνοίᾳ ἀντικαθίσταντο στρατηγούμενοι· ἀναβαίνουσι

ἐπὶ τὸ τεῖχος· πρῶτον μὲν λογάδες εἶχοσιν, εἶτα ἑκατοντάρχαι Σοσσίου. Ἡρέθη δὲ τὸ μὲν πρῶτον τεῖχος ἡμέρας τεσσαράκοντα, τὸ δὲ δεύτερον πεντεκαίδεκα. Ἁλόντος δὲ τοῦ ἔξωθεν ἱεροῦ, καὶ τῆς κάτω πόλεως, εἰς τὸ ἐντὸς ἱερὸν καὶ τὴν ἄνω πόλιν Ἰουδαῖοι συνέφυγον. Ἑάλω δὲ καὶ ταῦτα, καὶ ἦν ἅπαντα φόνων μεστά. Ὁ δ' Ἀντίγονος μήτε τῆς τότε τύχης μήτε τῆς πάλαι μεμνημένος (43), κάτεισιν ἐκ τῆς βάρεως, καὶ προσπίπτει τοῖς Σοσσίου ποσί. Κἀκεῖνος μηδὲν αὐτὸν οἰκτείρας πρὸς τὴν μεταβολήν, καὶ ἐπεκρότησε, καὶ Ἀντιγόνην ἐκάλεσε, καὶ δήσας ἐφύλαττεν. Ὁρμηκότων δὲ τῶν συμμάχων ἐπὶ θέαν τοῦ ἱεροῦ καὶ τῶν κατὰ τὸν ναὸν ἁγίων, ὁ βασιλεὺς Ἡρῴδης τοὺς μὲν παρακαλῶν, τοῖς δὲ ἀπειλῶν, ἐνίους δὲ καὶ τοῖς ὅπλοις ἀνέστελλεν, ἐκώλυέ τε καὶ τὰς κατὰ τὴν πόλιν ἁρπαγάς, αὐτὸς τοὺς μισθοὺς διανεμεῖν ἑκάστοις οἴκοθεν ὑπισχνούμενος. Καὶ οὕτω τὸ λοιπὸν περισώσας τῆς πόλεως, τὰς ὑποσχέσεις ἐπλήρωσεν. Αὐτῷ δὲ Σοσσίῳ βασιλικώτατα ἐδωρήσατο, ὃς ἀνέζευξεν ἐξ Ἱεροσολύμων τῷ Ἀντωνίῳ δεσμώτην ἄγων Ἀντίγονον. Δείσας δ' Ἡρῴδης μὴ, κομισθεὶς εἰς Ῥώμην Ἀντίγονος δικαιολογήσηται πρὸς τὴν σύγκλητον, ἑαυτὸν μὲν ἐκ βασιλέων ἀποδεικνύων, Ἡρῴδην δὲ ἰδιώτην, καὶ ὡς, κἂν αὐτὸς εἰς Ῥωμαίους ἐξήμαρτε, προσῆκεν ἡ βασιλεία τοῖς αὐτοῦ παισί· πείθει χρήμασι πολλοῖς τὸν Ἀντώνιον ἀνελεῖν τὸν Ἀντίγονον. Καὶ ὁ μὲν ἀνῄρητο, ἡ δὲ ἀρχὴ ἐκ τοῦ τῶν Ἀσαμωναίων γένους ἀφῄρητο, ἐπ' ἔτεσιν ἑκατὸν καὶ εἴκοσι διαρκέσασα· μετέβη δὲ εἰς Ἡρῴδην τὸν Ἀντιπάτρου, ἰδιωτικοῦ τυγχάνοντα γένους, καὶ οἰκίας δημότιδος.

A rogando, partim militando, partim armis sustinuit, et direptionem urbis prohibuit, se de suo stipendia soluturum omnibus pollicitus. Reliquiis urbis ita conservatis, promissa præstitit, ipsum Sossium plusquam regia liberalitate prosecutus: qui cum Hierosolymis recedens, Antigonum ad Antonium in vinculis duceret, veritus Herodes, ne ille Romam perductus apud patres conscriptos pro sua defensione afferret, se regibus esse oriundum, Herodem vero hominem privatum, ac ut ipse in Romanos deliquerit, regnum tamen ad suos filios pertinere: magna pecunia data, ab Antonio impetrat ut Antigonum occidat. Eo sublato, principatus Asamonæorum familiæ ademptus, quem per annos C et XX tenuerat, ad Herodem transiit, Antipatri filium, ex genere privato et plebeia domo orti.

ΙΒ'. Οὕτω δὲ τῆς ὅλης Ἰουδαίας Ἡρῴδης ἀναθέμενος τὴν ἀρχήν, τοὺς μὲν τὰ αὐτοῦ φρονοῦντας προσήγετο, τοὺς δ' ἐναντιουμένους ἐκόλαζεν. Ἐτίμα δὲ μάλιστα Πολλίωνα τὸν Φαρισαῖον, καὶ Σαμαίαν τὸν τούτου μαθητήν. Τῆς γὰρ πολιορκίας συνισταμένης, συνεβούλευον οὗτοι δέξασθαι τὸν Ἡρῴδην. Ὁ δὲ Σαμαίας οὗτος, ὡς ἤδη ἔμπροσθεν εἴρηται, καὶ προεῖπεν Ὑρκανῷ τε καὶ τοῖς δικάζουσιν ὡς περισωθεὶς Ἡρῴδης ἅπαντας αὐτοὺς μετελεύσεται. Ἀπέκτεινε δὲ τῶν περὶ τὸν Ἀντίγονον τεσσαράκοντα τοὺς πρώτους, καὶ τὰς αὐτῶν οὐσίας ἀφείλετο, πέρας τε κακῶν ἦν οὐδέν. Ὑρκανὸς μέντοι, παρὰ Πάρθοις αἰχμάλωτος ὤν, ἐπιεικοῦς ἔτυχε τοῦ Πάρθων βασιλέως Φραάτου· καὶ λυθεὶς τῶν δεσμῶν, ἐν Βαβυλῶνι διάγειν παρεχωρήθη, ἔνθα καὶ πλῆθος ἦν Ἰουδαίων, οἳ τὸν Ὑρκανὸν ὡς ἀρχιερέα καὶ βασιλέα ἐτίμων. Μαθὼν δὲ τὸν Ἡρῴδην παρειληφέναι τὴν βασιλείαν, διενοεῖτο μεταχωρῆσαι πρὸς αὐτὸν διά τε τὸ κῆδος, καὶ μνησθήσεσθαι οἰηθεὶς αὐτὸν, ὅτι κρινόμενον ἐπὶ φόνοις τοῦ κινδύνου ἐρρύσατο. Οἱ δ' ἐν Βαβυλῶνι Ἰουδαῖοι μένειν ἠξίουν αὐτὸν, ὡς ἀρχιερέα καὶ βασιλέα τιμώμενον παρ' αὐτῶν, καὶ ὅτι καὶ ἀπελθὼν τυχεῖν τῆς ἀρχιερωσύνης ἀδυνατεῖ, λελωβημένος τὸ σῶμα ὑπ' Ἀντιγόνου. Οἱ μὲν οὖν ἐκώλυον· ὁ δὲ οὐκ ἐπείθετο, αὐτός τε ποθῶν ἐπανελθεῖν, καὶ παρὰ Ἡρῴδου παρακαλούμενος. Ἡρῴδης δὲ καὶ πρὸς Φραάτην πρεσβείαν ἐποιήσατο, καὶ δῶρα ἔπεμψεν, ἀξιῶν μὴ κωλῦσαι τὰς εἰς τὸν εὐεργέτην αὐτοῦ χάριτας. Ἦν δὲ οὐχ ὑπὲρ Ὑρκανοῦ

XII. **234** Sic Herodes totius Judææ imperio potitus, sui studiosos fovit, adversarios suppliciis affecit. Pollioni Pharisæo et Samææ illius discipulo honorem in primis habuit: qui cum urbs obsideretur, deditionis faciendæ auctores fuerant. Samæas porro, ut supra narratum est, Hyrcano et judicibus prædixerat, Herodem conservatum, ipsos omnes ulturum esse. Occidit autem ex Antigoni factione circiter XL principes, bonis etiam ereptis, nec malorum ullus finis fuit. Enimvero Phraates Parthorum rex Hyrcanum captivum benigne habuit, et vinculis solutum Babylone degere permisit, ubi a gente Judaica et pontificio et regio honore colebatur. Sed cum Herodem regnum suscepisse audivisset, discedere statuit: illum cum ob affinitatem tumque cædis reum periculo exemisset, sui rationem habiturum esse ratus. Quod etsi Babylonii Judæi dissuadebant, tumque a se pro rege et pontifice coleretur, tumque Hierosolyma reversus, ob mutilatum ab Antigono corpus sacerdotio fungi non posset: tamen suum desiderium, et Herodis preces, illorum monitis prætulit. Nam Herodes etiam a Phraate per legatos missis muneribus petierat, ne obstaret quominus viro de se bene merito gratiam referret. Neque vero Hyrcani commodum spectabat: sed quia regnum alienum tenebat, mutationes haud ab re veritus, id dabat operam, ut aut Hyrcanum e medio tolleret, aut in sua potestate haberet. Reditu a Parthis impetrato, Hyrcanus perquam

B

C

D

Variæ lectiones et notæ.

(43) *Μήτε τῆς τότε τύχης, μήτε τῆς πάλαι μεμνημένος.* Josephus pro μεμνημένος, ponit ἔννοιαν λαβών, quod tantumdem est. Sed videtur Antigonus præsentis fortunæ rationem habuisse. Quid enim victo relinquitur, nisi ut deditionem faciat, aut (itque fortassis eum decuisse Josephus censet) necem sibi consciscat? W.

honorifico ab Herode habebatur, cum et pater appellaretur, et prior accumberet in conviviis, et omni genere calliditatis deciperetur, no insidias parari sibi animadverteret. Herodes porro aliquem ex illustrioribus pontificem designare veritus, Anaeli cuidam obscuro sacerdoti, quem Babylone accersierat, pontificatum tradit. Alexandra vero socrus Herodis, filium suum Aristobulum, puerum formosissimum, Alexandro Aristobuli filio natum, præteritum esse aegre ferens, a Cleopatra petit ut filio pontificatura impetret ab Antonio : quibus precibus segnius ab illo acceptis, Dellius in Judæam profectus, **235** Aristobuli et Mariammæ conjugis Herodis formam admiratus, Alexandræ persuadet, ut amborum liberorum imagines Antonio mittat : quibus ille conspectis, nihil non concessurus esset. Antonius imaginibus acceptis, puellam Herodi nuptam accersere verecundatus, etiam Cleopatræ criminationes declinans, ad Herodem scribit, ut sibi puerum mittat, cum hac appendice : nisi grave ipsi videretur. Herodes vero minime e re sua esse ratus, si Aristobulus adolescens formosissimus et nobilissimus ad Antonium Romanorum potentissimum, qui facile amoribus irretiretur, et ad voluptates propensus esset, mitteretur : rescripsit, si adolescens Judæa excessisset, omnia tumultu fore plena, itaque se Antonio excusavit ; et amicis convocatis, Alexandram incusavit, tanquam regnum sibi fraude eripere conantem. Se tamen propterea non injustum fore dixit, sed jam adolescenti pontificatum daturum : qui cum pridem plane puer esset, propterea se alium pontificem interea designasse. Quæ cum dixisset, Alexandra et lætitia et metu affecta est. Lætitia, ob filii honorem ; timore, ob Herodis suspicionem. Seque cum lacrymis excusavit, se pontificatum quidem appetivisse, regnum autem non affectasse : ac jam honorem filio tributum amplecti, et morigeram in omnibus ei se futuram pollicita est. Sic inter se colloculi, discesserunt.

ἡ σπουδή, ἀλλ' ὅτι μὴ κατ' ἀξίαν ἦρχεν, ἐδεδοίκει τὰς ἐξ εὐλόγων μεταβολάς, καὶ ἔσπευδεν ἢ ἐκ ποδὸς θέσθαι τὸν Ὑρκανόν, ἢ τέως ἐν χερσὶν ἔχειν. Ἐνδεδωκότος δὲ τοῦ Πάρθου τὴν ἀναχώρησιν, ἀπελθὼν Ὑρκανὸς διὰ πάσης ἤγετο τιμῆς πρὸς Ἡρῴδου, πατήρ τε καλούμενος, καὶ παρὰ τὰς ἑστιάσεις προκατακλινόμενος, καὶ παντοίως ἐξαπατώμενος, ἵνα μὴ ἐπιβουλευόμενος αἴσθηται. Εὐλαβούμενος δὲ ὁ Ἡρῴδης τῶν ἐπισήμων τινὰ ἀποδεῖξαι ἀρχιερέα, ἐκ Βαβυλῶνος μεταπεμψάμενος ἱερέα τῶν ἀσημοτέρων, Ἀνανὴλ ὄνομα, τούτῳ τὴν ἀρχιερωσύνην ἀπένειμεν. Ἀλεξάνδρα δὲ ἡ πενθερὰ Ἡρῴδου, παῖδα ἔχουσα Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου, ὥρᾳ κάλλιστον, καλούμενον Ἀριστόβουλον, χαλεπῶς ἔφερε τὴν παρόρασιν τοῦ υἱοῦ· καὶ γράφει τῇ Κλεοπάτρᾳ, αἰτήσασθαι τῷ παιδὶ παρ' Ἀντωνίου τὴν ἀρχιερωσύνην. Ἀντωνίου δὲ νεωτέρου διατεθέντος περὶ τὴν αἴτησιν, εἰς Ἰουδαίαν ἐλθὼν Δέλλιος, καὶ ἰδὼν τὸν Ἀριστόβουλον, ἠγάσθη. οὐχ ἧττον δὲ τὴν Μαριάμμην τὴν συνοικοῦσαν τῷ βασιλεῖ· καὶ πείθει τὴν Ἀλεξάνδραν ἀμφοτέρων τῶν παίδων εἰκόνας τῷ Ἀντωνίῳ στεῖλαι· θεασαμένου γὰρ εἶπε μή τινος ἀτευχτήσειν ὧν ἀξιοῖ. Ἡ μὲν οὖν πέμπει τὰς εἰκόνας τῷ Ἀντωνίῳ· ὁ δὲ τὴν μὲν κόρην ἠδέσθη μεταπέμψασθαι γεγαμημένην Ἡρῴδῃ, καὶ ἅμα τὰς εἰς Κλεοπάτραν διαβολὰς ὑπεξέκλινεν, ἐπέστειλε δὲ τῷ Ἡρῴδῃ πέμπειν τὸν παῖδα, προσθέμενος, εἰ μὴ δοκοίη βαρύ. Ἡρῴδης δὲ, ἀσύμφοραν ἑαυτῷ κρίνας, ὡραιότατον ὄντα τὸν Ἀριστόβουλον, καὶ γένει προὔχοντα, πρὸς Ἀντώνιον ἧκειν, ἰσχύοντα ὡς οὐδεὶς Ῥωμαίων, ἕτοιμον δὲ πρὸς ἔρωτας, καὶ πρὸς ἡδονὰς εὐκατάφορον, ἀντέγραψεν ὡς, εἰ ἐξέλθῃ τῆς χώρας τὸ μειράκιον, ἅπαντα ταραχῆς ἐμπλησθήσεται. Καὶ οὕτω μὲν παρῃτήσατο τὸν Ἀντώνιον· τοὺς δὲ φίλους ἀθροίσας, ἠτιᾶτο τὴν Ἀλεξάνδραν, ὡς ἐπιβουλεύουσαν, ἵν' αὐτὸς ἀφαιρεθῇ τὴν ἀρχήν· Ἀλλ' οὐκ αὐτὸς, ἔφη, διὰ τοῦτο ἄδικος ἔσομαι, ἀλλὰ νῦν δίδωμι τὴν ἱερωσύνην τῷ μειράκιῳ· παιδὸς γὰρ ὄντος παντάπασι πρώην, διὰ τοῦτο ἕτερον ἀρχιερέα ἐποίησα. Οὕτως εἰπόντος, χαράτε ἄμα καὶ δέος τὴν Ἀλεξάνδραν εἶχε· χαρὰ μὲν διὰ τὴν τιμὴν τοῦ παιδὸς, δέος δὲ διὰ τὴν ὑποψίαν Ἡρῴδου. Καὶ ἀπελογεῖτο δακρύουσα, περὶ μὲν τῆς ἱερωσύνης σπουδάσαι, βασιλείᾳ δὲ μὴ ἐπιχειρῆσαι· καὶ νῦν δέχεσθαι εἰς τὸν υἱὸν τὴν τιμὴν, ἔσεσθαι δὲ πρὸς πᾶν ὑπήκοος διεβεβαιοῦτο. Οὕτως ὁμιλήσαντες διελύοντο.

XIII. Omni suspicione sublata, et pontificatu puero Aristobulo tradito, Herodes res domesticas constituendi cupidus, Alexandram, quam suspectam habebat, in regia degere jussit, neque suapte auctoritate quidquam agere. Quæ cum accurate a quibusdam observaretur, exasperata, et quivis potius tolerandum rata, quam vitam servilem et sollicitam, Cleopatræ opem implorat, statu rerum suarum exposito. Quæ cum eam cum filio ad se confugere jussisset : duabus cistis quasi ad efferendum funus præparatis, in eas se et filium includere statuit, quas servis rei consciis mandavit, ut noctu ad mare deferrent, ubi paratam navim habebant, qua in Ægyptum navigarent. Id consilium **236** Herodes e quodam servorum illius cognitum,

ΙΓ'. Πάσης δὴθεν ὑποψίας ἐξηρημένης, τῆς δὲ ἀρχιερωσύνης τῷ παιδὶ δοθείσης Ἀριστοβούλῳ, ἔδοξε τὰ κατὰ τὴν οἰκίαν θεραπευθῆναι. Ἡρῴδῃ δὲ ἡ Ἀλεξάνδρα ὕποπτος ἦν, καὶ ἐν τοῖς βασιλείοις διατρίβειν αὐτὴν ἀπῄτει, καὶ μηδὲν ἐπ' ἐξουσίας ὁρᾶν, καὶ ἐπιμελῶς αὐτὴν ἦσάν τινες φυλάσσοντες. Ἡ δ' ἐξηγριοῦτο, πᾶν ὅτιοῦν ὑπομεῖναι προκρίνουσα ἢ μετὰ δουλείας καὶ φόβων βιοῦν. Καὶ τὴν Κλεοπάτραν παρεκάλει ἐπικουρεῖν, τὰ ἐν οἷς εἴη δηλώσασα. Ἡ δὲ σὺν τῷ παιδὶ πρὸς αὐτὴν ἀποδιδράσκειν ἐκέλευε. Δύο γοῦν λάρνακας παρασκευασαμένη ὡς εἰς ἐκκομιδὴν σωμάτων νεκρῶν, ταύταις ἔμελλεν ἑαυτὴν καὶ τὸν υἱὸν ἐμβαλεῖν, ἐπιτάξασα τοῖς συνειδόσι τῶν οἰκετῶν νυκτὸς ἐκφέρειν καὶ κομίζειν πρὸς θάλασσαν, ὅπου καὶ πλοῖον αὐτοῖς ᾧ

πλεῖν ἐπὶ Αἴγυπτον ἔμελλον παρεσκεύαστο. Ταῦτα ὁ Ἡρώδης ἔκ τινος τῶν οἰκετῶν ἐκείνης μαθών, καὶ προελθεῖν ἐάσας μέχρι τῆς ἐγχειρήσεως, ἐπ' αὐτῇ τῇ πράξει τοῦ δρασμοῦ συνέλαβε. Παρῆκε δὲ τὸ ἁμάρτημα φόβῳ τῆς Κλεοπάτρας, ἀλλ' οὐκ ἐπιεικείᾳ. Ἐδέδοκτο δ' αὐτῷ ἐκποδὼν ποιήσασθαι τὸ μειράκιον. Ἕβδομον οὖν καὶ δέκατον γεγονὸς ἔτος, ἀνῆλθεν ἐπὶ τὸν βωμὸν, θῦσον κατὰ τὴν τῆς Σκηνοπηγίας ἑορτὴν, ἐστολισμένον ἀρχιερατικῶς. Ὁρμὴ δὲ τῷ πλήθει πρὸς αὐτὸ εὐνοίας ἐγένετο διά τε τὸ κάλλος, καὶ τὸ τοῦ σώματος μέγεθος, καὶ τὸ τοῦ γένους ἀξίωμα, ἔχαρόν τε ἅμα καὶ συνεχέοντο, καὶ φωνὰς εὐφήμους ἠφίουν εὐχαῖς μεμιγμένας. Τούτοις κινηθεὶς Ἡρώδης, μᾶλλον ἔθετο τῷ κατὰ τοῦ μειρακίου σκοπῷ. Καὶ τῆς ἑορτῆς παρελθούσης, μεθ' ἑστίασιν φιλοφρονούμενος τὸ μειράκιον, ἐνεανιεύετο καὶ προσέπαιζεν αὐτῷ χαριζόμενος, κἀν ταῖς κολυμβήθραις ἐνήχοντο. Οἱ δ' Ἡρώδου φίλοι, συννηχόμενοι ὡς ἐν παιδιᾷ, οἳ συνῆδεσαν τὸ ἀπόῤῥητον, οὐκ ἀνῆκαν συμπιέζοντες ἀεὶ τὸν Ἀριστόβουλον καὶ βαπτίζοντες, μέχρι τοῦ ἀποπνίξαι. Καὶ ὁ μὲν οὕτως ὤλετο, οὔπω τὸν ὀκτωκαιδέκατον ἀνύσας ἐνιαυτόν. Πᾶσι δὲ τὸ πάθος οἰκεία νενόμισται συμφορά. Καὶ Ἀλεξάνδρα, συνεῖσα καὶ τὴν αἰτίαν τῆς ἀπωλείας, ἔτι μᾶλλον τῷ πάθει συνεῖχετο, ἐνεκαρτέρει δὲ φόβῳ κακῶν ἑτέρων. Ἡρώδης δὲ πάντα ἐπετήδευεν, ἀποσκευαζόμενος τὴν ὑπόνοιαν, καὶ δακρύων, καὶ συγχεόμενος, καὶ πολυτελῆ τὴν ἐκφορὰν ἐνδεικνύμενος. Ἀλεξάνδρα δὲ τούτων οὐδενὶ ἐμαλάττετο, ἀλλὰ τῇ Κλεοπάτρᾳ γράφει τὴν ἐξ ἐπιβουλῆς Ἡρώδου τοῦ υἱοῦ ἀπώλειαν. Ἡ δὲ τὸν Ἀντώνιον ἠρέθιζε τίσασθαι τὸν τοῦ παιδὸς φόνον. Πέμπει οὖν Ἀντώνιος, κελεύων ἐλθεῖν Ἡρώδην εἰς Λαοδίκειαν, καὶ ἀπολογήσασθαι. Ὁ δὲ τὴν αἰτίαν δεδοικὼς, καὶ τὴν Κλεοπάτρας δυσμένειαν, ἀπιὼν, Ἰωσήφῳ τὸν θεῖον αὐτοῦ ἐπίτροπον τῶν ἐκεῖ πραγμάτων κατέλιπεν, ἐντειλάμενος λάθρα, εἴ πάθοι τι παρ' Ἀντωνίου αὐτὸς, αὐτίκα τὴν Μαριὰμ ἀνελεῖν, ἵνα μὴ, τεθνηκότος αὐτοῦ, ἑτέρῳ διὰ τὴν ὡραιότητα γένηται. Ἡρώδης μὲν οὖν ἀπῆει. Ἰωσήφ δὲ, τὰ τῆς ἀρχῆς διοικῶν, καὶ συνεχῶς ἐντυγχάνων τῇ Μαριὰμ καὶ τῇ Ἀλεξάνδρᾳ, τὴν πρὸς τὴν Μαριὰμ διηγεῖτο τοῦ βασιλέως διάθεσιν. Εἰρωνευομένων δ' ἐκείνων πρὸς τοὺς λόγους, προήχθη καὶ τὸ τῆς ἐντολῆς ἐκφῆναι ἀπόῤῥητον. Ἰὸ δὲ μᾶλλον εἰς πλείω τὰς γυναῖκας ἐνῆγεν ἀπόνοιαν. Γίνεται δὲ καὶ λόγος παρὰ τῶν ἀπεχθανομένων Ἡρώδῃ, ὡς κτείνειεν αὐτὸν ὁ Ἀντώνιος. Ἐν τούτοις γράμματα ἐξ Ἡρώδου ἀφίκετο, τὴν Ἀντωνίου τιμὴν τὴν πρὸς αὐτὸν διηγούμενα, καὶ ὡς συνεδρεύει αὐτῷ ἐν ταῖς διαγνώσεσι, καὶ ὡς συνεστιᾶται, καὶ ὅτι τούτων τυγχάνει, καὶ ταῦτα τῆς Κλεοπάτρας χαλεπῆς οὔσης αὐτῷ πρὸς διαβολήν. Τούτων τῶν γραμμάτων κομισθέντων, ἡ ψευδὴς ἐπαύσατο φήμη.

ea usque progredi passus est, donec in ipsa fuga deprehenderentur : ac delictum id non tam humanitate, quam Cleopatræ metu adductus, illis condonavit. Sed cum omnino in animo haberet e medio tollere adolescentem, accidit ut is annum ætatis XVII agens, in festo Tabernaculorum pontificia stola ornatus, aram ad immolandas victimas conscenderet, ac populus impetu quodam ad ejus benevolentiam ferretur, tum ob formam et corporis magnitudinem, tum ob familiæ dignitatem, ac simul et gauderet et mœreret, et faustis acclamationibus preces misceret. Iis rebus commotus Herodes, magis etiam id consilium ursit, quod contra illum ceperat. Festoque peracto, post convivium ei se jucundum præbuit, juveniliter ac festive collusit, ac in piscina una cum eo natavit. Verum Herodis amici, arcani conscii, quasi per jocum Aristobulum premere et mergere non prius destiterunt, quam suffocassent. Eo nondum annos nato XVIII sic enecato, casum illum quisque non secus ac suam calamitatem ferebat. Alexandræ vero dolor, causa quoque interitus cognita, magis etiam augebatur, et quanquam Herodes ad eam suspicionem a se amovendam nihil non faceret, flendo, lugendo, et funus magnifice efferendo, mater tamen nulla rerum earum mitigata, Cleopatræ scribit, ut Herodis insidiis suus filius interiisset, a qua incitatus Antonius, illum ad causam dicendam Laodiceam vocat. Ille et crimen et Cleopatræ inimicitias, cum abiret, veritus, Josephum patruum suum rerum administrationi præficit : eumque mandat, si quid sibi ab Antonio accidisset, ut Mariammen statim tolleret, ne se mortuo alteri ob formæ elegantiam nuberet. Josephus post Herodis discessum rebus gerendis intentus, crebro cum Alexandra et Mariamme congressus, ut rex erga hanc affectus sit commemorat. Illis vero ea verba per dissimulationem eludentibus, sibi non temperavit quominus arcanum mandatum effutiret. Ea oratio majorem desperationem mulieribus attulit. Sparso autem rumore ab Herodis inimicis, eum ab Antonio occisum esse : litteræ **237** ab ipso afferuntur, quibus exponebat quam honorifice ab illo tractaretur, ut pro tribunali illi assideret, ut ejus conviviis interesset : eaque sibi tribuerentur, quamvis Cleopatra graviter criminante. Iis litteris falsum rumorem abolevit.

ΙΔ'. Ἐπεὶ δὲ προπέμψας ὁ βασιλεὺς Ἡρώδης τὸν Ἀντώνιον ἐπὶ Πάρθους, εἰς τὴν Ἰουδαίαν ὑπέστρεψεν, εὐθὺς ἡ ἀδελφὴ Σαλώμη καὶ ἡ μήτηρ αὐτῶν κατηγόρουν Ἀλεξάνδρας καὶ Μαριάμ. Ἡ δὲ Σαλώμη καὶ κατὰ τοῦ ἀνδρὸς ἑαυτῆς λόγον εἰσῆγεν, ὡς μιγνυμένου τῇ Μαριάμ· οὗτος δ' ἦν Ἰωσήφ, ὁ τῶν τῆς βασιλείας πραγμάτων ἐπίτροπος. Ἔλεγε δὲ ταῦτα, ἐκ πλείονος αὐτῇ χαλεπαίνουσα, ὅτι τὴν αὐτῶν δυσγένειαν ἐξωνείδιζεν. Ἡρώδης δὲ εὐθὺς ἐταράττετο,

XIV. Cum autem Antonium in Parthos proficiscentem prosecutus, Hierosolyma rediisset, statim Salome soror, et mater ejus, Alexandram et Mariammen accusarunt. Salome etiam verba interjecit, maritum suum Josephum, regiorum negotiorum procuratorem, cum Mariamme rem habere. Hæc dicebat ex inveterato odio, propter objectam sibi a Mariamme ignobilitatem. Herodes vero statim perturbatus, ex æmulatione Mariammen seorsim

percuntatur. Illa crimen ejerante, remissa iracundia victus amore, suum erga illam affectum testatur. Illa vero respondet, mandatum illud non esse amantis, quo si quid ipsi accidisset ab Antonio gravius, se quoque interfici jussisset. Id dictum Herodem ita perculit, ut exclamaret, ex eo constare de Josephi erga illam amore. Neque enim arcanum fuisse proditurum, nisi magnus eos affectus copulasset. Ac statim uxorem occidisset, nisi amore illius subactus fuisset. Josephum certe quidem, nec in conspectum suum admissum, interfici jussit : Alexandram, ut malorum omnium auctorem, in vincula conjectam asservavit. Antonius porro amore, ac potius veneficiis Cleopatræ corruptus, cupiditatibus illius serviebat. Ea fratrem, ad quem regnum pertinebat, veneno sustulerat ; sororem Arsinoem per Antonium occiderat : Antonium ipsum cogere nitebatur, ut sibi Judæam et Arabiam attribueret. Qui ut et manifestam injuriam velaret, et mulieris amoribus ac potius prastigiis indulgeret, ablatis ab utraque provincia partibus, insatiabilem illius cupiditatem mitigavit. Antonio in Armeniam ducente exercitum, Cleopatra in reditu cum Herode in Judæam venit, familiaritate in tantum aucta, ut eum etiam ad cubile invitarit, sive ex effrenata libidine, sive ex illius amore, sive quod probabilius est, ut principium insidiarum ex illo congressu contra hominem **238** captaret. Sed Herodes, verbis illius elusis, muneribus placatam in Ægyptum deduxit. Septimo Herodis anno Judæa tanto terræmotu est concussa, quanto nunquam alias : nec jumenta duntaxat multa perierunt, sed et hominum ad xxx millia ruinis ædificiorum sunt oppressa. Herodes vero redemptis vectigalibus earum provinciarum, quæ in Arabia et Judæa Cleopatræ attributæ erant, cum Arabs in pendendis tributis parum æquum se præberet, bellum ei Antonii permissu inferre constituit ; ac multis prœliis factis, tandem victor gente supplice in clientelam accepta, domum revertitur, ob rem fortiter gestam nomine magno parto, et plenus animorum. Sed Antonio recens ad Actium a Cæsare superato, res ejus turbatæ sunt, ac potius plane deploratæ. Neque enim sperari poterat, eum in tanta Antonii amicitia, nullam a Cæsare cladem accepturum. Cum autem jam ante in animo habuisset, Hyrcanum e medio tollere : tum magis etiam id consilium probabat, ne vir superesset regno se dignior, idque tali casu est confirmatum. Nam Alexandra, contentiosa muliercula, non prius urgere patrem destitit, ut ad Malchum Arabum principem confugeret, quam principio refragantem denique impulisset, ut per litteras ab illo se suscipi peteret, iis Dositheo amico ut perterret datis. Is vero cum epistolam Herodi tradidisset, jussus est ea ad Malchum perlata, responsum illius afferre. Quo per Dositheum confecto, rescripsit Arabs, se et Hyrcanum et omnes illius necessarios esse recepturum. Ea epistola recepta,

καὶ ζηλοτυπῶν, ἰδίᾳ τὴν Μαριὰμ ἀνέκρινεν. Ἀπομνυμένης δ' ἐκείνης, ἐχάλα τὴν ὀργήν, καὶ τοῦ ἔρωτος ἥττητο, καὶ τὴν εἰς αὐτὴν ἐπιστοῦτο φιλοστοργίαν. Ἡ δὲ, Οὐ στέργοντος εἶπεν εἶναι τὸ κἀμὲ ἀπολέσθαι ἐντεῖλασθαι, εἴ γέ σοι παρ' Ἀντωνίου χαλεπόν τι ἐπενεχθῇ. Οὗτος ὁ λόγος τὸν Ἡρώδην ἐτάραξε, καὶ ἔδοα, σαφῶς ἐκ τούτου πεφωρᾶσθαι τὸν τοῦ Ἰωσὴφ πρὸς αὐτὴν ἔρωτα. Οὐ γὰρ ἂν ἐξεῖπε τὸ ἀπόῤῥητον, ἔλεγεν, εἰ μὴ μεγάλης συναφάσης αὐτοὺς διαθέσεως. Καὶ ἀπέκτεινεν ἂν τὴν γυναῖκα αὐτίκα, εἰ μὴ τῷ αὐτῆς δεδούλωτο ἔρωτι. Τὸν Ἰωσὴφ δὲ, μηδ' εἰς ὄψιν αὐτοῦ ἀγαγὼν, προσέταξε διαχρήσασθαι, καὶ τὴν Ἀλεξάνδραν ὡς ἁπάντων αἰτίαν δήσας ἐφύλαττεν. Ἀντώνιος δὲ τῷ Κλεοπάτρας ἔρωτι, μᾶλλον δὲ φαρμακείαις διεφθαρμένος, ταῖς ἐκείνης βελήσεσιν ἐδεδούλωτο. Ἦ τὸν μὲν ἀδελφὸν, ᾧ ἡ βασιλεία ὑπέφερε, φαρμάκῳ διέφθειρε· τὴν δ' ἀδελφὴν Ἀρσινόην, δι' Ἀντωνίου ἀπέκτεινε· τὸν μέντοι Ἀντώνιον ἐβιάζετο τὴν Ἰουδαίαν αὐτῇ καὶ τὴν Ἀραβίαν προσνεῖμαι. Ὁ δὲ, τὴ προφανὲς τῆς ἀδικίας δυσωπούμενος, ἐκείνῃ τε χαρίζεσθαι διὰ τοὺς ἔρωτας καὶ τὰς γοητείας ἀναγκαζόμενος, ἐξ ἑκατέρων τῶν χωρῶν μέρη ἀποτεμόμενος, τούτοις αὐτῆς τὴν ἀπληστίαν παρεμυθήσατο. Ὁ μὲν οὖν Ἀντώνιος εἰς Ἀρμενίαν ἐστράτευσεν· ἡ δὲ, ὑποστρέφουσα, εἰς τὴν Ἰουδαίαν ἐγένετο, συντυχόντος αὐτῇ τοῦ Ἡρώδου. Συνηθείας δὲ αὐτῇ πρὸς Ἡρώδην γενομένης, προσεκαλεῖτο αὐτὸν εἰς εὐνὴν, ἀκρατῶς πρὸς μίξιν διακειμένη, τάχα δέ τι καὶ παθοῦσα πρὸς ἐκεῖνον ἐρωτικὸν, ἢ τὸ πιθανώτερον, ἀρχὴν ἐνέδρας τὴν ἐπ' αὐτῇ ὁμιλίαν κατὰ τοῦ ἀνδρὸς συσκευάζουσα. Ἡρώδης δὲ τοὺς μὲν λόγους αὐτῆς διεκρούσατο, δωρεαῖς δὲ θεραπεύσας, ἐπ' Αἴγυπτον προὔπεμψεν. Ἑβδόμου δὲ ἤδη ἔτους Ἡρώδου τῆς βασιλείας ἐνεστηκότος, ἐσείσθη τῶν Ἰουδαίων ἡ γῆ, ὡς οὐκ ἄλλοτε. Καὶ τῶν τε κτηνῶν φθορὰ πολλὴ γέγονε, καὶ τῶν ἀνθρώπων ὡσεὶ τρισμύριοι ἐν ταῖς καταπεπτωκυίαις οἰκίαις συγκατεχώσθησαν. Τοὺς φόρους δὲ τῶν ἀπογεμηθεισῶν τῇ Κλεοπάτρᾳ χωρῶν ἐξ Ἀραβίας καὶ Ἰουδαίας Ἡρώδου μισθωσαμένου, ὁ Ἄραψ περὶ τὴν τοῦ δασμοῦ καταβολὴν ἠγνωμόνει. Ἔγνω οὖν ὁ βασιλεὺς χωρῆσαι κατὰ τοῦ Ἄραβος, καὶ ὑπ' Ἀντωνίου τοῦτο ἐπιτραπείς, καὶ συμβαλὼν πολλάκις, τελευταῖον νικᾷ, καὶ προστατεῖν τοῦ ἔθνους ὑπὸ τῶν Ἀράβων ᾑρέθη. Καὶ ὑπέστρεψεν εἰς τὰ οἰκεῖα, μέγα διὰ τὰ ἀνδραγαθήματα κτησάμενος ὄνομα, καὶ φρονήματος ἐμπλεως. Ἄρτι δὲ Καίσαρος τὸν Ἀντώνιον ἐν Ἀκτίῳ μάχῃ νικήσαντος, Ἡρώδῃ τὰ πράγματα τεθορύβητο, ἢ καὶ ἀπέγνωστο τέλεον. Οὐ γὰρ ἦν ἐλπὶς τοσαύτης αὐτῷ πρὸς Ἀντώνιον φιλίας γενομένης, μὴ κακωθῆναι ὑπὸ τοῦ Καίσαρος. Ἡρώδης δὲ, τὸν Ἴρκανὸν ἐκ μέσου ποιῆσαι διανοούμενος, τότε μᾶλλον ᾤετο συμφέρειν αὐτῷ τὴν ἐγχείρησιν, ἵνα μὴ ἀνὴρ περισώζοιτο, τυχεῖν τῆς βασιλείας αὐτοῦ ἀξιώτερος. Ἡρώδης μὲν οὖν οὕτω διανενόητο· ἠρέθισε δέ τι συμβὰν πρὸς τὴν πρᾶξιν πλέον αὐτόν. Ἡ γὰρ Ἀλεξάνδρα, φιλόνεικον ὑπάρχουσα γύναιον, οὐκ ἀνίει ἀναπείθουσα τὸν πατέρα, Μάλχῳ προσχωρῆσαι τῷ τὴν Ἀραβίαν ἔχοντι. Ὁ δὲ πρῶτον μὲν διωθεῖτο τοὺς

λόγους. Ἐγκειμένης δ' ἐκείνης, τέλος ἐπιστολὴν πρὸς τὸν Μάλχον ἐγχαράττει περὶ τοῦ δέξασθαι σφᾶς, καὶ Δοσιθέῳ τινὶ τῶν φίλων δίδωσι ταύτην. Καὶ ὃς Ἡρῴδῃ τὴν ἐπιστολὴν ἐνεχείρισεν. Ὁ δὲ ἀποδοῦναι τῷ Μάλχῳ τὴν γραφὴν ἠξίωσε τὸν Δοσίθεον, καὶ τὰ παρ' ἐκείνου γράμματα ἐνεγκεῖν. Ταῦτα δὲ τοῦ Δωσιθέου πληρώσαντος, ἀντεπέστειλεν ὁ Ἄραψ αὐτόν τε τὸν Ὑρκανὸν δέξασθαι, καὶ πάντας τοὺς σὺν αὐτῷ. Ταύτην οὖν Ἡρῴδης δεξάμενος τὴν ἐπιστολὴν, μεταπέμπεται Ὑρκανὸν, καὶ περὶ τῶν πρὸς τὸν Μάλχον ἀνέκρινε συνθηκῶν· ἀρνουμένου δὲ, τὰς ἐπιστολὰς δείξας τῷ συνεδρίῳ, τὸν ἄνδρα διεχειρίσατο. Πολλοὶ δὲ σκῆψιν Ἡρῴδου τὰ κατὰ τὸν Ὑρκανὸν γενέσθαι φασὶ, βουλομένου αὐτὸν ποιήσασθαι ἐκποδών. Καὶ τούτου ποιοῦνται τεκμήριον τὴν τοῦ ἀνδρὸς ἐπιείκειαν ἢ ἀφέλειαν, καὶ τὸ μηδὲ ἐν νεότητι θράσους τι ἢ προπετείας ἐνδείξασθαι· τότε δὲ ἦν ἐτῶν ὀγδοήκοντα πρὸς ἑνί.

A Herodes Hyrcanum accersit, de fœdere cum Malcho icto quærit, inficias eumtem, litteris in concilio prolatis, interficit. Sunt qui Herodem hoc contra Hyrcanum commentum esse arbitrentur, ut hominem e medio tollere posset, argumento ex facilitate et simplicitate viri sumpto: qui ne adolescens quidem, quidquam audax aut temerarium tentarit, nedum tunc LXXXI ætatis annum agens.

ΙΕ'. Ἡρῴδης δὲ, σπεύδων πρὸς Καίσαρα, τὴν μὲν μητέρα καὶ τὴν ἀδελφὴν καὶ πᾶσαν τὴν γενεὰν ἐν Μασάδοις κατέστησε: Μαριὰμ δὲ τὴν γυναῖκα σὺν Ἀλεξάνδρᾳ τῇ μητρὶ εἰς Ἀλεξάνδριον ἦγαγε, προφάσει τιμῆς φρουροὺς ἐγκαταστήσας αὐταῖς, Ἰωσήφῳ τὸν ταμίαν καὶ τὸν Ἰτουραῖον Σόεμον, πιστοτάτους αὐτῷ, ἐντειλάμενος αὐτοῖς, εἴ τι περὶ αὐτοῦ πύθοιντο δυσχερὲς, ἐξ αὐτῆς καὶ ἄμφω διαχειρίσασθαι, τὴν δὲ βασιλείαν τοῖς παισὶν αὐτοῦ καὶ τῷ ἀδελφῷ Φερώρᾳ διατηρεῖν. Τοιαύτας δοὺς ἐντολὰς, εἰς Ῥόδον ἠπείγετο πρὸς τὸν Καίσαρα. Καταπλεύσας δὲ, περιεῖλε μὲν τὸ διάδημα, τοῦ ἄλλου δ' ἀξιώματος οὐδὲν ὑφῆκεν· ἀλλὰ καὶ κοινωνήσας λόγου τῷ Καίσαρι, τὸ μεγαλεῖον ἐνέφηνε τοῦ φρονήματος, οὔτε πρὸς ἱκεσίας τραπόμενος, καὶ τὸν λογισμὸν τῶν πεπραγμένων οὐ μετ' ὑποστολῆς ἀποδούς. Οὐ μετρίως οὖν ἐπεσπάσατο τὸν Καίσαρα, καὶ τό τε διάδημα πάλιν ἀποκατέστησεν αὐτῷ, καὶ ἦγε διὰ τιμῆς. Οὕτω δὲ παρ' ἐλπίδα ἐσχηκὼς βεβαιοτέραν τὴν βασιλείαν, παρέπεμψεν ἐπ' Αἴγυπτον Καίσαρα, δωρησάμενος αὐτόν τε καὶ τοὺς φίλους φιλοτιμότατα. Ἐπανῆλθε δὲ πρὸς τὴν Ἰουδαίαν πλείονι τιμῇ καὶ παῤῥησίᾳ, καὶ τεταραγμένην αὐτῷ τὴν οἰκίαν κατέλαβεν. Ὠιήθεῖσαι γὰρ ἥ τε Μαριὰμ καὶ ἡ Ἀλεξάνδρα, ὅπερ ἦν, ὅτι ὡς ἐν φρουρᾷ κατεκλείσθησαν εἰς τὸ Ἀλεξάνδριον, ἵνα μηδ' ἑαυτῶν ἐξουσίαν ἔχοιεν, χαλεπῶς ἔφερον, καὶ διὰ θεραπείας τοὺς φρουροὺς ἐπεποίηντο, καὶ μᾶλλον τὸν Σόεμον, λόγοις αὐτὸν καὶ δωρειαῖς θεραπεύουσαι. Ὁ δ' ἠττᾶτο κατὰ μικρὸν, καὶ τὰς ἐντολὰς τοῦ βασιλέως ταύταις ἐξέφηνεν. Αἱ δὲ χαλεπῶς πρὸς ταῦτα διέκειντο, καὶ μᾶλλον ἡ Μαριάμ. Ἡρῴδου γὰρ πρώτῃ τῇ γυναικὶ περὶ τῶν κατ' αὐτὸν, ὡς εἰκὸς, εὐαγγελιζομένου, καὶ πρὸ τῶν ἄλλων ἀσπαζομένου, ἡ δὲ πρὸς μὲν τοὺς ἀσπασμοὺς ἔστενε, πρὸς δὲ τὰς εὐτυχίας ἀχθομένη ἔφκει, ὡς ἐκταράττεσθαι τὸν βασιλέα, καὶ ἀδημονεῖν διὰ τὸ τοῦ μίσους παράλογον· καὶ ὁρμῆσαι μὲν πολλάκις εἰς ἄμυναν τῆς ὑπεροψίας αὐτῆς, ἀνακόπτεσθαι δὲ ὅτι προκαταλήπτο ὑπὸ ἔρωτος. Τὸ δὲ σύμπαν ἐδεδοίκει μὴ λάθῃ, κωλάσας ἐκείνην, μᾶλλον ἑαυτὸν κακῶς διαθέμενος, τῆς ἐρωμένης οὐκ οὔσης. Ἡ δέ γε μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ παρώξυνον τὸν Ἡρῴδην διαβολαῖς, ζηλοτυπίαν αὐτῷ καὶ μῖσος ἐνιείσαι. Καὶ ὃς χεῖρον εἶχεν ἀεὶ πρὸς αὐτὴν, τῆς μὲν οὐκ ἀποκρυπτούσης τὴν πρὸς ἐκεῖνον διάθεσιν, τοῦ δὲ ἔρωτα πρὸς ὀργὴν ἀεὶ μεταβάλλοντος. Καὶ εἰ μὴ

XV. Herodes vero ad Cæsarem festinans, matrem, sororem, et omnes liberos Masadis collocavit: 239 Mariammen uxorem cum ejus matre Alexandra Alexandrium duxit, custodibus per speciem honoris adhibitis, Josepho quæstore et Ituræo Soemo fidissimis suis, cum hoc mandato, si quid de se adversi audivissent, ut ambabus interfectis, regnum suis filiis et fratri Pheroræ conservarent. Deinde ad Cæsarem Rhodum profectus, solo diademate posito, aliis in rebus nihilo se humilius gessit: ac in colloquio cum Cæsare magnitudinem animi præ se tulit, non ad preces conversus, et ratione actorum suorum citra submissionem reddita. Qua Cæsar non mediocriter ei conciliatus, et diadema restituit, et honorem habuit. Sic regno præter opinionem suam firmato, Cæsarem cum amicis munificentissime donatum, in Ægyptum prosecutus est. Inde in Judæam majore cum honore et fiducia regressus, domum suam turbatam reperit. Nam Alexandra et Mariamme rate, id quod res erat, se in Alexandrio tanquam in custodia conclusas esse, ut nec in semetipsas potestatem haberent, graviter id tulerunt, ac custodibus, Soemo præsertim, tum verbis, tum muneribus conciliatis, hominem paulatim, eo usque impulerunt, donec regis mandata eloquerentur. Quibus auditis commotæ sunt, Mariamme potissimum. Cui cum Herodes primæ, ut uxori par est, statum suum nuntiasset, et præ cæteris salutem dixisset, illa ad salutationes ingemuit, ad felicitatis commemorationem mœrorem præ se tulit, ut percelleretur rex, et ad eam insolentiam vindicandam sæpius concitaretur: sed aucto vehementia impetum illius retardavit. Ad summam, verius est, ne dum per imprudentiam adamatam mulcaret, in seipsum gravius amissa illa animadverteret. Sed quoniam a matre et sorore calumniis ad zelotypiam et odium exstimulabatur, in dies pejus erga eam est affectus, illa suum animum non dissimulante, ipso amorem ira commutante. Quod si ad Cæsarem victorem in Ægyptum non festinasset, Antonio et Cleopatra jam mortuis, statim fortasse facinus perpetratum esset. Nunc rebus domesticis relictis, maxima a Cæsare in 240 Ægypto est consecutus, majorique cum splendore reversus. Mariamme vero, quam ardentissime amabat, alias casta erat et fida

illi, sed amore subacto interdum contumeliose insultabat, et matri ac sorori ejus ignobilitatem per derisum objiciebat. Odium porro hac occasione erupit. Rex meridiano tempore thalamum ingressus ut quiesceret, Mariammen vocavit : ea vero illi male dixit, ob fratrem et avum suum interfectos. Quod illo graviter ferente, Salome opportuno tempore arrepto, pincernam, quem ante corruperat ut Mariammen accusaret, impulit ut tum regem conveniret, et ea quæ ab ipsa edoctus esset, proferret. Ille vero sibi munera ab illa oblata esse asserebat, ut philtrum ei propinaret : id vero esse venenum quoddam, cujus ipse vires ignoraret. His rex auditis, iracundia majore inflammatus, de pincerna uxoris, quem ei fidissimum esse sciebat, quæstiones habuit. Is cum de iis ob quæ torquebatur, neque sciret neque diceret quidquam, odium mulieris e Soemi verbis ortum ducere asserebat. Nondum eam orationem finierat, cum Herodes magna voce exclamavit, Soemum mandata sua non fuisse pro nihilo habiturum, nisi aliquid rei cum muliere habuisset, eumque statim interfici jussit, uxorem vero intimis suis convocatis, de poculis amatoriis et veneficiis iratus accusavit. Quam ii qui aderant, ut rex affectus esset cernentes, capitis condemnarunt. Dum ad necem abducitur, Alexandra mater ejus jam suæ quoque vitæ timens, et ignorationem criminum, quæ Mariammæ objecta essent, præ se ferens, exsiliit, filiamque nuam et ingratam erga maritum appellavit. Illa vero neque perturbata ea re, neque ullum effata verbum vultu intrepido, et forti animo ad mortem ivit, generosam indolem in extremis etiam præ se ferens.

XVI. Cum Mariamne, interitu a Salome maturato, ita periisset, Herodes amore illius magis exarsit, sæpe nomine eam inclamavit, indecore lamentatus, et usque adeo affectu illo victus, ut per ministros Mariammen vocari juberet. Denique in deserta egressus, **241** ibique mœrori indulgens, in gravem morbum incidit, qui erat inflammatio et putrefactio cervicis, et mentis alienatio. Alexandra vero Hierosolymis degens, cum regem iis malis conflictari audivisset, duo suburbana castella occupare conata, jussu ejus statim occiditur : qui cum mortis periculum ægre evitasset, sævum se præbuit et implacabilem, ad vindictam et cædes propensus, non vulgi duntaxat, sed intimorum etiam amicorum. Patria quoque instituta violavit, et peregrinis moribus veterem statum corrupit. Quibus re-

πρὸς Καίσαρα ἔκπευδιν, ἧς κεκρατηκότα, Ἀντωνίου καὶ Κλεοπάτρας θανόντων, εἰς Αἴγυπτον, τάχα εὐθὺς ἂν ἐπράχθη τὸ δεινόν. Νῦν δὲ τὰ περὶ τὴν οἰκίαν ὡς εἶχε κατέλιπε, καὶ εἰς Αἴγυπτον ἀφικόμενος, μεγίστων ἠξιώθη παρὰ τοῦ Καίσαρος, καὶ ἐπανῆλθε λαμπρότερος. Ἦρα δὲ τῆς Μαριὰμ καὶ σφόδρα διακαῶς· ἡ δὲ τὰ μὲν ἄλλα σώφρων ἦν αὐτῷ καὶ πιστὴ, κατατρυφῶσα δὲ τοῦ ἀνδρὸς δεδουλωμένου διὰ τὸν ἔρωτα, πολλάκις μὲν ἐξύβριζεν εἰς αὐτὸν, καὶ τὴν αὐτοῦ δὲ μητέρα καὶ τὴν ἀδελφὴν ἐπὶ δυσγενείᾳ ἐχλεύαζεν. Ἐξερράγη δὲ τὸ μῖσος εἰς τοὐμφανὲς ἐκ τοιαύτης λαβῆς. Μεσημβρίας οὔσης ὁ βασιλεὺς εἰς τὸν θάλαμον εἰσῆει ἀναπαυσόμενος, καὶ ἐκάλει τὴν Μαριάμ· ἡ δὲ, εἰσελθοῦσα, ἐλοιδορεῖτο αὐτῷ, ὡς τὸν πάππον αὐτῆς καὶ τὸν ἀδελφὸν ἀποκτείναντι. Ἐχαλέπαινε δὲ ἐπὶ τούτοις ὁ βασιλεύς. Καὶ ἡ Σαλώμη, τοῦ καιροῦ δραξαμένη τὸν οἰνοχόον προδιαφθείρασα, κατηγορῆσαι τῆς Μαριὰμ πείθει τοῦτον τότε τῷ βασιλεῖ προσελθεῖν, καὶ ἃ παρ' ἐκείνης ἐδιδάχθη, αὐτῷ διαλέξασθαι. Ὃ δὲ δώροις ἔλεγε παρὰ τῆς Μαριὰμ δεξιωθῆναι, ἀναπείθουσης φίλτρον αὐτῷ δοῦναι· τὸ δ' εἶναί τι φάρμακον, οὗ τὴν δύναμιν ἰσχυρίζετο ἀγνοεῖν. Τούτων ἀκούσας ὁ βασιλεὺς, ἔτι μᾶλλον κεκίνητο εἰς ὀργήν· καὶ τὸν τῆς γυναικὸς οἰνοχόον, πιστότατον ὄντα αὐτῇ, ἐβασάνιζεν. Ὁ δὲ οὐδὲν περὶ ὧν ἐβασανίζετο οὔτ' ᾔδει, οὔτ' ἔλεγεν, ἀλλὰ τὸ μῖσος τῆς γυναικὸς ἔφασκε γενέσθαι διὰ τοὺς λόγους, οὓς ὁ Σόεμος αὐτῇ φράσειεν. Οὕτω τὸν λόγον ἐκεῖνος εἰς τέλος ἤνεγκε, καὶ μέγα βοήσας Ἡρῴδης· Οὐκ ἄν, ἔφη, Σόεμος τὰς ἐντολὰς ἐξεφαύλισεν (44), εἰ μή τις αὐτῷ πρὸς τὴν γυναῖκα κοινωνία ἐγένετο. Τὸν μὲν οὖν Σόεμον εὐθὺς κτανθῆναι ἐκέλευσε· τῆς δὲ γυναικὸς κατηγόρει, τοὺς οἰκειοτάτους συναγαγὼν, περὶ φίλτρων καὶ φαρμάκων, καὶ ὀργίλως κατ' αὐτῆς διέκειτο. Οὕτω δ' ἔχοντα ὁρῶντες αὐτὸν οἱ παρόντες, θάνατον ἐκείνης κατεψηφίσαντο. Καὶ ἡ μὲν ἦγετο τὴν ἐπὶ θανάτῳ· Ἀλεξάνδρα δ' ἡ μήτηρ ἀγνοιαν ὧν ἡ Μαριὰμ κατηγορήθη ἐμφαίνουσα, ἐκ θυγατέρα ἐκάλει, καὶ δίκαια πάσχειν ἔλεγεν. Ἡ δὲ, ἀπῆει πρὸς τὸν θάνατον ἀτρεμαίῳ τῷ καταστήματι ἐσχάτοις ἐμφαίνουσα.

ΙϚ'. Καὶ ἡ μὲν οὕτως ἀπέθανε, τῆς Σαλώμης αὐτῇ κατεπειξάσης τὸν θάνατον. Ἡρῴδης δὲ τότε μᾶλλον ἐξῆπτο πρὸς τὸν ἐκείνης ἔρωτα, καὶ παλλάκις ἀνεκλήτους ἦσαν αὐτῆς, καὶ θρῆνοι ἀσχήμονες. Καὶ οὕτως αὐτοῦ τὸ πάθος ἐκράτησεν, ὡς καὶ καλεῖν τὴν Μαριὰμ κελεύειν τοῖς ὑπηρέταις. Καὶ τέλος ταῖς ἐρήμοις ἐκδοὺς ἑαυτὸν, καὶ ταύταις ἐναδημονῶν, δεινῇ περιπίπτει νόσῳ· ἡ δὲ φλόγωσις ἦν καὶ πεῖσις ἰνίου, καὶ τῆς διανοίας παραλλαγή. Καὶ ὁ μὲν οὕτως ἐνοσηλεύετο. Ἡ Ἀλεξάνδρα δὲ, ἐν Ἱεροσολύμοις διάγουσα, καὶ τὰ τῶν νόσων πυθομένη τοῦ βασιλέως, τῶν περὶ τὴν πόλιν, δύο φρουρίων ἐπειρᾶτο κρατῆσαι. Ὁ μαθὼν Ἡρῴδης, αὐτίκα αὐτὴν ἀποκτεῖναι προσέταξεν· αὐτὸς δὲ μόλις διαφυγὼν τὸν ἐκ τοῦ νοσεῖν κίνδυνον, χαλεπὸς ἦν, καὶ δυσάρεστος, καὶ πρὸς τιμωρίας καὶ φόνους ἕτοιμος, καὶ οὐ τῶν πο-

Variæ lectiones et notæ.

(44) *Τὰς ἐντολὰς ἐξεφαύλισεν.* Fortassis ἐξεφάνησεν. Josephus : Οὐκ ἂν καταπροδοῦναι τὰς ἐντολάς. W.

λῶν μόνον ἐγίνοντο φόνοι, ἀλλὰ καὶ τῶν ἀναγκαιοτά- A
των φίλων αὐτοῦ Παρέβαινε δὲ καὶ τὰ ἔθη τὰ πάτρια, καὶ ξενικοῖ ἐπιτηδεύμασι διέφθειρε τὴν πάλαι κατάστασιν. Πρὸς ἃ τὸ πλῆθος τετάραχτό τε καὶ ἐχαλέπαινε. Δέκα δὲ ἄνδρες τῶν πολιτῶν συνωμοσάμενοι, καὶ ξιφίδια τοῖς ἱματίοις ὑποβαλόντες, εἰς τὸ θέατρον ἐχώρουν ἀπὸ συνθήματος, ἢ καὶ αὐτὸν τὸν Ἡρῴδην διαχρησόμενοι, ἢ τέως τῶν περὶ ἐκεῖνον πολλούς. Φωραθέντες δὲ, καὶ μήτ' ἀρνησάμενοι τὸ βούλευμα, ἀλλὰ καὶ τὰ ξίφη ἀναδείξαντες, πᾶσαν αἰκίαν ὑπομείναντες διεφθάρησαν. Τὸν δὲ τούτους καταμηνύσαντα μετὰ μικρόν τινες διαρπάσαντες, καὶ μελίστι διελόντες, κυσὶν ἐπέρριψαν. Οὓς εὑρηκὼς Ἡρῴδης, ἐτιμωρήσατο πανοικί. Ἡ δὲ τοῦ πλήθους μῆνις ἐπέμενε. Συνέβη δὲ κατὰ τὴν χώραν τότε πάθη δεινότατα, λιμός τε καὶ νόσος σωμάτων ἐξ B
ἀσυνήθους; διαίτης, δι' ἔνδειαν σιτίων γινομένης, καὶ ἐπὶ τούτοις πᾶσι λοιμός. Ἡρῴδης δὲ τῷ καιρῷ βοηθεῖν προθυμούμενος, οὔτε χρημάτων ἠπόρει, προκαταναλώσας αὐτὰ δι' ἐπίδειξιν εἰς πόλεων ἐπισκευάς, οὔτε αἱ πλησιάζουσαι χῶραι σῖτον εἶχον, τῆς αὐτῆς ἐνδείας καὶ ἐν ἐκείναις ἐπικρατούσης. Τέως δὲ, ὡς ἂν δύναιτο βοηθεῖν ἐγνωκὼς, τὸν ὄντα κατὰ τὰ βασίλεια κόσμον συγχόψας εἰς νόμισμα, ἔπεμπεν εἰς Αἴγυπτον, κἀ σῖτον ἐκεῖθεν ὠνεῖτο. Οὓ κομισθέντος, τοῖς μὲν δυναμένοις δι' ἑαυτῶν τὰ περὶ τὰς τροφὰς ἐκπονεῖν σῖτον διένειμεν· οἳ δὲ διὰ γῆρας ἢ δι' ἑτέραν ἀσθένειαν οὐχ οἷοί τε ἦσαν ἑαυτοῖς ἑτοιμάζειν σιτία, τούτων προύνόει καταστήσας ἀρτοποιούς, καὶ τὰς τροφὰς ἑτοίμους πορίζων αὐ- C
τοῖς. Ταῦτα δὲ οὐ μόνον τὰς γνώμας μετέβαλε τῶν πρὶν χαλεπαινόντων αὐτῷ, ἀλλὰ καὶ πρὸς εὔνοιαν αὐτὰς μετεστήσατο. Καὶ οὕτω κακωθεῖσαν αὐτῷ ἀνακτησάμενος τὴν ἀρχὴν, οὐχ ἧττον καὶ τοὺς πέριξ δυσπραγοῦντας ἐπίσης τῆς συμφορᾶς ἐπεκούρισεν, ὥστε γενέσθαι τοὺς μὲν ἔξω τῆς ἀρχῆς δοθέντας σίτου κόρους μυρίους, τοὺς δὲ εἰς τὴν αὐτοῦ βασιλείαν περὶ ὀκτακισμυρίους. Ὁ δὲ κόρος δύναται κατὰ τὸν Ἰώσηπον μεδίμνους ἀττικοὺς δέκα. Τοῦτο τὸ φιλοτίμημα, καὶ τὸ τῆς χάριτος εὔκαιρον, καὶ τοὺς Ἰουδαίους εἰς ἀγάπην ἐξ ἀπεχθείας μετήνεγκε, καὶ παρὰ τῶν ἔξωθεν αὐτῷ προύξένησεν εὔκλειαν. Προσκατειργάσατο δὲ καὶ γάμον ἑαυτῷ ἐξ ἐρωτικῆς ἐπιθυμίας. Ἱερεὺς γάρ τις Σίμων ἐν Ἱεροσολύμοις θυγατέρα εἶχε καλλίστην· ταύτης ὁ Ἡρῴδης ἦχεν D
εἰς ἔρωτα. Ὄντος δὲ τοῦ Σίμωνος ἀνοικείου πρὸς κῆδος, δι' ἀδοξίαν, ἀφαιρεῖται μὲν τὴν ἱερωσύνην τὸν ταύτην ἔχοντα τότε, Ἰησοῦν τὸν τοῦ Φάβητος, ἀρχιερέα δὲ ποιεῖται τὸν Σίμωνα, καὶ τὴν αὐτοῦ θυγατέρα γαμεῖ. Πάντων δὲ αὐτῷ προσκεχωρηκότων εἰς δέον περιεβάλλετο τὴν ἔξωθεν ἀσφάλειαν, πόλεσί τε δεξιῶς ὁμιλῶν, καὶ τοὺς δυνάστας θεραπεύων, ὥστε αὐτῷ πάντα διὰ πάντων αὔξεσθαι. Ὑπὸ δὲ τῆς εἰς τοῦτο φιλοτιμίας, καὶ τῆς εἰς Καίσαρα καὶ τοὺς εἰς πλεῖστον δυναμένους Ῥωμαίων θεραπείας, καὶ τὰ ἔθη παρέβαινε, καὶ τὰ νόμιμα παρεχάραττε, πόλεις τε κτίζων, καὶ ναοὺς ἐγείρων οὐκ ἐν τῇ τῶν Ἰουδαίων, τῇ δ' ἔξω χώρᾳ, Ἰουδαίοις μὲν ἀπολογούμενος ἐκ προσταγμάτων ταῦτα ποιεῖν, ἀλλ' οὐκ ἀφ' ἑαυτοῦ, Καίσαρι δὲ καὶ Ῥωμαίοις χάριτας νέμων τῷ καὶ τῶν πατρίων ἐκβαίνειν ἐθῶν διὰ τὴν ἐκείνων τιμήν. Ἀγάλματά τε γὰρ ἀνίστα, καὶ τύπους μεμορφωμένους, καὶ πόλεις ᾠκοδόμει, καὶ λιμένας εὐρεῖς καὶ ἀκλύστους, καὶ βασίλεια πολυτελῆ, καὶ δ' ἅπτας λαμπράς.

bus populo turbato et concitato, cives decem conjurati, sicas sub vestibus gestantes, theatrum ex composito ingressi sunt, vel ipsum Herodem, vel satellitum ejus multos interfecturi. Cæterum deprehensi, nec inficiati consilium suum, sed et sicis prolatis, omni supplicii genere tolerato perierunt. Delatorem vero quidam paulo post membratim discerptum canibus objecerunt. Eos Herodes compertos cum omni familia ultus est, indignatione populi haud quidquam imminuta. Oppresserunt autem mala gravissima Judæam, fames, et morbus ex cibis ob penuriam insolitis, et pestilentia denique. Herodes qui opem ferre tali tempore cuperet, cum pecunia destitueretur, quam per ostentationem in urbibus instaurandis insumpserat, nec finitimæ regiones frumentum haberent, eadem inopia conflictantes: tamen ut pro virili opem ferret, ex ornatu regio percussis nummis, in Ægypto annonam mercatus est: qua allata, iis qui ipsi cibos sibi conficere poterant, frumentum largitus est. Qui vero vel ob senectam, vel ex alia imbecillitate id non poterant, eorum rationem habuit, pistoribus conductis, qui cibos eis paratos offerrent. Hæc animos eorum qui prius illi succensebant, non modo mitigarunt, sed ad benevolentiam quoque traduxerunt. Regno suo afflicto sic refocillato, finitimorum non minus laborantium calamitatem ex æquo sublevavit, extra regnum decies mille, in ipso regno octogies mille coros dimensus. Continet autem corus, auctore Josepho, x medimnos Atticos. Ea liberalitas tamque opportuna beneficentia, et **242** Judæos ex inimicis amicos ei reddidit, et apud exteros gloriam conciliavit. Adornavit sibi quoque nuptias, amoris impulsu. Nam Simon quidam Hierosolymitanus sacerdos filiam habuit formosissimam, cujus lepore captus, quia pater ob humilitatem tantæ affinitati minime par erat, pontificatum Jesu Fabetis filio, a quo tum gerebatur, ademptum, in illum contulit, et filiam ejus duxit. Cum autem ei domi omnia ex sententia succederent, etiam foris se munivit, tum urbes comiter tractando, tum dynastas officiis adjungendo, ut res ejus undique incrementa caperent. Verum ambitione illa, et Cæsaris ac potentissimorum Romanorum cultu atque observantia flebat, ut receptos mores et patria instituta violaret, urbibus condendis, et templis ædificandis, non quidem in Judæa, sed in exteris provinciis. Judæis quoque se excusabat facere illa non suapte sponte, sed ex mandatis, et in gratiam et honorem Cæsaris et Romanorum. Nam et statuas collocabat, et exculpta insignia, et urbes condebat, et portus amplos ac tutos, et regias sumptuosas, et ædes splendidas.

XVII. His rebus occupatus, filios Alexandrum et Aristobulum Romam ad salutandum Cæsarem misit. Quibus Cæsar humaniter susceptis, Herodi potestatem dedit, cui vellet ex filiis relinquendi regni: et alias ei ditiones adjecit, et in Syriæ procuratores retulit: quibus mandavit, ut omnia illo consentiente agerent. Tantam felicitatem adeptus, fratri Pheroræ tetrarchiam a Cæsare petiit, et subditis trientem tributorum remisit: sive ut, quod ipse dicebat, populus ex annonæ charitate recrearetur, sive quemadmodum aliis videbatur, ut odium a se amoveret. Judæi enim patriorum rituum mutationem iniquis ferebant animis. Quamobrem libertatem eis adimebat, subinde laboribus imperandis, et conciliis prohibendis, deambulationibus etiam et diversoriis observandis, et iis qui deprehensi essent, gravissime puniendis. Erant enim tam in urbe, quam in itineribus qui congressus hominum observarent. Quidam etiam auctores sunt, eum ipsum privati habitu se **243** interdum noctu turbis immiscuisse, quid de imperio sentirent, animos eorum periclitantem. Contumaces omnibus modis ulciscebatur: a plebe postulabat, ut sacramento fidem sibi firmaret, ac plebecula postulatis ejus annuebat, refragantes autem quavis ratione tollebat. Petiit a Pollione Pharisæo quoque, et Samæa, eorumque discipulis plerisque, ut jurarent. Sed hi neque jurarunt, neque puniti sunt, ob regis erga Pollionem reverentiam. Sunt et Esseni ea necessitate liberati, gens Pythagorici instituti in victu æmulatrix, quos ob Manaimum illius sectæ hominem, cum cætera bonum, tum futurorum præscium, honorabat. Is Herodem adhuc puerum scholam frequentantem, regem Judæorum salutavit: qui cum se privatæ conditionis esse diceret, Manaimus leniter arridens, eumque sensim percutiens: *Atqui et regnabis*, inquit, *et imperium felicissime geres: horum igitur verberum memento. Eris autem optimus, si justitiæ et pietati erga Deum, et erga populum clementiæ studueris. Enimvero scio te talem non fore.* Herodes regno potitus, Manaimum accersitum de imperii diuturnitate percontatus, tacente illo, dixit: An annis x, an xx, an xxx regnaturus esset? atque illo terminum non adjiciente: vel his contentus, Manaimo porrecta dextera dimisso, propter illum Essenos omnes honoravit. Anno autem regni XVIII consilium templi mutandi, idque altius et magnificentius exstruendi cœpit. Populo autem ab illo conatu abhorrente, se non prius id diruturum esse dixit, quam omnia ad opus necessaria præparasset. Quæ cum in promptu essent omnia, veteribus fundamentis sublatis, novisque jactis, templum inchoavit longitudine c cubitorum, altitudine CXX: structuræ adhibuit saxa candida et robusta, singula circiter XXV cubitos longa, alta VIII, lata XII. Ad septentrionale latus

IZ'. Ἐν τοιούτοις δὲ ὤν, τοὺς παῖδας Ἀλέξανδρόν τε καὶ Ἀριστόβουλον εἰς Ῥώμην ἀπέστειλεν, ἐντευξομένους τῷ Καίσαρι. Τούτους ὁ Καῖσαρ φιλανθρώπως ἐδέξατο, καὶ δίδωσιν Ἡρώδῃ ὅτῳ βούλεται τῶν ἐξ αὐτοῦ γεγονότων ἀπογεῖμαι τὴν βασιλείαν· ἐγκαταμίγνυσι δὲ αὐτὸν καὶ τοῖς τῆς Συρίας ἐπιτροπεύουσιν, ἐντειλάμενος πάντα μετὰ τῆς ἐκείνου γνώμης ποιεῖν. Τοσαῦτα δ' εὐτυχήσας, τῷ μὲν ἀδελφῷ Φερώρᾳ τετραρχίαν ᾐτήσατο παρὰ Καίσαρος, τὸ δὲ τρίτον μέρος τῶν φόρων ἀφῆκε τοῖς ἐν τῇ βασιλείᾳ, ὡς μὲν ἐκεῖνος ἔλεγεν, ἵνα ἀναπνεύσειεν ἐκ τῆς ἀφορίας, ὡς δὲ τοῖς ἄλλοις ἐδόκει, ἵνα τὴν τοῦ πλήθους εἰς ἑαυτὸν θεραπεύσῃ δυσμένειαν. Μεταχινουμένων γὰρ αὐτοῖς τῶν ἐθῶν, χαλεπῶς ἔφερον. Διὸ καὶ ἀφῃρεῖτο τὰς ἀδείας αὐτῶν, ἀεὶ καμάτους ἐπιτάττων αὐτοῖς, καὶ τὰς συνόδους κωλύων, καὶ τοὺς περιπάτους, καὶ τὰς διαίτας ἐπιτηρῶν, καὶ τοὺς φωραθέντας κολάζων βαρύτατα. Κἂν τῇ πόλει κἂν ταῖς ὁδοιπορίαις ἦσαν οἱ τοὺς εἰς ταὐτὸν συνιόντας (45) ἐπισκοποῦντες. Τινὲς δέ φασι καὶ αὐτὸν ἰδιώτου σχῆμα λαμβάνοντα ἐνίοτε νύκτωρ τοῖς ὄχλοις ἐγκαταμίγνυσθαι, καὶ ἀποπειρᾶσθαι αὐτῶν τὴν διάνοιαν, ἣν περὶ τῆς ἀρχῆς εἶχον. Καὶ τοὺς μὲν ἐξαυθαδιαζομένους ἐπεξῄει ἅπασι τρόποις, τὸ δὲ πλῆθος ὅρκοις ἠξίου τὴν πίστιν αὐτῷ βεβαιοῦν. Οἱ μὲν οὖν πολλοὶ εἶκον, τούς γε μὴν δυσχεραίνοντας ἠφάνιζεν ἐκ παντός. Συνέπειθε δὲ καὶ τοὺς περὶ Πολλίωνα τὸν Φαρισαῖον, καὶ Σαμαίαν, καὶ τῶν συμφοιτώντων αὐτοῖς τοὺς πλείστους ὀμνύειν. Οἱ δὲ οὔτε ἐπείσθησαν, οὔτ' ἐκολάσθησαν, διὰ τὸν Πολλίωνα, ὑπὸ τοῦ βασιλέως αἰδούμενον. Ἀφείθησαν δὲ ταύτης τῆς ἀνάγκης καὶ οἱ Ἐσσαῖοι καλούμενοι· γένος δὲ τοῦτο διαίτῃ χρώμενον Πυθαγορικῇ· ἐτίμα δὲ τούτους διὰ τὸν Μαναΐμ· ἦν δ' οὗτος εἷς ἐξ αὐτῶν, ἀνὴρ τἆλλα τε ἀγαθὸς, καὶ τὰ μέλλοντα προορῶν. Ὃς, ἔτι παῖδα τὸν Ἡρώδην ἐς διδασκάλου φοιτῶντα ἰδών, βασιλέα Ἰουδαίων προσεῖπεν· ὁ δὲ ἰδιώτης ἔλεγεν εἶναι· Μαναΐμ δὲ μειδιάσας, καὶ τύπτων αὐτὸν ῥάβδῳ· *Ἀλλὰ καὶ βασιλεύσεις*, ἔφη, *καὶ τὴν ἀρχὴν ἄρξεις εὐδαιμονέστατα, καὶ μέμνησο τῶν ἐμῶν τούτων πληγῶν. Ἄριστος δ' ἔσῃ, εἰ δικαιοσύνην ἀγαπήσεις, καὶ εὐσέβειαν πρὸς Θεὸν, καὶ πρὸς τοὺς πολίτας ἐπιείκειαν. Ἀλλ' οὐ γὰρ οἶδά σε τοιοῦτον ἔσεσθαι.* Βασιλεύσας δὲ ὁ Ἡρώδης μεταπέμπεται τὸν Μαναΐμ, καὶ περὶ τοῦ χρόνου τῆς ἀρχῆς ἐπυνθάνετο· ὡς δὲ, σιωπῶντος ἐκείνου, αὐτὸς εἰ δέκα γενήσονται τῆς βασιλείας ἤρώτα ἐνιαυτοὺς, ἢ εἴκοσιν, ἢ τριάκοντα, ὁ δὲ ὅρον οὐκ ἐπέθηκε τῷ τέλει τῆς προθεσμίας, Ἡρώδης καὶ τούτοις ἀρκεσθείς, τόν τε Μαναΐμ ἀφῆκε δεξιωσάμενος, καὶ πάντας δι' ἐκεῖνον ἐτίμα τοὺς Ἐσσηνούς. Ἤδη δὲ ὀκτωκαιδέκατον ἐνιαυτὸν, τὸν νεὼν ἔγνω μετασκευάσαι, καὶ πρὸς ὕψος ἄραι μεῖζον, καὶ ἀξιοπρεπέστερον ἐκτελέσαι. Τὸ δὲ πλῆθος ὤκνει πρὸς τὴν ἐγχείρησιν· ὁ δὲ οὐ πρότερον ἔφη τὸν ναὸν καθαιρήσειν, πρὶν ἂν πάντα ὧν ἂν

Variæ lectiones et notæ.

(45) *Εἰς ταυτὸν συνιόντας*. Ms. εἰς αὐτόν.

δοιτο εἰς τὸ ἔργον, παρασκευάσηται. Ἤδη δὲ ἑτοιμασμένων αὐτῷ πάντων, καθελὼν αὐτὸν, καὶ θεμελίους ἄλλους καταβαλόμενος, τὸν ναὸν ἤγειρε μήκει πήχεων ἑκατὸν, τὸ δ' ὕψος ἐπίκεινα εἴκοσιν· ᾠκοδομήθη δὲ λίθοις λευκοῖς τε καὶ κρατιστοῖς, ὧν ἑκάστῳ περὶ πέντε καὶ εἴκοσι τὸ μῆκος πήχεις, τὸ δ' ὕψος ὀκτὼ, εὖρος δὲ περὶ δώδεκα. Κατὰ δὲ τὴν βόρειον πλευρὰν ἀκρόπολις ἔγγώνιος εὐερκὴς ἐντετείχιστο, διάφορος ὀχυρότητι, ἣν οἱ ἐκ τοῦ γένους τῶν Ἀσαμωναίων γεγονότες βασιλεῖς ὁμοῦ καὶ ἀρχιερεῖς ᾠκοδόμησαν, καὶ Βαρὶν ἐκάλεσαν, ὥστε τὴν ἀρχιερατικὴν ἀποκεῖσθαι στολὴν ἐν αὐτῇ. Καὶ ταύτην οὖν τὴν Βαρὶν Ἡρώδης ἐπισκευάσας ὀχυρωτέραν ἐπ' ἀσφαλείᾳ τοῦ ἱεροῦ, εἰς μνήμην Ἀντωνίου προσηγόρευεν Ἀντωνίαν. Αὐτὸς δὲ ὁ ναὸς, καὶ πάντα τὰ περὶ τὸν ναὸν, ἐν ὀκτὼ ἐδεδόμητο ἔτεσι. Παραδέδοται δὲ κατ' ἐκεῖνον τὸν καιρὸν, ὅτε αὐτὸς ὁ ναὸς ἀνεγείρετο (ἐν ἐνιαυτῷ γὰρ ἑνὶ καὶ μησὶν ἓξ ᾠκοδομήθη) τὰς μὲν ἡμέρας μὴ ὗειν, γίνεσθαι δὲ τοὺς ὄμβρους ἐν ταῖς νυξὶν, ἵνα μὴ τὰ ἔργα κωλύωνται. Τὰς ἀδικίας δὲ ἀναστέλλειν πειρώμενος ὁ Ἡρώδης, τίθησι νόμον τοὺς τοιχωρύχους ἐπ' ἐξαγωγῇ τῆς χώρας πιπράσκεσθαι· ὃ καὶ πρὸς τιμωρίαν τῶν πασχόντων ἦν φορτικὸν, οὐχ ἥκιστα δὲ καὶ τῶν νόμων κατάλυσις. Τὸ γὰρ ἀλλοφύλοις δουλεύειν, καὶ βιάζεσθαι κατὰ τὰ ἐκείνων ἔθη βιοῦν, τῆς θρησκείας ἦν, ὅσον ἐπ' ἐκείνοις, κατάλυσις. Πιπράσκεσθαι μὲν γὰρ οἱ νόμοι τοὺς φώρας ἐκέλευον, εἰ μὴ ἔχοιεν κατὰ τὸ τετραπλοῦν ἐκτινύειν τὰ φώρια, ἀλλ' οὐ πρὸς ἀλλοφύλους, πρὸς δέ γε ὁμοεθνεῖς, ἵνα μήτε τῆς θρησκείας ἐκπίπτοιεν, μήτε παρ' ὅλον τὸν βίον δουλεύοιεν, ἀλλὰ τυγχάνοιεν μετὰ ἐξαετίαν ἀφέσεως. Ταῦτα μέρος ἦν τῶν κατ' ἐκείνου διαβολῶν, καὶ τῆς δυσνοίας τοῦ πλήθους τῆς ἐπ' αὐτῷ.

A arx angularis, firma et munitissima inædificata erat, quam reges, iidemque pontifices ex Asamonæorum familia structam. Barin vocarant, ut pontificia stola in ea reponeretur. Eam igitur Bárim Herodes instauratam, et pro templi defensione munitiorem redditam, in Antonii **244** memoriam Antoniam vocavit. Ipsum porro templum, et quæ in circuitu ejus sunt omnia, VIII annis sunt absoluta. Traditum autem est, eo tempore quo ipsum templum strueretur (id quod uno anno et mensibus sex perfectum est) interdiu non pluisse, sed imbres noctu esse factos, ne opera impedirentur. Deinde Herodes ad facinora comprimenda legem tulit, ut fures peregre venderentur: quæ res et facinorosis gravis, et legibus evertendis erat. Nam exteris servire, eorumque ritu necessario vivere, B quod ad illos quidem attinebat, religionis erat abrogatio. Lex enim fures, ni quadruplum solvere possent, vendi jubebat, sed popularibus, ne et religione exciderent, et per omnem ætatem servirent, sed post sexennium manumitterentur. Hoc in parte erat criminationum et adversus illum odii popularis.

ΙΗ'. Εἰς τὴν Ἰταλίαν δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον παραγενόμενος Ἡρώδης, ἵνα Καίσαρι τε προσομιλήτῃ, καὶ τοὺς παῖδας ἐν τῇ Ῥώμῃ διατρίβοντας ὄψηται. φιλοφρόνως τε ὑπεδέχθη παρὰ τοῦ Καίσαρος, καὶ τοὺς παῖδας ὡς ἤδη τελειωθέντας ἐν τοῖς μαθήμασιν ἔλαβεν, ἄγειν εἰς τὰ οἰκεῖα. Ὡς δ' ἐπανῆλθον, περίοπτοι γεγόνασι τῷ τε τῆς ψυχῆς παραστήματι, καὶ τῇ κατὰ τὰς μορφὰς ὡραιότητι· ἐπίφθονοί τε ἦσαν Σαλώμῃ τῇ τοῦ βασιλέως ἐμαίμονι, καὶ τοῖς τὴν αὐτῶν μητέρα κατεργασαμένοις διαβολαῖς. Καὶ ἤδη καὶ κατ' ἐκείνων τὰ ὅπλα ἡτοίμαζον, δι' ὧν καὶ τὴν αὐτοὺς γειναμένην κατηγωνίσαντο, λογοποιοῦντες ἀηδῶς τῷ πατρὶ προσφέρεσθαι τὰ μειράκια διὰ τὸν φόνον τῆς μητρὸς, κἀντεῦθεν μῖσος φυῆναι τῷ πατρὶ πρὸς τοὺς παῖδας, ὡς ἐνὸν, κατεσκεύαζον. Τέως μέντοι φιλοστόργως ἔτι πρὸς αὐτὰ ὁ πατὴρ διακείμενος, καὶ τιμῆς μετεδίδου, καὶ γυναῖκας ἐν ἡλικίᾳ γεγονόσιν ἐξεύγνυεν· Ἀριστοβούλῳ μὲν τὴν Σαλώμης θυγατέρα Βερενίκην, Ἀρχελάου δὲ τοῦ Καππαδοκῶν βασιλέως τὴν παῖδα Γλαφύραν τῷ Ἀλεξάνδρῳ. Τῇ δὲ Σαλώμῃ ταῦτα τὴν κατὰ τῶν νεανίσκων δυσμένειαν μᾶλλον ὑπέτρεφεν, οἰκειουμένη καὶ πάντας ὅσοιπερ αὐτῇ τὸν τῆς Μαριάμφωνον συνεξειργάσαντο. Διδόντων δέ τινας καὶ τοῖν νεανίσκοιν λαβὰς μνήμῃ τε τῆς μητρὸς καὶ τῇ τοῦ κράτους ἐπιθυμίᾳ· βλασφημίαι μὲν ἐκείνων εἰς τὴν Σαλώμην καὶ τὸν Φερώραν ἐγίνοντο. πρὸς ἐκείνους δ' ἡ τούτων ἐπηύξητο δύσνοια, καὶ διαβολαὶ κακοήθεις κατὰ αὐτῶν προὐβάτευον, παρ' αὐτῶν ἐκείνων

XVIII. Sub id tempus in Italiam profectus Herodes, ut cum Cæsare colloqueretur, et filios Romæ degentes viseret, benigne a Cæsare susceptus, filios ut absolute jam in disciplinis institutos, domum reduxit. Qui in patriam reversi, cum animorum magnitudine, tum formæ elegantia vulgo conspicui, Salomæ regis sorori, et iis qui matrem eorum calumniis sustulerant, invisi fuerunt. Itaque jam contra ipsos etiam arma eadem expediverunt, quibus genitricem eorum confecerant: rumore sparso, adolescentes abhorrere a patris consuetudine, ob matris necem, et ita patre ad odium filiorum pro virili instigato. Is vero eos et dilexit, et honoris C participes aliquandiu fecit, et adultis uxores dedit, Aristobulo Salomæ filiam Bernicem: Archelai Cappadocum regis filiam Glaphyram, Alexandro. Quibus rebus Salomes inimicitiæ contra adolescentes magis alebantur, omnes eos sibi adjungentis, qui cædis Mariammes adjutores fuerant: adolescentibus etiam causas nonnullas suppeditantibus, dum tam ex recordatione matris quam ex imperii cupiditate maledictis et ipsam et Pheroram insectantur: quibus illorum malevolentia augebatur, et subdolæ calumniæ, causa ab ipsis suppeditata, contra eos adornabantur. Nam cum nefaria **245** Salome et matri et ipsis conviciaretur, ut eos ad respondendum irritaret: illi et interitum matris et suas fortunas miserabantur, qui parricidarum illius consuetudine uti cogerentur. Hæc absente rege D

acta. Reverso Pheroras et Salome statim ea verba insusurrant, se in magno versari periculo, adolescentibus se necem matris ulturos, aperte minitantibus. Herodes his per alios quoque nuntiatis turbatus, alium filium Antipatrum, in privata vita susceptum, ad coercendos adolescentes sibi conciliare statuit, eique honorem habuit, ut Mariammæ filiorum audaciam reprimeret, cum intelligerent, non sibi solis, neque necessario regni successionem deberi. Itaque Antipatrum, tanquam spectatorem certaminis ad dimicandum paratum, introduxit. Qui, ut homo callidus, data occasione, unum sibi negotium esse ratus est patri adhærere, eumque per calumnias a fratribus alienare: quibus calumniis illi ansas dabant, sui contemptum deplorando, et matrem invocando, et patrem aperte injustum vocitando. Ea verba cum additamento renuntians Antipater, patris erga illos simultatem malitiose augebat: ab eoque ut Mariammæ filios premeret, amplioribus honoribus auctus, denique matre ipsius etiam introducta, cum multis muneribus Romam mittitur, Cæsarique commendatur, ut jam penes illum esse omnia, adolescentes vero spe imperii plane dejecti viderentur. Cæterum Antipater veritus, ne se absente pater Mariammæ filiis æquior fieret: nec in itinere subinde ad eum scribere destitit, et ejus inimicitias contra fratres exacuere: donec perpulit, ut ipse Romam navigaret, filios apud Cæsarem accusatum. Quos cum secum adduxisset, de eorum deplorata indole querebatur, qui patrem exosi ejusque perimendi avidi, regnum affectarent. Adolescentes vero patre quoque adhuc dicente flebant; et tandem suspirabant, veriti ne silentium suum confessio criminis et conscientiæ argumentum haberetur. Ut autem et Cæsaris benevolentiam, et aliorum lacrymas et commiserationem omnium animadverterunt: Alexander oratione ad patrem instituta, crimina **246** diluere exorsus, cum probabiliter disseruisset: Cæsar, qui ante quoque illorum criminationibus non credidisset, magis in ea sententia confirmatus, Herodem continenter intuetur: quem cum et ipsum subtristem cerneret, ac spectatoribus æstuantibus, adolescentibus ait: Etsi sese criminis omnino expertes esse putarent, tamen idipsum eos delinquere, quod patrem non ita colerent, ne quis de ipsis rumor spargi posset. Herodem autem hortatus est, ut omni suspicione abjecta, filiis reconciliaretur. Nam talia contra liberos credere, iniquum esse. Dum hæc monet, innuit adolescentibus, ut coram patre procumbant. Quod cum alacriter facturi essent, pater prior eos lacrymantes salutavit, et utrumque amplexus est. Ac tum gratiis actis Cæsari, una discesserunt, Antipatro etiam comitante, qui se illorum reconciliatione gaudere simulabat. Postridie Cæsar Herodi liberum fecit, quem vellet e filiis successorem designare, aut regnum inter eos dividere, sed post obitum demum. Nam dum viveret, eum et regnum et imperium in filios tenere jussit. In re-

A τὰς αἰτίας, λαμβάνουσι. Κακῶς γὰρ τῆς μιαρᾶς Σαλώμης καὶ σφᾶς καὶ τὴν μητέρα λεγούσης, καὶ πρὸς λόγους ἐκκαλουμένης αὐτούς, ἐκεῖνοι ἀλεεινὴν ἀπέφαινον τὴν καταστροφὴν τῆς μητρός. ἀθλίους δ' ἑαυτοὺς ἐκάλουν τοῖς ἐκείνης φονεῦσιν ἀναγκαζομένους συζῆν. Ταῦτα ἦν ἀποδημοῦντος τοῦ βασιλέως. Ἐπανελθόντι δ' εὐθὺς παρά τε Φερώρα καὶ τῆς Σαλώμης οἱ λόγοι προσήγοντο, λεγόντων μέγαν αὐτοῖς ἐπηρτῆσθαι τὸν κίνδυνον, ἀναφανδὸν ἀπειλουμένων τῶν νεανίσκων, τὸν φόνον τίσασθαι τῆς μητρός. Ἡρῴδης δὲ ταῦτα καὶ ἄλλων ἀπαγγελλόντων τετάρακτο. Οὕτω δὲ διατεθεὶς, ἔγνω ἐπὶ καθαιρέσει τῶν νέων, ἕτερον υἱὸν Ἀντίπατρον ὄνομα, ἰδιωτεύοντι ἔτι αὐτῷ γεγονότα, προσοικειώσασθαι· καὶ τοῦτον ἐδόκει τιμᾷν, ἵνα καταστείλῃ τὸ θράσος B τοῖς ἐκ τῆς Μαριάμ γνοῦσιν, ὡς οὐ μόνοις αὐτοῖς, οὐδ' ἐξ ἀνάγκης ἡ διαδοχὴ τῆς βασιλείας ὀφείλεται. Ὅθεν ὡς ἔφεδρόν τινα τὸν Ἀντίπατρον ἐπεισήγαγεν. Ὁ δὲ δεινὸς ὢν, ἐπεὶ παῤῥησίας ἐλάβετο, μίαν ἔσχεν ὑπόθεσιν, ἔχεσθαι τοῦ πατρὸς, καὶ τῶν ἀδελφῶν ἀλλοτριοῦν ταῖς διαβολαῖς. Κἀκεῖνοι δ' ἔτι ἐδίδοσαν ἀφορμὰς, καὶ δακρύοντες· ὡς ἀτιμαζόμενοι, καὶ τὴν μητέρα ἀνακαλούμενοι, καὶ τὸν πατέρα φανερῶς οὐ δίκαιον λέγοντες. Ἅπερ κακοήθως οἱ περὶ τὸν Ἀντίπατρον Ἡρῴδῃ μετὰ προσθήκης ἐξαγγέλλοντες, μείζονα τὴν πρὸς ἐκείνους ἐνεποίουν ἀπέχθειαν. Βουλόμενος δὲ ὁ πατὴρ ταπεινῶσαι τοὺς ἐκ τῆς Μαριάμ, πλείονος Ἀντιπάτρῳ μετεδίδου τιμῆς. Τέλος δὲ καὶ τὴν μητέρα αὐτοῦ ἐπεισήγαγε, καὶ Καίσαρι συνίστησιν αὐτὸν γράφων ὑπὲρ C αὐτοῦ, καὶ εἰς Ῥώμην αὐτὸν μετὰ πολλῶν δώρων ἀπέστειλεν, ὥστε ἤδη ἐπ' ἐκείνῳ δοκεῖν πάντα, παρεῶσθαι δ' ἐκ τῆς ἀρχῆς παντάπασι τὰ μειράκια. Ἀντίπατρος δὲ ἐδοικὼς μὴ, αὐτοῦ ἐκδημήσαντος, ἐπιεικέστερος εἰς τοὺς ἐκ Μαριὰμ γένηται ὁ πατὴρ, καὶ ἀποδημῶν οὐκ ἀνίει συνεχῶς ἐπιστέλλων κατὰ τῶν ἀδελφῶν τῷ πατρὶ, καὶ προσερεθίζων πρὸς τὴν δυσμένειαν, ἕως εἰς τοῦτο προήγαγεν αὐτὸν εἰς τὸ πλεῦσαι πρὸς Ῥώμην, κἀκεῖ τῶν παίδων κατηγορεῖν παρὰ Καίσαρι. Ἀπελθὼν δ' εἰς Ῥώμην σὺν τοῖς παισὶ παρεστήσατο μὲν αὐτοὺς τῷ Καίσαρι, ἠτιᾶτο δὲ τῆς ἀπονοίας, ὡς τὸν ἑαυτῶν πατέρα μισοῦντας, καὶ διαχειρίσασθαι μελετῶντας αὐτὸν, καὶ οὕτω τὴν βασιλείαν λαβεῖν. D Τῶν δὲ νεανίσκων, καὶ λέγοντος ἔτι τοῦ πατρὸς, δάκρυα ἦν, καὶ τέλος σιωπὴ, δεδοικότων, ὡς, εἰ σιγῷεν, δόξουσιν ἐκ τοῦ συνειδότος μηδ' εὐπορεῖν ἀπολογίας. Ὡς δ' ἔγνων εὐμένειαν παρὰ Καίσαρος, τῶν δ' ἄλλων τοὺς μὲν συνδακρύοντας, συναλγοῦντας δὲ ἅπαντας, ὁ Ἀλέξανδρος ἐπεχείρει διαλύειν τὰς αἰτίας, πρὸς τὸν πατέρα λόγους ποιούμενος. Καὶ διαλεχθέντος πρὸς τὸ ἐπαγωγότερον, ὁ Καῖσαρ οὐδὲ πρότερον ταῖς κατ' αὐτῶν πιστεύων διαβολαῖς, ἔτι μάλιστα ἐξηλλάττετο, καὶ συνεχῶς εἰς τὸν Ἡρῴδην ἀπέβλεπεν, ὁρῶν κἀκεῖνον ὑποσυγκεχυμένον, καὶ ἡγωνία τὸ θέατρον. Καῖσαρ δὲ, τοὺς μὲν νεανίσκους, εἰ καὶ τῶν διαβολῶν πόῤῥω δοκοῦσιν, αὐτὸ τοῦτο ἁμαρτεῖν ἔφη, τὸ μὴ τοιούτους ἑαυτοὺς τῷ πατρὶ παρασχεῖν, ὡς μηδὲ γενέσθαι τὸν ἐπ' αὐτοῖς λόγον·

Ἡρώδην δὲ παρεκάλει διαλλάττεσθαι τοῖς παισὶν, ἀφελόντα πᾶσαν ὑπόνοιαν· καὶ τὸ πιστὰ γὰρ ἡγεῖσθαι ταῦτα κατὰ τῶν παίδων οὐ δίκαιον ἔκρινε. Τοιαῦτα συμβουλεύων, ἔνευσε τοῖς νεανίσκοις, προσπίπτειν τῷ πατρί. Κἀκείνων ὡρμηκότων, προλαβὼν αὐτοὺς ὁ πατὴρ δακρύοντας ἠσπάζετο, ἀγκαλιζόμενος ἕκαστον. Τότε μὲν οὖν εὐχαριστήσαντες Καίσαρι, μετ' ἀλλήλων ἀπῆσαν, καὶ Ἀντίπατρος μετ' αὐτῶν, ταῖς διαλλαγαῖς ὑποκρινόμενος ἥδεσθαι. Τῇ δ' ὑστεραίᾳ περὶ τῆς βασιλείας τῷ Ἡρώδῃ τὴν ἐξουσίαν ἀφῆκεν ὁ Καῖσαρ, ὃν ἂν αἱροῖτο τῶν παίδων, διάδοχον καθιστὰν ἢ καὶ διανέμειν ἅπασι ταύτην, μετὰ θάνατον μέντοι. Ζῶντι δὲ οὐκ ἐπέτρεπε τὴν διανομὴν, ἀλλὰ καὶ τῶν παίδων ἤθελεν αὐτὸν καὶ τῆς βασιλείας κρατεῖν. Ἐπανιόντι δὲ περὶ Κιλικίαν. Ἀρχέλαος ὁ πενθερὸς Ἀλεξάνδρου συναντᾷ τῷ Ἡρώδῃ, συνηδόμενος ἐπὶ ταῖς τῶν παίδων διαλλαγαῖς. Ἐντεῦθεν Ἡρώδης, ἐπὶ τὴν Ἰουδαίαν ἐλθὼν, καὶ συναγαγὼν ἐκκλησίαν, τὰ κατὰ τὴν ἀποδημίαν αὐτῷ πεπραγμένα διηγεῖτο, καὶ ἐπὶ νουθεσίᾳ τῶν παίδων τὸν λόγον κατέστρεψε, καὶ τοῖς υἱοῖς προεῖπε τὴν βασιλείαν καταλιμπάνειν, πρώτῳ μὲν Ἀντιπάτρῳ, εἶτα καὶ τοῖς ἐκ Μαριάμ. Ταῦτα εἰπὼν, τὸν σύλλογον διελύσατο.

A ditu Archelaus Alexandri socer ei circa Ciliciam occurrit, filiorum reconciliationem gratulans. Inde in Judæam reversus, indicto concilio, ut in itinere secum esset actum, exposuit, orationemque filiorum admonitione conclusit: quibus cum denuntiasset, se regnum relinquere primum Antipatro, deinde Mariammæ quoque filiis, concilium dimisit.

ΙΘ'. Ὑπῆρχε δὲ τὴν γνώμην πρὸς μὲν τοὺς ἄλλους φιλοτιμότατός τε καὶ εὐεργετικώτατος, πρὸς δὲ τοὺς ὑπηκόους ἐπαχθής τε καὶ ἀδικώτατος, πρὸς δὲ τοὺς οἰκείους καὶ φίλους κολαστὴς ἀπαραίτητος. Ἡ δὲ αἰτία τούτων φιλοδοξία καὶ φιλαρχία. Ὑπὸ μὲν γὰρ φιλοδοξίας, εἰ μνήμης ἔμελλε τυγχάνειν εἰσαῦθις ἢ εὐφημίας κατὰ τὸ ἐνεστὸς, οὐκ ἐφείδετο δαπανῶν. Πολυδάπανος δ' ὢν, βαρείαις εἰσπράξεσι τοὺς ὑποτεταγμένους ἐπίεζε, καὶ χαλεπὸς ἦν αὐτοῖς. Ὑπὸ δὲ φιλαρχίας, εἴ κατά τινος ὑπόνοιαν ἔσχεν ἐφίεσθαι τῆς ἀρχῆς, ἢ τι περὶ αὐτὴν παρακινεῖν, ἴσα πολεμίοις αὐτῷ προσεφέρετο. Κἀντεῦθεν συγγενεῖς τε καὶ φίλους ἐτιμωρήσατο ἀφειδῶς, μόνος θέλων τετιμῆσθαι. Τεκμήριον δὲ τοῦ πάντοθεν χρηματίζεσθαι θέλειν διὰ τὸ πολυδάπανον, ὅτι, ἀκηκοὼς ὡς Ὑρκανὸς ὁ πρὸ αὐτοῦ βασιλεύσας, ἀνοίξας τὸν τάφον Δαβὶδ, ἀργυρίου λάβοι τάλαντα τρισχίλια, νυκτὸς ἀνοίξας τὸν τάφον εἰσέρχεται, τοὺς πιστοτάτους τῶν φίλων παρειληφώς, ἵν' ἀνέκφορον εἴη τὸ δρώμενον. Καὶ χρήματα μὲν οὐχ εὗρεν, ἀργύρια δηλαδὴ, κόσμον δὲ πολὺν κειμηλίων χρυσῶν, ὃν ἀνείλετο πάντα. Ἔσπευδεν οὖν καὶ ἐνδοτέρω χωρεῖν κατὰ τὰς θήκας, ἐν αἷς τῶν βασιλέων Δαβὶδ καὶ Σολομῶντος τὰ σώματα τεθησαύριστο. Ὡς δὲ ἐδιάζετο εἰσιέναι, δύο μὲν αὐτῷ τῶν δορυφόρων ἐφλέγησαν, ἔνδοθεν ἀπαντησάσης, ὡς λόγος, αὐτοῖς· αὐτὸς δὲ περιδεὴς ἐξῆλε, καὶ διὰ τὴν ἐπιχείρησιν χεῖρον ἔχειν ἐδόκει τὰ κατὰ τὴν οἰκίαν αὐτῷ. Ἐμφυλίῳ γὰρ ἐῴκει πολέμῳ τὰ κατὰ τὴν αὐλὴν τὴν βασιλικήν. Ἐστρατήγει δὲ ἀεὶ κατὰ τῶν ἀδελφῶν ὁ Ἀντίπατρος, δεινὸς ὤν, δι' ἄλλων μὲν αὐτοὺς περιβάλλων αἰτίαις, αὐτὸς δὲ πολλάκις ὑπεραπολογούμενος, ἵνα, δοκῶν εὔνους ἐκείνοις, ἀνύποπτος εἴη τῷ πατρὶ πρὸς τὰς ἐγχειρήσεις. καὶ μόνος τῆς ἐκείνου σωτηρίας φροντίζειν δοκῇ. Καὶ ὁ μὲν τὰ πάντα ἦν τῷ πατρί· οἱ δὲ ἐκ τῆς Μαριὰμ χαλεπώτερον ἀεὶ διετίθεντο, καὶ τὴν ἀτιμίαν οὐκ ἔφερον ὑπ' εὐγενείας, παρεωσμένοι καὶ τάξιν ἀτιμοτέραν ἔχοντες. Αἵ τε γυναῖκες, ἡ μὲν Ἀλεξάνδρῳ συνοικοῦσα Γλαφύρα ἡ Ἀρχελάου μῖσος εἶχεν εἰς τὴν Σαλώμην διά τε τὴν πρὸς τὸν ἄνδρα διάθεσιν, καὶ διὰ τὴν ἐκείνης θυγατέρα συνοικοῦσαν Ἀριστοβούλῳ, ἣπερ ὑπερηφάνως προσεφέρετο ἡ Γλαφύρα καὶ τὴν ἰσο-

B XIX. Fuit Herodes erga alios liberalissimus et beneficentissimus, subditis vero gravis et iniquissimus, cognatorum et amicorum punitor inexorabilis. In causa fuit gloriæ imperiique cupiditas. Nam gloriæ gratia si vel posteritatis memoriam, vel in præsentia nominis celebritatem consecuturus esset, nullis parcebat impensis: quas cum multas requireret, gravibus exactionibus subditos cum sævitia onerabat. Imperii porro cupiditas in causa erat, ut si quam contra aliquem suspicionem regni affectati aut studii novarum rerum concepisset, eum pro hoste ulcisceretur. Itaque cum solus honorari vellet, cognatos et amicos inclementer suppliciis afficiebat. **247** Ejus avaritiæ ex profusionibus ortæ illud argumentum est, quod cum C audisset Hyrcanum decessorem suum, aperto Davidis monumento tria millia talentum argenti abstulisse: noctu fidissimis amicorum abhibitis, ne res efferretur, idem monumentum aperit, ingreditur, ac argentum quidem, ut Hyrcanus, non reperit, sed multum aurei ornatus, quo omni sublato, ad cellas interiores, quibus Davidis et Salomonis regum cadavera condita erant, properat. Quo dum penetrare contendit, duo ejus satellites perierunt, flamma, ut fertur, erumpente: ipse perterritus discessit, atque ob id facinus res ejus domesticæ laborare videbantur. Nam quæ in regia gerebantur, belli civilis faciem præ se ferebant. Antipater enim homo callidus bellum instruebat contra fra- D tres: quos cum per alios criminaretur, ipse aliquando defendebat, ut per benevolentiæ speciem amota insidiarum suspicione patrem falleret, et solus salutem ejus curare videretur. Ac in eo patri erant omnia; Mariammæ vero filii in dies magis exasperabantur, ignominiam, ut generosis erant animis, non ferentes, cum repulsi ac quasi in ordinem coacti essent. Eo incitabantur ab uxoribus etiam. Nam Alexandri conjux Glaphyra Salomen oderat, ob ejus in maritum suum malevolentiam; et ob filiam illius Aristobuli uxorem, quam superbe tractabat, et sibi dignitate æquatam esse indignabatur. Pheroras quoque frater in regis suspicionem et odium venit, hoc modo. Cum ei regis filia de-

sponsa esset, mulierem ancillam insano amore deperibat, neglectaque conjuge, servæ amplexibus indulgebat. Id Herodes ægre ferens, puellam Phasaeli filio jungit : sed aliquanto post tum de priore delicto expostulat, tum ut alteram filiam ducat postulat, ancillæ amorem jam deferl uisse ratus. Ille ancilla et puero ex ea nato dimissis, se regis filiam ad diem tricesimum ducturum pollicetur. Quo tempore elapso, tantus ejus amoris ardor erga ancillam fuit, ut pactis conventis neglectis, in adamatæ mulierculæ stupris volutaretur. Id Herodis furorem accendit : ac subinde novi aliquid exortum est, quod **248** cum quietum esse non pateretur. Ad hæc Salome filiis Mariammes infesta, filiæ quoque suæ Aristobulo nuptæ suasit, ne marito bene cuperet, sed si quid arcani loqueretur, id sibi renuntiaret. Ea vero dicebat, adolescentes meminisse matris, patrem odisse : minitari se regno potitos Herodis liberos ex aliis mulieribus natos, pagānos scribas effecturos, ut ne solem quidem intuerentur. Quæ cum rex ex improbissimæ Salomæ indicio cognosceret, dolenter ferebat, ac corrigere conabatur, auditaque filiorum defensione mitigabatur.

Α τιμίαν αὐτῆς ἀνηξιοπάθει. Γέγονε δέ τις ὑπόθεσις, καὶ τὸν τοῦ βασιλέως ἀδελφὸν Φερώραν εἰς ὑποψίαν καὶ μῖσος τῷ ἀδελφῷ φέρουσα. Κατηγγυήθη μὲν γὰρ αὐτῷ ἡ τοῦ βασιλέως θυγάτηρ· ὁ δὲ, δουλευούσης αὐτῷ γυναικὸς ἡττώμενος, καὶ περιμανῶς τοῦ γυναίου ἐρῶν, τῇ μὲν τοῦ ἀδελφοῦ θυγατρὶ οὐ προσεῖχε, τῇ δὲ δούλῃ προσέκειτο. Ἤχθετο δὲ διὰ τοῦτο Ἡρώδης, καὶ τὴν μὲν κόρην υἱῷ Φασαήλου ζεύγνυσι· χρόνου δὲ διελθόντος, περί τε τῶν πρώτων ἠτιᾶτο τὸν ἀδελφὸν, καὶ τὴν δευτέραν ἀξίου λαμβάνειν, πεπραγμένα ἤδη αὐτῷ οἰόμενος τῆς δούλης τὸν ἔρωτα. Ὁ δὲ τὴν μὲν δούλην καὶ παῖδα ἐξ αὐτῆς σχὼν ἀποπέμπεται, τὴν δὲ τοῦ βασιλέως θυγατέρα μετὰ τριακοστὴν ἡμέραν κατέθετο λήψεσθαι. Διελθούσης δὲ τῆς προθεσμίας, τοσοῦτον πρὸς τὸν τῆς δούλης ἔρωτα ἐμεμήνει, ὡς ἀθετῆσαι τὰ ὡμολογημένα, τῇ δὲ προτέρᾳ συμφθείρεσθαι. Ταῦτα τὸν Ἡρώδην ἐξέμαινε· καὶ ἀεί δέ τι καινὸν προσπίπτον, ἀτρεμεῖν αὐτὸν οὐκ εἴα. Καὶ ἡ Σαλώμη δὲ, χαλεπὴ τοῖς ἐκ Μαριάμ οὖσα, καὶ τὴν ἑαυτῆς θυγατέρα Ἀριστοβούλῳ συνοικοῦσαν ἀνέπειθε μὴ εὐνοϊκῶς πρὸς τὸν ἄνδρα διακεῖσθαι, ἀπαγγέλλειν δὲ αὐτῇ, εἴ τι κατ' ἰδίαν λαλήσειεν. Ἡ δὲ μεμνῆσθαι τοὺς νεανίσκους ἔλεγε τῆς μητρός, τὸν δὲ πατέρα στυγεῖν, ἀπειλεῖν δὲ, τῆς ἀρχῆς τυχόντας, τοὺς μὲν ἐκ τῶν ἄλλων γυναικῶν παῖδας Ἡρώδου κωμογραμματεῖς καταστήσειν, τὰς δὲ γυναῖκας καθείρξειν ὡς μηδὲ τὸν ἥλιον βλέπειν. Ταῦτα διὰ τῆς κακίστης Σαλώμης τῷ βασιλεῖ ἀπηγγέλλετο, κἀκεῖνος ἤκουεν ἀλγεινῶς, ἐπειρᾶτό τε διορθοῦν. Τῶν δὲ παίδων ἀπολογησαμένων, ῥᾴων ἐγίνετο.

XX. Pheroras deinde res denuo turbavit. Dixit enim Alexandro, se ex Salome audivisse, Herodem Glaphyræ amore captum esse. Qua oratione turbatus Alexander, ac zelotypiæ dolorem non ferens, quod ex illo audierat, patri indicavit. Herodes vero magno dolore affectus et ementitæ calumniæ impatiens ac turbatus, accersito Pherora : *Pessime*, inquit, *istis contra nos dictis utrum te verba infigere animo filii, an dextram ejus armare gladio censes?* Pheroras respondit, commentum id Salomes esse : cui quamvis neganti, et capillum vellicanti, et pectus plangenti, ob insitam morum improbitatem fides non habebatur. Tandem rex et fratrem et sororem ablegat, filio ob continentiam et relatos ad se sermones collaudato. Ceterum aliud quiddam accidit, quo tumultus in ædibus regiis est renovatus. Habebat Herodes eunuchos ob formæ elegantiam charos, quorum uni pincernæ, alteri dapiferi munus assignarat, tertius ipsi a somnis erat. Ii ab Alexandro pecunia corrupti esse dicebantur, et quæstionibus adhibiti, rem secum habuisse adolescentem confessi sunt, sed de patre nullius consilii se conscios esse Alexandro affirmarunt. Verum tortoribus flagra intendentibus, adjecerunt, intercedere Alexandro inimicitias et odium cum patre, seque ab eo monitos, ut Herode ob senectutem destituto, sibi auscultarent, ad quem regnum vel invito patre venturum esset, tum ob genus tum propter ducum et amicorum

Κ'. Φερώρας δ' αὖθις τὰ πράγματα συνετάραξεν, εἰπὼν Ἀλεξάνδρῳ ἀκηκοέναι Σαλώμης, λεγούσης ἐρᾷν τὸν Ἡρώδην Γλαφύρας. Ἀλέξανδρος δὲ πρὸς τὸν λόγον ἐκ ζηλοτυπίας τετάραχτο. Καὶ τὴν ὀδύνην οὐκ ἐνεγκὼν, τὰ ὑπὸ τοῦ Φερώρα λεχθέντα τῷ πατρὶ κατεμήνυσεν. Ὁ δ' Ἡρώδης, περιπαθήσας, καὶ τὸ τῆς διαβολῆς ἐψευσμένον οὐ φέρων, θορυβηθείς τε, μεταπέμπεται τὸν Φερώραν, καὶ, *Κάκιστε*, εἶπε, *τοιαῦτα καθ' ἡμῶν λαλήσας, πότερον οἴει λόγον εἰς τὴν ψυχὴν τοῦ παιδὸς, ἢ ξίφος εἰς τὴν δεξιὰν αὐτοῦ ἐμβαλεῖν*; Φερώρας δὲ Σαλώμην ἔφη ταῦτα συνθεῖναι (16) κἀκείνης εἶναι τοὺς λόγους. Ἡ δὲ ἀπηρνεῖτο, καὶ τῶν τριχῶν ἀπεδράττετο, καὶ ἐπετερνοτυπεῖτο. Διὰ δὲ τὴν τῶν τρόπων οὐκ ἐπιστεύετο κακοήθειαν. Τέλος δὲ ὁ βασιλεὺς καὶ τὸν ἀδελφὸν καὶ τὴν ἀδελφὴν ἀπεπέμπετο, τὸν υἱὸν δὲ τῆς ἐγκρατείας ἐπῄνεσε, καὶ τοῦ πρὸς αὐτὸν τοὺς λόγους ἀνενεγκεῖν. Ἕτερον δέ τι συνέπεσε ταραχὰς αὖθις ἐγεῖραν κατὰ τὴν οἰκίαν τῷ βασιλεῖ. Ἦσαν αὐτῷ εὐνοῦχοι, διὰ κάλλος σπουδαζόμενοι, ὧν ὁ μὲν οἰνοχοεῖν, ὁ δὲ δεῖπνον προσφέρειν, ὁ δὲ κατευνάζειν αὐτὸν ἐτέταχτο. Τούτους ὑπ' Ἀλεξάνδρου χρήμασι διαφθαρῆναι μηνύεται, καὶ βασάνοις ἐκδοθέντες οἱ ἐκτομίαι, μίξιν μὲν αὐτῶν γενέσθαι πρὸς τὸν νεανίαν ἀνωμολόγουν, ἄλλο δὲ οὐδὲν κατὰ τοῦ πατρὸς συνειδέναι τῷ Ἀλεξάνδρῳ. Ἐπιτεινόντων δὲ τῶν βασανιζόντων τὰς μάστιγας, ἔλεγον, ὡς εἴη δυσμένεια καὶ μῖσος Ἀλεξάνδρῳ πρὸς τὸν πατέρα, παραινοίη δὲ Ἡρώδην μὲν ἀπεγνωκέναι διὰ τὸ γῆρας, αὐτῷ δὲ

Variæ lectiones et notæ.

(16) *Σαλώμην ἔφη ταῦτα συμπείσειν.* Josephus habet συνθῆσαι. Legendum aut συμπεῖσαι, aut συνθεῖναι. W.

προσέχειν, ὡς τῆς βασιλείας αὐτῷ περιελευσομένης, κἂν μὴ βούληται ὁ πατὴρ, καὶ διὰ τὸ γένος, καὶ διὰ τὴν τῶν ἡγεμόνων καὶ τῶν φίλων διάθεσιν. Τούτων ἀκούσας Ἡρώδης, περίφοβος ἦν, καὶ πρὸς πάντας ὑποψίας εἶχε καὶ μίσης, πολλοῖς δὲ τῶν φίλων καὶ τὴν εἰς τὰ βασίλεια πρόσοδον ἀπηγόρευσε. Πάντων δ' αἴτιος ἐτύγχανεν ὁ Ἀντίπατρος. Πρῶτον μὲν οὖν ὅσους ᾤετο πιστοὺς Ἀλεξάνδρῳ, βασάνοις ὁ Ἡρώδης ἐξήταζεν, εἴ τι κατ' αὐτοῦ τολμηθὲν εἰδείησαν. Οἱ δὲ ἀπέθνησκον, οὐδὲν ἔχοντες λέγειν. Εἷς δέ τις τὰς βασάνους μὴ φέρων, εἶπε λέγειν Ἀλέξανδρον, ἐπαινούμενον διὰ τὸ τοῦ σώματος μέγεθος, καὶ τὸ εὐστόχως βάλλειν ἐκ τόξου, καὶ τἄλλα, ὅτι, *Εἴ τι παρὰ τῆς φύσεως αὐτῷ δέδυται καλὸν, ἢ ἐξ ἀσκήσεως προσεγένετο, εἰς δυστύχημα περίσταται· ἄχθεσθαι γὰρ ἐπὶ τοῖς καλοῖς αὐτοῦ τὸν πατέρα.* Προσετίθει δὲ ὡς καὶ βουλεύσαιτο σὺν Ἀριστοβούλῳ ἐν κυνηγεσίῳ ἀνελεῖν τὸν πατέρα, καὶ εἰς Ῥώμην φυγεῖν, τὴν βασιλείαν μετελευσόμενος. Εὑρέθη δὲ καὶ γράμματα Ἀλεξάνδρου πρὸς τὸν ὁμαίμονα, μὴ δίκαια λέγοντα ποιεῖν τὸν πατέρα, προτιμῶντα τὸν Ἀντίπατρον. Ἐπὶ τούτοις συλλαβὼν ἔδησε τὸν Ἀλέξανδρον· ἔσπευδε δὲ καὶ μεῖζόν τι λαβεῖν τεκμήριον κατὰ τοῦ υἱοῦ, ἵνα μὴ προπετῶς δόξῃ αὐτὸν δεδεκώς (47). Πολλοὺς οὖν καὶ τῶν ἐν τέλει βασανίζων διέφθειρε, μηδὲν εἰπόντας, οἷον ἐκεῖνος ᾤετο. Ὡς δέ τις τῶν νεωτέρων ἐν ταῖς ἀνάγκαις ἐγένετο, ἐπιστέλλειν ἔλεγε τὸν Ἀλέξανδρον τοῖς ἐν Ῥώμῃ φίλοις, ἀξιοῦντα κληθῆναι ὑπὸ τοῦ Καίσαρος, μηνύσαντα, Μιθριδάτην τὸν βασιλέα Πάρθων τῷ πατρὶ φιλιωθέντα κατὰ Ῥωμαίων, εἶναι δὲ αὐτῷ καὶ φάρμακον κατεσκευασμένον ἐν Ἀσκάλωνι. Ταῦτα Ἡρώδης τῆς προπετείας ἐλογίζετο παραμύθιον· τὸ μέντοι φάρμακον εὐθὺς ζητηθὲν, οὐχ εὑρέθη. Διὰ δὲ τὴν τῶν κακῶν ὑπερβολὴν ὁ Ἀλέξανδρος φιλονείκως διατεθείς, καὶ βουληθεὶς ἀμύνασθαι τοὺς ἐχθροὺς, ἵν' αὐτῷ συναπόλωνται, γράμματα πέπομφε τῷ πατρὶ, ὡς οὐδὲν δεῖ βασανίζειν· μελετηθῆναι γὰρ τὴν ἐπιβουλὴν, καὶ ταύτης μετέχειν τόν τε Φερώραν καὶ τοὺς πιστοτάτους αὐτῷ τῶν φίλων. Σαλώμην δὲ καὶ νύκτωρ ἐπεισελθοῦσαν αὐτῷ μιχθῆναι καὶ ἄκοντι· ἀλλὰ καὶ πάντας εἰς ταυτὸν ἥκειν, ἵν' ἐκ μέσου αὐτοῦ γεγονότος ἀπαλλαγεῖεν τοῦ ἀεὶ φθαρήσεσθαι προσδοκᾶν. Ἀρχέλαος δὲ ὁ τῶν Καππαδοκῶν βασιλεὺς ταῦτα μαθὼν, καὶ ἀγωνιῶν ὑπέρ τε τῆς θυγατρὸς καὶ τοῦ κηδεστοῦ, παραγέγονε, καὶ εὐφυῶς μετῆλθε τῶν λυπούντων τὴν ἐπανόρθωσιν, τοῦ μὲν νεανίσκου καταγινώσκων, ἐπιεικῆ δὲ τὸν Ἡρώδην ἀποκαλῶν, τόν τε γάμον διαλύειν ἔλεγε. Τοιαῦτα δὲ λέγοντος τοῦ Ἀρχελάου, ἐνεδίδου τῆς χαλεπότητος Ἡρώδης, καὶ κατήνεκτο πρὸς λύπην καὶ δάκρυα· ἐδεῖτό τε μὴ λύειν τὸν γάμον, ἀλλὰ χαλᾶν τὴν ὀργὴν, ἐφ' οἷς ὁ νεανίσκος ἡμάρτηκεν. Ἀρχέλαος δὲ, ἤδη μαλαχθέντα τὸν Ἡρώδην θεώμενος, εἰς ἄλλους τὰς αἰτίας μετέφερε, καὶ μᾶλλον εἰς τὸν Φερώραν. Ὁ δὲ πρὸς Ἀρχέλαον ἐτράπετο, ἵν'

A erga se benevolentiam. His auditis Herodes in metu fuit, omnes suspectos atque **249** invisos habuit, multis amicorum aditu regiæ interdixit : quarum rerum omnium causa erat Antipater. Primum igitur quos Alexandro fidos esse putabat, quæstionibus adhibitos examinabat, nunquid ei facinoris alicujus, quo ipse peteretur, conscii essent? Illi vero cum quod dicerent non haberent, cruciatibus immoriebantur. Quidam tamen tormentorum dolore victus, dixit, Alexandrum, cum ob proceritatem corporis, sagittandi peritiam, cæterasque dotes laudaretur, dixisse : *Si quid sibi præclari vel a natura tributum, vel studio comparatum esset, id sibi calamitati esse, quod pater suis bonis doleret.* Adjecit, eum cum Aristobulo consilia agitasse de patre in venatione occidendo, et vendicandi regni causa Romam confugiendo. Sunt et litteræ Alexandri inventæ, quibus ad fratrem scribebat, patrem inique facere, qui Antipatrum ipsis anteferret. Ob hæc Alexandrum in vincula conjecit : sed evidentius argumentum quæsivit, ne filium temere vinxisse videretur, ac multos insignes viros in quæstionibus occidit, nihil tale elocutos, quale exspectabat. Sed quidam adolescens, fidiculis contentis, dixit, Alexandrum ab amicis Romanis petiisse, ut a Cæsare vocaretur, ad indicium faciendum de Mithridate Parthorum rege, qui cum patre amicitiam contra Romanos iniisset : eumdem habere venenum Ascalone præparatum. Hæc temeritatem Herodis consolata sunt. Ac venenum statim quæsitum est, sed non inventum. Alexander autem malorum magnitudine exacerbatus, ut inimicos ulcisceretur, et una secum in exitium traheret, ad patrem scripsit, nihil opus esse quæstionibus. Nam se insidias cogitasse, earumque socios esse Pheroram, et intimos ejus amicos. Salomen vero etiam noctu cubiculum ingressam, secum invito rem habuisse : enimvero omnes in eo consentire, ut ipso e medio sublato, perpetuo exitii metu liberentur. Cæterum Archelaus Cappadocum rex, iis cognitis, de filia et genero sollicitus, Hierosolyma venit, artificiose molestias sedare conatus. Nam adolescentem accusabat, et Herodem æquum vocabat, seque dirempturum esse conjugium **250** profitebatur. Illo ea dicente, Herodes sævitia remissa, in mœrorem et lacrymas erupit : eumque rogavit, ne matrimonium dirimeret, sed omissa iracundia, delictis adolescentis veniam daret. Archelaus, cum Herodem jam mitigatum videret, culpam in alios transferebat, Pheroram præsertim. Cui roganti ut pro se apud Herodem intercederet, suasit ut ipse fratrem conveniret ac oraret, et culpam omnem agnosceret. Sic enim iracundiæ rigorem facilius mitigaturum, seque illi affore est pollicitus. Paret Pheroras, per Archelaum Herodi reconciliatur, etiam Alexandro crimine liberato.

Variæ lectiones et notæ.

(47) Δεδεκώς. Alter e Reg. δεδωκώς. Colbert. δεδοικώς.

ἔσοιτο πρὸς Ἡρώδην αὐτῷ διαλλακτής. Καὶ ὃς συνεβούλευεν αὐτῷ, βέλτιον δι' ἑαυτοῦ προσιέναι τῷ ἀδελφῷ, καὶ δεῖσθαι πάντων ὁμολογοῦντα αἴτιον ἑαυτόν· μαλάξαι γὰρ οὕτω τὸ σκληρὸν τῆς ὀργῆς. Καὶ αὐτὸς δὲ παρὼν συλλήψεσθαι ἐπηγγέλλετο. Πείθεται ὁ Φερώρας, καὶ Ἀλέξανδρος μὲν τῶν αἰτιῶν ἀπαλύετο. Ἀρχέλαος δὲ τῷ Ἡρώδῃ τὸν Φερώραν διήλλαξε.

XXI. Verum longo tempore post liberi et res domesticæ Herodis longe pejus habuerunt. Nam Eurycles Lacedæmonius, homo apud suos non obscurus, sed pessimi animi, Herodi muneribus oblatis, et pluribus acceptis, in regis intimam amicitiam est receptus. Diversabatur autem apud Antipatrum : sed et Alexandri ædes frequentabat, se Archelao quoque notum esse asserens, eaque de causa Glaphyram colere simulabat. Huic in familiaritatem recepto, Alexander suas tragœdias et matris interitum referebat, ac non ferenda esse illa dicebat. Quæ cum dolenter efferetur, Eurycles omnia narrabat Antipatro : ab eoque muneribus acceptis, ut eadem patri referret, sic regem commovit, ut odio implacabili arderet. Hac ratione partis opibus discessit. Herodes vero tanta iracundia contra filios efferbuit, ut calumniatoribus jam nihil esset opus, sed ipse dicta factaque eorum omnia curiose indagaret atque observaret. Cum autem duo ex regis satellitibus per iracundiam expulsi, cum Alexandri ministris equitarent, ab eoque munera accepissent : Herodes statim sinistri aliquid suspicatus, quæstiones de iis habuit. Ii vero principio cruciatus tolerantes, deinde narrarunt, Alexandrum a se petiisse ut Herodem in venatu occiderent. Sunt et de Alexandrii castelli præfecto quæstiones habitæ, quasi promisisset, se adolescentes castello recepturum. Illo autem nihil confitente, filius ejus ita factum esse affirmavit, et litteras ea de re obtulit, quæ Alexandri manu scriptæ **251** viderentur. Tum vero Herodes non jam dubitabat de filiorum insidiis, licet Alexandro Antipatri dolo id scriptum esse concinnatum affirmante. Adolescentes igitur tum observabantur, atque in ignominia et metu damnatorum erant. Aristobulus autem socrum Salomen vicem suam dolere, et eum odisse qui talia crederet, putans : *Hæc*, inquit, *tibi quoque periculum denuntiant, cui spes nuptiarum Sylæi crimini datur.* Ea verba mulier statim ad fratrem defert. Qui utrumque filium vinctum seorsim custodiri, ac singulatim scribere jubet, quæ contra patrem meditatus esset. Illi scribunt se insidias contra patrem neque animis agitasse, neque comparasse : sed fugam spectasse necessario, quod vitam sollicitam et suspectam degerent. Tum igitur Alexandrum vinctum eduxit, præsente et audiente Archelai legato, et de fuga percontatus est, quo et quomodo discedere voluerit? Ille vero, Ad Archelaum, respondit, qui polliceitus esset, se eum inde Romam missurum, nihil autem aliud gravius in patrem cogitasse. His dictis, rex duos e suis Romam ad Cæsarem cum litteris misit, ac jussit navi ad Ciliciam appulsa cum Archelao expostulare, quod insidiarum filiis

ΚΑ'. Μετὰ καιρὸν δὲ πολὺν χεῖρον ἴσχε τὰ κατὰ τοὺς παῖδας καὶ τὴν οἰκίαν Ἡρώδῃ. Εὐρυκλῆς γὰρ ἀπὸ Λακεδαίμονος, οὐκ ἄσημος τῶν ἐκεῖ, κάκιστος δὲ τὴν προαίρεσιν ἄνθρωπος, ἐπιδημήσας πρὸς Ἡρώδην, δίδωσιν αὐτῷ δῶρα, καὶ πλειωλαβὼν, γέγονε φίλος ἐν τοῖς μάλιστα τοῦ βασιλέως. Ἦν δὲ αὐτῷ καταγωγὴ ἐν τοῖς Ἀντιπάτρου· προσῄει δὲ καὶ Ἀλεξάνδρῳ, γνωστὸς εἶναι λέγων καὶ Ἀρχελάῳ, ὅθεν καὶ τὴν Γλαφύραν τιμᾶν ὑπεκρίνετο. Τούτῳ συνήθει γεγονὼς Ἀλέξανδρος τὰ καθ' ἑαυτὸν ἐξετραχῄζει καὶ τὰ κατὰ τὴν μητέρα ἐδίδασκε, καὶ ἔλεγε μὴ δοκεῖν ἀνεκτά. Καὶ ὁ μὲν ἀλγῶν τοιούτους λόγους ἐποιήτο πρὸς τὸν Εὐρυκλῆν· ὁ δὲ πάντα τῷ Ἀντιπάτρῳ ἀνέφερεν. Ἀντίπατρος δὲ δώροις αὐτὸν ἐδεξιοῦτο, καὶ ἠξίου πρὸς τὸν πατέρα τοὺς λόγους φράζειν. Ὁ δὲ οὕτω τὸν βασιλέα διέθηκεν, ὡς ἀμετάγνωστον ποιῆσαι τὸ μῖσος. Καὶ ὁ μὲν ἀπῆει χρηματισάμενος· Ἡρώδης δὲ τοσαῦτον πρὸς τοὺς παῖδας ἐξώργιστο, ὡς μηκέτι δεῖσθαι διαβολῶν, ἀλλ' αὐτὸς περιεργάζεσθαι τὰ ἐκείνων καὶ παρατηρεῖν ἕκαστα. Δύω γοῦν τῶν σωματοφυλάκων τοῦ βασιλέως κατ' ὀργὴν αὐτοῦ ἀπεωσμένοι, τοῖς περὶ Ἀλέξανδρον συνιππάζοντο, καὶ δῶρα ἐξ ἐκείνου ἐλάμβανον. Ὑποπτεύσας οὖν τούτους Ἡρώδης, εὐθὺς ἐβασάνιζεν. Οἱ δὲ τὸ μὲν πρῶτον διεκαρτέρουν, εἶτ' ἀπήγγελλον ὡς πεῖσαι αὐτοὺς κτεῖναι θηρῶντα τὸν Ἡρώδην Ἀλέξανδρος. Καὶ ὁ φρούραρχος δὲ τοῦ Ἀλεξανδρίου ἠτάζετο, ὡς ἐπαγγειλάμενος δέξασθαι τοὺς νεανίσκους ἐν τῷ φρουρίῳ. Κἀκεῖνος μὲν οὐδὲν ὡμολόγει, ὁ δὲ υἱὸς αὐτοῦ ταῦτα γενέσθαι κατέθετο, καὶ γράμμα ἐπέδωκε περὶ τούτων, ὡς εἰκάσαι τῆς τοῦ Ἀλεξάνδρου χειρός. Ὁ μὲν οὖν Ἡρώδης οὐκέτι ἐνδοιάσιμος ἦν περὶ τῆς τῶν παίδων ἐπιβουλῆς. Ἀλέξανδρος δὲ δι' Ἀντιπάτρου τὸ γραμματίδιον κακουργηθῆναι διισχυρίζετο. Τότε μὲν οὖν φυλακὴ τῶν νεανίσκων ἐγίνετο, καὶ καταδίκων εἶχον ἀδοξίαν καὶ δέος. Ὁ δὲ Ἀριστόβουλος τὴν ἑαυτοῦ πενθερὰν Σαλώμην συναλγεῖν οἰόμενος, καὶ μισεῖν τὸν τὰ τοιαῦτα πειθόμενον. *Ταῦτα καὶ σοὶ*, ἔφη, *κίνδυνον προμηνύει, διαβεβλημένῃ κατ' ἐλπίδα γάμων Συλλαίου.* Τούτους ἐκείνη τοὺς λόγους εὐθὺς προσφέρει τῷ ἀδελφῷ. Ὁ δὲ δεθῆναι κελεύει καὶ ἄμφω τοὺς υἱοὺς, καὶ ἀπ' ἀλλήλων διαστῆναι, γράψαι τε ἕκαστον ὅσα κατὰ τοῦ πατρὸς ἐμελέτησαν. Οἱ δὲ γράφουσιν, ἐπιβουλὴν μὲν οὔτ' ἐννοῆσαι κατὰ τοῦ πατρὸς, οὔτε μὴν συσκευάσασθαι, ὅρασμὸν δὲ μελετῆσαι, καὶ τοῦτον δι' ἀνάγκην, ὑπόπτου καὶ περιδεοῦς οὔσης αὐτοῖς τῆς ζωῆς. Τότε τοίνυν, ἥκοντος ἐξ Ἀρχελάου πρεσβευτοῦ, ἐξῆγε τὸν Ἀλέξανδρον δεσμώτην, καὶ περὶ τῆς φυγῆς ἐπυνθάνετο ἐπ' ἀκροάσει τοῦ πρεσβευτοῦ, ὅπου καὶ πῶς ἐγνώκασιν ἀποχωρεῖν· ὁ δὲ πρὸς Ἀρχέλαον ἔφη, ἐκεῖθεν εἰς Ῥώμην συνθέμενον διαπέμψειν, ἄλλο δὲ οὐδὲν ἄτοπον ἢ δυσχερὲς λογίσασθαι κατὰ τοῦ πατρός. Τούτων οὕτω ῥηθέντων, ὁ βασιλεὺς, γράμματα πρὸς

Καίσαρα δοὺς, δύο τῶν ὑπ' αὐτὸν ἐκέλευσεν, ἐν παράπλῳ τῇ Κιλικίᾳ προσχόντας (48), ἐντυχεῖν Ἀρχελάῳ, καὶ μέμψασθαι, ὅτι τῆς ἐπιβουλῆς τοῖς παισὶ συνεφάψαιτο. Ἀρχέλαος μέντοι ἀπελογεῖτο δέξασθαι τοὺς νεανίας συνθέσθαι διὰ τὸ συμφέρον κἀκείνοις καὶ τῷ πατρὶ, οὐ μὴν πρὸς Καίσαρα πέμψειν. Εἰς Ῥώμην δὲ ἀποκομισθέντες οἱ τῶν ἐπιστολῶν κομισταὶ, ταύτας δεδώκασι Καίσαρι. Ὁ δὲ ἀντεπέστειλεν, ἄχθεσθαι ἐπὶ τοῖς παισὶν, ἐπ' ἐκείνῳ δὲ τὴν πᾶσαν ἐξουσίαν ποιεῖν. Καὶ εἴ μέν τι ἀνόσιον πεποιήκασιν, ἐπεξιέναι ὡς πατραλοίας· εἰ δὲ δρασμὸν ἐνενόησαν, ἄλλως νουθετήσαντα μηδὲν ἀνήκεστον διαπράξασθαι. Συμβουλεύσιν δ' αὐτῷ, περὶ Βηρυτὸν συναγαγόντα συνέδριον, καὶ παραλαβόντα τοὺς ἡγεμόνας καὶ τὸν τῶν Καππαδοκῶν βασιλέα Ἀρχέλαον, καὶ ὅσους τῶν ἄλλων οἶδεν ἐπιφανεῖς ἀξιώμασι, μετ' ἐκείνων τὸ δέον σκοπεῖν.

A suis adjutor fuisset. Archelaus vero respondit, se promisisse adolescentes susceptarum, propter et ipsorum et patris utilitatem, sed ad Cæsarem missurum fuisse negavit. Illi Romam profecti Cæsari litteras reddiderunt: qui rescripsit, se dolere propter ejus filios, sed omnem ipsi auctoritatem dare: qui si facinus impium in se admiserint, puniendos pro parricidis: sin fugam duntaxat cogitarint, in eos verbis castigatos nihil gravius consulendum. Consultum autem videri sibi, ut convocato Beryti concilio, et ducibus atque Cappadocum rege Archelao, et aliis viris dignitate illustribus adhibitis, quid statuendum esse videatur, deliberet.

ΚΒ'. Ταύτην δεξάμενος τὴν ἐπιστολὴν ὁ Ἡρώδης, ἐκάλει πρὸς τὸ συνέδριον οὓς ἐβούλετο, Ἀρχέλαον δι' ἔχθραν παραιτησάμενος, ἢ καὶ ἐναντιωθήσεσθαι τῇ γνώμῃ νομίζων αὐτοῦ. Ἤδη δὲ συνηγμένων τῶν τε ἡγεμόνων καὶ τῶν ἄλλων, κατηγόρει τῶν παίδων ὁ βασιλεὺς, καὶ τὰ δι' αὐτῶν ἐκείνων γραφέντα ὑπανεγίνωσκεν. ἐν οἷς οὐδὲν ἐγέγραπτο ἕτερον ἢ ὅτι φυγεῖν βουλεύοιντο, καὶ λοιδορίαι τινὲς εἰς αὐτὸν, ὀνείδη διὰ τὴν ὀύσνοιαν ἔχουσαι. Καὶ τέλος εἰπών, καὶ ἐκ τῆς φύσεως καὶ ἐκ τοῦ Καίσαρος αὐτῷ τὴν ἐξουσίαν δοθῆναι, καὶ νόμον προσέθηκε πάτριον, ὃς ἐκέλευεν, εἴ του κατηγορήσαντες οἱ γονεῖς, ἐπιβοᾶν τὰς χεῖρας τῇ κεφαλῇ, τοὺς περιεστῶτας τοῦτον ὀφείλειν λιθολευστεῖν, καὶ οὕτως ἀποκτείνειν. Ὅπερ ἔλεγε δύνασθαι καὶ αὐτὸς ἐν τῇ πατρίδι καὶ τῇ βασιλείᾳ ποιεῖν, ἀναμεῖναι δὲ τὴν ἐκείνων κρίσιν. Ταῦτα τοῦ Ἡρώδου εἰπόντος οἱ συνεδριάζοντες τὴν ἐξουσίαν ἐκύρουν αὐτῷ, τῶν νεανίσκων μηδὲ παρηγμένων εἰς τὸ συνέδριον· καὶ τινες μὲν κατεψηφίζοντο τῶν Ἡρώδου υἱῶν, ἀλλ' οὐ μέντοι καὶ κτείνειν· οἱ δέ γε πλείους καὶ θανάτῳ κολάζειν αὐτοὺς ἀπεφαίνοντο. Καὶ ἐπὶ τούτοις διελέλυτο τὸ συνέδριον. Ἡρώδης δὲ ἦκεν εἰς Τύρον, καὶ τοὺς παῖδας ἄγων. Ὡς δὲ ἦλθον εἰς Καισάρειαν, μετέωροι πάντες ἦσαν, ποῖ τὰ κατὰ τοὺς νεανίας χωρήσειεν, ἐκδεχόμενοι· καὶ τοῖς μὲν γινομένοις ἐδυσχέραινον· οὐκ ἦν δὲ ἀκίνδυνον οὔτε τι ὑπὲρ ἐκείνων εἰπεῖν, οὔτ' ἀκούειν ἑτέρου λέγοντος. Ἀλλ' ὀδυρτῶς μὲν, ἀναύδως δὲ τοῦ πάθους ἔφερον τὴν ὑπερβολήν. Στρατιώτης δέ τις ὀνόματι Τήρων, υἱοῦ αὐτοῦ καθ' ἡλικίαν ὄντος Ἀλεξάνδρῳ φίλου, πολλὰ καὶ πρὸς τὸ πλῆθος ἔλεγε, καὶ πρὸς τὸν βασιλέα δὲ παῤῥησιασάμενος, μόνος μόνῳ ἐντυχεῖν ἠξίου. Καὶ ἐνδόντος, *Ποῖ ποτέ σοι, ἔφη, ὁ πεπιττὸς ἐκεῖνος νοῦς; Τίς δὲ ἡ τῶν φίλων καὶ συγγενῶν ἐρημία; Εἶτα οὐ σκέψῃ, τί τὸ πραττόμενον, εἰ δύο νεανίας ἐκ βασιλίδος σοι γυναικὸς γενομένους, εἰς πᾶσαν ἀρετὴν ἀκρους ἀναιρήσεις, σεαυτὸν ἐν*

XXII. Herodes hac epistola accepta, ad concilium vocavit quos voluit: Archelao, sive quod eum oderat, sive quod voluntati suæ refragaturum putabat, præterito. Ducibus et cæteris jam congregatis, rex filios accusat, recitatis **252** ipsorum scriptis, quæ nihil aliud continebant, præter fugæ consilium, et convitia quædam patri malevolentiam exprobrantia. Postremo dixit, et a natura et a Cæsare potestatem sibi datam esse: legemque patriam adjecit, quæ juberet, si quem parentes, manibus illius capiti impositis, accusarent, eos qui circumstarent, necessario lapidibus reum occidere. Quod cum ipse domi in patria facere potuisset, illorum tamen suffragia exspectasse. Hæc Herode locuto, qui in concilio aderant, adolescentibus nec in medium productis, auctoritatem ei confirmarunt: ac nonnulli sane adolescentes condemnarunt, non tamen capitis: plerique capitis etiam eos condemnarunt. Concilio sic dimisso, Herodes adductis filiis Tyrum venit, inde Cæsaream, ubi omnes exspectatione suspensi fuere, quo tandem res illorum evasuræ essent: quamvis autem ea graviter ferrent, non tutum tamen erat, vel quidquam de illis loqui, vel aliis dicentibus audire. Itaque casum illum mœsto silentio dissimulabant. Verum miles quidam nomine Teron, qui filium Alexandro æqualem atque amicum habebat, multa in populi frequentia locutus, etiam a rege petere ausus est cum eo solo colloquendi facultatem: qua impetrata: *Quo tandem*, inquit, *excellens ista prudentia abiit? Quæ est ista ab amicis et cognatis solitudo? Non aliquando considerabis, quo res evasura sit, si duobus adolescentibus ex matre regina susceptis, omni virtutum genere præstantibus, interfectis, tua senectus uni filio innitetur, et cognatis, quos ipse tolles capitis condemnasti? Non cogitabis silentii populi causam esse doloris magnitudinem, totumque exercitum in calamitosos misericordiam, in calamitatis auctores odium*

Variæ lectiones et notæ.

(48) Ἡν παράπλῳ τῇ Κιλικίᾳ προσχόντας. Josephus ἐν παράπλῳ μὲν Ἐλούσης τῆς Κιλικίας προσχόντα. Ubi τὸ μὲν Ἐλούσης depravatum esse apparet. Gelenius vertit, *ut inter navigandum appellerent ad Eleusam oppidum Ciliciæ.*

gerere? Rex illa principio non iracunde audiebat. Sed Teronis immoderata et militari libertate et militum indignatione commotus, Teronem in vinculis asservari jussit. Qua occasione arrepta, Tryphon regis tonsor dixit se a Terone sæpius sollicitatum, ut regis gulam novacula abscinderet: quo facto, principem locum apud Alexandrum habiturus esset. His dictis et ipse comprehenditur: quæstiones de Terone, ejus filio, et tonsore **253** habentur. Quam necessitatem patre fortiter tolerante, filius, qui quam is misere affectus esset, cerneret, dixit se regi veritatem indicaturum, si patrem et se illis cruciatibus liberare vellet. Fide accepta, convenisse ait, ut Teron suis manibus regem occidat: His dictis, patrem ærumna liberat. Herodes vero omni dubitatione paterni animi repudiata, decretum suum exsequi statuit. Itaque Alexander et Aristobulus Sebasten perducti, illius jussu laqueo præfocantur. Sunt et ccc duces rei, et Teron cum filio et tonsore producti atque accusati, quos populus telis obiter arreptis interfecit. Antipatro, cum fratres sustulisset, difficilior facta est regni adeptio, susceptis popularium odiis, ac militum in primis: sed regni fuit interea cum patre particeps, qui ei fidem habebat. Alexandri uxorem ad patrem remisit Herodes, interfectorum liberos magno studio aluit. Susceperat enim Alexander ex Glaphyra duos mares: Aristobulus e Bernice tres filios, et duas filiolas. Natus est et regi e pontificis filia Herodes. Habuit enim IX mulieres in matrimonio: idque more gentis, apud quam receptum erat, eodem tempore plures uxores alere; inter quas fuere Antipatri mater, et filia pontificis: e qua, ut dictum est, filium sibi cognominem procreavit. Fuit ei et fratris filia nupta, et consobrina cum ea, præterea Samaritana quædam, cujus filii fuere Antipas et Archelaus et Olympias filia. Inter ejus uxores etiam Cleopatra Hierosolymitana numerabatur, cujus filii fuerunt Herodes et Philippus. Præterea Pallas, e qua Phasaelum suscepit: ac Phædra et Elpis, quæ ei Roxanem et Salomen filiam pepererunt. Susceperat et e Mariamme duas filiolas.

XXIII. Atque hæc familia Herodis fuit: sed summa rerum ad solum Antipatrum spectabat, omnibus formidabilem, non tam potestate, quam morum improbitate: quem Pheroras maxime colebat, et ab eo vicissim colebatur. Salome vero eis adversabatur, quæ rebus suo nomini contrariis (id enim pacem significat) semper studebat, non pacifica,

A γήρα καταλιπὼν ἐφ' ἑνὶ παιδὶ καὶ συγγενέσιν, ὧν αὐτὸς τοσουτάκις κατέγνως θάνατον; Οὐκ ἐνοήσεις, ὅτι καὶ τῶν ὄχλων ἡ σιωπὴ διὰ μέγεθος τοῦ πάθους ἐστὶ, καὶ πᾶσα ἡ στρατιὰ ἕλεον μὲν τῶν ἀτυχούντων, μῖσος δὲ τῶν ταῦτα ἐργαζομένων ἐσχήκασιν; Ἤκουε ταῦτα ὁ βασιλεὺς ἐν ἀρχῇ οὐκ ἀγνωμόνως. Ὁ δὲ Τήρων, ἀμέτρῳ καὶ στρατιωτικῇ χρώμενος παῤῥησίᾳ, τὸν Ἡρώδην ἐτάραξε, καὶ πρὸς τὴν τῶν στρατιωτῶν κεκίνητο ἀγανάκτησιν. Καὶ προστάττει, τὸν Τήρωνα δήσαντας ἔχειν ἐν φυλακῇ. Ἐπιτίθεται δὲ τῷ καιρῷ καὶ Τρύφων τοῦ βασιλέως κουρεὺς, εἰπὼν ὡς ἀναπείθοιτο πολλάκις ὑπὸ τοῦ Τήρωνος ξυρῷ τὴν λαιμὸν τοῦ βασιλέως τεμεῖν· ἔσεσθαι γὰρ ἐν πρώτοις τῷ Ἀλεξάνδρῳ. Ταῦτα εἰπὼν, καὶ αὐτὸς συλλαμβάνεται· καὶ ἐν βασάνοις ἦσαν ὁ Τήρων τε καὶ ὁ παῖς αὐτοῦ, καὶ αὐτὸς ὁ κουρεύς. Διαχαρτεροῦντος δ' ἐν ταῖς βασάνοις τοῦ Τήρωνος, ὁρῶν ὁ παῖς τὸν πατέρα χαλεπῶς διακείμενον, ἔφη μηνύσειν τῷ βασιλεῖ τὴν ἀλήθειαν, εἰ μέλλει ῥύσασθαι τῶν βασάνων τὸν πατέρα καὶ ἑαυτόν. Λαβὼν δὲ πίστεις, ἔλεγεν εἶναι συνθήκην ἐπιθέσθαι τῷ βασιλεῖ δι' αὐτοχειρίας τὸν Τήρωνα. Ταῦτα εἰπὼν, ἐξαιρεῖται τὸν πατέρα τῆς ἀνάγκης. Ὁ δ' Ἡρώδης, οὐδὲν ἔτι ἐνδοιάσιμον τῇ ψυχῇ καταλελοιπὼς περὶ τὴν τεκνογονίαν, τέλος τῇ προαιρέσει ἐπέθετο. Καὶ ἀχθέντες εἰς Σεβαστὴν Ἀλέξανδρός τε καὶ Ἀριστόβουλος, ἐπιτάξαντος τοῦ πατρὸς στραγγάλῃ ἀπηγχονήθησαν. Προαγαγὼν δ' εἰς τὸ πλῆθος τριακοσίους τῶν ἡγεμόνων τοὺς ἐν

B αἰτίᾳ γενομένους, καὶ τὸν Τήρωνα σὺν τῷ παιδὶ, καὶ τὸν κουρέα, κατηγόρει αὐτῶν, οὓς οἱ τοῦ πλήθους βάλλοντες τοῖς παρατυχοῦσιν ἀπέκτειναν. Ἀντιπάτρῳ δὲ κατεργασαμένῳ τοὺς ἀδελφοὺς ἐργωδεστέρα ἦν ἡ τῆς βασιλείας ἐπιτυχία, μίσους τῷ ἔθνει φυέντος πρὸς αὐτὸν, καὶ μάλιστα τῷ ὁπλιτικῷ. Τέως δὲ συνῆρχε τῷ πατρὶ, καὶ ἐπιστεύετο παρ' αὐτοῦ. Τὴν δὲ Ἀλεξάνδρου γυναῖκα Ἡρώδης πρὸς τὸν πατέρα ἀνέπεμψεν, ἔθρεψε δὲ τὰ τῶν θανόντων τέκνα πάνυ ἐπιμελῶς. Ἦσαν δὲ Ἀλεξάνδρῳ μὲν ἐκ Γλαφύρας ἄρσενες δύω· Ἀριστοβούλῳ δὲ ἐκ Βερενίκης υἱοὶ τρεῖς, καὶ δύο θυγάτρια· γέγονε δὲ τῷ βασιλεῖ καὶ ἐκ τῆς ἀρχιερέως θυγατρὸς Ἡρώδης

C υἱός. Ἐννέα γὰρ τῷ βασιλεῖ συνῴκουν γυναῖκες, πάτριον ὂν καὶ πλείοσι κατὰ αὐτὸν συνοικεῖν. Ἦσαν δὲ ἥ τε τοῦ Ἀντιπάτρου μήτηρ, καὶ ἡ τοῦ ἀρχιερέως θυγάτηρ, ἐξ ἧς, ὡς εἴρηται, παῖς αὐτῷ ἐγεννήθη ὁμώνυμος. Ἦν δὲ καὶ ἀδελφοῦ παῖς αὐτῷ μία γεγαμημένη, καὶ ἀνεψιὰ σὺν αὐτῇ, ἐξαδέλφη δηλαδή· τὰς γὰρ ἐξαδέλφας ἀνεψιὰς ἐκάλουν οἱ παλαιοὶ, ὡς ἔστιν εὑρεῖν πολλαχοῦ καὶ παρὰ τῷ Πλουτάρχῳ, καὶ παρὰ ταῖς βίβλοις ταῖς νομικαῖς. Ἦν δ' ἐν ταῖς γυναιξὶν Ἡρώδου καὶ τοῦ ἔθνους τῶν Σαμαρέων μία, ἧς ἦσαν παῖδες Ἀντίπας τε καὶ Ἀρχέλαος, καὶ θυγάτηρ Ὀλυμπιάς· καὶ Κλεοπάτρα δὲ, Ἱεροσολυμῖτις ταῖς τούτου γυναιξὶ συνηριθμήτο. Καὶ ταύτης παῖδες Ἡρώδης καὶ Φίλιππος. Καὶ Παλλὰς δὲ ἦν ἐν ταῖς αὐτοῦ γαμεταῖς, Φασάηλον πεποιημένη παῖδα αὐτῷ, καὶ ἐπὶ ταῖς λοιπαῖς Φαίδρα καὶ Ἐλπὶς συνῴκουν αὐτῷ. Ἦσαν δὲ Ἡρώδῃ καὶ δύο θυγάτρια ἐκ Μαριάμ· καὶ ἐκ Φαίδρας δὲ καὶ Ἐλπίδος ἔφυσαν αὐτῷ θυγατέρες Ῥωξάνη καὶ Σαλώμη.

D ΚΓ'. Τοῦτο μὲν οὖν τὸ γένος Ἡρώδου. Τὰ δὲ πράγματα πρὸς μόνον τὸν Ἀντίπατρον ἀφεώρων, καὶ ἦν ἅπασι φοβερὸς, οὐ τοσοῦτον τῇ δυναστείᾳ, ὅσον τῇ τῶν τρόπων κακότητι. Μάλιστα δὲ αὐτὸν Φερώρας ἐθεράπευε, καὶ ἀντεθεραπεύετο. Ἠγαντίωτο δὲ αὐτοῖς ἡ Σαλώμη, ἐναντίως ἀεὶ πρὸς τὴν τῆς κλήσεως αὐτῇ σημασίαν διακειμένη. Ἡ μὲν

γὰρ εἰρήνης σημαντικὸν, καὶ εἰρηνικὴν εἶναι τὴν οὕτω κεκλημένην ἐδήλου. Ἡ δὲ καὶ σφόδρα μάχιμος ἦν, καὶ ἑτέρου; πρὸς στάσεις καὶ μάχας καὶ συγγενείας ἀλλοτρίωσιν διεγείρουσα. Αὕτη, κατασκοποῦσα τὴν Ἀντιπάτρου καὶ Φερώρου οἰκείωσιν, ἔλεγε τῷ Ἡρώδῃ, ἐπὶ κακῷ τῷ αὐτοῦ τὴν τούτων γενέσθαι εὔνοιαν. Γνόντες οὖν ἐκεῖνοι τὴν τῆς Σαλώμης διαβολὴν, ἐν τῷ φανερῷ μὲν μῖσος κατ' ἀλλήλων καὶ λοιδορίας ἦσαν ἐπιτηδεύοντες, κεκρυμμένως δὲ τὴν πρὸς ἀλλήλους ἐτήρουν ὁμόνοιαν. Τὴν Σαλώμην δ' οὐκ ἐλάνθανον, πάντα τε ἀνιχνεύουσαν καὶ τῷ βασιλεῖ ἀπαγγέλλουσαν συνόδους λαθραίας, συμπόσιά τε καὶ ἀνέκφορα βουλευτήρια. Ὁ δὲ καὶ αὐτὸς τὰ πολλὰ συνίει. Φαρισαῖοι δὲ, τὴν γυναικωνίτιδα οἰκειούμενοι, ἄνθρωποι μέγα φρονοῦντες ἐπ' ἀκριβώσει τοῦ πατρίου νόμου, καὶ βασιλεῖ ἀντιπράττοντες, οἱ πάντων ὁμωμοκότων Καίσαρι εὐνοεῖν καὶ τῷ βασιλεῖ Ἡρώδῃ, αὐτοὶ οὐκ ἐπείσθησαν, ὄντες ὑπερεξακισχίλιοι. Τῇ δὲ γυναικὶ Φερώρου εὐνοοῦντες προὔλεγον, Ἡρώδῃ τέλος τῆς ἀρχῆς κατεψηφίσθαι παρὰ Θεοῦ, νεμηθῆναι δὲ αὐτὴν Φερώρᾳ τε καὶ τοῖς ἐξ αὐτοῦ. Οὐδὲ ταῦτα τὴν τῆς Σαλώμης μοχθηρίαν διέδρα, καὶ αὐτίκα τῷ βασιλεῖ ἀπηγγέλλοντο. Τῶν μὲν οὖν Φαρισαίων οἱ ἐπὶ τούτοις ἐληλεγμένοι ἀνῃρήντο, καὶ ὁ εὐνοῦχος Βαγώας, Κάρος τέ τις ἐπὶ σώματος κάλλει διαπρεπής, καὶ Ἡρώδου ὢν παιδικά, καὶ ἕτεροι τῶν περὶ τὸν βασιλέα, ὡς συνίστορες. Εἶτα συνέδριον καθίσας ὁ βασιλεὺς, τῆς Φερώρου γυναικὸς κατηγόρει, καὶ ἀπηρίθμει πολλὰ αἰτιάματα, καὶ τέλος πρὸς τὸν Φερώραν τὸν λόγον τρέψας, Δεῖν, ἔλεγε, *καὶ πρὶν αὐτοκέλευστόν σε διὰ ταῦτα τὸ γύναιον ἀποπέμψασθαι. Νῦν γοῦν, εἰ τῆς ἐμῆς συγγενείας ἀντιποιῇ, τὴν μετ' αὐτῆς συμβίωσιν παραιτοῦ.* Ὁ δὲ πρότερον θανεῖν αἱρεῖσθαι ἀνταπεκρίνατο, ἢ ζῶν ἀπεστερῆσθαι τῆς γυναικός. Ἐντεῦθεν Ἡρώδης Ἀντιπάτρῳ καὶ τῇ ἐκείνου μητρὶ Φερώρᾳ συνομιλεῖν ἀπηγόρευσεν, ἢ ταῖς γυναιξὶ συνιέναι. Οἱ δὲ κατετίθεντο, συνῆσαν δὲ ἀλλήλοις καὶ συνεκώμαζον ἔν τε καιρός. Ἀντίπατρος δὲ, τὴν ὀργὴν τοῦ πατρὸς ὑφορώμενος, γράφει τοῖς ἐν Ῥώμῃ φίλοις, ἐπιστέλλειν Ἡρώδῃ, στέλλειν πρὸς Καίσαρα τὸν Ἀντίπατρον. Πέμπεται γοῦν εἰς Ῥώμην μετὰ δώρων Ἀντίπατρος φέρων καὶ διαθήκην Ἡρώδου αὐτῷ τὴν ἀρχὴν διδοῦσαν. Εἰ δὲ φθάσει θανὼν, Ἡρώδῃ τῷ ἐκ τῆς ἀρχιερέως γενομένῳ θυγατρός. Φερώραν δὲ μὴ ἀφιέντα τὴν γυναῖκα, ἀναχωρεῖν ἐπέταττεν ὁ Ἡρώδης. Καὶ ὃς ἐπὶ τὴν τετραρχίαν ἀπῆρεν, ὁμόσας οὐ πρότερον ἥξειν, ἢ πύθοιτο τελευτῆσαι τὸν ἀδελφόν. Ὥστε καὶ νοσήσαντος τοῦ βασιλέως κληθεὶς, οὐχ ὑπήκουσεν, ἵνα μὴ παραβαίη τὸν ὅρκον. Ἡρώδης δ' ὕστερον, Φερώρα νοσήσαντος, ἦκε πρὸς ἐκεῖνον αὐτόκλητος, καὶ θανόντα ἐτίμησεν. Ἡ δὲ Φερώρου τελευτὴ ἀρχὴ κακῶν τῷ Ἀντιπάτρῳ ἐγένετο, τιννυμένου τοῦ Θείου τῆς ἀδελφοκτονίας αὐτόν. Ἀπελεύθεροι γὰρ δύο τῶν Φερώρᾳ τιμίων ἠξίουν Ἡρώδην μὴ ἐάσαι τὸν ἀδελφὸν ἀνεκδίκητον, φαρμάκῳ διαφθαρέντα. Ταῦτα, πιστὰ δοκοῦντα, εἰς ἐξέτασιν τὸν βασιλέα ἐκίνησαν· καὶ ἐβασανίζοντο γυναῖκες δοῦλαί τε καὶ ἐλεύθεραι.

A sed pugnax admodum, et alios ad seditiones, **254** ad pugnas, ad jura cognationis et necessitudinis dirimenda incitare solita. Ea explorata Antipatri et Pheroræ conjunctione, Herodi ait, eorum benevolentiam in ipsius fraudem tendere. Cujus illi calumnia intellecta, quamvis clam concordiam colerent, publice autem mutuis odiis et convitiis certarent: Salomen tamen non fefellerunt, indagantem omnia, et regi nuntiantem, occulta conciliabula, compotationes et concilia arcana: quæ ipse etiam pleraque intelligebat. Pharisæi vero gynæconitide sibi conciliata, homines accurata patriæ legis observatione lumidi, regi adversabantur. Nam cum cæteri omnes in fidem Cæsaris et regis Herodis jurassent, illi soli refragati sunt, sex B millium numero: et quia Pheroræ conjugi bene cupiebant, prædixerunt regnum Herodi divinitus abrogatum, Pheroræ ejusque posteris attributum esse. Ne hæc quidem Salomes improbitatem latuerunt, quin statim regi renuntiarentur. Pharisæi autem orationis illius convicti, eunuchus Bagoas, Carus quidam excellenti forma Herodis amasius, atque alii regii, tanquam arcanorum conscii, interfecti sunt. Deinde rex indicto concilio Pheroræ conjugem, multis criminibus in medium adductis, accusavit, ac denique oratione ad Pheroram conversa: *His de causis*, inquit, *muliercula pridem ultro tibi repudianda fuit. At nunc saltem, si fratrem meum perhiberi cupis, illius consuetudinem vitato.* Ille vero se mortem præoptare potius respondit, C quam ut vivens uxorem deserat. Ex eo Herodes Antipatro et matri ejus Pheroræ consuetudinem, et mulieribus ne inter se convenirent, interdixit. Qui etsi id pollicerentur, tamen per tempus comessatum convenisbant. Antipater vero patris iram metuens, ab amicis petit ut Herodi scribant, ut se Romam mittat. Ita pater eum cum muneribus in Urbem mittit, testamentum ferentem, quo ei regnum legabatur; sin ipsi aliquid accidisset, Herodi ex filia pontificis genito. Pheroram, cum uxorem non repudiaret, discedere jussit. Is vero cum in tetrarchiam suam abiret, juravit se ante auditum fratris obitum reverti nolle. Unde factum, ut nec **255** rege ægrotante accersitus venerit, ne jusju- D randum violaret. Herodes vero post, Pheroram ægrotantem ultro invisit, et mortuo honorem habuit. Cæterum Pheroræ exitium Antipatro malorum fuit initium, Numine fratricidium ejus ulciscente. Nam duo honorati Pheroræ liberti rogarunt Herodem, ne fratris necem veneno sublati inultam esse pateretur. Quod cum probabile videretur, regem ad rem certius indagandam permovit: habitæ sunt quæstiones de mulieribus, una quædam nihil aliud dixit, nisi quod Deum precata est ut Antipatri mater, malorum auctor, tali necessitate urgeretur. Ea oratio regem ad diligentiorem inquisitionem pepulit: ac mulieres cruciatibus auctis, arcana omnia detexerunt, comessationes, occultos congressus, sermones Antipatri cum Pheroræ mulieribus

habitos, odium patris, lamentationes apud matrem, quod pater diutissime viveret, itaque se suavitatis imperii sensu carituram, si quando id adipisceretur, ob urgentem jam senectutem. Hæc atque alia plura, quæ patrem quoque tangerent, mulieres referebant. Ob quæ rex, Antipatro jam apud animum suum condemnato, matrem ejus Doridem repudiat, et omnem ei mundum eripit, pretii multorum talentum. In primis tamen Herodem contra filium inflammavit Antipater procurator illius : cum alia in quæstionibus confessus, tum illud, eum Pheroræ venenum dedisse, ac mandasse ut id patri per absentiam suam, quominus suspectus esset, offerret. Pheroram autem id uxori asservandum dedisse. Mulier id fatebatur, atque ad venenum afferendum egressa, de tecto se præcipitem dedit, nec tamen illo casu mortua est. Recreata igitur, et denuo a rege interrogata, juravit, se rem omnem, ut gesta esset, exposituram. Dixit autem, *se venenum a marito accepisse, ab Antipatro contra ipsum patrem præparatum : sed cum ægrotante Pherora, ipse rex fratrem coram coluisset, Pheroram, ejus benevolentia perspecta, sibi dixisse, ut venenum afferret, atque in conspectu suo cremaret. Se statim dicto audientem, maxima parte in ignem conjecta,* **256** *parum sibi reservasse, quo uteretur, si post mariti obitum a rege male tractaretur.* Ipsam quoque pyxidem cum veneno in medium protulit. Accusata est et regis uxor, pontificis filia, quam statim ejecit ejusque filium ex testamento delevit, in quo ut regis, ejus mentio fiebat : et socero Simoni Boethi filio, pontificatu abrogato, Matthiam Theophili filium successorem dedit.

XXIV. Interea Bathylus Antipatri libertus Roma adest, patroni matri et Pheroræ venenum ferens : qui in tormentis dixit, id missum esse, ut si prius patrem non attigisset, vel hoc eum conficeret. Afferebat etiam litteras Roma ab amicis Herodis, quibus Archelaus et Philippus, Romæ studiorum gratia degentes, accusabantur, quasi patrem fraternarum cædium reum agerent, ac sibi ipsis timerent. Eæ litteræ magnis largitionibus Antipatro constiterunt. Herodes vero ira occultata, eum maturare jussit, et de matre ejus quædam conquestus, eum se arbitrum sumpturum dixit, ubi redisset. Eas litteras in Cilicia accepit : sed Pheroræ obitum Tarenti cognitum ægerrime tulit, non ex benevolentia, sed quod ille Herodem non, ut receperat, ante suum obitum sustulisset. Cum in portu Augusto, cui id nomen a Cæsare est inditum, appulisset, maia sua in conspectu habuit, nemine obviam eunte, nomine alloquente. Venit autem Hieronolyma, Varo Syriæ prætore, in concilio assidente, quem Hero-

Αἱ μὲν οὖν ἄλλαι ἐνεχαρτέρουν ἐχεμυθοῦσαι, μία δέ τις ἄλλο μὲν ἔφη οὐδέν, Θεὸν δ' ἐπεκαλεῖτο, τοιαύταις ἀνάγκαις τὴν Ἀντιπάτρου μητέρα περιπεσεῖν, ὡς κακῶν αἰτίαν. Τοῦτο εἰς πλείονα τὸν Ἡρώδην ἐκίνησεν ἔρευναν· καὶ πάντα, σφοδροτέραις βασάνοις αἱ γυναῖκες περιβληθεῖσαι, πεποιήκασιν ἔκπυστα, τοὺς κώμους καὶ τὰς κρυπτὰς συνόδους, καὶ λόγους Ἀντιπάτρου πρὸς τὰς γυναῖκας γενομένους Φερώρου, μῖσος πρὸς τὸν πατέρα, ὁλοφύρσεις πρὸς τὴν μητέρα ὅτι ἐπιμήκιστον ἡ ζωὴ παρατέταται τῷ πατρὶ, ὡς μηδ' αἰσθέσθαι τῶν τῆς βασιλείας ἡδέων, εἴποτε αὐτῷ γένηται, διὰ γῆρας ἤδη αὐτῷ ἐπικείμενον· καὶ ἄλλα δὲ πλείω, καὶ τοῦ πατρὸς καθαπτόμενα, αἱ γυναῖκες ἔλεγον. Τούτοις ἤδη καταγνοὺς Ἀντιπάτρου ὁ βασιλεὺς, ἀφαιρεῖται μὲν τὴν ἐκείνου, μητέρα τὴν Δωρίδα τὸν περὶ αὐτὴν πάντα κόσμον ταλάντων ὄντα πολλῶν, αὐτὴν δὲ ἀποπέμπεται. Μάλιστα δ' ἐξώτρυνε κατὰ τοῦ υἱοῦ τὸν Ἡρώδην ἐπίτροπος ἐκείνου Ἀντίπατρος, ἄλλα τε κατειπὼν ἐν τῷ βασανίζεσθαι, καὶ ὅτι φάρμακον δοίη Φερώρᾳ, ἐντειλάμενος δοῦναι αὐτὸ τῷ πατρὶ παρὰ τὴν ἀποδημίαν αὐτοῦ, ἵν' εἴη ἀνύποπτος μὴ παρὼν, καὶ τοῦτο τὸν Φερώραν φυλάσσειν δοῦναι τῇ γυναικί. Καὶ ἡ γυνὴ δὲ ὡμολόγει, καὶ ἀπιοῦσα κομίσαι τὸ φάρμακον, ἐκ τοῦ τείγους ἔρριψεν ἑαυτὴν, οὐ μὴν ἐτελεύτησε. Καὶ ἀναχτηθεῖσαν πάλιν ἠρώτα ὁ βασιλεύς· ἡ δὲ ὥμοσε πάντα ἐρεῖν, ὡς ἐπέπρακτο. *Καὶ λαβεῖν ἔφη τὸ φάρμακον παρὰ τοῦ ἀνδρὸς, ἡτοιμασμένον ἐπ' αὐτὸν τὸν πατέρα ὑπ' Ἀντιπάτρου. Νοσήσαντος δὲ Φερώρα, ἧκεν ἀλθὼν αὐτὸς ἐθεράπευε τὸν ἀδελφὸν, ὁρῶν σου τὴν εὔνοιαν ἐκεῖνος, Πρὸς ἐμὲ, ἔφη, κόμισον, ὦ γύναι, τὸ φάρμακον, καὶ κατάχαυσον ἐπ' ὄψει ἐμῇ. Κἀγὼ αὐτίκα ὡς ἐκεῖνος ἐνετέλλετο ἔπραττον, τὸ μὲν πλεῖστον πυρὶ παραδοῦσα, ἑαυτῇ δ' ὑπολειπομένη ὀλίγον, ἵν' αὐτῷ χρησαίμην, εἰ μεταστάντος Φερώρου κακά μοι παρὰ σοῦ ἀπαντᾷ.* Παρῆγε δὲ εἰς τὸ μέσον τὴν πυξίδα τε καὶ τὸ φάρμακον. Κατηγορεῖτο δὲ καὶ ἡ τοῦ βασιλέως γυνὴ, ἡ τοῦ ἀρχιερέως θυγάτηρ, ὡς συνιστῷ ἁπάντων· ἣν αὐτίκα ἐξέβαλε, καὶ τὸν υἱὸν αὐτῆς ἀπήλειψε τῶν διαθηκῶν, εἰς τὸ βασιλεῦσαι μεμνημένων ἐκείνου. Καὶ τὸν πενθερὸν Σίμωνα τῶν τοῦ Βοηθοῦ τὴν ἀρχιερωσύνην ἀφεῖλετο, ἕτερον δὲ καθίστᾳ τὸν τοῦ Θεοφίλου Ματθίαν.

ΚΔ'. Ἐν τούτῳ δὲ ἀπελεύθερος Ἀντιπάτρου Βάθυλος ἀπὸ Ῥώμης παρῆν φάρμακον κομίζων τῇ τοῦ Ἀντιπάτρου μητρὶ καὶ Φερώρᾳ· ὃς ἐταζόμενος, ἔλεγε πεμφθῆναι αὐτὸ, ἵν' εἰ μὴ τὸ πρότερον ἅπτοιτο τοῦ πατρὸς, τούτῳ γοῦν κατεργασθείη. Ἐπεφέρετο δὲ καὶ γράμματα παρὰ τῶν ἐν Ῥώμῃ τῷ Ἡρώδῃ φίλων, κατηγορίαν ποιούμενα Ἀρχελάου καὶ Φιλίππου, ἐν Ῥώμῃ διαγόντων ἐπὶ μαθήμασιν, ὡς τάχα τὸν πατέρα κατηγορούντων ἐπὶ τῷ φόνῳ τῶν ἀδελφῶν, καὶ δεδοικότων καὶ περὶ ἑαυτοῖς. Ταῦτα δὲ μεγάλων μισθῶν τῷ Ἀντιπάτρῳ ἐγένετο. Ἡρώδης δ' ἐπικρυψάμενος τὴν ὀργὴν, ἐκέλευε μὴ βραδύνειν· καὶ τῇ μητρὶ αὐτοῦ μέμψεις ἐπάγων, ἐπηγγέλλετο ἀναθήσεσθαι ταύτας αὐτῷ, ὁπότε ἀφίκοιτο. Τούτοις τοῖς γράμμασι περὶ Κιλικίαν ἐνέτυχεν. Ἐν Τάραντι δὲ τοῦ Φερώρου μαθὼν τελευτὴν, δεινῶς ἤνεγκεν, οὐ δι' εὔνοιαν, ἀλλ' ὅτι μὴ φθάσας, ὡς ὑπέσχετο, τὸν Ἡρώδην ἀναιρῆσαι ἀπέθανε. Καταχθεὶς δὲ εἰς τὸν λεγόμενον Σεβαστὸν λιμένα, ἐπ' ὀνόματι τοῦ Καίσαρος οὕτω καλούμενον, ἐν πρωΐπτοις ἦν ἤδη τοῖς

κακοῖς, μή τινας αὐτῷ προσιόντας, μήτε προσαγορεύοντας. Παρῆν δ' ἐν Ἱεροσολύμοις, Οὐάρου τοῦ τῆς Συρίας ἡγεμονεύοντος συνεδρεύοντός Ἡρώδῃ, κληθέντος ἐπὶ συμβουλῇ περὶ τῶν ἐνεστηκότων. Καὶ εἰσήει τὰ βασίλεια πορφυρίδα ἔτι φορῶν. Οἱ γοῦν ἐπὶ ταῖς θύραις δέχονται μὲν τὸν Ἀντίπατρον, τοὺς δὲ φίλους ἀνείργουσιν. Ἐθορυβεῖτο δὲ, ἤδη κατανοῶν οἷ ἐληλύθει, ἐπεὶ καὶ ὁ πατὴρ αὐτὸν ἀσπάσασθαι προσιόντα ἀπώσατο, ἀδελφοκτόνον τε καλῶν καὶ ἐπίβουλον αὐτοῦ τῇ ζωῇ, ἀκροατήν τε τούτων καὶ δικαστὴν ἔσεσθαι τὴν αὔριον τὸν Οὔαρον ἔλεγε. Καὶ ὁ μὲν ἐπὶ τοιούτοις κακοῖς ἦχετο. Ὑπαντῶσι δ' αὐτῷ ἥ τε μήτηρ καὶ ἡ γυνὴ (αὕτη δὲ ἦν παῖς Ἀντιγόνου, τοῦ πρὸ Ἡρώδου βασιλεύσαντος) παρ' ὧν ἅπαντα ἐκμαθὼν, πρὸς τὸν ἀγῶνα παρεσκευάζετο. Τῇ δ' ἑξῆς συνήδρευον Ἡρώδης καὶ Οὔαρος. Συνῆλθον δὲ καὶ οἱ ἀμφοῖν φίλοι, καὶ οἱ συγγενεῖς Ἡρώδου, καὶ οἱ μηνυταὶ τῶν Ἀντιπάτρῳ μελετωμένων, καὶ δοῦλοι μητρῷοι τοῦ Ἀντιπάτρου, ἐπιστολὴν φέροντες αὐτῆς, μὴ ἐπανήκειν ὡς πάντων τῷ πατρὶ πιστῶν ἡγουμένων (49), μόνην τε ἂν καταφυγὴν αὐτῷ λείπεσθαι Καίσαρα, καὶ τὸ μὴ γενέσθαι τῷ πατρὶ ὑποχείριον. Ἀντιπάτρου δὲ προσπέσόντος τῷ πατρὶ, καὶ δεομένου ἀκροάσασθαι αὐτοῦ, καὶ οὕτω ψηφίσασθαι, τοῦτον μὲν εἰς μέσον ἀπάγειν ἐκέλευεν· αὐτὸς δὲ ὠλοφύρατο τὴν τῶν παίδων διάθεσιν, καὶ ὅτι τὸ γῆρας αὐτοῦ περιέστηκεν εἰς Ἀντίπατρον. Τεθηπέναι τε ἔλεγεν, ὅπως Ἀντίπατρος ἐπὶ τοιαῦτα χωρήσειε, διάδοχος μὲν τῆς ἀρχῆς γεγραμμένος, ζῶντος δ' αὐτοῦ τὰ πάντα δυνάμενος, καὶ ἀντὶ τούτων πρὸς τὸν αὐτοῦ φόνον ἐρεθίζων τοὺς συγγενεῖς. Ταῦθ' ἅμα λέγων εἰς δάκρυα τρέπεται. Καὶ Νικόλαος ὁ Δαμασκηνὸς, τοῦ βασιλέως ἐπιτρέψαντος, κατηγόρει τοῦ Ἀντιπάτρου, πάντα ἐξῆς διηγούμενος. Πολλοὶ δὲ καὶ ἄλλοι κατ' Ἀντιπάτρου αὐτεπάγγελτοι ἔλεγον. Οὔαρος δὲ, Νικολάου παυσαμένου τῶν λόγων, ἐκέλευε τὸν Ἀντίπατρον ἀπολογεῖσθαι. Ὁ δ' ἐπὶ στόμα ἔκειτο ἀνατετραμμένος, τὸν Θεὸν ἐπικαλούμενος ἐπιμαρτυρῆσαι αὐτῷ μηδὲν ἀδικεῖν. Ὡς δ' οὐδὲν παρ' Ἀντιπάτρου ἐλέγετο πλὴν τῆς ἀνακλήσεως τοῦ Θεοῦ, τὸ φάρμακον εἰς τὸ μέσον ἐνεχθῆναι ἐκέλευσε. Καὶ κομισθέντος, τῶν ἐπὶ θανάτῳ τις ἐκλωκότων πίνειν κεκέλευστο, καὶ πιὼν εὐθὺς ἔθανε. Καὶ Οὔαρος ἐξαναστὰς ἀπῆλθε τοῦ συνεδρίου. Ἡρώδης δὲ αὐτίκα ἔδησε τὸν Ἀντίπατρον, καὶ εἰς Ῥώμην ὡς Καίσαρα γράμματα πέμπει περὶ αὐτοῦ.

A des accersierat, ut de rebus præsentibus eum consultaret. Regiam ingreditur purpuratus adhuc : a janitoribus admittitur, amicis ejus exclusis. Et quo redactus esset, cogitans turbatur : præsertim cum a patre, ad quem salutandum accedebat, repelleretur, et fratricida atque insidiator vocaretur, quarum rerum auditorem et judicem postridiē Varum fore. Cum in totis malis abiret, occurrunt ei mater et uxor, filia Antigoni, ejus qui ante Herodem regnavit ; e quibus tanto negotio cognito, se ad judicium parabat. Postridie Herodes et Varus consederunt, convenerunt utriusque amici, et cognati Herodis, et consiliorum Antipatri indices, et materni servi Antipatri, **257** epistolam mulieris ferentes, qua filium monebat, ne rediret, patrem enim rescisse omnia, B et unum ei confugium superesse Cæsarem : caveret, ne in patris manus incideret. Cum autem Antipater supplex ante patrem procubuisset, obtestans, ut se audito demum sententiam ferret : Herodes eum in medium produci jubet, ipse filiorum in se scelus et senectutem suam deplorat, quæ in Antipatrum impegisset. Ac se mirari dixit, quo consilio talia facinora suscepisset Antipater, qui et successor in testamento scriptus esset, et se vivente posset omnia : ac tanta beneficia sic remuneraretur, ut cognatos ad cædem suam instigaret. Hæc dicenti lacrymæ eruperunt. Nicolaus vero Damascenus jussu regis Antipatrum accusavit, cunctis ordine commemoratis : sed et alii multi ultro in C illum orationes habuerunt. Varus, postquam Nicolaus peroraverat, Antipatrum se defendere jussit. Ille vero pronus humi jacens, Deum invocabat, ut suam innocentiam testaretur. Cum autem nihil præter Dei obtestationem afferret, venenum in medium afferri, et cuidam capitis condemnato dari jussit ; qui eo epoto, statim exanimis concidit. Quo facto, Varus surrexit, et e concilio abiit. Herodes vero statim vinxit Antipatrum, et Romam ad Cæsarem de eo scripsit.

XXV. Κε'. Ἐάλω δὲ τότε καὶ ἐπιστόλιον, ὑπ' Ἀντιφίλου σταλὲν πρὸς Ἀντίπατρον, φράζον· *Ἔπεμψά σοι τὴν παρὰ Ἄκμῆς ἐπιστολὴν, μὴ φεισάμενος τῆς ἐμῆς ψυχῆς. Οἶσθα γὰρ ὅτι αὖθις* (50) *κινδυνεύω ὑπὸ δύο οἰκιῶν, εἰ γνωσθείην. Σὺ δ' εὐτυχοίης περὶ τὸ πρᾶγμα.* Ὁ δὲ βασιλεὺς καὶ τὴν ἑτέραν ἐζήτει ἐπιστολὴν, καὶ ὁ τοῦ Ἀντιφίλου δοῦλος μὴ λαβεῖν ἑτέραν ἀπισχυρίζετο. Ἰδών δέ τις τὸν ἐντὸς τοῦ δούλου χιτῶνα ὑπερράμμενον, εἶχασεν ἐκεῖ κεκρύφθαι τὸ γραμμάτιον, καὶ εἶχεν οὕτως. Λαμβά-

D XXV. Interceptum est eodem tempore epistolium, ab Antiphilo ad Antipatrum missum, in hanc sententiam : *Misi tibi Acmes epistolam, vitæ meæ nulla ratione habita. Nosti enim, mihi, si deprehensus fuero, a duabus familiis imminere periculum. Tibi, quod agis, velim bene vertat.* Rege alteram Antiphili epistolam requirente, servus illius negabat se alteram accepisse. Sed quidam conspicatus servi tunicam subsutam, illic latere epistolium recte conjectavit, quod ita habebat : *Acmes*

Variæ lectiones et notæ.

(49) Ὡς πάντων τῷ πατρὶ πιστῶν ἡγουμένων. Josephus : ὡς πάντων τῷ πατρὶ ἡκόντων εἰς πίστιν. Sed apud Josephum puto legendum πιστεύεσθαι, a πυνθάνομαι, in Zonara ἐκπύστων γενομένων. W.

(50) Οἶσθα γὰρ ὅτι αὖθις, etc. Abest hoc comma a cod. Colb. Sequitur σὺ δ' εὐτυχοίης.

Antipatro. Scripsi patri tuo litteras quales voluisti : et exemplum litterarum, quas Salome ad dominam meam scripserit, misi : qua lecta, scio ei Salomen pœnas daturam. Epistola vero ad Herodem hujusmodi fuit : *Cum in eo elaborem, ne quid earum rerum quæ contra te parantur, ignores : Salomes epistolæ ad dominam meam contra te scriptæ* **258** *exemplum tibi misi, cum periculo meo, fructuque tuo.* Erat autem Acme Judæa genere, sed Liviæ Cæsaris uxori serviebat : et illa agebat, magna pecunia ab Antipatro conducta. Herodes etsi concitatus erat ad Antipatrum statim tollendum, ut magnarum rerum perturbatorem, et a Salome irritabatur, quæ pectus tunderet, seque occidi juberet, si quod argumentum fide dignum contra se deprehenderetur : tamen se repressit, et filium accersitum, nihil metuentem respondere jussit. Qui cum omnem culpam in Antiphilum conferret, ab Herode denuo per litteras apud Cæsarem accusatur, etiam Acmes fraudibus detectis, et exemplis litterarum illius adjectis. Interea rex morbo oppressus, testamentum scripsit, in quo filio natu minimo regnum reliquit, Archelao et Philippo ex Antipatri calumniis infensus. Et longiore vita desperata, cum annum septuagesimum ageret, seque contemni, ac suis infortuniis lætari omnes putaret, efferatus est hujusmodi occasione. Herodes cum multa contra legem fecisset, inter alia in magno templi vestibulo auream aquilam dedicarat, lege imagines hominum aut animantium dedicari vetante. Eam aquilam Judas et Matthias Judæorum doctissimi, et plebi ob adolescentum institutionem charissimi, revelli jusserunt. Nam etsi periculum ex eo alicui crearetur, tamen beatum esse, qui pro defensione legum interiret. Cum hujusmodi sermones adolescentum auribus insusurrarent, rumor oritur de regis obitu : aquila sub meridiem revellitur, securibus concidi-tur. Comprehenduntur multi adolescentes, et Judas ac Matthias facinoris auctores, et quasi lanistæ : ac ad Herodem perducti rogantur, an ausi fuerint suum donarium revellere ? Illi respondent, *factum esse : neque vero mirandum, si Mosis leges, divinitus edocti, ipsius decretis anteferrent.* Eos igitur vinctos Hierichuntem misit : et primoribus Judæorum accersitis, in lectulo recubans, suorum beneficiorum et templi ædificati memoriam refricuit, exclamans, sibi adhuc viventi contumeliam fieri detractis suis donariis, ac populum, dum sibi insultare studeat, sacrilegio se obstringere. At illi crudelitatem **259** ejus veriti, eos qui id ausi essent, supplicium esse meritos dixerunt. Rex cæteris clementius tractatis, pontificatum Matthiæ ademptum Jozato sœ conjugis fratri dedit, Matthiam seditionis auctorem et quosdam ex seditiosis viventes cremavit.

νουσιν οὖν τὴν ἐπιστολήν, δηλοῦσαν ὡς· Ἀχμὴ Ἀντιπάτρῳ (51). Ἔγραψα τῷ πατρί σου οἷαν ἤθελες ἐπιστολήν. Καὶ ἀντίγραφον ποιήσασα τῆς πρὸς τὴν ἐμὴν κυρίαν, ὡς παρὰ Σαλώμης ἐσταλμένης, ἔπεμψα· ὃ ἐπελθὼν οἶδα ὡς τιμωρήσεται Σαλώμην. Ἡ δὲ πρὸς Ἡρώδην ἐπιστολὴ τοιάδε ἦν· Ἔργον ἐγὼ ποιουμένη μηδέν σε λανθάνειν τῶν κατὰ σοῦ γενομένων, εὑροῦσα ἐπιστολὴν Σαλώμης πρὸς τὴν ἐμὴν κυρίαν κατὰ σοῦ, τὸ ἀντίγραφόν σοι αὐτῆς ἔστειλα ἐπικινδύνως ἐμοί, ὠφελίμως δὲ σοί. Ἦν δὲ ἡ Ἀχμὴ Ἰουδαία τὸ γένος, ἐδούλευε δὲ Λιβίᾳ (52) τῇ Καίσαρος γυναικί· καὶ ἔπρασσε ταῦτα, χρήμασι πολλοῖς ὠνηθεῖσα ὑπ' Ἀντιπάτρου. Ἡρώδης δὲ ὥρμησε μὲν εὐθὺς ἀνελεῖν τὸν Ἀντίπατρον, ὡς κύκηθρον μεγάλων πραγμάτων· ἐξώτρυνε δὲ αὐτὸν ἡ Σαλώμη στερνοτυπουμένη, καὶ κτείνειν αὐτὴν ἀξιοῦσα, εἰ εὕροι πίστιν τινὰ ἐπὶ τοῖς κατ' αὐτῆς ἀξιόχρεων. Κατασχὼν δ' ἑαυτὸν, μετεπέμψατο τὸν υἱὸν, κελεύων ἀντειπεῖν μηδὲν ὑπιδόμενον. Ὁ δὲ Ἀντιφίλῳ τὴν πάντων αἰτίαν ἀνετίθει. Ἡρώδης δ' αὖθις γράμματα πρὸς Καίσαρα ἔστειλεν ἐπὶ κατηγορίᾳ τοῦ Ἀντιπάτρου, δηλοῦντα καὶ ὅσα ἡ Ἀχμὴ συγκακουργήσασα εὕρητο· ἔστειλε δὲ καὶ τῶν ἐκείνης ἐπιστολῶν τὰ ἀντίγραφα. Εἰς νόσον δὲ μεταξὺ ὁ βασιλεὺς ἐμπεσών, διαθήκας γράφει, τῷ νεωτάτῳ τῶν υἱῶν τὴν βασιλείαν διδούς, μίσει τῷ πρὸς Ἀρχέλαον καὶ Φίλιππον ἐκ τῶν Ἀντιπάτρου διαβολῶν. Ἀπεγνωκὼς δὲ βιῶναι, ἔτι περὶ ἔτος ὢν ἑβδομηκοστὸν, ἐξηγρίωτο· αἴτιον δ' ἦν ὅτι καταφρονεῖσθαι ἐδόκει, καὶ ἥδεσθαι πάντας ἐπὶ τοῖς αὐτοῦ δυστυχήμασιν. Εἰς τοῦτο δ' ἐκ τοιοῦδε παρώρμητο. Πολλὰ παρὰ τὸν νόμον Ἡρώδῃ πεποίηντο, ὧν ἓν ἦν καὶ ὁ παρὰ τὸν μέγαν τοῦ ναοῦ πυλῶνα ἀνατεθεὶς χρυσοῦς ἀετός. Κωλύει δὲ ὁ νόμος εἰκόνων ἀναθέσεις ἢ ζώων ἐπιτηδεύεσθαι. Τοῦτον τὸν ἀετὸν Ἰούδας καὶ Ματθίας Ἰουδαίων λογιώτατοι, καὶ δήμῳ προσφιλεῖς διὰ παιδείαν τῶν νεωτέρων, ἐκέλευον κατασπᾶν. Κἂν γάρ τινι κίνδυνος διὰ τοῦτο γένηται, ἔλεγον· Μακάριός ἐστιν ἐκεῖνος ὑπὲρ τῶν νόμων θανούμενος. Τοιούτοις οὖν λόγοις ἐπαλειφόντων τὴν νεότητα, γίνεται λόγος τεθνάναι τὸν βασιλέα. Καὶ αὐτίκα μεσούσης ἡμέρας κατέσπων τὸν ἀετὸν, καὶ συνέκοπτον τοῖς πελέκεσι. Συλλαμβάνονται τοίνυν καὶ τῶν νέων πολλοὶ, καὶ Ἰούδας καὶ Ματθίας οἱ τοῦ τολμήματος εἰσηγηταὶ, καὶ ἀλεῖπται τῶν τοῦτο ἐργασαμένων, καὶ ἀνήχθησαν πρὸς Ἡρώδην. Ὁ δὲ ἤρετο, εἰ ἐτόλμησαν καθελεῖν αὐτοῦ τὸ ἀνάθημα. Καὶ οἱ ἄνδρες, *Πέπραχται*, εἶπον, *καὶ θαυμάζειν οὐ χρὴ, εἰ τῶν σῶν δογμάτων τοὺς νόμους, οὓς Μωσῆς ἡμῖν καταλέλοιπεν ἐκ Θεοῦ διδαχθείς, προτιμῶμεθα.* Τοὺς μὲν οὖν δεδεμένους ἔπεμψεν εἰς Ἰεριχώ· καλέσας δὲ τοὺς ἐν τέλει τῶν Ἰουδαίων κατακεκλιμένος ἐν κλινιδίῳ, τῶν εἰς αὐτοὺς εὐποιιῶν ἀνεμίμνησκε, καὶ τῆς δομήσεως τοῦ ναοῦ, καὶ κατεβόα, ὅτι καὶ ἔτι ζῶντα ἐξυβρίζοιεν, καθαιροῦντες

Variæ lectiones et notæ.

(51) *Ἀχμὴ Ἀντιπάτρῳ* Desunt hæc verba in cod. Colb.

(52) *Λιβίᾳ.* Ita restituit Wolfius : perperam enim mss. omnes *Ἰουλίᾳ.*

τὰ αὐτοῦ ἀναθήματα, ὡς δοκεῖν μὲν αὐτὸν ὑβρίζειν, κατὰ δέ γε τὸ ἀληθὲς ἱεροσυλεῖν. Οἱ δὲ, δεδιότες τὴν ἐκείνου ὠμότητα, τοὺς τοῦτο τολμήσαντας ἀξίους εἶναι κολάσεως ἔφασκον. Καὶ ὁ βασιλεὺς τοῖς μὲν ἄλλοις πρότερον προσεφέρετο, Ματθίαν δὲ τὸν ἀρχιερέα τὴν τιμὴν ἀφελόμενος, ἕτερον εἰς τὸ ἱεράσθαι κατέστησεν, Ἰώζαρον ἀδελφὸν (53) τῆς αὐτοῦ γυναικός. Ματθίαν δὲ τὸν τὴν στάσιν ἐγείραντα, καί τινας τῶν στασιαζόντων κατέκαυσε ζῶντας.

ΚϚ'. Ἡ μέν τοι νόσος ἐπὶ μᾶλλον ἐκείνῳ ἐνεπικραίνετο, δίκην ὧν παρηνόμησε τίνοντι. Πῦρ γὰρ μαλθακὸν τὰ ἐντὸς ἐκάκου αὐτοῦ, καὶ τῶν ἐντέρων ἦσαν ἕλκώσεις, καὶ μάλιστα τοῦ κώλου ἀλγήματα, καὶ φλέγμα περὶ τοὺς πόδας ὑγρόν τε καὶ διαυγές, τοῦ ἤτρου τε κάκωσις, καὶ τοῦ αἰδοίου σῆψις γενοῦσα σκώληκας, καὶ ἐπὶ τούτοις ὀρθόπνοια, τῇ τε ἀποφορᾷ ἀηδὴς καὶ τῷ τοῦ ἄσθματος συνεχεῖ, καὶ σπασμοὶ περὶ πᾶν αὐτοῦ μέλος ἐγίνοντο. Ὁ δὲ, καὶ οὕτω κακῶς διακείμενος, ἐν ἐλπίδι ζωῆς ἦν, οὐδὲ ἀποτετραμμένοις κεχρῆσθαι ἀπαναινόμενος (54). Περάσας δὲ καὶ τὸν Ἰορδάνην, τοῖς κατὰ Καλλιρρόην ἐχρῆτο θερμοῖς, ἃ σὺν τῇ λοιπῇ ἀρετῇ τυγχάνει καὶ πότιμα. Ἔνθα εἰς πύελον ἐλαίου πλέων παρὰ τῶν ἰατρῶν ἐμβληθεὶς, ἔδοξεν ἐκλιπεῖν. Ἀνενεγκὼν δὲ εἰς Ἱεριχοῦντα κεκόμιστο, ἔνθα μέλαινα αὐτὸν ἐπὶ πᾶσιν ἦρει χολή. Τελευτῶν δὲ ἀνοσίαν πρᾶξιν ἐπινοεῖ. Προστάγματι γὰρ αὐτοῦ ἐκ παντὸς τοῦ ἔθνους τῶν ἐντιμοτέρων ἀφικομένων ἐκεῖ, συγκλείσας πάντας ἐν τῷ Ἱπποδρόμῳ, τῇ ἀδελφῇ Σαλώμῃ καὶ τῷ ἀνδρὶ αὐτῆς Ἀλεξᾷ ἐνετέλλετο, ἐπὰν αὐτὸς ἀφῇ τὴν ψυχήν, τοὺς καθειργμένους ἅπαντας ἀνελεῖν, *Ἵνα μὴ ἐφήδοιντό μου*, λέγων, *οἱ ὄψιοι τῇ τελευτῇ, μηδ' ἐπικροτοῖεν, ἀλλ' ἑκάστων θρηνούντων τοὺς ἑαυτῶν οὕτως καὶ αὐτὸς δόξω θρηνεῖσθαι* (55), *καὶ πολλοῖς ἡ ἔξοδός μου τιμηθείη τοῖς δάκρυσι.* Καὶ ὁ μὲν ἐπέσκηπτε ταῦτα δακρύων καὶ πατνιώμενος, οἱ δὲ μὴ παραδήσεσθαι τὴν ἐντολὴν ἐπηγγέλλοντο. Ἐν τούτοις γράμματα ὑπὸ τῶν ἐν Ῥώμῃ ἀπεσταλμένα κεκόμιστο, τήν τε Ἀκμὴν ἀνῃρημένην δηλοῦντα, καὶ τὰ περὶ τὸν Ἀντίπατρον τῇ τοῦ πατρὸς γνώμῃ ἀνατιθέμενα. Τούτων ἀκούσας Ἡρώδης ἤσθη, καὶ βραχύ τι ἀνήνεγκε. Τῶν δ' ἀλγηδόνων εἰς μέγα ἠρμένων, ἀπείχετο μὲν σιτίων· μῆλον δ' αἰτήσας, καὶ μάχαιραν, γνώμης ἦν ἑαυτὸν ἀναιρήσων, καὶ πέπραχεν ἂν τὸ ἐνθύμημα, εἰ μή τις αὐτοῦ προγνοὺς κατέσχε τὴν δεξιάν· καὶ μέγα ἀνακραγόντος, οἰμωγή τε ἦν καὶ θόρυβος μέγας, ὡς οἰχομένου τοῦ βασιλέως. Καὶ ὁ Ἀντίπατρος, ὡς ἤδη θανόντος, ἀνεθάρσησε, καὶ τῷ δεσμοφύλακι ἀφεῖναι αὐτὸν ἠξίου, μεγάλα ὑπισχνούμενος. Ὁ δὲ τῷ βασιλεῖ γνωρίζει τὴν ἐκείνου διάνοιαν· καὶ ὃς ἀνεβόησέ τε καὶ πέμπει τινὰς, τοὺς αὐτίκα κτενοῦντας αὐτόν. Μεταποιεῖ δὲ αὖθις τὰς διαθήκας, Ἀντίπᾳ μὲν τετραρχίαν διδούς, Γαλιλαίαν τε καὶ Περαίαν· Ἀρχελάῳ δ' ἀπονέμων τὴν βασιλείαν· τὴν δὲ Γαυλανῖτιν

XXVI. Enimvero morbus exasperabatur, ut pœnas scelerum daret; ignis enim lentus ejus viscera torrebat : intestina exulcerata erant; in primis coli doloribus cruciabatur, et pituita mollis ac pellucida pedes vexabat. Accedebat imi ventris dolor, et pudendorum putredo vermibus scatens : necnon orthopnœa, et fœtor ieter, et crebrum anhelitum convulsiones omnium membrorum comitabantur. Etsi autem in tantis malis versabatur, tamen vitæ spem alebat, nec ab ullo medicamenti genere abhorrebat. Itaque Jordane trajecto, calidis aquis Callirrhoes usus est, quæ præter cæteras virtutes etiam potui sunt. Ibi a medicis in alveum oleo plenum injectus, animam agere visus est. Sed recepto spiritu Hierichuntem perlatum, ad cætera mala atra bilis accessit. Moriturus nefarium consilium capit. Nam cum totius gentis primores edicto convocasset, omnes in Hippodromo conclusit : et sorori Salomæ, ac ejus marito Alexæ mandavit, ubi animam exhalarit, ut eos omnes tollerent : *Ne*, inquit, *populi meam mortem sibi gratulentur, neve applaudant : sed singulis suos deplorantibus, ipse quoque deplorari videar, et obitus meus multis lacrymis honoretur.* Quæ cum flens et Deum obtestans diceret, illi se mandatum non neglecturos pollicentur. Interea litteræ Roma afferuntur, quibus certior reddebatur, Acmen esse interfectam, et negotium Antipatri patris arbitrio permitti. Quibus Herodes lætatus est, et nonnihil recreatus. Sed doloribus in immensum auctis, cibo abstinuit : ac malo et cultello petito, in animo habuit semetipsum occidere. Ac fecisset, nisi quidam animadverso consilio, dexteram ejus inhibuisset : qui cum exclamasset, gemitus et tumultus magnus fuit, quasi rege mortuo. Eaque spe Antipater animis receptis, a carceris custode, magnis muneribus promissis, petiit se dimitti. Quo indicato, rex exclamavit, ac 260 statim speculatoribus missis qui illum interficerent, testamentum denuo mutavit, Antipæ tetrarchia Galilææ et Perææ legata, Archelao regno assignato; Philippo filio Archelai fratri tetrarchia Gaulanitidis, Trachonitidis, Batanææ, et Paneadis concessa; Jamniam vero, Azotum et Phasaelidem Salomæ sorori donavit. His actis, ac Cæsari et uxoris ejus Liviæ muneribus multorum talentum relictis, quinto post occisum Antipatrum

Variæ lectiones et notæ.

(53) *Ἰώζαρον ἀδελφὸν τῆς αὐτοῦ γυναικός.* Josephus ἀδελφὸν γυναικὸς τῆς αὐτοῦ. Ambiguum est utrum Jozari sororem in matrimonio habuerit Herodes an Matthias. W.

(54) *Οὐδὲ ἀποτετραμμένοις κεχρῆσθαι ἀπαναινόμενος.* Josephus habet : Ὁπόσα φάρμακα ὑπαγορεύσειαν χρῆσθαι ἀποστρεφόμενος, *quæ medici prosutura dicerent, ab eorum usu non abhorrebat.* Verba Zonaræ Wolfio mendosa videntur, tametsi ita etiam præferant tres mss. Regii et Colberteus : Ἀποτετραμμένος et ἀπαναινόμενος, idem fere significant: sed si lectio non fallit, inquit ille, ἀποτετραμμένοις posuit Zonaras pro ἀπειρημένοις, *remediis interdictis.*

(55) *Δόξω θρηνεῖσθαι.* Ms. Δόξῃ.

die obiit. Regnavit post sublatum Antigonum annos IV et XXX, postquam a Romanis rex appellatus fuerat, XXXVII. Salome vero et Alexas, priusquam ejus mors vulgo innotesceret, eos qui in Hippodromo conclusi erant, emittunt, dicentes : regem jubero, ut in agros egressi, rebus suis fruantur, idque summum eorum in gentem beneficium exstitit. Deinde regis obitu publicato, lectum est testamentum, quod Archelao regnum assignabat. Ptolemæus vero, cui sigillum regis erat creditum, negavit id nisi Cæsaris auctoritate ratum fore. Tum statim sublato clamore Archelaus rex est sublatus, post regi funus magnifice factum. Atque ita Herodes naturæ debitum exsolvit.

γεσία παρ' αὐτῶν εἰς τὸ ἔθνος ἐγένετο. Εἶτα ὁ Θάνατος γινώσκοντο τὴν βασιλείαν ἀποκληροῦσαι τῷ υἱῷ Ἀρχελάῳ. Πτολεμαῖος δὲ, τὸν σημαντῆρα τοῦ βασιλέως πεπιστευμένος δακτύλιον, οὐκ ἄλλως ἔλεγε κυροῦσθαι τὰς διαθήκας ἢ διὰ Καίσαρος. Βλὴ ὁ' εὐθὺς ἦν εὐφημούντων Ἀρχέλαον βασιλέα καὶ ἐπὶ τούτοις ἡ τοῦ βασιλέως ἐκφορὰ ἐτελεῖτο πολυτελής. Καὶ ὁ Ἡρώδης μὲν οὕτως ἀπέτισε τὸ χρεών.

A καὶ Τραχωνῖτιν καὶ Βατανείαν καὶ Πανιάδα · Φιλίππῳ παιδὶ μὲν αὐτοῦ, Ἀρχελάου δὲ ἀδελφῷ, τετραρχίαν ἀποκληρῶν · Ἰάμνειαν δὲ καὶ Ἄζωτον καὶ Φασηλίδα Σαλώμῃ τῇ ἀδελφῇ χαριζόμενος. Ταῦτα πράξας, καὶ Καίσαρι καὶ τῇ ἐκείνου γαμετῇ Λιουίᾳ ἑωρεὰς πολυταλάντους καταλιπών, ἡμέρᾳ πέμπτῃ μεθὸ Ἀντίπατρον κτείνειε, τελευτᾷ, βασιλεύσας μεθὸ μὲν ἀνεῖλεν Ἀντίγονον ἔτη τέσσαρα καὶ τριάκοντα, μεθὸ δ' ὑπὸ Ῥωμαίων ἀποδέδεικτο βασιλεὺς ἑπτὰ καὶ τριάκοντα. Σαλώμῃ δὲ καὶ Ἀλεξᾶς, πρὶν ἔκπυστον γενέσθαι τὸν αὐτοῦ θάνατον, τοὺς ἐν τῷ Ἱπποδρόμῳ κατακεκλεισμένους ἐκπέμπουσι, λέγοντες τὸν βασιλέα κελεύειν ἀπιοῦσιν αὐτοῖς ἐπὶ τοὺς ἀγροὺς νέμεσθαι τὰ οἰκεῖα. Καὶ μεγίστη αὕτη εὐεργεσία τοῦ βασιλέως δεδημοσίευτο, καὶ αἱ διαθῆκαι ἀνεγινώσκοντο τὴν βασιλείαν ἀποκληροῦσαι τῷ υἱῷ Ἀρχελάῳ. Πτολεμαῖος δὲ, τὸν σημαντῆρα τοῦ βασιλέως πεπιστευμένος δακτύλιον, οὐκ ἄλλως ἔλεγε κυροῦσθαι τὰς διαθήκας ἢ διὰ Καίσαρος. Βλὴ ὁ' εὐθὺς ἦν εὐφημούντων Ἀρχέλαον βασιλέα καὶ ἐπὶ τούτοις ἡ τοῦ βασιλέως ἐκφορὰ ἐτελεῖτο πολυτελής.

LIBER SEXTUS.

I. Archelaus vero cum lætis acclamationibus in templum ascendit, et in solio aureo considens, populum humaniter est allocutus ; sed coronam regiam a militibus accipere recusavit, ni Cæsar prius testamentum patris confirmasset, factaque re divina convivium celebravit. Cæterum Judæi quidam congressi, Matthiam et cæteros ob revulsam auream aquilam ab Herode suppliciis affectos lamentati sunt cum magno ejulatu, et, conciliabulo indicto, ab Archelao postularunt, ut punitis iis qui apud Herodem auctoritate valuissent, necem illorum ulcisceretur, ac in primis pontifici sacerdotium abrogaret, et alium secundum leges crearet, eo honore digniorem. Annuit Archelaus, ad impetum eorum reprimendum, quanquam moleste ferens ; ac per præfectum militum populo dici jussit ea nunc intempestiva esse, **261** ac tum rectius actum iri, cum sibi regnum Cæsaris auctoritate confirmatum esset. Sed illi vociferantes et tumultuantes, neque ducem neque alium quemquam dicere quidquam passi sunt, quod ad castigationem et seditionis repressionem pertineret ; atque in festo Azymorum magna multitudo in templum confluxit, seditionis amplificandæ studiosa. Qua territus Archelaus, tribunum cum cohorte misit, ad populi motum sedandum. Verum seditiosi, impetu in milites facto, plerosque lapidibus obruerunt, pauci admodum et tribunus vulnerati effugerunt. Cum igitur perspiceret, nisi populus concitatus reprimeretur, maguum e seditione malum oriturum, misit omnem exercitum, a quo tribus circiter millibus cæsis, cæteri dissipati in montes confugerunt, et ex regis edicto festivitate omissa, ad sua quique redierunt. Archelaus vero cum matre et Herodis sorore Salome Romam abiit, summa rerum interea Philippi

Α'. Ἀρχέλαος δὲ, εἰς τὸ ἱερὸν ἀνελθὼν, καὶ εὐφημηθεὶς, ἐπὶ θρόνου τε καθίσας χρυσοῦ, ἐδεξιοῦτο τὸ πλῆθος. Τοῦ μέντοι στρατεύματος καὶ τὸ διάδημα περιτιθέντος αὐτῷ, οὐκ ἐδέξατο, εἰ μὴ πρότερον Καῖσαρ τὰς πατρικὰς διαθήκας ἐπικυρώσειε, καὶ θύσας ἐπ' εὐωχίαν ἐτράπετο. Συνελθόντες οὖν τῶν Ἰουδαίων τινὲς, Ματθίαν καὶ τοὺς σὺν αὐτῷ κολασθέντας ὑπὸ Ἡρώδου διὰ τὴν τοῦ χρυσοῦ ἀετοῦ κατάσπασιν, ὠλοφύροντο, ἐπὶ μέγα τὴν οἰμωγὴν αἴροντες · συνόδου τε αὐτοῖς γενομένης, ἠξίουν τοὺς ὑφ' Ἡρώδου τιμωμένους κολάσαντα τὸν Ἀρχέλαον, ἐκδικῆσαι τοὺς τεθνεῶτας, καὶ πρὸ τῶν ἄλλων τὸν Ἀρχιερέα παῦσαι, ἕτερόν τε καταστήσασθαι νομιμώτερον. Τούτοις Ἀρχέλαος καίπερ ἀχθόμενος, τὴν ὁρμὴν αὐτῶν ἐπέσχων, ἐπένευε · καὶ τὸν στρατηγὸν τῷ πλήθει διαλεξόμενον ἔστειλεν, ὡς οὐ νῦν τούτων καιρὸς, ἀλλ' ὅτε αὐτῷ ἡ ἀρχὴ βεβαιωθῇ ἐπινεύσει τοῦ Καίσαρος. Οἱ δὲ, βοῶντες καὶ θορυβοῦντες, οὐκ εἶων λέγειν τὸν στρατηγὸν, οὐδέ του ἄλλου ἠνείχοντο, ἐπὶ σωφρονισμῷ καὶ ἀποτροπῇ τῶν στάσεων ὡρμημένου λέγειν αὐτοῖς. Ἄρτι δὲ τῆς τῶν Ἀζύμων ἑορτῆς ἐνεστηκυίας, καὶ πλήθους πανταχόθεν συῤῥεύσαντος εἰς τὸ ἱερὸν, ἐπὶ μέγα τὴν στάσιν ἐξᾶραι προεθυμοῦντο. Ὁ δεῖσας Ἀρχέλαος, χιλίαρχον μετὰ σπείρας ἐξέπεμψε, τὴν ὁρμὴν κατασταλοῦντα τοῦ δήμου τοῦ στασιάζοντος. Καὶ οἱ στασιασταὶ παραχρῆμα ἐπὶ τοὺς στρατιώτας ὡρμήκασι, καὶ κατέλευσαν τοὺς πλείστους αὐτῶν, ὀλίγοι δέ τινες καὶ ὁ χιλίαρχος τραυματίαι διέφυγον. Ἀρχέλαος δὲ, συνιδὼν ὡς, εἰ μὴ τὸ τῆς πληθύος ὅρμημα κωλυθῇ, εἰς μέγα κακὸν τὰ τῆς στάσεως ἀποβήσεται, ἐκπέμπει πᾶν τὸ στρατόπεδον καὶ εἰς μὲν τρισχιλίους ἀνῃρέθησαν, οἱ δέ γε λοιποὶ ἐπὶ τὰ ὄρη διεσκεδάσθησαν, καὶ κήρυγμα γέγονε πάντας ἀναχωρεῖν ἐπὶ τὰ οἰκεῖα · οἱ δὲ, τὴν ἑορτὴν λιπόντες, ἀπῆεσαν.

Ἀρχέλαος δὲ ἐπὶ Ῥώμην ἐξέπλει σὺν τῇ μητρὶ, Φιλίππῳ τῷ ἀδελφῷ πιστεύσας τὰ πράγματα· συνεξῆλθε δὲ αὐτῷ καὶ Σαλώμη ἡ ἀδελφὴ Ἡρώδου. Καὶ Ἀντίπας δὲ ὁ Ἡρώδου υἱὸς ἑτέρωθεν ἐπὶ Ῥώμην ὥρμητο, καὶ αὐτὸς τῆς βασιλείας ἀντιληψόμενος, ὡς ἐν προτέραις διαθήκαις καταγεγραμμένης αὐτῷ· ἑπτέρου δὲ τοῦτον πρὸς τὰς ἐλπίδας Σαλώμη. Ἐπεὶ δὲ εἰς Ῥώμην ἀφίκοντο, καὶ παρέστησαν Καίσαρι, οἱ μὲν ὑπὲρ Ἀρχελάου τοὺς λόγους πεποίηντο, οἱ δὲ ὑπὲρ Ἀντίπα, τοῦ Ἀρχελάου κατηγοροῦντες. Καῖσαρ δε. μᾶλλον ὑπὲρ Ἀρχελάου ῥοπὴν ἐδείκνυ. Ἐν τούτοις δὲ ἀγγέλλεται Καίσαρι τὸ τῶν Ἰουδαίων ἔθνος στασιάσαν, καὶ τοὺς ἐκεῖ Ῥωμαίους πολιορκοῦν. Κατὰ γὰρ τὴν τῆς Πεντηκοστῆς ἑορτὴν μυριάδων πολλῶν συναθροισθεισῶν πανταχόθεν, ὑπ' αὐτῶν οἱ Ῥωμαῖοι συγκατεκλείσθησαν, καὶ αὐτὸς Σαβῖνος (στρατηγὸς δὲ ἦν οὗτος Ῥωμαίων) καὶ μάχη ἦν καρτερὰ, καὶ οἱ Ῥωμαῖοι ἐκράτουν. Περιοδεύσαντες οὖν οἱ Ἰουδαῖοι, ἐπὶ τὰς στοὰς ἀνῆλθον τὰς ἔξω τοῦ ἱεροῦ, κἀντεῦθεν ἐξ ὑπερδεξίων βάλλοντες, μεγάλα ἔβλαπτον τοὺς Ῥωμαίους. Οἱ δὲ πῦρ ταῖς στοαῖς ἐνιᾶσι, καὶ τοῦτο ὑπέτρεφον ὕλαις, ἐγείρειν φλόγα πεφυκυίαις· καὶ ταχὺ ἥπτετο τοῦ ὀρόφου· καὶ οἱ ἐπὶ τῶν στοῶν οἱ μὲν τῷ ὀρόφῳ καταῤῥηγνυμένῳ συγκατεφέροντο, τοὺς δὲ περισταδὸν ἔβαλλον οἱ πολέμιοι, οἱ δὲ εἰς τὸ πῦρ ἐνίεσαν ἑαυτοὺς, οἱ δὲ τοῖς ἑαυτῶν ἐκτείνοντο ξίφεσιν, ἐσώθη τε τῶν ἐν ταῖς στοαῖς ἀνελθόντων οὐδ' ὁστισοῦν. Καὶ οἱ Ῥωμαῖοι ἐκράτουν τοῦ ἱεροῦ θησαυροῦ· καὶ πολλὰ μὲν ὑπὸ τῶν στρατιωτῶν διήρπαστο, Σαβῖνος δὲ εἰς τὸ φανερὸν τριακόσια περιέσωσε τάλαντα. Οἵ γε μὴν περιλελειμμένοι τῶν μαχομένων, τὸ βασίλειον περισχόντες, πῦρ ἐμβαλεῖν αὐτῷ ἠπείλουν, καὶ ἅπαντας κτεῖναι· εἰ δ' ἀπίοιεν, ἄδειαν τοῖς Ῥωμαίοις ἐπηγγέλλοντο, καὶ Σαβίνῳ, καὶ πολλοὶ τῶν βασιλικῶν πρὸς αὐτοὺς ηὐτομόλησαν. Ῥοῦφος δὲ καὶ Γράτος, τρισχιλίους τοῦ Ἡρώδου στρατεύματος ἔχοντες ἄνδρας ἐῤῥωμένους τοῖς σώμασι, Ῥωμαίοις προστίθενται. Ἰουδαῖοι δὲ οὐ μεθίεντο τῆς πολιορκίας, καὶ Σαβῖνος ἐκαρτέρει πολιορκούμενος. Ἐπὶ τούτοις καὶ ἕτεροι θόρυβοι τὴν Ἰουδαίαν κατέλαβον. Ἰούδας γὰρ Ἐζεκίου τοῦ ἀρχιλῃστοῦ υἱὸς, τοῦ ὑφ' Ἡρώδου μεγάλοις ληφθέντος πόνοις, συστησάμενος πλῆθος, τὸ περὶ Σέπφωριν τῆς Γαλιλαίας ἐπέδραμε βασιλείῳ, καὶ τῶν ἐκεῖ κρατήσας ὅπλων, ὥπλισε τοὺς περὶ αὐτὸν, φοβερός τε ἅπασιν ἦν. Ἀλλὰ καὶ Σίμων δοῦλος μὲν Ἡρώδου τοῦ βασιλέως, ἀνὴρ δ' εὔπρεπὴς, καὶ μεγέθει σώματος καὶ Ῥώμῃ προὔχων, ἀρθεὶς τῇ ταραχῇ τῶν πραγμάτων, ἐτόλμησε περιθέσθαι διάδημα. Καὶ πλήθους συστάντος περὶ αὐτὸν, βασιλεὺς καὶ αὐτὸς ἀναῤῥηθεὶς, τὸ ἐν Ἰεριχοῦντι βασίλειον πίμπρησι, καὶ ἄλλους δὲ τῶν βασιλικῶν οἴκων, διαρπάσας τὰ ἐν αὐτοῖς. Ἀλλὰ τούτῳ Γράτος μάχην συνάψας, τό τε πολὺ τοῦ μετ' αὐτοῦ πλήθους διέφθειρε, καὶ αὐτοῦ τοῦ Σίμωνος τὴν κεφαλὴν κρατήσας ἀπέτεμε. Καὶ ἄλλοι δὲ στασιασταὶ κατὰ τὸν καιρὸν ἐκεῖνον ἐγένοντο, κακοῦντες καὶ Ῥωμαίους καὶ τοὺς βασιλικούς.

A fratris fidei commissa. Alia ex parte Antipas Herodis filius eodem contendebat, regnum et ipse vindicaturus, ut quod sibi ex priore testamento deberetur : eam spem ejus Salome incitante. Cum in urbem venissent, aliis Archelao, aliis Antipæ patrocinantibus, Cæsar suffragium pro Archelao tulit. Dum hæc geruntur, Judæorum seditio nuntiatur. Nam in festo Pentecostes multis millibus undique congregatis, Romani cum prætore Sabino sunt obsessi ; et aeri pugna commissa vicerunt. Judæi vero porticibus, quæ extra templum sunt, occupatis, et inde telis ex superiore loco conjectis, multum Romanis nocuerunt. At illi ignem porticibus injecerunt, eumque materia aluerunt, quæ flammam excitare posset. Ea celeriter in altum elata, alii una cum tectis corruerunt, alios B hostes circumfusi jaculis confecerunt, alii se in ignem conjecerunt, alii in suos enses incubuerunt : nemo denique ex iis qui porticus conscenderant, evasit. Romani autem sacro thesauro sunt potiti : et quanquam magna pecunia direpta a militibus, Sabinus tamen cccc talenta conservata in apertum protulit. Sed qui ex pugnantibus superfuere, regiam circumdederunt, **262** eam se crematuros esse minati, atque omnes occisuros : sin abirent, impunitatem Romanis et Sabino pollicebantur, ac multi regii satellites ad illos defecerunt. Rufus autem et Gratus, qui tria millia ex Herodis exercitu virorum robustorum habebant, ad Romanos C se contulere : nec tamen obsidionem Judæi solverunt, quam Sabinus fortiter toleravit. Præter hæc alii quoque tumultus orti sunt. Nam Judas Ezechiæ latronum ducis filius, quem Herodes ægre ceperat, in Galilææ regiam juxta Sephorim facto impetu, armis quæ ibi erant suos instruxit, et omnibus fuit formidabilis. Sed et Simon Herodis regis servus, cæterum vir pulcher, et magnitudine et robore corporis præcellens, rerum turbis impulsus, diadema sumere ausus, multitudinis concursu et ipse rex appellatus, Hierichuntiam et alias multas domos regias incendit atque diripuit. Verum Gratus prælio commisso, plerosque cecidit, ipsiusque Simonis caput amputavit. Atque alii quoque illo tempore seditionibus motis, et regios et Romanos D infestarunt.

Βʹ. Οὖαρος δὲ, ἐν Συρίᾳ μαθὼν τὰ κατὰ τὸν Σαβῖνον, ἠπείγετο τοῖς ἐν Ἰουδαίᾳ πολιορκουμένοις ἀλέξασθαι. Ἀθροισθεὶσης δὲ ἐν Πτολεμαΐδι τῆς αὐτοῦ δυνάμεως πάσης, μέρος τι ταύτης τῷ υἱῷ παραδοὺς, Γαλιλαίοις ἐξέπεμψε πολεμεῖν· ὃς συμβαλὼν ἐκείνοις, ἐκράτησεν. Οὖαρος δὲ, τῷ λοιπῷ τοῦ στρατεύματος πρὸς ἰὼν εἰς Ἱεροσόλυμα, εἰς δειλίαν τοὺς

II. Varus autem cum in Syria audivisset, quo loco res Sabini essent, opem obsessis in Judæa ferre maturabat, et omnibus legionibus suis Ptolemaide coactis, filium cum parte ad bellum in Galilæa gerendum ablegavit, eoque victoriam adepto cum reliquo exercitu Hierosolyma profectus, Judæis terrorem incussit, ut omissa obsi-

dione abirent. Hierosolymitani vero a Varo ob bellum factum accusati, responderunt, populi conventum ob festivitatem esse factum, bellum vero ab advenis esse excitatum. Itaque Varus militibus in agros missis, auctores seditionis inquisivit: et nonnullis repertis, ad II millia in cruces egit. Sed et alii circiter decies mille Varo contra eos ducenti se dediderunt, quorum principibus Romam missis, Herodis duntaxat cognati qui cum seditiosis militarant, suppliciis affecti sunt. Post hæc Judæorum legati Romam profecti sunt, qui indicto a Cæsare concilio, Judæorum circiter VIII millibus qui Romæ degebant, suffragantibus libertatem postularunt: et ad iniquitatis Herodianæ accusationes conversi, **263** eum non regem, sed tyrannum vocabant: nam cum Judaica gens sæpe graviter afflicta esset, nullas tamen æruminas cum iis esse conferendas, quas sub illo tolerassent. Cum autem Archelaam, quem rerum potitum Herode moderatiorem fore putassent, cupide regem appellassent: cum veritum, ne non germanus Herodis filius haberetur, si mitiorem Judæis se præberet, trium millium virorum cædem in templo edidisse, idque regno a Cæsare nondum confirmato. His dictis petierunt, ut regno et id genus imperiis liberati, et Syriæ attributi, Romanorum prætoribus eo mitti solitis, parere juberentur. Quæ cum Judæi postularent, Archelai patroni, utriusque regis, tam patris quam filii, defensione suscepta, et objectis criminibus refutatis, Judæis seditiones novarumque rerum studium objecerunt. Cæsar autem Archelaum non declaravit regem, sed paterni principatus scnisse concesso, pollicitus est, si bene imperaret, se eum etiam regem appellaturum esse. Fuit autem proventus ditionis illi attributæ DC talentum: alterum semissem, in duas partes divisum, Antipæ et Philippo, aliis Herodis liberis, distribuit, unde hic C, ille CC talentum reditus percipiebat. Salomæ legata Herodis reliquit, et Ascalonem regiam attribuit, ex quibus omnibus LX talenta ad eam redibant. His ita ordinatis, Judæus quidam adolescens, quia Alexandro Herodis interfecto filio facie similis erat, ascito quodam populari suo, viro improbo et turbulento, Alexandrum Herodis filium se professus est. Nam cum quidam ad utrumque fratrem tollendum missi essent, alios esse interfectos, ipsos vero conservatos, et clam subductos asserebat. Qua oratione imponebat hominibus, et maxima pecunia sic coacta, Romam properavit. Cæsar vero, qui non temere deceptum esse Herodem crederet, Alexandro fictitio in conspectum adducto, non deceptus est: nam facie quidem similis erat Herodis Alexandro sed opere manuum factus asperior, et corpore rigidiore, non, ut ille, delicato et molli. Cæsare

πολιορκοῦντας τῶν Ἰουδαίων ἐνέβαλε, καὶ λιπόντες τὴν πολιορκίαν ἡμέργον, ᾤχοντο. Οὐάρου δὲ τοῖς Ἱεροσολυμίταις ἐγκαλοῦντος διὰ τὸν πόλεμον, ἐκεῖνοι τὴν τοῦ πλήθους σύνοδον διὰ τὴν ἑορτὴν ἔλεγον γεγονέναι, τὸν δὲ πόλεμον παρὰ τῶν ἐπηλύδων. Καὶ ὁ Οὔαρος, πέμψας κατὰ τὴν χώραν, ἐπεζήτει τοὺς αἰτίους τῆς στάσεως, καὶ εὑρὼν ἐνίους ἐκόλασε· δισχίλιοι γὰρ ἐσταυρώθησαν· καὶ ἕτεροι δὲ περὶ μυρίους Οὐάρῳ κατ' αὐτῶν ὡρμηκότι παρέδωκαν ἑαυτούς· ὁ δὲ πρὸς Καίσαρα πέμπει τοὺς ἡγεμόνας αὐτῶν· Καῖσαρ δὲ μόνους ἐκόλασεν, ὅσοι συγγενεῖς ὄντες Ἡρῴδου συνεστράτευον τοῖς στασιασταῖς. Εἰς δὲ Ῥώμην ἐξ Ἰουδαίας πρέσβεις ἀφίκοντο, καὶ τοῦ Καίσαρος συντεταμένου συνέδριον, οἱ πρέσβεις συνισταμένους ἔχοντες τῶν ἐπὶ Ῥώμης Ἰουδαίων περὶ ὀκτακισχιλίους, αὐτονομίαν ᾔτουν, καὶ ἐπὶ κατηγορίαν τῶν Ἡρῴδῃ τρέπονται παρανομηθέντων· οὐ γὰρ βασιλέα, τύραννον δ' ἐκεῖνον ἐκάλουν. Πολλῶν γὰρ πολλάκις κακώσεων τῷ ἔθνει ἔφησαν συμβεβηκυιῶν, οὐδὲ μίαν ἐξισοῦσθαι ταῖς αὐτῷ ἐπενηνεγμέναις παρ' ἐκείνου κακώσεσιν. Οἰόμενοι οὖν πάντα τῆς βασιλείας κρατήσαντα Ἡρῴδου ἔσεσθαι μετριώτερον, ἀσμένως τὸν Ἀρχέλαον προσειπεῖν βασιλέα. Ὁ δὲ, δείσας, ὥσπερ μὴ οὐχ Ἡρῴδου νομίζοιτο παῖς, εἰ τοῖς Ἰουδαίοις ἠπιώτερος φαίνοιτο, τρισχιλίων ἀνδρῶν σφαγὴν κατὰ τὸ τέμενος ἐποιήσατο, καὶ ταῦτα μηδέπω σοῦ, Καῖσαρ, αὐτῷ τὴν ἀρχὴν βεβαιώσαντος. Καὶ ταῦτα λέγοντες, ἠξίουν βασιλείας καὶ τοιῶνδε ἀρχῶν ἀπηλλάχθαι, προσθήκην δὲ γεγονέναι Συρίας, καὶ τοῖς ἐκεῖ στελλομένοις Ῥωμαίων στρατηγοῖς ὑποκεῖσθαι. Οἱ μὲν οὖν ταῦτα ᾐτοῦντο, οἱ δὲ περὶ τὸν Ἀρχέλαον, ἀπολογούμενοι, τούς τε βασιλεῖς, τὸν πατέρα λέγω καὶ τὸν υἱὸν, τῶν ἐγκλημάτων ἀπέλυον, καὶ Ἰουδαίοις ἐπενεκάλουν στάσεις καὶ νεωτερισμούς. Ὁ μέντοι Καῖσαρ βασιλέα μὲν οὐκ ἀποδείκνυσι τὸν Ἀρχέλαον, τὸ δ' ἥμισυ δίδωσι τῆς πατρικῆς ἀρχῆς, ἐπαγγελλόμενος ὀνομάσειν καὶ βασιλέα, εἰ καλῶς ἄρχοι. Ἦν δὲ ὁ τῆς αὐτῷ νεμηθείσης χώρας δασμὸς ἐτήσιος ἑξακόσια τάλαντα. Τὴν δ' ἑτέραν ἡμίσειαν μοῖραν διχῇ διελὼν Ἀντίπᾳ καὶ Φιλίππῳ παισὶν ἑτέροις Ἡρῴδου διένειμε· καὶ τῷ μὲν Ἀντίπᾳ ἡ νεμηθεῖσα χώρα εἰσφορὰν ἐποιεῖτο διακόσια τάλαντα, Φιλίππῳ δὲ ἡ παραδοθεῖσα μερὶς ἑκατὸν εἰσέφερε τάλαντα. Τῇ δὲ Σαλώμῃ ἐφ' οἷς ὁ Ἡρῴδης κατέλιπε, καὶ τὸ ἐν Ἀσκάλωνι βασίλειον δίδωσιν· ἐκ πάντων δ' εἰσήγετο ταύτῃ δασμὸς ἑξήκοντα τάλαντα. Καὶ ταῦτα μὲν οὕτως διῴκητο· νεανίας δέ τις Ἰουδαῖος εἰσῴκισεν ἑαυτὸν εἰς τὴν Ἡρῴδου συγγένειαν, ἐπεὶ τὴν μορφὴν ὡμοίωτο Ἀλεξάνδρῳ τῷ ἀνῃρημένῳ υἱῷ Ἡρῴδου. Καί τινα παραλαβὼν ὁμόφυλον, ἄνδρα πονηρόν τε καὶ συγχέαι (56) δυνάμενον πράγματα, Ἀλέξανδρον ὠνόμαζεν ἑαυτὸν τὸν Ἡρῴδου υἱόν, ὡς ὑπό τινων τῶν ἀγελεῖν ἄμφω τοὺς ἀδελφοὺς ἐσταλμένων, ἄλλων ἀνῃρημένων, αὐτῶν δὲ περισωθέν-

Variæ lectiones et notæ.

(56) *Συγχέαι δυνάμενον. Turbulentum* verti. Quod si quis τὸ συγχέαι pro ἀπατᾶσθαι intelligere mavult, reponat *vafrum*, vel *callidum*. W.

των καὶ διακεκλεμμένων. Καὶ λόγοις τοιούτοις ἡπάτα τοὺς ἐντυγχάνοντας, κἀντεῦθεν πλεῖστα συναγαγὼν χρήματα, εἰς Ῥώμην ἠπείγετο. Καῖσαρ δὲ πιστεύει μὲν ῥᾳδίως ἀπατηθῆναι Ἡρώδην, ἀγαγὼν δ' εἰς ὄψιν αὐτῷ τὸν ψευδαλέξανδρον, οὐκ ἠπάτητο. Τὸ μὲν γὰρ εἶδος εἶχεν ἐμφερὲς πρὸς τὸν Ἡρώδου Ἀλέξανδρον, ὑπ' αὐτουργίας δ' ἐτετράχυντο, καὶ πρὸς τὸ σκληρότερον αὐτῷ ἐπεφύκει τὸ σῶμα, ἀλλ' οὐχ ὡς τὸ ἐκείνου ὑπὸ τρυφῆς μεμαλάκιστο. Ἐξήτασεν οὖν ὁ Καῖσαρ περὶ Ἀριστοβούλου, ποῦ ἂν εἴη· φαμένου δ' ἐκεῖνου ἐν Κύπρῳ καταλελεῖφθαι, ἵν' εἴ τι περὶ ἐμὲ συμβαίη δεινόν, μὴ πάντη τὸ τῆς Μαριάμ ἐπιλίπῃ γένος· κατὰ μόνας ὁ Καῖσαρ τὸν ψευδαλέξανδρον ἀπολαβὼν, τὸ ἀληθὲς ἐρεῖν αὐτῷ προετρέπετο ἐπὶ μισθῷ τοῦ τυχεῖν σωτηρίας. Ὁ δὲ ἐκφαίνει τῷ Καίσαρι τὸ σκαιώρημα. Ὁ Καῖσαρ δὲ ἐῤῥωμένον, αὐτὸν πρὸς αὐτουργίαν ὁρῶν, τοῖς ἐρέταις συνέταξε· τὸν δ' ἐπὶ τούτοις ἐκείνῳ συμπνέοντα ἐκτεινεν· Ἀρχέλαος δὲ, τὴν ἐθναρχίαν παραλαβὼν, ἀφαιρεῖται τὴν ἀρχιερωσύνην ἐξ Ἰωαζάρου τοῦ Βοηθοῦ, καὶ ἀντικαθίστησιν Ἐλεάζαρ τὸν ἐκείνου ἀδελφὸν, καὶ Γλαφύραν ἄγεται πρὸς γάμον τὴν Ἀρχελάου παῖδα, Ἀλεξάνδρου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ γαμετὴν, ἀφ' οὗ καὶ τέκνα ἦν αὐτῇ, ἀπειρημένου τῷ νόμῳ ἀδελφῶν ἄγεσθαι γυναῖκας, παῖδας ἐκ τῶν τεθνεώτων ἐχούσας. Καὶ τὸν Ἐλεάζαρ δὲ μετὰ μικρὸν ἐκβαλὼν, Ἰησοῦν ἀντεισήγαγε, τὸν παῖδα Σεέ. Ἀνύων δ' ἔτος ἐν τῇ ἀρχῇ δέκατον, κατηγορήθη παρὰ Καίσαρι πρὸς τῶν ὑπηκόων, ὡς ὠμῶς καὶ τὸ ὅλον τυραννικῶς κεχρημένος τοῖς πράγμασιν. Ὁ τοίνυν Καῖσαρ μεταπέμπεται ταχέως αὐτόν. Καὶ ἀκροασάμενος τῶν κατηγόρων κἀκείνου, ἐκείνου μὲν φυγαδείαν καταψηφίζεται, τὰ δὲ χρήματα ἀπηνέγκατο. Ὀνείρῳ δὲ τὸ μέλλον ἐδηλώθη τῷ Ἀρχελάῳ. Ἐδόκει γὰρ στάχυας ὁρᾷν δέκα ἀκμαίους καὶ πλήρεις σίτου, βιβρωσκομένους ὑπὸ βοῶν. Ἄλλοι μὲν οὖν ἄλλως ἐξηγοῦντο τὸν ὄνειρον· Σίμων δὲ τὸ μὲν γένος Ἐσσαῖος, μεταβολὴν πραγμάτων ἔλεγε φέρειν Ἀρχελάῳ τὴν ὄψιν, οὐ μέντοι ἐπ' ἀγαθῷ. Τοὺς μὲν γὰρ βόας κακοπαθείας σύμβολον εἶναι, ζῶα ἐπ' ἔργοις ταλαιπωρούμενα, καὶ δηλωτικὰ πραγμάτων μεταβολῆς, ὅτι δι' αὐτῶν ἀρουμένη ἡ γῆ, οὐκ ἔᾶται μένειν ἀκίνητος, τοὺς δὲ δέκα στάχυας σημαίνειν ἐτῶν ἀριθμόν· περιόδῳ γὰρ ἐνιαυτοῦ πληροῦσθαι τούτους, καὶ ἀπαρτίζεσθαι θέρος, καὶ τὸν τῆς ἡγεμονίας χρόνον ἐξήκειν τῷ Ἀρχελάῳ. Καὶ τῇ γυναικὶ δὲ τοῦ Ἀρχελάου Γλαφύρᾳ ὄνειρος τεθέαται ἕτερος. Αὕτη γὰρ, ὡς ἱστόρηται, Ἀλεξάνδρῳ πρότερον συνῴκει, Ἀρχελάου ὁμαίμονι· ἀναιρεθέντος δ' ἐκείνου, Ἰούδᾳ τῷ Λιβύων γεγάμητο βασιλεῖ· κἀκείνου δὲ τὴν ζωὴν μεταλλάξαντος, Ἀρχελάῳ γίνεται τὴν συνοικοῦσαν αὐτῷ Μαριὰμ ἀπωπεμψαμένῳ, καὶ ταῦτα παῖδας ἐξ Ἀλεξάνδρου ἔχουσα. Ἐδόκει γοῦν ἡ γυνὴ τὸν Ἀλέξανδρον αὐτῇ ἐπιστάντα, μέμφεσθαί τε αὐτῇ καὶ λέγειν· *Γλαφύρα, ἀληθεύειν ἄρα τὸν λόγον ἀπέδειξας, ὃς ἀπίστους εἶναι τοῖς ἀνδράσι τὰς γυναῖκάς φησι. Παρθένος γάρ μοι συνοικήσασα, καὶ παῖδας γεννήσασα ἐξ ἐμοῦ, λήθῃ τῶν ἐμῶν ἐρώτων, δευτέροις γάμοις συνωμίλησας· καὶ οὐδ' οὕτως σοι κόρος τῆς εἰς ἡμᾶς ἐγένετο ὕβρεως, ἀλλὰ καὶ τρίτον σαυτῇ νυμφίον παρακατέκλινας, καὶ ταῦτα ἐμὸν ἀδελφόν. Ἀλλ' ἐγώ σε αὖθις ἐμὴν ποιησάμενος, τῆς ἐπὶ τούτῳ ἀπαλλάξω αἰσχύνης.* Ταῦτα διηγησαμένη πρὸς τὰς συνήθεις τῶν γυναικῶν, μετὰ μικρὸν τελευτᾷ.

Ι'. Ἡ δὲ Ἀρχελάῳ ὑπήκοος χώρα τῇ Συρίᾳ προσενεμήθη. Ἐπέμφθη δὲ καὶ Κυρήνιος ἀπογραφὴν

vero quærente, ubi Aristobulus esset? respondit, in Cypro esse relictum, ut si quid sibi **264** accidisset, Mariammæ genus non penitus interiret. Cæsar vero hominem seductum hortatus est, ut veritatem sibi diceret, impunitate promissa. Qui cum impesturam exposuisset, Cæsarque illum tolerando labori aptum videret, in remiges retulit: ejus vero socium occidit. Archelaus ethnarchia suscepta, sacerdotium Joazaro Boethi filio ereptum, in fratrem ejus Eleazarum transfert. Et Glaphyram matrimonio sibi jungit, Archelai filiam, Alexandri fratris, e quo illa susceperat liberos, viduam. Est autem lege interdictum, ne mortuorum fratrum uxores, e quibus illi susceperint liberos, fratribus nubant. Sed et Eleazaro paulo post ejecto, Jesum Seis filium in ejus locum substituit. Decimo imperii anno accusatus est a subditis apud Cæsarem, quod crudelem ac plane tyrannum se præberet: ab eoque celeriter accersitus, causa dicta, opibus ademptis in exsilium missus est: cum quidem ex somnio eum eventum ante cognovisset. Visus erat sibi decem spicas robustas, et frumento plenas videre, quæ a bobus comederentur. Ij somnium aliis aliter interpretantibus, Simon professione Essæus visione illa mutationem ei portendi, eamque non felicem, dixit. Boves enim ærumnarum esse symbolum, animal quod laboribus urgeatur: et rerum vicissitudinem designare, proptorea quod terra ab iis arando invertatur. Decem vero spicas totidem annos significare, quibus tanto spatio completis messis absolvatur, ac tum principatus Archelai finem fore. Atque etiam Glaphyræ conjugi ejus, visum quoddam in somnis est oblatum: quæ, ut antea dictum est, maritum habuit Alexandrum, Archelai fratrem. Eo mortuo, Jubæ Libyæ regi, qui uxorem Mariammen repudiarat, nupsit: idque cum liberos ex Alexandro suscepisset. Visus igitur est Alexander astare mulieri, et cum ea expostulare his verbis: *Utique verum illud verbum esse demonstrasti, Glaphyra, uxores infidas esse maritis. Nam tu cum mihi virgo nupta fueris, et liberos pepereris, secundas nuptias experta es: nec ea nostri contumelia contenta, cum tertio sponso concubuisti, eoque fratre meo. Sed ego te rursus mihi vindicatam, isto dedecore liberabo.* Hæc ubi mulieribus **265** familiaribus exposuit, paulo post decessit.

III. Regio vero quæ Archelao parucrat, Syriæ est attributa: ac Cyrenius missus, qui Syriam,

ipsamque Judæam, Syriæ additamentum, describeret. Ac Judæi qui pridem ne nomen quidem descriptionis audire voluerant, suasu Joazari pontificis refragari destiterunt. Verum quidam Gaulanites, Sadoco Pharisæo ascito, bellis et latrociniis Judæam implevit. Dicebant enim, facultatum æstimationem nihil esse aliud nisi manifestam servitutem : ac prætendebant illi quidem reipublicæ curam, sed revera privatorum emolumentorum occasiones captabant : unde seditiones et multorum cædes, principum etiam virorum, exstiterunt, partim ex intestinis bellis, partim ab hostibus. Accessit fames, urbium expugnationes, excidia, et templi conflagratio. Nam cum antiquitus tria essent apud Judæos philosophiæ genera, Essenorum, Pharisæorum, et Sadducæorum, quartum hoc et novum a Juda et Sadoco introductum est. Nam Pharisæi, vili victu utentes, ad mollitiem se non deflectunt, observatores legum et rituum accurati : senibus honorem præbent, neque confidenter illorum auctoritati adversantur. Fatum esse docent, hoc tamen hominibus tribuentes, ut illius impulsus vincere possit, si serio renitantur : animos immortales, et sub terra vitæ actæ rationes reddendas esse censent. Qua de causa et apud populum plus auctoritate valent, et ad vota, ad sacra peragenda tanquam interpretes adhibentur. Sadducæi mortales esse animos arbitrantur, atque una cum corporibus interire, neque quidquam nisi leges observant : senioribus ac magistris refragari, in parte virtutis ponunt. Si qui vero illorum ad magistratus adhibentur, vel inviti assentiuntur Pharisæis, alioqui enim a populo non tolerarentur. Esseni Deo ascribunt omnia, animorum immortalitatem credunt, justitiam colunt : donaria in templum mittunt, sed in eo non immolant, de expiationibus a cæteris dissentientes. Unde cum a communi sacrario arceantur, privatim sacrificant, labores agriculturæ capessunt, res communes habent. **266** Quare dives omnium pauperrimo nihilo vivit lautius : neque uxores ducunt, neque servos emunt : hoc iniquum esse rati, illud discordiæ incitamentum ; sed vitam agentes solitariam, alii aliis ministrant. Quæstores et terræ frugum, et eorum quæ aliunde afferuntur, designant. Quarta secta cum Pharisæis cætera consentit, sed libertatis alte infixum amorem gerit : cujus alumni, solum principem et Dominum Deum appellant, ea nomina tribuere homini dedignantes : imo nec mortes, nec supplicia varia et atrocia recusantes, ne ab instituto suo recedant. Hinc populus Judaicus ex amentiæ morbo in des-

νος τὴν Συρίαν, καὶ αὐτὴν Ἰουδαίαν προσθήκην ἐκείνης γεγενημένην. Ἰουδαῖοι δὲ, καίπερ πρότερον καὶ μέχρις ἀκοῆς τὴν ἀπογραφὴν δυσχεραίνοντες, τότε, τοῦ ἀρχιερέως Ἰωαζάρου (57) πείσαντος αὐτοὺς, ἐνέδοσαν. Γαυλανίτης δέ τις ἀνὴρ, Σαδὼκ Φαρισαῖον προσεταιρισάμενος, πολέμων καὶ λῃστηρίων τὸ ἔθνος ἐνέπλησαν; λέγοντες οὐδὲν ἕτερον εἶναι τὴν τῶν οὐσιῶν ἀποτίμησιν ἢ δουλείαν ἀντικρυς· καὶ ἐδόκουν μὲν ἐπὶ διορθώσει τῶν κοινῶν κεκινῆσθαι, τῇ δ' ἀληθείᾳ οἰκείων ἔσπευδον κερδῶν ἀφορμάς· ἐξ ὧν στάσεις ἐφύησαν καὶ φόνος πολλῶν, καὶ αὐτῶν τῶν πρώτων ἀνδρῶν, ὁ μὲν ἐμφυλίοις σφαγαῖς, ὁ δὲ τῶν πολεμίων, λιμός τε καὶ πόλεων ἁλώσεις καὶ κατασκαφαί, καὶ τοῦ ἱεροῦ ἐμπρησμός. Τριῶν γὰρ οὐσῶν ἐκ παλαιοῦ τοῖς Ἰουδαίοις φιλοσοφίας ὁδῶν (ὡς καὶ πρόσθεν εἴρηται) τῆς τῶν Ἐσσηνῶν, τῆς τῶν Φαρισαίων, καὶ τῆς τῶν Σαδδουκαίων, τετάρτη αὕτη ἐπείσακτος παρὰ Σαδὼκ καὶ Ἰούδα κεκαίνισται. Οἱ μὲν γὰρ Φαρισαῖοι εὐτελῶς διαιτῶνται, οὐδ' ἐπικλίνονται πρὸς τὸ μαλακώτερον, περί τε τῶν νομίμων φυλακὴν εἰσιν ἀκριβεῖς, καὶ τοῖς ἐν γήρᾳ παραχωροῦσι τιμῆς, οὐδ' ἀντιλέγουσι θρασέως τοῖς παρ' ἐκείνων εἰσηγουμένοις. Εἱμαρμένην τε δογματίζοντες, καὶ τοῖς ἀνθρώποις διδόασι μὴ εἶκειν ταῖς ταύτης ὁρμαῖς, μετὰ σπουδῆς ἀντιπράττουσιν· ἀθανασίαν τε ταῖς ψυχαῖς ἀπονέμουσι, καὶ δικαιώσεις ὑποχθονίους τῶν βεβιωμένων δοξάζουσι· δι' ἃ τοῖς τε δήμοις εἰσὶ πιθανώτεροι (58), καὶ ἐνεύχαις καὶ ποιήσεσιν ἱερῶν ἐκείνοις χρῶνται ἐξηγηταῖς. Σαδδουκαῖοι δὲ θνητὰς δοξάζουσι τὰς ψυχὰς, καὶ ταύτας τοῖς σώμασι συνδιαφθείρεσθαι λέγουσι. Καὶ ἡ τῶν νόμων αὐτοῖς οὐ παρατηρεῖται παράβασις (59), καὶ τὸ πρὸς τοὺς γεραιτέρους καὶ τοὺς διδασκάλους αὐτοὺς ἀντιλέγειν ἀρετὴν οἴονται. Εἰ δέ τινες αὐτῶν εἰς ἀρχὰς ἔλθοιεν, προσχωροῦσι τοῖς τῶν Φαρισαίων λόγοις καὶ ἄκοντες· οὐ γὰρ ἄλλως ἀνεκτοὶ δοκοῦσι τοῖς πλήθεσιν. Ἐσσηνοὶ δὲ ἐπὶ Θεῷ τὰ πάντα πεποίηνται· ἀθανάτους ἡγῆνται τὰς ψυχάς· τοῦ δικαίου ἀντέχονται. Ἀναθήματα μὲν εἰς τὸ ἱερὸν στέλλουσιν, οὐ μὴν γε καὶ θύουσι, διαφερόμενοι τοῖς ἄλλοις περὶ ἁγνισμῶν. Διὸ καὶ εἰργόμενοι τοῦ κοινοῦ τεμενίσματος, ἐφ' ἑαυτῶν θύουσι· καὶ ἐπὶ πόνους γεωργικοὺς τρέπονται, κοινὰ τὰ χρήματα ἔχουσιν. Ὅθεν οὐδέν τι πλέον ὁ πλούσιος τῶν οἰκείων ἀπολαύει παρὰ τὸν πάνυ πενέστατον. Καὶ οὔτε γαμετὰς εἰσάγονται, οὔτε δούλους κτῶνται, τὸ μὲν ἀδικίαν οἰόμενοι, τὴν δὲ τῶν γυναικῶν ἐπεισαγωγὴν στάσεως ἀφορμήν· καθ' ἑαυτοὺς δὲ βιοῦντες, ἀλλήλοις ὑπηρετοῦσι, καὶ ἀποδέκτας τῶν τῆς γῆς καρπῶν καὶ τῶν ἄλλοθεν κομιζομένων αὐτοῖς προχειρίζονται. Ἡ δὲ τετάρτη, ἧς ὁ Γαλιλαῖος

Variæ lectiones et notæ.

(57) *Τοῦ ἀρχιερέως Ἰώας*. Ita etiam cod. Reg. et Colbert., supra etiam pro Ἰώζαρος, sed Josephus ibi Ἰώζαρος habebat, et postremus Archelai pontifex non Ἰώας, sed Ἰησοῦς τοῦ Σίε supra dicitur. Josephus vero iterum Joazarum appellat his verbis : Πείσαντος αὐτοὺς τοῦ ἀρχιερέως Ἰωαζάρου, Βοηθοῦ δὲ οὗτος υἱὸς ἦν. W.

(58) *Πιθανώτεροι*. Cod. Colb. πιθανωτατοι. Ita infra pro γεραιτέρους, πρεσβυτέρους. Εἰ pro ἔλθοιεν, περιπέσοιεν.

(59) *Καὶ ἡ τῶν νόμων αὐτοῖς οὐ παρατηρεῖται παράβασις*. Fortasse, νομίμων παράδοσις, *rituum traditiones non observant*. Josephus habet : Φυλακῆς δὲ οὐδαμῶν τινῶν μεταποίησις, αὐτοῖς ἡ τῶν νόμων. Quem in vertendo secutus sum. W.

Ἰούδα; γέγονεν ἡγεμών, τὰ μὲν ἄλλα τοῖς Φαρισαίοις ὁμογνώμων ἐστὶ, τῆς δ' ἐλευθερίας αὐτῇ δριμὺς ἔρως ἐντέτηκεν, ἣς οἱ τρόφιμοι μόνον ἡγεμόνα καὶ Δεσπότην τὸν Θεὸν ὀνομάζουσιν, ἀνθρώπῳ τῶν ὀνομάτων τούτων μεταδιδόναι μὴ ἀνεχόμενοι· ἀλλὰ καὶ θανάτους καὶ τιμωρίας ποικίλας τε καὶ δεινὰς ὑφίστασθαι μὴ ἀπαναινόμενοι, ἵνα μὴ τῆς σφετέρας ἐκπταίειν ἐνστάσεως. Ἐντεῦθεν ἤρξατο τὸ τῶν Ἰουδαίων ἔθνος νοσεῖν ἐξ ἀνοίας ἀπόνοιαν, Γεσσίου Φλώρου τοῦ ἡγεμόνος εἰς ταύτην αὐτοὺς ἐρεθίσαντος ὕβρεσιν. Ὁ μέντοι Κυρήνιος τῆς ἀπογραφῆς καὶ τῶν ἀποτιμήσεων περαιωθεισῶν, αἳ ἐγένοντο ἐν ἔτει τριακοστῷ καὶ ἑβδόμῳ μετὰ τὴν ἐν Ἀκτίῳ ἧτταν τοῦ Ἀντωνίου ὑπὸ τοῦ Καίσαρος, Ἰωάζαρον τὸν ἀρχιερέα καταστασιασθέντα ὑπὸ τοῦ πλήθους ἀφελόμενος τὴν τιμήν, Ἄνναν τὸν Σεθεὶ (60) ἀρχιερέα καθίστησι. Κυρηνίου δὲ εἰς Ῥώμην ἀπάραντος, Κοπώνιος τὴν Ἰουδαίαν διεῖπε. Τούτῳ δὲ διάδοχος γίνεται Μάρκος Ἀμβιβοῦχος (61)· καὶ τὸν Μάρκον Ῥοῦφος διαδέχεται Ἄννινος· ἐφ' οὗ δὴ τελευτᾷ Καῖσαρ αὐτοκράτωρ Ῥωμαίων, ἄρξας ἔτη ἑπτὰ καὶ πεντήκοντα, μῆνάς τε ἓξ ἐφ' ἡμέραιν δυοῖν, ἀφ' ὧν τεσσαρεσκαίδεκα ἔτη αὐτῷ συνῆρξεν Ἀντώνιος, ὡς εἶναι τὸν τῆς μοναρχίας αὐτοῦ χρόνον ἐνιαυτοὺς τεσσαράκοντα πρὸς τρισὶ, κατὰ δέ τινας τέσσαρσιν (62). Ἐβίω δὲ ἔτη ἑβδομήκοντα καὶ ἑπτά. Ἡ δὲ μοναρχία μετήνεκτο εἰς Τιβέριον. τῆς τοῦ Καίσαρος γυναικὸς Λιβίας υἱόν· ὑφ' οὗ Γράτος Οὐαλλέριος εἰς Ἰουδαίαν ἔσταλτο ἡγεμών, ὃς παύσας τὸν Ἄνναν τῆς ἀρχιερωσύνης, Ἰσμαὴλ ἀποδείκνυσι τὸν τοῦ Φαβί. Καὶ τοῦτον δὲ μεταστήσας μετ' οὐ πολὺ, Ἐλεάζαρ τῷ τοῦ Ἄννα υἱῷ ἀπονέμει τὴν τοῦ ἱεράσθαι τιμήν, καὶ μετ' ἐνιαυτὸν ἀντεισάγει Σίμωνα τὸν Καμίθου. Καὶ τούτῳ τὸν ἴσον χρόνον ἱερασαμένῳ Ἰωσὴφ ὁ Καϊάφας διάδοχος ἦν.

Δ'. Καὶ Γράτος, ἐπὶ ἕνδεκα ἔτη τῆς Ἰουδαίας ἄρξας, καὶ ταῦτα πράξας, εἰς Ῥώμην ὑπανεχώρησε· Πόντιος δ' ἦκε Πιλάτος τὴν ἡγεμονίαν ἀναδεξάμενος. Ὁ δὲ τετράρχης Ἡρῴδης, φίλος τῷ Τιβερίῳ χρηματίζων πρὸ τῆς ἀρχῆς, οἰκοδομεῖ μετὰ τὴν μοναρχίαν πόλιν αὐτῷ ἐπώνυμον ἐν τῇ Γαλιλαίᾳ ἐπὶ τῇ λίμνῃ Γεννησαρὲτ, Τιβεριάδα καλέσας αὐτήν. Πιλᾶτος δὲ, στρατιὰν ἐκ Καισαρείας μεθιδρύσας χειμαδιοῦσαν ἐν Ἱεροσολύμοις, σημαίας εἰς τὴν πόλιν ὑπὸ νύκτα εἰσήγαγεν, εἰκόνας ἐχούσας Καίσαρος, ἀπαγορεύοντος Ἰουδαίοις τοῦ νόμου εἰκόνας ἔχειν. Ἐπεὶ δ' ἐγνώσθη τὸ πεπραγμένον, πλῆθος ὥρμησεν εἰς Καισάρειαν, αἰτούμενον τὴν τῶν εἰκόνων μετάθεσιν, καὶ πενθημέρους ἱκετείας διὰ τοῦτο ἐποιήντο. Μὴ συγχωροῦντος δὲ Πιλάτου, ὡς ἐντεῦθεν δῆθεν ὁρίζομένου τοῦ Καίσαρος, ἐπεὶ τὸ πλῆθος οὐκ ἀνίει δεόμενον, κατὰ τὴν ἕκτην ἡμέραν περιστήσας στρατιώτας ἐνόπλους σφίσιν, ἠπείλει θάνατον, εἰ μὴ παύσοιντο θορυβεῖν. Οἱ δὲ πρηνεῖς καταβαλόντες ἑαυτοὺς, σὺν ἡδονῇ δέξασθαι τὸν θάνατον ἔλεγον. Καὶ θαυμάσας Πιλᾶτος τὸ γενναῖον αὐτῶν καὶ πρόθυμον ἐπὶ τηρήσει τῶν νόμων, παραχρῆμα τὰς εἰκόνας ἐπανεκόμισεν εἰς Καισάρειαν. Ὑδάτων δ' εἰσαγωγὴν ποιούμενος εἰς Ἱεροσόλυμα, τὰ ἱερὰ πρὸς ταύτην ἀνήλισκε χρήματα. Συνελθόν-

A peration em est delapsus, Gesii Flori contumeliis irritatus. Nam Cyrenius descriptione ac censu peracto, tricesimo septimo anno post Cæsaris Actiacam Antonii victoriam, Joazaro pontifici, factione populi oppresso, ademptam dignitatem in Annam Sethei filium contulit. Cyrenio Romam reverso, Coponius Judæam administravit. Ei successit Marcus Ambibuchus; Marco Rufus Annius, sub quo Romanorum imperator obiit, regni anno quinquagesimo septimo, mense VI, diebus II. Collegam Antonium habuit annis quatuordecim. Solus imperavit annos XLIII, aut XLIV, ut quidam tradunt. Vixit annos septuaginta septem. Monarchia vero translata est in Tiberium, Cæsaris ex Livia privignum, a quo Valerius Gratus dux in Judæam B missus est: qui pontificatu Annæ abrogato, Ismaelem Fabii filium summum sacerdotem designavit. Et hoc etiam non multo post in ordinem coacto, Eleazaro Annæ filio sacerdotii honorem largitus est: annoque elapso, Simonem Camithi filium illi substituit. Huic pari tempore sacris operato, Josephus Caiaphas successor fuit.

IV. Grato, cum Judææ per annos undecim præfuisset, bis actis Romam reverso, Pontius Pilatus successit. Herodes tetrarcha Tiberii privati adhuc usus amicitia, eo rerum potito, urbem de illius nomine Tiberiadem ad Genesarethæ lacum condidit. Pilatus exercitum Cæsarea, ut Hierosolymis hibernaret, traducturus, noctu vexilla cum Cæsaris imaginibus in urbem intulit, quibus lege Judæis interdictum 267 est. Quo cognito, multitudo propere Cæsaream accurrit, petentes ut illa transferrentur, supplicatione per dies quinque continuata. Cui cum Pilatus refragaretur, ea enim re lædi majestatem Cæsaris, nec populus orare desisteret: die sexto militibus armatis circumpositis, mortem eis comminatus est, nisi tumultuandi finem facerent. D At illi proni prostrati, se mortem cum voluptate oppetituros dixerunt. Pilatus igitur fortitudinem eorum et alacritatem observandæ legis admiratus, evestigio Cæsaream imagines retulit. Ad aquæ ductum vero Hierosolymis struendum sacram pecuniam insumpsit. Ob eam rem multi convenere, cum clamoribus atque etiam per convicia postulantes, ut desineret. At ille cohortes militum substolis Judaicis flagella gerentes circumire tumultuantes, atque ita Judæos abire jussit: ut vero

Variæ lectiones et notæ.

(60) *Σεθεί*. Ms Reg. et Colbert. Σεθί.

(61) *Ἀμβιβοῦχος*. Haud scio an recte ita legatur. W.

(62) *Κατὰ-δέ τινας τέσσαρσιν*. Hæc desunt in cod. Colb.

maledicere cœperunt, signo militibus dato, verberibus eos castigare instituit. Illi vero quamvis inermes cæderentur, de pertinacia nihil remittebant, sed multi cadebant, multi vulneribus affecti recedebant. Hoc tempore Dominus quoque noster et Deus Jesus Christus in Judæa visus est, de quo hæc Josephi verba in XVIII libro *Antiquitatum* exstant: *Nascitur hoc tempore Jesus, vir sapiens, si modo vir dicendus est. Fuit enim mirabilium operum effector, et magister hominum qui veritatem amplectuntur, ac multos Judæos, multos ex gentibus sibi conciliavit. Christus ille fuit, quem cum a principibus apud nos viris delatum cruci Pilatus affixisset, eum ii qui principio adamarant, colere non destiterunt. Nam triduo post eis vivens iterum apparuit: id quod, aliaque infinita et admiranda vates divini de eo prædixerunt. Ac natio Christianorum, nomine ex illo accepto, vel hodie non defecit.* Hæc in *Antiquitatibus* Josephus de Christo scripsit. In oratione vero sua ad Græcos, quæ et contra Platonem inscribitur, de causa universitatis, cujus etiam sanctus Joannes Damascenus in *Parallelis* suis mèminit, hæc dicit: *Omnes justi et injusti ad Dei verbum adducentur. Huic enim Pater judicium dedit, atque ipse Patris voluntatem exsequens, judex adventat, quem Christum appellamus. Neque enim Minos aut Rhadamanthus,* **268** *o Græci, quemadmodum vestra fert opinio, sententiam ferent: sed is, quem Deus et Pater gloria ornavit. De quo alibi subtilius disseruimus ad eos qui veritatem inquirunt. Is de Patris sententia justum de unoquoque judicium faciens, jus unicuique pro factis suis reddet. Cujus judicio omnes homines, angeli et dæmones astantes, una voce clamabunt: Justum tuum est judicium. Post quam vocem, ita ut æquum est, remunerabitur utrosque eos qui virtutem rite coluerunt, æterna beatitate; improbitatis amatores, æterno supplicio. Et hos ignis æternus atque infinitus manet, et vermis quidam ignitus immortalis et corpus non perimens, cum perpetuo cruciatu e corpore erumpens, infestabit.* His alia quoque subjungit. Ac de Christo ad hunc modum Josephus scripsit.

τες οὖν πολλοί, κατεβόων Πιλάτου, παύσασθαι ἀξιοῦντες, τινὲς δὲ καὶ λοιδορίαις ἐκέχρηντο κατ' αὐτοῦ. Ὁ δὲ στολαῖς Ἰουδαϊκαῖς πλῆθος στρατιωτῶν κεχρημένον, σκυτάλας τε ὑπὸ ταῖς στολαῖς ἔχον, περιελθεῖν κύκλῳ τῶν θορυβούντων ἐκέλευσε, καὶ οὕτως ἀναχωρεῖν τοῖς Ἰουδαίοις ἐπέταττεν. Ὡς δ' ἤρξαντο λοιδορεῖν, τοῖς στρατιώταις δίδωσι σύνθημα. Οἱ δὲ πληγαῖς τοὺς θορυβοῦντας ἐκόλαζον. Ἐκεῖνοι δὲ, ἄοπλοι ὄντες καὶ πληττόμενοι, οὐδὲν ἐνδόσιμον ἐφρόνουν, ἀλλὰ πολλοὶ μὲν ἔπιπτον, οἱ δ' ἄλλοι τραύμασι ἀπῆεσαν. Κατὰ τοῦτον τὸν καιρὸν καὶ ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστὸς ἐν Ἰουδαίᾳ ἐφάνη, περὶ οὗ ταῦτα κατὰ λέξιν φησὶν ὁ Ἰώσηπος ἐν τῷ ὀκτωκαιδεκάτῳ λόγῳ τῆς Ἀρχαιολογίας· Γίνεται δὴ κατὰ τοῦτον τὸν χρόνον Ἰησοῦς, σοφὸς ἀνὴρ, εἴγε ἄνδρα αὐτὸν λέγειν χρή. Ἦν γὰρ παραδόξων ἔργων ποιητὴς, διδάσκαλος ἀνθρώπων τῶν σὺν ἡδονῇ τἀληθῆ δεχομένων. Καὶ πολλοὺς μὲν Ἰουδαίους, πολλοὺς δὲ καὶ τοῦ Ἑλληνικοῦ ἐπηγάγετο. Ὁ Χριστὸς οὗτος ἦν. Καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν σταυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ ἐπαύσαντο οἱ τὸ πρῶτον αὐτὸν ἀγαπήσαντες. Ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν, πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε καὶ ἄλλα μυρία περὶ αὐτοῦ θαυμάσια εἰρηκότων. Εἰσέτι τε νῦν τῶν Χριστιανῶν ἀπὸ τοῦδε ὠνομασμένων οὐκ ἐπέλιπε τὸ φῦλον. Καὶ ταῦτα μὲν ἀρχαιολογῶν ὁ Ἰώσηπος ἔγραψε περὶ τοῦ Χριστοῦ· ἐν δὲ τῷ πρὸς Ἕλληνας αὐτοῦ λόγῳ, ὃς κατὰ Πλάτωνος ἐπιγέγραπται (63) περὶ τῆς τοῦ παντὸς αἰτίας, οὗ καὶ ὁ ἅγιος Ἰωάννης Δαμασκηνὸς μνείαν πεποίηται ἐν τῇ πονηθείσῃ αὐτῷ βίβλῳ τῇ καλουμένῃ *Παράλληλα*, ταῦτά φησι· *Πάντες γὰρ δίκαιοί τε καὶ ἄδικοι, ἐνώπιον τοῦ Θεοῦ Λόγου ἀχθήσονται. Τούτῳ γὰρ ὁ Πατὴρ τὴν κρίσιν δέδωκε, καὶ αὐτὸς βουλὴν Πατρὸς ἐπιτελῶν, κριτὴς παραγίνεται, ὃν Χριστὸν προσαγορεύομεν. Οὐδὲ γὰρ Μίνως καὶ Ῥαδάμανθυς κριταὶ καθ' ὑμᾶς, Ἕλληνες, ἀλλ' ὃν ὁ Θεὸς καὶ Πατὴρ ἐδόξασε. Περὶ οὗ ἐν ἑτέροις λεπτομερέστερον διελήλύθαμεν, πρὸς τοὺς ζητοῦντας τὴν ἀλήθειαν. Οὗτος τὴν Πατρὸς ἑκάστῳ δικαιοκρισίαν ποιούμενος* (64), *πᾶσι κατὰ τὰ ἔργα παρασκευάσει τὸ δίκαιον. Οὗ κρίσει παραστάντες πάντες ἄνθρωποί τε καὶ ἄγγελοι καὶ δαίμονες, μίαν ἀποφθέγξονται φωνὴν, οὕτω λέγοντες· Δικαία σου ἡ κρίσις. Ἧς φωνῆς τὸ ἀντιπόδωμα ἐφ' ἀμφοτέρους ἐπάγει τὸ δίκαιον, τοῖς μὲν εὖ πράξασι δικαίως τὴν ἀΐδιον ἀπόλαυσιν παρασχόντος, τοῖς δὲ τῶν φαύλων ἐραστοῖς τὴν αἰώνιον κόλασιν ἀπονείμαντος. Καὶ τούτοις μὲν τὸ πῦρ ἄσβεστον διαμένει, καὶ ἀτελεύτητον, σκώληξ δέ τις ἔμπυος μὴ τελευτῶν, μηδὲ σῶμα διαφθείρων, ἀπαύστῳ δ' ὀδύνῃ ἐκ σώματος ἐκβράσσων, παραμένει.* Καὶ ἄλλα δ' ἐπὶ τούτοις φησίν. Οὕτω μὲν οὖν περὶ Χριστοῦ γέγραφεν ὁ Ἰώσηπος.

V. Romæ autem Paulina quædam, et generis splendore, et morum integritate præstans, et opibus abundans, et vultu venusto, et ætate integra, et modestia ornata, nupta erat Saturnino, viro nullo bonorum genere ipsa inferiori. Hujus amore

Ε'. Ἐν δὲ Ῥώμῃ τότε Παυλίνά τις ἦν, καὶ γένους περιφανείᾳ καὶ τρόπων χρηστότητι διαφέρουσα καὶ πλούτου περιττῶς ἔχουσα, οὖσα δὲ καὶ τὴν ὄψιν χαρίεσσα, καὶ τῆς ἡλικίας ἐν ᾗ γυναῖκες ἀγάλλονται σωφροσύνῃ κεκόσμητο. Συνῴκει δὲ Σατορνίνῳ,

Variæ lectiones et notæ.

(63) Ὃς *κατὰ Πλάτωνος ἐπιγέγραπται*. Quid si κατὰ Πλάτωνα, *more Platonis*. W.

(64) *Οὗτος τὴν πατρὸς ἑκάστῳ δικαιοκρισίαν ποιούμενος*. Mendosus videtur hic locus. W.

ἀνδρὶ μηδὲν αὐτῆς εἰς ἕκαστον τῶν καλῶν ἀποδέοντι. Ταύτης ἐάλω τῷ ἔρωτι Δέκιος Μοῦνδος, ἐν ἀξιώματι ὢν μεγάλῳ τῶν τότε ἱππέων, καὶ ἐπείρα δώροις. Εἴκοσι γὰρ μυριάδας δραχμῶν Ἀττικῶν εὐνῆς ἐδίδου μιᾶς. Ἡ δὲ οὐκ ἠνείχετο. Κἀκεῖνος ἐξῆπτο πλέον εἰς ἔρωτα, ὥστε βρώσεως ἀποχῇ ἑαυτῷ μνηστεύεσθαι θάνατον. Ἦν δὲ τούτῳ ἀπελευθέρα πατρῴα Ἶδη καλουμένη, παντοίων ἴδρις κακῶν. Αὕτη οὕτως ἔχοντα τὸν νεανίαν ὁρῶσα, ἀναθαρσύνει λόγοις, καὶ ἀναζωπυροῖ ὑποσχέσεσι, πέντε μυριάδων αὐτῇ δεήσειν λέγουσα μόνων, ὥστε τὴν πρᾶξιν αὐτῷ κατεργάσασθαι. Καὶ λαβοῦσα τὸ αἰτηθὲν ἀργύριον, ἐπεὶ οὐχ ἁλωτὴν ἐώρα τὴν Παυλίναν τοῖς χρήμασι, τῇ δὲ θεραπείᾳ τῆς Ἴσιδος (θεὸς δ' αὕτη τοῖς Ῥωμαίοις τότε νενόμιστο) ᾔδει ταύτην προσκειμένην θερμότατα, πρόσεισι τῶν τῆς ψευδοῦς ἐκείνης θεοῦ ἱερέων τισὶ, καὶ χρήμασιν ἀναπείθει τὴν Παυλίναν ἐξαπατῆσαι, οἷς δύναιντο μηχαναῖς, καὶ τῷ Μούνδῳ συγκατακλῖναι. Οἱ δὲ, θελχθέντες τοῖς χρήμασι, τῇ πράξει ἐπέβαλον. Καὶ αὐτῶν ὁ γεραίτατος, πρὸς τὴν Παυλίναν ἐλθὼν, καὶ ἰδίᾳ αὐτῇ ἐντυχὼν, ἔλεγεν ἥκειν πεμπτὸς ὑπὸ τοῦ Ἀννούβιδος, κελεύοντος τοῦ θεοῦ πρὸς αὐτὸν ἥκειν, αὐτῆς ἐρῶντα. Τῇ δὲ ὁ λόγος ἔδοξεν εὐκταιότατος, εἰ ἐρῷτο ὑπὸ θεοῦ· καὶ τῷ ἀνδρὶ κοινοῦται τὸ ἀγγελθὲν, κἀκεῖνος συνεχώρει, τὴν σωφροσύνην γινώσκων τῆς γυναικός. Ἀπῆλθεν οὖν εἰς τὸ τέμενος, καὶ ὡς ὕπνου καιρὸς ἦν, ἔνδον ἐν τῷ ναῷ τῇ γυναικὶ καθευδῆσαι ἡτοίμαστο, καὶ τὰ λύχνα κατέσβεστο. Ὁ γοῦν Μοῦνδος (προεκέκρυπτο γὰρ ἐκεῖ) παννύχιον ἐνεφορήθη αὐτῆς, ὡς Ἀννουβις αὐτῇ προσφερόμενος. Εἶτα ὁ μὲν ἀπῆλθεν· ἡ δὲ, πρὸς τὸν ἄνδρα φοιτήσασα, διηγεῖτο αὐτῷ τὴν ἐπιφάνειαν τοῦ Ἀννούβιδος, καὶ πρὸς τὰς συνήθεις ἐνελαμπρύνετο, ὡς ὁμιλίας ἀξιωθεῖσα θεοῦ. Τρίτῃ δὲ μετὰ τὴν πρᾶξιν ἡμέρᾳ συναντήσας ὁ Μοῦνδος αὐτῇ· *Παυλῖνα*, φησὶ, *καὶ τὰς εἴκοσι μυριάδας ἔχω, καὶ σύ μοι τούτων διηκονήσω χωρίς. Ἃ δὲ πρὸς Μοῦνδον ἐξύβριζες, τούτων οὐδέν μοι προσήπτετο, Ἀννουβιν ὄνομα θεμένῳ αὐτῷ.* Ἐκ τούτων εἰς ἔννοιαν ἐλθοῦσα τοῦ τολμήματος ἡ γυνὴ, περιῤῥήγνυται τὴν στολὴν, καὶ τῷ ἀνδρὶ ἐδήλου τὸ ἐπιβούλευμα. Ὁ δὲ τῷ Τιβερίῳ προσῆλθε. Καὶ ὁ αὐτοκράτωρ, ἐξετάσας τὸ γεγονὸς, τοὺς μὲν ἱερεῖς ἀνεσταύρωσε, καὶ τὴν Ἶδην, τόν τε ναὸν καθεῖλε, καὶ τὸ τῆς Ἴσιδος ἄγαλμα εἰς τὸν Θύβριν (65) ποταμὸν κατεπόντισε, τὸν δὲ Μοῦνδον φυγῇ ἐδικαίωσε, συγγνώμην νείμας αὐτῷ, ὥστε μὴ μεῖζον κολασθῆναι διὰ τὴν βίαν τοῦ ἔρωτος. Ἀλλὰ ταῦτα μὲν ἐν τῇ Ῥώμῃ ἐπέπρακτο· ἐν δὲ Σαμαρείᾳ συμβέβηκε θόρυβος. Ἀνὴρ γάρ τις ἐκέλευε τοὺς Σαμαρεῖς ἐπὶ τὸ Γαρίζιν ὄρος αὐτῷ συνελθεῖν (ἀγνότατον δὲ τοῦτο αὐτοῖς ὑπείληπται τῶν ὀρῶν), καὶ ἀφικομένοις ἐπηγγέλλετο ἱερὰ σκεύη ἐμφανίσαι, κατορωρυγμένα ἐκεῖ

captus Decius Mundus, inter equites dignitate præstans, mulieris pudicitiam muneribus sollicitabat, cc millia drachmarum Atticarum pro uno concubitu pollicens. Eaque recusante, amore magis inflammabatur, adeo ut abstinentia ciborum necem sibi consciscere institueret. Habebat autem paternam libertam nomine Iden, omnis generis malorum peritam. Ea adolescentem sic affectum verbis confirmat, et pollicitationibus refocillat, ac sibi duntaxat quinquagies mille drachmis opus esse dicit ad rem conficiendam. Quibus acceptis, cum illam pecunia non expugnari posse cerneret, sed cultui Isidis (ea tum a Romanis pro diva colebatur) esse deditissimam : quosdam falsæ illius deæ sacerdotes convenit, pecuniam offert, ut Paulinam quibus possint dolis circumventam, Mundo sui copiam facere cogant. Illi pecunia deliniti, facinus aggrediuntur : eorum natu maximus Paulinam seorsim convenit, se ab Anubide, ipsius amore capto, missum esse profitetur ut eam accerseret. Mulieri ea verba optatissima acciderunt, si a deo amaretur : et nuntium illum cum marito communicat, **269** qui gnarus modestiæ conjugis eam abire sinit. Cum in templum venisset, sub somni tempus mulieri in ipsa æde lectus paratur, lucernæ exstinguuntur. Mundus jam antea ibi abditus, per totam noctem, sub Anubidis nomine libidine sua expleta, discedit. Illa reversa, Anubidis apparitionem marito narrat, apud familiares de congressu dei gloriatur. Sed tertio post id facinus die, Mundus ei obviam factus : *Paulina*, inquit, *et ducenta millia habeo, et tu mihi gratis gessisti morem. Tua vero erga Mundum injuria me non attigit, qui Anubidis nomen ipse mihi fecerim.* E quibus verbis mulier intellecto facinore, vestibus laceratis marito insidias indicat. Is apud Tiberium conqueritur. Imperator facinore comperto, sacerdotes et Iden in cruces tollit, ædem diruit ; Isidis simulacrum in Tiberim demergit, Mundum in exsilium agit, pœnam graviorem ob amoris vim clementia moderatus. Hæc Romæ acta sunt. Samariæ vero tumultus hac de causa exstitit. Quidam Samaritanos Garizinium montem sanctitatis opinione celeberrimum secum conscendere jussit : nam ibi se eis sacra vasa a Mose defossa, ostensurum esse. Qui cum armati convenissent, Pilatus, exercitu misso, alios occidit, alios in fugam vertit, et captivorum præcipuos interfecit. Samaritani vero Vitellium Syriæ prætorem conveniunt, Pilatum ob popularium suorum cædem accusantes. Is, Marcello Judæis præposito, Romam ire Pilatum jubet, ad causam apud Cæsarem dicendam. Abit ille, cum decennium Judæis præfuisset. Sed antequam Romæ appropinquaret,

Variæ lectiones et notæ.

(65) Θύβριν. Sic mss. omnes cum 0. *Tiberim* efferunt. Claudianus, lib. II *in Eutropium* :

Ni memor imperii Stilico, morumque priorum
Turpe relegasset defenso a Thybride nomen,
Servatamque novo servasset crimine Romam.

Pæanius in Metaphrasi Eutropii, lib. I Ἢ ὑὸς τοῦ Θύμβριδος ἐμβολαῖς.

Tiberius jam obierat. Vitellius vero in festo Paschatis Hierosolymis magnifice exceptus, vectigalia frugum Hierosolymitanis remisit, et stolam pontificis in templo reponi, ac penes sacerdotes esse ut olim passus est, cum ea tempestate in Antonia servaretur. Nam primus Hyrcanus pontifex proxime templum ædificavit turrim, in qua vitam egit, stolamque pontificiam, ut quæ ad se ex officio pertineret, asservavit. Idem etiam ejus successores imitati sunt. Sed Herodes turrim illam magnificentius adornatam, de Antonii amici nomine **270** appellavit : et stolam ibi repertam in ea detinuit. Idem Archelaus fecit : idem Romani illum secuti de stola statuerunt, quæ illic sub sigillis sacerdotum et gazæ custodum reponebatur. Eam igitur, cum in festivitatibus pontifici restitueretur, et post unum festi diem ibidem reponeretur, Vitellius populo concessit. Josepho vero, qui et Caiphas, pontificatum ademptum Jonathæ dedit, pontificis Annæ filio. Idem jussu Tiberii cum Artabano Parthorum rege pacem fecit, qui Darium filium cum multis muneribus obsidem miserat. Ei pacificationi Herodes quoque tetrarcha interfuit, ac ad Cæsarem quæ acta essent scripsit. Quæ cum post Vitellius quoque per litteras exposuisset, Cæsar ei rescripsit se ex Herode cognovisse omnia. Ea re Vitellius contra Herodem irritatus, clam iram aluit, cumque Caio demum imperante ultus est.

A ὑπὸ Μωϋσέως· οἱ δὲ ἠθροίζοντο, καὶ ἐν ὅπλοις ἦσαν. Πιλᾶτος δὲ, στρατιώτας πέμψας, τοὺς μὲν ἔκτεινε, τοὺς δὲ ἐτρέψατο εἰς φυγήν, καὶ τῶν ζωγρηθέντων τοὺς κορυφαίους διέφθειρεν. Οἱ δὲ Σαμαρεῖς πρὸς Οὐϊτέλλιον ἦλθον Συρίας ἡγεμονεύοντα, Πιλάτου κατηγοροῦντες ἐπὶ τῇ τῶν ὁμοφύλων σφαγῇ. Καὶ Οὐϊτέλλιος, Μάρκελλον πέμψας τῶν Ἰουδαίων προνοησόμενον, ἐπὶ Ῥώμην ἀπιέναι τὸν Πιλᾶτον ἐκέλευεν ἐπὶ τοῦ αὐτοκράτορος ἀπολογησόμενον, ἐφ' οἷς ἐγκαλεῖται. Καὶ ὁ μὲν ἀπῆει ἐπὶ δέκα ἔτεσιν ἡγεμονεύσας τῆς Ἰουδαίας. Πρὶν δὲ τῇ Ῥώμῃ ἐγγίσαι αὐτὸν, ἔφθη Τιβέριος μεταστάς. Οὐϊτέλλιος δὲ, εἰς Ἱεροσόλυμα ἐλθὼν τῆς τοῦ Πάσχα ἑορτῆς τελουμένης, ὑπεδέχθη μεγαλοπρεπῶς, καὶ τὰ τέλη τῶν γεωργουμένων, καρπῶν τοῖς Ἱεροσολυμίταις ἀνίησι, καὶ τὴν στολὴν τοῦ ἀρχιερέως εἰς τὸ ἱερὸν συνεχώρησε κεῖσθαι, καὶ παρὰ τοῖς ἱερεῦσιν εἶναι, καθάπερ καὶ πρότερον· τότε δὲ ἐν τῇ Ἀντωνίᾳ ἀπέκειτο. Τῶν γὰρ ἀρχιερέων τις, ὁ πρῶτος δηλαδὴ Ὑρκανὸς, ἔγγιστα τοῦ ἱεροῦ βάριν ἐγείρας, καὶ ἐν αὐτῇ διαιτώμενος, ἐκεῖ καὶ τὴν στολὴν τὴν ἀρχιερατικὴν εἶχεν, αὐτῷ ἀνήκουσαν ὡς ἀρχιερεῖ. Τὰ αὐτὰ δὲ ἐκείνῳ καὶ τοῖς μετ' ἐκεῖνον ἐπράσσετο. Ἡρῴδης δὲ τὴν βάριν ἐκείνην ἐπικατασκευάσας ἐπὶ τὸ πολυτελέστερον, φίλος ὢν Ἀντωνίου, ἐπὶ τῷ ἐκείνου ταύτην ὀνόματι μετωνόμασε. Καὶ τὴν στολὴν ἐν αὐτῇ εὑρηκὼς, κατεῖχεν ἐκεῖ. Τοῦτο δὲ ἐποίει καὶ ὁ Ἀρχέλαος, καὶ μετ' ἐκεῖνον οἱ Ῥωμαῖοι τὰ αὐτὰ ἐπὶ τῇ στολῇ ἔπραττον, ἀπακειμένῃ ἐκεῖ ὑπὸ σφραγῖσι τῶν ἱερέων καὶ τῶν γαζοφυλάκων. Ἑορτῆς δ' ἐφεστώσης ἐπεδίδοτο τοῖς ἀρχιερεῦσιν ὑπὸ τοῦ φρουράρχου, καὶ μετὰ μίαν τῆς ἑορτῆς ἡμέραν αὖθις ἐκεῖ ἀπετίθετο. Οὐϊτέλλιος δὲ παραχωρεῖ τῆς στολῆς τῷ ἔθνει· τὸν δὲ ἀρχιερέα Ἰωσὴφ, τὸν καὶ Καϊάφαν, ἀφῃρημένῳ τὴν ἱερωσύνην, Ἰωνάθῃ δίδωσι ταύτην τῷ Ἄννα τοῦ ἀρχιερέως υἱῷ. Κατ' ἐντολὰς δὲ Τιβερίου σπένδεται Οὐϊτέλλιος Ἀρταβάνῳ τῷ Πάρθων βασιλεῖ, πέμψαντι τὸν υἱὸν Δαρεῖον μετὰ δώρων πολλῶν ὁμηρεύσοντα. Ἡρῴδης δ' ἐν ταῖς σπονδαῖς καὶ ὁ τετράρχης Ἡρῴδης, ἐκπέμπει πρὸς Καίσαρα παραχρῆμα, γράψας τὰ γεγονότα. Εἶτα τοῦ Οὐϊτελλίου περὶ τούτων ἐπιστείλαντος Τιβερίῳ, ἐκεῖνος ἀντέγραψε μαθεῖν πάντα παρὰ Ἡρῴδου. Τοῦτο εἰς ὀργὴν τὸν Οὐϊτέλλιον κατὰ τοῦ Ἡρῴδου κεκίνηκεν· ἐβυσσοδόμευε δὲ τὸν θυμὸν, καὶ μετῆλθεν αὐτὸν Γαΐου κρατήσαντος.

VI. Tunc Philippus quoque hujus Herodis frater, diem suum obiit, vicesimo imperii Tiberii anno, cum annis XXXVII rerum potitus esset : vir quieti ingenii, moderatus erga subditos, cum paucis delectis in publicum prodire solitus. Quod si quis inter eundum opem ejus implorasset, statim eo ipso in loco sella posita (nam qui eam ferrent, sequebantur) audiebat, injurios pœnis afficiebat, iniquis criminibus circumventos absolvebat. Ditionem ejus, quia liberis orbus decesserat, Tiberius provinciæ Syriæ adjecit. Herodes vero tetrarcha Romam proficiscens, apud Herodem fratrem, ex Simonis pontificis filia Herodi regi natum, divertit : ac amore captus est Herodiadis, quam frater in matrimonio habebat, Aristobulo fratre ipsorum natam, Magni Agrippæ sororem, ac de conjugio mulierem appellavit. Illa vero se ad illum transituram pollicita est, si Aretæ filiam repudiasset. Ea pactione inita, Romam ille proficiscitur : unde cum rediisset, uxor ejus Aretæ filia, re illa comperta, se Machæruntem (id castellum fuit in confinio ditionis Herodis et Aretæ) mitti petiit. Annuit Herodes,

Γ'. Τότε καὶ Φίλιππος Ἡρῴδου τούτου ὢν ἀδελφὸς τετελεύτηκεν εἰκοστῷ ἐνιαυτῷ τῆς Τιβερίου ἀρχῆς, ἄρξας ἑπτὰ καὶ τριάκοντα ἔτη. Ἦν δὲ τὸν τρόπον ἀπράγμων, καὶ μέτριος τοῖς ἀρχομένοις, προέδους σὺν ὀλίγοις τῶν ἐπιλέκτων ποιούμενος. Καὶ εἴ τις προϊόντι προσῄει δεόμενος βοηθείας, εὐθὺς αὐτῷ κατὰ τὸν τόπον τοῦ θρόνου τιθεμένου (εἵποντο γὰρ οἱ τοῦτον φέροντες) καθήμενος ἠκροᾶτο, καὶ ἐποινηλάτει τοὺς ἀδικοῦντας, καὶ τοὺς ἀδίκως αἰτιωμένους ἀπέλυε. Τὴν δὲ ἀρχὴν ὁ Τιβέριος (παῖδες γὰρ Φιλίππῳ οὐκ ἦσαν) τῇ τῶν Σύρων ἐπαρχίᾳ προσέθετο. Ἡρῴδης δὲ τετράρχης, ἐπὶ Ῥώμην στελλόμενος, κατέλυσεν ἐν Ἡρῴδου τοῦ ἀδελφοῦ αὐτοῦ, ὃν ἡ τοῦ Σίμωνος τοῦ ἀρχιερέως θυγάτηρ τῷ βασιλεῖ Ἡρῴδῃ ἐγείνατο. Ἐρασθεὶς δὲ Ἡρωδιάδος τῆς τοῦ ἀδελφοῦ γυναικὸς, θυγατρὸς Ἀριστοβούλου τοῦ ἀδελφοῦ αὐτῶν, ἀδελφῆς δὲ τοῦ μεγάλου Ἀγρίππα, λόγους περὶ γάμων πρὸς αὐτὴν ἐποιήσατο. Καὶ δεξαμένη, συνέθετο μετοικήσασθαι πρὸς αὐτὸν, εἰ τὴν Ἀρέτα θυγατέρα ἐκβάλοι. Καὶ ὁ μὲν ἐπὶ Ῥώμην ἔπλει ἐπὶ τοιαύταις συνθήκαις. Ὡς δ' ἐπανῆλθε, γνοῦσα ἡ γυνὴ αὐτοῦ, τοῦ δὲ Ἀρέτα θυγάτηρ, τὰς

πρὸς Ἡρωδιάδα συνθήκας, ᾔτει πρὸς Μαχαιροῦντα πεμφθῆναι τὸ φρούριον, (μεθόριον δὲ τοῦτο ἦν τῆς Ἀρέτα καὶ τῆς Ἡρώδου ἀρχῆς) καὶ ὁ Ἡρώδης ἐξέπεμψε, μὴ γινώσκων ὅ τί ἐστιν αὐτῇ τὸ βουλευόμενον. Ἡ δὲ ἐκεῖθεν πρὸς Ἀραβίαν πρὸς τὸν πατέρα ἐξώρμησε, καὶ τὴν Ἡρώδου διηγεῖτο γνώμην περὶ αὐτήν. Κἀκεῖνος ἔσχε τοῦτο ἔχθρας ὑπόθεσιν, καὶ μάχη μέσον ἀμφοῖν συγκεκρότητο διὰ στρατηγῶν, καὶ οἱ Ἡρώδου ἡττήθησαν, καὶ ἅπαν τὸ ἐκείνου στράτευμα πέπτωκε. Ταῦτα διὰ γραφῆς Ἡρώδης μηνύει τῷ Τιβερίῳ. Ὁ δὲ γράφει πρὸς Οὐϊτέλλιον, πόλεμον πρὸς Ἀρέταν ποιήσασθαι, καὶ ἢ ζωγρηθέντα δέσμιον ἀναπέμψαι εἰς Ῥώμην, ἢ ἀνῃρημένου στεῖλαι τὴν κεφαλήν. Τισὶ δὲ ὑπὸ Θεοῦ τὴν Ἡρώδου στρατιὰν ἑλέσθαι ἐδόκει, δίκας τιννύντος διὰ τὸν φόνον τοῦ προφήτου καὶ Βαπτιστοῦ Ἰωάννου. Ταῦτα γὰρ καὶ περὶ τούτου κατὰ λέξιν ὁ Ἰώσηπος ἔγραψε. Κτείνει γὰρ τοῦτον Ἡρώδης ἀγαθὸν ἄνδρα, καὶ τοὺς Ἰουδαίους κελεύοντα ἀρετὴν ἐπασκοῦντας, καὶ τὰ πρὸς ἀλλήλους δικαιοσύνῃ καὶ τὰ πρὸς Θεὸν εὐσεβείᾳ χρωμένους βαπτισμῷ συνιέναι· οὕτω γὰρ καὶ τὴν βάπτισιν αὐτῷ φανεῖσθαι ἀποδεκτήν. Δείσας δὲ Ἡρώδης τὸ ἐπὶ τοσοῦτον πιθανὸν αὐτοῦ τοῖς ἀνθρώποις μὴ ἐπὶ στάσει φέροι τινὶ (πάντα γὰρ ἐοίκασι συμβουλῇ τῇ ἐκείνου πράξοντες) πολὺ κρεῖττον ἡγεῖται, πρίν τι νεώτερον ἐξ αὐτοῦ γενέσθαι, προλαβὼν ἀνελεῖν, τοῦ μεταβολῆς γενομένης μὴ εἰς πράγματα ἐμπεσὼν μετανοεῖν. Καὶ ὁ μὲν ὑποψίᾳ τοῦ Ἡρώδου δέσμιος εἰς Μακαιροῦντα πεμφθεὶς, ταύτῃ κτίννυται· τοῖς δὲ Ἰουδαίοις δόξαν ἐπὶ τιμωρίᾳ τῇ ἐκείνου τὸν ὄλεθρον τοῦ στρατοῦ γενέσθαι, τοῦ Θεοῦ κακῶσαι Ἡρώδην θέλοντος. Οὐϊτέλλιος δὲ πρὸς Ἀρέταν πολεμήσων ἠπείγετο. Ὡρμημένῳ δὲ διὰ τῆς Ἰουδαίων διέρχεσθαι, παρῃτοῦντο οἱ πρῶτοι αὐτῶν τὴν διὰ τῆς χώρας ὁδόν· οὐ γὰρ πάτριον εἶναι αὐτοῖς εἰκόνας φέρεσθαι διὰ τῆς χώρας αὐτῶν, πολλὰς δ' ἐπικεῖσθαι ταῖς σημαίαις εἰκόνας. Πεισθεὶς οὖν, διὰ τοῦ μεγάλου πεδίου διεβίβαζε τὸ στρατόπεδον. Αὐτὸς δὲ μετ' Ἡρώδου εἰς Ἱεροσόλυμα ἀνῄει, θύσων τῷ Θεῷ. Καὶ τρεῖς ἐπιμείνας ἡμέρας ἐκεῖ, Ἰωνάθην μὲν τῆς ἀρχιερωσύνης μεθίστησι, τὸν δὲ ἀδελφὸν αὐτοῦ Θεόφιλον ἐγκαθίστησιν εἰς αὐτήν. Τῇ τετάρτῃ δὲ γραμμάτων αὐτῷ κομισθέντων περὶ τῆς Τιβερίου τελευτῆς, ὥρκισε τὸ πλῆθος εὐνοεῖν τῷ Γαΐῳ, ἀνεκάλει δὲ καὶ τὸ στράτευμα. Λέγεται δὲ καὶ τὸν Ἀρέταν οἰωνοσκοπησάμενον φᾶναι ἀμήχανον εἶναι τῷ στρατῷ πολεμῆσαι. Τεθνήξεσθαι γὰρ τῶν ἡγεμόνων ἢ τὸν κελεύσαντα πολεμεῖν, ἢ τὸν κελευσθέντα, ἢ καθ' οὗ τὸ κέλευσμα γέγονε.

Ζ'. Καὶ Οὐϊτέλλιος μὲν εἰς Ἀντιόχειαν ἀνεχώρησεν, Ἀγρίππας δὲ ὁ Ἀριστοβούλου υἱὸς ἐπὶ Ῥώμης ἔτυχεν ὤν, τοῦ Τιβερίου θνήσκοντος. Οὗτος γὰρ, πρὸ μικροῦ τῆς Ἡρώδου τοῦ μεγάλου τοῦ πάππου αὐτοῦ τελευτῆς ἐν τῇ Ῥώμῃ τρεφόμενος, συνήθης ἐγένετο Δρούσῳ τῷ Τιβερίου υἱῷ, καὶ Ἀντωνίᾳ τῇ Δρούσου τοῦ μεγάλου γυναικὶ γνωστὸς γέγονε, Βερενίκης τῆς αὐτοῦ μητρὸς τιμωμένης παρ' αὐτῆς. Μεγαλοπρεπὴς δὲ ὢν Ἀγρίππας, καὶ δωρεῖσθαι πολυτελὴς, τῆς μητρὸς αὐτοῦ θανούσης, τὰ μὲν τῶν χρημάτων εἰς ἑαυτὸν ἀνάλωσε, πολυτελῶς διαιτώμενος, τὰ δὲ εἰς δωρεὰς, τὰ πλείῳ δ' εἰς τοὺς ἀπελευθέρους τοῦ Καίσαρος, καὶ ταχὺ ἐν ἐνδείᾳ ἐγένετο. Θανόντος δὲ τοῦ υἱοῦ Τιβερίου, ἀπείρηκεν ἐκεῖνος εἰς ὄψιν αὐτοῦ

A ignarus quid consilii mulier cepisset. Illa vero inde in Arabiam ad patrem properavit, eique quid Herodes de se animo **271** agitaret, exposuit. Unde Aretas inimicitiarum occasionem arripuit: pugna per utriusque duces commissa, Herodiani victi sunt et omnis ejus exercitus cæsus. Quæ cum Herodes Tiberio per litteras significasset, ille Vitellio scribit, ut Aretæ bellum inferat, et aut viventem in vinculis, aut interfecti caput Romam mittat. Quidam credidere, Herodis exercitum ira Numinis interiisse, ob cædem prophetæ et Baptistæ Joannis. De quo Josephus his verbis scribit: Hunc Herodes interfecit virum bonum, qui Judæos virtutem colere, atque inter sese justitiæ et religioni erga Deum dare operam jussit, ac sic ad baptismum accedere, tum demum futurum acceptum. Herodes autem veritus, ne tanta ejus in vulgus auctoritas ad seditionem spectaret, quod nihil non eo mandante facturum videretur: consultius esse duxit, eum antequam res novas moliretur, e medio tollere, ne sese mutatione facta negotiis et molestiis conflictantem tarditatis suæ pœniteret. Sic ex Herodis suspicione Machæruntem missus Joannes, occiditur. Judæi vero credidere, in ultionem necis ejus, exercitum periisse, Deo in Herodem animadvertente. Cæterum Vitellius bellum Aretæ illaturus, cum Judæam pertransire vellet: a Judæorum proceribus, ne per eam iret, quod in vexillis multas haberet imagines, quas per suam regionem ferri patria lege nefas esset, exoratus, copias per magnam planitiem traduxit. Ipse cum Herode Hierosolyma ascendit, ut sacrificaret Deo: ibique triduo exacto, Jonatham pontificatu movet, et fratrem ejus Theophilum in eo collocat. Quarto vero die litteris de obitu Tiberii acceptis, populo jurejurando adacto ut Caio faveret, exercitum revocavit. Ferunt Aretam quoque consultis auguriis dixisse, non posse exercitum illum bellum gerere: brevi enim moriturum esse ducem, vel qui jussisset, vel qui jussus esset, vel eum contra quem jussa esset expeditio.

B

C

D VII. Ac Vitellius Antiochiam recessit. Agrippa vero Aristobuli filius, moriente Tiberio, Romæ vixit. Ubi cum paulo ante obitum magni Herodis avi sui educaretur, in familiaritatem Drusi, Tiberii filii, **272** atque Antoniæ Drusi majoris uxoris notitiam pervenerat, ob honorem matris suæ Berenices. Et quia magnificus atque munificentissimus erat, defuncta matre, pecunia partim in semetipsum (nam sumptuose vivebat) partim in donationes, majori tamen ex parte in Cæsaris libertos insumpta, celeriter ad egestatem est redactus. Mortuo vero filio Tiberii, is edixit, ne pueri familiares in conspectum suum venirent, ne per illos, renovata defuncti memoria, luctus suus redintegraretur.

Agrippa igitur cum ea de causa, tum ob pecuniæ inopiam afflictus, in Judæam rediit : et cum a multis creditoribus æs alienum repetentibus, nummis omnino destitutus urgeretur, de manibus sibi ipsi afferendis cogitavit. Id ejus consilium uxor Cyprus animadvertit, Phasaeli filia, Herodis regis ex fratre nepotis nata, ex Salampsione Herodis filia, quam ex Mariamme ab ipso, ut expositum est, occisa susceperat. Hæc igitur Cyprus mariti conatu inhibito, Herodiadi Herodi tetrarchæ nuptæ, Agrippæ sorori, fratris institutum nuntiat, petens ut adjuvet, maritumque ad opem ferendam exhortetur. Illi vero ei Tiberiadem habitandam tradiderunt, assignata etiam pecunia unde viveret. Aliquanto post Agrippa controversia inter ipsum et Herodem orta, ad Flaccum Syriæ prætorem migrat, a quo ob familiaritatem Romæ contractam amice est susceptus. Sed per fratris Aristobuli, a quo dissidebat, calumnias Flacci inimicitiis susceptis, inde ejectus, et ad extremam inopiam redactus, in Italiam navigare statuit, ac Marsyam libertum alicunde mutuam sumere pecuniam jussit. Is Petrum Berenices Agrippæ matris libertum adit, a quo Agrippa syngrapha data de XX millibus Atticarum drachmarum, bis mille et D minus acceptis, navigaturus, ab Herennio Capitone Jamneæ procuratore manere jubetur, dum CCC millia argenti, quæ Cæsari deberet, solveret. Ille se obtemperaturum simulans, noctu solvit : et Alexandriam profectus, ab Alexandro Alabarcho CC millia mutuo petit. Qui illo repudiato, eam pecuniam Cypro ejus uxori cum propter conjugalem amorem, tum ob **273** cæteras ejus virtutes dedit. Qua accepta, Agrippa in Italiam profectus, Cypro cum suis liberis in Judæam reversa, a Cæsare humaniter excipitur. Sed Capitonis Herennii litteris allatis ut fugam cepisset, cum CCC millia æris alieni ab eo poscerentur, Cæsar iratus, non prius ei aditum ad se permitti jussit, quam eam pecuniam numerasset. Qua mutuo sumpta et dissoluta, rursus Tiberii aulam frequentavit. Sed a Cæsare se ad suum nepotem conferre, eumque colere jussus, magis erga Caium propensus fuit, Antoniæ nepotem, Germanici et Claudii, qui post Caium imperavit, matris : et observantia sua Caii erga se amorem emeruit. Cum autem aliquando inter prodeundum Tiberii mentio incidisset, atque Agrippa Deo invocato optasset, ut Tiberius Caio quam primum imperio cederet ; Eutychus libertus, iis Agrippæ verbis auditis, Cæsarem adiit, ut nuntiaturus aliquid quod ad salutem ejus pertineret. Ille vero ut lentus erat in rebus omnibus, eos etiam despiciebat, qui aliquid quod ipsius interesset, nuntiabant ; neque etiam legatis celeriter respondebat, ne eis cito digressis, alii sibi negotium facesserent. Neque ducibus et procuratoribus a se missis successores dabat, nisi

Ἀγρίππας οὖν ἐπὶ τούτῳ τε καὶ ὅτι χρημάτων ἐπορήθη, εἰς Ἰουδαίαν κακοπραγῶν ἐπανῆλθεν. Ἀποτίσαι δὲ καὶ τοῖς δανεισταῖς τὰς ὀφειλὰς βιαζόμενος, πολλοῖς οὖσι, καὶ μὴ ἔχων, εἰς ἔννοιαν ἦλθεν αὐτοχειρίας. Συνῆκε δὲ τὸ ἐννόημα ἡ γυνὴ αὐτοῦ Κύπρος, ἡ θυγάτηρ ἦν Φασαήλου, τοῦ ἀδελφοπαίδος τοῦ βασιλέως Ἡρώδου, ἐκ Σαλαμψιοῦς αὐτῷ γεννηθεῖσα, τῆς Ἡρώδου θυγατρὸς, ἣν ἔσχεν ἐκ Μαριὰμ τῆς ὑπ' ἐκείνου ἀνῃρημένης, ὡς δεδιήγηται. Αὕτη γοῦν ἡ Κύπρος (66), συνοικοῦσα τῷ Ἀγρίππᾳ, καὶ αἰσθομένη τὸ βούλευμα, ἀπεῖργε τοῦτον αὐτοῦ. Διαπέμπεται δὲ πρὸς Ἡρωδιάδα τὴν τῷ τετράρχῃ συνοικοῦσαν Ἡρῴδῃ, Ἀγρίππᾳ τυγχάνουσαν ἀδελφὴν, δηλοῦσα τὴν ἔννοιαν τοῦ συγγόνου, καὶ βοηθεῖν ἀξιοῦσα, καὶ τὸν οἰκεῖον ἄνδρα πρὸς ἐπικουρίαν παρακαλεῖν. Οἱ δὲ μετεπέμψαντό τε αὐτὸν, καὶ οἰκητήριον τὴν Τιβεριάδα διδώκασι, καί τι καὶ ἀργύριον ἀπέταξαν αὐτῷ εἰς τὴν δίαιταν. Μετὰ καιρὸν δὲ διαφορᾶς γενομένης Ἡρῴδῃ τε καὶ Ἀγρίππᾳ, πρὸς Φλάκκον Συρίας ἡγούμενον ὁ Ἀγρίππας μεθίσταται, φιλίως ἐκ Ῥώμης πρὸς αὐτὸν διακείμενον, κἀκεῖ διέτριβε δεξαμένου τοῦ Φλάκκου. Ὢν δὲ ἐκεῖ καὶ ὁ Ἀγρίππου ἀδελφὸς Ἀριστόβουλος, διαφερόμενός τε τῷ ἀδελφῷ διαβολαῖς αὐτὸν πρὸς Φλάκκον ἐξεπολέμωσε, καὶ ἐξωθεῖται ἐκεῖθεν Ἀγρίππας. Ὁ δὲ, εἰς ἐσχάτην περιστὰς ἀπορίαν, εἰς Ἰταλίαν ἐκπλεῖν ἐβούλετο, καὶ ἠξίου Μαρσύαν αὐτοῦ ἀπελεύθερον χρήματά οἱ πορίσαι πωθὲν δανεισάμενον. Ἐκεῖνος δὲ Πέτρῳ πρόσεισιν ἀπελευθέρῳ Βερενίκης τῆς Ἀγρίππου μητρὸς, καὶ ὁ Πέτρος συμβάλαιον ἔλεγε ποιησάμενον δύω μυριάδων Ἀτθίδων λαβεῖν τὰς μυριάδας, πεντακοσίαις καὶ δισχιλίαις ἐλασσουμένας. Καὶ ὁ Ἀγρίππας συνέθετο, καὶ λαβὼν τὸ δάνεισμα ἀποπλεῖν ἔμελλεν. Ἐρρένιος δὲ Καπίτων, Ἰαμνείας ἐπίτροπος, τριάκοντα μυριάδας ἀργυρίου ὀφειλομένας τῷ Καίσαρι ἔπραττεν ἐπ' αὐτοῦ, καὶ διὰ τοῦτο μένειν ἐκέλευεν Ἀγρίππας δὲ, προσποιησάμενος πείθεσθαι, νυκτὸς ὥρχετο. Καὶ καταπλεύσας εἰς Ἀλεξάνδρειαν, Ἀλεξάνδρου δεῖται τοῦ Ἀλαβάρχου, μυριάδας εἴκοσι δάνειον αὐτῷ παρασχεῖν. Ὁ δ' ἐκείνῳ μὲν οὐκ ἂν, ἔφη, παρασχεῖν, Κύπρῳ δὲ τῇ αὐτοῦ γυναικὶ παρεῖχε διά τε τὴν φιλανδρίαν αὐτῆς καὶ τὴν λοιπὴν ἀρετήν. Δεξαμένης δὲ τὸ δάνειον ἐκείνης, ὁ μὲν Ἀγρίππας εἰς Ἰταλίαν ἀπέπλευσε, Κύπρος δὲ μετὰ τῶν τέκνων εἰς Ἰουδαίαν ἀνέζευξε. Καὶ Καίσαρι Τιβερίῳ προσελθὼν, φιλανθρώπως ἐδέχθη. Γραφῆς δὲ τοῦ Καπίτωνος Ἐρρενίου κομισθείσης τῷ Καίσαρι, ὡς ἀπέδρα Ἀγρίππας τριάκοντα μυριάδας πραττόμενος, δάνειον, ὠργίσθη· καὶ μὴ συγχωρεῖσθαι αὐτῷ τὴν πρὸς αὐτὸν ἐκέλευσεν εἴσοδον, ἄχρι δὴ τὸ χρέος καταβαλεῖ. Ὁ δὲ, δανεισάμενος, ἀπέδοτο τὸ ὀφείλημα, καὶ αὖθις εἰσῆει πρὸς τὸν Τιβέριον. Καὶ ὁ Καῖσαρ ἐκέλευεν αὐτὸν τῷ υἱωνῷ αὐτοῦ παρατυγχάνειν, καὶ θεραπεύειν αὐτόν. Ἀγρίππας δὲ πρὸς Γάϊον μᾶλλον

Variæ lectiones et notæ.

(66) *Αὕτη γοῦν ἡ Κύπρις.* Vide observata a Scaligero ad Eusebium, p. 162, IIe edit.

ἀπένευεν, Ἀντωνίας τυγχάνοντα υἱωνὸν, τῆς Γερμανικοῦ μητρὸς (67), καὶ Κλαυδίου, τοῦ μετὰ Γάϊον μοναρχήσαντος. Τοῦτον θεραπεύων, περίλητο ὑπ' αὐτοῦ. Καί ποτε συμπροϊοῦσιν ἀμφοῖν περὶ Τιβερίου λόγος ἐγένετο. Καὶ ὁ Ἀγρίππας, θεοκλυτῶν, τάχος ὑπεκστῆναι Τιβέριον τῆς ἀρχῆς Γαΐῳ ἐπηύχετο. Εὔτυχος δὲ ἀπελεύθερος Ἀγρίππου τῶν λόγων ἀκροασάμενος Καίσαρι πρόσεισιν, ὡς δή τι λέξων αὐτῷ σωτήριον. Ὁ δὲ βραδὺς εἰς πάντα γενόμενος, καὶ τῶν ὑπὲρ αὐτοῦ τι προσαγγελλόντων κατεφρόνει. Οὔτε γὰρ πρέσβεσι τάχιστα ἐχρημάτιζε, λέγων, ἵνα μὴ ἐπανιόντων συντόμως, προσίοιεν ἕτεροι, καὶ ὄχλος αὐτῷ γένοιτο· οὔτε μὴν ἡγεμόσι καὶ ἐπιτρόποις παρ' αὐτοῦ σταλεῖσι διαδόχους ἀντικαθίστα, εἰ μὴ φθάσαιεν τελευτήσαντες. Τοῦτο δὲ ποιεῖν ἔφασκε προμηθείᾳ τῶν ὑπηκόων, ἵνα αὐτάρκως τῷ χρόνῳ σχόντες κερδῶν, ἀμβλύτεροι πρὸς ἀδικήματα εἶεν. Παράδειγμά τε τραυματίου πεποίητο, ᾧ μυῖαι περιεκάθηντο τὰς πληγάς, καί τις οἰκτείρων αὐτὸν, ἀποσοβεῖν αὐτὰς ἐπεχείρει· ἀποτρέψαντος δὲ ἐκείνου, ἤρετο τὴν αἰτίαν ὁ διώκειν τὰς μυίας πειρώμενος. Ὁ δέ γε τραυματίας, Αὗται μὲν, ἀπεκρίνατο, τοῦ αἵματος ἐμπλησθεῖσαι, οὐ πάνυ μοι δι' ὄχλου εἰσίν· εἰ δ' ἀποσοβηθεῖεν αὖτα, ἥξουσι νεαλεῖς, καὶ λιμώττουσαι, μᾶλλον με ὀδυνήσουσι. Τῆς δὲ πρὸς ταῦτα βραδύτητος τοῦ Τιβερίου, καὶ τόδε μαρτύριον, ὅτι δύο καὶ εἴκοσιν ἀνύσας ἐπὶ τῇ αὐταρχίᾳ ἐνιαυτοὺς, δύω τοῖς Ἰουδαίοις ἐξέπεμψεν ἄρξοντας τοῦ ἔθνους αὐτῶν, Γράτον τε καὶ Πιλᾶτον. Τοιοῦτος οὖν τυγχάνων ἐν ἅπασιν, οὐδὲ τὸν Εὔτυχον ἠξίου ἀκροάσεως.

illi decessissent. Idque se propter subditorum commodum facere dicebat, ut diuturnitate temporis expleta avaritia, ad injurias tardiores essent. Ac vulnerati exemplo utebatur, qui, cum quidam misericordia motus, ei muscas, ictus circumsidentes, abigere vellet, id prohibuerit: causamque rogatus dixerit, eas sanguine plenas, non adeo sibi molestas esse: quæ si abigantur, venturas recentes et famelicas, gravius afflicturas. Ac tarditatis ejus in hoc genere illud argumentum est, quod annos XXII rerum potitus, in Judæam duos duntaxat præsides misit, Gratum et Pilatum. Talem igitur in rebus omnibus se præbens, nec Eutychum audire voluit.

Η'. Ἀγρίππας δὲ τὴν Ἀντωνίαν ἱκέτευε, παρασκευάσαι τὸν Καίσαρα, ἀκροάσασθαι τοῦ Εὐτύχου. Ἡ δ' Ἀντωνία διὰ τιμῆς ἦν Τιβερίῳ, καὶ ὡς γαμετὴ γενομένη Δρούσου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ διὰ τὸ σῶφρον ὡς μάλιστα. Νέα γὰρ χηρεύσασα, τῇ χηρείᾳ παρέμεινε, καὶ γάμον ἀπώσατο δεύτερον, καίπερ τοῦ αὐτοκράτορος αὐτὸν ἐπιτρέποντος· καὶ οὕτω τὸν βίον διήνυσεν, ὡς καὶ λοιδοριῶν ἀνωτέρα γενέσθαι. Διὰ δὲ ταῦτα τῷ Τιβερίῳ τετίμητο, καὶ ὅτι καὶ εὐεργέτις αὐτῷ γέγονεν, ἐπιβουλὴν παρὰ πολλῶν καὶ δυνατῶν συστᾶσαν μηνύσασα. Ὑπὸ ταύτης οὖν ἀξιοῦμενος ἐξετάσαι τὸν Εὔτυχον, ἔφη, *Ἵστωσαν οἱ θεοὶ, Ἀντωνία, ὅτι οὐ κατὰ γνώμην ἐμὴν τὰ πραχθησόμενα ἔσονται, ἐκ δέ γε σῆς παρακλήσεως.* Καὶ τὸν Εὔτυχον ἀχθῆναι κελεύει, καὶ παραστὰς εἶλεγεν, ὡς *Γάϊός τε καὶ Ἀγρίππας, ὦ δέσποτα, συνωμίλουν.* Καὶ Ἀγρίππας ἔφη· *Εἶδε γὰρ ἀφικνεῖτό ποτε ἡμέρα, ᾗ μεταστὰς οὗτος ὁ γέρων, χειροτονοίη σε ἡγεμόνα τῆς οἰκουμένης· οὐδὲν γὰρ ἔσται ἡμῖν ἐμπόδων Τιβέριος ὁ αὐτοῦ υἱωνὸς, ὑπὸ σοῦ τελευτῶν, καὶ ἥ τε οἰκουμένη ἤνθει' ἂν μακαρία, καὶ πρὸ ταύτης ἐγώ.* Τιβερίῳ δὲ οἱ λόγοι ἤρεσκον ἀληθεῖς· ἅμα δὲ καὶ μῆνιν Ἀγρίππᾳ τηρῶν, ὅτι μὴ τὸν υἱωνὸν αὐτοῦ θεραπεύειν εἵλετο, ὅλως δὲ μετέπεσε πρὸς τὸν Γάϊον, ἐνὶ τῶν παρεστηκότων δῆσαι αὐτὸν ἐκέλευσε. Καὶ ἦγετο δέσμιος ἐν πορφυρίσιν ὢν ἔτι, καὶ πρὸ τοῦ βασιλείου εἱστήκει, δένδρῳ ὑπ' ἀθυμίας ἐπικλιθείς. Ἦσαν δ' ἐκεῖ καὶ ἕτεροι ἐν δεσμοῖς, καὶ ὀρνέου πρὸς τὸ δένδρον ἐκεῖνο καταπταμένου (Βούβωνα τὸν ὄρνιν Ῥωμαῖοι καλοῦσι) τῶν δεσμωτῶν τις θεασάμενος, ἤρετο τὸν αὐτὸν τηροῦντα στρατιώτην, ὅστις εἴη ὁ ἐν τῇ πορφυρίδι· καὶ μαθὼν, ἠξίωσε τὸν συνδεδεμένον αὐτῷ στρατιώτην πλησίον ἐλθεῖν, καὶ τυχὼν, Ὦ *νεανία*, φησὶν,

VIII. Agrippa vero Antoniam oravit, ut efficeret ut Eutychus a Cæsare audiretur. Tiberius enim eam cum ut Drusi fratris conjugem, tum ob pudicitiam multo magis honorabat. Nam cum maritum adolescentula amisisset, vidua mansit, 274 repudiatis secundis nuptiis, quanquam ad eas hortante Cæsare: itaque vitam exegit, ut fama de ea mentiri vereretur. Erat igitur in honore apud Tiberium tum ob hæc, tum ob beneficium indicatæ multorum potentum conspirationis. Hac rogante ut Eutychum examinaret: *Testor deos*, inquit Tiberius, *Antonia, ea quæ fient, non ex animi mei sententia futura esse, sed propter preces tuas.* Ac Eutychum adduci jubet. Is dixit: *Agrippa, o domine, in colloquio cum Caio dixit: Utinam tandem veniat dies, qua senex iste decedens, te principem orbis terrarum designet! Nam Tiberius, ejus nepos, impedimento nobis haud fuerit, si a te tollatur. Tum et orbis terrarum floreret, atque ego in primis.* Hæ verba Tiberio vera esse visa; simul etiam Agrippæ succensebat, quod nepotem ipsius colere noluisset, et totus se ad Caium contulisset: eumque a quodam astante vinciri jussit. Sic ille, purpuratus adhuc, vinctus abducitur. Et dum ante regiam astat, ad arborem, ubi etiam alii vincti erant, præ animi ægritudine inclinatus, bubo in eam devolat: quo captivorum quidam conspecto, militem Agrippæ custodem rogat, quis ille purpuratus esset? eoque cognito, cum a concaptivo milite ut secum propius ad illum accederet impetrasset: *Adolescens*, inquit, *nuntio tibi celerem vinculorum liberationem, et maximæ dignitatis et potentiæ adeptionem. Felicem te prædicabunt, qui nunc miserantur: in prosperitate obibis, et opes tuis liberis relinques. Sed cum*

Variæ lectiones et notæ.

(67) *Τῆς Γερμανικοῦ μητρός.* Colbert. Γερμ. υἱοῦ.

istam volucrem denuo videris, te scito quinque dicbus post esse moriturum. Cum autem ut nos tibi prædicimus, fortunatus fueris, nostri quoque rationem habeto, ut calamitatem cum qua nunc conflictamur, effugiamus. Qui hæc dicebat, tum derisus fuit : post admiratione dignus est habitus. Agrippa vero in vinculis fuit ad menses VI. Tiberius invalescente morbo debilitatus, Evodum libertum, quem maximi faciebat, liberos ad se adducere jussit, ut eos ante obitum alloqueretur. Neque vero habebat liberos, nam filius ejus Drusus obierat, sed nepotem ex eo habebat, Tiberium Gemellum, et nepotem ex fratre Caium Germanici filium, illius patruelem. **275** Qui jam adolescens et disciplinis eruditus, a populo et amabatur et colebatur, ob patris virtutem. Cum autem Tiberius pueros postridie mane ad se adduci jussisset, atque in animo haberet, imperium nepoti relinquere, id augurium sibi finxit, deos imperium ei tradituros, qui ad se prior accessisset : ac pædagogo nepotis mandavit, ut puerum maturius ad se adduceret. Cum autem jam diluxisset, Evodum mittit, ut puerum qui adsit intro vocet. Is Caium ante conclave inventum, ad Tiberium adducit : qui divina potentia considerata, nepotem pro perdito deplorat, et quanquam ea re turbatus, tamen Calo ait : *Fili, etsi mihi Tiberius genere proprior est, ego tamen et meopte judicio et decorum suffragio Romanum imperium tibi trado : peloque ne ejus necessitudinis, qua Tiberio conjunctus es, obliviscaris, sed ejus ut cognati rationem habeas. Nam divina providentia non inulta ea esse patitur, quæ præter jus et æquum fiunt.* Tiberius Caio principatus successore declarato, paucis post diebus obiit. Regnavit annos II et XX, menses VII, et dies totidem.

IX. Caio imperatore designato, Romani præ cupiditate, Tiberii obitum credere non potuerunt, qui patricios Romanos plurimis cladibus affecerat, homo iracundus, et levissima quæque delicta capitalibus suppliciis vindicare solitus. Marsyas vero Agrippæ libertus, audita Tiberii morte, ad patronum accurrit, et Hebraico sermone leonem esse mortuum dixit. Ille vero, cum gratiam ei se habere diceret, si vera nuntiaret : centurio qui Agrippam lætum videret, suspicatus aliquid accidisse novi, rogat quid nuntiatum sit? Is jam viro familiaris factus, arcanum detegit. Ille vero voluptate cum eo communi fruens, cœnam ei apponit. Dum convivantur, adest qui dicat, Tiberium superstitem esse. Itaque centurio territus, quod captivi imperatorii consuetudine usus esset, hominem de in-

A ἀπαλλαγήν τέ σοι τῶν δεσμῶν ταχίστην εὐαγγελίζομαι, καὶ προκοπὴν ἐπὶ μήκιστον ἀξιώματος καὶ δυνάμεως, καὶ ὡς ζηλωτὸς ἔσῃ τοῖς ἄρτι οἰκτιζομένοις σε, καὶ ἐν εὐδαιμονίᾳ τελευτήσεις, παισὶ τὸν ὅλβον λιπών. Ὅτε δ' εἰσαῦθις τὸν ὄρνιν τοῦτον θεάσαιο, ἴσθι σου τηνικαῦτα μετὰ πέντε ἡμέρας ἐσομένην τὴν τελευτήν. Εὐδαιμονήσας μέντοι κατὰ τὴν ἡμετέραν πρόῤῥησιν, μνήμην ποιοῦ καὶ ἡμῶν, ὡς διαφευξώμεθα τὴν δυστυχίαν, ᾗ ταυτὶν σύνεσμεν. Καὶ ὁ μὲν ταῦτα εἰπών, τότε μὲν γέλωτα ὤφλεν, ὕστερον δ' ἐφάνη θαύματος ἄξιος. Ἦν οὖν ἐν τοῖς δεσμοῖς ὁ Ἀγρίππας ἐπὶ μῆνας ἕξ. Τιβέριος δὲ, μαλακιζόμενος τῆς νόσου κραταιουμένης, Εὔοδον κελεύει, ὃς τῶν ἀπελευθέρων ἦν αὐτῷ τιμιώτατος, τὰ τέκνα προσαγαγεῖν αὐτῷ, διαλεξομένῳ σφίσι πρὶν τελευτᾶν. Οὐκ ἦσαν δὲ παῖδες αὐτῷ· ὁ γὰρ υἱὸς αὐτοῦ Δροῦσος ἔτυχε τεθνεὼς, υἱωνὸς δ' ἐξ ἐκείνου αὐτῷ ἦν Τιβέριος Γέμελλος, καὶ ἀδελφιδοῦς Γάϊος Γερμανικοῦ παῖς, συγγενὴς ὢν αὐτοῦ (68), νεανίας ἤδη, καὶ παιδείᾳ ἐσχολακὼς, καὶ παρὰ τοῦ δήμου φιλούμενος, καὶ τιμώμενος διὰ τὴν τοῦ πατρὸς ἀρετήν. Κελεύσας οὖν ὁ Τιβέριος ἔωθεν τοὺς παῖδας εἰσαγαγεῖν εἰς τὴν αὔριον (ἦν δ' αὐτῷ τὸ βουλόμενον, τῷ υἱωνῷ μάλιστα καταλιπεῖν τὴν ἀρχήν, τέως δ' οὖν οἰώνισμα ἔθετο, εἰς ἐκεῖνον βούλεσθαι τὸ θεῖον περιελθεῖν τὴν ἀρχήν, ὃς ἂν πρὸς αὐτὸν ἀφίκοιτο πρότερον) πέμπει κελεύων τῷ παιδαγωγῷ τοῦ υἱωνοῦ, πρωϊαίτερον ἄγειν τὸν παῖδα. Καὶ ἤδη γεγονυίας ἡμέρας, πέμπει τὸν Εὔοδον, εἰσκαλεῖν τὸν παρόντα τῶν παίδων. Ἐκεῖνος δὲ τὸν Γάϊον πρὸ τοῦ δωματίου καταλαβὼν, εἰσήγαγε πρὸς Τιβέριον. Ὁ δὲ τῆς τοῦ θείου δυνάμεως εἰς ἔννοιαν ἐλθὼν, κατωλοφύρατο ὡς ἐπ' ἀπολωλότι τῷ υἱωνῷ. Καίπερ δὲ διὰ τοῦτο τεταραγμένος, φησὶ πρὸς τὸν Γάϊον· Ὦ παῖ, εἰ καὶ Τιβέριος συγγενέστερός μοί ἐστιν ἢ σὺ, ἀλλ' αὐτὸς καὶ κατὰ γνώμην ἐμὴν καὶ κατὰ ψῆφον θεῶν σοι τὴν τῶν Ῥωμαίων ἐγχειρίζω ἀρχήν, καὶ ἀξιῶ μὴ ἀμνημονῆσαι τῆς συγγενείας τῆς πρὸς Τιβέριον, κήδεσθαι δὲ τούτου ὡς συγγενοῦς. Οὐ γὰρ ἀτιμώρητα τῇ θείᾳ προνοίᾳ, ὅσα παρὰ δίκην πράσσοιτο. Τιβέριος μὲν οὖν, τὸν Γάϊον ἀποδείξας τῆς ἡγεμονίας διάδοχον, ὀλίγας ἐπιβιοὺς ἡμέρας, θνήσκει, ἄρξας ἐπὶ ἐνιαυτοῖς εἴκοσι καὶ δυοῖν μῆνας ἑπτὰ καὶ ἡμέρας ἴσας.

Θ'. Γάϊος δὲ αὐτοκράτωρ περιελέλειπτο, ἠγγέλλετο δὲ Ῥωμαίοις τοῦ Τιβερίου ἡ ἀποβίωσις, οἱ δὲ ἠπίστουν τῷ λόγῳ, ὑπὸ τοῦ πάνυ τὸ πρᾶγμα βούλεσθαι· πλεῖστα γὰρ ἐκεῖνος δεινὰ Ῥωμαίων τοὺς εὐπατρίδας εἰργάσατο, δύσοργος ὢν, καὶ θανάτῳ καὶ τὰ κουφότατα τῶν παισμάτων τιμώμενος. Μαρσύας δὲ, τοῦ Ἀγρίππου ἀπελεύθερος, πυθόμενος τοῦ Τιβερίου τὴν τελευτὴν, ἔδραμε πρὸς αὐτὸν, καὶ Ἑβραΐδι φωνῇ, *Τέθνηκεν ὁ λέων*, φησίν. Ὁ δὲ χάριτας ὡμολόγει αὐτῷ, εἰ κατήγγειλεν ἀληθῆ, καὶ ὁ ἑκατόνταρχος, ὁρῶν τὸν Ἀγρίππαν ἐν χάρματι, ὑπετόπησέ τι γεγονέναι καινὸν, καὶ ἤρετο τί ἂν εἴη τὸ ἀγγελθέν; Καὶ ὁ Ἀγρίππας, ἤδη συνήθης γενόμενος, τῷ ἀνδρὶ, τὸ ἀπόῤῥητον ἀνεκάλυψεν. Ὁ δὲ ἐκοινοῦτο τὴν ἡδονὴν, καὶ προὔτίθει δεῖπνον. Εὐωχουμένων δὲ, παρῆν τις, περιεῖναι λέγων Τιβέ-

Variæ lectiones et notæ.

(68) Συγγενὴς ὢν αὐτοῦ. Colbert. συγγόνου αὐτοῦ.

ρ:ον. Καὶ ὁ ἑκατόνταρχος δείσας, ὅτι συνδιητᾶτο A δισμιότῃ τοῦ αὐτοκράτορος, κελεύει δῆσαι αὐτὸν, λελυκώς ἤδη. Τῇ δ' ὑστεραίᾳ λόγος τε ἦν πλατὺς περὶ τῆς τελευτῆς Τιβερίου, καὶ ἐπιστολαὶ παρὰ Γαΐου ἐπέμφθησαν, ἡ μὲν πρὸς τὴν σύγκλητον, τὸν Τιβερίου θάνατον καταγγέλλουσα, καὶ τὴν αὐτοῦ τῆς ἡγεμονίας διαδοχήν· ἡ δὲ πρὸς Πείσωνα, τὸν τῆς πόλεως φύλακα, ἐπιτρέπουσα τὸν Ἀγρίππαν ἐκ τοῦ στρατοπέδου μεταγαγεῖν εἰς τὴν οἰκίαν ἐν ᾗ πρὸ τοῦ δεθῆναι ἦν. Γάϊος δὲ εἰς Ῥώμην τὸν τοῦ Τιβερίου νεκρὸν ἀγαγών, καὶ θάψας πολυτελῶς, αὐτίκα λῦσαι τὸν Ἀγρίππαν ἐβούλετο· ἡ δ' Ἀντωνία κεκώλυκεν, οὐ μίσει τοῦ λυθησομένου, φροντίδι δέ γε τοῦ λύσαντος, ἵνα μὴ δοκῇ τῇ μεταστάσει τοῦ αὐτοκράτορος ἐφηδόμενος, ἐκ τοῦ λῦσαι τὸν ἐκείνου δέσμιον τάχιστα. Ἡμερῶν δὲ τριῶν (69) παρελθουσῶν με- B ταπέμπεται τὸν Ἀγρίππαν, κείρει τε τὸ περιττὸν τῆς τριχὸς, καὶ μεταμφιέννυσιν, εἶτα καὶ τὸ διάδημα περιτίθησι, καὶ βασιλέα τῆς Φιλίππου τετραρχίας καθίστησι, προσθέμενος καὶ τὴν Λυσανίου τετραρχίαν εἰς αὔξησιν, καὶ χρύσεα χαλκείων ἀλλάττει, ἀντὶ τῆς σιδηρᾶς ἁλύσεως μεθ' ἧς ἐδέδετο, χρυσῆν ἰσόρροπον αὐτῷ παρασχόμενος. Τῷ δὲ δευτέρῳ ἐνιαυτῷ τῆς μοναρχίας Γαΐου, ἠξίου Ἀγρίππας ἐκχωρηθῆναι αὐτῷ, ἀφικέσθαι πρὸς τὰ οἰκεῖα, καὶ αὖθις ἐπανελθεῖν κατετίθετο, οἰκονομησάμενος εἰς δέοντα τῆς ἀρχῆς· καὶ ἐνδόντος Γαΐου, ἐξέπλευσε. Ἡρωδιὰς δὲ ἡ αὐτοῦ ἀδελφὴ, ἐφθόνει τῆς εὐπραγίας τῷ ἀδελφῷ, καὶ μάλιστα ὁπότε μετὰ τῶν τῆς βασιλείας παρασήμων ἑώρα αὐτὸν τοῖς πλήθεσι χρηματίζοντα· ἐξηρέτιζέ τε τὸν ἄνδρα, ἐπὶ Ῥώμης πλεῖν, καὶ ἴσην ἀρχὴν μνηστεύσασθαι ἑαυτῷ. Ὁ δὲ ἡσυχάζειν ἐβούλετο: καὶ ἡ γυνὴ σφοδρότερον ἠνώχλει τἀνδρὶ, πάντα πράσσειν ἐπὶ τῇ βασιλείᾳ κελεύουσα· καὶ οὐκ ἀνῆκεν, ἕως καὶ ἄκοντα τὸν Ἡρώδην ἑαυτῇ πεποίηκεν ὁμογνώμονα· ἀνήγετο οὖν σὺν τῇ γυναικὶ ἐπὶ Ῥώμης. Ἀγρίππας δὲ καὶ αὐτὸς πρὸς τὴν Ῥώμην παρεσκευάζετο· προὔπεμψε δὲ τῶν ἀπελευθέρων ἕνα, δῶρα τῷ αὐτοκράτορι κομίζοντα, καὶ ἐπιστολὰς κατὰ τοῦ Ἡρώδου, καὶ καταλαμβάνουσι τὸν Γαΐον ἐν Βαΐαις πολιχνίῳ τῆς Καμπανίας· ἅμα τε τῷ Ἡρώδῃ εἰς δύιν ἦκεν ὁ Γάϊος, καὶ ἅμα τὰς Ἀγρίππου ἐπιστολὰ ἐπῆει, κατηγορούσας ἐκείνου πρὸς Σηϊανὸν ὁμολογίαν κατὰ τῆς Τιβερίου ἀρχῆς, καὶ πρὸς Ἀρτάβανον αὖθις τὸν Πάρθον τότε κατὰ τῆς αὐτοῦ Γαΐου· τεκμήριον δ' ἐποιεῖτο τοῦ λόγου, ὅπλων ἀπόθεσιν ἐν ταῖς ὁπλοθήκαις Ἡρώδου, μυριάσιν ὁπλιτῶν ἀρκούντων ἑπτά. Ἐκινεῖτο δ' ὑπὸ τῶν ἐπεσταλμένων ὁ Γάϊος, καὶ ἠρώτα τὸν Ἡρώδην, εἰ ἀληθὴς ὁ περὶ τῶν ὅπλων λόγος; τοῦ δὲ καταθεμένου, πιστεύσας τῇ ἀποστάσει αὐτοῦ, τὴν τετραρχίαν ἀφαιρεῖται, καὶ τῇ βασιλείᾳ τοῦ Ἀγρίππου προστίθησι, καὶ τὰ χρήματα ὁμοίως αὐτῷ δωρεῖται, τὸν δὲ Ἡρώδην ἀειφυγίᾳ κατέκρινεν. Ἡρωδιάδι δὲ, ὡς Ἀγρίππου ὁμαίμονι, τά τε χρήματα, ὅσα ἐκείνη διέφερεν, ἐδίδου· καὶ μηδὲ κοινωνεῖν ἐκέλευε τῆς φυγῆς τῷ ἀνδρὶ, διὰ τὸν Ἀγρίππαν. Ἡ δὲ χάριτας μὲν ὡμολόγει Γαΐῳ, οὐ

tegro vinciri jubet. Postridie rumor de Tiberii obitu latius manavit, et epistolæ a Caio missæ sunt: ad senatum una, Tiberii mortem, et suam imperii successionem nuntians: altera ad Pisonem urbis præfectum, qua jubebat Agrippam e castris in eas sedes transferri, in **276** quibus fuisset antequam vinciretur. Caius vero Tiberii cadavere Romam perducto, et sumptuose sepulto, Agrippam statim solvere voluit: sed Antonia prohibuit, non odio solvendi, sed cura soluturi, ne is imperatoris decessu lætari videretur, vincto illius celerrime soluto. Sed triduo elapso Agrippam accersit, promissiorem capillum tondet, alias vestes induit; deinde imposito diademate, Philippi tetrarchiæ regem constituit, additamenti vice Lysaniæ quoque tetrarchia adjecta, et ære in aurum commutato, tanti ponderis aureum torquem ei dedit, quanti ferrea catena fuerat, quam vinctus gestarat. Anno autem monarchiæ Caii secundo petiit Agrippa facultatem ad sua abeundi, seque rediturum promisit, regno suo rite constituto; ea impetrata, solvit. Herodias vero soror eam felicitatem fratri invidebat, præsertim quando eum regiis insignibus ornatum cum populo agere vidit; ac maritum exstimulavit, ut Romam profectus parem honorem ambiret. Qui cum quietus esse mallet, mulier vehementius instat, regni causa nihil non facere jubens; neque destitit prius, quam Herodem, etiam invitum, in suam sententiam pertraxisset. Romam igitur cum uxore pergit. Sed et Agrippa ad idem iter se parans, unum ex libertis præmisit, imperatori munera et litteras contra Herodem afferentem. Caius vero cum Baiis in Campaniæ oppidulo degens, eodem tempore et Herodi in conspectum prodiit, et Agrippæ litteras legit, quibus ille accusabatur quod cum Sejano contra Tiberii imperium conspirasset, ac cum Artabano Parthorum rege contra ipsum Caium; argumento esse arma in armamentariis ab Herode reposita, quibus LXX virorum millia armari possint. Caius eo scripto motus, Herodem rogat, an vera essent quæ de armis dicerentur. Illo affirmante, credito defectionis crimine, tetrarchiam et pecuniam ejus Agrippæ donat, ipsum perpetuo exsilio multat. Herodiadi vero pecuniam quæ ad ipsam pertineret, concessit, neque exsilii mariti participem esse voluit, ob fratrem Agrippam. Illa vero Caio gratiis actis, non æquum esse dixit, maritum in rebus adversis **277** deserere, cui rerum secundarum socia et particeps fuisset. Cæterum Caius, anno primo et secundo moderatius se gessit, sed temporis progressu se ipsum pro deo et haberi et coli voluit. Orta porro inter Alexandrinos, Judæos et Græcos seditione, terni ab utraque factione legati ad Caium iverunt.

Variæ lectiones et notæ.

(69) *Ἡμερῶν δὲ τριῶν.* Ms. μητρίων δέ.

δίκαιον δ' ἔλεγεν εἶναι, τῆς εὐδαιμονίας τῷ ἀνδρὶ κοινωνήσασαν ἐγκαταλιπεῖν ἐπὶ ταῖς δυσπραγίαις αὐτόν. Ὁ μέντοι Γάϊος τὸν μὲν πρῶτον ἐνιαυτὸν καὶ τὸν ἐφ' ἑξῆς μετριώτερον ἐχρῆτο τοῖς πράγμασι· προϊὼν δὲ ἐξεθείαζεν ἑαυτὸν, καὶ θεοῦν ἐπεχείρει. Καὶ δὴ στάσεως γεγονυίας τοῖς ἐν Ἀλεξανδρείᾳ Ἰουδαίοις καὶ Ἕλλησι, τρεῖς ἀφ' ἑκατέρου μέρους παρῆσαν πρὸς Γάϊον πρεσβευταί.

X. Apio vero Alexandrinorum legatorum unus cum alia Judæis objecit, tum illud, cum omnes Romanæ provinciæ Caio templa et aras ædificent, divinosque honores decernant, eos solos ignominiosum ducere, eum statuis honorare, ac per ejus nomen jurare. Philonem vero Judaicæ legationis principem, virum illustrem, et philosophiæ non expertem, populares suos defendere paratum, Caius verba facere non passus, e medio excedere jussit: ac satis præ se tulit, se cladem Judæis illaturum. At Philo contumeliose habitus, Judæos qui foris astabant, bonis animis esse jussit. Caium enim non ipsis, sed ipsi Deo insultasse. Verum Imperator non ferendum ratus, si a Judæis pro deo non coleretur, Petronium Vitellio successorem mittit, et cum magna manu in Judæam profectum, suam imaginem in templo Dei collocare jubet. Quod si volentes concedere nolint, ut per vim et armis id faciat. Petronius Syriæ prætura suscepta, imperatoris exsequi jussa properabat. Sed cum Ptolemaïdem venisset, Judæorum multa millia eum adierunt, orantium ne ad patria instituta violanda cogerentur. Sin nullis precibus moveretur, ut se prius interfectis, ita demum statuam collocaret. Petronius respondit, si suapte autoritate illa agceret, jure secum agi posse; sed quia Cæsar jussisset, decretis illius necessario acquiescendum esse. Iis dictis Tiberiadem venit, Judæorum animos exploraturus. Sed ibi quoque multa Judæorum millia ei occurrerunt, itidem orantium, ne sibi vim afferret, neve urbem simulacro pollueret; qui a Petronio rogati, num bellum gesturi essent, se bellum gesturos esse negarunt, sed statim mortem oppetituros potius, quam commissuros ut patria instituta violarent, ac jugulos porrexerunt. His per dies XL actis, Aristobulus Agrippæ frater, et alii **278** delecti, Petronium precati sunt, ne rebus novandis populum ad desperationem impelleret, sed ad Caium scriberet, quemadmodum Judæi nullis rationibus ad statuam recipiendam adduci possent. Fortassis enim eum mitigatum iri, et sententiam mutaturum esse. Sin in proposito perseveraret, tum et ipse rem aggrederetur. His Petronius obsecutus, ad Caium ea de re scripsit. Regis vero Agrippæ Romæ degentis cum Caio familiaritas magis ac magis augebatur; qui convivio ab eo exceptus, et cœnæ sumptus ac magnificentiam admiratus, eum petere jussit quidquid vellet. Ibi Agrippa: *Nihil*, inquit, *petam, quo opes meæ augeantur: sed id, quod et tibi pietatis opinionem, et mihi gloriam parabit. Oro igitur, ut statuæ dedicationem in templo Judaico Petronio mandata, mea causa omittas.* Id Caius, coram

ι'. Ἀπίων (70) δὲ τῶν Ἀλεξανδρέων πρεσβέων εἷς, ἄλλα τε κατηγόρει τῶν Ἰουδαίων, καὶ ὡς πάντων τῶν ὑπὸ Ῥωμαίους, βωμοὺς τῷ Γαΐῳ καὶ ναοὺς ἀνιστώντων, καὶ ὡς θεὸν τιμώντων, οὗτοι μόνοι ἄδοξον ἡγῶνται ἀνδριᾶσι τιμᾶν αὐτὸν, καὶ ὅρκιον αὐτοῦ ποιεῖσθαι τὸ ὄνομα. Ἐπὶ τούτοις Φίλων, τῆς τῶν Ἰουδαίων πρεσβείας προεστηκὼς, ἀνὴρ ἔνδοξος καὶ φιλοσοφίας οὐκ ἄπειρος, ἕτοιμος ἦν ὑπεραπολογήσασθαι τῶν ὁμοεθνῶν· ὁ δὲ Γάϊος οὐκ ἠνέσχετο, κελεύσας ἐκποδὼν ἀπελεύσεσθαι, δῆλός τε ἦν κακώσων αὐτούς. Καὶ ὁ Φίλων ἐξελθὼν περιυβρισμένος, φησὶ πρὸς τοὺς περὶ αὐτὸν Ἰουδαίους, ὡς χρὴ θαῤῥεῖν, οὐ γὰρ εἰς αὐτοὺς ὁ Γάϊος πεπαρῴνηκεν, εἰς δὲ τὸ Θεῖον αὐτό. Ὁ δ' αὐτοκράτωρ δεινὸν ἡγούμενος, ὑπὸ Ἰουδαίων μὴ ὡς θεὸς σεβασθῆναι, Πετρώνιον ἐκπέμπει διάδοχον τῆς Οὐιτελλίου ἀρχῆς, κελεύσας χειρὶ πολλῇ ἐμβαλεῖν εἰς τὴν Ἰουδαίαν, καὶ ἱστᾶν αὐτοῦ ἀνδριάντα ἐν τῷ ναῷ τοῦ Θεοῦ. Εἰ δὲ μὴ ἑκόντες παραχωροῖεν, πολέμῳ κρατήσαντα τοῦτο ποιεῖν. Καὶ ὁ Πετρώνιος τὴν τῆς Συρίας παρειληφὼς ἀρχὴν, ἠπείγετο πληρώσων τὰς τοῦ Καίσαρος ἐντολάς. Καὶ εἰς Πτολεμαΐδα γενομένῳ προσῆλθον Ἰουδαίων πολλαὶ μυριάδες, δεόμεναι μὴ βιάζεσθαι σφᾶς ἐπὶ παραβάσει τῶν πατρίων. Εἰ δ' ἀπαραίτητος εἶ, ἔλεγον πρότερον ἡμᾶς διαχειρισάμενος, οὕτως ἵστα τὸ ἄγαλμα. Πετρώνιος δ' ἀπεκρίνατο ὡς· Εἰ μὲν ἀφ' ἑαυτοῦ ταῦτ' ἔπραττεν, δίκαιος ἦν πρός με ὑμῖν ὁ λόγος· Καίσαρος δὲ κελεύσαντος, πᾶσα ἀνάγκη τὰ ἐκείνῳ δεδογμένα πληροῦν. Ταῦτα εἰπὼν, ἐπὶ Τιβεριάδα ἀφίκετο, καταγνοὺς ὡς γνώμης ἔχουσιν Ἰουδαῖοι καὶ πολλαὶ μυριάδες συνήντων αὐτῷ, ἱκετεύουσαι, μὴ εἰς ἀνάγκας αὐτοὺς καθιστᾶν, μηδὲ μιαίνειν ἀνδριάντι τὴν πόλιν. Καὶ ὁ Πετρώνιος ἔφη, Πολεμήσετε ἄρα; Οἱ δ' Οὐ πολεμήσομεν, ἔφασαν, τεθνηξόμεθα δὲ πρότερον, ἢ παραβῆναι τὰ πάτρια· καὶ παρεῖχον ἑαυτοὺς ἀποσφάττεσθαι. Καὶ ταῦτα ἐφ' ἡμέρας ἐπράττετο τεσσαράκοντα. Ἀριστόβουλος δὲ ὁ Ἀγρίππου ἀδελφὸς καὶ ἄλλοι τῶν ἐκκρίτων, ἐδέοντο Πετρωνίου, μηδὲν εἰς νεωτεροποιΐαν τοῦ πλήθους παρακινεῖν, ἀλλὰ γράφειν πρὸς Γάϊον τὸ ἀνήκεστον αὐτῶν πρὸς τὴν τοῦ ἀνδριάντος ὑποδοχήν. Ἴσως γὰρ μαλαχθέντα αὐτὸν, ἀποστῆναι τοῦ δόξαντος. Εἰ δ' ἐμμένοι καὶ αὖθις τῇ ψήφῳ, τότε καὶ αὐτὸν τοῦ πράγματος ἅπτεσθαι. Πετρώνιος δὲ πεισθεὶς, ἐπέστειλε τῷ Γαΐῳ περὶ τῆς πράξεως. Ἀγρίππας δὲ ὁ βασιλεὺς ἐν Ῥώμῃ διάγων, προέκοπτε τῇ πρὸς Γαΐον οἰκειώσει· θαυμασθείς τε ἐν τῷ δειπνίζειν τὸν αὐτοκράτορα τῆς πολυτελείας χάριν, καὶ τοῦ μεγαλοπρεποῦς, αἰτήσασθαι προετρέπετο, ὃ ἂν αὐτῷ πρὸς βουλῆς. Ὁ δέ· *Αἰτήσομαί σε*, ἔφη, *τῶν μὲν ὅλβον περιποιούντων οὐδέν, ὃ δ' ἂν σοί τε πρὸς δόξαν*

Variæ lectiones et notæ.

(70) Ἀπίων. Colb. Ἀπιών.

εὐσεβείας, καὶμοὶ πρὸς εὔκλειαν γένηται. Ἀξιῶ σε γάρ, τὴν τοῦ ἀνδριάντος ἀνάθεσιν, ἣν ποιήσασθαι κελεύεις Πετρώνιον εἰς τὸ Ἰουδαίων ἱερόν, δι' ἐμὲ καταλείψειν. Γάϊος δὲ αἰσχυνθείς, ἐπὶ τοσῶν δὲ μαρτύρων, μὴ δόξαι ψευδόμενος, συνεχώρει, καὶ γράφει πρὸς τὸν Πετρώνιον, εἰ μὲν ἤδη τὸν ἀνδριάντα ἔφθασε στῆσαι, μὴ καθελεῖν· εἰ δὲ μήπω πεποίηται τὴν ἀνάθεσιν, μηκέτι πειρᾶσθαι ποιήσασθαι· Οὐ γὰρ ἔτι βούλομαι τοῦτον στῆναι, διὰ τὸν Ἀγρίππαν, ἄνδρα τιμώμενον παρ' ἐμοί. Γάϊος μὲν οὖν ταῦτα πρὸς Πετρώνιον γράφει, πρὶν ἐντυχεῖν ταῖς ἐκείνου ἐπιστολαῖς, ἐμφαινούσαις πρὸς ἀποστασίαν τοὺς Ἰουδαίους διὰ τὸν ἀνδριάντα ἐπείγεσθαι. Περιαλγήσας δὲ διὰ ταῦτα, γράφει αὖθις τῷ Πετρωνίῳ· Ἐπεί σοι τὰ τῶν Ἰουδαίων ἔωρα ἐν μείζονι γεγόνασι λόγῳ τῶν ἐμῶν ἐντολῶν, σὺ τῶν περὶ σεαυτοῦ τὸ ποιητέον συλλόγισαι. Παράδειγμα γάρ σε ποιήσομαι τοῖς τε νῦν καὶ τοῖς ἔπειτα, μὴ ἀκυροῦν ἐντολὰς αὐτοκράτορος. Ταύτην τὴν ἐπιστολὴν οὐκ ἔφθη ζῶντος Γαΐου δεδεγμένος Πετρώνιος, ἀλλὰ πρότερον τὰ περὶ τῆς ἐκείνου τελευτῆς ἐδέξατο γράμματα, καὶ οὕτω τὰ πρὸς αὐτὸν τοῦ Γαΐου. Ὁ μὲν οὖν Γαΐος κάκιστος γεγονὼς, ὥλετο ἐξ ἐπιβουλῆς ἀνῃρημένος· τὸν δὲ τρόπον τῆς κατ' ἐκείνου ἐπιβουλῆς, καὶ παρὰ τίνων ἀνῄρηται, ὅτε τὰ περὶ τῶν αὐτοκρατόρων ὁ λόγος διέξεισι, διηγήσεται. Ἤδη δὲ φθαρέντος, Κλαύδιος κρυπτόμενος διὰ φόβου ὑπὸ τῶν στρατιωτῶν ἐξάγεται, καὶ αὐτοκράτωρ ἀνακηρύττεται, πολλὰ πρὸς τὴν ἀνάρρησιν αὐτοῦ καὶ τοῦ Ἀγρίππα σπουδάσαντος. Ἄρτι δὲ βεβαιωθείσης τῆς αὐταρχίας αὐτῷ, τήν τε ἀρχὴν ἐκύρωσε τῷ Ἀγρίππᾳ, καὶ δι' ἐγκωμίων ἐποιεῖτο αὐτὸν, προσθήκην τε αὐτῷ ἔθετο πᾶσαν, ἧς ἦρξεν ὁ βασιλεὺς καὶ πάππος αὐτοῦ Ἡρῴδης· ὁ δὲ καὶ τῷ ἀδελφῷ Ἡρῴδῃ τὴν βασιλείαν Χαλκίδος παρὰ Κλαυδίου ᾐτήσατο, καὶ ἐδόθη ἐκείνῳ παρὰ τοῦ Καίσαρος.

ΙΑ'. Κατὰ τοῦτον τὸν χρόνον στασιάζουσιν πρὸς τοὺς Ἀλεξανδρεῖς οἱ ἐκεῖ Ἰουδαῖοι. Ὃν γὰρ εἴρηται τρόπον κακῶς Γαΐου διατεθέντος πρὸς αὐτοὺς, ἐκακοῦντο μοναρχοῦντος ἐκείνου παρὰ τῶν ἐν τῇ πόλει Ἑλλήνων. Γαΐου δὲ τελευτήσαντος, ἀνεθάρσησαν, καὶ ἦσαν ἐν ὅπλοις, Κλαύδιος δὲ τῷ ἱππάρχοῦντι κατὰ τὴν Αἴγυπτον ἐπέστειλε, καταστεῖλαι τὴν στάσιν. Ἔπεμψε δὲ καὶ διάταγμα ἐκ παρακλήσεως τοῖν βασιλέοιν Ἀγρίππου τε καὶ Ἡρώδου εἰς Συρίαν καὶ εἰς Ἀλεξάνδρειαν, καὶ εἰς τὴν ἄλλην οἰκουμένην ὅση Ῥωμαίοις ὑπήκοος, φράζον, ὅτι· Τῶν Ἰουδαίων ἀνέκαθεν ἴσης πολιτείας τοῖς Ἀλεξανδρεῦσι καὶ τοῖς τῶν λοιπῶν πόλεων πολίταις ἀξιωθέντων, ὁ Γαΐος ἐξ ἀπονοίας, ὅτι μὴ θεὸν προσαγορεύειν αὐτὸν τὸ Ἰουδαίων ἔθνος ἠνέσχετο, αὐτοὺς ἐταπείνωσεν. Ἐγὼ δὲ μηδενὸς διὰ τὴν ἐκείνου παραφροσύνην τῶν παλαιῶν δικαίων τὸ ἔθνος ἐκπεσεῖν διατάσσομαι, συντηρεῖσθαι δὲ σφίσι τὰ πρότερον δίκαια τοῖς Ἰουδαίων νομίμοις ἐμμένουσι, ταῦτά με αἰτησαμένων τῶν βασιλέων Ἀγρίππα καὶ Ἡρώδου, τῶν φιλτάτων μοι. Ἐξέπεμψε δὲ καὶ Ἀγρίππαν ἐπὶ τὴν βασιλείαν αὐτοῦ, λαμπροτέραν γεγενημένην. Κἀκεῖνος ἐλθὼν εἰς Ἱεροσόλυμα, χαριστήρια ἔθυσε, καὶ τὴν χρυσῆν ἅλυσιν τὴν ὑπὸ Γαΐου δεθεῖσαν αὐτῷ, ὑπὲρ τὸ γαζοφυλάκιον ἀπῆρησε, δεῖγμα τῆς τοῦ Θεοῦ δυναστείας, καὶ τῆς τῶν πραγμάτων μεταβολῆς, καὶ ὅτι καὶ τὰ μεγάλα πίπτει ποτὲ, καὶ

A tam multis mentiri veritus, concessit, ac ad Petronium scripsit: Si statuam jam erexisset, ne tolleret; sin nondum collocasset, ut eo conatu abstineret. Neque enim se amplius eam erecturum, propter Agrippam, virum quem magnificeret. Hæc ad Petronium scripsit, litteris illius nondum lectis, quæ significabant, Judæos ob statuam illam ad seditionem concitates esse. Quibus irritatus, Petronio rescripsit: *Quoniam Judæorum munera meis mandatis prætulisti: tu quid tibi agendum sit, videto. Exemplum enim in te edam, quo et præsentes et posteri moneantur, edicta imperatoris non esse negligenda.* Has litteras vivente Caio Petronius non accepit, sed tum demum, cum illius obitum ex aliis litteris cognovisset. Caio viro pessimo per insidias B interfecto, quarum modum et auctorem in opere de imperatoribus exponemus, Claudius præ metu occultatus, a militibus e latebris extractus est, et imperator salutatus: quam ad rem Agrippa quoque non parvo adjumento fuit. Is recens firmato imperio, etiam Agrippæ regnum confirmavit, eique collaudato omnem eam ditionem, quam rex Herodes avus ejus tenuerat, adjecit: ejusdemque rogatu, fratri Herodi Chalcidis regnum concessit.

XI. Hoc tempore orta est inter Alexandrinos et Judæos, ibi degentes, seditio. Nam cum Caius, **279** ita ut dictum est, erga eos affectus esset, illo imperante a Græcis vexabantur. Eo vero defuncto, cum receptis animis arma sumpsissent, Claudius magistro equitum Ægyptio scripsit, ut seditionem comprimeret. Edictumque rogatu Agrippæ et Herodis regum in Syriam, Alexandriam, et alias orbis partes quæ Romanis parent, misit, in hanc sententiam: *Cum olim Judæi eodem jure, quo Alexandrini, et aliarum urbium cives, fruerentur, Caius per summam temeritatem, quod Judaica gens eum pro deo colere detrectasset, eos depressit. Ego vero, ne ea ob illius vecordiam veteribus juribus spolietur, sed pristina eis privilegia, Judæorum ritus* D *observantibus, conserventur, constituo, Regum Agrippæ et Herodis amicissimorum meorum rogatu.* Agrippam quoque in regnum suum splendidius factum dimisit. Qui Hierosolyma profectus, victimas pro gratiarum actione immolavit; et auream catenam a Caio sibi datam, supra gazophylacium suspendit, divinæ potentiæ specimen et vicissitudinis rerum, magna labefactantis, et humilia erigentis. Sacrificio magnifice peracto, Theophilo Annæ sacerdotium abrogavit, et Boethi filio Simoni cognomento Cantheræ honorem illum tribuit. Is Simon duos fratres habuit, et patrem Boethum: cujus filia Herodi regi, ut supra dictum est, nupta

fuit. Hierosolymitanorum erga se benevolentiam remuneratus est condonatione tributi, quod pro singulis ædibus pendebatur. Toti exercitui præfecit Silam, qui multarum ærumnarum ei particeps fuerat. Cum autem Doritani adolescentes audaces et temerarii, Cæsaris statuam in Judæorum synagoga collocassent : Agrippa turbatus, statim Syriæ prætorem P. Petronium convenit, et Doritanos accusat. Is misso centurione, eos qui id facinus ausi essent, ad se adduci jussit : et Doritanis magistratibus mandavit, ut centurioni sontes demonstrarent, nisi in eodem crimine esse vellent. Agrippa vero sacerdotium Simoni Cantheræ ademptum, rursus in Jonatham Ananiæ filium contulit. Quo ille recusato, satis sibi esse dixit, quod semel pontificatu functus fuerit ; fratremque Matthiam ad eum honorem, **280** quo dignus esset, promoveri petiit, idque impetravit a rege. Sila vero præfectus militum Agrippæ, fretus meritis suis, importunæ dicendi libertati studuit, ac molestus fuit, molestiæ fortunæ memoria renovanda, suoque illorum temporum studio et fide jactandis. Eam effrenem licentiam cum Agrippa ægre ferret, neque Sila quidquam de ea remitteret, rex ita commotus, cum non modo præfectura privavit, sed etiam vinxit. Verum ita tempore mitigata, et consideratis ejus sua causa exhaustis laboribus, cum natalem suum celebraret, hominem ad epulas invitavit Ille vero detrectavit : *Nam ad quem*, inquit, *me honorem Agrippa vocat, exestigio periturum? Num libertatem meam desiisse censet? Ego vero nunc magis clamabo, e quibus eum periculis eripuerim : quos labores, quæ discrimina pro ejus dignitate et salute adierim. Pro quibus officiis me vinculis et obscuro carcere remuneratur, quorum nunquam obliviscar.* Quibus rex cognitis, insanabili ingenio hominem in custodia reliquit. Beneficus fuit hic rex non minus avo Herode, qui quidem in exteros liberalitatem exercuit, non etiam in Judæos : hic promiscue de omnibus benemereri studuit, omnibus se clementem præbuit. Itaque libenter Hierosolymis perpetuo vixit, et patrias leges inviolatas observavit. Exstitit tamen Simon quidam legis peritia celebris, qui cœtu coacto, regem Cæsaream profectum deferre non dubitavit. Quo cognito Aggripa illum accersitum rogat, in quo leges a se violatæ essent? quod ille cum dicere non haberet, veniam rogavit ; eaque præter exspectationem impetrata, donatus abiit. Pontificatum Matthiæ ademptum, Elionæo Cithæri filio contulit. Cum autem triennium toti Judææ dominatus esset in urbe Cæsarea, quæ prius Stratonis turris appellata fuit, spectacula edidit : quorum die secundo veste argentea indutus, sub auroram theatrum ingreditur, atque argentum primo solarium radiorum ortu illustratum, mirabiliter resplenduit, cum horrore quodam intuentium. Statim igitur adulatores alius aliunde exclamarunt, eumque deum appellarunt, utque

ὑψοῦται τὰ ταπεινά. Θύσας οὖν πολυτελῶς, Θεόφιλον μὲν τὸν Ἄνναν τῆς ἀρχιερωσύνης μεθίστησι· τῷ δὲ Βοηθοῦ Σίμωνι, ᾧ Κανθηρᾶς ἡ ἐπίκλησις, ἀπένειμε τὴν τιμήν. Δύω δ' ἦσαν τῷ Σίμωνι ἀδελφοί, καὶ πατὴρ ὁ Βοηθὸς, οὗ τῇ θυγατρὶ ὁ βασιλεὺς Ἡρώδης συνῴκησεν, ὡς ἱστόρηται. Τοὺς δὲ Ἱεροσολυμίτας τῆς πρὸς αὐτὸν εὐνοίας ἠμείψατο, ἀφεὶς αὐτοῖς τὰ ὑπὲρ ἑκάστης οἰκίας. Ἱππαρχον δὲ παντὸς τοῦ στρατεύματος τὸν Σίλαν ἀπέδειξεν, ἄνδρα πόνων αὐτῷ συμμετασχόντα πολλῶν. Νεανίσκοι μέντοι Δωρῖται παράβολοί καὶ θρασεῖς, Καίσαρος ἀνδριάντα εἰς τὴν τῶν Ἰουδαίων συναγωγὴν κομίσαντες ἔστησαν· τοῦτο τὸν Ἀγρίππαν ἐτάραξε· καὶ αὐτίκα πρὸς τὸν τῆς Συρίας ἡγεμονεύοντα Πούπλιον Πετρώνιον παραγίνεται, καὶ κατηγορεῖ τῶν Δωριτῶν. Ὁ δὲ ἑκατόνταρχον στείλας, τοὺς μὲν τὸ τόλμημα πράξαντας ἐπ' αὐτὸν ἀχθῆναι προσέταξε, τοῖς δὲ τῶν Δωριτῶν ἄρχουσιν, ἐπιδεῖξαι τῷ ἑκατοντάρχῳ τοὺς αἰτίους, ἐπέστειλεν, εἰ μὴ βούλοιντο δοκεῖν συνεργάται τῆς πράξεως. Ἀγρίππας δὲ ἀφελόμενος τὴν ἱερωσύνην τὸν Κανθηρᾶν Σίμωνα, Ἰωνάθην αὖθις ἐπ' αὐτὸν ἦγε τὸν Ἀνανίου. Ὁ δὲ παρῃτεῖτο, ἀρκεῖσθαι λέγων ἅπαξ τὴν ἀρχιερωσύνην λαχών. τὸν δὲ ἀδελφὸν Ματθίαν πρὸς ταύτην ἠξίου προάγεσθαι, ὡς ἄξιον τῆς τιμῆς. Πεισθεὶς οὖν ὁ βασιλεὺς, τῷ Ματθίᾳ τὴν ἀρχιερωσύνην ἀπένειμε. Σίλας δὲ ὁ Ἀγρίππου ἵππαρχος, πεποιθὼς οἷς ὑπὲρ αὐτοῦ κεκινδύνευκεν, ἀκαίρου παῤῥησίας ἀντεποιεῖτο, καὶ ἦν φορτικὸς, τὰ φορτικὰ τῆς τύχης εἰς μνήμην ἄγων αὐτῷ, καὶ ἑαυτὸν σεμνύνων ἐκ τῆς τότε σπουδῆς τε καὶ πίστεως. Ἀηδῶς οὖν πρὸς τὴν ἀταμίευτον αὐτοῦ παῤῥησίαν ὁ Ἀγρίππας διέκειτο, τοῦ δὲ Σίλα μὴ ἐνδιδόντος, εἰς ὀργὴν ὁ βασιλεὺς ἀνηρέθιστο, καὶ οὐ μόνον τῆς ἱππαρχίας αὐτὸν μετέστησεν, ἀλλὰ μέντοι καὶ δέδεκε. Χρόνῳ δὲ τὸν θυμὸν ἀμβλυνθεὶς, καὶ λογισάμενος ὅσου; ὑπὲρ ἐκείνου ἀνέτλη πόνους, ἡμέραν ἑορτάζων ἑαυτοῦ γενέθλιον, ἐκάλει τὸν Σίλαν αὐτῷ συνέστιον ἐσόμενον. Ὁ δὲ οὐκ ἐπείθετο· *Ἐπὶ τίνι*, λέγων, *ὁ βασιλεὺς ἀνακαλεῖ με τιμὴν, τὴν ὅσον ἤδη ἀπολουμένην; Ἢ πεπαῦθαί με νομίζει τῆς παῤῥησίας; Νῦν βοήσομαι μᾶλλον ὅσον αὐτὸν ἐξερρυσάμην δεινῶν, ὅσους ἤνεγκα πόνους, ἐκείνῳ πορίζων σωτηρίαν καὶ τιμήν. Ὢν γέρας μοι δεσμὰ καὶ σκότος εἱρκτὴ, ὧν οὔποτε λήσομαι.* Ὁ δὲ βασιλεὺς ταῦτα μαθὼν, καὶ ἀνιάτως συνιδὼν διακείμενον, αὖθις εἶασεν ἐν φρουρᾷ. Ἦν δὲ εὐεργετικὸς ὁ βασιλεὺς οὗτος ἐν δωρεαῖς, οὐδὲν ἧττον Ἡρώδου τοῦ πάππου, ἐκείνου μέντοι εἰς ἀλλοφύλους· τὸ φιλότιμον ἐπιδεικνυμένου, οὐ μὴν καὶ εἰς Ἰουδαίους· οὗτος πρὸς πάντας ὁμοίως ἦν εὐεργετικὸς, καὶ τὸν τρόπον πραΰς. Ἡδεῖα οὖν αὐτῷ δίαιτα συνεχὴς ἐν τοῖς Ἱεροσολύμοις ἦν, καὶ τὰ πάτρια καθαρῶς ἐτήρει. Καὶ δή τις Σίμων ἦν ἐν Ἱεροσολύμοις ἀκριβὴς δοκῶν τὰ νόμιμα· οὗτος πλῆθος ἀθροίσας, ἐτόλμησε τοῦ βασιλέως κατειπεῖν, ἀποδημήσαντος εἰς Καισάρειαν. Τοῦτο τὸν Ἀγρίππαν οὐκ ἔλαθε· μεταπέμπεται οὖν τὸν Σίμωνα, καί φησιν, Εἰπέ μοι, τί τῶν γινομένων ἐστὶ παράνομον; Ὁ δὲ μὴ ἔχων εἰπεῖν,

ἐδείτο συγγνώμης τυχεῖν· καὶ ὁ βασιλεὺς παρὰ A προσδοκίαν αὐτῷ διηλλάττετο, καὶ ἐξέπεμψε δωρησάμενος. Τὴν ἀρχιερωσύνην δὲ Ματθίαν ἀφελόμενος, Ἐλιωναίῳ τῷ τοῦ Κιθαίρου παιδὶ παρέσχεν αὐτήν. Βασιλεύσας οὖν ἐπὶ τρεῖς ἐνιαυτοὺς τῆς ὅλης Ἰουδαίας, εἰς πόλιν Καισάρειαν, ἣ πρότερον Στράτωνος ἐκαλεῖτο πύργος, θεωρίας ἐτέλει· δευτέρᾳ δὲ τῶν θεωριῶν ἡμέρᾳ στολὴν ἐνδὺς ἐξ ἀργύρου πεποιημένην, παρῆλθεν εἰς τὸ θέατρον ἀρχομένης ἡμέρας, καὶ ταῖς πρώταις τῶν ἡλιακῶν ἀκτίνων ἐπιτολαῖς ὁ ἄργυρος καταυγασθεὶς θαυμασίως ἀπέστιλβε, μαρμαίρων τι φοβερὸν τοῖς εἰς αὐτὸν ἀτενίζουσιν. Εὐθύς τε οἱ κόλακες ἄλλος ἄλλοθεν ἀνεβόων, Θεὸν προσαγορεύοντες, Εὐμενής τε εἴης, ἐπιλέγοντες· εἰ γὰρ καὶ μέχρι νῦν ὡς ἄνθρωπον ἐφοβήθημεν, ἀλλὰ τοὐντεῦθεν ὁμολογοῦμεν θνητῆς B σε φύσεως κρείττονα. Οὐκ ἐπέπληξε τούτοις ὁ βασιλεὺς, οὐδὲ τὴν κολακείαν ὡς ἀσεβοῦσαν ἀπετρίψατο. Ἀνακύψας οὖν μετ' ὀλίγον, ὁρᾷ τὸν βουβῶνα τὸν ὄργιν τῆς ἑαυτοῦ κεφαλῆς ὕπερθεν. Ἄγγελόν τε κακῶν τοῦτον ἐνενόησε τότε, ὡς ποτὲ τῶν ἀγαθῶν μηνυτήν· καὶ διακάρδιον ἔσχεν ὀδύνην, καὶ τῆς κοιλίας ἀθρόον ἐπιγέγονεν ἄλγημα. Καὶ πρὸς τοὺς φίλους φησίν· Ὁ Θεὸς ὑμῖν ἐγὼ, ἤδη *καταστρέφω τὸν βίον· καὶ ὁ κληθεὶς ἀθάνατος πάρ' ὑμῶν, θανεῖν ἐπείγομαι.* Ταῦτα λέγων, τῆς ὀδύνης ἐπιτεινομένης κατεπονεῖτο, καὶ μετὰ σπουδῆς ἀνεκομίσθη πρὸς τὸ βασίλειον. Λόγου δὲ γενομένου θνήσκειν αὐτὸν, ἡ πληθὺς αὐτίκα σὺν γυναιξὶ, καὶ παισὶν ἐπὶ σάκκῳ καθεσθεῖσα τῷ πατρῴῳ νόμῳ, τὸν Θεὸν ὑπὲρ τοῦ βασιλέως ἱκέτευε, καὶ πάντες ἐθρήνουν. Ἐν ὑψηλῷ δὲ ὁ Ἀγρίππας κατακείμενος δωματίῳ, καὶ κάτω βλέπων αὐτοὺς πρηνεῖς προσπίπτοντας, οὐδὲ αὐτὸς ἄδακρυς ἦν. Ἐφ' ἡμέρας δὲ πέντε τῷ τῆς γαστρὸς ἀλγήματι κατεργασθεὶς, κατέστρεψε τὴν ζωὴν, βιώσας ἔτη τέσσαρα καὶ πεντήκοντα, βασιλεύσας δ' ἑπτὰ ἐπὶ Γαΐου μὲν τέσσαρα, τρία δ' ἐπὶ Κλαυδίου.

propitius esset, petiverunt. Nam **281** ut hactenus cum ut hominem timuissent, at in posterum se confessuros eum natura mortali præstantiorem esse. Ea verba rex non castigavit, neque impiam adulationem rejecit; ac paulo post cum se erexisset, bubonem supra caput suum vidit, eumque malorum esse nuntium intellexit, qui aliquando bonorum significator exstitisset. Igitur cordis cruciatibus affectus, et ventriculi doloribus subito oppressus, amicis ait: *En ego deus vester jam vitam relinquo: et quem vos immortalem vocastis, ad mortem rapior.* Dum hæc diceret, doloribus fatigatus, festinanter in regiam est reportatus: ortoque rumore, eum animam agere, populus lacrymis oppletus, statim cum uxoribus et liberis patrio ritu saccis insidens, Deo pro rege supplicavit: quæ Agrippa in alto conclavi decumbens ne ipse siccis oculis spectavit ac diebus v cruciatu ventris subactus, mortem cum vita commutavit. Vixit annos LIV, regnavit VII, sub Caio IV, sub Claudio III.

ΙΒ'. Ἀγνοουμένης γε μὴν ἔτι τοῖς πλήθεσι τῆς αὐ- C τοῦ τελευτῆς, συμφρονήσαντες Ἡρῴδης ὁ ἀδελφὸς αὐτοῦ, ὁ τῆς Χαλκίδος ἄρχων, καὶ Ἑλκίας ὁ ἵππαρχος, πέμψαντες, τὸν Σίλαν ἐχθρὸν αὐτοῖς ὄντα κατέσφαξαν, ὡς τάχα τοῦ βασιλέως κελεύσαντος. Οὕτω μὲν οὖν ὁ Ἀγρίππας ἀπεβίω, υἱὸν Ἀγρίππαν καταλιπὼν ἐτῶν ἑπτακαίδεκα· τρεῖς δὲ θυγατέρας, ὧν ἡ μὲν Ἡρῴδῃ τοῦ πατρὸς ἀδελφῷ γεγάμητο, Βερενίκη δ' ἐκέκλητο, παρθένοι δ' ἦσαν αἱ δύο Μαριάμ καὶ Δρουσίλα. Γνωσθέντος δὲ τοῦ θανάτου τοῦ βασιλέως, Καισαρεῖς καὶ Σεβαστηνοὶ, ἐπιλελησμένοι τῶν αὐτοῦ εὐποιῶν, ἐβλασφήμουν τε εἰς αὐτὸν, καὶ τὰ τῶν τοῦ βασιλέως θυγατέρων ἀγάλματα ἁρπάσαντες εἰς τὰ πορνεῖα ἐκόμισαν, καὶ ἀφύβριζον εἰς αὐτά· καὶ πανδήμους ἑστιάσεις ἐποίουν, στεφανούμενοι καὶ μυρίζόμενοι, καὶ σπένδοντες τῷ Χάροντι. Ὁ δὲ τοῦ τεθνεῶτος υἱὸς Ἀγρίππας ἐν Ῥώμῃ τότε διῆγε, παρὰ D Κλαυδίῳ τρεφόμενος Καίσαρι, ὃν αὐτίκα πέμπειν ὥρμητο τὴν βασιλείαν διαδεξόμενον. Ἀπήγαγον δ' αὐτὸν τοῦ σκοποῦ οἱ περὶ αὐτὸν, σφαλερὸν εἶναι λέγοντες, κομιδῇ νέῳ βασιλείας ἐπιτρέπειν μέγεθος τόσον· ἀπέστειλεν οὖν Κούσπιον Φάδον τῆς Ἰουδαίας καὶ τῆς βασιλείας ἁπάσης ἐπιτροπεύοντα, ἐντειλάμενος αὐτῷ καὶ Καισαρεῦσι, καὶ Σεβαστηνοῖς, ἐπιπλῆξαι τῆς εἰς τὸν κατοιχόμενον ὕβρεως. Ἀφικόμενος δὲ Φάδος εἰς τὴν Ἰουδαίαν, στάσιν τότε γενομένην κατέστειλε, καὶ λῃστηρίων τὴν χώραν ἐκάθηρε, καὶ τὴν τοῦ ἀρχιερέως στολὴν εἰς τὴν Ἀντωνίαν τὸ φρούριον ἀποτεθῆναι προσέταξεν, ὡς

XII. Obitu ejus vulgo adhuc incognito, Herodes frater ejus Chalcidis princeps, et Helcias equitum magister, Silam, cui inimici erant, quasi rex id jussisset, occidendum curaverunt. Agrippa hoc modo vita finita, filium Agrippam reliquit, annos natum XVII, et tres filias quarum una Herodi ejus patruo nupta fuit, eaque Berenice vocabatur, duæ virgines fuerunt, Mariamne et Drusilla. Cæterum regis obitu cognito, Cæsarienses et Sebasteni beneficiorum obliti, eum maledictis insectati sunt, et filiarum ejus statuas in lupanaria abreptas ludibrio habuerunt: publicaque convivia coronati et unguentis delibuti celebrantes, Charonti libaverunt. Cum autem Agrippæ defuncti filium Romæ, apud se degentem, Claudius Cæsar statim ad regni successionem ablegare in animo haberet: propter familiarium sermones, periculoso tantum regnum, admodum adolescenti committi asserentium, consilio mutato, Cuspium Fadum Judææ totiusque regni procuratorem misit, cum mandato, ut Cæsarienses et Sebastenos ob contumeliam defuncto factam objurgaret. Fadus in Judæam profectus, seditionem tum ortam **282** compressit, latrociniis provinciam repurgavit, et pontificis stolam in Antonia castello, ut olim, reponi jussit. Sacerdotes vero et proceres Hierosolymitani refragari non ausi, rogarunt, ut sibi liceret eam rem a Cæsare petere: quo concesso, legati Romam profecti, intercessione junioris Aggrippæ, quod

volnere, a Claudio datis ad Fadum litteris, impetrarunt. Herodes quoque Agrippæ frater, Chalcidis princeps, a Cæsare templi potestatem, sacraque pecuniæ, et creandi Pontificis auctoritatem obtinuit : atque ab illo omnibus ejus posteris ea potestas usque ad urbis excidium mansit. Igitur loco moto Canthera, Josepho Cami filio pontificatum tribuit.

A καὶ πρότερον. Οἱ δ' ἱερεῖς καὶ οἱ πρῶτοι τῶν ἐν Ἱεροσολύμοις ἀντιλέγειν μὲν οὐκ ἐτόλμων· παρεκάλουν δὲ ὅμως ἐπιτρέψαι αὐτοῖς πρέσβεις πέμψαι πρὸς τὸν Καίσαρα, τοὺς αἰτησομένους τὴν ἱερὰν στολὴν παρ' αὐτοῖς εἶναι· καὶ ἐπετράπησαν. Παραγενομένων δὲ εἰς τὴν Ῥώμην τῶν πρέσβεων, καὶ ὁ τοῦ Ἀγρίππου παῖς ὁ νεώτερος Ἀγρίππας ἐκεῖ διάγων, ὡς εἴρηται, παρεκάλεσε τὸν Καίσαρα, συγχωρηθῆναι τοῖς Ἰουδαίοις ἔχειν τὴν ἱερὰν στολήν. Καὶ ὁ Κλαύδιος συνεχώρησε, καὶ τῷ Φάδῳ περὶ τούτων ἐπέστειλε. Καὶ Ἡρῴδης δὲ ὁ τοῦ Ἀγρίππου ἀδελφός, τῆς δὲ Χαλκίδος ἄρχων, ᾐτήσατο παρὰ Καίσαρος τὴν τοῦ νεὼ ἐξουσίαν, καὶ τῶν ἱερῶν χρημάτων, καὶ τὴν τῶν ἀρχιερέων χειροτονίαν. Καὶ ἔτυχε τῆς αἰτήσεως, καὶ ἐξ ἐκείνου πᾶσι τοῖς ἀπογόνοις αὐτοῦ ἡ ἐξουσία παρέμεινε, μέχρι τῆς τῶν Ἱεροσολύμων ἁλώσεως. Καὶ δὴ μεθίστησι τῆς ἀρχιερωσύνης τὸν Κανθηρᾶν, Ἰωσὴφ ἀντεισαγαγὼν τὸν τοῦ Καμεί.

XIII. Hoc tempore Adiabenorum regina Helena, et filius ejus Izates, religionem Judaicam sunt amplexi. Monobazus enim Adiabenorum rex, cognomento Bazæus, Helenam sororem amore captus uxorem ducit : ac aliquando cum ea prægnante cubans, manum ejus ventri imposuit, ac sopitus audire vocem visus est, quæ manum a ventre tollere juberet, ne infantem qui eo gestaretur, læderet, Dei providentia et regnaturum, et felicem finem consecuturum. Ea voce turbatus, uxori quid audisset, narrat : et natum filium Izaten vocat, quem præ aliis omnibus tum ex Helena, tum ex aliis mulieribus ante eum susceptis liberis, tanquam unicum dilexit. Ac fratrum ejus invidiam veritus, adolescentem ad Abennerigum Spasini valli regem misit : a quo amanter susceptus, et gener ascitus est, assignata ditione. Monobazus autem cum senuisset, Izaten ante obitum suum videre desideravit : eique ditionem attribuit, in qua is usque ad patris obitum vitam egit. Quo defuncto, Helena regina magnatibus et satrapis accersitis ; *Non vos latet*, inquit, *maritum meum, Izaten regni successorem designasse. Sed cum beatum esse sciam, non qui ab uno, sed qui a pluribus iisque volentibus regnum acceperit : negotium hoc vestro quoque judicio permitto.* Illi statim regis judicium amplectendum esse, seque ultro Izati, recte et votis omnium fratribus prælato, parere velle, et fratres ac cognatos ejus, ut secure imperaret, in primis occidendos **283** esse, dixerunt. Helena vero sententiam de cæde cognatorum differendam esse censuit, donec ille venisset, ac eamdem comprobasset. Proceres vero illos interea in vinculis habendos esse monuerunt, donec ille venisset. Regina vero filium natu maximum summæ rerum præfecit, paterni sigilli annulo dato, qui Izati reverso regno cessit. Sed Judæus quidam nomine Ananias, Izati peregre agenti familiaris factus, doctrinam de Deo et Judæorum legibus tradidit. Accidit porro, ut et Helena ab alio Judæo instituta, Judaicas cæremonias amplecteretur. Izates cum venisset, ac cognatos in vinculis reperisset, id ægre tulit : ac solutos, ne suspecti essent, partim obsides Romam mi-

B

C

D

ΙΓ'. Ἐν τούτῳ τῷ χρόνῳ ἡ τῶν Ἀδιαβηνῶν βασιλὶς Ἑλένη, καὶ ὁ παῖς αὐτῆς Ἰζάτης, εἰς τὰ Ἰουδαίων τὴν διαγωγὴν μετέβαλον νόμιμα. Μονόβαζος γὰρ ὁ τῶν Ἀδιαβηνῶν βασιλεύς, ᾧ καὶ Βαζαῖος ἐπίκλησις ἦν, τῆς ἀδελφῆς Ἑλένης ἄλλους ἔρωτι, ἄγεται ταύτην. Καί ποτε συγκαθεύδων αὐτῇ οὔσῃ ἐγκύμονι, τῇ ἐκείνης γαστρὶ τὴν χεῖρα ὑπερέθετο. Καὶ ὑπνώσας ἔδοξεν ἀκούειν φωνῆς, ἄραι κελευούσης ἐκ τῆς νηδύος τὴν χεῖρα, καὶ μὴ θλίβειν τὸ ἐν αὐτῇ βρέφος, Θεοῦ προνοίᾳ καὶ ἄρξον, καὶ τέλους τευξόμενον εὐτυχοῦς. Ταραχθεὶς οὖν ὑπὸ τῆς φωνῆς, ἔφραζε ταῦτα τῇ γυναικί· καὶ τὸν υἱὸν τεχθέντα Ἰζάτην ὠνόμασεν. Ἦν δ' ἕτερος τούτου πρεσβύτερος ἐκ τῆς Ἑλένης αὐτῷ γεννηθείς, ἄλλοι τε παῖδες ἐκ γυναικῶν ἑτέρων, ἔστεργε δὲ τὸν Ἰζάτην ὥσπερ μονογενῆ. Ἐφθόνουν τοίνυν οἱ ἀδελφοί. Ὁ δὲ πατὴρ, δεδοικὼς περὶ τούτῳ, ἐκπέμπει πρὸς Ἀβεννήριγον τὸν Σπασίνου χάρακος βασιλέα. Καὶ ὃς ἀσμένως τὸν Ἰζάτην ἐδέξατο, καὶ κηδεστὴν ἐπὶ θυγατρὶ ἐποιήσατο, καὶ χώραν αὐτῷ παρέσχε. Γεγηρακὼς δὲ ὁ Μονόβαζος, ἰδεῖν ἐπεθύμει τὸν Ἰζάτην πρὸ τοῦ θανεῖν. Μεταπεμψάμενος οὖν αὐτὸν, φιλοφρόνως ἀσπάζεται, καὶ χώραν αὐτῷ ἀπεκλήρωσεν, ἐν ᾗ καὶ διέτριψε μέχρι τελευτῆς τοῦ πατρός. Ἐκλιπόντος δὲ Μονοβάζου, ἡ βασιλὶς Ἑλένη μετεπέμψατο τοὺς μεγιστᾶνας καὶ τοὺς Σατράπας· οἷς ἀφικομένοις, *Οὐ λέληθεν*, εἶπεν, *ὑμᾶς ὅτι ὁ ἀνὴρ ἐμὸς τὸν Ἰζάτην ἤθελε τῆς βασιλείας γενέσθαι διάδοχον. Ἐ δυοῖν δὲ μακάριον τὸν μὴ πυρ' ἑνὸς, ἀλλὰ τῶν πλειόνων, καὶ τούτων ἐκόντων τὴν βασιλείαν λαμβάνοντα, καὶ ὑπὸ τὴν ὑμῶν τὸ πρᾶγμα κρίσιν πεποίημαι.* Οἱ δ' αὐτίκα καὶ τὴν τοῦ βασιλέως κρίσιν ἀσπασίαν ἡγεῖσθαι (71) ἔλεγον, καὶ ὑπείξειν ἑκόντες Ἰζάτῃ, δικαίως προκεκριμένῳ τῶν ἀδελφῶν, καὶ κατὰ τὰς ἁπάντων εὐχάς, καὶ δεῖν προαποκτεῖναι τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ τοὺς συγγενεῖς, ἵν' ἀσφαλῶς ἐκεῖνος ἄρχοι. Ἡ δὲ βασιλὶς τὴν περὶ τῆς ἀναιρέσεως τῶν προσηκόντων τῷ Ἰζάτῃ γνώμην ἐπισχεῖν συνεβούλευε, μέχρις ἂν ἐκεῖνος συνδοκιμάσῃ παραγενόμενος. Οἱ δὲ δεσμεῖν τέως αὐτοὺς παρῄνουν μέχρι τῆς ἐκείνου ἐπιδημίας. Καθίστησι δὲ τὸν πρεσβύτατον υἱὸν ἡ βασίλισσα ἐπὶ τῶν πραγμάτων, ἕως ἂν ἐπανέλθῃ ὁ ἀδελφὸς, δίδωσι δὲ καὶ τὸν τοῦ πατρὸς σημαντῆρα

Variæ lectiones et notæ.

(71) Ἀσπασίαν ἡγεῖσθαι. Colb. βέλτιον pro his verbis habet.

δακτύλιον. Ἦκεν οὖν ὁ Ἰζάτης, καὶ ὁ ἀδελφὸς ὑπε- A δέξατο, καὶ ὑπεξέστη αὐτῷ τῆς ἀρχῆς. Ὄντι δ' αὐτῷ ἐν τῇ ἀποδημίᾳ, Ἰουδαῖός τις Ἀνανίας καλούμενος, γνωστὸς γεγονὼς, ἐδίδασκεν αὐτὸν τὸν Θεὸν, καὶ τὰ τῶν Ἰουδαίων νόμιμα. Συνέβη δὲ καὶ τὴν Ἑλένην ὑφ' ἑτέρου Ἰουδαίου κατηχηθεῖσαν εἰς τὰ Ἰουδαϊκὰ ἔθη μετατεθῆναι. Ἐλθὼν οὖν ὁ Ἰζάτης, καὶ δεδεμένους τοὺς συγγενεῖς εὑρηκὼς, ἐδυσχέρανε· καὶ ἔλυσε μὲν, ἔπεμψε δὲ, ἵνα μὴ ὕποπτοι παρόντες εἶεν, τοὺς μὲν εἰς Ῥώμην ὁμηρεύσοντας, τοὺς δὲ πρὸς Πάρθους. Γνοὺς δὲ τὴν μητέρα τὰ Ἰουδαίων ἀσπασαμένην, ἔσπευσε καὶ αὐτὸς εἰς ἐκεῖνα μετατεθῆναι, καὶ περιτμηθῆναι ἕτοιμος ἦν. Ἡ δὲ μήτηρ ἐκώλυε, λέγουσα, εἰς δυσμένειαν τοὺς ὑπηκόους διὰ τοῦτο ἐλθεῖν, οὐκ ἀνέξεσθαί τε ὑπὸ Ἰουδαΐζοντος βασιλεύεσθαι. Ὁ δὲ εἰς τὸν Ἀνανίαν παρόντα τοὺς B λόγους ἀνέφερε· τούτου δὲ τὰ αὐτὰ συμβουλεύσαντος, ἐπείσθη μὲν τότε ὁ βασιλεύς· ἕτερος δ' αὖθις ἐκ Γαλιλαίας Ἰουδαῖος Ἐλεάζαρ ἀφικόμενος, καὶ καταλαβὼν αὐτὸν τὸν Μωσέως νόμον ἀναγινώσκοντα, *Οὐ λόγοις μόνον ἀναγινώσκειν σε δεῖ, βασιλεῦ,* ἔφη, *ἀλλὰ καὶ τὰ ὑπ' αὐτῶν διατεταγμένα ποιεῖν· μέχρι τίνος ἀπερίτμητος μένεις;* Ὁ δὲ οὐχ ὑπερεβάλετο τὴν πρᾶξιν, ἀλλὰ περιετμήθη· καὶ τῇ μητρὶ καὶ τῷ Ἀνανίᾳ πεπρᾶχθαι τὸ ἔργον ἐδήλου. Οἱ δ' εἰς φόβον ἐνέπεσον, μὴ καὶ ὁ βασιλεὺς καὶ αὐτοὶ κινδυνεύσωσιν. Ὁ δὲ Θεὸς τὸν φόβον ἐλθεῖν εἰς τέλος οὐ συνεχώρησεν. Ἑλένη δὲ ἐπιθυμίαν ἔσχεν εἰ, Ἱεροσόλυμα ἀφικέσθαι, καὶ προσκυνῆσαι τὸ τοῦ Θεοῦ ἱερόν. Καὶ τοῦ υἱοῦ ἐπιτρέψαντος, καὶ χρήματα C πλεῖστα δόντο, ἄπιστιν εἰς Ἱεροσόλυμα. Καὶ λιμῷ φθειρομένους πολλοὺς εὑροῦσα ἐκεῖ, σῖτόν τε ἐξ Ἀλεξανδρείας ἐκόμιτε, καὶ ἰσχάδων φόρτον ἐκ Κύπρου πολλῶν χρημάτων πριαμένη, τοῖς ἀπορουμένοις διένεμε. Καὶ ὁ παῖς δὲ αὐτῆς πολλὰ χρήματα τοῖς πρώτοις τῶν Ἱεροσολυμιτῶν ἔπεμψεν, ἵν' οἱ λιμώττοντες διὰ τούτων, ὡς ἐνὸν, ἐπικουρηθῶσι. Καὶ τοῦτα μὲν οὕτως· Ἀρταβάνης δὲ τῶν Πάρθων ὁ βασιλεὺς, ἐπιβουλὴν γνοὺς τοὺς σατράπας κατ' αὐτοῦ μελετήσαντας, ἀφικνεῖται πρὸς Ἰζάτην, συγγενῶν τε καὶ οἰκετῶν περὶ χιλίους ἐπαγόμενος. Καὶ καθ' ὁδὸν τῷ Ἰζάτῃ ἐνέτυχε, καί φησι· *Μή με παρίδῃς, ὦ βασιλεῦ, ταπεινὸν ἐκ μεταβολῆς γεγονότα, καὶ ἰδιώτην ἐκ βασιλέως, ἀλλ' ἐπικούρησον.* Ταῦτα οὖν δάκρυσιν ἔλεγεν. Ὁ δὲ Ἰζάτης, ἀκούσας τὸ ὄνομα, κατεπήδησε τοῦ ἵππου, καὶ, *Θάρσει,* ἔφη, *ὦ βασιλεῦ· ἢ γὰρ εἰς τὴν Πάρθων βασιλείαν σε καταστήσω, ἢ τῆς ἐμῆς σοι ἐκστήσομαι.* Ταῦτα εἶπε, καὶ ἐπὶ τὸν ἵππον αὐτὸν ἀνεβίβασεν, αὐτὸς δὲ πεζὸς παρείπετο. Καὶ ὁ Ἀρταβάνης ὤμοσεν, εἰ μὴ κἀκεῖνος ἀναβαίη τὸν ἵππον, καὶ προηγοῖτο, ἀποβήσεσθαι καὶ αὐτός. Πεισθεὶς δ' ὁ Ἰζάτης, ἐπὶ τὸν ἵππον ἥλατο, καὶ πᾶσαν τιμὴν ἀπένειμε τῷ Πάρθῳ εἰς τὰ βασίλεια ἀγαγών. Γράφει τε πρὸς τοὺς Πάρθους, τὸν Ἀρταβάνην δέξασθαι. Τῶν δὲ Πάρθων δέξασθαι μὲν συντεθειμένων, μὴ δύνασθαι δὲ καὶ τὴν ἀρχὴν ἀπονεῖμαι, ἤδη ἑτέρῳ πεπιστευμένην, ὁ Κινάμωμος (οὕτω γὰρ ὠνόμαστο ὁ τὴν βασιλείαν παρειληφώς) γράφει τῷ Ἀρταβάνῃ (ὑπ' αὐτοῦ γὰρ

sit, partim ad Parthos, et quia matrem Judaismo studere videbat, ipse quoque eosdem ritus suscipere properabat, etiam circumcidi paratus. Sed mater id prohibuit : subditorum enim odium susceperurum, neque laturos illos imperium regis judaizantis. Cumque eam orationem cum Anania qui tum aderat, communicasset, isque idem suaderet, tum quidem paruit. Post cum alius ex Galilæa Judæus venisset Eleazarus, eumque legem Mosaicam legentem deprehendisset : *Non verba tantum, rex,* inquit, *legenda tibi sunt, sed mandata etiam, quæ illis continentur, exsequenda. Quandiu tandem incircumcisus manebis?* Rex igitur nulla interposita mora, circumcisus est. Quod cum matri et Ananiæ significasset, veriti sunt, ne ex ea re et sibi et regi pericula crearentur : sed eum metum Deus avertit. Helena porro visendi Hierosolyma et sancti Dei templi adorandi cupida, permissu filii cum maxima pecunia in urbem proficiscitur. Ubi cum multos fame pereuntes invenisset, frumentum Alexandria advectum, et sarcinas ficuum in Cypro emptas, inter egentes distribuit. Filius quoque ejus, principibus Hierosolymitanis multum pecuniæ misit, quo pauperes juvarentur : atque hæc ita gesta sunt. Artabanus autem Parthorum rex, cognitis insidiis, quas sibi pararent satrapæ, ad Izaten venit, cum cognatis et famulis circiter mille. Atque in itinere illum adeptus : *Ne me,* inquit, *rex, mutata* **284** *fortuna depressum, et e regio fastigio ad privatam conditionem redactum neglexeris, sed opem ferto.* Quæ illo cum lacrymis dicente, Izates, ejus nomine audito, equo desiluit, ac : *Bono,* inquit, *animo esto, rex. Aut enim in Parthorum regnum te reducam, aut mea tibi cedam.* His dictis illum in equum sustulit, ipse pedes secutus est. Artabanus vero juravit, nisi et ille equum conscendisset, atque anteiret, se quoque descensurum. Izates igitur ei obsecutus, in equum insiluit, et Partho in regiam perducto omnem honorem habuit. Scripsit etiam ad Parthos, ut Artabanum recipiant. Qui cum se illum quidem recepturos, sed in regnum restituere non posse, jam alteri creditum, responderent : Cinnamonus (id enim ei nomen erat, qui regnum susceperat) vir bonus, Artabanum a quo educatus fuerat, per litteras hortatus est, ut sua fide veniat, atque imperium recipiat. Artabano redeunti obviam progreditur, eum adorat, regem appellat : diadema suo capiti demptum, illius imponit. Sic ab Izate sex annis in regnum restitutus Artabanus, meritorum ejus non fuit immemor, sed ea remuneratus est. Verum aliquanto post eo mortuo, Bardanes ejus filius regno potitus, ad Izatem venit, ab eoque petiit ut secum belli societatem contra Romanos coiret. Qui cum refragaretur, eumque hortaretur ut illam expeditionem omitteret, neque res aggrederetur quæ fieri non possent : Bardanes bellum Izati indicit, sed Parthi ejus consilio intellecto, eum occidunt, et regnum fratri ejus Icotardæ deferunt : cui per insidias cæso, Vologeses frater

succedit. At Izatis frater Monobazus, et cognati, Judaismi amore capti, cum desiderium suum explevissent, subditi re animadversa, Abiæ Arabum regi per litteras magnam pecuniam promiserunt, si regi bellum inferret : eum se quoque in primo congressu relicturos polliciti. Paret Arabs, et cum magnis coplis Izaten adoritur : qui in primo congressu a suis ex composito desertus, tergis obversis fugientibus, magnatum proditione cognita, in castra recedit, auctoribus sceleris supplicio affectis. Postridie Arabes vincit, fugatque : et **285** regem eorum in castellum quoddam compellit, qui ne in hostium manus veniret, ipse sibi necem conscivit : quo castello capto atque direpto, Izates ad sua rediit. Cæterum cum Adiabenorum satrapæ a Vologese Parthorum rege per litteras petiissent, ut Izate interfecto, dynasten Parthicum sibi præficeret : se enim odisse regem suum peregrinam superstitionem amplexum, Parthus statim cum maximis copiis irruit, Izates ex adverso castra locat. Ei quidam a Partho missus narrat, quantæ sint Parthorum vires, et ut Vologeses minitetur, se pœnas ab eo exacturum ingrati animi erga dominos : ac ne Deum quidem quem colat, eum e manibus Vologesis eripere posse. Ad hæc Izates, se Parthorum nosse vires, respondet : sed Deum hominibus potentiorem esse, scire. His dictis, supplicavit Deo. Vologeses autem ea nocte per litteras edoctus, hostes Parthiam vastare, statim re infecta discessit. Sic Izates providentia Dei, Parthi minis evitatis, aliquanto post moritur, anno ætatis LV, regni XXIV, relictis XXIV filiis, et totidem filiabus, regno vero fratri Monobaso relicto.

ἐτέθραπτο, καὶ ἦν ἀγαθὸς) παρακαλῶν αὐτὸν ἀφικέσθαι πιστεύσαντα, καὶ τὴν ἀρχὴν παραλήψεσθαι. Καὶ ὁ Ἀρτάβανος πιστεύσας ἀπῆει. Ὑπήντα οὖν αὐτῷ ὁ Κινάμωμος, ὃς δὴ προσκυνήσας καὶ βασιλέα προσαγορεύσας, περιτίθησιν αὐτοῦ τῇ κεφαλῇ τὸ διάδημα, τῆς ἑαυτοῦ ἀφελόμενος. Οὕτω δὲ χρόνῳ ἐξαιτεῖ εἰς τὴν ἀρχὴν ἀποκαταστὰς ὁ Ἀρτάβανος, οὐκ ἠμνημόνησε τῶν Ἰζάτου καλῶν, ἀλλ' ἀμείβεται τοῦτον. Μετὰ δέ τινα χρόνον Ἀρταβάνου θανόντος, Οὐαρδάνης ὁ παῖς ἐκείνου τὴν βασιλείαν περιεζώσατο· καὶ πρὸς Ἰζάτην ἐλθών, συμμαχῆσαι αὐτῷ ἠξίου κατὰ Ῥωμαίων. Ὁ δὲ οὐκ ἐπείθετο, ἀλλὰ καὶ συνεβούλευε παύσασθαι τῆς ἐπ' ἐκείνους στρατείας, καὶ μὴ ἀδυνάτοις ἐπιχειρεῖν. Ὁ δὲ πόλεμον τῷ Ἰζάτῃ μὴ πειθομένῳ κατήγγειλεν. Ἀλλ' οἱ Πάρθοι μαθόντες, ὡς ἐπὶ Ῥωμαίους στρατεύσειν βούλεται, αὐτὸν μὲν ἀναιροῦσι, τὴν δὲ βασιλείαν τῷ ἀδελφῷ Ἰκοτάρδῃ διδόασιν, ὃν ἐξ ἐπιβουλῆς τε[illegible]τήσαντα διαδέχεται Οὐολογέσης ὁ ἀδελφός. Ὁ δὲ τοῦ Ἰζάτου ἀδελφὸς Μονόβαζος, καὶ οἱ συγγενεῖς Ἰουδαΐσαι καὶ αὐτοὶ ἐπεθύμησαν, καὶ τὴν ἔφεσιν εἰς ἔργον ἐξήνεγκαν. Γίνεται δ' ἡ πρᾶξις αὐτῶν τοῖς ὑπηκόοις κατάφωρος. Καὶ γράφουσι πρὸς Ἀβίαν τῶν Ἀράβων βασιλέα, ἐπὶ στρατεύσοιτο κατὰ τοῦ σφετέρου βασιλέως, χρήματα πολλὰ παρασχεῖν αὐτῷ, ἐπαγγελλόμενοι περὶ τὴν πρώτην συμβολὴν καὶ αὐτοὶ καταλείψειν αὐτόν. Πείθεται τούτοις ὁ Ἄραψ· καὶ πολλὴν ἐπαγόμενος δύναμιν, ἦκεν ἐπὶ τὸν Ἰζάτην. Καὶ συμβολῆς γενομένης, καταλείπουσι τὸν Ἰζάτην οἱ αὐτοῦ, ἐκ συνθήματος, καὶ νῶτα τρέψαντες ἔφευγον. Γνοὺς δὲ τὴν προδοσίαν Ἰζάτης γενομένην ὑπὸ τῶν μεγιστάνων, εἰς τὸ στρατόπεδον ὑπεχώρησε, καὶ εὑρὼν τοὺς αἰτίους ἐκόλασε. Τῇ δ' ἐπιούσῃ συμβαλὼν νικᾷ, καὶ εἰς φυγὴν τοὺς Ἄραβας ἔτρεψε, τὸν δὲ βασιλέα αὐτῶν εἰς φρούριόν τι συνήλασε διωκόμενον. Καὶ ὁ μὲν ἑαυτὸν ἀνεῖλεν, ἁλισκόμενος ἤδη. Τὸ δὲ φρούριον ἑάλω, καὶ τὰ ἐν αὐτῷ διηρπάγη, καὶ Ἰζάτης εἰς τὰ οἰκεῖα ὑπέστρεψεν. Οἱ δὲ τῶν Ἀδιαβηνῶν μεγιστᾶνες Οὐολογέσῃ τῷ Πάρθων γράφουσι βασιλεῖ, καὶ ἀξιοῦσιν ἀποκτεῖναι μὲν τὸν Ἰζάτην, καταστῆσαι δὲ σφίσι δυνάστην ἐκ Πάρθων· μισεῖν γὰρ τὸν ἑαυτῶν βασιλέα ξένῃ θρησκείᾳ προσηλυτεύσαντα. Ὁ γοῦν Πάρθος αὐτίκα μετὰ πλείστης δυνάμεως ὥρμησε. καὶ ὁ Ἰζάτης ἀντεστρατοπεδεύσατο. Σταλείς δέ τις ἐκ τοῦ Πάρθου, ἔλεγε τῷ Ἰζάτῃ, ὁπόση ἐστὶ τῶν Πάρθων ἡ δύναμις, καὶ ὡς Οὐολογέσης ἀπειλεῖ, δίκας εἰσπράξειν αὐτὸν, ἀχάριστον περὶ δεσπότας γενόμενον· ῥύσασθαι γὰρ αὐτὸν τῶν αὐτοῦ χειρῶν οὐδὲ τὸν Θεὸν ὃν σέβει δυνήσεσθαι· πρὸς ταῦτα ὁ Ἰζάτης, τὴν μὲν δύναμιν τῶν Πάρθων γινώσκειν, ἀνταπεκρίνατο, εἰδέναι δ' ἀνθρώπων τὸν Θεὸν δυνατώτερον. Ταῦτα εἶπε, καὶ ἱκέτευε τὸν Θεόν. Κατ' ἐκείνην οὖν τὴν νύκτα ἐπιστολὰς Οὐολογέσης δεξάμενος, πολεμίους ἐμβαλόντας τῇ Παρθυηνῇ, ταύτην πορθεῖν, αὐτίκα σπεύδων ἀνέξευξεν ἄπρακτος. Καὶ οὕτως Ἰζάτης προμηθείᾳ Θεοῦ τὰς ἀπειλὰς τοῦ Πάρθου διέφυγε. Μετὰ δέ τινα χρόνον θνήσκει, πεντήκοντα καὶ πέντε ζήσας ἐνιαυτούς, εἴκοσι δὲ καὶ τέσσαρας ἀνάσας ἐν τῇ ἀρχῇ· θνήσκει δ' ἐπὶ παισὶν εἴκοσιν καὶ τέσσαρσιν ἄρρεσι, καὶ τοσαύταις θηλείαις. Τὴν δ' ἀρχὴν τῷ ἀδελφῷ Μονοβάζῳ κατέλιπεν (72).

XIV. Fado Judæam procurante, quidam impostor Theudas maximæ turbæ persuasit, ut possessionibus secum acceptis, se, qui vates sit, et suo jussu fluvium scindere possit, ad Jordanem sequantur : ac plurimos seduxit. Fadus vero, turmis equitum in eos immissis, multos occidit, plures cepit. ipsumque Theudam, cujus caput amputatum et Hierosolyma perlatum est. Fado Tiberius Alexander successit, Alexandri Alabarchi Alexandrini filius.

ΙΔ'. Φάδου μέντοι τῆς Ἰουδαίας ἐπιτροπεύοντος, ἀνήρ τις γόης, Θευδᾶς ὄνομα, πείθει τὸν πλεῖστον ὄχλον, ἀναλαβόντα τὰς κτήσεις, ἕπεσθαι πρὸς τὸν Ἰορδάνην αὐτῷ· προφήτης γὰρ ἔλεγεν εἶναι, καὶ σχίσαι τὸν ποταμὸν προστάγματι δύνασθαι, καὶ πλείστους ἠπάτησε. Πέμψας δ' ἐπ' αὐτοὺς ἴλην ἱππέων ὁ Φάδος, πολλοὺς μὲν ἀνεῖλεν, οὐ μείους δ' ἐζώγρησε, καὶ αὐτὸν τὸν Θευδᾶν, οὗ τὴν κεφαλὴν ἐκτεμόντες, ἐκόμισαν εἰς Ἱεροσόλυμα. Φάδον δὲ Τιβέριος Ἀλέ-

Variæ lectiones et notæ.

(72) *Τὴν ἀρχὴν τῷ ἀδελφῷ Μονοβάζῳ κατέλιπεν.* Hæc verba supplevimus ex mss.

ξανδρος δ.εδέξατο, Ἀλεξάνδρου τοῦ ἀλαβαρχήσαντος ἐν Ἀλεξανδρείᾳ υἱός. Καὶ οἱ παῖδες δὲ τοῦ Γαλιλαίου Ἰούδα, Ἰάκωβος καὶ Σίμων, τοῦ τὸν λαὸν ἀποστατήσαντος Κυρηνίου τιμητεύοντος, ἀνῃρέθησαν, οὓς ἀνεσταύρωσεν ὁ Ἀλέξανδρος. Ὁ δὲ τῆς Χαλκίδος βασιλεύων Ἡρῴδης μεταστήσας τῆς ἀρχιερωσύνης Ἰωσὴφ τὸν τοῦ Κεμεδῆ, Ἀνανίᾳ τῷ τοῦ Ναδεβαίου (73) παρέσχεν αὐτήν. Τιβερίῳ δὲ Ἀλεξάνδρῳ Κούμανος ἦλθε διάδοχος. Ἐν ὀγδόῳ δ' ἔτει τῆς Κλαυδίου μοναρχίας, Ἡρῴδης ὁ τοῦ μεγάλου Ἀγρίππου ἀδελφὸς τελευτᾷ ἐφ' υἱέσι τρισὶ, τὴν δ' ἀρχὴν αὐτοῦ τῷ νεωτέρῳ Ἀγρίππᾳ δέδωκε Κλαύδιος. Κουμάνου δὲ τῆς Ἰουδαίας ἐπιτροπεύοντος, πλῆθος κατὰ τὴν ἑορτὴν τοῦ Πάσχα εἰς Ἱεροσόλυμα ἤθροιστο. Ἵνα γοῦν μή τι νεωτερισθείη παρὰ τοῦ πλήθους ὄντος πολλοῦ, στρατιώτας ἐνόπλους ἐπὶ τῶν τοῦ ἱεροῦ στοῶν ὁ Κούμανος ἔστησε, καταστελοῦντας τὸν θόρυβον ἐὰν γένηται· τοῦτο δὲ καὶ οἱ πρὸ αὐτοῦ ἐποίουν. Τετάρτῃ δ' ἡμέρᾳ τῆς ἑορτῆς στρατιώτης τῶν ἐν ταῖς στοαῖς ἀνακαλυψάμενος τὴν αἰδῶ, τοῖς πλήθεσιν ἐπεδείκνυεν. Οἱ δ' ἐθυμοῦντο, ὡς εἰς τὸν Θεὸν τοῦ στρατιώτου ἠσεβηκότος, καὶ οἱ θρασύτεροι τὸν Κούμανον ἐβλασφήμουν. Καὶ ὃς πρὸς τὰς βλασφημίας ἠρέθιστο, καὶ κελεύει τὸ στράτευμα πᾶν ἥκειν εἰς τὴν Ἀντωνίαν, τὸ φρούριον τῷ ἱερῷ ἐπικείμενον. Τὸ πλῆθος οὖν τοὺς ὁπλίτας θεασάμενον, εἰς φυγὴν ὥρμησε, καὶ τῶν ἐξόδων στενῶν οὐσῶν συνωθούμενοι καὶ συμπατούμενοι διεφθάρησαν, ὡς εἰς δύο μυριάδας ἀριθμηθῆναι τοὺς τότε διαφθαρέντας, καὶ πένθος ἦν ἀντὶ πανηγύρεως. Οὕπω τὸ πένθος τοῦτο κατηύναστο, καὶ κακὸν προστίθεται ἕτερον. Τινὲς γὰρ τῶν ἐπὶ νεωτερισμοῖς ἡδομένων, Στέφανόν τινα δοῦλον τοῦ Καίσαρος ὁδοιποροῦντα λῃστεύσαντες, ἅπασαν αὐτοῦ τὴν κτῆσιν ἁρπάζουσι. Διὸ πέμπει στρατιώτας ὁ Κούμανος, κελεύσας αὐτοῖς τὰς πλησίον χώρας λῃΐσασθαι, καὶ τοὺς ἐπιφανεστάτους αὐτῶν δεσμίους ἐπ' αὐτὸν ἀγαγεῖν. Τῆς δὲ τῶν χωρίων ἐκείνων πορθήσεως γινομένης, νεανίας τις τῶν στρατιωτῶν θρασὺς καὶ ἀτάσθαλος, τοῖς Μωσέως ἐντυχὼν νόμοις, ἔν τινι κώμῃ σεβασμίως κειμένοις, ἐπ' ὄψεσι πολλῶν διέρρηξεν, αὐτούς βλασφημῶν (74) καὶ κατακερτομῶν. Προσίασιν οὖν τῷ Κουμάνῳ οἱ Ἰουδαῖοι, ἱκετεύοντες, μὴ αὐτούς, ἀλλὰ τὸν Θεὸν, οὗπερ οἱ νόμοι καθυβρίσθησαν, ἐκδικῆσαι. Καὶ ὁ Κούμανος δείσας, μὴ τὸ πλῆθος πάλιν νεωτερίσειε, τὸν ἐνυβρίσαντα τοῖς νόμοις πελεκίσας, τὴν στάσιν κατέπαυσεν.

ΙΕ'. Ἀλλὰ καὶ Σαμαρείταις ἔχθρα πρὸς Ἰουδαίους ἐγένετο, ἡ δ' αἰτία ἦν αὕτη. Γαλιλαῖοι εἰς Ἱεροσόλυμα πορευόμενοι, διά τινος κώμης ὥδευον τῶν Σαμαρειτῶν· καί τινες αὐτοῖς ἐπιθέμενοι, πολλοὺς ἀνεῖλον. Οἱ πρῶτοι τοίνυν τῶν Γαλιλαίων τῷ Κουμάνῳ προσίασι, παρακαλοῦντες τοὺς ἀνῃρημένους ἐκδικηθῆναι. Ὁ δὲ δωροδοκηθεὶς, τῆς ἐκδικήσεως οὐκ ἐφρόντισεν. Ἀγανακτήσαντες οὖν οἱ Γαλιλαῖοι, πρὸς ὅπλα ἐχώρησαν, καὶ κώμας τινὰς τῶν Σαμαρέων ἐμπρήσαντες, διαρπάζουσι. Κούμανος δὲ σὺν δυνάμει τοῖς Γαλιλαίοις ἐπῆλθε, καὶ πολλοὺς μὲν αὐτῶν ἔκτεινε, πλείους δὲ ζῶντας εἷλεν. Οἱ πρῶτοι δέ γε τῶν Ἱεροσολύμων μεταμφιεσάμενοι σάκκους,

Jacobus quoque et Simon, Judæ Galilæi filii, a quo populus ad defectionem impulsus fuerat, Cyrenio censore interfecti sunt, quod Alexander in cruces sustulit. Herodes Chalcidis rex Josepho Cemedi F. Pontificatum ademptum Ananiæ Nedebei filio tribuit. Tiberio Alexandro Cumanus successor datus est. Octavo monarchiæ Claudii anno, Herodes majoris Agrippæ frater obit, tribus filiis relictis: sed ejus principatum Claudius juniori Agrippæ dedit. Cumanus Judææ procurator, multitudine Paschatis in festo Hierosolymis congregata, ad res novas cavendas, tumultumque sedandum, milites armatos in templi porticibus **286** dispersuit, id quod et decessores ejus fecerant. Quarto autem festi die, eorum militum quidam pudenda palam ostendit. Eam ob rem populi ira, quasi in Deum miles impius exstitisset, atque audaciorum conviciis Cumanus irritatus, omnem exercitum in Antoniam castellum, templo imminens, convocavit. Quibus conspectis, populus in fugam se dedit: in qua propter exitus angustias ad xx millia oppressa et conculcata sunt, festivitate in lamentationem conversa. Qua nondum finita, malum aliud accessit. Nam cum quidam novis rebus gaudentes, Stephano Cæsaris servo in itinere insidiis excepto, omnia bona eripuissent: Cumanus milites e vicinis agris prædas agere, et clarissimos quosque in vinculis ad se adducere jubet. Quod cum fieret, miles quidam, adolescens audax et temerarius, leges Mosis in pago quodam venerabiliter repositas, in conspectu multorum cum convitiis et ludibriis discerpsit. Quamobrem Judæi Cumanum adiere, supplicantes, ut contumeliam non sibi, sed Deo factam vindicaret. Is, veritus ne populus denuo concitaretur, milite illo securi percusso, motum illum compressit.

XV. Sed et Samaritani cum Judæis inimicitias exercuerunt, tali de causa. Cum Galilæi Hierosolyma iter habentes, per quemdam Samaritanorum pagum transirent, eorum complures quidam ex insidiis adorti occiderunt. Principes vero Galilæorum a Cumano petierunt, ut necem illorum ulciscceretur: quod illo muneribus corrupto negligente, indignati, sumptis armis aliquot Samaritanorum pagos diripuerunt atque incenderunt. Eos Cumanus cum exercitu adortus, multos occidit, plures cepit. Hierosolymitani vero principes sacco induti, et capitibus cinere conspersis, precibus a seditiosis impetrarunt, ut mutatis consiliis, abje-

Variæ lectiones et notæ.

(73) *Νεδεβαίου*. Ms. Νεβεδαίου.
(74) *Αὐτοὺς βλασφημῶν*. Abest vox αὐτοὺς in Colb.

etisque armis quiescerent : quibus dispersis, regio latrociniis infestata est. Samaritani porro Judæos apud Quadratum Syriæ prætorem de incensis pagis accusarunt : quos Judæi contra, ut seditionis auctores criminati sunt, ac Cumanum in primis, qui largitionibus delinitus, necem interfectorum non vindicasset. Qua lratus **287** judicio dilato, se in Judæam venturum, et cognita veritate pronuntiaturum esse dixit. Samariam profectus, rebus inquisitis, Samaritanos turbarum auctores esse comperit : Judæos, quos Cumanus in vinculis tenebat, ut novas res molitos, in cruces egit : Ananiam pontificem, et Ananum ducem exercitus, vinctos Romam misit, ad actorum suorum rationem Claudio reddendam. Samaritanorum quoque et Judæorum principes, Cumanum præsidem et Celerem tribunum ad imperatorem ire jussit, ut ibi controversias suas disceptarent. Claudius cum pro tribunali sedens, Samaritanos malorum exstitisse auctores cognovisset, eos qui venerant, occidi, Cumanum exsulare, Celerem tribunum Hierosolyma reduci, et in conspectu omnium per urbem tractum ita demum occidi jussit : et Felici procurationem Judææ mandavit. Agrippæ, Chalcide quam annos IV tenuerat, erepta, Philippi tetrarchiam, Batanæam et Trachonitidem cum Abella, quæ Lysaniæ tetrarchia fuerat, donavit. Agrippa vero Drusillam sororem Azizo Emesarum regi, circumcisionem non recusanti, in matrimonium collocat, nuptiis ejus ab Antiocho Epiphane ritus Judaici odio repudiatis. Mariammen Archelao Heleiæ filio despondit, a patre Agrippa olim promissam. Felix Judææ procurator Drusillæ excellenti pulchritudine captus, mulieri persuadet ut marito relicto sibi nubat : quæ filium ex eo susceptum Agrippam nominavit. Fertur autem, Titi temporibus cum eo adolescente in Vesuvio monte ignifero, ac tum magis inflammato, periisse. Berenice altera Agrippæ soror, Herode patruo et marito defuncto, Polemoni, cum circumcisus esset, nupsit, ad abolendam incestus, cum fratre calumniam ; sed diuturnum conjugium non fuit, Polemone a Berenice deserto. Claudius Cæsar mortuus est anno imperii decimo tertio, mense octavo, die vicesimo, veneno, ut ferebatur, ab uxore Agrippina sublatus, quæ patrem habuit Germanicum, Cæsaris fratrem : maritum Domitium Ænobarbum, virum Romæ illustrem : quo defuncto, eam viduam Claudius duxit, cum filium haberet Domitium patri cognominem. **288** Nam Messalinam uxorem ex zelotypia sustulerat, e qua liberos habebat Britannicum et Octavium : et filiam Octaviam natu maximam ante hos ex alia conjuge susceptam, quam Neroni (id enim nomen Agrippinæ filio Domitio Cæsar pater adoptivus fecit) despondit. Cui ut mater imperium acquireret, Claudium veneno sustulit. Sed hæc suo loco et tempore referentur. Nunc institutam historiæ seriem prosequamur.

καὶ τὰς κεφαλὰς σποδῷ καταπάσαντες, παρεκάλουν τοὺς ἀφεστῶτας μεταθέσθαι τὸν λογισμὸν, καὶ τὰ ὅπλα ῥίψαντας ἡρεμεῖν· καὶ ἔπεισαν. Οἱ μὲν οὖν διελύθησαν, ἡ χώρα δ' ἐξ ἐκείνου λῃστηρίων πεπλήρωτο. Σαμαρεῖς δὲ πρὸς Κουαδράτον τῆς Συρίας ἡγεμονεύοντα κατηγόρουν τῶν Ἰουδαίων, ὡς ἐμπρησάντων κώμας αὐτῶν. Ἰουδαῖοι δὲ Σαμαρεῖς ἠτιῶντο, ὡς αἰτίους τῆς στάσεως, καὶ πρὸ αὐτῶν Κούμανον, δώροις διεφθαρμένον, καὶ τοὺς ἀνηρημένους μὴ ἐκδικήσαντα. Κουαδράτος δὲ ὑπερέθετο τὴν κρίσιν, εἰπών, ἥξειν εἰς τὴν Ἰουδαίαν, κἀκεῖ τὴν ἀλήθειαν γνοὺς, ἀποφήνασθαι. Ἦκεν οὖν εἰς Σαμάρειαν, καὶ ἐξετάσας τὰ πεπραγμένα, αἰτίους τῆς ταραχῆς διέγνω τοὺς Σαμαρεῖς· Ἰουδαίους δὲ οὓς δεδεμένους εἶχεν ὁ Κούμανος, ἀνεσταύρωσεν ὡς νεωτερίσαντας. Τοὺς δὲ περὶ Ἀνανίαν τὸν ἀρχιερέα καὶ τὸν στρατηγὸν Ἄνανον δήσας, εἰς Ῥώμην ἀπέστειλε, λόγον περὶ τῶν πεπραγμένων Κλαυδίῳ ὑφέξοντας. Κελεύει δὲ καὶ τοῖς Σαμαρέων καὶ Ἰουδαίων πρώτοις, καὶ Κουμάνῳ τῷ ἡγεμόνι, καὶ τῷ χιλιάρχῳ Κέλερι, ἀφικέσθαι καὶ αὐτοὺς πρὸς τὸν αὐτοκράτορα, κριθησομένους περὶ τῶν πρὸς ἀλλήλους ζητήσεων. Ἀπελθόντων δὲ, δικαστὴς καθίσας ὁ Κλαύδιος, καὶ γνοὺς τοὺς Σαμαρεῖς τῶν κακῶν ἀρχηγοὺς, τοὺς ἀναβάντας πρὸς αὐτὸν ἀναιρεθῆναι προσέταξε. Φυγὴν δὲ τοῦ Κουμάνου κατεψηφίσατο· τὸν μέντοι Κέλερα τὸν χιλίαρχον εἰς Ἱεροσόλυμα ἀπαχθῆναι ἐκέλευσε, καὶ συρέντα πάντων ὁρώντων διὰ τῆς πόλεως, οὕτως ἀναιρεθῆναι. Πέμπει δὲ ὁ Καῖσαρ Φήλικα τῶν Ἰουδαίων ἐπιτροπεύσοντα· Ἀγρίππᾳ δὲ δωρεῖται τὴν Φιλίππου τετραρχίαν, καὶ Βαταναίαν, καὶ τὴν Τραχωνῖτιν σὺν Ἀβέλλᾳ· αὗται δὲ Λυσανίου ἦσαν τετραρχίαι. Τὴν δὲ Χαλκίδα ἀφαιρεῖται αὐτὸν, ἔτη τέσσαρα ταύτης ἄρξαντα. Ὁ δ' Ἀγρίππας ἐκδίδωσι πρὸς γάμον Ἀζίζῳ τῷ Ἐμεσῶν βασιλεῖ, περιτμηθῆναι θελήσαντι, Δρουσίλλαν τὴν ἀδελφὴν, τοῦ Ἐπιφανοῦς Ἀντιόχου παραιτησαμένου τὸν γάμον, ὅτι μὴ Ἰουδαΐσαι ἐβούλετο. Καὶ Μαριὰμ κατηγγύησεν ἀρχελάῳ τῷ Ἐλκίου παιδὶ, ὑπ' Ἀγρίππα τοῦ πατρὸς πρώην μνηστευθεῖσαν αὐτῷ. Φήλιξ δὲ τῆς Ἰουδαίας ἐπιτροπεύων, καὶ τὴν Δρουσίλλαν ἰδὼν κάλλους περιττῶς ἔχουσαν, ἐάλω τῷ ταύτης ἔρωτι, καὶ πείθει καταλιποῦσαν τὸν ἄνδρα, αὐτῷ γαμηθῆναι. Τεκοῦσα δ' ἐξ αὐτοῦ παῖδα, Ἀγρίππαν αὐτὸν ὠνόμασε. Λέγεται δὲ κατὰ τοῦ, Τίτου χρόνους ἡ γυνὴ σὺν τῷ παιδὶ νεανίᾳ γεγενημένῳ ἀφανισθῆναι κατὰ τὸ Βέσβιον ὄρος, πυρῤῥόρον ὄν, καὶ τότε μᾶλλον ἐκπυρωθέν. Βερενίκη δὲ ἑτέρα ἀδελφὴ τοῦ Ἀγρίππου, συνοικοῦσα Ἡρώδῃ τῷ θείῳ, θανόντος ἐκείνου, Πολέμωνι συνηρμόσθη, περιτμηθῆναι θελήσαντι διὰ τὴν φήμην, τὴν λέγουσαν αὐτὴν τῷ ἀδελφῷ συνιέναι κατ' ἔρωτα, ἵν' οὕτω τὴν διαβολὴν ἀποφήνῃ ψευδῆ. Οὐ μὴν ἔμεινεν ὁ γάμος ἐπὶ πολὺ, τῆς Βερενίκης καταλιπούσης τὸν Πολέμωνα. Τελευτᾷ δὲ Κλαύδιος Καῖσαρ, βασιλεύσας ἔτη τρισκαίδεκα, καὶ μῆνας ὀκτὼ, ἐφ' ἡμέραις εἴκοσι. Λόγος δὲ ἦν, ὡς ὑπὸ τῆς γυναικὸς Ἀγριππίνης φαρμάκοις ἀνῄρητο. Ἧς πατὴρ ἦν Γερμανικὸς, ὁ Καίσαρος ἀδελφὸς, ἀνὴρ δὲ Δομέτιος

Αἰνόβαρβος (75) τῶν ἐπισήμων ἐν Ῥώμῃ· οὗ τελευτήσαντος, χηρεύουσαν αὐτὴν ὁ Κλαύδιος ἄγεται, ἔχουσαν καὶ παῖδα Δομέτιον ὁμώνυμον τῷ πατρί. Προανῃρήκει γὰρ τὴν γυναῖκα Μεσαλίναν διὰ ζηλοτυπίαν, ἐξ ἧς παῖδας εἶχε Βρεττανικὸν καὶ Ὀκτάβιον. Καὶ Ὀκταβίαν δὲ πρεσβυτάτην τῶν ἀδελφῶν ἐκ προτέρας ἑτέρας γυναικὸς εἶχεν, ἣν τῷ Νέρωνι ἥρμοσε· τοῦτο γὰρ τὸν τῆς Ἀγριππίνης υἱὸν τὸν Δομέτιον μετωνόμασεν ὕστερον ὁ Καῖσαρ, εἰσποιησάμενος αὐτόν. Ἵνα τοίνυν τούτῳ τὴν αὐταρχίαν περιποιήσηται ἡ μήτηρ Ἀγριππίνα, κτείνει φαρμάκῳ τὸν Κλαύδιον. Ἀλλὰ ταῦτα μὲν ἐν τοῖς οἰκείοις καιροῖς καὶ τόποις εἰρήσεται. Ὁ δὲ λόγος τῆς ἀκολουθίας ἐχέσθω.

ΙϚ'. Εἶχε μὲν οὖν ὁ Νέρων μετὰ Κλαύδιον τὴν τῶν Ῥωμαίων ἀρχήν, τὰ δὲ κατὰ τὴν Ἰουδαίαν ἐπιδίδου πρὸς τὸ χεῖρον διηνεκῶς, καὶ λῃστηρίων ἡ χώρα ἐμπέπληστο, καὶ γοήτων, ἀπατώντων τὸν ὄχλον, ὧν πολλοὺς ὁ Φῆλιξ συλλαμβάνων ἀνῄρει. Ἔχων δὲ ἀπεχθῶς πρὸς Ἰωνάθην τὸν ἀρχιερέα ὁ Φῆλιξ, πολλάκις αὐτὸν νουθετοῦντα περὶ τοῦ κρειττόνως προΐστασθαι τῶν κατὰ τὴν Ἰουδαίαν, πρόφασιν ἐζήτει, δι' ἣν τὸν ἐνοχλοῦντα συνεχῶς μεταστήσεται, καὶ διὰ τῶν λῃστῶν αὐτὸν ἀναιρεῖ· οἳ ἐν τῷ ναῷ παραγεγονότες ὡς προσκυνήσοντες, καὶ ξιφίδια φέροντες ὑπὸ τὰς ἐσθῆτας, ἀνεμίχθησαν τῷ πλήθει, καὶ τὸν Ἰωνάθην ἀνεῖλον. Ἀνεκδικήτου δὲ τοῦ τολμήματος μείναντος, ἀδεῶς οἱ λῃσταὶ ἀναβαίνοντες, οὓς μὲν οἰκείους ἐχθροὺς ἀνῄρουν, οὓς δ' ἑτέρων ἐπὶ μισθῷ. Γόητες δὲ καὶ ἀπατεῶνες ἄνθρωποι τὸν ὄχλον ἀνέπειθον, ἕπεσθαι σφίσιν εἰς τὴν ἐρημίαν, δείξουσιν ἐναργῆ σημεῖα καὶ τέρατα γινόμενα ἐκ Θεοῦ· ὧν πολλοὺς ὁ Φῆλιξ ἐκόλαζεν· οἱ δέ γε λῃσταὶ τὸν δῆμον εἰς τὸν πρὸς Ῥωμαίους ἠρέθιζον πόλεμον, θέλοντας μὴ ὑπακούειν αὐτῶν, καὶ τὰς τῶν μὴ πειθομένων κώμας ἐμπιπρῶντες διέφθειρον. Σύρων δὲ καὶ Ἰουδαίων τὴν Καισάρειαν οἰκούντων, οἱ μὲν Ἰουδαῖοι πρωτεύειν ἠξίουν, ὡς Ἡρώδου τοῦ σφῶν βασιλέως τὴν πόλιν ἐγειραντος· Σύροι δὲ τὰ μὲν περὶ τὸν Ἡρώδην ὡμολόγουν, ἔφασαν δὲ καὶ πρώην, πόλιν εἶναι Στράτωνος καλουμένην πύργον, καὶ μηδένα τότε τὴν πόλιν Ἰουδαῖον οἰκεῖν. Διὰ ταῦτα τοίνυν τῶν Καισαρέων στασιαζόντων, οἱ τῆς χώρας ἐπιμελούμενοι πληγαῖς τοὺς αἰτίους ᾐκίσαντο, καὶ πρὸς ὀλίγον τὸν θόρυβον κατεκοίμισαν. Ἀλούτῳ δὲ τῶν Σύρων οἱ Ἰουδαῖοι προέχοντες, καὶ διὰ τοῦτο καταφρονοῦντες αὐτῶν, ἐβλασφήμουν αὐτούς. Οἱ δὲ χρήμασι μὲν ἡττώμενοι, θαῤῥοῦντες δὲ ὅτι πλεῖστοι τῶν ὑπὸ Ῥωμαίους στρατευομένων Καισαρεῖς ἦσαν, μέχρι μέν τινος καὶ αὐτοὶ λόγοις τοὺς Ἰουδαίους ἀνθύβριζον· εἶτα λίθοις ἀλλήλους ἔβαλλον, ἕως πολλοὶ ἐτρώθησάν τε καὶ ἔπεσον ἀμφοτέρωθεν· νικῶσι δὲ Ἰουδαῖοι. Ὁ μέντοι Φῆλιξ παύσασθαι τοὺς Ἰουδαίους ἐκέλευε, καὶ μὴ πειθομένοις τοὺς στρατιώτας ἐπαφίησι· καὶ πολλοὺς μὲν ἀνεῖλε, πλείους δὲ ζῶντας συνέσχε, καὶ οἰκίας διαρπάζειν τοῖς στρατιώταις ἐπέτρεψεν. Οἱ δὲ τῶν Ἰουδαίων ἐπιεικέστεροι καὶ οἱ πρώτοχοντες, παρεκάλουν τὸν Φῆλικα τοὺς στρατιώτας ἀναλαλέσασθαι, καὶ φείσασθαι αὐτῶν, δοῦναί τε ἐπὶ τοῖς πεπραγμένοις μετάνοιαν. Καὶ ὁ Φῆλιξ ἐπείσθη. Ὁ δὲ βασιλεὺς Ἀγρίππας δίδωσι τὴν ἀρχιερωσύνην Ἰσμαὴλ υἱῷ τοῦ Φαβεί. Ἔσχον δὲ πρὸς ἀλλήλους ἔχθραν οἵ τε ἀρχιερεῖς σὺν τοῖς πρώτοις τῶν

A XVI. Post Claudii interitum, Nerone imperium adepto, res Judaicæ continenter in deterius sunt prolapsæ, provincia latrociniis et impostoribus populum seducentibus repleta, quorum multos Felix sustulit: qui Jonathæ pontifici ob crebras ejus, ut Judæam melius gubernaret, admonitiones infensus, occasionem tam molesti interpellatoris tollendi quæritans, curat ut latrones per speciem adorandi, turbæ hominum in templo immisti, sicas sub vestibus gestantes, Jonatham occidant. Quo facinore non vindicato, sicarii citra metum urbem ingressi, tum suos tum aliorum inimicos mercede peremerunt. Ad hæc præstigiatores et impostores turbæ persuaserunt, ut se in loca deserta sequerentur, evidentia signa et miracula divinitus edita ostensuros: quorum multos Felix suppliciis affecit. Latrones vero plebem ad bellum Romanis, quibus parere detrectabant, inferendum concitabant: eorumque pagos qui parere nollent, incendebant. Cæsareæ vero, quam Judæi et Syri incolebant, principatum Judæi hac ratione sibi vindicabant, quod eam urbem Herodes B rex suus instaurasset. Quod etsi confitebantur Syri, tamen prius quoque urbem fuisse Stratonis turrem asserebant, nemine tum ibi Judæo degente. Hac de causa Cæsariensibus tumultuantibus provinciæ præsides, sontibus flagris cæsis, tumultum nonnihil represserunt. Cæterum Judæi, opibus superiores, Syros contemnebant, et convitiis incessebant. Illi vero ut minus, pecunio si, ita eo freti, quod plurimi Cæsarienses sub Romanis stipendia mererent, aliquandiu verborum contumelias in Judæos regesserunt. Inde ad lapides ventum, donec utrinque multi vulnerati C sunt, multi occubuerunt, victoria tamen penes Judæos fuit. Quos cum Felix frustra monuisset ut desinerent: militibus immissis multos occidit, plures vivos comprehendit, eorumque domos diripi jussit. Sed qui moderatiores inter Judæos erant, ab illo precibus impetrarunt, ut revocatis militibus populo parceret, delictorum venia concessa. Agrippa rex pontificatum Ismaeli Fabii filio dedit. Cum autem inter pontifices et sacerdotes atque primos civitatis Hierosolymitanæ inimicitiæ intercederent, et conviciis et lapidibus est certatum, neque qui eos castigaret, aut seditionem premeret, quisquam fuit. Ac pontifices eo impudentiæ sunt progressi, ut ministris suis in areas missis, decimas sacerdotibus debitas raperent. Unde sacerdotes tenuiores ad egestatem redacti, D

289

Variæ lectiones et notæ.

(75) Αἰνόβαρβος. Colb. Βάσσαρος.

fame perierunt. Porcio Festo a Nerone Felici successore dato, Judæi Cæsarienses Felicem apud imperatorem accusarunt : ac dedisset ille forte pœnas injuriarum, nisi frater ejus Pallas, qui gratia multum valebat, Neronis iram mitigasset. Sed et Cæsarienses Syri Beryllo Neronis pædagogo pecunia conciliato, litteras impetrarunt, quibus Judæis æquale jus Cæsariensis civitatis adimebatur. Unde mala quæ gentem post oppresserunt, ortum habuere. Ob eas enim litteras Judæi seditionem contra Syros magis ursernnt, donec bellum exarsit.

A Ἱεροσολυμιτῶν, καὶ ἐκκολόγουν ἀλλήλους, καὶ λίθοις ἔβαλλον, καὶ ὁ ἐπιπλήξων καὶ τὴν στάσιν κωλύσων οὐκ ἦν. Ἐς τοσοῦτον οἱ ἀρχιερεῖς ἠναιδεύσαντο, ὡς καὶ πέμπειν ἐπὶ τὰς ἅλωνας, καὶ βίᾳ λαμβάνειν τὰς τοῖς ἱερεῦσιν ὀφειλομένας δεκάτας, ὅθεν οἱ ἄποροι τῶν ἱερέων ὑπ' ἐνδείας ἀπέθνησκον. Πορκίου δὲ Φήστου ὑπὸ Νέρωνος σταλέντος διαδόχου τῷ Φήλικι, οἱ Καισαρεῖς Ἰουδαῖοι κατηγόρησαν τοῦ Φήλικος παρὰ Νέρωνι· καὶ τάχα ἂν ἔτισε δίκας, τῶν εἰς αὐτοὺς ἀδικημάτων, εἰ μὴ Πάλλας ὁ ἀδελφὸς αὐτοῦ μέγα δυνάμενος παρὰ Νέρωνι, τὴν αὐτοῦ ὀργὴν παρῃτήσατο. Καὶ οἱ ἐν Καισαρείᾳ δὲ Σύροι Βήρυλλον τὸν Νέρωνος παιδαγωγὸν δεξιωσάμενοι χρήμασιν, ἐπιστολὴν κομίζονται Καίσαρος δι' αὐτοῦ τὴν Ἰουδαίαν ἰσοπολιτείαν ταῖς ἐν Καισαρείᾳ Σύροις ἄκυρον ἀποφαίνουσαν, ἐξ ἧς τὰ μετὰ ταῦτα κακὰ τῷ ἔθνει ἐφύησαν. Διὰ ταύτην γὰρ τὴν ἐπιστολὴν Ἰουδαῖοι πρὸς τοὺς Σύρους μᾶλλον στάσεως εἶχοντο, μέχρις ἂν ἀνήφθη ὁ πόλεμος.

XVII. Festus autem Judæam latrociniis afflictam reperit. Nam Sicarii aucti numero, ensiculos curvos gestantes, in festivitatibus populo immisti, facile quos libitum erat perimebant, pagosque et diripiebant et incendebant. Porro cum præstigiator quidam salutem iis polliceretur, qui se usque ad desertum comitari vellent : Festus et ipsum, et eos quos seduxerat, copiis immissis interfecit. Agrippam vero regem ex magno domicilio quod in regia ædificarat, quidquid in templo ageretur spectare, cives ægre ferentes, murum struxerunt, quo non tantum regiæ conspectus, sed et occidentalis porticus, ubi Romani propter templum in festivitatibus custodias habebant, intercipiebatur. Id ægre Agrippa, Festus ægrius tulit, ac murum diruere voluit. Sed rogatu civium **290** permisit, ut x principes viros una cum Ismaele pontifice et Helcia thesauri custode ad Neronem de ea re ablegarent : qui in gratiam Poppeæ uxoris pro Judæis intercedentis, ædificium id manere jussit. Poppæa porro cæteris dimissis, Ismaelem et Helciam obsides retinuit. Quo Agrippa rex audito, Josepho Decabizo Simonis viri pontificis filio, deinde eodem ejecto Anano Anani filio pontificatum confert. is junior Ananus pontificatu suscepto, homo confidens et temerarius, Festo mortuo, ejusque successore Albino nondum in Judæam profecto, indicto concilio, ut Josephi verbis utar, Jacobum Jesu, qui Christus dicitur, fratrem, et alios quosdam in medium productos, violatarum legum reos facit, et lapidandos curat. Id factum modestissimi quique, et legum observantissimi cives ægre tulerunt, eumque et apud Albinum et apud Agrippam detulerunt. Quamobrem rex ei pontificatum, tres menses eo functo, ereptum, Mnaseæ filio Jesu tradidit. Albinus vero cum Hierosolyma venisset, operam dedit ut provincia pacata esset, multis sicariis interfectis. Agrippa Jesu pontifici Mnaseæ filio successorem dat Jesum Gamalielis filium. Unde infer pontifices, quorum uterque audacissimos sibi homines ascivit, orta seditio, a conviciis usque ad lapidationem est progressa. Ab eo tempore Hierosolymitana urbs pessime habere, atque omnia in pejus ruere cœperunt. Albinus vero cum didicisset Gessium

B ΙΖ'. Φῆστος δὲ εἰς τὴν Ἰουδαίαν ἐλθών, κακουμένην ταύτην εὗρεν ὑπὸ λῃστῶν. Καὶ οἱ Σικάριοι γὰρ καλούμενοι (λῃσταὶ δὲ καὶ οὗτοι ἦσαν) τότε μᾶλλον εἰς πλῆθος συνέστησαν, χρώμενοι ξιφιδίοις ἐπικαμπέσι, καὶ ὁμοίως ταῖς ὑπὸ Ῥωμαίων καλουμέναις σίκαις, ἀφ' ὧν καὶ Σικάριοι ὠνομάσθησαν· οἳ κατὰ τὰς ἑορτὰς τῷ πλήθει ἀναμιγνύμενοι, οὓς ἐβούλοντο ῥᾳδίως ἀπέσφαττον, καὶ τὰς κώμας δὲ διήρπαζόν τε καὶ ἐνεπίμπρασαν. Πέμπει δὲ Φῆστος δύναμιν ἐπὶ τοὺς ἀπατηθέντας ὑπό τινος γόητος, σωτηρίαν ἐπαγγελλομένου τοῖς ἕπεσθαι θέλουσι μέχρι τῆς ἐρημίας αὐτῷ, κἀκεῖνόν τε τὸν ἀπατεῶνα καὶ τοὺς ἀκολουθήσαντας οἱ πεμφθέντες διέφθειραν. Ὁ μέντοι βασιλεὺς Ἀγρίππας οἴκημά τι μέγα δομησάμενος ἐν τοῖς βασιλείοις ἐκεῖθεν ἐθεᾶτο τὰ ἐν τῷ ἱερῷ ἐνεργούμενα. Πρὸς τοῦτο δ' ἐχαλέπαινον οἱ τῆς πόλεως. Τοῖχον οὖν ἐγείρουσιν, ὃς οὐ τῆς βασιλικῆς οἰκίας μόνης τὴν ἄποψιν ὑπετέμνετο, ἀλλὰ καὶ τῆς πρὸς δύσιν στοᾶς, ἔνθα τὰς φυλακὰς οἱ Ῥωμαῖοι ταῖς ἑορταῖς ἐποιοῦντο διὰ τὸ ἱερόν. Ἐπὶ τούτοις ἠγανάκτησεν Ἀγρίππας, καὶ πλέον ὁ Φῆστος, καὶ καθελεῖν τὸν τοῖχον ἐβούλετο. Οἱ δὲ παρεκάλεσαν ἐνδοθῆναι αὐτοῖς, δεηθῆναι τοῦ Καίσαρος. Καὶ συγχωρήσαντος Φήστου, πέμπουσι δέκα ἐκ τῶν πρώτων πρὸς Νέρωνα, καὶ Ἰσμαὴλ τὸν ἀρχιερέα, καὶ Ἑλκίαν τὸν γαζοφύλακα. Καὶ ὁ Νέρων τῇ γυναικὶ Ποππαίᾳ ὑπὲρ Ἰουδαίων ἀξιούσῃ χαριζόμενος, ἐκέλευσεν ἐᾶν τὴν οἰκοδομήν. Καὶ ἡ Ποππαία τοὺς μὲν ἄλλους ἀφῆκεν ἐπανελθεῖν, τὸν δὲ Ἰσμαὴλ καὶ τὸν Ἑλκίαν κατέσχε παρ' ἑαυτῇ δημηρεύοντας. Καὶ ὁ βασιλεὺς Ἀγρίππας ταῦτα πυθόμενος, δίδωσι τὴν ἀρχιερωσύνην Ἰωσὴφ τῷ καλουμένῳ Δεκαβίζῳ, υἱῷ τοῦ ἀρχιερατεύσαντος Σίμωνος· εἶτα τῷ Ἀνάνῳ, υἱῷ τοῦ Ἄνα ταύτην, ἐξ Ἰωσὴφ ἀφελόμενος προσεκλήρωσεν. Οὗτος οὖν ὁ νέος Ἄνας τὴν ἀρχιερωσύνην παρειληφὼς, τολμητίας ἦν καὶ θρασύς. Φήστου τοίνυν θανόντος, καὶ Ἀλβίνου μήπω καταλαβόντος τὴν Ἰουδαίαν, ὃς ἀντὶ Φήστου παρὰ Νέρωνος ἐστάλη τῆς Ἰουδαίας ἐπίτροπος, καθίσας συνέδριον, ἵν' αὐτοῖς τοῖς Ἰωσήπου χρήσωμαι ῥήμασι, παράγει τὸν ἀδελφὸν Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ, Ἰάκωβος ὄνομα αὐτῷ, καί τινας ἑτέρους, ὡς παρανομησάντων κατηγορῶν αὐτῶν, καὶ παρέδωκε λευσθησομένους. Ὅσοι δὲ τῶν κατὰ τὴν πόλιν ἐδόκουν ἐπιεικέστατοι, καὶ περὶ τοὺς νο-

μους ἀκριβεῖς, βαρέως ἤνεγκαν ἐπὶ τούτῳ, καὶ κατ- A Florum sibi successorem datum, productis vinctis, εἶπον αὐτοῦ καὶ πρὸς Ἀλβῖνον καὶ πρὸς Ἀγρίππαν. Διὸ τὴν ἀρχιερωσύνην ἀφελόμενος ὁ βασιλεὺς ἐξ αὐτοῦ, μῆνας ἄρξαντος τρεῖς, Ἰησοῦν τὸν τοῦ Μναστέα κατέστησεν. Ἀλβῖνος δ' ἐλθὼν εἰς Ἱεροσόλυμα, σπουδὴν εἰσήνεγκεν εἰρηνεύειν τὴν χώραν, καὶ πολλοὺς τῶν Σικαρίων διέφθειρεν. Ἀγρίππας δὲ δίδωσι τὴν ἀρχιερωσύνην Ἰησοῦ τῷ τοῦ Γαμαλιήλ, παύσας τὸν τοῦ Μνασέα Ἰησοῦν. Στάσις οὖν των ἀρχιερέων ἐγένετο, προσεταιρισαμένων τοὺς θρασυτάτους, καὶ μέχρι λίθων ἡ στάσις ἐξ ὕβρεων τῶν πρὸς ἀλλήλους προὐχώρησεν. Ὅθεν ἐξ ἐκείνου τοῦ χρόνου μάλιστα κακῶς ἔχειν τὴν τῶν Ἱεροσολύμων πόλιν συμβέβηκε, καὶ πάντα ἐπὶ τὸ χεῖρον προέκοπτον. Ἀλβῖνος δὲ Γέσιον Φλῶρον μαθὼν ἀφικνεῖσθαι οἱ διάδοχον, προαγαγὼν τοὺς δεσμώτας, ὅσοι ἦσαν αὐτῷ προδήλως B Gesius autem Florus Albini successor, Judæos θανεῖν ἄξιοι, τούτους μὲν ἀναιρεθῆναι προσέταξε· τοὺς δ' ἐκ μικρῶν αἰτιῶν καθειργμένους, χρήματα λαμβάνων ἀπέλυε. Καὶ οὕτως ἡ μὲν εἰρκτὴ τῶν δεσμωτῶν ἐκενώθη, ἡ χώρα δὲ ληστῶν ἐπληρώθη. Ὁ δ' Ἀγρίππας τὸν τοῦ Γαμαλιὴλ Ἰησοῦν τῆς ἀρχιερωσύνης ἐκβαλὼν Ματθίᾳ τῷ Θεοφίλῳ προσένειμεν, ἐφ' οὗ ὁ πρὸς Ῥωμαίους ἦρξατο πόλεμος. Ἦρξατο μὲν οὖν ἡ ἀρχιερωσύνη ἐξ Ἀαρών· τελευτήσαντος δὲ ἐκείνου οἱ παῖδες αὐτοῦ αὐτὴν διεδέξαντο, καὶ ἐξ ἐκείνων τοῖς ἀπ' αὐτῶν διέμεινεν ἡ τιμή. Ὅθεν πάτριον ἦν Ἰουδαίοις, μηδένα τὴν ἀρχιερωσύνην λαμβάνειν, κἂν βασιλεὺς ἦν αὐτῆς ἐφιέμενος, εἰ μὴ τοὺς ἐξ αἵματος Ἀαρών· εἰ καὶ οὐ μέχρι παντὸς τὸ ἔθος τοῦτο τετήρητο. Ἐγένοντο οὖν πάντες ἀπὸ Ἀαρὼν μέχρι Φινεὲς τοῦ κατὰ τὸν πόλεμον ὑπὸ τῶν στασιασάντων ἀναδειχθέντος, ὀγδοήκοντα καὶ τρεῖς. Γέσιος δὲ Φλῶρος, εἰς Ἰουδαίαν Ἀλβίνου διάδοχος ἀφικόμενος, πολλῶν ἐνέπλησεν Ἰουδαίους κακῶν. Τοσοῦτον δὲ γέγονε κάκιστος, ὥστε διὰ τὴν ὑπερβολὴν τῆς αὐτοῦ κακίας ἐπαινεῖσθαι τὸν Ἀλβῖνον ὡς εὐεργέτην. Ὁ μὲν γὰρ τὴν πονηρίαν ἐπέκρυπτε, καὶ ἀδικῶν, μὴ γίνεσθαι κατάφωρος ἔσπευδε· Φλῶρος δὲ ἀπαραχαλύπτως καὶ ἀναιδῶς τὰς εἰς τὸ ἔθνος παρανομίας ἐποίει, ὥσπερ ἐπιδεικνύμενος. Καὶ τί δεῖ τῶν ἐκείνου κακῶν ἀπαριθμῶν τὸ καθ' ἕκαστον; Τοσοῦτον δ' εἰπὼν δηλώσω τὸ πᾶν, ὅτι ὁ τοὺς Ἰουδαίους τὸν πρὸς Ῥωμαίους ἄρασθαι πόλεμον βιασάμενος Φλῶρος ἦν. Ἔλαβε δὲ τὴν ἀρχὴν ὁ πόλεμος δευτέρῳ μὲν ἔτει τῆς Φλώρου ἐπιτροπῆς, δωδεκάτῳ δὲ τῆς μοναρχίας τοῦ Νέρωνος.

Florum sibi successorem datum, productis vinctis, eos qui manifeste necem meruerant, occidi jussit; qui vero ob parva crimina in carcerem compacti fuerant, eos accepta pecunia dimisit. Ita carcer maleficis factus est vacuus, regio latronibus referta. Agrippa, Jesu Gamalielis filio ejecto, pontificatum Matthiæ Theophilo assignavit, sub quo bellum Romanum cœpit. At pontificatus initia sunt ab Aarone profecta, cui defuncto filii eorumque posteri in eo honore successerunt. Unde receptum apud Judæos fuit, ne cui vel regi pontificatus expetenti tribueretur, nisi iis qui essent ex sanguine Aaronio: etsi ea consuetudo non perpetuo observata est. Pontifices ab Aarone usque ad Phineem, in bello a seditiosis declaratum, **291** m et LXXX fuere. Gesius autem Florus Albini successor, Judæos plurimis oppressit malis; nam tantum improbitate excelluit, ut propter insignem ejus maleficentiam, Albini beneficentia celebretur. Nam hic quidem malitiam suam occultare studuit, ac sollicite cavit, ne suæ injuriæ deprehenderentur. Florus autem palam atque impudenter iniquitatem in populum, et quasi per ostentationem exercuit. Sed quorsum attinet ejus scelera singulatim recensere, cum res paucis expediri queat: qui Judæos bellum Romanis inferre coegerit, Florum fuisse? Id vero bellum cœpit secundo anno procurationis Flori, monarchiæ Neronis duodecimo.

ΙΗ'. Ἐντεῦθεν οὖν ἡ τῶν Ἰουδαίων ἀποστασία εἰς C προῦπτον ἀνερράγη, καὶ ὁ πόλεμος ἤρξατο. Διηγήσασθαι δὲ τούτου ἕκαστα, πλείονος ἂν γένοιτο πραγματείας ἢ κατὰ τὴν παροῦσαν ἐγχείρησιν. Ἀλλὰ τὰ μὲν ἄλλα ἐᾶσαί μοι κέκριται, μόνα δ' ἐπιτεμεῖν τὰ περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων αὐτῶν. Οὐεσπασιανὸς γὰρ παρὰ Νέρωνος, μαθόντος τὴν Ἰουδαίων ἀποστασίαν, τὴν τοῦ πολέμου διοίκησιν πιστευθείς, οὐ πρώτοις τοῖς Ἱεροσολύμοις προσέβαλεν, ἀλλὰ τὰς ὑπὸ τὴν μητρόπολιν ἔσπευσε πρότερον ἑλεῖν πόλεις, καὶ οὕτως αὐτὴν χειρώσασθαι τὴν μητρόπολιν. Καταλαβὼν οὖν τὴν Πτολεμαΐδα, καὶ ἑνωθεὶς ἐν αὐτῇ τῷ υἱῷ Τίτῳ ἐξ Ἀλεξανδρείας ἀφικομένῳ, καὶ τὸ πεντεκαιδέκατον τάγμα κομίζοντι, σταλέντι παρ' αὐτοῦ ἐξ Ἀχαΐας, ὅπου τοῦ πολέμου στρατηγὸς κεχειροτόνητο παρὰ Νέρωνος (ἐν Ἀχαΐᾳ γὰρ ἐτύγχανεν ὢν ἐκεῖνος, ὅτε ἡ τῶν Ἰουδαίων ἀποστασία κατηγγέλθη αὐτῷ) κατὰ τῆς Γαλιλαίας πρότερον ὥρμησε, καὶ τῇ πόλει τῶν Ἰωταπάτων πρώτῃ προσβαλὼν, καὶ ἐπὶ τεσσαράκοντα πολιορκήσας ἡμέρας, πορθεῖ μὲν αὐτὴν, αἱρεῖ δὲ τὸν Ἰώσηπον Ἰωσήπου τὸν τοῦ Γαμαλιήλου τὸν ἐκ τῆς Ἱερεμίου γενεᾶς, ἀνδρὸς ἐν τοῖς πρώτοις τῶν Ἰουδαίων καὶ μεγάλην ἔχοντος δόξαν, ἐν τοῖς ἐπιφανεστάτοις τῶν Ἱεροσολύμων ἀνατεθραμμένον, καὶ τὰ πάτρια σοφίᾳ πλείστῃ παιδευθέντα· ὃς καὶ πολλὰ τοῖς Ἰουδαίοις ἐπολέμησε, καὶ τὴν ἐν Γαλιλαίᾳ στρατηγίαν ἐπιτραπεὶς, ἐπὶ τὸν Νέρωνα ἀνεκλήθη, καὶ τὸν πρὸς Ῥωμαίους πόλεμον ἐπὶ τοσοῦτον ἐποίησεν. Ἐπεὶ δὲ καὶ τὰ τούτου πράγματα ἐπὶ πλεῖστον ἐκτείνεται, καὶ μεγάλης ἐπιμελείας δεῖται, ἐπὶ τὰ ἑξῆς ἐπανέλθωμεν.

XVIII. Hinc igitur Judæorum defectio palam erupit', bellumque cœpit: cujus singulos veluti actus referre, majoris operæ fuerit, quam instituta brevitas patitur. Quare cæteris omissis, Hierosolymorum duntaxat excidium compendio referre decrevi. Nam cognita Judæorum defectione, Vespasianus, cui Nero belli administrationem crediderat, non Hierosolyma invasit primum, sed urbibus metropoli subjectis prius expugnatis, tum demum ipsam quoque domare instituit. Occupata igitur Ptolemaide, cum filio Tito, qui ab eo ex Achaia D missus, ubi a Nerone belli dux designatus fuerat, legionem decimam quintam Alexandria adduxerat, se conjunxit. Neroni enim in Achaia degenti, Judæorum defectio nuntiata fuit. Ac Galilæam primum aggressus, Jotapatis diebus XL expugnatis, Josephum Galilææ ducem, ejus urbis defensorem cepit. Inde alia castella atque oppidula, partim deditione, partim obsidione Romanis parere coegit. His jam confectis, ad ipsam metropolim obsidendam se accingebat, seditionibus et factionibus

adeo afflictam, ut civili bello et mutuis cædibus inter sese grassantes, homines bellicosi interirent. Verum id ejus consilium nuntius de Nerone, qui amisso imperio clam Roma profugisset, atque ipse sibi manus attulisset, repressit. Deinde cum Galbam imperio potitum esse cognovisset, Titum misit ad eum salutandum, et percontandum quid de Judæa fieri vellet? **292** Sed Titus in itinere Galbæ quoque cæde cognita, ad patrem est reversus: neque Hierosolymorum obsidionem tentarunt, ob incertum Romani imperii statum, sed Cæsareæ quieverunt. Galba sublato, Otho factus imperator, contra Vitellium, quem Germanicæ legiones imperatorem salutarant, copias misit: quibus superatis, sibi ipsi manus attulit. Vitellius adjunctis etiam Othoniis, Romam cum legionibus abiit. Vespasianus vero, si qua Judaica oppidula nondum expugnata supererant, ea quoque vastavit, ut tota Hierosolyma Romanis expugnanda restarent: quæ quidem, ut diximus, pessime se habebant. Foris enim Simon cum sua factione Judæis formidabilior erat quam Romani. Intus vero ii qui se Zelotas a studio religionis jactabant, eorumque dux Joannes, et Romanis et Simone graviores erant: atque urbanos eo necessitatis adegere, ut populus Simonem cum sua turba in urbem accerseret, spe illæ quidem reprimendæ Zelotarum tyrannidis: sed non animadvertit, se graviorem suis cervicibus tyrannum imposuisse. Dum hæc Hierosolymis geruntur, Vitellius Romam profectus imperator appellatur: quem cum Vespasianus, eo nuntio minime delectatus, dominum habere recusaret, a suis ducibus et militum consensu imperator salutatur.

A πὸν στρατηγοῦντα τῆς Γαλιλαίας, καὶ τῆς εἰρημένης ὑπερμαχοῦντα πόλεως. Ἐκεῖθεν δὲ καθ' ἑτέρων ἐχώρει φρουρίων καὶ πολισμάτων, καὶ τὰ μὲν ὁμολογίᾳ, τὰ δὲ πολιορκίᾳ ὑπὸ Ῥωμαίους ἐπράθη. Καὶ ταῦτα ἤδη κατεργασάμενος, ἡτοιμάζετο καὶ αὐτῇ προσμίξαι τῇ μητροπόλει, διακειμένῃ κακῶς ἐκ τοῦ πρὸς ἀλλήλους στασιάζειν τοὺς ἐν αὐτῇ, καὶ εἰς ἐμφυλίους ἐκκυλισθῆναι μάχας καὶ ἀλλήλων σφαγάς, κἀντεῦθεν τὸ μάχιμον διαφθείρεσθαι. Ἐπέσχε δὲ τῷ Οὐεσπασιανῷ τὴν ὁρμὴν ἀγγελθεὶς ὁ Νέρων τῆς αὐταρχίας ἐκπεπτωκώς, καὶ τῆς Ῥώμης λαθραίως ἐκδρὰς, καὶ ἑαυτὸν ἀνελών. Εἶτα Γάλβαν μαθὼν γενόμενον αὐτοκράτορα, Τίτον πέμπει πρὸς αὐτὸν, προσιόντά τε καὶ ὅ τι περὶ Ἰουδαίων κελεύει πευσόμενον. Ἔτι δὲ καθ' ὁδὸν ὄντος Τίτου, καὶ ὁ Γάλβας ἀνῄρητο. Ὅπερ ἀκούσας ὁ Τίτος, πρὸς τὸν πατέρα παλινοστεῖ, καὶ διὰ τὸ περὶ τῆς Ῥωμαίων ἀρχῆς ἀμφίβολον οὐκ ἐπεχείρουν τῇ κατὰ τῆς Ἱερουσαλὴμ προσβολῇ, ἀλλ' ἠρέμουν ἐν Καισαρείᾳ. Γάλβου δὲ ἀνῃρημένου, Ὄθων τὴν ἀρχὴν διεδέξατο. Τὰ δὲ ἐν Γερμανίᾳ τυγχάνοντα τάγματα Οὐϊτέλλιον ἀνηγόρευσαν αὐτοκράτορα. Στείλας οὖν Ὄθων ἐπολέμει Οὐϊτελλίῳ. Ἡττημένων δὲ τῶν ἀπεσταλμένων, Ὄθων ἑαυτὸν διεχρήσατο. Καὶ Οὐϊτέλλιος εἰς Ῥώμην ἀπῄει σὺν τοῖς στρατεύμασιν· ἤδη γὰρ αὐτῷ καὶ οἱ τοῦ Ὄθωνος προσεχώρησαν. Οὐεσπασιανὸς δὲ, εἴ τινα ἦσαν περίλοιπα τῶν Ἰουδαίων πολίχνια μήπω ἁλωκότα, στείλας ἐπόρθει καὶ ταῦτα, ὡς μόνην ἤδη τὴν τῶν Ἱεροσολύμων πόλιν σκοπὸν Ῥωμαίοις περιλιμπάνεσθαι. Ἐνόσει δὲ δεινῶς, ὡς εἴρηται, τὰ τῆς πόλεως. Ἔξωθεν μὲν γὰρ ὁ Σίμων καὶ οἱ περὶ αὐτὸν τοῖς Ἰουδαίοις Ῥωμαίων ἐτύγχανον φοβερώτεροι· ἔνδον δ' οἱ ζηλωταὶ καλούμενοι, καὶ ὁ τούτων ἐξάρχων Ἰωάννης, καὶ Ῥωμαίων ἦσαν καὶ τοῦ Σίμωνος χαλεπώτεροι. Σφοδρότατα δὲ βιαζομένων τοὺς ἐν τῇ πόλει τῶν ζηλωτῶν, ἠναγκάσθησαν οἱ τοῦ δήμου τὸν Σίμωνα μετὰ τοῦ περὶ αὐτὸν πλήθους εἰς τὴν πόλιν παρακαλοῦντες εἰσαγαγεῖν, ὡς τάχα τῆς τῶν ζηλωτῶν τυραννίδος αὐτοὺς ἀπαλλάξοντα· Ἔλαθον δὲ χείρονα καθ' ἑαυτῶν εἰσδεξάμενοι τύραννον. Τούτων δ' ἐν Ἱεροσολύμοις πραττομένων, Οὐϊτέλλιος τὴν Ῥώμην κατέλαβεν, αὐτοκράτωρ ἀναῤῥηθείς. Οὐεσπασιανῷ μαθόντι ταῦτα οὐκ ἤρεσκε, καὶ ἀπηξίου δεσπότην ἔχειν τὸν Οὐϊτέλλιον. Οἱ δ' ἡγεμόνες τῶν σὺν αὐτῷ ταγμάτων, ἀλλὰ μὴν καὶ οἱ στρατιῶται συνελθόντες, ἀναγορεύουσι τὸν Οὐεσπασιανὸν αὐτοκράτορα.

B

C

XIX. Solutirus, filio Tito Hierosolymorum obsidionem mandat: qui contractis in unum copiis Hierosolyma contendit, et XXX ab urbe stadiis castrametatus, de equitibus assumptis ad urbem speculandam et animos hostium periclitandos abit. Statim vero infiniti ex urbe procurrunt: ac plurimi ex Titi equitibus, furiosum Judæorum impetum cernentes, substiterunt. Ipse vero cum paucis, avulsus a cæteris, undique ab hostibus circumventus, animadverso periculo convertit equum, et suis sequi jussis in Judæos irruit: ac obviis quibusque gladio propulsatis, salvus in castra revertitur, duobus duntaxat comitum suorum cæsis. Postridie conscenso loco qui speculator dicitur, VII stadiis ab urbe distans, unde et urbs et templum spectatur, castra muniri jubet. Urbani vero subinde prius inter **293** se dimicare soliti, ob ingentem externi belli

ΙΘ'. Ὁ δὲ, μέλλων ἤδη ἐκπλεῖν, τῷ υἱῷ Τίτῳ τὴν τῶν Ἱεροσολύμων πολιορκίαν ἀνέθετο. Ὃς τὰς δυνάμεις συναγαγὼν, ἀπῄει πρὸς τὰ Ἱεροσόλυμα, καὶ πρὸ τριάκοντα σταδίων ἑστρατοπεδευκὼς, ἐκεῖθεν ἑξακοσίους τῶν ἐπιλέκτων ἱππέων παραλαβὼν, ἦει τὴν πόλιν κατασκεψόμενος, καὶ τὰ φρονήματα τῶν ἐντός. Ἐπεκθέουσι δὲ τῆς πόλεως ἄπειροι, καὶ οἱ μὲν πλεῖστοι τῶν μετὰ Τίτου, μανιώδη τὴν ὁρμὴν τῶν Ἰουδαίων ὁρῶντες, ἀνεκόπησαν τοῦ πρόσω χωρεῖν. Ὁ Τίτος δὲ, μετ' ὀλίγων τῶν ἄλλων ἀποτμηθεὶς, εἰς μέσους τοὺς πολεμίους ἐμπεριελήπτο. Καὶ γνοὺς ἐν κινδύνῳ τὰ κατ' αὐτὸν, ἐπιστρέφει τὸν ἵππον, καὶ τοῖς περὶ αὐτὸν ἐμβοήσας ἕπεσθαι, ἐμβάλλει τοῖς Ἰουδαίοις, καὶ τῷ ξίφει τοὺς ἐπιόντας ἀναστέλλων ἐπὶ τὸ στρατόπεδον, διασώζεται, δύο πεσόντων ἐκ τῶν ἑπομένων αὐτῷ. Μεθ' ἡμέραν οὖν ἐπὶ τὸν Σκοπὸν ἐλθὼν (τόπος δ' ἐστὶν οὕτω καλούμενος, διέχων τῆς πόλεως σταδίους ἑπτὰ, ὅθεν ἥ τε

D

πόλις καὶ ὁ νεὼς καταφαίνεται) περιβαλέσθαι κελεύει στρατόπεδον. Τῶν δ' ἐν τῇ πόλει συρρηγνυμένων ἀλλήλοις ἀεί, τότε πολὺς ἐπελθὼν ὁ ἔξωθεν πόλεμος, τὴν ἔριν ἀνέπαυσεν. Ἐμάχοντο οὖν τοῖς βαλλομένοις στρατόπεδον οἱ Ἰουδαῖοι, τῆς πόλεως ἐκτρέχοντες, καὶ ἐκάκουν τοὺς ἐναντίους, μᾶλλον δ' ἐκακοῦντο αὐτοί. Λωφήσαντος δὲ πρὸς βραχὺ τοῦ θώραθεν πολέμου, πάλιν τοῖς ἔνδον ἡ στάσις ἠγείρετο. Καὶ δόλῳ τὸ ἱερὸν ὁ Ἰωάννης σὺν τοῖς ζηλωταῖς κατασχὼν, πολλῶν ἀναιρεθέντων, κατεθάρρει τοῦ Σίμωνος. Ὁ δὲ Τῖτος ἐξομαλίσαι προστάταξε τὸ ἀπὸ τοῦ Σκοποῦ μέχρι τοῦ τείχους διάστημα· καὶ τὸ μὲν ἐγίνετο, Ἰουδαίοις δὲ κατὰ Ῥωμαίων ἐνέδρας μεμηχάντο. Οἱ γὰρ τολμηρότεροι τῶν στασιαστῶν, προελθόντες τῆς πόλεως, ὡς ἐκβεβλημένοι δῆθεν ὑπὸ τῶν τὰ εἰρηνικὰ φρονούντων, περὶ τὸ τεῖχος ἦσαν εἱλούμενοι· ἄλλοι δὲ, στάντες ἐπὶ τοῦ τείχους, ὡς ἐκ τοῦ δήμου τυγχάνοντες, εἰρήνην ἐβόων, καὶ δεξιὰν ἤτουν, καλοῦντες τοὺς Ῥωμαίους, ὡς τὰς πύλας ἀνοίξοντες. Τοῖς μὲν οὖν στρατιώταις οὐδὲν ὑπωπτεύετο, καὶ ἐχώρουν ἐπὶ τὸ ἔργον, Τίτῳ δὲ δι' ὑποψίας ἦν τῆς ἐπικλήσεως τὸ παράλογον. Πρὸ μιᾶς γὰρ ἡμέρας διὰ τοῦ Ἰωσήπου ἐπὶ συμβάσεις αὐτοὺς προκαλούμενος, οὐδὲν φρονοῦντας εὗρισκε μέτριον. Μένειν οὖν κατὰ χώραν τοὺς στρατιώτας ἐκέλευε. Φθασάντων δέ τινων πρὸς τὰς πύλας δραμεῖν, τὸ μὲν πρῶτον οἱ ἐκβεβλῆσθαι δοκοῦντες ὑπέφευγον· ὡς δὲ μεταξὺ τῶν τῆς πόλεως ἐγένοντο πύργων, ἐξέθεον, καὶ ἐκύκλουν αὐτούς. Καὶ οἱ ἐπὶ τοῦ τείχους βέλη κατ' αὐτῶν ἧφιεσαν, καὶ λίθους ἠκόντιζον, καὶ ἀνεῖλον συχνοὺς, καὶ πλείους κατέτρωσαν. Καὶ οἱ μὲν Ἰουδαῖοι ἐσκίρτων τοὺς θυρεοὺς ἀνασείοντες, τοῖς δὲ στρατιώταις ὁ Τῖτος ἤπείλει, καὶ οἱ ταξίαρχοι. Ἤδη δὲ τοῦ πρὸ τῶν τειχῶν χώρου ἐξισωθέντος, ἐκεῖ μεταθεῖναι βουλόμενος τὸ στρατόπεδον, τὸ καρτερώτατον τῆς δυνάμεως ἀντιπαρεξέτεινε τῷ τείχει, καὶ οὕτω πεπραγμένων Ἰουδαίοις τῶν ἐκδρομῶν, ἐστρατοπεδεύσαντο οἱ Ῥωμαῖοι ἐκεῖ. Τρισὶ δὲ τείχεσιν ἡ πόλις περιεβέβλητο· ὅπου δ' ἡ φύσις τοῦ τόπου ταύτην ὠχύρου, ἐνὶ περιβόλῳ διέζωστο· οὕτω δ' ἐχούσης τῆς πόλεως, ἄπορος ἐδόκει τῷ Τίτῳ ἡ προσβολή. Τέως δ' οὖν ἔδοξε κατὰ τὸ Ἰωάννου τοῦ ἀρχιερέως μνημεῖον προσβάλλειν, καὶ τοῖς τάγμασι δηοῦν τὰ πρὸ τῆς πόλεως ἐγκελεύεται, συμφορεῖν τε τὴν ὕλην, ἵν' ἐγείροιεν χώματα. Καὶ οἱ μὲν εἰς ἔργον ἦγον τὸ κέλευσμα· τῶν δὲ χωμάτων ἐγηγερμένων, προσάγειν τοὺς κριοὺς ὁ Τῖτος προστάττει, καὶ τύπτειν τὸ τεῖχος. Ἤδη τῶν κριῶν ἠρτημένων τριχόθεν, ἐξαισίου τε κτύπου τὴν πόλιν περιηχήσαντος, κραυγὴ παρὰ τῶν ἔνδον ἤρθη, καὶ οἱ στασιασταὶ, δείσαντες, ὠμονόησαν, κοινὴν τὴν ἄμυναν πρὸς τοὺς πολεμίους ποιεῖσθαι συνθέμενοι. Τῶν γε μὴν κριῶν τυπτόντων, οὐχ ὑπεδίδου τὸ τεῖχος πληττόμενον. Γωνία δέ τις μόνον ἑνὸς τῶν πύργων παρακεκίνητο, τὸ δὲ τεῖχος ἀκέραιον ἦν. Ἰουδαῖοι δὲ, τοὺς Ῥωμαίους ἐσκεδασμένους παρατηρήσαντες κατὰ τὸ στρατόπεδον, ἐκθέουσι πάντες, πῦρ ταῖς μηχαναῖς ἐπιφέροντες. Δεινὴ δὲ περὶ τὰς ἑλεπόλεις μάχη συνέπεσε, τῶν μὲν ὑποπιμπρᾶν, τῶν

A procellam d'rempta lite urbe excurrunt, cum iis qui vallum muniunt dimicant: et dum hostes cladibus afficiunt, pluribus ipsi afficiuntur. Externo bello paulisper quiescente, seditio rursus exoritur: et Joannes cum Zelotis templo multis cæsis per dolum occupato, Simoni se opponere ausus est. Dum autem intervallum, quod a speculatore ad mœnia pertinet, Titi jussu exæquatur, Judæi Romanis insidias struunt. Nam audaciores e seditiosis, urbem egressi, quasi a pacis studiosis ejecti essent scilicet, juxta mœnia versabantur: alii in mœnibus stantes quasi ex plebe homines, pacem clamabant, et dexteram petebant, Romanosque vocabant, quasi portas aperturi essent. Ac milites quidem nihil suspicati, opus aggrediebantur: Titus autem inexspectatam vocationem suspectam habebat. Nam cum B eos pridie per Josephum ad pactiones provocasset, nihil moderati responsi acceperat. Milites igitur suo loco manere jussit. Sed cum quidam ad portas jam procurrissent, ii qui se ejectos esse fingebant refugiebant: ut vero intra urbis turres illi pervenerant, excurrerunt, eosque circumvenerunt. Qui vero in mœnibus erant, tela et saxa contra eos jaculantes, occiderunt multos, plures convulnerarunt. Quo successu Judæi exsultabant, et scuta concutiebant: Titus vero et centuriones milites castigabant. Eo spatio quod ante mœnia est complanato, copiarum robur ad muros extendit: obstructisque Judæorum excursionibus, castra ibi C posuit. Urbs triplici muro circumdata fuit, ubi vero situ ipso muniebatur, simplici duntaxat: quod cum ita esset, oppugnatio difficillima Tito videbatur. Sed tamen visum est, juxta Joannis pontificis monumentum eam adoriri: idque legionibus indicari jubet, ut materiam ad excitandos aggeres comportarent. Quo facto, et aggeribus exstructis, arietes expediri jussit. Qui cum mœnia trifariam percussissent, et inusitatus fragor urbem circumsonuisset: clamore ab obsessis sublato, seditiosi territi, se hostes communi ope propulsaturos esse pepigerunt. Murus tamen ictibus arietum non cessit, angulo duntaxat **294** turris uniusemoto, muro incolumi. Judæi vero cum Romanos in castris dissipatos observassent, excurrunt omnes, et ignem machinis D injiciunt: ubi atrox pugna exorta est, his eas incendere, illis incendium cohibere conantibus. Sed Judæi ex desperatione superiores fuerant, et machinæ jam ardebant: ac nisi Titus cum equitibus subsidio venisset, conflagrassent. Nunc vero propugnatoribus Judæorum circiter XII cæsis, reliqui in urbem sunt compulsi: et unus Judæus vivus captus, ante mœnia in crucem actus est, ut eo aspectu perculsi cæteri se dederent. Sed cum Titus ligneas turres singulas L cubitum in aggeribus collocasset, Judæi arietum impetum non amplius prohibuerunt, cum ex illis ferirentur, ac male tractarentur. Jam vero muro etiam a Nicone (sic enim ipsi Judæi Romanorum maximam vocabant machinam) labefactato, plerique debilitatis animis

recesserunt : eodemque a Romanis occupato, in A alterum murum confugerunt. Muro primo xv diebus capto, secundus etiam adducta machina oppugnari cœptus : ac turri quadam labefactata, alii fugerunt.

δὲ κωλύειν βιαζομένων. Ἰουδαῖοι δὲ ὑπερεῖχον ἐξ ἀπονοίας, καὶ τὸ πῦρ τῶν ἑλεπόλεων ἥπτετο. Καὶ εἰ μὴ ὁ Τίτος σὺν τοῖς ἱππεῦσιν ἐπεβοήθησε, καὶ κατεφλέγησαν ἄν. Νῦν δὲ τῶν προμάχων τῶν Ἰουδαίων πεσόντων ὡς δώδεκα, οἱ λοιποὶ ἐνέκλιναν, καὶ συνηλάθησαν εἰς τὴν πόλιν. Ζωγρηθεὶς δὲ τῶν Ἰουδαίων εἷς, πρὸ τοῦ τείχους ἀνεσταυρώθη, εἰ πρὸς τὴν ὄψιν οἱ λοιποὶ καταπλαγέντες ἐνδοίεν. Πύργους δὲ πεντήκοντα πήχεων ἕκαστον ἐκ ξύλων τοῦ Τίτου κατασκευάσαντος, καὶ τοῖς χώμασιν αὐτοὺς ἐπιστήσαντος, οὐκέτι ἐκώλυον Ἰουδαῖοι τὰς ἐμβολὰς τῶν κριῶν, ἐκ τῶν πύργων βαλλόμενοι καὶ κακούμενοι. Ἤδη δὲ τῷ Νίκωνι τοῦ τείχους ἐνδιδόντος (αὐτοὶ γὰρ Ἰουδαῖοι τὴν μεγίστην ἑλέπολιν τῶν Ῥωμαίων οὕτως ἐκάλεσαν), μαλακισθέντες ἀνεχώρουν οἱ πολλοί. Καὶ τῶν Ῥωμαίων ἐπιβάντων αὐτοῦ, πάντες εἰς τὸ δεύτερον ἀναφεύγουσι τεῖχος. Καὶ οὕτως οἱ Ῥωμαῖοι τοῦ πρώτου τείχους ἐν πεντεκαίδεκα ἡμέραις ἐκράτησαν. Ἐντεῦθεν αὐτοῖς κατὰ τοῦ δευτέρου τείχους ἐγένοντο προσβολαί, καὶ προσάγεται ἡ ἑλέπολις· σαλευομένου δὲ τοῦ πύργου, καθ' οὗ τὰς ἐμβολὰς ἐποιεῖτο, οἱ μὲν ἄλλοι πεφεύγασι.

XX. Castor vero quidam, homo impostor, cum aliis x suppliciter extentis manibus Titum vocat : B cui ille fide adhibita, machinæ ictum inhibuit. Castor se descensurum professus est, ad petendam dexteram. Illi vero x partim supplicem cum eo gestum simulabant, partim se nunquam Romanis servituros clamitabant. Quare dum tempus teritur, Castor Simonem monet, ut quid facto sit opus deliberet, dum ipse Romanorum impetum inhiberet atque eluderet. Dolo tandem animadverso, Romani concitati, majoreque vi machinis impulsis, etiam secundum murum quinto post primum die ceperunt. Titus ingressus, vetuit, ne comprehensi carderentur, neve ædes incenderentur, neque etiam magnam partem muri dirui voluit. Malebat enim urbem sibi, templum urbi conservare. Seditiosi vero Romanos urbem ingressos adorti, alii in angiportis, alii ex ædibus, alii ex mœnibus feriebant : itaque præsidiarii e turribus desilientes, in castra revertebantur. Judæi vero cum ex notitia angiportuum **295** multos vulnerassent, et Romanos post secundum quoque murum captum fortiter repulissent, sustulerunt animos, ac fame jam per urbem serpente, multorum bonorum virorum ex annonæ penuria interitu seditiosi delectabantur, eos solos salvos esse cupientes, qui pacem aversarentur, aliorumque perniciem suam salutem interpretabantur. Romanis vero secundum murum denuo occupare studentibus, triduum restiterunt : quarto die impetum eorum non ferentes, in interiorem transierunt. Titus iterum potitus mœnibus, quantum ad D septentrionem spectat diruit : reliquis partibus præsidio imposito, ad tertium oppugnandum se paravit, et legiones bifariam dispertitus, aggeres excitare cœpit. Ex iis qui intus erant, seditiosi pertinaciter resistebant : populus vero transfugium spectabat, ac multi sane clam transfugiebant. Quod qui in animo habere videbantur, aut umbram tantum suspicionis præbebant, jugulabantur statim, eorumque bona diripiebantur ; locupletes vero, etiam falso transfugii crimine conficto, statim cædebantur, ut res eorum familiaris prædæ esset. Eam seditiosorum crudelitatem fames augebat. Nam ob cibariorum penuriam in ædes insiliebant, easque pervestigabant ; quarum habitatores se habere ne-

Κ'. Κάστωρ δέ τις ἀνὴρ γόης, μεθ' ἑτέρων δέκα προτείνων τὰς χεῖρας ὡς ἱκετεύων, ἐκάλει τὸν Τίτον. Ὁ δὲ, πιστεύσας, ἐπέχει τὴν ἐμβολὴν τοῦ κριοῦ, καὶ ὁ Κάστωρ καταβῆναι βούλεσθαι ἐπὶ δεξιᾷ ἔλεγε, καὶ τῶν σὺν αὐτῷ δέκα οἱ μὲν τὴν ἱκεσίαν συνυπεκρίνοντο, οἱ δ' οὐκ ἄν ποτε δουλεύσειν Ῥωμαίοις ἐβόων. Τριβομένης δ' ἐν τούτοις τῆς ὥρας, ὁ Κάστωρ ἐδήλου τῷ Σίμωνι, περὶ τῶν ἐπειγόντων βουλεύεσθαι, ὡς ἐμπαίζοντος Ῥωμαίοις αὐτοῦ, καὶ τὸ σφῶν ἐπέχοντος ὅρμημα. Τέλος δὲ γνωσθεὶς ἀπάτῃ τὸν καιρὸν παρέλκων, παρώξυνε τοὺς Ῥωμαίους τὰς ἐμβολὰς τοῦ κριοῦ ποιεῖσθαι δυνατωτέρας. Ἐάλω τοίνυν καὶ τὸ δεύτερον τεῖχος ἡμέρᾳ πέμπτῃ μετὰ τὸ πρῶτον. Παρελθὼν δ' ἐντὸς ὁ Τίτος, κτείνειν τε τοὺς καταλαμβανομένους ἐκώλυσε, καὶ μηδὲ τὰς οἰκίας ὑποπιμπρᾷν τοῖς στρατιώταις ἐκέλευσεν. Ἀλλ' οὐδὲ τοῦ τείχους πολὺ μέρος καθαιρεθῆναι ἠθέλησε· περὶ πλείονος γὰρ ἐποιεῖτο τὴν μὲν πόλιν ἑαυτῷ περισῶσαι, τῇ πόλει δὲ τὸν ναόν. Ἐπιτίθενται τοίνυν οἱ στασιασταὶ τοῖς ἐπελθοῦσιν εἰς τὴν πόλιν Ῥωμαίοις, καὶ οἱ μὲν κατὰ τοὺς στενωποὺς, οἱ δ' ἐκ τῶν οἰκιῶν, οἱ δ' ἐκ τοῦ τείχους αὐτοὺς ἔβαλλον. Καὶ οἱ τούτου φρουροὶ Ῥωμαῖοι, καθαλλόμενοι τῶν πύργων, ἀνεχώρουν εἰς τὸ στρατόπεδον. Ἰουδαῖοι δὲ κατ' ἐμπειρίαν τῶν στενωπῶν ἐτίτρωσκόν τε πολλοὺς, καὶ προσπίπτοντες ἐξώθουν. Ῥωμαῖοι μὲν οὖν κρατήσαντες, καὶ τοῦ δευτέρου τείχους, αὖθις ἐξώσθησαν, ἐπῆρτο δὲ τοῖς στασιασταῖς τὰ φρονήματα. Ἤδη δὲ καὶ ὁ λιμὸς ὑφέρπων τὴν πόλιν, πολλοὺς τῶν ἀγαθῶν ἀνδρῶν ἐνδεῖξι τῶν ἐπιτηδείων διέφθειρε. Τοῦτο δὲ τοῖς στασιασταῖς καταθύμιον ἦν, μόνους ἀξιοῦσι τοῦ σώζεσθαι, τοὺς μὲν εἰρήνην μὴ θέλοντας, τὴν δὲ τῶν ἄλλων φθορὰν ποιουμένοις κουφισμὸν ἑαυτῶν. Ῥωμαῖοι δὲ αὖθις ἀπεπειρῶντο κατασχεῖν τὸ τεῖχος τὸ δεύτερον· οἱ δὲ διεκώλυον, καὶ ἐπὶ τρισὶ μὲν ἡμέραις ἀντέσχον· τῇ δὲ τετάρτῃ μὴ ἐνεγκόντες τὴν προσβολὴν, εἰς τὸ ἐνδότερον μετεχώρησαν. Καὶ πάλιν ὁ Τίτος τοῦ τείχους κρατήσας, αὐτίκα τούτου καθῄρησε τὸ προσάρκτιον· τῷ λοιπῷ δ' ἐγκαταστήσας φρουράν, τῷ τρίτῳ προσβαλεῖν ἡτοιμάζετο. Καὶ διχῇ τὰ τάγματα διελών, ἐγείρειν ἤρχετο χώματα. Τῶν δ' ἐντὸς οἱ μὲν στασιασταὶ ἦσαν ἄτεγκτοι καὶ ἀνένδοτοι· ὁ δὲ δῆμος πρὸς αὐτομολίαν κεκίνητο, καὶ πολλοὶ λανθάνοντες ηὐτομόλουν. Οὓς δὲ τοῦτο βουλομένους οἱ στασιάζοντες;

ἔγνων, ἢ καὶ μόνην ἔσχον ὑπονοίας σκιὰν, εὐθέως ἀπέσφαττον· τοῖς δ' εὐπόροις καὶ ψευδῆ τὴν τῆς αὐτομολίας κατηγορίαν προσάπτοντες, τοὺς μὲν αὐτίκα διέφθειρον, τὰς δὲ ἐκείνων οὐσίας διήρπαζον. Ὁ λιμὸς δ' ἀκμάζων τὴν τῶν στασιαστῶν ὠμότητα ἤυξανε. Δι' ἔνδειαν γὰρ τῶν τροφῶν εἰσπηδῶντες, τὰς οἰκίας ἠρεύνων, καὶ τοὺς οἰκοῦντας ἀρνουμένους ἔχειν, εἰ μὲν εὗρισκον, ἤχιζον· εἰ δὲ οὐκ εὗρισκον, ὡς κρύψαντας ἐπιμελέστερον ἤταζον. Ἐποιοῦντο μέντοι τοῦ ἔχειν τροφὰς, ἢ μὴ, τὰ σώματα τῶν ἀθλίων τεκμήριον. Οἷς μὲν γὰρ ἔτι μετὴν ἰσχύος, ἔχειν ἐδόκουν, οἷς δ' ἐξετάκη τὰ σώματα, παρωδεύοντο. Εἰ δέ τις εὐπόρησε πυρῶν ἢ κριθῆς, κατακλείσας τὴν οἰκίαν ἤσθιε· τινὲς δ' ὑπὸ βίας τῆς τοῦ λιμοῦ, καὶ ἀνέργαστον τὸν σῖτον προσίεντο· καὶ ἁφήρπαζον ἐξ αὐτοῦ τοῦ στόματος τὰς τροφὰς μητέρας βρεφῶν, παῖδες πατέρων, γυναῖκες ἀνδρῶν. Καὶ οὕτω δ' ἐσθίοντες, ὅμως τοὺς στασιαστὰς οὐκ ἐλάνθανον. Ὅπου δὲ κεκλεισμένην οἰκίαν κατίδοιεν, ἢ καπνὸν ἀποθρώσκοντα, σημεῖον ταῦτ' ἐποιοῦντο τοῦ τοὺς ἐντὸς ἐσθίειν, καὶ ῥήσσοντες τὰς θύρας, ἐκ τῶν φαρύγγων αὐτῶν ἀνέφερον τὰς τροφάς· οὐδέ τις ἦν οἶκτος ἢ πολιᾶς ἢ νεότητος. Τοῖς δὲ, φθάσασι προβεβρωκέναι τὸ ἐσθιόμενον, δεινὰς ἐπῆγον ὡς ἀδικοῦσι καὶ ἀπηνεῖς τιμωρίας, ὁρόβοις τοὺς αἰδοίων πόρους ἐμφράττοντες, καὶ τὰς ἕδρας ῥάβδοις ὀξείαις ὠμῶς ἀναπείροντες. Τὰ φρικτὰ δὲ καὶ ἀκοαῖς ἔπασχέ τις εἰς ἑνὸς ἄρτου ἐξομολόγησιν, ἢ ἵνα δράκα μίαν ἀλφίτων τοῖς λῃσταῖς καταπρόηται. Καθ' ἕκαστον μὲν οὖν ἐπιξιέναι τὰ τότε γενόμενα δυσχερὲς ἢ καὶ ἀδύνατον· συνελόντα δ' εἰπεῖν, μήτε πόλιν ἄλλην τοιαῦτα παθεῖν, μήτε γένος ἕτερον ἐξ αἰῶνος γενέσθαι κακίας γονιμώτερον. Τοιαῦτα μὲν οὖν ἔπασχον Ἰουδαῖοι.

ΚΑ'. Τίτῳ δὲ τὰ χώματα προὔκοπτε, καίτοι κακουμένων ἀπὸ τοῦ τείχους τῶν στρατιωτῶν. Οἱ δὲ πρὸς συλλογὴν ἐξιόντες τροφῆς ἐνηδρεύοντο. Ἦσαν δὲ οὐ δημόται μόνον, ἀλλὰ καὶ τῶν μαχίμων τινὲς, οὐκέτι ταῖς ἁρπαγαῖς ἀρκούμενοι, καὶ συλλαμβανόμενοι ὑπὸ τῶν Ῥωμαίων, μετὰ πᾶσαν βάσανον πρὸ τοῦ τείχους ἀνεσταυροῦντο. Τίτῳ μέντοι οἰκτρὸν τὸ πάθος ἐδόκει, πεντακοσίων ἑκάστης ἡμέρας ἢ καὶ πλειόνων ἁλισκομένων. Οὔτε δὲ φυλάττειν αὐτοὺς, οὔτ' ἀφιέναι ἔκρινεν ἀσφαλὲς, καὶ ἅμα πρὸς τὴν ὄψιν ἐνδοῦναι τοὺς λοιποὺς ἤλπιζεν. Οἱ στασιασταὶ δὲ τοὺς τῶν αὐτομόλων οἰκείους ἐπὶ τὸ τεῖχος ἕλκοντες, καὶ τῶν δημοτῶν τοὺς ἐπὶ πίστιν ὡρμημένους, οἷα πάσχουσιν οἱ Ῥωμαίοις προσφεύγοντες, ἐπεδείκνυον, καταψευδόμενοι καὶ τῶν πολεμίων καὶ τῶν οἰκείων. Ἤδη δὲ τῶν χωμάτων συντελεσθέντων, αἱ ἑλεπόλεις προσήγοντο· ὑπορύξαντες δ' ἔνδοθεν Ἰουδαῖοι τὸ κατὰ τὴν Ἀντωνίαν μέχρι τῶν χωμάτων διάστημα, καὶ τοὺς ὑπονόμους ξύλοις ὑποστηρίξαντες, μετέωρα τὰ χώματα πεποιήκασιν. Εἶτα ὕλης τὸ ὄρυγμα πλήσαντες, πῦρ τῇ ὕλῃ ἐνέβαλον, καὶ τῶν ὑποστηριζόντων ξύλων καυθέντων, ἡ διώρυξ ἀθρόον ἐνέδωκε, καὶ κατεσείσθη τὰ χώματα, καὶ τοῖς Ῥωμαίοις ἔκπληξις καὶ ἀθυμία πρὸς τὴν ἐπίνοιαν γίνεται. Κατὰ δὲ τὰ λοιπὰ τὰς ἑλεπόλεις οἱ Ῥωμαῖοι προσάγοντες, διέσειον τὸ τεῖχος. Ἀλλά τινες παραβόλως ὁρμήσαντες, κατ' αὐτῶν πῦρ ἐνῆκαν, καὶ πάντα κατέπρησαν. Διεφθαρμένων δὲ τῶν

A gantes, si quid reperiebant, excruciabant; si nihil, torquebant, quasi accuratius occultassent; ac utrum miseri alimoniam haberent, necne, e corporibus eorum conjecturam capiebant. Nam quibus adhuc aliquid virium supererat, habere putabantur: quorum vero corpora contabuerant, præteribantur. Si cui vero triticum aut hordeum suppetebat, is eo clausis ædibus vescebatur. Aliqui etiam ob famis violentiam, rude triticum comedebant: cibosque ex ore infantium matres, liberi parentum, uxores maritorum rapiebant; et cum ita ederent, tamen seditiosos latere non poterant. Sicubi enim clausam domum aut fumum exsilientem conspexissent, id argumentum putabant edentis familiæ: perfractisque foribus cibos ex ipsis faucibus extrahebant, nulla ullius ætatis misericordia affecti. Si

B qui vero cibum jam deglutierant, eos acerbis dirisque suppliciis ut **296** injurios persequebantur, orobis pudendorum meatus obturantes, et sedes virgis acutis perforantes. Eaque perferebat aliquis, quæ auditu quoque horrenda fuerint, ut se vel unum habere panem confiteretur, aut unum farinæ pugillum prædonibus daret. Ac quæ tum facta sunt, singulatim commemorari difficulter, ac potius nullo modo queant: sed illud compendio dici potest, neque aliam urbem talia perpessam esse, neque gentem ullam ab omni ævo sceleratiorem exstitisse.

C XXI. Dum ita cum Judæis agitur, Titi aggeres promovebantur, quamvis milites de muris affligerentur. Qui vero ad conquirendum cibum egrediebantur, non plebeii duntaxat, sed etiam ex bellicosis aliquot, rapinis haud contenti, insidiis excepti a Romanis post omnia cruciatuum genera pro mœnibus in cruces tollebantur. Ea calamitas etsi Tito miseranda videbatur, cum in dies quingeni, aut plures etiam caperentur, tamen nec custodiri eos, nec dimitti tutum putabat: simul etiam cæteros, iis conspectis facilius deditionem facturos, opinabatur. Verum seditiosi transfugarum necessariis in muros pertractis, ut tractarentur ii qui ad Romanos confugerent, ostendebant: tam de hostibus quam de suis mentientes. Aggeribus absolutis, ma-

D chinæ producebantur. Judæi vero eo spatio quod inter Antoniam et aggeres interjacet, suffosso, et cavernis lignis suffultis: aggeres pensiles reddiderunt, qui, fossa materia impleta, et injecto igne fulcris combustis subito cedente, corruerunt. Romani ea solertia obstupefacti et consternati, machinis alibi adductis, muros labefactarunt. Sed quidam præcipiti audacia eas omnes cremarunt. Aggeribus collapsis, Romani tristes fuerunt. Titus vero cum ducibus deliberavit, quorum alii aggeres alios excitandos, alii sine his assidendum, et Judæorum eruptiones et commeatus importationes observandas censebant. Ita enim urbem fame expu-

gnatum iri. Erant etiam qui suaderent, ut omnibus copiis adductis, mœnia tentaret : Judæos enim impetum earum non laturos. Titus vero, qui nihil horum probaret, muro urbem circumdare **297** statuit, ut obsessis omnem exitum obstrueret, eumque laborem inter milites distribuit : qui contentione quadam, divinoque impetu concitati, celeriter opus absolverunt. Ita clausa civitate primas noctis excubias Titus ipse obibat, ac lustrabat : reliquas aliis mandabat, militibus sortito dormientibus. Judæis vero exitu interciuso, spes etiam salutis una est interclusa, fame totas domos atque familias depascente. Ac ædes quidem mulierum et puerorum viribus defectorum, angiportus senibus mortuis referti erant. Pueri et adolescentes tumefacti, simulacrorum instar in foris circuibant : et quocunque loco vires defecerant, occumbebant. Mortuos cognati sepelire non poterant, et multi inter sepeliendum emoriebantur. Seditiosi vero etiam famis cladibus sæviores, sepulcra effodiebant, et ædes spoliabant. Ac principio ex ærario mortuos sepeliri jubebant, ob fœtorem intolerabilem : deinde in valles ex muris præcipitabant. Quas cum circuiret Titus, et cadaveribus plenas, e quibus putrescentibus copiosa manabat sanies, videret, ingemuit : sublatisque manibus Deum testatus est, id sua voluntate non fieri. Denuo aggeres instituit : etsi materia ægre xc stadiis comportabatur, multis interim e populo transfugientibus, qui partim de muris se dejiciebant, partim saxa veluti ad pugnam parati manibus gestantes Romanorum fidei se committebant, et tamen sic etiam majori ex parte interibant. Nam famelici ciborum copiam insatiabiliter ingerentes rumpebantur. Accidit etiam aliud, quod exitium transfugis afferebat. Nam eorum quidam ad Romanos confugituri, aurum quod habebant, deglutiebant, ne capti eo spoliarentur, idque in castris cum excrementis ejectum colligebant. Quo in uno deprehenso, famaque in castris sparsa, transfugas auro plenos venire, miserorum ventres dissecabantur. Qua de causa plurimi, unaque nocte tria millia et amplius perierunt. Quod ne fieret, etsi Titus interdicebat, tamen ejus minæ parum aut nihil miseris commodarunt : et cum in paucis nummi reperirentur, cæteros prædæ spes perdebat. Ferunt autem pauperum, qui per portas civitatis elati et projecti **298** sint, DC fuisse millia : aliorum numerum inexplicabilem, frumentique medimnum talento venisse.

XXII. Urbe autem, ut supra diximus, a Romanis muro circumdata, cum non amplius herbas col-

χωμάτων, Ῥωμαίοις μὲν ἠθύμουν, Τίτος δὲ μετὰ τῶν ἡγεμόνων ἐβουλεύετο· καὶ οἱ μὲν αὖθις ἕτερα ἐγείρειν ἐκέλευον· οἱ δὲ χωμάτων ἄνευ προσκαθέζεσθαι, καὶ φυλάττειν τὰς ἐξόδους αὐτῶν, καὶ τὰς τῶν ἐπιτηδείων εἰσαγωγάς, καὶ οὕτως ἔλεγον λιμῷ τὴν πόλιν ἕσεσθαι ἁλωτήν. Τοῖς δὲ πᾶσαν ἐδόκει προσάγειν τὴν δύναμιν, καὶ ἀποπειρᾶσθαι τοῦ τείχους· μηδὲ γὰρ οἴσειν Ἰουδαίους τὴν ἔφοδον. Τῷ γε μὴν Τίτῳ τούτων οὐδὲν ἤρεσκεν· ἐδόκει δὲ περιβόλῳ τὴν πόλιν κυκλῶσαι, ἵν' οὕτω πᾶσαν ἐμφράξῃ τοῖς ἔνδον διέξοδον, καὶ τὸ ἔργον τῇ στρατιᾷ κατεμέρισε. Τοῖς δέ τις ἔρις ἐμπίπτει ἐπὶ τὴν ἐργασίαν καὶ ὁρμή τις δαιμόνιος, ταχύ τε τὸ ἔργον ἐξηκοδόμητο. Περικλείσας δὲ τῷ τείχει τὴν πόλιν, τὴν μὲν πρώτην φυλακὴν τῆς νυκτὸς περιῶν αὐτὸς ἐπεσκέπτετο, τὰς δὲ λοιπὰς ἑτέροις ἐπέτρεψε· διεκληροῦντο δὲ τὸν ὕπνον οἱ φύλακες. Ἰουδαίοις δὲ μετὰ τῶν ἐξόδων ἀπεκλείσθη πᾶσα σωτηρίας ἐλπίς, καὶ ὁ λιμὸς κατ' οἴκους καὶ γενεὰς τὸν δῆμον ἐδόσκετο, καὶ τὰ μὲν τέγη γυναικῶν καὶ βρεφῶν ἐκλελυμένων πεπλήρωτο, οἱ στενωποὶ δὲ γερόντων νεκρῶν· παῖδες δὲ καὶ νεανίαι διῳδηκότες ὡς εἴδωλα κατὰ τὰς ἀγορὰς περιῄεσαν, καὶ κατέπιπτον ὅπῃ ἕκαστος ἀτονήσας ἔτυχε· θάπτειν δὲ τοὺς προσήκοντας οἱ ἔτι ζῶντες οὐκ ἴσχυον· πολλοὶ δὲ καὶ θάπτειν ὁρμήσαντες τοῖς θαπτομένοις ἐπαπέθνησκον. Οἱ δὲ στασιασταὶ καὶ τῶν ἐκ τοῦ λιμοῦ κακῶν ἐγίνοντο χαλεπώτεροι, συμβωρυχοῦντες, καὶ τὰς οἰκίας συλῶντες. Καὶ τὸ μὲν πρῶτον ἐκ τοῦ δημοσίου θησαυροῦ θάπτειν ἐκέλευον τοὺς νεκρούς, τὴν δυσωδίαν μὴ φέροντες· εἶτ' ἐρρίπτουν αὐτοὺς ἐκ τῶν τειχῶν εἰς τὰς φάραγγας. Περιιὼν δ' ὁ Τίτος, καὶ θεασάμενος νεκρῶν πεπληρωμένας αὐτὰς, καὶ βαθὺν ἰχῶρα μυδώντων σωμάτων ἐκρέοντα, ἐστέναξε, καὶ τὰς χεῖρας ἀνατείνας, ἐμαρτύρετο τὸν Θεὸν, ὡς οὐκ εἴη τὸ ἔργον αὐτῷ πρὸς βουλῆς. Καὶ πάλιν ἥπτετο χωμάτων, χαλεπῶς αὐτῷ τῆς ὕλης ποριζομένης· πρὸ γὰρ σταδίων κομίστο ἐνενήκοντα. Πολλοὶ δ' ηὐτομόλουν τοῦ δήμου, οἱ μὲν ἐκ τῶν τειχῶν κρημνίζοντες ἑαυτούς, οἱ δὲ προϊόντες ὡς ἐπὶ μάχην μετὰ χειρμάδων, πρὸς Ῥωμαίους κατέφευγον· καὶ οὕτω δ' οἱ πλείους ἀπώλλυντο. Αἰμώττοντες γὰρ καὶ ἀφθονίᾳ τροφῶν ἐντυγχάνοντες, ἀπλήστως τε χορεννύμενοι, διερρήγνυντο. Συνέβη δέ τι καὶ ἕτερον τοὺς αὐτομόλους φθεῖρον. Τινὲς γὰρ αὐτῶν κεκτημένοι χρυσοῦς, ἐν τῷ μέλλειν πρὸς Ῥωμαίους αὐτομολεῖν, κατέπινον σφᾶς, ἵνα μὴ ἁλόντες ἀφαιρεθῶσιν αὐτούς. Παρὰ δὲ τοῖς Ῥωμαίοις γενόμενοι, τοῖς τῆς γαστρὸς σκυβάλοις τοὺς χρυσοὺς συνεξέκρινον, καὶ ἐκλέγοντες αὐτοὺς ἐλάμβανον. Φωρᾶται τοίνυν τῶν αὐτομόλων τις τοῦτο ποιῶν· καὶ ψήμης γεγονυίας εἰς τὸ στρατόπεδον, ὡς μεστοὶ χρυσίου προσίασιν οἱ αὐτόμολοι, ἀνετέμνοντο τὰς γαστέρας οἱ ἄθλιοι, ὡς ἐντεῦθεν πολλὴν γενέσθαι τῶν Ἰουδαίων φθοράν· μιᾷ γὰρ νυκτὶ ὑπὲρ τρισχιλίους ἀνασχισθῆναι συνέβη. Ὁ γοῦς ὁ Τίτος, ἠπείλησε τῷ στρατεύματι· ἀλλὰ μικρὸν ἢ οὐδὲν τοῖς αὐτομόλοις ἐπήμυνεν ἡ τοῦ Τίτου ὀργή. Ἐν ὀλίγοις δ' εὑρίσκετο τὰ ἀργύρια, τοὺς δὲ λοιποὺς ἐλπίδες μόναι ἀπώλλυον. Λέγεται δὲ τοὺς ἐκ τῆς πόλεως διὰ τῶν πυλῶν ἐκκομισθέντας, καὶ ῥιφέντας νεκροὺς τῶν ἀπόρων, γενέσθαι μυριάδας ἑξήκοντα, τῶν δ' ἄλλων ἀνεξεύρετον εἶναι τὸν ἀριθμὸν, τοῦ μέν τοι σίτου τὸ μέδιμνον πραθῆναι ταλάντου.

ΚΒ'. Περιτειχισθείσης δὲ τῆς πόλεως παρὰ τῶν Ῥωμαίων, ὡς ἄνω μοι εἴρηται, οὐδὲ πολυλογεῖν οἶδα

τε ἦν· ὅθεν τὰς τῶν ζώων κόπρους τὰς παλαιὰς ἀνερευνῶντες, ἐποιοῦντο τροφήν. Ῥωμαίοις δὲ ἤδη ἠγέρθη τὰ χώματα, καὶ ταῖς ἑλεπόλεσι τὸ τεῖχος τῆς Ἀντωνίας ἐτύπτετο, οὐ μὴν καθῃρεῖτο τυπτόμενον. Τινὲς δὲ τῶν στρατιωτῶν, ὑπὲρ τῶν σωμάτων τοὺς θυρεοὺς ἀροφώσαντες, μοχλοῖς τοὺς θεμελίους ὑπώρυττον, καὶ τέσσαρας τῶν λίθων ἐξέσεισαν. Νὺξ δ' ἐπελθοῦσα τοὺς πολέμους ἑκατέρωθεν ἔπαυσε· καὶ τὸ τεῖχος ὑπὸ τῶν κριῶν σαλευθὲν, κατ' αὐτὴν αἰφνίδιον κατερείπεται. Ὤρθη δ' ἄλλο τεῖχος ἀνωκοδομημένον ἐντὸς, ὃ τὴν ἐπὶ τῷ πεσόντι χαρὰν τοῖς Ῥωμαίοις εἰς ἀθυμίαν μετέβαλεν. Ὁ Τῖτος δὲ τοῖς στρατιώταις διαλεχθεὶς, ἐπήγειρεν αὐτῶν τὰ φρονήματα. Καί τις ἀπὸ Συρίας ἀνὴρ, Σαβῖνος τὸ ὄνομα, ὑπὲρ τῆς κεφαλῆς τῇ λαιᾷ τὸν θυρεὸν ἐπανατεινάμενος, τῇ δεξιᾷ δὲ τὸ ξίφος σπασάμενος, ἐπὶ τὸ τεῖχος ἐχώρησεν· εἵποντο δὲ αὐτῷ καὶ ἕτεροι ἕνδεκα, τὴν ἀνδρίαν ζηλώσαντες. Οἱ δ' ἐν τῷ τείχει κατηκόντιζόν τε αὐτοὺς, καὶ βέλεσιν ἐβαλλον, καὶ λίθους ὑπερμεγέθεις ἐκύλιον, δι' ὧν ἕνδεκα παρεσύρησαν ἔνιοι. Ὁ δὲ Σαβῖνος οὐ πρότερον ἐπέσχε τὴν ὁρμὴν, ἢ ἀνελθεῖν εἰς τὸ τεῖχος, καὶ τρέψασθαι τοὺς πολεμίους. Ὅτε γοῦν ἐκράτησε τῆς ἐπιχειρήσεως, ἀσφάλῃ προσπταίσας πέτρᾳ τινὶ καὶ πρηνὴς ἐν αὐτῇ μετὰ ψόφου τῶν ὅπλων κατέπεσε. Ὡς γοῦν τὸν ψόφον ἐπιστραφέντες οἱ Ἰουδαῖοι, καὶ μόνον αὐτὸν ἰδόντες καὶ κείμενον, ἔβαλλον πάντοθεν. Ὁ δ' εἰς γόνυ διαναστὰς ἠμύνετο, ὑπὸ δὲ πλήθους τραυμάτων παρεῖθη τὴν δεξιὰν, καὶ κατεχώσθη τοῖς βέλεσι. Τῶν δὲ λοιπῶν, τρεῖς μὲν ἤδη πρὸς τοῖς ἄκροις γενομένους, τοῖς λίθοις ἀπέκτειναν· οἱ δ' ὀκτὼ τραυματίαι πρὸς τὸ στρατόπεδον ἐκομίσθησαν. Μετὰ δὲ δύω ἡμέρας, νυκτὸς τινὲς ἡσυχῇ διὰ τῶν ἐρειπίων εἰς τὴν Ἀντωνίαν προσβαίνουσι, καὶ τοὺς ἐκεῖ φρουροῦντας ἀποσφάξαντες κοιμωμένους, ἐφάλπισαν, καὶ φυγὴ τῶν ἄλλων φρουρῶν ἦν. Τῖτος δὲ μετὰ τῶν ἐπιλέκτων ἀνέβη, καὶ τὰ τάγματα εἵπετο. Τῶν Ἰουδαίων δὲ καταπεφευγότων εἰς τὸ ἱερὸν, καὶ οἱ τοῦ Τίτου εἰσέπιπτον διὰ τῆς διώρυγος, ἣν ὑπὸ τὰ χώματα τῶν Ῥωμαίων ὑπώρυξαν. Συρρήγνυνται δὲ περὶ τὰς εἰσόδους μάχη καρτερὰ, καὶ τὰ ξίφη σπασάμενοι συνεπλέκοντο· φόνος δὲ ἦν πολὺς ἑκατέρωθεν. Κλινομένης δὲ ἤδη τῆς Ῥωμαϊκῆς παρατάξεως, Ἰουλιανός τις ἑκατοντάρχης, ἄριστος ἀνὴρ, προπηδᾷ, καὶ νικῶντας τοὺς Ἰουδαίους τρέπεται μόνος. Ἔφευγε δὲ τὸ πλῆθος, καὶ διεσκέδαστο. Καταδιώκων οὖν τοὺς σκεδαννυμένους ὁ γενναῖος ἐκεῖνος ἀνὴρ, καταλισθαίνει κατὰ τοῦ λιθοστρώτου, ἥλους πυκνοὺς ἐν τοῖς ὑποδήμασιν ἔχων, ὡς καὶ οἱ λοιποὶ στρατιῶται. Καὶ Ἰουδαῖοι περιστάντες αὐτὸν, ἐτίτρωσκον πάντοθεν. Ὁ δὲ καὶ κείμενος ἠμύνετο, μέχρι κατατρωθεὶς ἐνέδωκε, καὶ τοῖς πολεμίοις αὐτοῖς θαυμαζόμενος. Ἰουδαῖοι μὲν οὖν τοὺς Ῥωμαίους ὠσάμενοι, κατακλείουσιν εἰς τὴν Ἀντωνίαν. Ὁ Τῖτος δὲ, πολλὰ καὶ διὰ Ἰωσήπου παρακαλέσας τοὺς στασιαστὰς καὶ δι' ἑαυτοῦ, ὡς ἀμειλίκτους ἑώρα, πάλιν ἐχώρει καὶ ἄκων πρὸς πόλεμον. Καὶ τοὺς ἀρίστους ἐπιλεξάμενος, περὶ ὥραν τῆς νυκτὸς ἐννάτην ταῖς φυλαξὶ ἐπιθέσθαι προσέταξεν· οὐ μὴν κοιμωμέ-

A ligere liceret, animantium stercora vetera inquirentes comedebant. Aggere jam a Romanis excitato, cum Antoniæ mûrus machinis feriretur ille quidem, sed nullis ictibus everteretur, milites aliquot clypeis in humeros rejectis, actaque testudine fundamentis suffossis, quatuor saxa vectibus amoliti sunt. Nox prælium utrinque diremit : eaque murus machinis quassatus subito corruit. Sed alius murus post illum ædificatus, Romanorum lætitiam e prostrato conceptam in mœrorem convertit. Titus autem habita concione militum animos excitavit. Et quidam ex Syria Sabinus, scuto in caput elato, dextraque strictum ensem tenens, mœnibus successit, cujus virtutem undecim alii sunt æmulati : propugnatores vero jaculis et telis, saxisque pragrandibus subeuntes propulsantibus, aliquot ex xi dejecti sunt. Sabinus vero non destitit prius, quam muro superato fugasset hostes. Sed cum saxo impegisset, et pronus in eo concidisset, Judæi ad sonitum armorum conversi, cum solum jacentem undique petiverant. Is vero in genu consurrexit, seque defendit : donec dextera vulnerum multitudine laxata, telis est obrutus. E cæteris, tres qui jam ad summum evaserant, lapidibus occisi : octo vulnerati, in castra sunt relati. Biduo post quidam tacite per ruinas ad Antoniam progrediuntur, et custodibus qui obdormierant cæsis, tuba cecinerunt. Cæteris autem defensoribus fugientibus, Titus cum delecta manu, sequentibus legionibus, ascendit. Judæis ad templum confugientibus, Titi milites per fossam quam hostes subter aggeres excavarant, irruunt. Ibique acris pugna strictis gladiis committitur, cadunt utrinque multi. Sed Romana acie jam inclinata, Julianus centurio, vir fortissimus, assilit, ac Judæos victores solus in fugam vertit : quos dum fugientes et palantes persequitur, in solo constrato lapidibus (in calceis enim crebros clavos, ut et cæteri milites, 299 infixos habebat) prolapsus, et a Judæis circumventus, undique convulneratur, sed et jacens se defendit, donec confossus interiit, etiam hostibus admirabilis. Judæi Romanos propulsatos in Antoniam concluserunt. Titus vero seditiosos et per Josephum et per semetipsum cohortatus, ut nulla re molliri vidit, invitus bellum repetiit : delectuque ex optimis habito, sub noctis horam nonam custodes aggredi jussit, qui cum vigilarent, animadversa aggressione, clamoribus cæteros quoque advocarunt. Ac prælium a nona hora noctis usque ad quintam commissum anceps fuit, victoria in neutram partem inclinante : itaque tum diremptum est. Reliqua vero pars Romanorum vii diebus Antoniæ fundamentis eversis, latam ad templum viam munivit. Tum legiones muro primo appropinquantes, aggeres moliri cœperunt, qui magno cum labore erigebantur. Judæi porticum quæ a septentrione et occasu Antoniæ conjungitur, incensam ad cubitos xx interruperunt, suis manibus sacra adita urere aggressi. Romani quoque vicinam porticum

incenderunt : flamma vero ad cubitos xv progressa, Judæi tectum resecuerunt. Seditiosi qui in templo erant, et aperte milites in aggere versantes sunt aggressi, et dolis eos propulsarunt. Sed fame infinita multitudo periit : superstites eæ clades oppresserunt, quæ et dictu sunt horrendæ, et auditu incredibiles, quarum unam recensebo. Mulier quædam trans Jordanem habitans, et genere et opibus haud obscura, Hierosolymis, quo confugerat, obsidionem tolerabat. Ea sibi cibos paratos sæpe ab urbanis latronibus eripi, iniquo animo ferens, iraque et fame percita, puerum lactentem mactatum atque assum, partim voravit, partim in aliud tempus asservavit. Seditiosi vero nidorem odorati, statim adsunt : nisi det quod pararit, mortem minitantur. Illa pueri reliquias retegit, quibus latrones visis, obstupefacti exhorruerunt, ac trementes recesserunt, vix eo cibo matri concesso. Aggeribus jam perfectis, adducuntur arietes : sed ea erat muri firmitas, ut nihil inde læderetur. Alii fundamenta suffodiebant, sed ne sic quidem est dejectus. **300** Cæteris igitur desperatis, scalas porticibus admoverunt. Id Judæi non anteverterunt, sed cum iis qui ascenderant dimicarunt : neque parva cædes est edita.

νους εὑρὼν τοὺς φύλακας, ἀλλὰ γνόντες τὴν ἐπίθεσιν συνεπλέκοντο, καὶ πρὸς τὴν βοὴν καὶ οἱ ἄλλοι συνῆεσαν. Ἐξ ἐννάτης δὲ τῆς νυκτὸς ὥρας εἰς πέμπτην τῆς ἡμέρας τοῦ πολέμου συνισταμένου ἀγχώμαλος ἦν ἡ μάχη, μηδένι τῆς νίκης ἐπιβρισάσης, καὶ οὕτως τότε διελύθησαν οἱ μαχόμενοι. Τὸ δὲ λοιπὸν τῆς τῶν Ῥωμαίων δυνάμεως ἡμέραις ἑπτὰ τοὺς τῆς Ἀντωνίας θεμελίους καταστρεψάμενον, πλατεῖαν πρὸς τὸ ἱερὸν ἠὐτρέπισαν ἄνοδον. Καὶ πλησιάσαντα τῷ πρώτῳ περιβόλῳ τὰ τάγματα, χωμάτων κατήρχετο· καὶ ταῦτα μὲν ἠγείρετο σὺν μόχθῳ πολλῷ. Οἱ Ἰουδαῖοι δὲ τῆς βορείου καὶ κατὰ δύσιν στοᾶς τὸ συνεχὲς πρὸς τὴν Ἀντωνίαν ἐμπρήσαντες, ἀπέῤῥηξαν ὅσον πήχεις εἴκοσι, ταῖς ἑαυτῶν χερσὶν ἀρξάμενοι καίειν τὰ ἅγια. Ὑποπιμπρᾶσι δὲ καὶ Ῥωμαῖοι τὴν πλησίον στοὰν, καὶ μέχρι πεντεκαίδεκα πήχεων προκόψαντος τοῦ πυρὸς, ἀποκόπτουσιν οἱ Ἰουδαῖοι τὴν ὀροφήν. Οἱ δ' ἀνὰ τὸ ἱερὸν στρασιασταὶ καὶ φανερῶς τοῖς ἐπὶ τῶν χωμάτων ἐπετίθεντο στρατιώταις, καὶ μετὰ δόλων ἠμύνοντο. Ὑπὸ δὲ τοῦ λιμοῦ ἄπειρόν τι πλῆθος ἦσαν οἱ θνήσκοντες. Πάθη δὲ τοῖς περιοῦσιν ἔτι συνέβαινε, καὶ φρικτὰ διηγήσασθαι, καὶ δύσπιστα τοῖς ἀκούουσιν, ὧν ἓν διηγήσομαι. Γυνή τις ὑπὲρ τὸν Ἰορδάνην διὰ γένος καὶ πλοῦτον οὐκ ἄσημος, εἰς τὰ Ἱεροσόλυμα καταφυγοῦσα συνεπολιορκεῖτο. Ταύτης πολλάκις ἑαυτῇ τροφὰς ποριζομένης, οἱ λῃστεύοντες ἐν τῇ πόλει ταύτας διήρπαζον. Ἡ δὲ, πρὸς ταῦτα ἀγανακτοῦσα, θυμῷ τε καὶ λιμῷ στρατηγουμένη, ὃ ἦν αὐτῇ ὑπομάζιον τέκνον καταθύσασα καὶ ὀπτήσασα, τὸ μὲν ἔφαγε, τὸ δὲ λοιπὸν εἰς δευτέραν ἐτήρει τροφήν· οἱ δὲ στασιασταὶ τῆς κνίσης προσβαλλούσης αὐτοῖς, παρῆσαν εὐθύς, καὶ εἰ μὴ δυίη τὸ παρασκευασθὲν, ἀποσφάξειν ἠπείλουν αὐτήν. Ἡ δὲ τὰ τοῦ παιδὸς ἀνεκάλυψε λείψανα· κἀκεῖνοι ἐξέστησάν τε πρὸς τὴν θέαν καὶ ἔφριξαν, καὶ τρέμοντες ὑπεχώρησαν, μόλις ταύτης τέως τῆς τροφῆς παραχωρήσαντες τῇ μητρί. Ἤδη δὲ τῶν χωμάτων τετελεσμένων προσήγοντο οἱ κριοί· ἤνυον δ' οὐδὲν διὰ τὴν τοῦ τείχους ἀτερρότητα. Ἕτεροι δὲ τοὺς θεμελίους ὑπώρυττον, καὶ οὐδ' οὕτως τὸ τεῖχος κατασέσειστο. Ἀπογνόντες οὖν τῶν ἄλλων, χλίμακας προσέφερον ταῖς στοαῖς. Οἱ δὲ Ἰουδαῖοι κωλῦσαι μὲν οὐκ ἔφθασαν, τοῖς δ' ἀναβᾶσι συμπεσόντες ἐμάχοντο, καὶ ἦν οὐκ ὀλίγος αὐτῶν φόνος.

XXIII. Titus, qui templi reverentiam militibus esse noxæ cerneret, portis jussit admoveri ignem : unde argento liquefacto, quo devinctæ erant, flamma ligna corripuit, atque inde ad porticus evasit. Judæi circumcirca igne conspecto, et animis et corporibus defecerunt. Ac illo die, secutaque nocte ignis grassatus est, sed in partibus : nec enim omnes porticus simul incendere valuerunt. Postridie Titus parte copiarum restinguere incendium jussa, viamque ad portas parare, ut legiones expeditius ascenderent, vi præcipuis ducibus advocatis, de templo deliberavit. Ibi alii censuerunt, belli jure utendum, nec ulli rei parcendum. Alii monuerunt, si Judæi eo conscenso bellarent, comburendum esse : neque jam templum, sed castellum habendum : sin minus, conservandum esse. Titus vero, etsi Judæi eo occupato repugnarent, tamen se loco virorum res inanimatas ulturum esse negavit, aut tantum opus crematurum, cujus vastatio Romanis damno, conservatio ornamento futura esset. Ac Titus in animo habuit, postridie cum omnibus copiis impressione facta templum occupare. Sed Deus jam olim ejus excidium decreverat. Nam cum Titus ex Antonia vidisset templi exterioris custodes,

ΚΓ'. Ὁ δέ γε Τίτος ὡς ἑώρα τὴν ἐπὶ τῷ ἱερῷ φειδὼ πρὸς βλάβης γινομένην τοῖς στρατιώταις, τὰς πύλας ὑφάπτειν προσέταξε. Προσαχθέντος δ' αὐταῖς τοῦ πυρὸς, τηκόμενος ὁ ἄργυρος ᾧ ἐνεδέδεντο, παρεχώρει τῇ φλογὶ τῶν ξύλων ἐφάπτεσθαι, κἀντεῦθεν ἐπελαμβάνετο τῶν στοῶν. Τοῖς δὲ Ἰουδαίοις ὁρῶσι τὸ πῦρ ἐν κύκλῳ, μετὰ τῶν σωμάτων παρείθησαν αἱ ψυχαί. Ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα τὸ πῦρ ἐπεκράτει, παρὰ μέρος δὲ, οὐχ ὁμοῦ πάντοθεν ἔσχυσαν ὑφάψαι τὰς στοάς. Τῇ δ' ἐπιούσῃ, μέρει τῆς δυνάμεως ὁ Τίτος σβεννύειν τὸ πῦρ κελεύσας, καὶ παρὰ τὰς πύλας ὁδοποιεῖν, εἰς εὐμαρεστέραν τῶν ταγμάτων ἄνοδον, αὐτὸς ἐξ τοὺς κορυφαιοτάτους τῶν ἡγεμόνων προσκαλεσάμενος, περὶ τοῦ ναοῦ ἐβουλεύετο. Τοῖς μὲν οὖν ἐδόκει, τῷ τοῦ πολέμου κεχρῆσθαι νόμῳ, καὶ μή τινος φείδεσθαι τινὲς δὲ παρῄνουν, εἰ μὲν πολεμοῖεν ἐπιβάντες αὐτοῦ Ἰουδαῖοι, καταφλέγειν· φρούριον γὰρ καταφλεγήσεσθαι, καὶ οὐκέτι ναόν· εἰ δὲ μὴ τοῦτο, σώζειν. Ὁ δὲ Τίτος οὐδ' ἂν ἐπιβάντες ἐπ' αὐτοῦ πολεμῶσιν Ἰουδαῖοι ἔφησεν, ἀντὶ τῶν ἀνδρῶν τοῖς ἀψύχοις ἐπάγειν τὴν ἄμυναν, οὐδὲ καταφλέξειν τηλικοῦτον ἔργον· Ῥωμαίοις γὰρ ἔσεσθαι πρὸς βλάβην φθαρὲν, ὥσπερ καὶ κόσμων

τῆς ἡγεμονίας, εἰ σώζοιτο. Τῷ μὲν οὖν Τίτῳ σκοπὸς ἦν τῇ ἐπιούσῃ ἡμέρᾳ μετὰ πάσης ἐμβαλεῖν τῆς δυνάμεως, καὶ τὸν ναὸν περικατασχεῖν. Τοῦ δὲ ἄρα πάλαι ὁ Θεὸς φθορὰν κατεψήφιστο. Οἱ γὰρ στασιασταὶ ἐπιτίθενται τοῖς φύλαξι τοῦ ἔξω ἱεροῦ· οἱ δὲ πλήθει τε τῶν ἐκτρεχόντων καὶ θυμοῖς ἡττώμενοι ἐνεδίδοσαν. Καὶ ὁρῶν ταῦτα Τῖτος ἄνωθεν ἐκ τῆς Ἀντωνίας, ἐπαμύνει μετὰ τῶν ἐπιλέκτων ἱππέων. Καὶ Ἰουδαῖοι τὴν ἔφοδον οὐχ ὑπέμειναν, ἀλλ' εἰς τὸ ἔνδον συνεκλείσθησαν ἱερόν. Ὑποχωρήσαντος δὲ Τίτου πρὸς ὀλίγον λωφήσαντες οἱ στασιασταὶ πάλιν Ῥωμαίοις ἐπιτίθενται· καὶ τρεψάμενοι αὐτοὺς οἱ Ῥωμαῖοι, μέχρι τοῦ ναοῦ παρῆλθον. Καί τις τῶν στρατιωτῶν ἐκ τῆς φλεγομένης ὕλης μέρος διαρπάσας, καὶ ὑφ' ἑτέρου ἀνακουφισθεὶς στρατιώτου, ἐνίησι τὸ πῦρ θυρίδι χρυσῇ. Αἰρομένης δὲ τῆς φλογὸς, Ἰουδαίων μὲν ἐγείρεται κραυγὴ, καὶ συνέθεον πρὸς τὴν ἄμυναν. Τῖτος δὲ γνοὺς, ἔθει πρὸς τὸν ναὸν κωλύσων τὸ πῦρ, καὶ τῇ φωνῇ καὶ τῇ δεξιᾷ διεσήμαινε τοῖς μαχομένοις τὸ πῦρ σβεννύειν. Οὔτε δὲ βοῶντος ἤκουον, οὔτε τῆς χειρὸς προσεῖχον τοῖς νεύμασι. Τὰ δὲ τάγματα εἰσιόντα καὶ τῷ ναῷ πλησιάζοντα τῶν μὲν τοῦ Τίτου παραγγελμάτων προσεποιοῦντο μηδὲ ἀκούειν, τοῖς πρὸ αὐτῶν δὲ πῦρ ἐνιέναι παρεκελεύοντο· ἀμηχανία δ' ἦν τοῖς στασιασταῖς, ἀπειρηκόσι πρὸς ἄμυναν, καὶ φόνος πανταχοῦ καὶ τροπή. Τῖτός γε μὴν ὡς οὔτε τὰς ὁρμὰς τῶν στρατιωτῶν ἐνθουσιώντων, οἷός τε ἦν κατασχεῖν, καὶ τὸ πῦρ ἐπεκράτει, παρελθὼν μετὰ τῶν ἡγεμόνων ἐθεάσατο τοῦ Θεοῦ τὸ ἅγιον καὶ τὰ ἐν αὐτῷ· τῆς δὲ φλογὸς οὐδέπω διικνουμένης εἴσω, τοὺς δὲ περὶ τὸν ναὸν νεμομένης οἴκους, ἔτι δύνασθαι τὸ ἔργον σωθῆναι οἰόμενος, αὐτός τε παρακαλεῖν ἐπειρᾶτο τοὺς στρατιώτας τὸ πῦρ σβεννύειν, καί τινα τῶν περὶ αὐτὸν ξύλοις παίοντα τοὺς ἀπειθοῦντας ἐκέλευσεν εἴργειν. Οἱ δὲ νικώμενοι τῷ θυμῷ, καὶ τῷ πρὸς Ἰουδαίους μίσει, οὔτε τῇ πρὸς Τῖτον αἰδοῖ ἀνεκόπτοντο οὔτε φόβῳ τῷ τοῦ κωλύοντος. Τοὺς δὲ πολλοὺς καὶ ἐλπὶς παρέθηγεν ἁρπαγῆς, μεστὰ χρημάτων εἶναι τὰ ἔνδον δοξάζοντας. Ἔφθη δέ τις καὶ εἰς τοὺς στροφέας τῆς πύλης πῦρ ἐμβαλὼν, καὶ φλογὸς ἔνδοθεν ἐκφανείσης ἐξάπινα, οἵ τε ἡγεμόνες ἀνεχώρουν καὶ ὁ Τῖτος αὐτὸς, καὶ τοὺς ὑφάπτοντας οὐδεὶς ἔτι ἐκώλυεν. Ὁ μὲν οὖν ναὸς οὕτως τὸ πῦρ ἐδέξατο, τῶν ἐν αὐτῷ τελουμένων ἐναγῶς καθαρτήριον, ἢ τῶν τελούντων αὐτὰ κολαστήριον. Θαυμάσειε δ' ἄν τις ὅτι καὶ μὴν ὁ αὐτὸς καὶ ἡμέρα συνέπεσε τῷ ἐμπρησμῷ τοῦ ναοῦ, καθ' ἣν καὶ ὁ πρότερος ὑπὸ Βαβυλωνίων κατεφλέγη ναός. Καὶ ἀπὸ μὲν τῆς πρώτης οἰκοδομῆς ἣν Σολομῶν ἐποιήσατο μέχρι τῆς ἱστορουμένης νῦν καθαιρέσεως, ἢ γέγονεν ἔτει δευτέρῳ τῆς Οὐεσπασιανοῦ μοναρχίας, ἔτη γίνεται χίλια καὶ ἑκατὸν τριάκοντα, καὶ μῆνες ἑπτὰ ἡμέραι τε πεντεκαίδεκα· ἀπὸ δὲ τῆς ὕστερον, ἥτις ἔτει δευτέρῳ τῆς Κύρου βασιλείας ἤρξατο γίνεσθαι μέχρι τῆς τελευταίας ἁλώσεως, ἔτη ἑξακόσια καὶ τριάκοντα καὶ ἐννέα καὶ ἡμέραι πέντε καὶ τεσσαράκοντα.

ΚΔ'. Καιομένου δὲ τοῦ ναοῦ, τῶν μὲν προσπιπτόντων ἦν ἁρπαγὴ, τῶν δὲ καταλαμβανομένων σφαγή. Οὐδαμοῦ δὲ ἡ γῆ ἐκ τῶν νεκρῶν διεφαίνετο, ἀλλὰ σωροῖς οἱ στρατιῶται σωμάτων ἐπεμβαίνοντες ἐπὶ τοὺς φεύγοντας ἔθεον. Τὸ μὲν οὖν λῃστρικὸν πλῆθος ὠσάμενοι τοὺς Ῥωμαίους διεξέπεσον εἰς τὴν πόλιν· τοῦ δημοτικοῦ δὲ τὸ περιλειφθὲν εἰς τὴν ἔξω στοὰν κατέφυγε. Τῶν δ' ἱερέων

A multitudini et furori excurrentium Judæorum cessisse, cum delectis equitibus opem illis tulit : cujus impetu Judæi reformidato, se in templo interiori concluserunt. Regresso Tito, seditiosi cum paulisper quievissent, denuo Romanos invaserunt : quibus Romani pulsis, usque ad templum penetrarunt, et miles quidam torre correpto, atque ab alio sublevatus ignem per fenestram auream injicit. Excitata flamma, Judæi exclamantes ad defensionem concurrunt. Quo Titus cognito, ad templum ignis prohibendi causa et ipse approperans, pugnantibus et voce et manu significat, ut incendium restinguant. Sed illi nec vocem ejus exaudiverunt, nec manus signum observarunt. Legiones quoque ingressæ, **301** cum templo appropinquarent, Titi mandata se audire dis-
B simulabant : et eos qui præcedebant hortabantur, ut ignem injicerent. Itaque seditiosi propulsando hoste fatigati, consilii inopes, passim fugiebant, et cædebantur. Titus vero cum impetum militum furore quodam irruentium reprimere non posset, atque incendium augeretur, cum ducibus Dei sanctuarium, et quidquid in eo fuit, spectavit : et quia flamma nondum introrsum penetrasset, sed ædes quæ in templi circuitu sunt, depascebat, opus illud adhuc conservari posse ratus, operam dedit, ut milites ad restinguendum incendium exhortaretur, et quemdam fuste contumaces coercere jussit. At illi iracundia et odio Judæorum victi, nec verecundia Titi, nec ejus qui prohibebat metu desistebant. Multos etiam rapinæ spes incitabat, interiora
C pecuniis referta esse existimantes. Ac jam quidam portæ cardinibus ignem injecerat : unde cum subito flamma emicuisset, et duces et Titus ipse recesserunt. Neque quoque amplius eos qui ignem injiciebant prohibente, flamma templum corripuit, sive nefariorum sacrorum lustratio, sive sacerdotum pœna. In quo illud mirari possis, quod conflagratio in eumdem et mensem et diem incidit, quo prius templum a Babyloniis exustum fuerat. A prima Salomonis substructione usque ad vastationem, quæ secundo monarchiæ Vespasiani anno accidit, intercesserunt anni MCXVX, menses VII, dies XV. A posteriore, quæ anno II Cyri cœpit, usque ad extremum excidium, anni DCXXXIX, dies XLV.

D XXIV. Templo ardente, obvia quæque rapta sunt, et qui deprehendi potuerunt occisi, neque usquam solum præ cadaveribus videri potuit ; sed milites per acervos cæsorum, fugientes persequebantur. Latronum vero multitudo perruptis Romanorum agminibus in urbem evasit, reliquiæ popularis turbæ in exteriorem porticum confugerunt. Ex sacerdotibus aliquot murum VIII cubitos latum

conscenderunt, duo insignes in ignem insilierunt, et una cum templo conflagrarunt. Tum Romani vicinis ædificiis frustra parci existimantes, ipso templo ardente, omnibus **302** ignem injecerunt : qui etiam gazophylacia comprehendit, in quibus infinita pecuniæ multitudo reposita fuit, infinitæ pretiosæ vestes, et alia ornamenta. Ibi enim omnis Judæorum opulentia in unum veluti cumulum congesta erat, tanquam in totum ærarium. Ibi etiam infinita multitudo plebis periit, pseudoprophetæ seducta concionibus, qui prædicarat, jubere Deum eos in templum ascendere, signa salutis accepturos. Subornabantur autem multi tales a tyrannis, ut populus minus transfugeret : per quos deceptus, evidentibus portentis tanquam attonitus non movebatur, quorum multa acciderunt. Nam supra urbem astrum stetit gladio simile, cometa per annum apparuit, et aliquando lux ante bellum noctu aram tam clara per dimidiam horam circumfulsit, ut dies esse videretur. Bos ad sacrificium adducta, agnum peperit. Porta orientalis ærea, itaque robusta, ut a viris viginti vix clauderetur atque aperiretur, cum vectes et pessulos profundissimos haberet, noctu ultro patuit : quæ securitatem templi sublatam esse declarabat, et facilem in id hostium ingressum. Alio tempore visum est ante occasum solis spectrum mirabile, currus in sublimi omnem regionem peragrantes, et phalanges armatæ huc atque illuc in nubibus saltantes. In festo Pentecostes sacerdotes interius ingressi templum, motum et sonitum senserunt. Deinde vocem audiverunt, dicentem : *Migremus hinc*. Quadriennio ante bellum in Tabernaculorum festo Jesus quidam homo rusticus, ad festivitatem profectus, exclamavit : *Vox ab oriente, vox ab occidente, vox a quatuor ventis, vox super Hierosolyma et templum, vox super sponsos et sponsas, vox super omnem populum*. Hæc vociferans, noctu atque interdiu circuibat urbem : et quanquam ob voces mali ominis verberaretur, tamen eamdem perpetuo cantilenam canebat. Adductus ad Romanum provinciæ præsidem, et flagris cæsus, neque supplicavit, neque lacrymavit : sed voce lugubriter inflexa, ad singulas plagas : *Væ, Væ, Hierosolymis*, clamavit, donec Albinus (is enim tum Judææ procurator erat) hominem absolvit, insanire ratus. **303** Ille vero ab eo tempore usque ad bellum : *Væ, Væ, Hierosolymis*, lamentabatur : sed in festivitatibus præcipue triste illud augurium proclamabat, idque fecit annos septem, et quinque menses : donec in obsidione in mœnibus obambulans, rursus : *Væ, væ urbi et templo et populo*, contenta voce clamavit. Et ut postremo adjecit, *Væ etiam mihi*, lapide ex balista excusso ictus occubuit.

XXV. Romani, cum seditiosis in urbem compul-

τινες ἐπὶ τὸν τοίχων ἀναχωρήσαντες, ὄντα τὸ εὖρος ὀκτάπηχυν, ἕμενον. Δύω γε μὴν τῶν ἐπισήμων ῥίψαντες ἑαυτοὺς εἰς τὸ πῦρ, συγκατεφλέγησαν τῷ ναῷ. Ῥωμαῖοι δὲ ματαίαν τὴν ἐπὶ τοῖς πέριξ τοῦ ναοῦ φειδὼ κρίναντες, ἤδη αὐτοῦ φλεγομένου, πᾶσιν ἐπῆγον τὸ πῦρ· τὰ δὲ καὶ τῶν γαζοφυλακίων ἐπιλαμβάνεται, ἐν οἷς ἄπειρον μὲν τὸ πλῆθος τεθησαύριστο χρημάτων, ἄπειροι δ' ἐσθῆτες πολυτελεῖς, καὶ ἄλλα κειμήλια. Ἅπας γὰρ ὁ Ἰουδαίων πλοῦτος πανταχόθεν ἐκεῖ σεσώρευται, τῶν κεκτημένων ἀποτιθεμένων ταῦτα ὡς ἐπ' ἀσφαλοῦς ταμιείου. Ἄπειρον δέ τι πλῆθος διεφθάρη δημοτικὸν, οἷς αἴτιος ἀπωλείας ἐγένετό τις ψευδοπροφήτης, κηρύξας τοῖς ἐν τῇ πόλει, ὡς ὁ Θεὸς ἐπὶ τὸ ἱερὸν ἀναβῆναι κελεύει, δεξομένους τὰ σημεῖα τῆς σωτηρίας. Πολλοὶ δὲ τοιοῦτοι παρὰ τῶν τυράννων ταῦτα λέγειν κατεθίεντο, ἵν' ἧττον αὐτομολοῖεν· δι' ὧν ὁ δειλαιος ὄχλος παραβουκολούμενος, τοῖς ἐναργέσι σημείοις ὡς ἐμβρόντητοι οὐκ ἐπίστευον. Πολλὰ δὲ σημεῖα γεγόνασιν· ἔστη μὲν ὑπὲρ τὴν πόλιν ἄστρον, ῥομφαίᾳ παραπλήσιον, καὶ κομήτης φανεὶς παρεστάθη ἐπ' ἐνιαυτόν. Καὶ φῶς πρὸ τοῦ πολέμου ποτὲ τὸν ναὸν καὶ τὸν βωμὸν περιέλαμψεν, ὡς δοκεῖν ἡμέραν εἶναι λαμπράν, παραμεῖναν ἐπὶ ἡμίσειαν ὥραν. Καὶ βοῦς εἰς θυσίαν ἀναχθεῖσα, ἔτεκεν ἄρνα. Ἡ δὲ ἀνατολικὴ πύλη τοῦ ἐνδοτέρου ναοῦ, χαλκῆ οὖσα καὶ στιβαρὰ, ὡς μόλις ὑπὸ ἀνδρῶν εἴκοσιν ἀνοίγνυσθαί τε καὶ κλείεσθαι, καὶ μοχλοὺς καὶ καταπήγας ἔχουσα βαθυτάτους, ὤφθη νύκτωρ αὐτομάτως ἠνεῳγμένη. Ἐδήλου δὲ, λυομένην τὴν τοῦ νεοῦ ἀσφάλειαν, καὶ τοῖς πολεμίοις ἐσομένην τὴν εἴσοδον εὐμαρῆ· καὶ φάσμα τι δαιμόνιον ἄλλοτε ὤφθη πρὸ ἡλίου δυσμῶν, ἅρματα κατὰ πᾶσαν τὴν χώραν διιόντα μετέωρα, καὶ φάλαγγες ἔνοπλοι διάττουσαι τῶν νεφῶν. Κατὰ δὲ τὴν τῆς Πεντηκοστῆς ἑορτὴν εἰς τὸ ἐνδον ἱερὸν οἱ ἱερεῖς παρελθόντες, κινήσεως ἤσθοντο, καὶ κτύπου· εἶτα φωνῆς ἠκουσαν λεγούσης, *Μεταβαίνωμεν ἐντεῦθεν*. Πρὸ δὲ τεσσάρων ἐνιαυτῶν τοῦ πολέμου, ἐν τῇ τῆς Σκηνοπηγίας ἑορτῇ Ἰησοῦς τις ἀγροῖκος ἀνὴρ ἐλθὼν εἰς τὴν ἑορτὴν, βοᾶν ἤρξατο· *Φωνὴ ἀπὸ ἀνατολῆς, φωνὴ ἀπὸ δύσεως, φωνὴ ἀπὸ τῶν τεσσάρων ἀνέμων, φωνὴ ἐπὶ Ἱερουσόλυμα καὶ τὸν ναὸν, φωνὴ ἐπὶ νυμφίους καὶ νύμφας, φωνὴ ἐπὶ πάντα τὸν λαόν*. Καὶ περιῄει τὴν πόλιν, ταῦτα κεκραγὼς μεθ' ἡμέραν καὶ νύκτωρ· παιόμενος δὲ διὰ τὸ κακόφημον, ὁ δὲ οὐδὲν ἕτερον ἢ τὰς αὐτὰς ἐβόα φωνάς. Ἀναχθεὶς δὲ καὶ πρὸς τὸν τῆς χώρας ἐπιτροπεύοντα τότε Ῥωμαῖον, καὶ καταξανθεὶς μάστιξιν, οὔθ' ἱκέτευεν, οὔτ' ἐδάκρυσεν, ἀλλὰ τὴν φωνὴν ὀλοφυρτικῶς, παρακλίνων, πρὸς ἑκάστην πληγὴν, *Αἴ, αἴ, Ἱεροσολύμοις*, ἐβόα· μέχρι καταγνοὺς μανίαν αὐτοῦ ὁ Ἀλβῖνος (οὗτος γὰρ ἐπετρόπευε τότε) ἀπέλυσεν αὐτόν. Ὁ δ' ἐκτοτε μέχρι τοῦ πολέμου, *Αἴ, αἴ, Ἱεροσολύμοις*, ἐβόα καὶ ἐθρήνει. Ἐν δὲ ταῖς ἑορταῖς μάλιστα τὴν σκυθρωπὴν ἐκεκράγει κληδόνα, καὶ τοῦτ' ἐποίει ἐπὶ ἔτη ἑπτὰ καὶ μῆνας πέντε, μέχρις οὗ κατὰ τὴν πολιορκίαν περιιὼν ἐπὶ τοῦ τείχους, *Αἴ, αἴ πάλιν τῇ πόλει, καὶ τῷ ναῷ, καὶ τῷ λαῷ*, διαπρυσίως ἐβόα. Ὡς δὲ τελευταῖον προσέθηκεν, *Αἴ, αἴ κἀμοί*, λίθος ἐκ τοῦ πετροβόλου πλήξας αὐτὸν ἔκτεινε.

ΚΕ'. Ῥωμαῖοι δὲ τῶν μὲν στασιαστῶν κατα-

φευγόντων εἰς τὴν πόλιν, καιομένου δὲ τοῦ ναοῦ καὶ τῶν περιξ ἁπάντων, κομίσαντες τὰς σημαίας εἰς τὸ ἱερὸν, μετὰ μεγίστων εὐφημιῶν τὸν Τίτον ἀπέφηναν αὐτοκράτορα. Οὕτω δὲ ταῖς ἁρπαγαῖς οἱ στρατιῶται πάντες ἐχρημάτισαντο, ὥστε κατὰ τὴν Συρίαν πρὸς ἥμισυ τῆς πάλαι τιμῆς τὸν σταθμὸν τοῦ χρυσίου πιπράσκεσθαι. Οἱ δὲ ἀνὰ τὸν τοῖχον τοῦ ναοῦ, ὡς εἴρηται, ἀνελθόντες ἱερεῖς, ἐπὶ πέντε ἡμέραις προσκαρτερήσαντες καὶ λιμώξαντες, κατέβησαν, ἱκετεύοντες τυχεῖν σωτηρίας. Ὁ δὲ Τίτος καὶ τὸν τῆς συγγνώμης καιρὸν παρελθεῖν ἔφησε καὶ τοῦ ναοῦ οἰχομένου καὶ τοὺς ἱερεῖς συναπολέσθαι αὐτῷ δεῖν εἰπών, κολασθῆναι τοὺς ἄνδρας ἐκέλευσεν. Οἱ δὲ περὶ τοὺς τυράννους διαβράναι μὴ ἰσχύοντες, προσκαλοῦνται τὸν Τίτον εἰς λόγους. Καὶ ὃς ἦκε, καὶ τὴν ἀπόνοιαν αὐτοῖς ἐξωνείδιζε, καὶ ῥίψασι τὰ ὅπλα καὶ παραδοῦσι τὰ σώματα χαρίζεσθαι τὴν ζωὴν ἐπηγγέλλετο. Καὶ οἱ λῃσταὶ δεξιὰν μὲν μὴ δύνασθαι παρ' αὐτοῦ λαβεῖν ἔφησαν, ὁμομωκότες μηδέποτε τοῦτο ποιήσειν· ἔξοδον δὲ ᾐτοῦντο, μετὰ γυναικῶν καὶ τέκνων, καταλείψειν τὴν πόλιν αὐτῷ. Ἠγανάκτησε πρὸς ταῦτα ὁ Τίτος, καὶ μήτε αὐτομολεῖν ἔτι τινὰ σφῶν ἐκέλευσε μήτε δεξιᾶς ἐλπίζειν τυχεῖν (φείσεσθαι γὰρ οὐδενός), μάχεσθαι δὲ καὶ σώζειν ὡς δύναιντο ἑαυτούς. Τοῖς δὲ στρατιώταις ἐμπιπρᾶν τὴν πόλιν καὶ διαρπάζειν ἐκέλευσεν· οἱ δὲ τὸ πῦρ ἐνίεσαν πανταχοῦ. Οἱ στασιασταὶ δὲ ἐπὶ τὴν βασιλικὴν οἰκίαν ὁρμήσαντες, εἰς ἣν δι' ὀχυρότητα πολλοὶ τὰς κτήσεις ἀπέθεντο, τούς τε Ῥωμαίους ἀπ' αὐτῆς τρέπονται· καὶ τὸ συνηθροισμένον αὐτόθι τοῦ δήμου πᾶν φονεύσαντες, εἰς ὀκτακισχιλίους καὶ τετρακοσίους ἀριθμουμένους, τὰ χρήματα διήρπασαν. Τῇ δ' ἑξῆς Ῥωμαῖοι, τρεψάμενοι τοὺς λῃστὰς ἐκ τῆς κάτω πόλεως, τὰ μέχρι τοῦ Σιλωὰμ πάντα ἐνέπρησαν. Καιομένην δὲ τὴν πόλιν ὁρῶντες οἱ στασιασταὶ, ἱλαροῖς τοῖς προσώποις εὔθυμοι τὴν τελευτὴν προσδέχεσθαι ἔλεγον. Οὔτε δὲ παραδοῦναι ἑαυτοὺς ὑπέμενον, οὔτε πολεμεῖν Ῥωμαίοις οἷοί τε ἦσαν· σκιδνάμενοι δὲ κατὰ τὰ ἔμπροσθεν τῆς πόλεως, εἴ τινας αὐτομολεῖν ἐθέλοντας εὕρισκον, ἀπέσφαττον· καὶ οὐδεὶς ἐν τῇ πόλει τόπος γεγύμνωτο, ἀλλ' ἅπας ἢ λιμοῦ νεκρὸν εἶχεν, ἢ στάσεως. Ἔθαλπε δὲ τούς τε τυράννους καὶ τὸ σὺν αὐτοῖς λῃστρικὸν ἐλπὶς ἐσχάτη τῶν ὑπονόμων, εἰς οὓς εἰ καταφύγοιεν, οὐ προσεδόκων ἐρευνηθήσεσθαι. Ἀναζευξάντων δὲ τῶν Ῥωμαίων, ἐθάρρουν προελθεῖν τε καὶ ἀποδρᾶναι. τὸ δὲ ἦν ἄρα ὄνειρος· οὔτε γὰρ τὸν Θεὸν, οὔτε Ῥωμαίους λήσειν ἔμελλον. Ἦν δὲ καὶ πρὸς ἀλλήλους ἐν ταῖς ἁρπαγαῖς πόλεμος αὐτοῖς. Καῖσαρ δὲ, ὡς ἀμήχανον ἦν τὴν ἄνω πόλιν ἑλεῖν χωμάτων ἄτε, οὖσαν περίκρημνον, διανέμει τοῖς ἔργοις τὴν δύναμιν.

sis templum, et quæ circum templum erant, arderent omnia, signis in templum illatis, Titum cum faustissimis acclamationibus imperatorem designarunt. Milites tantum ex rapinis pecuniæ coacervarunt, ut in Syria pondus auri dimidio minoris quam olim venderetur. Sacerdotes, qui, ut dictum est, murum templi conscenderant, cum quinque dies ibi exegissent, fame confecti descenderunt: utque sibi parceretur, supplicarunt. Quibus Titus respondit: Veniæ tempore jam præterito, sacerdotibus cum templo perundum esse, et homines suppliciis affici jussit. Tyranni qui effugere non poterant, Titum ad colloquium evocant: qui cum venisset, eisque vecordiam objecisset, vita se illos donaturum promisit, si abjectis armis se dederent. Latrones vero se dextram ab eo accipere posse negarunt, jurasse enim se id nunquam facturos: sed petiverunt, ut cum uxoribus et liberis urbe excedere liceret. Quamobrem Titus iratus, edixit, ne quis eorum ampliùs transfugeret, aut spem dextræ haberet, se enim parsurum esse nemini: pugnarent igitur, ac saluti suæ pro viribus consulerent. Milites urbem incendere ac diripere jussit: qui cum incendia ubique spargerent, latrones ad regiam decurrerunt, in quam ob loci munitionem multi suas opes contulerant: ac Romanis inde pulsis, et cœtu plebis ibi congregatæ ad VIII millia et CCCC omni interfecto, pecuniam diripuerunt. Postridie Romani latronibus ex inferiore urbe profligatis, usque ad Siloam omnia incenderunt. Seditiosi cum ardere urbem viderent, hilari vultu se alacres obituros dixerunt, cum se neque Romanis dedere vellent, neque repugnare **304** possent: sed ante urbem dispersi, quos transfugere volentes deprehendebant, jugulabant: neque ullus urbis erat locus, qui non fame aut seditione peremptos haberet. Tyrannos una spes reliqua subterraneorum meatuum fovebat: quò si confugissent, se non indagatum iri stulta opinione putabant. Nam cum Romani castra moverent, progredi atque aufugere ausi, neque Deum neque Romanos latere poterant, et inter se de rapinis bellum gerebant. Cæsar vero cum urbs superior in præcipiti sita loco, sine aggeribus capi non posset, copiis opus distribuit.

Κϛ'. Κατὰ ταύτας οὖν τὰς ἡμέρας οἱ τῶν Ἰδουμαίων ἡγεμόνες πέμψαντες ἄνδρας πέντε πρὸς Τίτον, ἱκέτευον δοῦναι αὐτοῖς δεξιάν. Ὁ δὲ καὶ τοὺς τυράννους ἐνδύσειν ἐλπίσας ἀποσπασθέντων τῶν Ἰδουμαίων, κατανεύει τὴν σωτηρίαν αὐτοῖς. Καὶ ὁ Σίμων, γνοὺς τὴν γνώμην αὐτῶν, τοὺς μὲν πέντε τοὺς ἐντυχόντας τῷ Τίτῳ αὐτίκα ἀναιρεῖ, τοὺς δ' ἡγεμόνας συλλαβὼν εἵργνυσιν· Ἰδουμαίους δὲ οὐκ ἀφυλάκτους εἶχε, καὶ τὸ τεῖχος φρουραῖς ἐπιμελεστέραις διελάμβανε, διὰ τοὺς αὐτομολοῦντας. Πολ-

XXVI. Iis diebus Idumæorum principes v legatis ad Titum missis, supplices pacem petierunt: qui etiam tyrannos, Idumæis avulsis, pertinaciam abjecturos sperans, incolumitatem illis promisit. At Simon eorum consilio cognito, v legatos statim occidit, duces in carcerem compingit, Idumæos observari jubet, et mœnia præsidiis accuratioribus munit, propter transfugas. Sed quamvis multi occiderentur, plures erant qui diffugerent, atque a Romanis ob cædium satietatem et lucri spem sus-

ciperentur. Nam sedis plebeiis retentis, cæteros cum uxoribus et liberis minimo vendebant, ob mancipiorum multitudinem, et emptorum paucitatem. Eorum qui venditi sunt, multitudo infinita fuit, e plebeiis ultra XL millia sunt conservati. Quidam sacerdos nomine Jesu, pacta incolumitate, duo candelabra tradidit, mensam, crateres et phialas, ex solido auro omnia, nec non aulæa, pontificias vestes, et multa alia vasa. Sacri thesauri custos Phinees comprehensus, tunicas et cingula pontificia, ac plures alias res pretiosas demonstravit. Aggeribus jam confectis, Romani machinas ad muros adduxerunt. At seditiosi partim in arcem recedebant, partim in subterraneis meatibus se abdebant, multi propugnabant. Sed muri parte abrupta, etiam tyrannis metus incessit, ut fugæ consilia agitarent. Cum enim eos quorum fideli opera pridem usi fuerant, non haberent (nam dispersi erant) et hostes in propinquo esse nuntiarentur: in faciem prolapsi, vecordiam suam deploraruut, atque ultro e turribus descenderunt, **305** e quibus vi nunquam, sed sola fama depelli potuissent: et in vallem Siloam confugerunt, deinde meatus subierunt. Romani mœnibus citra sanguinem potiti, deprehensos trucidabant, atque ædes incendebant: sed ante vesperam desierunt. Postridie Titus urbem ingressus, et munitiones ac turres admiratus: *Deo*, inquit, *juvante bellum gessimus; Deus fuit, qui Judæos munitionibus istis expulerit.* Cum autem urbem alibi deleret, et mœnia everteret: eas turres fortunæ suæ monimentum reliquit, qua adjutrice iis potitus esset, quæ expugnari non possent. Totius belli tempore virorum capta sunt ad nonaginta septem millia, totius obsidionis tempore undecies centena hominum millia perierunt: quorum major pars ejusdem gentis, sed non ejusdem nationis fuit. Nam e tota provincia ad festum Azymorum congressos, bellum subito oppresserat, et viris plenam urbem circumvallarat. Romani cum ex manifestis alios sustulissent, alios cepissent, in cavernis delitescentes indagabant, perruptoque solo obvios quosque trucidarunt. Sed et ibi cadaverum ultra duo millia sunt reperta: ac subeuntibus teter occurrit fœtor, ut multi recederent, sed alii præ avaritia intrabant, mortuorum cumulos calcantes. Nam in iis cavernis multa ornamenta reperiebantur: multi etiam educebantur et dimittebantur, quos tyranni captivos tenuerant. Ex iis patriæ pestibus, Joannes cum fratribus in cavernis esuriens, pacem a Romanis supplex petiit. Simon postea comprehensus est, Tito Cesareæ Philippi degente. Nam cum Hierosolyma obsiderentur, atque urbem Romani intrassent, in superiore ejus parte degens Simon, assumptis amicorum intimis, unaque lapicidis et ferramentis idoneis, in quamdam cavernam se demisit, et vetere fossa perambulata, terram excavavit, ut cuniculis longe promotis tuto loco emergeret. Sed paulum progressis metallicis, commeatu destitutus, candida

λῶν δὲ φονευομένων, πλείους ἦσαν οἱ διαφεύγοντες. Ἐδέχοντο δὲ οἱ Ῥωμαῖοι πάντας κόρῳ τοῦ κτείνειν καὶ κέρδους ἐλπίδι. Τοὺς γὰρ δημοτικοὺς ἐῶντες μόνους, τοὺς ἄλλους ἐπώλουν σὺν γυναιξὶ καὶ τέκνοις, ἐλαχίστης τιμῆς ἕκαστον, διὰ πλῆθος τῶν πωλουμένων, καὶ ὀλιγότητα τῶν ὠνουμένων. Τῶν μὲν ἀπεμποληθέντων ἄπειρόν τι πλῆθος ἦν· οἱ δημοτικοὶ δὲ διεσώθησαν ὑπὲρ τετρακισμυρίους. Τῶν ἱερέων δέ τις ὄνομα Ἰησοῦς, λαβὼν περὶ σωτηρίας ὅρκον ὥστε τινα παραδοῦναι τῶν κειμηλίων, ἔξεισι, καὶ παραδίδωσι λυχνίας δύο, τράπεζάν τε καὶ κρατῆρας, καὶ φιάλας, πάντα ὁλόχρυσα, καὶ τὰ καταπετάσματα, καὶ τὰ τῶν ἀρχιερέων ἐνδύματα, καὶ πολλὰ τῶν σκευῶν ἕτερα. Ὁ δέ γε γαζοφύλαξ τοῦ ἱεροῦ Φινεὲς συλληφθείς, τούς τε χιτῶνας, καὶ τὰς ζώνας τῶν ἀρχιερέων ὑπέδειξε, καὶ τῶν ἄλλων κειμηλίων πολλά. Συντετελεσμένων δὲ ἤδη τῶν χωμάτων, προσῆγον οἱ Ῥωμαῖοι τῷ τείχει τὰς μηχανάς. Τῶν δὲ στασιαστῶν οἱ μὲν ἀνεχώρουν εἰς τὴν ἄκραν, οἱ δ' ἐγκατεδύοντο τοῖς ὑπονόμοις, πολλοὶ δὲ καὶ ἠμύνοντο. Ὡς δὲ περιερράγη μέρος τοῦ τείχους, δέος καὶ τοῖς τυράννοις ἐμπίπτει, καὶ μετέωροι πρὸς φυγὴν ἦσαν. Ἐπεὶ δὲ τοὺς μὲν πάλαι πιστοὺς οὐκ εἶχον (ἐσκεδάσθησαν γάρ), οἱ δὲ πολέμιοι πλησίον εἶναι ἠγγέλλοντο, ἐπὶ στόμα πεσόντες ἀνώμωξαν τὴν ἑαυτῶν φρενοβλάβειαν, κἀκ τῶν πύργων ἑκόντες κατέβησαν, ἀφ' ὧν βίᾳ μὲν οὐδέποτε ἁλῶναι ἠδύναντο, λιμῷ δὲ μόνῳ, καὶ εἰς τὴν Σιλωὰμ φάραγγα καταφεύγουσιν, εἶτα κατέδυσαν εἰς τοὺς ὑπονόμους. Ῥωμαῖοι δὲ τῶν τειχῶν κρατήσαντες ἀναιμωτί, τοὺς καταλαμβανομένους ἐφόνευον, καὶ τὰς οἰκίας ὑφῆπτον. Ἐπαύσαντο δὲ πρὸς ἑσπέραν· τῇ δ' ἐπιούσῃ παρελθὼν ὁ Τίτος εἴσω, τῆς τε ὀχυρότητος τὴν πόλιν καὶ τῶν πύργων ἐθαύμασε, καὶ *Σὺν Θεῷ ἐπολεμήσαμεν*, ἔφη, *καὶ Θεὸς ἦν ὁ τῶνδε τῶν ἐρυμάτων Ἰουδαίους καθελών.* Τὴν ἄλλην τε πόλιν ἀφανίζων, καὶ τὰ τείχη κατασκάπτων, τούτους τοὺς πύργους κατέλιπε μνημεῖον εἶναι τῆς αὐτοῦ τύχης, ἢ συστρατιώτιδι χρησάμενος, ἐκράτησε τῶν ἁλῶναι μὴ δυναμένων. Τῶν μὲν οὖν αἰχμαλώτων πάντων, οἱ δ' ὅλου τοῦ πολέμου ἐλήφθησαν, ὁ ἀριθμὸς εἰς ἐννέα μυριάδας καὶ ἑπτακισχιλίους συνήχθη· τῶν δὲ ἀπολλυμένων κατὰ πᾶσαν τὴν πολιορκίαν, μυριάδες ἑκατὸν καὶ δέκα. Τούτων τὸ πλέον ἐμόφυλον μέν, ἀλλ' οὐκ ἐπιχώριον· ἀπὸ γὰρ τῆς χώρας ὅλης ἐπὶ τὴν τῶν Ἀζύμων ἑορτὴν συνελήλυθότες, ἐξαπίνης τῷ πολέμῳ περιεσχέθησαν, καὶ μεσοῦσαν ὁ πόλεμος τὴν πόλιν ἀνδρῶν ἐκύκλωσατο. Ἐπεὶ δὲ τῶν φανερῶν οὓς μὲν ἀνεῖλον, οὓς δ' ᾐχμαλώτισαν Ῥωμαῖοι, τοὺς ἐν τοῖς ὑπονόμοις ἀνηρεύνων, καὶ ἀναῤῥηγνύντες τὸ ἔδαφος, ὅσοις ἐνετύγχανον, ἔκτεινον. Εὑρέθησαν δὲ κἀκεῖ νεκροὶ, δισχιλίων ἐπέκεινα· δεινὴ δὲ ὑπῆντα τοῖς ἐπικύπτουσι τῶν σωμάτων ὀδμὴ, ὡς πολλοὺς εὐθέως ἀναχωρεῖν· ἄλλοι δ' ὑπὸ πλεονεξίας εἰσεδύοντο, σωρείαις ἐμπατοῦντες νεκρῶν. Εὕρισκον γὰρ πολλὰ τῶν κειμηλίων ἐν ταῖς διώρυξιν. Ἀνήγοντο δὲ καὶ πολλοὶ ὑπὸ τῶν τυράννων κατεχόμενοι δεσμῶται, καὶ ἀπελύοντο. Τούτων δὲ τῶν ἁλαστόρων ὁ μὲν Ἰωάννης ἐν τοῖς

ὑπονόμοις μετὰ τῶν ἀδελφῶν λιμώττων, δεξιὰν παρὰ Ῥωμαίων λαβεῖν ἐκέτευε. Σίμων δὲ μετέπειτα συνελήφθη, τοῦ Τίτου διάγοντος εἰς τὴν Φιλίππου λεγομένην Καισάρειαν. Πολιορκουμένων γὰρ Ἱεροσολύμων, ἐπὶ τῆς ἄνω πόλεως ὢν, τῶν Ῥωμαίων ἐντὸς γενομένων τῆς πόλεως, ὁ Σίμων τοὺς πιστοτάτους παραλαβὼν τῶν φίλων, καὶ σὺν αὐτοῖς λιθοτόμους, καὶ τὸν πρὸς τὴν ἐργασίαν ἐπιτήδειον τούτοις σίδηρον, εἴς τινα τῶν ὑπονόμων σὺν ἐκείνοις καθίησιν ἑαυτὸν, καὶ τὸ παλαιὸν ῥῦγμα διελθὼν, τὴν γῆν ὑπενόμευεν, ἵνα πορρώτερω προελθόντες ἐν ἀσφαλείᾳ ποιήσωνται τὴν ἀνάδυσιν. Ὀλίγον μέντοι τῶν μεταλλευόντων προχωρησάντων, ἡ τροφὴ αὐτοὺς ἐπιλέλοιπε. Τότε δὴ λευκοὺς ἐνδύεται χιτωνίσκους, καὶ χλαμύδα πορφυρᾶν ἐμπερονησάμενος, ἀνέδυ τῆς γῆς κατ' ἐκεῖνον τὸν τόπον, ἐν ᾧ πρόσθεν τὸ ἱερὸν ἦν. Πρῶτον μὲν οὖν θάμβος τοῖς ἰδοῦσι προσέπεσεν, εἶτα δ' ἐγγυτέρω προσιόντες, ὅστις εἴη ἠρώτων. Σίμων δὲ καλεῖν τὸν ἄρχοντα σφῶν προσέταττε, καὶ ἧκε κληθείς Τερέντιος Ῥοῦφος, ὃς ἄρχων τῆς στρατιᾶς κατελέλειπτο· ᾧ γνωρίσας ὅστις ἦν ὁ Σίμων, συνελήφθη, καὶ δεθεὶς ἐφυλάττετο. Τῷ δέ γε Τίτῳ ἡ σύλληψις αὐτοῦ ἐδηλώθη, καὶ ὁ μὲν εἰς τὸν Θρίαμβον ἐτηρεῖτο, καθ' ὃν καὶ ἀνηρέθη ἀγχόνῃ, συρεὶς ἐν τῇ κατὰ τὴν Ῥώμην ἀγορᾷ, ὅπου κτείνειν Ῥωμαίοις εἴθισται τοὺς ἐπὶ κακουργίᾳ θανατουμένους. Τοῦτο μὲν οὖν γέγονε τέλος τῷ τοῦ Γιώρᾳ Σίμωνι. Ἰωάννης δὲ, ἡ λοιπὴ τῶν Ἰουδαίων ἐρινὺς, δεσμὰ κατεκρίθη διηνεκῆ. Τὸ δὲ τῶν αἰχμαλώτων πλῆθος τὸ μὲν εἰς τὰ κατ' Αἴγυπτον ἔργα ἐστάλη, τὸ δὲ ἐν ταῖς κατὰ πόλεις τελουμέναις θεωρίαις ἐφθείρετο, ἢ θηριομαχίαις ἐκδιδόμενον, ἢ ἀλληλοκτονούμενον. Ἡ δὲ τοῦ Σίμωνος γῆθεν ἀνάδυσις, πολὺ καὶ τῶν ἄλλων στασιαστῶν πλῆθος εὑρίσκεσθαι κατὰ τοὺς ὑπονόμους ἐποίησεν, ὡς ἐντεῦθεν, καὶ τὰ τοῦ ναοῦ ἀνορυχθῆναι θεμέλια.

A indutus tunica, et chlamyde purpurea infibulatus, eo in loco e terra emersit, ubi templum dudum fuerat. Quem qui viderunt, primum stupore correpti sunt, deinde propius accesserunt, **306** interrogantes quis esset? Simon cum ducem vocari jussisset, Terentius Rufus (hunc enim Titus exercitui præfecerat) accersitus, Simonem, audito ejus sermone, in vincula conjectum, Titi jussu ad triumphum asservavit: in quo, laqueo enectus est, per id forum tractus, ubi de maleficis supplicium sumitur. Hic fuit exitus Simonis Gioræ. Joannes vero, altera Judæorum furia, ad perpetuum carcerem est damnatus. Captivorum multitudo partim ad Ægyptia metalla missa est, partim in spectaculis urbium interfecta, seu cum feris, seu inter sese dimicando. Simonis ex terra emersio in causa fuit, ut cæterorum etiam seditiosorum magna turba in meatibus inveniretur: unde etiam templi fundamenta sunt suffossa.

KZ'. Οὐ μόνον δὲ τοῖς ἐν Ἱεροσολύμοις Ἰουδαίοις ἐπήνεκτο κίνδυνος, ἀλλὰ καὶ τοῖς ἐν ταῖς ἄλλαις πόλεσι. Πάντα δὲ διηγήσασθαι δύσεργον· τὰ δὲ ἐπ' Ἀντιοχείας τοῖς ἐκείνην οἰκοῦσιν Ἰουδαίοις συμβεβηκότα, διηγητέον. Πολὺ μὲν γὰρ ἀνὰ πᾶσαν τὴν οἰκουμένην τὸ Ἰουδαίων ἔθνος κατέσπαρται, πολλάκις αἰχμαλωτισθὲν, ὡς ἤδη ἱστόρηται, καὶ σκεδασθὲν πανταχοῦ· πλεῖστον δὲ τῇ Συρίᾳ ἐγκαταμέμικται κατὰ τὴν γειτνίασιν, μᾶλλον δὲ τῶν ἄλλων ταύτης πόλεων Ἀντιόχεια κατοίκους Ἰουδαίους ἐκέκτητο, διά τε τὸ τῆς πόλεως μέγεθος, καὶ ὅτι ἀδεᾶ τὴν κατοίκησιν ἐν αὐτῇ παρέσχον αὐτοῖς οἱ μετ' Ἀντίοχον βασιλεῖς. Ὁ μὲν γὰρ Ἐπιφανὴς Ἀντίοχος τά τε Ἱεροσόλυμα ἐξεπόρθησε, καὶ τὸν ναὸν ἐσύλησεν. Οἱ δὲ μετ' αὐτὸν βασιλεῖς ἐξίσου τοῖς Ἕλλησι μετέχειν τῆς πόλεως αὐτοῖς συνεχώρησαν. Διὸ καὶ εἰς πλῆθος ἐπέδωκαν, πολὺ πλῆθος Ἑλλήνων προσαγόμενοι τῇ θρησκείᾳ. Καθ' ὃν δὲ καιρὸν ὁ τῶν Ἱεροσολύμων πόλεμος ἐξερράγη, καὶ εἰς τὴν Συρίαν κατέπλευσεν Οὐεσπασιανὸς, τὸ δὲ μῖσος κατὰ τοῦ ἔθνους παρὰ πᾶσιν ἦκμαζε, τότε δή τις Ἰουδαῖος Ἀντίοχος, υἱὸς τῶν ἐπ' Ἀντιοχείας Ἰουδαίων τοῦ πρώτου, εἰς τὸν δῆμον τῶν Ἀντιοχέων παρελθὼν, κατηγόρει μὲν τοῦ πατρὸς, κατηγόρει δὲ καὶ τῶν λοιπῶν Ἰουδαίων, ὅτι καταπρῆσαι τὴν πόλιν ἅπασαν ἐβουλεύσαντο, καὶ παρεδίδου ξένους Ἰουδαίους τινὰς ὡς τοῦ βουλεύματος κοινωνούς. Τὸ δὲ τῶν Ἀντιοχέων δημοτικὸν τοὺς μὲν παραδοθέντας αὐτίκα κατέκαυσαν, κατὰ δὲ τῶν αὐθιγενῶν Ἰουδαίων ὥρμηντο κἀκείνους τιμωρησόμενοι. Ὁ δὲ τῶν ὁμοσύλων κατήνορος Ἀντίοχος, ἀποστῆναι τῆς

XXVII. Neque vero Hierosolymitani duntaxat Judæi discrimina subierunt, sed aliarum quoque urbium incolæ: quæ difficile fuerit recensere omnia, unum tamen exponendum est quomodo cum Antiochenis Judæis actum fuerit. Nam multum Judaicæ gentis per totum orbem terrarum est dispersum: sæpe capta est, et ubique dissipata, ut jam exposuimus: maxima tamen pars Syriæ propter vicinitatem est immista: et Antiochia cum ob urbis amplitudinem, tum propter liberam ibi habitandi facultatem, ab Antiochi successoribus impetratam, plures Judæos inquilinos habuit, quam aliæ civitates. Nam Antiochus Epiphanes Hierosolyma vastavit, et templum spoliavit. Qui autem secuti sunt reges, eis concesserunt, ut ex æquo cum Græcis participes urbis essent. Itaque in magnam multitudinem excreverunt, multis subinde Græcis ad suam religionem perductis. Cæterum quo tempore bellum Hierosolymitanum erupit, et Vespasianus in Syria appulit, omnibus Judæorum odio flagrantibus: tunc Judæus quidam Antiochus, Judæorum Anthiochenorum principis filius, in concionem Antiochenorum progressus, et patrem et cæteros Judæos accusavit, eos de incendenda tota urbe deliberasse: et peregrinos quosdam Judæos, ut ejus consilii conscios, tradidit. Plebs Antiochena tradi-tos Judæos **307** statim exussit, ad indigenas quoque Judæos puniendos concitata. Sed Antiochus popularium suorum accūsator, se patriam religionem reliquisse professus, more Græco immolavit: et populum hortatus est, ut cæteros etiam idem

facere cogeret. Nam ita insidiatores deprehensum iri, si religionem suam ejerare nollent. Ejus rei cum Antiocheni periculum fecissent, pauci cesserant: qui Græcum ritum repudiarunt, interfecti sunt. Idem Antiochus militibus etiam a Romano præside acceptis, sævum se popularibus suis præbuit, otium diei septimi eos agere non passus, eoque necessitatis redegit, ut Sabbati ignavia, non Antiochiæ duntaxat, sed in aliis quoque urbibus ad tempus abrogaretur. Neque vero hæc duntaxat. Antiochenis Judæis acciderunt, sed et alia calamitas accessit. Accidit ut quadratum urbis forum, prætoriaque et tablina cremarentur, cujus incendii idem Antiochus Judæos criminabatur; et Antiochenos jam ante male suspicantes, contra eos concitavit, ut furiosorum instar omnes contra accusatos ruerent, et ægre a quibusdam reprimerentur, suadentibus ut causam eam Tito disceptandam reservarent. Interea quidem re diligenter inquisita, gentem Judaicam insontem repererunt: et ejus facinoris auctores esse homines improbos ob æris alieni necessitatem, ratos, si curias et publica tablina incendissent, fore neminem a quo appellarentur. Interea Titum Antiochiam proficiscentem, populus Antiochenus obviam egressus, lætis omnibus excipit, mistis precibus de Judæis urbe pellendis. Is vero tum ea verba placide dissimulans præteribat. Deinde rursus Antiochenis idem acriter flagitantibus: *At*, inquit, *patria eorum, quo revertendum illis esset, eversa est, neque ullus locus est quo recipiantur.* Hac postulatione frustrati, ad aliam convertuntur, petentes ut æreæ tabulæ, quibus jura Judaica inscripta erant, tollerentur. Sed ne id quidem Titus concessit, Judæos Antiochenos omnia quæ prius habuerant, tenere passus. Inde Alexandriam profecturus, cum Hierosolyma præteriret, miseratus est urbis excidium, et defectionis auctores **308** detestatus, ut excidii quoque urbis antiquæ et felicis auctores, in cujus ruinis etiam partes ingentis opulentiæ reperiebantur: Romanis multa effodientibus, captivis plura demonstrantibus, quæ possessores ob incertos belli casus terræ mandarant.

XXVIII. Titus ex Ægypto et Alexandria in Italiam navigaturus, captivorum duces Joannem et Simonem, atque alios septingentos viros proceritate et elegantia corporum præstantes, statim in Italiam duci jussit, ad explendam triumphi pompam. Tito Romam reverso, Lucius Bassus prætor in Judæam missus, castello Herodio deditione capto, omnes ejus provinciæ copias contra Machæruntem castellum munitissimum parat. Est enim in petroso tumulo situm, mœnibus obseptum, itaque a natura paratum, ut nec accessus in id

πατρίου λόγων θρησκείας, ἔθυσεν ὡς νόμος τοῖς Ἕλλησι, παρῄνει δὲ καὶ τοὺς ἄλλους ποιεῖν ὁμοίως βιάζεσθαι· ἔσεσθαι γὰρ φανεροὺς τοὺς ἐπιβουλεύσαντας, τῷ μὴ τὴν σφετέραν θρησκείαν ἀπόμνυσθαι. Χρωμένων δὲ τῇ πείρᾳ τῶν Ἀντιοχέων, ὀλίγοι μὲν ὑπέκυψαν· οἱ δὲ μὴ ἑλληνίσαι ἀνασχόμενοι διεφθάρησαν. Ὁ δ' εἰρημένος Ἀντίοχος καὶ στρατιώτας παρὰ τοῦ Ῥωμαίων ἡγεμόνος λαβών, χαλεπὸς ἦν τοῖς ὁμοφύλοις, ἀργεῖν τὴν ἑβδόμην οὐκ ἐπιτρέπων· οὕτω τε τὴν ἀνάγκην ἔθετο ἰσχυράν, ὡς μὴ μόνον ἐπ' Ἀντιοχείας τὴν τοῦ Σαββάτου ἀργίαν καταλελύσθαι, ἀλλὰ κἀν ταῖς ἄλλαις πόλεσιν ἐπί τινα χρόνον τοῦτο ἐπικρατῆσαι. Οὐ ταῦτα δὲ μόνα τοῖς ἐν Ἀντιοχείᾳ συμβέβηκεν Ἰουδαίοις, ἀλλὰ καὶ δευτέρα προσεγένετο συμφορά. Συνέβη μὲν γὰρ καταπρησθῆναι τὴν τῆς πόλεως τετράγωνον ἀγοράν, ἀρχεῖά τε καὶ χαρτοφυλάκια. Ὁ δ' εἰρημένος Ἀντίοχος τοῖς Ἰουδαίοις προστῆψε τὸν ἐμπρησμόν, καὶ τοὺς Ἀντιοχεῖς ὑποπτους ἔχοντας ἤδη αὐτοὺς, ἠρέθισε κατ' αὐτῶν, καὶ ὥσπερ ἐμμανεῖς, πρὸς τοὺς διαβεβλημένους ἅπαντες ὥρμηντο. Μόλις δ' αὐτοὺς κατέσχον τινὲς, συμβουλεύσαντες, Τίτῳ τὴν ὑπόθεσιν ἀναθεῖναι. Ἐν τῷ μέσῳ δέ τινες ποιούμενοι ἐπιμελῆ τοῦ πράγματος ζήτησιν, εὗρον τὸ μὲν τῶν Ἰουδαίων γένος ἀναίτιον, πονηροὺς δ' ἀνθρώπους τὸ ἔργον τολμήσαντας διὰ χρεῶν ἀνάγκας, οἰηθέντας, εἰ τὴν ἀγορὰν καὶ τὰ δημόσια γραμματεῖα ἐμπρήσειαν, ἔξειν ἀπαλλαγὴν τῆς εἰσπράξεως. Ἐν τούτοις δὲ καὶ ὁ Τῖτος ἀφικνεῖτο εἰς Ἀντιόχειαν, καὶ ὁ τῶν Ἀντιοχέων δῆμος προϋπήντα αὐτῷ, καὶ εὐφήμει· ταῖς δ' εὐφημίαις συνεῖρε καὶ δέησιν, ἐκβαλεῖν ἀξιοῦσαν τοὺς Ἰουδαίους τῆς πόλεως. Ὁ δὲ τὰ τότε τῶν λεγομένων ἡσυχῇ κατακούων, παρῄει. Ὕστερον δ' αὖθις σφόδρα λιπαρῶς ἐγκειμένων τῶν Ἀντιοχέων, ἐξελαθῆναι τοὺς Ἰουδαίους τῆς πόλεως, Ἀλλ' ἥ γε πατρὶς αὐτῶν, ἔφη, εἰς ἣν ἀναχωρεῖν αὐτοὺς ἐχρῆν, ἀνῄρηται, καὶ δέξαιτ' ἂν αὐτοὺς οὐδεὶς ἔτι τόπος. Ἀποτυχόντες οὖν τῆς αἰτήσεως ταύτης, ἐπὶ δευτέραν ἐτράποντο, καὶ τὰς χαλκᾶς ἠξίουν δέλτους ἀναιρεθῆναι, αἷς τὰ δίκαια τῶν Ἰουδαίων ἐγέγραπτο. Ἀλλ' οὐδὲ πρὸς τοῦτο Τῖτος ἐπένευσε. Πάντα δὲ τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις εἴασεν, ὡς πρότερον εἶχον αὐτά. Αὐτὸς δ' εἰς Ἀλεξάνδρειαν ἀπιών, καὶ κατὰ τὴν πορείαν τὰ Ἱεροσόλυμα θεασάμενος, ὤκτειρε τὸν τῆς πόλεως ὄλεθρον, ἐπαρώμενος τοῖς αἰτίοις τῆς ἀποστάσεως, ὡς αἰτίοις τῆς τῆς πόλεως ἐρημώσεως, πόλεως ἀρχαίας τε καὶ εὐδαίμονος. Εὑρίσκοντο δ' ἔτι κἀν τοῖς ἐρειπίοις αὐτοῖς, μέρη τοῦ βαθυτάτου πλούτου αὐτῆς. Πολλὰ μὲν γὰρ οἱ Ῥωμαῖοι ἀνέσκαπτον, τὰ πλείω δὲ οἱ αἰχμάλωτοι ὑπεδείκνυον, ἅπερ οἱ κεκτημένοι πρὸς τὰς ἀδήλους τοῦ πολέμου ῥοπὰς κατὰ γῆς ἐθησαύριζον.

ΚΗ'. Τῖτος δ' ἐπ' Αἴγυπτον πορευθεὶς, καὶ καταντήσας εἰς Ἀλεξάνδρειαν, κἀκεῖθεν πλεῖν ἐπὶ τὴν Ἰταλίαν μέλλων, τῶν αἰχμαλώτων τοὺς ἡγεμόνας Ἰωάννην καὶ Σίμωνα, καὶ ἄλλους ἄνδρας ἑπτακοσίους μεγέθει τε καὶ κάλλει σώματος διαπρέποντας εἰς τὴν Ἰταλίαν αὐτίκα μάλα ἐκέλευσεν ἄγεσθαι, ἵν' ἐν τῷ θριάμβῳ πληρώσωσι τὴν πομπήν. Μετὰ δὲ τὴν εἰς Ῥώμην τοῦ Τίτου ἄφιξιν πεμφθεὶς στρατηγὸς εἰς Ἰουδαίαν Λούκιος Βάσσος, τὸ μὲν ἐν τῷ Ἡρωδίῳ φρούριον μετὰ τῶν κατεχόντων αὐτὸ παρεστήσατο. Εἶτα πᾶν ὅσον ἦν ἐκεῖ στρατιωτικὸν

συναγαγών, ἐπὶ Μαχαιροῦντα στρατεύει. Ἦν δὲ τὸ φρούριον τοῦτο λίαν δυσάλωτον, πετρώδης ὢν ὄχθος τετειχισμένος· οὕτω δ' ὑπὸ τῆς φύσεως κατεσκεύαστο, ὡς μηδὲ προσιτὸς εἶναι· φάραγξι γὰρ πάντοθεν βαθείαις ἐτετάφρευτο. Οὕτω δ' ὀχυρότητος ἔχον, καὶ βασίλειον εἶχεν ἐντὸς μεγέθει τε καὶ κάλλει τῶν οἰκήσεων θαυμαστόν, πολλὰς δὲ καὶ δεξαμένας εἰς ὑποδοχὴν ὕδατος ἐν τοῖς ἐπιτηδειοτάτοις τῶν τόπων ἐνέκτητο. Πρὸς δὲ τοῖς ἄλλοις ἐν τοῖς βασιλείοις καὶ πήγανον ἦν, ἄξιον διὰ μέγεθος θαύματος· συχῆς γὰρ οὐδὲ μιᾶς ὕψους καὶ πάχους ἐλείπετο· λόγος δ' ἦν, ἀπὸ τῶν Ἡρώδου χρόνων αὐτὸ διαρκέσαι, καὶ ἐπὶ πλεῖστον ἴσως ἔμεινεν ἄν, εἰ μὴ ὑπὸ τῶν παραλαβόντων τὸν τόπον Ἰουδαίων ἐκκέκοπτο. Ἐν δὲ τῇ κατὰ τὴν ἄρκτον τοῦ φρουρίου φάραγγι ὀνομάζεταί τις τόπος Βαάρ, καὶ φύει ῥίζαν ὁμωνύμως καλουμένην αὐτῷ. Αὕτη φλογὶ μὲν ἔοικε τὴν χροιάν· περὶ δὲ τὰς ἑσπέρας σέλας ἀπαστράπτει· τοῖς δὲ βουλομένοις λαβεῖν αὐτὴν οὐκ ἔστιν εὐχείρωτος, ἀλλ' ὑποφεύγει, καὶ οὐ πρότερον ἵσταται, πρὶν ἄν τις οὖρον γυναικὸς ἢ τὸ αἷμα τὸ ἔμμηνον καταχέῃ αὐτῆς, καὶ τότε δὲ τοῖς ἁψαμένοις θάνατός ἐστι προφανής, εἰ μὴ τύχη τις αὐτὴν ἐκείνην ἀπενεγκάμενος τὴν ῥίζαν ἀπηρτημένην ἐκ τῆς χειρός. Ἁλίσκεται δὲ καὶ καθ' ἕτερον τρόπον ἀκινδύνως. Κύκλῳ γὰρ αὐτὴν περιορύσσουσιν, ὡς εἶναι τῇ γῇ κρυπτόμενον τῆς ῥίζης βραχύτατον, εἶτ' ἐξ αὐτῆς ἀποδοῦσι κύνα, κἀκείνου τῷ δήσαντι συνακολουθεῖν ὁρμήσαντος, ἡ μὲν ἀνασπᾶται ῥᾳδίως· θνήσκει δ' εὐθὺς ὁ κύων· φόβος δ' οὐδεὶς τοῖς μετὰ ταῦτα λαμβάνουσιν. Ἔστι δὲ διὰ μίαν ἰσχὺν περισπούδαστος. Τὰ γὰρ καλούμενα δαιμόνια καί τισιν εἰσδυόμενα, αὐτὴ ταχέως ἐξελαύνει, κἂν μόνον τοῖς νοσοῦσι προσενεχθῇ. Τοῦτο τὸ φρούριον ὁ Βάσσος παραστήσασθαι θέλων, τὴν πρὸς ἀνατολὰς αὐτοῦ φάραγγα χῶσαι ἀπεπειρᾶτο. Οἱ δ' ἐναπειλημμένοι τῶν Ἰουδαίων, ἔνδον ἀπὸ τῶν ξένων διακριθέντες, ἐκείνους μὲν ἠνάγκασαν ἐν τῇ κάτω πόλει παραμένειν, τὸ δ' ἄνω φρούριον εἶχον αὐτοί. Ἐποιοῦντο μέντοι τὰς ἐξόδους προθύμως ἀνὰ πᾶσαν ἡμέραν, καὶ τοῖς τυχοῦσι συμπλεκόμενοι, πολλοὶ μὲν ἔθνησκον, πολλοὺς δὲ τῶν Ῥωμαίων ἀνῄρουν, πονοῦντας ἐπὶ τοῖς χώμασιν. Ἐκ δέ τινος συντυχίας ἡ τοῦ φρουρίου παράδοσις γέγονε, καὶ τῶν χωμάτων χωρίς. Νεανίας τις ἦν ἐν τοῖς πολιορκουμένοις, τόλμῃ θρασὺς, καὶ κατὰ χεῖρα δραστήριος, Ἐλεάζαρ καλούμενος, ὃς ἐξιέναι καὶ κωλύειν τὴν χῶσιν παρακαλῶν τοὺς πολλοὺς, ἐν ταῖς μάχαις ἐπιφανέστατος γέγονε, πολλὰ τοὺς Ῥωμαίους διατιθείς. Καί ποτε τῆς μάχης διακριθείσης, αὐτὸς μείνας ἔξω τῶν πυλῶν, τοῖς ἐπὶ τοῦ τείχους ὡμίλει. Ῥοῦφός τις τοῦ Ῥωμαϊκοῦ στρατοπέδου, τὸ γένος Αἰγύπτιος, ἐξαίφνης ἐπιδραμὼν, σὺν ὅπλοις αὐτοῖς τὸν Ἐλεάζαρ ἁράμενος, φθάνει μεταθεὶς εἰς τὸ Ῥωμαίων στρατόπεδον. Τοῦ δὲ στρατηγοῦ γυμνωθῆναι κελεύσαντος αὐτὸν, καὶ μαστίζεσθαι, βλεπόντων τῶν ἐκ τῆς πόλεως, ἀθρόον ἡ πόλις ἀνώμωξε. Τοῦτο κατὰ τῶν πολεμίων ὁ Βάσσος στρατήγημα ἐποιήσατο, καὶ σταυρὸν προσέταξε καταπήγνυσθαι, ὡς αὐτίκα λῃσόμενον τὸν Ἐλεάζαρον. Οἱ δ' ἀπὸ τοῦ φρου-

A pateat, profundis vallibus tanquam fossis cinctum. Neque vero munitione duntaxat, sed et ob regiam, magnitudine et elegantia conclavium insignem, admirandum fuit, et multas cisternas idoneis locis ad pluviam aquam excipiendam habuit. In regia quoque ruta fuit miræ magnitudinis, nulla fici vel altitudine vel crassitudine inferior, quæ ab Herodis durasse temporibus ferebatur : et longissimo forsan tempore mansisset, nisi a Judæis, qui locum illum occuparant, excisa fuisset. In castelli valle septentrionali Baar locus est, qui radicem gignit ejusdem nominis, colore flammeo vesperi jubar quoddam ejaculantem, sed captu difficillimam. Refugit enim, neque prius consistit, quam urinam mulieris, aut sanguinem menstruum affuderis : ac tum eam attingentibus indubia mors imminet, nisi quis eam radicem de manu suspensam abstulerit. Capitur etiam alia ratione citra periculum. Nam undique eam circumfodiunt, ut ejus quam minimum terra tegatur : deinde canem ei alligant, qui eum dominum suum comitari cupit, illa facillime evulsa, statim moritur : accipientibus vero eam post, nihil est periculi. Expetitur autem ob unam virtutem. Nam quæ dæmonia vocantur, et quosdam intrant, si modo ægrotantibus admoveatur, facile expellit. Id castellum Bassus subigere **309** cupiens, vallem orientalem aggesta terra explere instituit. Judæi obsessi, a peregrinis separati, illos in urbe inferiore manere B coegerunt : superius castellum ipsi tenuerunt, ac nihilo secius quotidianas eruptiones fecerunt, et cum obviis congressi sunt. Nec ipsorum duntaxat multi perierunt, sed et Romanos multos in aggeribus laborantes occiderunt. Casu tamen quodam factum est, ut castellum sine aggeribus dederetur. Inter obsessos adolescens fuit Eleazarus, animo confidens, et manu strenuus, qui populum ad eruptiones et aggerem prohibendum hortari solitus, in præliis illustrissimus evaserat, Romanisque multas clades intulerat. Aliquando autem cum prælio dirempto extra portas cum iis qui in muro erant colloqueretur, Rufus quidam Romanus C miles, genere Ægyptius, subito accurrit, et Eleazarum cum ipsis armis sublatum, celeriter in castra Romanorum transfert. Quem cum dux nudari, et in conspectu civium flagris cædi jussisset, universa civitas ingemuit. Ea re Bassus opportune contra hostes usus, crucem defigi jussit, quasi Eleazarum statim in eam vellet tollere. Quo conspecto, ii qui in castello erant, magis doluerunt, maximis suspiriis editis. Eleazarus quoque eos rogavit, ne se ita mori sinerent, et suæ ipsorum salutis memores, Romanorum viribus et fortunæ cederent. Illi et Eleazari verbis fracti, et multorum pro eo deprecantium precibus (erat enim ex magna et populosa familia) adducti, ad commiserationem delexerunt : missisque legatis castelli deditionem promiserunt, si accepto Eleazaro salvis discedere liceret. Quam conditionem ubi dux acce-

perat, qui inferiorem urbem tenebant, audita Judæorum privata pactione, fugam noctu capessere statuerunt: et cum portas aperuissent, ab iis qui cum Basso pepigerant, proditi sunt, ac fortissimi quique evaserunt: intus vero deprehensi ad mille ncc sunt occisi, mulieres et pueri sub corona venierunt. Dedititiis vero Bassus fidem servavit, ipsis dimissis, et Eleazaro reddito. His confectis, ad Jardium saltum, properavit, quo multi ex prioribus obsidionibus elapsi se contulerant. Eum igitur **310** locum equitibus undique circumdat, pedites arbores succidere jubet. Judæi vero qui illo confugerant, conferti cum clamore in Romanos irruerunt: a quibus cum fortiter excepti essent, non parum temporis in pugna tractum est, sed eventus ejus adversis partibus non ex æquo respondit. Nam ex Romanis duodecim ceciderunt, pauci vulnerati sunt, Judæorum nullus evasit: et cum non infra tria millia capta essent, omnes perierunt. Bassus et Liberius Maximus procurator, a Cæsare omnem Judæorum terram vendere jussi sunt: octingentis duntaxat emeritis Emmanuentem castellum, triginta stadia Hierosolymis dissitum, incolendum tradidit. Et Judæos ubicunque degentes, quotannis binas quemque drachmas in Capitolium inferre jussit, quemadmodum prius in templum Hierosolymitanum conferre consuevissent.

Albanoque regno ad ipsum pertinente, rempublicam ad conciliandos populi animos libertate donavit, et quotannis principem Sabinis designavit: Romani proceres ad cupiditatem popularis liberæque reipublicæ sunt incitati. Neque enim patriciorum ulla erat in rebus gerendis auctoritas, sed nomen duntaxat et habitum regi accommodabant: cum consuetudinis potius ergo, quam sententiæ dicendæ causa in curiam vocati, Romulum decernentem taciti audirent: nulla re superiores cæteris, nisi quod quæ ille decrevisset, primi audiebant. Ea re cum dignitatem senatus imminuere videretur, ac paulo post in terris esse desiisset, patres suspicione haud caruerunt. Nam cum ad Caprææ paludem concionem haberet, fertur obscurato sole nox exstitisse, cum horrendis tonitribus et procellis. Interea turbam diffugisse, **320** proceres vero sese conglobasse; tempestate sedata, populoque rursus congregato, quæsitum esse Romulum: sed potentes de eo quæri vetuisse, atque omnes hortatos esse, ut eum ad deos raptum venerarentur et colerent, deum pro bono rege futurum. Ac vulgus his verbis acquievit, spe bona præditum. Quidam autem suspectos habuere patres, et exagitavere, ut qui vulgo inane commentum persuaderent, cum ipsi Romulum discerpsissent. Ac ii negotium facessissent potentibus, nisi Proculus Julius eques, et genere et moribus probatissimus, ac Romulo fidus, pro concione jurejurando affirmasset, Romulum sibi augustiorem solito, in armis splendidis atque fulgentibus apparuisse: seque illum percontatum esse, *Quamobrem senatum in atrocia crimina, civitatem in luctum conjecisset?* eum vero respondisse: *Diis ita visum, ut tantum temporis inter mortales esset, atque in cœlum, unde venisset, reverteretur. Abiret, ac nuntiaret Romanis, si modestiam et rem militarem colerent, ad summum humanæ potentiæ fastigium ascensuros: se vero eis propitium fore Quirinum.* Hæc dicenti, tum ob jusjuranduin, tum ob auctoritatem viri, tanta fides fuit, ut nemo refragaretur. omnique suspicione et calumnia ameta, Quirino vota facerent, numine ejus invocato. Hoc autem cognomentum Romulo factum traditur, vel ob cives, qui Quirites appellabantur, vel ab hasta, quam veteres quirim vocitarunt. Quirinus igitur deus appellatus est, ut bellicosus et hastatus. Fertur annos vixisse LIV et anno regni XXXVIII e conspectu hominum sublatus esse.

Ε'. Τούτων δὲ περὶ τὸν Ῥωμύλον συμβεβηκότων, A βασιλεύεσθαι μὲν ἐδόκει πᾶσιν· ἔρις δέ τις καὶ στάσις ἐφύετο τοῖς ἐν Ῥώμῃ οὐχ ὑπὲρ ἀνδρὸς μόνον ἡγεμονεύοντος, ἀλλὰ καὶ πότερον τῶν γενῶν παρέξει τὸν ἄρξοντα. Τοῖς τε γὰρ μετὰ Ῥωμύλον πρώτοις συνοικίσασι τὴν πόλιν οὐκ ἀνεκτὸν ἐδόκει, παρ' αὐτῶν προσληφθέντας τοὺς Σαβίνους εἰς πολιτείαν, ἄρχειν τῶν δεξαμένων βιάζεσθαι. Οἱ Σαβῖνοι δὲ ἐτέρωθεν ὅτι τοῦ Τατίου θανόντος μόνον εἶασαν τὸν Ῥωμύλον ἄρχειν, ἐξ ἑαυτῶν ἠξίουν αἱρεθῆναι τὸν ἄρξοντα. Ἠριζον μὲν οὖν οὕτω τὰ μέρη ἑκάτερα. Μετεώρου δ' ἐπὶ τούτοις ὄντος τοῦ πολιτεύματος, οἱ πατρίκιοι πεντήκοντα καὶ ἑκατὸν ὄντες ἔταξαν ἕκαστον ἐν μέρει τοῖς βασιλικοῖς παρασήμοις κοσμούμενον, θύειν τε τοῖς θεοῖς, καὶ χρηματίζειν, ἓξ μὲν τῆς νυκτὸς ὥρας, ἓξ δὲ τῆς ἡμέρας. Ἡ γὰρ διανομὴ B τῶν καιρῶν κατὰ τὸ ἴσον ἑκάστου, καὶ πρὸς τοὺς ἄρχοντας καλῶς ἔχειν ἐδόκει, καὶ πρὸς τοὺς ἀρχομένους αὐτούς· ἀφῄρει γὰρ τὸν φθόνον ἡ ταχίστη τῆς ἐξουσίας ἀπόθεσις, ὁρώντων τῶν ἀρχομένων τῆς αὐτῆς ἡμέρας τε καὶ νυκτὸς τὸν αὐτὸν ἰδιώτην ἐκ βασιλέως γινόμενον. Οἶδα μὲν οὖν καὶ ἕτερά τινα περὶ τῆς τοιαύτης εἰρημένα ἀρχῆς, ἀλλ' αὐτὸς τῷ πιθανωτέρῳ ἐθέμην. Τὸ δὲ σχῆμα τῆς ἀρχῆς τοῦτο μεσοβασιλεία τοῖς Ῥωμαίοις ὠνόμαστο, ἀλλὰ καὶ οὕτως ἐξ ὑπονοίας ἐρρύοντο θόρυβοι, ὑποπτευομένων τῶν πατρικίων εἰς ὀλιγαρχίαν τὴν πολιτείαν περιστῆναι, καὶ μὴ βούλεσθαι βασιλεύεσθαι, ἐκ δὲ τούτου κατεστασίαζον. Ὁμονοησάντων δὲ πάντων αἱρεθῆναι τὸν βασιλεύσοντα, οἱ Σαβῖνοι τοῖς Ῥωμαίοις C προτέροις τὴν αἵρεσιν ἔδοσαν. Οἱ δ' ἐξ Σαβίνων εἵλοντο Νομᾶν Πομπίλιον, ἄνδρα γνώριμον ὄντα πᾶσι δι' ἀρετήν. Στέλλονται γοῦν πρὸς ἐκεῖνον ἐκ Ῥώμης πρέσβεις· οὐ γὰρ ἐν τῇ Ῥώμῃ μετῴκιστο, ἀλλ' ἐν Σαβίνοις ἦν, καὶ πόλιν ᾤκει τῶν Κυριτῶν, πατρὸς ὢν Πομπωνίου ἀνδρὸς εὐδοκίμου, πᾶσαν ἀρετὴν φύσει τε καὶ παιδείᾳ ἐξησκημένος. Ὅθεν καὶ ὄνομα μέγα καὶ δόξαν εἶχεν, ὡς καὶ Τάτιον τὸν τῷ Ῥωμύλῳ συμβασιλεύσαντα κηδεστὴν αὐτὸν ἐπὶ Τατίᾳ θέσθαι τῇ θυγατρὶ, ἣν μίαν ἐκεῖνος ἐγείνατο· ἢ δέκα ἐπὶ τρισὶν ἐνιαυτοὺς τῷ Νομᾷ συνοικήσασα, μετήλλαξε τὴν ζωήν. Ὁ δὲ Νομᾶς, ἐκλείπων τὰς ἐν ἄστει διατριβὰς, ἀγραυλεῖν τὰ πολλὰ, καὶ διατρίβειν ἤθελεν ἐν λειμῶσι καὶ ἄλσεσιν. Ἦκον οὖν ἀπὸ Ῥώμης οἱ πρέσβεις, καλοῦντες ἐπὶ τὴν βασιλείαν D αὐτὸν ἤδη τεσσαρακοστὸν ἔτος ἄνδοντα· ὁ δὲ ἀπείπατο. Οἱ πρέσβεις δ' ἐνέκειντο, πάντα τρόπον πείσειν αὐτὸν μηχανώμενοι, καὶ δεόμενοι μὴ τὴν πόλιν αὖθις εἰς στάσιν ἐμβαλεῖν, καὶ ἐμφύλιον πόλεμον, οὐκ ὄντος ἑτέρου, πρὸς ὃν ἄμφω τὰ μέρη συννεύσουσιν. Ἰδίᾳ μέντοι καὶ ὁ πατὴρ παρεκίνει τὸν Νομᾶν δέξασθαι τὴν ἀρχὴν, ὡς θεῖον δῶρον, καὶ ὑπηρεσίαν θεοῦ, καὶ πράξεων καλῶν καὶ μεγάλων ἀνδρὶ φρονίμῳ τε καὶ χρηστῷ ἐσομένην αἰτίαν, σύνδεσμόν τε τῇ πατρίδι, καὶ παντὶ τῷ Σαβίνων ἔθνει εὐνοίας τε καὶ φιλίας πρὸς πόλιν δυνατὴν καὶ ἀκμάζουσαν. Τούτοις ἐνδεδωκὼς ὁ Νομᾶς, θύσας τοῖς θεοῖς, προῆγεν εἰς Ῥώμην· ὑπήντα δὲ ἡ βουλὴ καὶ ὁ δῆμος εὐφημοῦντες καὶ χαίροντες. Ἐπεὶ δὲ κατέστησαν εἰς

V. Cum hæc Romulo accidissent, regem volebant omnes: sed Romanorum animos certamen et seditio versabat, non de viro tantum, qui principatu potiretur: sed etiam de gente utra principem præberet. Nam et Romanis, primis urbis cum Romulo conditoribus, non ferendum videbatur, ut Sabini in civitatem asciti, regnum sibi in eos, a quibus recepti essent, per vim vindicarent: et Sabinis ex altera parte contendentibus, quia, Tatio mortuo, Romulum regnare passi essent, sui corporis regem **321** creandum esse. Factionibus inter sese ita certantibus, cum civitas sine imperio, exercitus sine duce esset, patricii numero c et L constituerunt, ut quilibet regiis insignibus ornatus, et diis immolaret, et jura diceret, senis horis noctu, et totidem interdiu. Hæc enim temporum distributio, propter æquabilitatem et ipsis magistratibus et populo commoda videbatur: et celerrimus magistratu abitus invidiæ minimum habebat, cum subditi eumdem eodem die, eademque nocte et regem et privatum cerneret. Haud nos præterit, de hac imperii forma, quæ interregnum dicitur, alia quoque jactata esse: ego vero ea sum secutus, quæ mihi probabiliora videbantur. Fremere tamen nihilominus plebs, multiplicatam servitutem, multos pro uno dominos factos. Sed tumultu sedato, cum omnes regem creandum esse consensissent, ac Sabini ejus eligendi potestatem Romanis detulissent, Numam Pompilium, cujus inclyta virtus apud omnes erat, electum per legatos accersiverunt. Nec enim Romæ habitabat, sed in Sabinis, in Quiritum urbe habitans, patre natus Pomponio, probato viro, omni genere virtutis et natura et disciplina excultus. Unde tantum nomen et gloriam consecutus fuit, ut Tatius, Romuli regis collega, Tatiam ei filiam unicam desponderet: quæ cum ei annos XIII nupta fuisset, vitam cum morte commutavit. Numa vero, relicta urbana vita, ruri plerumque in pratis et saltibus degere malebat. Cumque Romani legati ad eum venissent XL ætatis annum agentem, regnum offerentes, recusavit. Sed cum instarent, et nihil non ad persuadendum adhiberent, orantes ne civitatem denuo in seditionem et bellum intestinum conjiceret (neque enim esse alium, in quem ambæ partes consentirent), Numam pater quoque seorsim hortatus est, ut principatum tanquam divinum donum, et numinis obsequium, quique viro bono et prudenti honestas magnasque res gerendi occasionem præberet, et vinculum futurus esset, quo patria et omnis Sabinorum natio benevolentia et amicitia cum urbe potenti et florente jungerentur. His Numæ victo, et re **322** divina peracta, Romam proficiscenti, senatus populusque Romanus cum lætis acclamationibus obviam egreditur. Cum in forum deducto insignia regni afferrentur, differre, ac de se regni firmandi causa deos consuli jussit: et re divina in Capitolio peracta, indutaque veste regia, descendit. Principatu suscepto, primum CCC armatos, quos

Romulus ad custodiam corporis semper habuerat, amovit. Nec enim decere, iis diffidere, qui ipsi fiderent: neque diffidentibus imperandum esse. Deinde urbem e dura et bellicosa mitiorem et pacis amantiorem reddere aggressus est: edixitque ne imaginem Dei vel humana, vel alterius animantis forma erigerent. Itaque annis C et LXX quamvis templa conderent, nullum tamen in iis neque pictum, neque fictum simulacrum collocarunt: quod nefas esset, præstantiores deterioribus similes facere, neque Deus aliter nisi mente comprehendi posset. Victimas incruentas farris et libationis civibus suis edixit. Deos enim pacis et justitiæ custodes, a cæde puros esse oportere. Neque divini quidquam obiter et negligenter audiendum aut videndum præcepit: sed otium agendum a cæteris rebus, et religioni, ut rei maximæ animos intendendos. Iis rationibus, et aliis pluribus, quas ob multitudinem prætermisimus, civium suorum animos ad pietatem assuefecit. Ipse autem spem suam ita in Deo collocasse fertur, ut cum ei aliquando sacrificanti hostium adventus nuntiaretur, subrideus dixerit: Ego vero sacrifico. Agrum a Romulo bello partum, inter inopes cives distribuit: ut inopiam scelerum parentem tolleret, et agricultura ferum populum domaret, quæ acrem pacis amorem in animis excitare posset. Feruntur ab eo Januarius et Februarius reliquis mensibus adjecti esse, et annus ad cursum lunæ in XII menses descriptus, cum X ante mensium habitus esset: ut apud nonnullos barbaros trimestris habetur, et inter Græcos apud Arcades IV, apud Acarnanes VI mensium. Apud Ægyptios vero menstruus fuit annus, deinde quadrimestris. Unde antiquissimi falso habentur, cum in genealogiis inexplicabilem **323** annorum numerum recensent, quippe mensibus annorum loco ponendis. Januarium vero Numa caput anni esse voluit: qui cum ad justitiam et pietatem subditos ita consuefecisset, omnes bellorum motus conquieverunt. Neque enim populus Romanus duntaxat æquitate et mansuetudine regis factus est humanior: sed et circumcirca finitimas civitates, mutatis moribus, pacis et justitiæ, colendæ terræ, liberos in tranquillitate educandi, deosque venerandi cupido cepit. Neque enim bellum, aut seditio, aut novarum rerum studium, Numa regnante, exstitit. Neque etiam invidia, inimicitia, aut conspiratio, atque insidiæ ex cupiditate regni contra Numam comparatæ usquam narrantur. Filiam Pompiliam Martio despondit, ex qua ei Ancus Martius nepos est genitus, qui post Tullum Hostilium regnavit: quo Numa quinquenni relicto, decessit, cum paulatim senio et leni morbo defecisset. Vixit annos LXXXIII, regnavit XLIII.

A τὴν ἀγορὰν προσφερομένων αὐτῷ τῶν βασιλικῶν παρασήμων, ἐπισχεῖν κελεύσας, ἔφη δεῖσθαι καὶ τοῦ Θεοῦ, τὴν βασιλείαν ἐμπεδοῦντος αὐτῷ. Ἄνεισιν οὖν εἰς τὸ Καπιτώλιον, καὶ θύσας, οὕτω δὲ τὴν βασιλικὴν ἀναλαβὼν ἐσθῆτα, κατέβαινε. Παραλαβὼν δὲ τὴν ἀρχὴν πρῶτον μὲν τὸ τῶν τριακοσίων διέλυσε σύστημα, οὓς περὶ τὸ σῶμα εἶχε Ῥωμύλος ἀεί· οὐ γὰρ δεῖν ἀπιστεῖν πιστεύουσιν ἔλεγεν, οὐδὲ βασιλεύειν ἀπιστούντων ἠξίου. Εἶτα τὴν πόλιν ἐκ σκληρᾶς καὶ πολεμικῆς ἐπεχείρει μαλακωτέραν ποιῆσαι καὶ εἰρηνικωτέραν, ἀνθρωποειδῆ τε καὶ ζωόμορφον εἰκόνα Θεοῦ ἀνιστᾶν Ῥωμαίοις ἀπείρηκεν. Ὅθεν οὐδ' ἦν παρ' αὐτοῖς οὔτε γραπτὸν οὔτε πλαστὸν εἶδος Θεοῦ. Ἐν ἑκατὸν δὲ πρὸς ἑβδομήκοντα ἔτεσι ναῶν αὐτοῖς ἀνεγειρομένων, οὐδὲν ἔμμορφον ἐποίουν ἄφιδρυμα, ὡς οὔτε ὅσιον ἀφομοιοῦν τοῖς χείροσι τὰ βελτίονα, οὔτε ἐφάπτεσθαι ἄλλως Θεοῦ ξυνατὸν ἡ νοήσει. Καὶ τὰς θυσίας δὲ ἀναιμάκτους ποιεῖσθαι ἐθέσπισε δι' ἀλφίτων τε καὶ σπονδῆς· Δεῖν γὰρ τοὺς θεοὺς, εἰρήνης καὶ δικαιοσύνης φύλακας ὄντας, φόνου καθαροὺς εἶναι· μήτε δὲ ἀκούειν τι τῶν θείων, μήτε ὁρᾷν ἐν παρέργῳ καὶ ἀμελῶς, ἀλλὰ σχολὴν ἄγοντας ἀπὸ τῶν ἄλλων, καὶ προσέχοντας τὴν διάνοιαν ὡς πράξει μεγίστῃ τῇ περὶ τὴν εὐσέβειαν. Ἐκ δὲ τούτων καὶ ἄλλων πλειόνων, ἃ διὰ τὸ πλῆθος παρήκαμεν, διάθεσιν πρὸς τὸ Θεῖον τοῖς τότε ἀνθρώποις ἐξ ἐθισμοῦ ὁ Νομᾶς ἐνεποίησεν. Αὐτὸν δὲ οὕτω φασὶν εἰς τὸ Θεῖον ἀνηρτῆσθαι ταῖς ἐλπίσιν, ὥστε προσαγγελίας αὐτῷ θύοντι ποτὲ γενομένης ὡς ἐπέρχονται πολέμιοι, μειδιάσαι καὶ εἰπεῖν, Ἐγὼ δὲ θύω. Καὶ τὴν χώραν δὲ ἣν αἰχμῇ Ῥωμύλος ἐκτήσατο, διένειμεν οὗτος τοῖς ἀπόροις τῶν πολιτῶν, ἀφαιρῶν ἐξ αὐτῶν τὴν ἀπορίαν, ὡς ἀνάγκην τῆς ἀδικίας ποιητικὴν, καὶ τρέπων εἰς γεωργίαν ὡς ταύτης ἐξημερούσης τὸν δῆμον, καὶ δριμὺν εἰρήνης δυναμένης ἐμποιεῖν ἔρωτα. Λέγεται δὲ καὶ τὸν Ἰανουάριον καὶ τὸν Φεβρουάριον παρ' αὐτοῦ τοῖς μησὶ προστεθῆναι, δωδεκάμηνον κατὰ τὸν τῆς σελήνης δρόμον νομοθετήσαντος λογίζεσθαι τὸν ἐνιαυτὸν, δεκάμηνον πρόσθεν ὄντα, ὡς ἐνίοις τῶν βαρβάρων τρίμηνον, καὶ τῶν Ἑλλήνων Ἀρκάσι μὲν τετράμηνον, τοῖς δὲ Ἀκαρνᾶσιν ἑξάμηνον. Αἰγυπτίοις δὲ μηνιαῖος ἦν ὁ ἐνιαυτὸς, εἶτα τετράμηνος· διὸ καὶ ἀρχαιότατοι δοκοῦσιν εἶναι, καίτοι μὴ ὄντες, πλῆθος ἀμήχανον ἐτῶν ἐπὶ ταῖς γενεαλογίαις εἰσάγοντες, ἅτε δὴ τοὺς μῆνας εἰς ἐτῶν τιθέμενοι ἀριθμόν. Καὶ τὸν Ἰανουάριον δὲ Νομᾶς εἰς ἀρχὴν τοῦ ἔτους ἀπένειμεν. Οὕτω δὲ δικαιοσύνῃ καὶ εὐσεβείᾳ συνεθίσαντος τὸ ὑπήκοον, ἐξῄρητο πάντα τὰ τοῦ πολέμου. Οὐ γὰρ μόνον ὁ Ῥωμαίων δῆμος ἠμέρωτο τῇ τοῦ βασιλέως εὐνομίᾳ καὶ τῇ πραότητι, ἀλλὰ καὶ τὰς κύκλῳ πόλεις ἀρχὴ μεταβολῆς ἔλαβε, καὶ πόθος εἰσέρρυη πάντας εἰρήνης καὶ τοῦ δικαίου, γῆν φυτεύειν, καὶ τέκνα τρέφειν ἐν ἡσυχίᾳ, καὶ σέβεσθαι θεούς. Οὔτε γὰρ πόλεμος, οὔτε στάσις, οὔτε νεωτερισμὸς περὶ πολιτείας ἱστόρηται Νομᾶ βασιλεύοντος. Οὐδ' ἐπ' ἐκείνου τις φθόνος, ἢ ἔχθρα, ἢ σύστασις ἀνδρῶν, καὶ ἐπιβουλὴ δι' ἔρωτα βασιλείας γενέσθαι τοι ἀναγέγραπται. Θυγατέρα δ' ἐσχηκὼς Πομπιλίαν, Μαρκίῳ ταύτην ἐξέδοτο, ἐξ ἧς Μάρκιος Ἄγκος θυγατριδοῦς ἐτύχθη αὐτῷ, ὃς μετὰ Τοῦλλον Ὁστίλλιον ἐβασίλευσε. Τοῦτον πενταέτη καταλιπὼν ὁ Νομᾶς ἐτελεύτησε, κατὰ μικρὸν ὑπὸ γήρως καὶ νόσου μαλακῆς ἀπομαραινόμενος, χρόνον τριετῆ τοῖς ὀγδοήκοντα προσβιώσας, βασιλεύσας ἔτη ἐπὶ τρισὶ τεσσαράκοντα.

Ϛ'. Τοῦ δὲ Νομᾶ τελευτήσαντος, καὶ μηδένα καταλιπόντος διάδοχον, Ὑστίλλιος Τοῦλλος ᾑρέθη παρὰ τοῦ δήμου καὶ τῆς βουλῆς· ὃς τὰ πλείστα τῶν τοῦ Νομᾶ ζηλώσας ἠθῶν, τὸν Ῥωμύλον ἐξήλωσε, καὶ πρὸς μάχας αὐτός τε ὥρμα, καὶ τὸν δῆμον ἠρέθιζεν. Ἁρπαγῆς γοῦν γενομένης παρὰ Ῥωμαίων ἐξ Ἀλβανῶν, ὥρμησαν πρὸς μάχην ἑκάτεροι. Πρὸ δὲ τοῦ συμβαλεῖν κατηλλάγησαν, καὶ ἐς μίαν πόλιν ἀμφοῖν ἐδόκει συνοικῆσαι τοῖς γένεσιν. Ἑκάστου δὲ τῆς οἰκείας ἐχομένου, καὶ τὸ ἕτερον εἰς ταύτην ἀξιοῦντος μεταναστεῦσαι, ἀπέστησαν τοῦ σκοποῦ. Εἶτα περὶ τῆς ἡγεμονίας διηνέχθησαν· ὡς δὲ οὐδεὶς τῷ ἑτέρῳ παρεχώρει αὐτῆς, ἀγωνίσασθαι συνέθεντο περὶ τῆς ἀρχῆς. Οὔτε δὲ τοῖς στρατοπέδοις ὅλοις ἐδόκει μαχέσασθαι, οὔτε μὴν μονομαχίᾳ κριθήσεσθαι. Ἦσαν δέ παρ' ἀμφοῖν τρίδυμοι ἀδελφοί, ἐκ μητέρων γεγονότες δι' δύμων, ἰσήλικές τε καὶ ἰσοπαλεῖς τὴν ἰσχύν. Ἐκαλοῦντο δὲ οἱ μὲν τῶν Ῥωμαίων Ὁυπλιοράτιοι, οἱ δὲ τῶν Ἀλβανῶν Κουριᾶται. Τούτους εἰς μάχην προεβάλοντο, παρ' οὐδὲν τὴν πρὸς ἀλλήλους αὐτῶν συγγένειαν θέμενοι. Οἱ δὲ ὁπλισάμενοι, καὶ ἐν τῷ μεταιχμίῳ τῶν στρατοπέδων ἀντιπαραταξάμενοι, θεούς τε ὁμογνίους ἀνεκαλοῦντο, καὶ συνεχῶς ἀνέβλεπον πρὸς τὸν ἥλιον. Συμβαλόντες δὲ ποτὲ μὲν ἀθρόοι, ποτὲ δὲ καὶ καθ' ἕνα ἐμάχοντο. Τέλος δὲ τῶν μὲν τῶν Ῥωμαίων δύω πεσόντων, τῶν δὲ Ἀλβανῶν ἁπάντων τρωθέντων, ὁ Ὁράτιος ὁ κατάλοιπος, ὅτι τοῖς τρισὶν ἅμα, εἰ καὶ ἄτρωτος ἦν, οὐκ ἠδύνατο ἀντιτάξασθαι, ἐνέκλινεν, ὡς ἂν διώκοντες αὐτὸν σκιδασθῶσι, κἀπειδὴ πρὸς τὴν δίωξιν διεσπάρησαν, ἑκάστῳ ἐπιτιθέμενος ἅπαντας διεχρήσατο, κἀντεῦθεν τετίμητο. Ὅτι δὲ καὶ τὴν ἀδελφὴν προσαπέκτεινεν, ὀλοφυρομένην ἐπὶ τὰ τῶν ὀνεψιῶν σκῦλα ἑώρα φέροντα τὸν Ὁράτιον, φόνου ἐκρίθη· εἰς δὲ τὸν δῆμον ἔκκλητον αἰτήσας, ἀφείθη. Οἱ δὲ Ἀλβανοὶ τότε μὲν ὑπήκοοι τῶν Ῥωμαίων ἐγένοντο· ὕστερον δὲ τὰς συνθήκας ἀθετήσαντες, καὶ ὡς ὑπήκοοι πρὸς συμμαχίαν κληθέντες, μεταθέσθαι δὲ πρὸς τοὺς πολεμίους ἐν τῷ καιρῷ τῆς μάχης ἐπιχειρήσαντες, καὶ συνεπιθέσθαι Ῥωμαίοις, γνωσθέντες ἐκολάσθησαν, καὶ πολλοὶ μὲν ἐκτάνθησαν, καὶ ὁ αὐτῶν ἐξηγούμενος Μέττιος· οἱ ἄλλοι δὲ μετανάσταται ἔπεσθον. Καὶ ἡ πόλις αὐτῶν Ἄλβα κατεσκάφη, πεντακόσιά που ἔτη Ῥωμαίοις νομισθεῖσα μητρόπολις. Πρὸς μὲν οὖν τοὺς πολεμίους ὁ Τοῦλλος κράτιστος ἔδοξε, τοῦ Θείου δὲ παρημέλει· Νάσου δ' ἐνασκήσαντος λοιμώδους, καὶ αὐτὸς νοσήσας, εἰς δεισιδαιμονίαν ἀπέκλινεν. Ἐσχηκέναι μέντοι τοῦ βίου λέγεται τέλος, καταφλεχθεὶς ὑπὸ κεραυνῶν, ἢ ἐπιβουλευθεὶς ὑπὸ Μαρκίου Ἄγκου, ὃς θυγατριδοῦς ἐτύγχανεν, ὡς εἴρηται, τοῦ Νομᾶ. Ἐβασίλευσε δὲ Ῥωμαίων ἔτη δύω ἐπὶ τριάκοντα.

VI. Numa sine successore defuncto, Tullus Hostilius a senatu populoque Romano rex electus, institutis Numæ plerisque derisis, Romulum magis est æmulatus, ad bella et ipse propensus, et populi concitator. Cum igitur forte evenisset, ut Romani ex Albano agro prædas egissent, uterque populus ad bellum spectavit. Sed ante congressum reconciliati pepigerunt, ut unam urbem incolerent. Utroque autem suam defendente, et ut in eam migraretur postulante, id consilium repudiarunt. Post etiam de principatu orta controversia, cum neuter alteri cederet, convenit ut inter se dimicarent, non totis copiis, neque singulari certamine. Sed erant apud utrosque tergemini fratres, gemelis orti matribus, nec ætate nec viribus dispares: quorum Romani, P. Horatii, Albani Curiatii vocabantur: eos ad pugnam destinant, non habita ratione cognationis. Qui armati, et in medio duorum exercituum instructi, deos patrios invocarunt, et subinde solem intuiti sunt. Inter se congressi, alias conferti, alias singulatim dimicarunt. Tandem duobus Romanis prostratis, et Albanis omnibus vulneratis, Horatius superstes, **324** cum quamvis integer tribus par esse non posset, capessit fugam, ut persequendo segregarentur. Quo facto, singulos aggressus, omnibus interfectis, insigni victoria potitur. Sed quia sororem quoque interfecerat, ob visa in humeris ipsius, consobrinorum spolia lamentantem, cædis actus est reus: sed provocatione ad populum facta, absolutus. Albani tum Romanorum imperium subierunt. Post pactis violatis, cum ut subditi ad belli societatem evocati, pugnæ tempore se ad hostes conferre, ac in Romanos impetum facere voluisse comperti essent, multi occisi sunt, et dux eorum Metius: cæteri Romam migrare jussi, Alba diruta, quæ ad annos p Romanorum fuerat metropolis. Tullus bellator optimus, sed numinis cultor negligens, cum in pestilentia ipse quoque ægrotasset, ad superstitionem deflexit. Dicitur fulmine conflagrasse: aut Anci Marcii insidiis, nepotis Numæ, ut dictum est, periisse. Regnavit annos II et XXX.

Ζ'. Ἐπεὶ δὲ Ὀστίλλιος ἐτελεύτησε (80), διεδέξατο τὴν βασιλείαν ὁ Μάρκιος, παρ' ἐκόντων τῶν Ῥωμαίων ταύτην λαβών. Ἦν δὲ τὴν χεῖρα οὐκ ἄρτιος· τὴν γὰρ ἀγκύλην πεπήρωτο, ὅθεν καὶ Ἄγκος ἐπώνυμον ἔσχηκεν. Ἐπιεικὴς δὲ ὤν, ἠναγκάσθη μεταβαλέσθαι, καὶ πρὸς στρατείας ἐτράπετο. Οἱ γὰρ λοιποὶ Λατῖνοι διά τε τὸν τῆς Ἄλβης ὄλεθρον, καὶ περὶ ἑαυτῶν δεδοικότες, μή τι πάθωσιν ὅμοιον, δι'

VII. Mortuo Tullo, regnum a Romanis Marcio est delatum: qui ob vitium manus, quod cubitum flectere non poterat, Anci cognomentum habuit: et cum leni esset ingenio, necessario ad bella gerenda se contulit. Nam reliqui Latini tum ob Albæ excidium, tum similis cladis metu, irati quidem Tullo superstite Romanis erant: sed virum strenuum metuentes, iras reprimebant. Marcium

Variæ lectiones et notæ.

(80) Ἐπεὶ δ' Ὀστίλλιος ἐτελεύτησε. Ita etiam alter e cod. Reg., et alter pro his verbis habet διεδέξατο δὲ αὐτὴν ὁ Μάρκιος.

vero ob pacis studium, injuriis opportunum esse A rati, prædas ex agris egerunt. Ille vero gnarus, pacis causam esse bellum, invadit eos, a quibus invadebatur, atque ulciscitur, urbes expugnat, quarum unam evertit : et captivis, quos multos ceperat, pro mancipiis utitur, multos etiam in civitatem Romanam mittit. Romani, cum finitimi potentiam eorum, et ditionem crescere ægre ferentes, hostes se professi essent, Fidenas obsidione ceperunt ; Sabinos afflixerunt, dispersos aggressi ; et castris eorum captis, alios terrore injecto vel invitos pacem servare coegerunt. His rebus gestis, Marcius mortem obiit, anno regni XXIV exemplo avi religiosus deorum cultor.

ὀργῆς μὲν εἶχον Ῥωμαίους· ἕως δὲ περιῆν ὁ Τοῦλλος, δεδιότες ἐκεῖνον ὡς μάχιμον, συνεστέλλοντο. Τὸν δὲ Μάρκιον εὐεπίθετον ἡγησάμενοι διὰ τὸ εἰρηναῖον τῆς γνώμης, τῇ τε χώρᾳ ἐπῆλθον, καὶ αὐτὴν ἐληΐσαντο. Συνεὶς δ' ἐκεῖνος εἰρήνης εἶναι τὸν πόλεμον αἴτιον, ἐπιτίθεται τοῖς ἐπιθεμένοις, καὶ ἀντημύνατο, καὶ πόλεις εἷλεν αὐτῶν, ὧν μίαν κατέσκαψε, καὶ πολλοῖς τῶν ἁλόντων ὡς αἰχμαλώτοις ἐχρήσατο, καὶ ἐς τὴν Ῥώμην δὲ συχνοὺς ἑτέρους μετῴκισεν. Αὐξανομένων δὲ τῶν Ῥωμαίων, καὶ τῆς χώρας σφίσι προστιθεμένης, οἱ πλησιόχωροι ἤχθοντο, καὶ ἑαυτοὺς Ῥωμαίοις ἐξεπολέμωσαν· ὅθεν αὐτῶν Φιδηνάτας μὲν πολιορκίᾳ ἐκράτησαν, Σαβίνους δ' ἐκάκωσαν, αὐτοῖς τε προσπεσόντες ἐσκεδασμένοις, καὶ τὸ σφῶν ἑλόντες στρατόπεδον· ἑτέρους δ' ἐκφοβήσαντες, εἰρηνεύειν καὶ ἄκοντας παρεσκεύασαν· καὶ ἐπὶ τούτοις Μαρκίῳ ἐπέλιπε τὸ βιώσιμον, εἴκοσιν ἐνιαυτοὺς καὶ τέσσαρας ἄρξαντι, καὶ πολλὴν τοῦ Θείου κατὰ τὸν πάππον Νομᾶν ποιουμένῳ τὴν ἐπιμέλειαν (81).

VIII. L. Tarquinius Demarati Corinthii exsulis, B qui Tarquinios **325** Tyrrheniæ urbem migrarat, ex indigena muliere filius, Lucamon vocatus, regnum sibi vindicavit. Is cum amplum patrimonium suscepisset, nec tamen ut advena a Tarquiniensibus ad summos honores eveheretur, Romam migrat : mutatoque nomine, ab urbe in qua habitarat, L. Tarquinius appellatur. Fertur autem, cum sedem mutaret, aquila devolasse, raptoque pileo, quem capite gerebat, subvolasse ac magno clangore edito, eumdem capiti apte reposuisse. Unde nihil humile animo conceperit, et alacriter Romæ consederit, ubi non multo post in primis est numeratus. Nam cum opibus haud parce uteretur, prudentia et urbanitate potentioribus sibi conciliatis, a Marcio in patricios et senatum lectus est, et dux C exercitus designatus, credita etiam liberorum et regni tutela. Nam se bonum virum præbebat, pecuniam egentibus impertiebat, rogantibus libenter ferebat opem, malum faciebat dicebatve nemini, accepta beneficia exaggerabat. Offensas vel dissimulabat, vel extenuans oblivioni mandabat : eos a quibus læsus esset, adeo non ulciscebatur, ut etiam beneficiis demereretur. His moribus et Marcium ipsum, et regios amicos sibi devinxit, existimationem viri boni et sapientis consecutus, quam non perpetuo conservavit. Marcii namque defuncti duobus filiis iniquum se præbuit, erepto regno, quod cum illis senatus populusque delaturus esset, ille senatoribus potentissimis sibi adjunctis, et D adolescentibus procul ad venationem ablegatis, nihil non et dixit et fecit, donec regnum impetrasset : id se pueris, ubi adolevissent, redditurum professus. Rerum autem potitus Romanos ita tractavit, ut regios adolescentes nunquam ipsi prælaturi essent, quorum animos et corpora assuetudine ignaviæ per benignitatis speciem corrupit.

Η'. Λούκιος δὲ Ταρκύνιος τὴν ἀρχὴν ᾠκειώσατο, ὃς Δημαράτου μὲν ἦν παῖς Κορινθίου, φυγόντος δὲ καὶ εἰς πόλιν Τυρσηνίδα Ταρκυινίαν ἐγκατοικήσαντος ἐξ αὐθιγενοῦς γυναικὸς ἐκείνῳ ἐτέχθη, Λουκούμων ὀνομασθείς. Πολλὰ μέντοι πατρόθεν διαδεξάμενος, ὅτι μὴ τῶν πρωτείων παρὰ τῶν Ταρκυινησίων ὡς ἔπηλυς κατηξίωτο, πρὸς τὴν Ῥώμην μεταναστεύει, καὶ τὴν κλῆσιν συμμεταθέμενος, καὶ μετωνομάσθη Λούκιος Ταρκύνιος ἐκ τῆς πόλεως ἐν ᾗ παρῴκει. Λέγεται δὲ μετοικιζομένου ἀετὸς καταπτὰς ἁρπάσαι τὸν πῖλον, ὃν εἶχεν ἐπὶ τῆς κεφαλῆς, καὶ μετεωρισθεὶς καὶ κλάγξας ἐπὶ πολὺ, αὖθις αὐτὸν ἐφαρμόσαι τῇ αὐτοῦ κεφαλῇ, ὡς ἐντεῦθεν μηδὲν ἐλπίσαι μικρὸν, καὶ προθύμως τῇ Ῥώμῃ ἐγκατοικῆσαι, ὅθεν τοῖς πρώτοις οὐ μετὰ πολὺ συνηριθμητο. Τῷ δὲ γὰρ πλούτῳ χρώμενος ἀφειδέστερον, συνέσει τε καὶ εὐτραπελίᾳ τοὺς δυνατοὺς οἰκειούμενος, ἐς τοὺς εὐπατρίδας καὶ τὴν βουλὴν κατελέχθη παρὰ Μαρκίου, καὶ στρατηγὸς ἀπεδείχθη, καὶ τὴν τῶν παίδων ἐκείνου ἐπιτροπείαν, καὶ τῆς βασιλείας πεπίστευτο. Ἐδείκνυε γὰρ ἑαυτὸν ἀγαθὸν ἄνδρα, χρημάτων τε τοῖς δεομένοις μεταδιδοὺς, καὶ ἑαυτὸν ἕτοιμον παρέχων εἴ τις δέοιτο αὐτοῦ εἰς βοήθειαν· φαῦλον δέ (82) τι οὔτ' ἔπραττεν, οὔτ' ἔλεγεν οὐδενί. Καὶ εἴ τι πρός τινων εὖ ἔπασχεν, ἐξῆρε τὸ γινόμενον· εἰ δέ τι καὶ ἐπαχθέστερον αὐτῷ γένοιτο, ἢ οὐδ' ἐλογίζετο τὸ λυποῦν, ἢ καὶ φαυλίσας παρελογίζετο· οὐ μόνον τε οὐκ ἠμύνατο τὸν λελυπηκότα, ἀλλὰ καὶ εὐηργέτει. Τούτοις αὐτόν τε τὸν Μάρκιον, καὶ τοὺς περὶ αὐτὸν ἐχειρώσατο, καὶ δόξαν ἀνδρὸς ἐκτήσατο σοφοῦ τε καὶ ἀγαθοῦ· ἀλλ' οὐ προσέμεινε μέχρι τέλους αὐτῷ ἡ ὑπόληψις. Τοῦ Μαρκίου γὰρ τελευτήσαντος, κακῶς περὶ τοὺς ἐκείνου διετέθη δύω υἱεῖς, καὶ τὴν βασιλείαν ἐσφετερίσατο. Τῆς τε γὰρ βουλῆς καὶ τοῦ δήμου τοὺς τοῦ Μαρκίου παῖδας χειροτονεῖν μελλόντων, ἐκεῖνος τῶν βουλευτῶν τε τοὺς δυνατωτάτους μετῆλθε, καὶ τοὺς ὀρφανοὺς πόρρω

Variæ lectiones et notæ.

(81) *Καὶ πολλὴν τοῦ θείου κατὰ τὸν πάππον Νοῦμαν ποιουμένῳ τὴν ἐπιμέλειαν.* Desunt hæc verba in codd. Reg. et Colb.

(82) *Φαῦλον δέ.* Ex Dionis lib. I, in Excerptis Valesianis.

ποι πέμψας εἰς θήραν, οἷς τε εἶπε, καὶ οἷς ἔπραξεν, αὐτῷ τὴν βασιλείαν ψηφίσασθαι παρεσκεύασεν, ὡς ἀνδρωθεῖσιν αὐτὴν δῆθεν τοῖς παισὶν ἀποδώσοντι. Ἐγκρατὴς δὲ καταστὰς τῶν πραγμάτων, οὕτω τοὺς Ῥωμαίους διέθετο, ὥστε μηδέποτε ἐθελῆσαι ἀνθελέσθαι τοὺς παῖδας ἐκείνου· καὶ τὰ μειράκια δὲ πρὸς ῥᾳστώνην ἐθίζων, τάς τε ψυχὰς αὐτῶν, καὶ τὰ σώματα σὺν χάριτι δή τινι ἔφθειρε. Δεδιὼς δὲ καὶ οὕτως ἔχων, ἰσχὺν ἑαυτῷ ἐν τῷ συνεδρίῳ περιεποιήσατο. Τοὺς γὰρ φιλίως αὐτῷ ἐκ τοῦ δήμου διακειμένους περὶ διακοσίους ἐς τοὺς εὐπατρίδας ἐνέγραψε, καὶ βουλευτάς· καὶ οὕτω τήν τε γερουσίαν ὑφ' ἑαυτὸν, καὶ τοὺς πολλοὺς ἐποιήσατο, καὶ τὴν στολὴν πρὸς τὸ μεγαλοπρεπέστερον ἤμειψεν. Ἡ δὲ ἦν ἱμάτιον καὶ χιτὼν ὁλοπόρφυρα καὶ χρυσόπαστα, στέφανός τε λίθων χρυσοδέτων, καὶ σκῆπτρον, δίφρος τε ἐλεφάντινος, οἷς καὶ οἱ μετὰ ταῦτα οἵ τε ἄλλοι, καὶ οἱ τὴν αὐτοκράτορος ἔχοντες ἡγεμονίαν ἐχρήσαντο. Καὶ τεθρίππῳ ἐν τοῖς ἐπινικίοις ἐπόμπευσε, καὶ ῥαβδούχους διὰ βίου δώδεκα ἔσχε. Πάντως δὲ καὶ ἄλλα πλείω ἐκαινοτόμησεν ἄν, εἰ μή τις Ἄττος Ναούϊος τὰς φυλὰς αὐτὸν βουληθέντα μετακοσμῆσαι κεκώλυκεν, ὃς οἰωνιστὴς ἦν, οἷος οὐχ ἕτερος γέγονε. Τοῦτον ἐνυβρίσαι, διὰ τὴν ἐναντίωσιν ὀργισθεὶς, καὶ τὴν τέχνην ἐξουθενῆσαι διεμελέτησεν ὁ Ταρκύνιος. Λαβὼν οὖν ἐν τῷ κόλπῳ ἀκόνην τε καὶ ξυρὸν, ἐς τὸν δῆμον παρῆλθεν, ἔχων ἐν νῷ τμηθῆναι τῷ ξυρῷ τὴν ἀκόνην, πρᾶγμα τῶν ἀδυνάτων, εἰπών τε ὅσα ἐβούλετο, ἐπεὶ Ἄττος ἀντέλεγεν ἐντονώτατα, μηδὲν ὑφιέμενος· *Εἰ μὴ φιλονείκως ἀντιλέγεις, ἔφη, ἀλλ' ἀληθῆ λέγεις, ἐπὶ πάντων τούτων ἀπόκριναί μοι, εἰ ὃ κατὰ νοῦν ἔχω ποιῆσαι, γενήσεται.* Ὁ δὲ Ἄττος αὐτοῦ που οἰωνισάμενος παραυτίκα, *Καὶ πάνυ γε*, εἶπεν, *ὦ βασιλεῦ, ὃ διανοῇ, ἔσται ἐπιτελές.* Οὐκοῦν, ἔφη, τὴν ἀκόνην ταύτην λαβὼν, τῷ ξυρῷ τούτῳ διάτεμε· τοῦτο γὰρ γενέσθαι διανενόημαι. Ὁ δὲ ἔλαβέ τε αὐτὴν εὐθὺς καὶ διέκοψε. Θαυμάσας δὲ ὁ Ταρκύνιος, ἄλλας τε τιμὰς ἐκείνῳ παρέσχε, καὶ χαλκῆς εἰκόνος ἠξίωσε, κἀὶ οὐδὲν ἔτι τῆς πολιτείας ἠλλοίωσε, πρός πάντα τε τῷ Ἄττῳ συμβούλῳ ἐχέχρητο. Μαχεσάμενος δὲ Λατίνοις ἀποστατήσασιν, ἔπειτα καὶ Σαβίνοις ἐς τὴν Ῥωμαΐδα ἐμβαλοῦσι σὺμμαχουμένοις ὑπὸ Τυρσηνῶν, ἁπάντων ἐκράτησε. Τῶν δὲ τῆς Ἑστίας ἱερειῶν ἃς παρθενεύειν διὰ βίου νενόμισται, φωράσας τινὰ συμφθαρεῖσαν ἀνδρὶ, ὑπόγειόν τινα κατασκευάσας ὑποδρομὴν προμήκη, κλίνην τε θεὶς ἐν αὐτῇ, καὶ λύχνον, καὶ τράπεζαν σιτίων ὑπόπλεων, ἐκεῖ τὴν φθαρεῖσαν προπεμπομένην ἐκόμισε· καὶ ζῶσαν εἰσαγαγὼν, ἐγκατῳκοδόμησε, καὶ οὕτω τὰς τὴν παρθενίαν μὴ τηρησάσας τῶν ἱερειῶν ἐξ ἐκείνου τιμωρεῖσθαι κεκράτηκεν. Οἱ δὲ ταύτας αἰσχύνοντες, εἰς ξύλον τὸν αὐχένα δίκρουν ἐμβάλλονται ἐν τῇ ἀγορᾷ, καὶ μετὰ τοῦτο γυμνοὶ αἰκιζόμενοι ἀποψύχουσιν. Ἐπέθεντο μέντοι τῷ Ταρκυνίῳ οἱ τοῦ Μαρκίου παῖδες, ἐπεὶ μὴ τῆς ἀρχῆς αὐτοῖς παρεχώρει, ἀλλά τινα Τούλλιον τεχθέντα οἱ ἐξ αἰχμαλωτίδος προῆγε πάντων· ὃ δὲ, μάλιστα τοὺς εὐπατρίδας ἐλύπει, ὧν τινας προσεταιρισάμενοι, αὐτῷ ἐπεβούλευσαν, δύω τινὰς χωριτικῶς ἐσταλμένους ἀξίναις καὶ δρεπάνοις ὁπλισαμένους, αὐτῷ ἐπιθέσθαι παρασκευάσαντες. Οἳ ἐπεὶ μὴ ἀγοράζοντι τῷ Ταρκυνίῳ ἐνέτυχον, ἐπὶ τὰς θύρας τῶν βασιλείων ἦκον, ἀλλήλοις ὄῆθεν διαμαχόμενοι, καί οἱ ἐς ὄψιν ἐλθεῖν ἐδέοντο, καὶ τυχόντες τούτους εἰς λόγους ἀλλήλοις ἀντικατέστησαν, καὶ δικαιολογουμένῳ τῷ

A Cum autem eos etiam sic metueret, suas opes in concilio auxit, ex ex plebe amicis in patricios et senatores lectis : quo pacto et senatum et plebem subegit. Habitum etiam magnificentiorem sumpsit, tunicam et vestem purpuream auro distinctam, coronam auream gemmis ornatam, sceptrum, et sellam eburneam : quibus **326** et secuti reges, et imperatores quoque Romanorum sunt usi. Victis hostibus, quadrigis magnifice est invectus, et lictores per omnem ætatem XII habuit. Omnino etiam alia innovaturus fuit, nisi ei tribus mutaturo Actius Navius augur præstantissimus obstitisset. Ei cum ob adversationes iratus illudere, et artem

eludere studeret, cotem et novaculam in sinu gestans, ad populum prodiit, id animo agitans, ut B eos novacula discinderetur, quod fieri nequaquam posset. Cumque dixisset quæ voluerat, Actio acerrime adversante, ac minime cedente : *Nisi*, inquit, *adversandi studio refragaris, et vera dicis, coram omni populo mihi respondeto, num id quod in animo habeo, possit fieri.* Cum ille in augurio rem statim expertus, profecto futuram dixisset ; *Atqui hoc animo agitavi*, inquit, *te novacula cotem discissurum.* Tum illum haud cunctanter discidisse cotem ferunt. Id admiratus Tarquinius, tum alios honores Actio habuit, tum æneam statuam erexit : et reipublicæ ordine non mutato, consiliis ejus usus est ad omnia. Latinorum defectionem compescuit. Sabinos, qui Tyrrhenis adjutoribus in Romanum agrum impressionem fecerant, superavit. Unam e C Vestalibus, quibus perpetua servanda est virginitas, a quodam stupratam, in subterraneo specu oblongo excavato, ibique lectulo, lucerna, et mensa cibariis plena, collocatis, multis stupratam eo deducentibus, viventem obstruxit. Et sic ab illo tempore de incæstis Vestalibus pœnas sumi, receptum est. Qui vero illas violarint, collo furcæ in foro inserto, nudi flagris cæduntur, donec exspirarint. Cæterum Marci liberi, cum regnum eis non restitueret, sed Tullium quemdam serva sibi natum omnibus anteferret, idque patricii quoque ægerrime paterentur, quibusdam illorum ascitis, insidias ei parant : subornatis duobus, qui agrestium more asciis et falcibus armati, cum aggrederentur, Qui D cum Tarquinium in foro non invenissent, ad regias fores venerunt, inter sese rixantes, et se ad regem admitti postulantes. Quo impetrato, cum invicem dicerent, rex in alterum causam dicentem intentus, ab altero occiditur. **327** Hic Tarquinii fuit exitus, cum annos VIII et XXX regnasset.

ἐνὶ προσέχοντα τὸν Ταρκύνιον ὁ ἕτερος κατεἰργάσατο. Ὁ μὲν οὖν Ταρκύνιος τοιοῦτον ἔσχε τέλος, τριάκοντα καὶ ὀκτὼ βασιλεύσας ἐνιαυτούς (83).

IX. Regnum autem Romanorum Tullius opera Tanaquilis, Tarquinii uxoris, est adeptus. Hunc Ocrisia quædam, Servii Tullii Latini conjux, bello capta, et Tarquinio tradita, sive domo uterum ferens, sive post captivitatem gravidam facta (utrumque enim fertur) peperit. Ei puero interdiu in sella dormienti magnam e capite flammam emicuisse tradunt: qua visa a Tarquinio, diligenter sit educatus, et per ætatem in patricios et Senatum lectus. Tarquinii percussoribus comprehensis, uxor ejus et Servius, compertis insidiis, mortem regis principio celant: sublatumque tanquam adhuc viventem, se curare simulant: et interim paciscuntur, ut Tullius regno filiis, ubi adoleverint, cedat. Cum autem clamor impetusque multitudinis vix sustineri posset, Tanaquil ex superiore parte ædium, *Populum bono animo esse jubet. maritum enim suum vivere, propediem ipsum eos visuros. Ut autem per otium curari possit, neque tamen rerum administratio, eo ægrotante, langueat, interim Tullio munia reg's mandasse.* Quæ cum dixisset, Tullium ob virtutis opinionem haud inviti admiserunt. Is suscepta reipublicæ procuratione, pleraque se de Tarquinii facere sententia simulabat: cumque sibi populum in omnibus dicto audientem esse cerneret, percussores Tarquinii, quem forte adhuc vivere dixit, propter insidias factas ad Senatum adductos, et capitis damnatos occidit. Cum vero Marcii filii metu ad Volscos confugissent, tum demum Tarquinii mortem palam fecit, aperteque regnum tenuit: ac primum præ se tulit, se tutorio nomine filiorum Tarquinii, principatum administraturum. Deinde ad plebis animos conciliandos conversus, quod ea facilius quam patres cessura esset, pecuniam distribuit, agros singulis assignavit, et servos manumittendos et in tribus referendos curavit. Quæ cum potentes ægre ferrent, constituit, ut liberti patronis quædam officia vicissim præstarent. Patriciis autem ei succensentibus, et præter alia illud quoque dicentibus, eum nomine auctore potiri rerum: pro concione 328 multa populo grato locutus effecit, ut statim integrum sibi regnum ab eo deferretur. Pro quo ut gratiam referret, cum alia plebi donavit, tum nonnullos eorum in senatum legit: qui cum olim plurimis rebus deteriore conditione essent, quam patricii, progressu temporis (interregno et sacerdotiis quibusdam exceptis) par cum illis jus obtinuerunt, neque præter calceos quidquam ab illis diversum habuerunt. Nam patricii calceos urbanos gestarunt, et corrigiarum implexione et forma litteræ adornatos,

Ϛ'. Τὴν δὲ τῆς Ῥώμης βασιλείαν ὁ Τούλλιος διεδέξατο, συνεργίᾳ τῆς τοῦ Ταρκυνίου γυναικὸς, Ταναχυίλιδος. Τοῦτον δὲ γυνή τις Ὀκρισία καλουμένη, Σερουίου Τουλλίου (84) ἀνδρὸς Λατίνου εὐνήτειρα ἐν τῷ πολέμῳ ἁλοῦσα, καὶ τῷ Ταρκυνίῳ ἐξαιρεθεῖσα, τέτοκεν, ἢ ἐγκύμων οἴκοθεν οὖσα, ἢ συλλαβοῦσά μετὰ τὴν ἅλωσιν· λέγεται γὰρ καὶ ἀμφότερα. Οὗτος ἐς παῖδας ἦδη τελῶν ἐπὶ δίφρου μεθ' ἡμέραν κατέδαρθε, καὶ πῦρ ἀπὸ τῆς αὐτοῦ κεφαλῆς πολὺ ἐδόκει ἐξάλλεσθαι. Ὅπερ ἰδὼν ὁ Ταρκύνιος, διὰ σπουδῆς ἦγε τὸν παῖδα, καὶ εἰς ἡλικίαν ἀφιγμένον τοῖς εὐπατρίδαις καὶ τῇ γερουσίᾳ συνέταξε. Συλληφθέντων οὖν τῶν τοῦ Ταρκυνίου φονέων, μαθοῦσα ἡ ἐκείνου γυνὴ καὶ ὁ Τούλλιος τὴν παρασκευὴν τῆς ἐπιβουλῆς, οὐ φανερὸν αὐτίκα τὸν τοῦ Ταρκυνίου θάνατον ἔθεντο, ἀλλ' ἀνελόμενοι αὐτὸν ὡς ἔτι ἐμπνέοντα ἐθεράπευον δῆθεν, κἀν τούτῳ πίστεις ἀλλήλοις ἔδοσαν, ὥστε τὸν Τούλλιον τὴν ἀρχὴν εἰληφότα, τοῖς παισὶν αὐτῆ; ἀνδρωθεῖσιν ἐκστῆναι ταύτης. Ἐπεὶ δὲ τὸ πλῆθος συνδραμὸν ἐθορύβει, προκύψασα ἐκ τῶν ὑπερῴων ἡ Ταναχυίλις. *Μὴ φοβεῖσθε*, ἔφη, *ὁ γὰρ ἀνήρ μου καὶ ζῇ. καὶ ὑμῖν μετ' ὀλίγον ὀφθήσεται. Ἵνα δὲ αὐτός τε σχολάζων ὑγιασθῇ, καὶ μή τι τοῖς πράγμασιν ἐκ τῆς αὐτοῦ ἀσθενείας εἴη ἐμπόδιον, Τουλλίῳ κατά γε τὸ παρὸν τὴν τῶν κοινῶν ἐπιτρέπει διοίκησιν.* Εἶπεν ἐκείνη ταῦτα. Οἱ δὲ τὸν Τούλλιον οὐκ ἀκουσίως ἐδέξαντο, ἀγαθὸς γὰρ ἀνὴρ ἐδόκει. Ἐγχειρισθεὶς οὖν ἐκεῖνος τὴν τῶν κοινῶν οἰκονομίαν, τὰ πλείω κατ' ἐντολὰς ὅθεν διῴκει τοῦ Ταρκυνίου. Ὡς δ' ἐν πᾶσιν ἑώρα πειθαρχοῦντας αὐτῷ, τοὺς αὐτόχειρας τοῦ Ταρκυνίου πρὸς τὴν γερουσίαν παρῆγαγε, διὰ τὴν ἐπιβουλὴν τάχα· ἔτι γὰρ ζῆν ἐκεῖνον προσεποιεῖτο, καὶ οἱ μὲν καταψηφισθέντες ἀπέθανον. Οἱ δὲ τοῦ Μαρκίου υἱοὶ φοβηθέντες, εἰς Οὐολόσκους (85) κατέφυγον, κἀκεῖνος τότε τόν τε θάνατον τοῦ Ταρκυνίου ἐξέφηνε, καὶ φανερῶς τῆς βασιλείας ἐπελήφθη· καὶ πρῶτον μὲν τοὺς τοῦ Ταρκυνίου παῖδας προὐβάλλετο, ὡς αὐτὸς τὴν ἡγεμονίαν ἐπιτροπεύων· εἶτα πρὸς θεραπείαν τοῦ δήμου ἐτράπετο, ὡς ῥᾷστα μᾶλλον τὸν ὅμιλον ἢ τοὺς εὐπατρίδας ὑποποιησόμενος, χρήματά τε αὐταῖς ἐδίδου, καὶ γῆν ἑκάστῳ προσένειμε, καὶ τοὺς δούλους ἐλευθεροῦσθαι καὶ φυλετεύεσθαι (86) παρεσκεύασεν. Ἀχθομένων δ' ἐπὶ τούτοις τῶν δυνατῶν, ἐταξέ τινα τοὺς ἐλευθερωθέντας τοῖς ἐλευθερώσασι σφᾶς ἀνθυπουργεῖν. Ὡς δὲ χαλεπῶς εἶχον οἱ εὐπατρίδαι αὐτῷ, καὶ διεθρόουν ἄλλα τε, καὶ ὅτι μηδενὸς αὐτὸν ἑλομένου τὴν ἀρχὴν ἔχει, συναγαγὼν τὸν δῆμον ἐδημηγόρησε· καὶ πολλὰ ἐπαγωγὰ διαλεχθεὶς αὐτῷ, οὕτω διέθετο, ὡς αὐτίκα πᾶσαν αὐτῷ τὴν βασιλείαν ἐπιψηφίσασθαι. Ὁ δὲ

Variæ lectiones et notæ.

(83) *Ἐνιαυτούς.* Addunt Reg. et Colb.: Οὐ μὲν τῆς βασιλείας οἱ τοῦ Μαρκίου παῖδες ἐδράξαντο, ἀλλ' ὁ Τούλλιος ταύτην ἔσχε τῇ συνεργίᾳ, etc.

(84) *Ἐπουρίου Τουλλίου.* Sic mss. Legendum forte Σπουρίου, vel potius Σερβίου.

(85) *Οὐολόσκους.* Cod. Colb. Οὐελέσκους.

(86) *Φυλετεύεσθαι.* Sic præter Viennensem, Regii et Colberteus. Alius φυλάττεσθαι perperam habuit.

αὐτοὺς ἀμειβόμενος, ἄλλα τε ἐφιλοτιμήσατο, καὶ ἐς τὸ συνέδριόν τινας αὐτῶν ἐνέγραψεν, οἳ πάλαι μὲν ἐν πλείστοις ἧττον ἔφερον τῶν εὐπατριδῶν. Τοῦ χρόνου δὲ προϊόντος, πλὴν τῆς μεσοβασιλείας καί τινων ἱερωσυνῶν, τῶν ἴσων μετεῖχον τοῖς εὐπατρίδαις, καὶ διέφερον ἄνευ τῶν ὑποδημάτων οὐδέν. Τοῖς γὰρ εὐπατρίδαις τὰ ὑποδήματα ἀστυκὰ, καὶ τῇ τε ἐπαλλαγῇ τῶν ἱμάντων, καὶ τῷ τύπῳ τοῦ γράμματος ἐκεκόσμητο, ἵν' ἐκ τούτων δοκοῖεν, ἀπὸ τῶν ἑκατὸν ἀνδρῶν τῶν κατ' ἀρχὰς βουλευσάντων κατιέναι. Τὸ γράμμα δὲ ῥὼ (87) φασιν εἶναι, ἢ τοῦ ἀριθμοῦ τῶν ἑκατὸν ἐκείνων ἀνδρῶν δηλωτικὸν ὄν, ἢ ὡς τοῦ τῶν Ῥωμαίων κατάρχον ὀνόματος. Τὸν μὲν οὖν ὄμιλον οὕτως ὁ Τούλλιος ᾠκειώσατο. Δείσας δὲ μή τις στάσις συμβῇ, τὰ πλεῖστα καὶ ἰσχυρότατα τῶν κοινῶν τοῖς δυνατωτέροις ἐπέτρεψε· καὶ οὕτω σφίσιν αὐτοὶ συνεφρόνησαν, καὶ τὸ δημόσιον διήγαγον ἄριστα. Καὶ πολέμους δέ τινας πρός τε τοὺς Οὐεΐεντας, καὶ πρὸς ἅπαντας τοὺς Τυρρηνοὺς ἐπολέμησεν, ἐν οἷς οὐδὲν ἐπράχθη συγγράμματος ἄξιον. Τοὺς Λατίνους δ' ἐπὶ μᾶλλον Ῥωμαίοις βουληθεὶς οἰκειώσασθαι, νεών τινα ἐκ χρημάτων κοινῶν ἐν τῇ Ῥώμῃ κατασκευάσαι πεποίηκε, καὶ τοῦτον ἀνέθεσαν τῇ Ἀρτέμιδι. Περὶ δὲ τῆς νεωκορίας αὐτοῦ διεφέροντο, κἀν τούτῳ Σαβῖνος ἀνὴρ βοῦν ἦγε περικαλλῆ πρὸς τὴν Ῥώμην, ὡς ἐκ τινος χρησμοῦ θύσων αὐτὴν τῇ Ἀρτέμιδι. Ὁ δὲ χρησμὸς τὸν ἐκείνην θύσαντα ἔλεγε τὴν πατρίδα ἐπαυξήσειν. Τοῦτο δέ τις τῶν Ῥωμαίων μαθών, προσῆλθεν αὐτῷ, καὶ πρότερον εἶπε δεῖν ἐν τῷ ποταμῷ ἁγνισθῆναι, καὶ εἰπὼν ἔπεισε, καὶ πείσας ἔλαβε, τὸν βοῦν ὡς φυλάξων, καὶ λαβὼν ἔθυσεν. Ἐκφήναντος δὲ τοῦ Σαβίνου τὸ λόγιον, οἱ Λατῖνοι καὶ τῆς τοῦ ἱεροῦ προστασίας τοῖς Ῥωμαίοις ἐξέστησαν, καὶ ἐς τἆλλα ὡς κρείττονα σφῶν ἐτίμων αὐτούς. Καὶ ταῦτα μὲν οὕτως. Ὁ Τούλλιος δὲ τοῖς Ταρκυνίοις τὰς θυγατέρας συνῴκισε, καὶ τὴν βασιλείαν αὐτοῖς ἀποδώσειν ἐπαγγελλόμενος, ἄλλοτε ἄλλο τι προφασιζόμενος ἀνεβάλλετο. Οἱ δὲ οὐδὲν ὑγιὲς ἐφρόνουν, ἀλλὰ ἤχθοντο. Ὁ δ' ἐν οὐδενὶ λόγῳ τού-

ut a primis senatoribus orti esse viderentur. Litteram autem *R* fuisse tradunt, sive quod ea apud Græcos centenarium numerum significet, sive quod prima nominis Romani sit littera. Plebe sic conciliata, veritus Tullius, ne qua seditio oriretur, plurima et maxima quæque negotia opulentissimis mandavit. Sic inter sese consentientes, rempublicam optime gesserunt. Bella quædam cum Veientibus et cæteris Tyrrhenis omnibus gessit, in quibus nihil accidit memoratu dignum. Cum autem Latinos magis etiam Romanis devincire cuperet, auctor fuit ut communibus sumptibus Romæ fanum Dianæ facerent. Sed cum de antistite controversia esset, Sabinus quidam bovem insignem ex oraculo Dianæ immolaturus adduxit. Cecinerant enim vates, qui eam immolasset, patriæ suæ opes aucturum esse. Quo Romanus quidam cognito, illi persuasit, ut vivo prius flumine perfunderetur: atque ipse interim acceptam bovem, tanquam asservaturus, mactavit. Oraculo vulgato, Latini Romanis et templi patrocinio cesserunt: et aliis in rebus, ut præstantioribus, honorem habuerunt. Atque hæc hactenus. Tullius autem cum Tarquiniis filias suas despondisset, ac regnum se eis redditurum pollicitus, alias aliud causando procrastinaret: illi moram ægre ferentes, mala cogitabant. Quod rege nihil curante, sed Romanos ad democratiam et libertatem magis assuefaciente, Tarquinii magis etiam indignabantur. Ac junior eam molestiam concoquebat; sed natu major Tullium diutius non ferens, quia uxorem et fratrem suum conatum non probare videbat: uxorem suam ipse, fratrem per illius [illegible] uxorem veneno tollit: ductaque fratris conjuge, illa adjutrice Tullio insidiatur: et cum multis senatoribus ac patriciis, quibus invisus erat Tullius, conspiratione inita, ex improviso curiam ingreditur, etiam Tullia uxore comitante multaque locutus, eos qui aderant patriæ dignitatis commonefecit, Tullium autem multis probris

Variæ lectiones et notæ.

(87) *Τὸ γράμμα δὲ ῥώ*, etc. Scribit Zonaras, ex Dione, patricios Romanos, quo a cæteris plebe dignoscerentur, calceos corrigiarum implexione, et forma litteræ Ῥὼ insignitos induisse: quæ quidem, inquit, centenarium numerum significaret, totidem enim erant patricii, vel quod sit prima littera Romani nominis; quæ quidem minime hic cohærent. Nam patriciorum lunati erant, quos vocabant, calcei, quibus scilicet assuta erat lunula, quod pridem docuere Rosinus, Dempsterus, Salmasius ad Pollionem, et ad Inscriptionem Herodis, Benedictus Balduinus in *Calceo antiquo*, et alii criticorum filii; quæ quidem lunula formam refert characteris Latini C, quo centenarius numerus effingi solet, ita ut patriciorum centenarium numerum in calceis adumbrare potuerit. At quod Zonaras de littera Ῥὼ hic commentatur, prorsus absurdum est, quod alii notarunt, cum nusquam P littera Græca calceis patriciorum afficta fuerit, neque primum vocis Romæ elementum retulerit. Unde jure idem Balduinus cap. 9, quod hic de littera P habetur, superfluum glossema, et a quodam Græculo in textum Zonaræ immistum esse arbitratur; nisi ipsemet Zonaras, non intellecto, quem exscribebat, Dione, eraverit; quod licet existimare, cum id ipsum præferant codices omnes mss. Scripserat nempe Dio litteram C in patriciorum calceis centenarium effingere (quod scribit Isidorus lib. XIX cap. 14); addideratque idem valere quod Ῥῶ apud Græcos; quemadmodum Joannes Gazensis in libro *Περὶ ἀρχαιολογίας*, ait Numam regem ἐν τοῖς ὑποδήμασι Ῥωμαίων τῶν πατρικίων τυποῦσθαι τὸ Ῥωμαϊκὸν Κάππα, ὃ παρὰ τοῖς Ἕλλησίν ἐστι Ῥῶ, etc. Nam Romanum Κάππα est C Latinum, eumdemque numerum refert quod P apud Græcos. Cod. Reg. 2431, fol. 212: Περὶ τοῦ ἀξιώματος τοῦ Ἐπάρχου· Ὁ Ἔπαρχος παρὰ Ῥωμαίοις, καὶ ἱερεὺς ἦν, καὶ πρῶτος τῆς βουλῆς, ἐπεὶ οὖν βουλευταὶ ἦσαν ἑκατὸν, οὗτος δὲ ὁ ἀριθμὸς διὰ τοῦ **Κάππα** τοῦ Ῥωμαϊκοῦ χαρακτηρίζεται· τούτου χάριν τὸ Κάππα σχῆμα φέρει αὐτῶν ὑπόδημα, ἐξ οὗ ὀνομάζεται Καππάριον, οἷον οὗτός ἐστιν ὁ πρῶτος τῶν ἑκατὸν τῆς βουλῆς. Adde Suidam in v. Χλαμύς.

affecit. Qui cum trepido nuntio excitatus sermoni intervenisset, atque aliquid dixisset, Tarquinius senem medium arripit, elatumque e curia, in inferiorem partem per gradus dejicit. Ille ad Tarquinii audaciam, eoque magis quod ab omnibus destitutus esset, consternatus, nihil amplius neque dixit, neque fecit. Tarquinius vero statim regnum a patribus accepit, et per quosdam Tullium domum se recipientem sustulit. At ejus filia maritum in curia deosculata, regem salutavit: atque in regiam abiens, per patris corpus carpentum egisse fertur. Sic Tullius rempublicam administravit, sic vitam finiit, cum annos XLIV regnasset.

τους πηποίητο, καὶ τοὺς Ῥωμαίους πρὸς τὸ δημοκρατικὸν ἐνῆγε καὶ τὸ ἐλεύθερον. Ἔτι δὲ μᾶλλον ἐπὶ τούτοις ἡσχαίλον οἱ Ταρκύνιοι. Ἀλλ' ὁ μὲν νεώτερος, κἂν ἐχαλέπαινεν, ἔφερε, τῷ δὲ χρόνῳ προήκοντι οὐκέτι τοῦ Τουλλίου ἐδόκει ἀνέχεσθαι. Ἐπεὶ δὲ μὴ συνευδοκοῦσαν εὗρισκε τὴν γυναῖκα, καὶ τὸν ὁμαίμονα, αὐτὸς μὲν τὴν γυναῖκα, τὸν δ' ἀδελφὸν διὰ τῆς γυναικὸς ἐκείνου φαρμάκοις ἀνεῖλε, καὶ συναφθεὶς τῇ συνεύνῳ τοῦ ἀδελφοῦ, τῷ Τουλλίῳ σὺν αὐτῇ ἐπεβούλευε. Καὶ πολλοὺς τῶν τε βουλευτῶν καὶ τῶν εὐπατριδῶν αἰτίας ἔχοντας κατὰ τοῦ Τουλλίου πείσας συνάραισθαί οἱ, ἐξαπίναιως μετ' αὐτῶν εἰς τὸ συνέδριον παραγέγονεν, ἑπομένης αὐτῷ καὶ τῆς γυναικὸς Τουλλίας· καὶ πολλὰ μὲν εἶπε, τῆς τοῦ πατρὸς ἀξίας τοὺς παρόντας ἀναμιμνήσκων, πολλὰ δ' ἀπέσκωψε πρὸς τὸν Τούλλιον. Ἐπεὶ δ' ἐκεῖνος ταῦτα μαθὼν ἐπέστη σπουδῇ, καί τι δὴ καὶ ἐφθέγξατο, συνήρπασεν αὐτὸν, καὶ ἐξάρας ὥσε κατὰ τῶν πρὸ τοῦ βουλευτηρίου ἀναβαθμόν. Καὶ ὁ μὲν ταραχθεὶς πρὸς τὴν τοῦ Ταρκυνίου τόλμαν, καὶ ὅτι οὐδέ τις αὐτῷ ἐπεκούρησεν, οὔτ' εἶπεν ἔτι οὐδὲν οὔτ' ἐποίησε. Ταρκύνιος δὲ τήν τε βασιλείαν εὐθὺς παρὰ τῆς βουλῆς ἔλαβε. Καὶ πέμψας τινὰς, τὸν Τούλλιον κομιζόμενον οἴκαδε διεχρήσατο. Ἡ δὲ θυγάτηρ ἐκείνου τὸν ἄνδρα ἐν τῷ βουλευτηρίῳ καταφιλήσασα, καὶ βασιλέα προσαγορεύσασα, καὶ ἁρπσθεῖσα πρὸς τὰ βασίλεια, τὸ ὄχημα κατὰ τοῦ νεκροῦ τοῦ πατρὸς ὡς εἶχεν ἐπήλασεν. Οὕτω μὲν οὖν ὁ Τούλλιος ἦρξε, καὶ οὕτως ἀπέθανε, βασιλεύσας τέσσαρας ἐνιαυτοὺς ἐπὶ τεσσαράκοντα.

X. Tarquinius regno suscepto, Romuli more armatis corpus circumsepsit: quibus et noctu et interdiu, domi et foris usus est. Nam quod ipse erga socerum, uxor erga patrem ita se gessissent, timuit ne a scipso adversus se exemplum caperetur. Jam quia metu regnum tutandum erat, potentissimos senatores et cives comprehensos occidebat: alios palam, quibus aliquid crimini dare poterat, alios clam: nonnullos in exsilium mittebat. Neque vero Tullii studiosos duntaxat, sed etiam tyrannidis suæ adjutores perdidit. Ita optimis quibusque senatorii et equestris ordinis sublatis, cum se omni populo invisum esse crederet, statuit nullos in patres legere: sed senatum penitus tollere aggressus, neque ullum senatorem substituit: neque cum iis qui restabant, quidquam quod alicujus momenti esset, communicavit. Quamvis enim eos convocaret, non tamen ideo faciebat, ut alicujus rei gerendæ adjutores essent: sed ut visa eorum paucitate, ab omnibus contemnerentur: pleraque vero per se aut filios administrabat. Fuit aditu affatuque difficilis, superbia et crudelitate ex æquo erga omnes **330** usus: ac more tyrannico tam ipse, quam liberi ejus cum omnibus egerunt. Quamobrem satellitibus etiam diffisus, conciliataque sibi Latinorum custodia, et in Romanorum ordines inserta, id spectavit, ut Latinos Romanis æquatos, suo sibi beneficio obstrictos haberet, et Romanos adjunctis exteris minus formidaret. Gabinos, armis infeliciter adortus, dolo superavit. Nam Sextum filium transfugere Gabios jussit: cujus facti ut justam habere causam videretur, patrem aperte ut tyrannum et fœdifragum est insectatus, atque a patre vicissim flagris cæsus. Deinde cum ex composito ad Gabinos cum pecuniis et sociis transfugisset, illi ut ei commento crederent, et Tarquinii crudelitate, et multis Sexti veris

Γ'. Ὁ Ταρκύνιος δὲ τὴν βασιλείαν παρειληφὼς, δορυφόρους κατὰ Ῥωμύλον ἑαυτῷ περιέστησε, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν αὐτοῖς καὶ οἰκουρῶν καὶ ἀγοράζων ἐκέχρητο. Ἐξ ὧν γὰρ αὐτὸς εἰς τὸν κηδεστὴν, καὶ ἡ γυνὴ πρὸς τὸν πατέρα ἐποίησαν, καὶ τοὺς λοιποὺς ἐδεδίεσαν. Ἐπεὶ δὲ ὡς τυραννήσων παρεσκευάσατο, τοὺς δυνατωτάτους τῶν βουλευτῶν καὶ τῶν ἄλλων συλλαμβάνων ἐκτίννυεν, οἷς μὲν αἰτίαν εἶχεν ἐπενεγκεῖν, φανερῶς ἀναιρῶν, οὓς δὲ λάθρα, ἐνίους δέ γε καὶ ὑπερώριζεν. Οὐ γὰρ τοὺς τῷ Τουλλίῳ προσκειμένους μόνους, ἀλλὰ καὶ τοὺς πρὸς τὴν μοναρχίαν συναραμένους αὐτῷ προσαπώλλυε. Καὶ οὕτω τὸ κράτιστον τῆς βουλῆς, καὶ τῆς ἱππάδος ἀνάλωσε, μισεῖσθαί τε ὑπὸ παντὸς τοῦ δήμου ἐπίστευε. Διὸ οὐδὲ ἀντικαθίστη τὸ παράπαν ἀντὶ τῶν ἀπολλυμένων τινάς, ἀλλὰ καὶ τὴν γερουσίαν καταλῦσαι παντελῶς ἐπιχειρήσας, οὔτε ἀντεισῆγεν ἐς αὐτὴν οὐδένα, οὔτε τοῖς οὖσιν ἐπεκοίνου τι λόγου ἄξιον. Συνεκάλει μὲν γὰρ αὐτοὺς, οὐ μὴν ὥστε τι τῶν ἀναγκαίων συνδιοικεῖν, ἀλλ' ἵνα δήλη αὐτῶν ἡ βραχύτης γίνοιτο ἅπασι, κἀντεῦθεν καταφρονεῖντο. Τὰ δὲ πλεῖστα καθ' ἑαυτὸν, ἢ καὶ μετὰ τῶν υἱέων ἔπραττε. Δυσπρόσιτός τε καὶ δυσπροσήγορος ἦν καὶ τῇ ὑπεροψίᾳ καὶ τῇ ὠμότητι ὁμοίως ἐχρῆτο πρὸς ἅπαντας, καὶ τυραννικώτερον αὐτός τε καὶ οἱ παῖδες αὐτοῦ προσεφέροντο ἅπασι. Διὰ ταῦτα δὲ καὶ τοὺς δορυφόρους ὑπόπτους ἔχων, ἐκ τῶν Λατίνων προσηταιρίσατο δορυφορικὸν, καὶ ἐς τὰς τῶν Ῥωμαίων τάξεις Λατίνους ἐνέμιξεν, ἵνα οἱ μὲν Λατῖνοι ἰσομοιρίας τοῖς Ῥωμαίοις τυχόντες, εὐνοιαν αὐτῷ ἐντεῦθεν ὀφείλωσι, καὶ οἱ Ῥωμαῖοι ἧττον ἐκφοβῶσιν αὐτὸν, μηκέτι κατὰ σφᾶς ὄντες, ἀλλὰ τοῖς Λατίνοις συνοπλιτεύοντες. Γαουῖνοις δὲ μάχην συνῆψε, καὶ κακῶς μὲν ἠγωνίσατο, δόλῳ δὲ αὐτοὺς ἐχειρώσατο. Αὐτομολῆσαι γὰρ αὐτοῖς Σέξτῳ ὑπέθετο τῷ υἱῷ· ἵνα δ' εὐπρόσωπος αὐτῷ τῆς αὐτομολίας πρόφασις γένηται, ἐκεῖνος μὲν φανερῶς

τὸν πατέρα ὡς τύραννον καὶ παράσπονδον ἐλοιδόρησεν. Ὁ δὲ τὸν υἱὸν ἐμαστίγωσέ τε καὶ ἀντημύνατο, εἶτα κατὰ συνθήκας πρὸς Γαουΐνους ἐψευδαυτομόλησε, χρήματά τε καὶ ἑταίρους παρειληφώς. Οἱ δὲ πιστεύσαντες τῇ σκηνῇ διά τε τὴν τοῦ Ταρκυνίου ὠμότητα, καὶ ὅτι τότε πολλὰ καὶ ἀληθῆ τὸν πατέρα ἐκκαλεῖται, κάντεῦθεν ἐκπεπολεμῶσθαι αὐτῷ ἐδόκει, ἐδέξαντό τε αὐτὸν ἀσμενέστατα, καί τινας ἐπιλεύσεις κατὰ τῆς Ῥωμαϊκῆς χώρας σὺν αὐτῷ ἐποιήσαντο, καὶ οὐ μετρίως αὐτῇ ἐλυμήναντο. Διὰ ταῦτα γοῦν καὶ ὅτι καὶ χρήματα ἰδίᾳ τέ τισι παρεῖχε, καὶ ἐς τὸ κοινὸν ἀνήλισκε δαψιλῶς, ἡρέθη παρ' αὐτῶν στρατηγὸς, καὶ τὴν τῶν πολιτικῶν ἐν αὐτοῖς πραγμάτων ἐπετράπη διοίκησιν. Ἐπὶ τούτοις λάθρα πέμψας τινά, τὰ συμβάντα τε ἐγνώρισε τῷ πατρὶ, καὶ πρὸς τὸ μέλλον γνώμην ἤτησεν ἐξ αὐτοῦ. Ὁ δὲ εἶπε μὲν τῷ πεμφθέντι οὐδέν, ἵνα μὴ ἴσως γνωσθείς, ἐκών τι ἢ ἄκων ἐξείποι. Εἰς δὲ κῆπον εἰσαγαγὼν αὐτὸν, ἐν ᾧ μήκωνες ἦσαν, τὰς κωδύας (87*) αὐτῶν τὰς ὑπερεχούσας ῥάβδῳ κατέκλασε, καὶ εἰς γῆν κατεστόρησε, καὶ οὕτω τὸν ἀγγελιαφόρον ἀπέπεμψε. Καὶ ὁ μὲν τὸ πραχθὲν τῷ Σέξτῳ ἀπήγγειλεν, ἀσυνέτως ἔχων τῆς πράξεως. Ὁ δὲ τὸν νοῦν συνῆκε τῆς ὑποθέσεως, καὶ τοὺς ἀξιολογωτέρους τῶν Γαουΐνων τοὺς μὲν λάθρα φαρμάκοις διέφθειρε, τοὺς δὲ διά τινων ὁδῆθεν λῃστῶν, ἄλλους δὲ ἐκ δικαστηρίων ἀπέκτεινε, συκοφαντίας κατ' αὐτῶν πρὸς τὸν πατέρα προδοσίας πλαττόμενος. Ὅμοιον δέ τι τούτῳ καὶ ὁ Ἡρόδοτος (88) ἱστορεῖ. Περίανδρον γὰρ τὸν Κυψέλου τύραννον Κορίνθου γενόμενον φησὶ πρὸς Θρασύβουλον τὸν Μιλήτου τύραννον διαπέμψασθαι πυνθανόμενον, ὅπως αὐτῷ τὰ τῆς ἀρχῆς ἀσφαλῶς ἕξει. Τὸν δὲ Θρασύβουλον τῷ ἀπαγγείλαντι ταῦτα μηδὲν ἀποκρίνασθαι· ἀπαγαγόντα δ' εἰς λήϊον, τῶν ἀσταχύων τοὺς ὑπερέχοντας ἐκτέμνειν τε καὶ ῥιπτεῖν, καὶ οὕτως ἀποπέμψαι τὸν ἐσταλμένον. Τὸν δὲ ἐπανελθόντα, καὶ τὴν τοῦ Θρασυβούλου συμβουλὴν ἐρωτώμενον, εἰπεῖν, εἰς παραπλῆγα πεμφθῆναι, καὶ διηγεῖσθαι ὅσα ἐκεῖνος ἐποίησε, μή τι πρὸς ἃ ἠρωτήθη φθεγξάμενος· τὸν δέ γε Περίανδρον συνεικέναι τὸν τοῦ Θρασυβούλου λογισμὸν, καὶ τοὺς ὑπερέχοντας τῶν Κορινθίων ἅπαντας ἀπολέσαι. Καὶ ὁ Σέξτος οὖν οὕτω τοὺς Γαουΐνους μετῆλθε, καὶ τοὺς μὲν κρείττους ἀπώλλυε, τῷ πλήθει δὲ τὰ σφῶν διένεμε χρήματα. Καὶ μετὰ τοῦτο τῶν μὲν διαφθαρέντων ἤδη, τῶν δὲ λοιπῶν ἡπατημένων, καὶ πάντα πιστευόντων αὐτῷ, μετὰ τῶν αἰχμαλώτων Ῥωμαίων, καὶ τῶν αὐτομόλων, οὓς πολλοὺς διὰ τοῦτο συνήθροισε, κατέσχε τὴν πόλιν, καὶ τῷ πατρὶ παραδέδωκε. Καὶ ὃς ἐκείνης τῷ υἱῷ παρεχώρησεν, αὐτὸς δὲ πρὸς ἄλλα ἐπολέμησεν ἔθνη.

A in patrem maledictis adducebantur : a quo cum eum hostili odio dissidere crederent, hominem benignissime susceperunt, et aliquot cum eo in Romanum agrum impressiones magna clade illata fecerunt. His igitur de causis, et quod pecuniam aliquibus privatim dabat, et in publicum liberaliter conferebat, dux ab eis creatus est, urbanarum etiam rerum administratione commissa. Posthæc, per quemdam patri statum rerum suarum nuntiat, quid se facere velit, sciscitatur. Ille vero nihil respondet nuntio, ne cognitus vel volens vel invitus arcanum prodat : sed in hortum ædium transit, sequente illo, et summa papaverum capita baculo decutit, itaque nuntium dimittit : qui re non intellecta, quid actum esset, Sexto renuntiat. Is vero animadverso patris consilio, Gabinorum primores partim clam veneno sustulit, partim per sicarios interfecit : alios in judicio calumniis oppressos, quasi urbem patri suo prodere vellent, amovit. Simile quiddam Herodotus de Periandro Cypseli filio, Corinthi tyranno, scribit : qui cum a Thrasibulo Mileti tyranno consilium firmandi imperii petiisset, Thrasybulum nuntio voce nihil respondisse : sed eo in segetem deducto, culmis eminentioribus resectis et abjectis, hominem dimisisse. Qui reversus, deque illius consilio rogatus, dixerit, se ad hominem emotæ mentis esse missum, neque enim ad interrogata quidquam **331** respondisse, ac quid ille fecisset, narrarit : at Periandrum, intellecta Thrasybuli ratione, omnes Corinthiorum principes sustulisse. Ad eumdem modum Sextus etiam cum Gabinis egit : et melioribus occisis, eorum pecunias vulgo distribuit. Deinde illis deletis, reliquis deceptis, et omnia credentibus, cum Romanis captivis et transfugis, quos ea de causa multos coegerat, urbem occupavit, patrique tradidit. Sed is, ea filio concessa, cum aliis populis bellum gessit.

ΙΑ'. Τοὺς δὲ τῆς Σιβύλλης χρησμοὺς Ῥωμαίοις καὶ ἄκων προσεποιήσατο. Γυνή γάρ τις θεόμαντις, ἣν Σιβύλλαν ὠνόμαζον, ἐς τὴν Ῥώμην ἐλήλυθε, βιβλία τρία ἢ ἐννέα φέρουσα, καὶ ταῦτα πρίασθαι τῷ Ταρκυνίῳ ἐδίδου, καὶ τὴν τιμὴν τῶν βιβλίων ὥρισατο. Ἐκείνου δὲ μὴ προσεσχηκότος αὐτῇ, τὸ ἓν ἢ τὰ τρία τῶν βιβλίων κατέκαυσεν. Ὡς δ' αὖθις κατωλιγώρει αὐτῆς ὁ Ταρκύνιος, καὶ τῶν λοιπῶν ὁμοίως διέφθειρε. Μελλούσης δὲ καὶ τὰ ἔτι λοιπὰ καταφλέξειν, ἠνάγκασαν αὐτὸν οἱ οἰωνισταὶ, τὰ γοῦν σωζόμενα πρίασθαι. Καὶ ὠνήσατο ταῦτα, ὅσου τὰ

XI. Cæterum oracula Sibyllina vel invitus populo Romano comparavit. Mulier enim quædam fatidica, quam Sibyllam nominabat, Romam, ut aut ix libros allatos, Tarquinio certo pretio venales, proposuit. Illo vero eam negligente, vel unum vel tres libros exussit. Ut iterum a rege despecta est, ex reliquis totidem abolevit. Cum autem eos etiam qui restabant crematura esset, augures eum reliquos emere coegerunt : idque tanti, quanti universos parare potuisset. Eos libros duobus senatoribus asservandos tradidit : quique scripta

Variæ lectiones et notæ.

(87*) *Κωδύας*. Vide Henric. Valesium ad Harpocrationem, pag. 301, ubi de hac voce.
(88) *Ἡρόδοτος*. Lib. I, p. 9.

illa non satis assequerentur, duos viros e Græcia mercede accersiverunt, qui eos legerent, atque interpretarentur. Finitimi autem cognoscendi avidi, quid iis libris contineretur, altero custodum M. Aquilio largitionibus corrupto, quædam transcripserunt. Quo facinore cognito, Marcus culeo insutus, atque submersus est. Id supplicii genus post in parricidis observatum : ut neque terra, neque aqua, neque sol eorum morte inquinaretur. Templum in monte Tarpeio ex patris voto ædificavit. Cum vero terra ad fundamenta jacienda effoderetur, viri recens mortui capite invento, quod sanguis nondum destituerat, Romani Tyrrhenum vatem percontati sunt, quid portenderet? At ille id signum in Tyrrheniam translaturus, certum in terra spatium designavit : in eoque Romæ situ et Tarpeio monte incluso, legatos rogavit, *An ea Roma esset? an is mons esset? an caput ibi inventum esset*? ut illis nihil suspicantibus, et ita esse affirmantibus, illius portenti vis in eum locum, in quo descriptio facta esset, transferretur. Sed **332** legati ab illius filio fraudem prius edocti, cum rogarentur : *Non hic*, inquiunt, *Roma colitur, sed in Palatio : et mons Romæ est, et caput in monte illo inventum est.* Vatis calliditate hac ratione elusa, omnem veritatem didicerunt, et civibus suis renuntiarunt, eos fore potentissimos, et plurimis imperaturos. Igitur hæc quoque res fiduciam illorum auxit, et mons ex eo Capitolium est appellatus. Quia vero Tarquinius ad templi exædificationem pecunia agebat, Ardeatibus illato bello, neque pecuniam acquisivit, et regno excidit. Quæ calamitas ex prodigiis est præsignificata. Nam et vultures ex hortis ejus pullos aquilarum expulerunt : et anguis ingens e conclavi, in quo cum amicis convivabatur, et ipsum et convivas fugavit. Iis de causis Titum et Aruntem filios, Delphos misit. Quibus cum Apollo respondisset, tum eum imperium amissurum, cum cuni humana voce loqueretur, spe bona sibi blanditus est, nunquam id oraculum eventurum ratus. Erat autem L. Junius, sororis Tarquinii filius, cujus patrem et fratrem tyrannus sustulerat. Is vitæ suæ timens, stultitiam simulavit, cujus numine tutior esset : unde Bruti nomen est adeptus, quod fatuum significat. Ob eam stultitiæ simulationem a Tarquiniis Delphos ductus, ludibrium verius quam comes ; etsi profitebatur se deo baculum dono laturum, in quo cum nihil appareret boni, ea quoque de causa ridebatur. Verum ea re per ambages effigiem quamdam ingenii sui repræsentabat. Nam eo excavato, clam aurum infuderat : ut ostenderet, ingenium quoque suum integrum et honorabile sub ignominioso stultitiæ velamento delitescere. Adolescentibus porro interrogantibus, quis patri successurus esset ? Respondit deus, eum qui matrem prius oscularetur, rerum potiturum. Quo Brutus intellecto, terram, quasi fortuito prolapsus, deosculatus est. quam communem omnium matrem esse recte judicavit. Idem Brutus Tarqui-

A πάντα κτήσασθαι ἔμελλε, καὶ δύω βουλευταῖς ἀνδράσι φυλάσσειν παρέδωκεν. Ὡς δ' οὐ πάνυ τῶν γεγραμμένων συνίεσαν, εἰς τὴν Ἑλλάδα στείλαντες, δύω ἄνδρας ἐκεῖθεν μισθοῦ ἤγαγον, τοὺς ἀναγνωσμένους ταῦτα καὶ ἑρμηνεύσοντας. Οἱ δὲ περίοικοι μαθεῖν ἐθελήσαντες, ὅ τι ποτὲ τὸ διὰ τῶν βιβλίων εἴη δηλούμενον, τὸν ἕτερον τῶν φυλασσόντων αὐτὰ Μάρκον Ἀχίλλιον χρήμασιν ἀναπείσαντες, μετεγράψαντό τινα. Γνωσθέντος δὲ τοῦ ἔργου, ὁ Μάρκος δύω βύρσαις συῤῥαφείσαις ἐμβληθείς, κατεποντώθη, ὃ ἐξ ἐκείνου μετέπειτα κατὰ τῶν πατροκτόνων ἐπεκράτησε γίνεσθαι, ἵνα μήτε ἡ γῆ, μήτε τὸ ὕδωρ, μήτε ὁ ἥλιος μιανθῇ αὐτοῦ θνήσκοντος. Τὸν δὲ νεὼν τὸν ἐν τῷ Ταρπείῳ ὄρει κατὰ τὴν τοῦ πατρὸς εὐχὴν ᾠκοδόμει. Τῆς δὲ γῆς εἰς τὴν τῶν θεμελίων καταβολὴν ἀναῤῥηγνυμένης, ἀνδρὸς νεοθνῆτος κεφαλὴ ἀνεφάνη ἔναιμος ἔτι. Ἔπεμψαν οὖν Ῥωμαῖοι πρὸς ἄνδρα Τυρσηνὸν τερατοσκόπον, ἐρωτῶντες τὸ διὰ τοῦ φανέντος δηλούμενον. Ὁ δὲ τὸ σημεῖον εἰς τὴν Τυρσηνίδα μεταθεῖναι μηχανησάμενος, διάγραμμα ἐπὶ τῆς γῆς ἐποιήσατο, καὶ εἰς αὐτὸ τήν τε τῆς Ῥώμης θέσιν ἐνταῦνας, καὶ τὸ Ταρπεῖον ὄρος, ἔμελλε τοὺς πρέσβεις ἀνερέσθαι, *Ἡ Ῥώμη αὕτη ἐστί; τὸ ὄρος τοῦτό ἐστι; ἡ κεφαλὴ ἐνταῦθα εὑρέθη;* ἵν' ἐκείνων μηδὲν ὑποπτησάντων καὶ συμφησάντων ἡ δύναμις τοῦ σημείου εἰς τὸ χωρίον, ἐν ᾧ διεγέγραπτο, μεταστῇ. Καὶ ὁ μὲν ταῦτα ἐτεχνήσατο· οἱ δὲ πρέσβεις παρὰ τοῦ υἱέος ἐκείνου μαθόντες τὸ τέχνασμα, ἐρωτῶμενοι· *Οὐκ ἐνταῦθα οἰκεῖται ἡ Ῥώμη, ἀλλ' ἐν τῷ Παλατίῳ, καὶ τὸ ὄρος ἐν τῇ Ῥωμαίων ἐστὶ, καὶ ἡ κεφαλὴ ἐν τῷ ὄρει ἐκείνῳ εὑρέθη.* Οὕτω δὲ τῷ τερατοσκόπῳ διακρουσθέντος τοῦ μηχανήματος, πᾶσαν ἐκεῖνοι τὴν ἀλήθειαν ἔμαθον, καὶ τοῖς πολίταις ἀνήγγειλαν, ὅτι κράτιστοι ἔσονται, καὶ πλείστων ἄρξουσιν. Ἐλπὶς οὖν κἀκ τούτου αὐτοῖς προσεγένετο, κἀντεῦθεν τὸ ὄρος μετωνομάσθη παρ' αὐτῶν Καπιτώλιον Καπίτα γὰρ τῇ Ῥωμαίων διαλέκτῳ ἡ κεφαλὴ ὀνομάζεται. Δεηθεὶς δὲ χρημάτων εἰς τὴν οἰκοδομὴν ναοῦ ὁ Ταρκύντος, Ἀρδεάταις ἐπήνεγκε πόλεμον, ὅθεν οὔτε χρήματα προσεκτήσατο, καὶ τῆς βασιλείας ἐξέπεσε. Γεγόνασι δ' αὐτῷ καὶ σημεῖά τινα δηλωτικὰ τῆς ἐκπτώσεως. Ἔκ τε γὰρ τοῦ κήπου αὐτοῦ γῦπες νεοσσοὺς ἐξήλασαν ἀετῶν· καὶ ἐξ ἀνδρῶνος, ἐν ᾧ συνειστιᾶτο φίλοις, ὄφις μέγας ἐπιφανεὶς αὐτόν τε καὶ τοὺς συσσίτους ἐξέβαλε. Διά τοι ταῦτα ἐς Δελφοὺς Τίτόν τε καὶ Ἀρρόῦντα τοὺς υἱοὺς ἔπεμψε. Τοῦ δὲ Ἀπόλλωνος χρήσαντος τότε τῆς ἀρχῆς ἐκπεσεῖσθαι αὐτὸν, ὅτε κύων ἀνθρωπίνῃ φωνῇ χρήσαιτο, ἀγαθαῖς ἐλπίσιν ἠώρητο, μὴ οἰηθείς ποτε γενέσθαι τὸ μάντευμα. Ἦν δὲ Λούκιος Ἰούνιος ἀδελφῆς τοῦ Ταρκυνίου υἱὸς, οὗ τὸν πατέρα καὶ τὸν ἀδελφὸν ὁ Ταρκύνιος ἔκτεινεν. Οὗτος οὖν, καὶ περὶ ἑαυτῷ δεδοικὼς, μωρίαν προσεποιήσατο, ταύτην ἑαυτοῦ προστησάμενος σώτειραν. Διὸ καὶ Βροῦτος ἐπεκλήθη· τοὺς γὰρ εὐήθεις οὕτω τοῖς Λατίνοις ἔθος καλεῖν. Πλατόμενος οὖν τὸν μωραίνοντα, τοῖς τοῦ Ταρκυνίου παισὶν εἰς Δελφοὺς ἀπιοῦσι συμπαρελήφθη ὡς ἄθυρμα. Ὁ δὲ καὶ ἀνάθημά φέρειν ἔλεγε τῷ Θεῷ· τὸ δ'

ἦν βάκτρον τι μηδὲν ἐκ τοῦ φαινομένου ἔχον χρηστόν, ὅθεν καὶ ἐπὶ τούτῳ ὠφλίσκανε γέλωτα· τὸ δ' ἦν οἷον εἰκών τις τῆς κατ' αὐτὸν προσποιήσεως. Κοιλάνας γὰρ αὐτὸ, λάθρα χρυσίον ἐνέχεεν· ἐνδεικνύμενος δι' αὐτοῦ, ὡς καὶ τὸ φρόνημα αὐτῷ τῷ τῆς μωρίας ἀτίμῳ σῶον καὶ ἔντιμον κατακρύπτεται. Ἑρμένων δὲ τοῦ Ταρκυνίου υἱῶν, τίς τὴν βασιλείαν τοῦ πατρὸς διαδέξεται, ἔχρησεν ὁ Θεὸς, τὸν πρῶτον τὴν μητέρα φιλήσαντα τὸ κράτος ἔξειν. Ὁ συνεὶς ὁ Βροῦτος, ὡς τυχαίως καταπεσὼν, τὴν γῆν κατεφίλησεν, αὐτὴν μητέρα πάντων ὑπάρχειν κρίνας ὀρθῶς. Οὗτος γὰρ ὁ Βροῦτος τοὺς Ταρκυνίους κατέλυσεν, αἰτίαν τὸ περὶ τὴν Λουκρητίαν συμβεβηκὸς προστησάμενος, καὶ ἄλλως μισουμένους παρὰ πάντων διὰ τὸ τυραννικόν τε καὶ βίαιον. Ἡ δὲ Λουκρητία θυγάτηρ μὲν ἦν Λουκρητίου Σπουρίου, ἀνδρὸς τῶν τῆς συγκλήτου ἑνὸς (89), γαμετὴ δὲ Κολλατίνου Ταρκυνίου τῶν ἐπιφανῶν, ἐπί τε κάλλει καὶ σωφροσύνῃ τυγχάνουσα περιβόητος. Ταύτην Σέξτος ὁ τοῦ Ταρκυνίου υἱὸς αἰσχῦναι σπούδασμα ἔθετο, οὐχ οὕτω τοῦ κάλλους αὐτῆς ἐρασθείς, ὡς ἐπὶ τῷ σώφρονι ἐπιζουλεύων αὐτῆς. Τηρήσας οὖν τὸν Κολλατῖνον τῆς οἰκίας ἀποδημοῦντα, νυκτὸς ἐλθὼν πρὸς αὐτὴν, ὡς πρὸς γαμετὴν συγγενοῦς, κατέλυσε παρ' αὐτῇ. Καὶ πρῶτον μὲν (90) λόγοις ἐπείρα συγγενέσθαι αὐτῇ, εἶτα καὶ βίαν προσῆγεν· ὡς δ' οὐδὲν ἐπέφαινεν, ἀποσφάξειν ἠπείλησεν· ὡς δὲ καὶ τοῦ θανάτου κατωλιγώρει, δοῦλον παρακατακλινεῖν αὐτῇ ἐπηπείλησε, καὶ ἅμφω κτανεῖν, καὶ λόγον διαδώσειν, ὡς εὑρὼν αὐτοὺς συγκαθεύδοντας ἔκτεινε. Τοῦτο τὴν Λουκρητίαν ἐτάραξε, καὶ φοβηθεῖσα μὴ πιστευθείη ταῦθ' οὕτω γενέσθαι, ἐνέδωκε, καὶ μοιχευθεῖσα ξιφίδιον ὑπὸ τὸ προσκεφάλαιον ἔθετο, καὶ μεταπεμψαμένη τόν τε ἄνδρα καὶ τὸν πατέρα, συνεπομένων αὐτοῖς τοῦ τε Βρούτου καὶ Ποπλίου Οὐαλλερίου, κατεδάκρυσε, καὶ στενάξασα τὸ δρᾶμα πᾶν διηγήσατο· εἶτα ἐπήγαγε· *Καὶ ἐγὼ μὲν τὰ πρέποντα ἐμαυτῇ ποιήσω· ὑμεῖς δὲ, εἴπερ ἄνδρες ἐστὲ, τιμωρήσατε μὲν ἐμοὶ, ἐλευθερώθητε δὲ αὐτοὶ, καὶ δείξατε τοῖς τυράννοις οἵων ὑμῶν ὄντων, οἵαν γυναῖκα ὕβρισαν.* Τοιαῦτα εἰποῦσα εὐθὺς τὸ ξιφίδιον ὑφελκύσασα κατέκτεινεν ἑαυτήν. Ἀκούσαντες δ' ἐκεῖνοι ταῦτα, καὶ θεασάμενοι, ὑπερήλγησαν, καὶ τῷ Ποπλίῳ συμβούλῳ καὶ πρόθυμῳ πρὸς τοῦργον ὁ Βροῦτος χρησάμενος, τήν τε γυναῖκα πολλοῖς τῶν τοῦ δήμου κειμένην ὑπέδειξε· καὶ πρὸς τοὺς λοιποὺς δημηγορήσας, τὸ πρὸς τοὺς τυράννους μῖσος ἐκφῆναι πεποίηκε, καὶ μηκέτι δέξασθαι συνέθεντο τὸν Ταρκύνιον. Ταῦτα δὲ πράξας, καὶ τὴν πόλιν ἐπιτρέψας τοῖς ἄλλοις, αὐτὸς πρὸς τὸ στρατόπεδον ἐξιππάσατο, καὶ τὰ αὐτὰ τῷ δήμῳ συνέπεισε, καὶ τοὺς στρατιώτας ψηφίσασθαι. Ὁ δέ γε Ταρκύνιος τὰ συμβεβηκότα μαθὼν, καὶ πρὸς τὴν πόλιν ἐπειχθεὶς (91), ἀπεώσθη, καὶ πρὸς τοὺς Ταρκυνιησίους μετὰ τῶν παίδων καὶ τῶν ἄλλων ὁμοφρόνων κατέφυγε, μόνης τῆς Τουλλίας, ὡς λόγος, ἑαυτὴν ἀνελούσης. Ὁ μὲν οὖν Ταρκύνιος πέντε καὶ εἴκοσι τυραννίσας ἐνιαυτοὺς, οὕτως ἐξέπεσε τῆς ἀρχῆς.

ΙΒ'. Οἱ Ῥωμαῖοι δὲ πρὸς τὸν Βροῦτον ἀπέκλιναν, καὶ αὐτὸν εἵλοντο ἄρχοντα. Ἵνα δὲ μὴ ἡ μοναρχία βασιλεία δοκῇ, καὶ συνάρχοντα αὐτῷ ἐψηφίσαντο τὸν τῆς Λουκρητίας ἐκείνης ἄνδρα, τὸν Κολλατῖνον Ταρκύνιον, ὡς ἀπεχθῶς πρὸς τοὺς τυράννους πιστευόμενον ἔχειν διὰ τὴν βίαν τῆς γυναικός. Ἐκ δέ γε

A nios, ob stuprum Lucretiæ oblatum, urbe ejecit, ante ob tyrannidem et violentiam omnibus invisos. Lucretia vero filia fuit Spurii Lucretii senatoris, uxor **333** Tarquinii Collatini viri illustris, elegantia formæ et castitate celebris. Hujus stuprandæ libido Sexto Tarquinio incessit, non tam ob pulchritudinem, quam ut ejus famæ ac pudicitiæ labem aspergeret. Itaque captata Collatini absentia, noctu apud eam, ut cognati uxorem, divertit. Ac primum verbis eam tentat, deinde vi, cum nihil proficeret, mortem minatur : quam illa contemnente dixit se servum cum ea positurum, et ambos occisurum : eamque causam cædis editurum, quod eos in concubitu deprehensos peremisset. Hoc Lucretiam commovit ; ac verita, ne res ita esse acta crederetur, adultero obsecuta, pugionem sub cervicali posuit ; accersitoque marito et patre, Bruto et P. Valerio comitantibus, quid accidisset, cum fletu et suspiriis exposuit. Deinde subjecit : *Ego quæ me decent, faciam : vos si viri estis, et necem meam ulciscemini, et vosmetipsos in libertatem vindicabitis : ac tyrannis ostendetis, quales viros qualemque matronam violarint.* Hæc elocuta, statim pugione clam arrepto seipsam interemit. Quibus illi auditis et visis, ingentem dolorem ceperunt. Brutus vero Publii consilio et alacri opera usus, matronam multis e populo jacentem ostendit : et apud cæteros habita concione fecit, ut occultum tyrannorum odium erumperet, seque Tarquinium non amplius receperent affirmarent. His actis Brutus, urbe aliis commissa, in castra equitavit, eademque militibus quæ populo persuasit. Tarquinius re cognita, ad urbem properans, excluditur, et cum liberis cæterisque animis Tarquinios confugit. Nam sola Tullia sibi ipsi manus attulisse fertur. Sic Tarquinius regno pulsus est, quod per annos XXV violenter administrarat.

XII. Romani vero Brutum, inclinatis in eum studiis, magistratum elegerunt. Verum ne monarchia regia redacta videretur, Lucretiæ maritum Tarquinium Collatinum, ei collegam dederunt : qui ob vim uxori suæ factam, tyrannis infestus esse crederetur. A Tarquinio legati reditum flagitantes

Variæ lectiones et notæ.

(89) Ἑνός. Deest in Reg.

(90) *Καὶ πρῶτον μέν.* Dionis excerpta Valesiana, lib. I, p. 574.

(91) *Τὴν πόλιν ἐπειχθείς.* Alter e Reg. codd. et Colb. ἐπειχθείς. Alter Reg. ἐπιχθαίς.

missi, tum re infecta discesserunt. Post reversi retulerunt, si bona sua ipsi, amicis et necessariis redderentur, unde exsilium tolerarent, eum regno **334** cessurum, et bellum depositurum esse. Qua petitione cum multi flecterentur, atque ipse adeo Collatinus, Bruti collega : Brutus e curia in forum excurrit, Collatinum proditorem appellat, qui belli et tyrannidis instrumenta largiretur. Legati per speciem repetendæ pecuniæ Romæ commorati, nobiles aliquot adolescentes corrumpere, atque inter alios, etiam Bruti filios duos ad proditionem impellere studuerunt. A quibus benigne accepta oratione, visum est pacta jurejurando sancire : eaque de causa in ædes pene desertas et obscuras ingressi, non animadverterunt ibi esse Vindicium servum, qui non de industria, sed forte fortuna ibi delitescens, spectator actorum, et auditor sermonum fuit : quæ omnia ad eædem consulum et proditionem urbis spectabant, additis etiam ad Tarquinium litteris. Conjuratis digressis, servus omnia defert. Illi capiuntur, litteræ afferuntur. Deducuntur in forum : astante Vindicio, litteræ recitantur. Aliis mœstum silentium tenentibus, Brutus nominatim utrumque filium allocutus ; *Non depellitis*, inquit, *crimen?* Illis tacentibus, ad lictores conversus : *Quod restat*, ait, *vestri muneris est.* Ii adolescentes arreptos flagris ceciderunt ; quorum misericordia cum alii moverentur, pater neque oculos alio avertit, neque ullum misericordiæ signum dedit, quoad securi percussi sunt. Hoc factum neque laudare neque vituperare promptum est. Aut enim virtutis altitudo perturbationes omnes in ejus animo oppressit, aut calamitatis magnitudo ei stuporem attulit. Neutrum vero exiguum est, aut humanum : sed aut divinitatis, aut belluinæ immanitatis. Illis interfectis, a Bruto postulatum est, ut de cæteris quoque pronuntiaret. Ad quæ ille : *Liberis*, inquit, *meis idoneus fui judex; de cæteris vero civibus jam liberis suffragia ferenda permitto.* Sententiis latis, omnes securi sunt percussi, atque inter alios cognati aliquot Collatini : ob quos cum irasceretur, populi a Bruto concitati manibus pene discerptus esset. Magistratus tamen ei est abrogatus, P. Valerio successore dato : cui a cultu et observantia populi, Publicolæ cognomentum fuit. Tarquinius desperata per **335** proditionem regni recuperatione, ad Tyrrhenos se contulit. A quibus cum magnis copiis reduceretur, consules in aciem Romanos eduxerunt. Ac pugnæ principio Aruns Tarquinii filius, et Brutus consul Romanus, adeo infestis animis inter se concurrerunt, ut neuter, dum hostem vulneraret, sui protegendi corporis memor, uterque ictu contrario transfigeretur. Acri orto prælio, et multis utrinque cæsis, incerta victoria fuit. Sub noctem

A Ταρκυνίου πρέσβεις εἰς Ῥώμην ἦκον, περὶ καθόδου διαλεγόμενοι· ὡς δ' οὐδὲν ἤνυον, ἕτεροι αὖθις ἐπέστησαν, ἀφίστασθαι τῆς βασιλείας, καὶ παύειν τὸν πόλεμον λέγοντες τὸν Ταρκύνιον, εἰ τὰ χρήματα δοθείη αὐτῷ, καὶ τοῖς φίλοις, καὶ τοῖς οἰκείοις, ἀφ' ὧν διαβιώσονται φεύγοντες. Ἐπιχλωμένων δὲ πολλῶν, καὶ αὐτοῦ Κολλατίνου τοῦ τῷ Βρούτῳ συνάρχοντος, εἰς ἀγορὰν ὁ Βροῦτος ἐκ τοῦ βουλευτηρίου ἐξέδραμε, προδότην τὸν Κολλατῖνον ἀποκαλῶν, πολέμου καὶ τυραννίδος ἀφορμὰς χαριζόμενον. Οἱ πρέσβεις δὲ ἐπὶ τῇ τῶν χρημάτων προφάσει τῇ Ῥώμῃ ἐνδιατρίβοντες, ἴσχυσαν διαφθεῖραι τῶν ἐπισήμων τινάς, μεθ' ὧν καὶ δύω τοῦ Βρούτου παῖδας ἔπεισαν ἐν τῇ προδοσίᾳ γενέσθαι. Ὡς οὖν συνέπεισαν τὰ μειράκια, ἔδοξε καὶ ὅρκον προθεῖναι καὶ B ἐπὶ τούτοις εἰς οἰκίαν συνῆλθον. Ἦν δὲ ὁ οἶκος ὑπέρημος καὶ σκοτώδης. Ἔλαθεν οὖν ἔνδον ὢν οὐκ ἐκ προνοίας, ἀλλὰ τυχαίως, οἰκέτης ὄνομα Οὐινδίκιος (92), καὶ κατακρυφθεὶς ἐκεῖ, θεατής τε τῶν δρωμένων ἦν, καὶ τῶν βεβουλευμένων ἐπήκοος· ἅπερ ἦσαν, τοὺς ὑπάτους ἀνελεῖν, καὶ τὴν πόλιν προδοῦναι, καὶ ταῦτα τῷ Ταρκυνίῳ διὰ τῶν πρέσβεων ἐπεστάλκασιν. Ἀπελθόντων δὲ τοῦ οἰκήματος τῶν συνωμοτῶν, ἐξελθὼν ὁ οἰκέτης ἅπαντα κατεμήνυσε, καὶ οἵ τε τὴν προδοσίαν μελετήσαντες συνελήφθησαν, καὶ τὰ γράμματα ἐκομίσθησαν, καὶ εἰς τὴν ἀγορὰν προαχθέντων αὐτῶν, καὶ τὸν Οὐϊνδίκα παρεστήσαντο, τά τε γράμματα ἀνεγνώσθησαν. Καὶ οἱ μὲν ἄλλοι ἐν κατηφείᾳ ἦσαν, καὶ σιωπῇ· ὁ δὲ Βροῦτος ὀνομαστὶ τῶν υἱέων ἑκάτερον προσειπών, C *Οὐκ ἀπολογεῖσθε*, ἔφη, *πρὸς τὴν κατηγορίαν;* τῶν δὲ σιωπώντων, στραφεὶς πρὸς τοὺς ὑπηρέτας, *Ὑμέτερον*, εἶπεν, *ἤδη τὸ λοιπὸν ἔργον.* Οἱ δὲ συλλαβόντες τοὺς νεανίσκους, ῥάβδοις κατέξαινον· καὶ τῶν ἄλλων ἐπικλωμένων τοῖς πάσχουσιν, ὁ πατὴρ οὔτ' ἀλλαχόσε τὰς ὄψεις ἀπήγαγεν, οὔτε μήν οἴκτου τι ἐνεδείξατο, μέχρι πελέκει τὰς κεφαλὰς τῶν παίδων ἀπέκοψαν. Τοῦτο δὲ οὔτ' ἐπαινεῖν, οὔτε ψέγειν ἐστὶ ῥᾴδιον. Ἡ γὰρ ἀρετῆς ὕψος εἰς ἀπάθειαν ἐξέστησεν αὐτοῦ τὴν ψυχήν, ἢ πάθους μέγεθος εἰς ἀναλγησίαν. Οὐδέτερον δὲ μικρὸν οὐδ' ἀνθρώπινον, ἀλλ' ἢ θεῖον, ἢ θηριῶδες. Οὕτω δὲ τούτων θανόντων, καὶ περὶ τῶν ἄλλων συνωμοτῶν ψῆφον ἐνεγκεῖν ὁ Βροῦτος ἀπῄτητο. Ὁ δὲ, *Τοῖς μὲν υἱέσιν*, εἶπεν, *αὐτὸς ἀποχρῶν εἰμι δικαστής· περὶ δὲ τῶν ἄλλων, τοῖς πολίταις ἐλευθέροις οὖσι τῆς ψήφου παραφωρῶ.* Ψήφου τοίνυν δοθείσης, πάντες ἐπελεχίσθησαν. Ἦσαν δὲ τούτων τινὲς τῷ Κολλατίνῳ προσήκοντες, δι' οὓς καὶ ὠργίζετο. Ὅθεν ὁ Βροῦτος οὕτω κατ' αὐτοῦ τὸν δῆμον παρώξυνεν, ὡς μικροῦ δεῖν καὶ αὐτοχειρίᾳ αὐτὸν ἀνελεῖν· ἀλλὰ τοῦτο μὲν οὐκ ἐποίησαν, τὴν δ' ἀρχὴν ἠνάγκασαν αὐτὸν ἀπειπεῖν. Εἵλοντο δὲ ἀντ' ἐκείνου συνάρχοντα Πόπλιον Οὐαλέριον, ὃς Ποπλικόλας προσωνομάσθη, δηλοῖ δ' ἡ κλῆσις ἐξελληνιζομένη Δημοκηδὴ, ἢ Δημοτικώτα-

Variæ lectiones et notæ.

(92) *Οὐϊνδίκιος*. Ita unus e Reg. At alter et Colb. Ἰουνδίκιος præferunt.

τον. Ταρκύνιος δὲ, ἀπογνοὺς τὴν ἐκ προδοσίας τῆς βασιλείας ἀνάληψιν, προσῆει τοῖς Τυρσηνοῖς. Οἱ δὲ δυνάμει βαρείᾳ κατῆγον αὐτόν. Ἀντεξῆγον δὲ καὶ τοὺς Ῥωμαίους οἱ ὕπατοι. Ἀρχομένης δὲ τῆς μάχης, Ἄρρων ὁ Ταρκυνίου παῖς, καὶ Βροῦτος ὁ Ῥωμαίων ὕπατος, ἀλλήλοις περιπεσόντες ἐμάχοντο· καὶ ἀφειδήσαντες ὑπὸ θυμοῦ ἑαυτῶν συναπέθανον. Μεγάλης δὲ τῆς μάχης γενομένης, καὶ πολλῶν ἑκατέρωθεν πεσόντων, ἄκριτος ἦν ἡ νίκη. Νυκτὸς δ' ἐπελθούσης λέγεται σεισθῆναι τὸ ἄλσος παρ' ᾧ ἐστρατοπεδεύοντο, καὶ φωνὴν ἐκπεσεῖν ἐκεῖθεν μεγάλην, φράζουσαν, ἑνὶ πλείους τεθνάναι Τυρρηνῶν ἢ Ῥωμαίων. Ἅμα δὲ τῇ φωνῇ Ῥωμαῖοι μὲν μέγα καὶ θαρσαλέον ἠλάλαξαν. Πτοία δ' ἐνέπεσε Τυρρηνοῖς, καὶ θορυβηθέντες τοῦ στρατοπέδου ἐξέπεσον. Εἷλον δ' οἱ Ῥωμαῖοι τοῦτο, καὶ διηρπάκασιν. Ἀριθμηθέντες δὲ οἱ νεκροὶ τῶν ἐν τῇ μάχῃ θανόντων, εὑρέθησαν οἱ μὲν τῶν Τυρρηνῶν ἐπὶ μυρίοις χίλιοι καὶ τριακόσιοι, οἱ δὲ Ῥωμαῖοι παρ' ἕνα τοσοῦτοι. Ἐθριάμβευσε δὲ Οὐαλέριος Ποπλικόλας πρῶτος ὑπατεύων. Ὁ δὲ Ταρκύνιος μετὰ τὴν μεγάλην μάχην, ἐν ᾗ καὶ τὸν υἱὸν ἀπέβαλε μαχεσάμενον Βρούτῳ, καταφυγὼν εἰς τὸ Κλούσιον, ἱκέτευε Λάρτην Πορσίναν, ἄνδρα μεγίστην ἔχοντα δύναμιν τῶν Ἰταλικῶν βασιλέων. Καὶ ὃς αὐτῷ βοηθήσειν ὑπέσχετο. Καὶ πρῶτον μὲν ἔπεμψεν εἰς Ῥώμην, κελεύων δέχεσθαι τὸν Ταρκύνιον. Ὡς δὲ οὐχ ὑπήκουσαν, ἀφίκετο μετὰ βαρείας δυνάμεως. Ποπλικόλας δὲ Οὐαλέριος εἰς ἀρχὴν τὸ δεύτερον αἱρεθείς, καὶ μάχην συνάψας, καὶ τραυματισθείς, φοράδην τῆς μάχης ἐξεκομίσθη. Ἐπικειμένου δὲ τοῦ Πορσίνα τῇ πόλει, λιμὸς ἥπτετο τῶν Ῥωμαίων. Ἐκ τινος δὲ συμβεβηκότος, ἢ μᾶλλον ἐκ προνοίας γενομένου, ὁ Πορσίνας τὸν πρὸς Ῥωμαίους κατέλυσε πόλεμον. Ἀνὴρ γάρ τις Μούκιος Κόρδος, εἰς πᾶσαν ἀρετὴν ἀγαθὸς, ἐν δὲ τοῖς πολεμικοῖς ἄριστος, Σκαιόλας τὴν ἐπίκλησιν, ὃ δηλοῖ τὸν μονόχειρα, ἢ μὴ ἀρτιόχειρα, τὸν Πορσίναν ἀνελεῖν βουλευσάμενος, παρῆλθεν εἰς τὸ ἐκείνου στρατόπεδον, Τυρσηνίδα φορῶν ἐσθῆτα, καὶ ὁμοίᾳ κεχρημένος φωνῇ. Καὶ σαφῶς μὲν τὸν Πορσίναν οὐκ εἰδώς, ἔρεσθαι δὲ δεδιὼς, τὸν γραμματέα αὐτοῦ συγκαθήμενον αὐτῷ, καὶ ὁμοίως ἔχοντα τῆς στολῆς, σπασάμενος τὸ ξίφος ἀπέκτεινε, καὶ συλληφθεὶς ἀνεκρίνετο. Ἐσχαρίδος δέ τινος τῷ Πορσίνᾳ μέλλοντι θύειν τότε κεκοσμημένης, ὑποσχὼν τὴν χεῖρα καιομένης τῆς σαρκὸς εἱστήκει, πρὸς τὸν Πορσίναν ἀποβλέπων ἀτρέπτῳ προσώπῳ, ὅθεν αὐτῷ τῆς χειρὸς φθαρείσης ἐγένετο ἡ ἐπίκλησις, μέχρι θαυμάσας ἐκεῖνος ἀφῆκεν αὐτόν. Ὁ δὲ Σκαιόλας ἕτερον τρόπον ἐσοφίσατο τὸν ἐχθρὸν, καὶ εἶπε· *Τὸν φόβον σοὺ Πορσίνα, νενικηκώς, ἧττημαί σου τῆς ἀρετῆς, καὶ χάριτι μηνύω, ἃ πρὸς ἀνάγκην οὐκ ἂν ἐξηγόρευσα. Τριακόσιοι Ῥωμαίων τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχοντες ἐν τῷ στρατοπέδῳ σου διατρίβουσιν, ὧν ἐγὼ προεπιχειρήσας κλήρῳ λαχὼν, οὐκ ἄχθομαι τῇ τύχῃ, διαμαρτὼν ἀνδρὸς ἀγαθοῦ καὶ φίλου μᾶλλον ἢ πολεμίου Ῥωμαίοις εἶναι προσήκοντος.* Ἐντεῦθεν ὁ Πορσίνας πρὸς τὰς συμβάσεις ἐγένετο προθυμότερος. Ὁ δὲ Ποπλικόλας τὸ τρίτον ὑπατεύων τότε, προὐκαλεῖτο συνεχῶς τὸν Ταρκύνιον ἐπὶ δίκῃ, ὡς ἐξελέγξων κάκιστον, καὶ ἐκπεπτωκότα τῆς ἀρχῆς ἐνδικώτατα, τοῦ Πορσίνου δικάζοντος. Ἀποκρινομένου δὲ Ταρκυνίου, μὴ αἱρεῖσθαι Πορσίναν διαιτητὴν, εἰ σύμμαχος ὢν μεταβάλλεται. Καταγνοὺς ὁ Πορσίνας, τὸν πόλεμον κατελύσατο. Καὶ μετὰ ταῦτα δὲ πολλάκις μὲν ἐπεχείρη-

A concusso luco, juxta quem castra erant posita, ingens vox edita est, quæ diceret uno plus Etruscorum cecidisse in acie, vincere bello Romanum. Unaque cum ea voce Romani magno et confidenti clamore sublato, terrorem incusserunt Tyrrhenis, ut per tumultum castra desererent, quæ a Romanis capta et direpta sunt. Numeratis interfectorum cadaveribus, Tyrrhenorum XI millia CCC sunt reperta, Romanorum uno minus totidem. Valerius Publicola primus in consulatu triumphavit. Tarquinius post magnam illam pugnam, in qua filium quoque amiserat, a Bruto interfectum, Clusium supplex confugit ad Lartem Porsenam, Italicorum regum potentissimum: qui, auxiliis promissis, cum primum per legatos a Romanis, ut Tarquinium B reciperent, non impetrasset, cum magno venit exercitu. Valerius Publicola denuo consul creatus, vulneribus acceptis, lectica ex pugna elatus est. Porsena urbem premente, Romanos annonæ penuria afflixit; sed casu quodam, ac potius divino consilio factum est, ut Porsena bellum omitteret. Nam quidam Mutius Cordus, cum omni virtute præstans, tum militari fortitudine præstantissimus, cognomento Scævola, Tyrrheno habitu, sermonem etiam Tyrrhenorum imitans, hostium castra ingressus, cum Porsenam non satis nosset, nec rogare auderet, scribam cum rege sedentem pari ornatu, stricto ense interfecit. Comprehensus, cum interrogaretur, dextra accenso ad sacrificium foculo injecta, interim dum caro uritur, intrepido vultu C Porsenam intuens astitit (unde a clade manus, id ei cognomentum est inditum), donec eum rex, prope attonitus miraculo, dimisit. **336** Tum vero hostem alio modo fefellit, his verbis: *Victo tui metu, virtuti tuæ succubui, ac beneficio a me feres, quod minis nequivisses; CCC Romani, iisdem præditi animis, in castris tuis versantur: mea prima sors fuit. Neque fortunæ succenseo, quod a bono viro aberrarim, digniore qui Romanorum sit amicus, quam hostis.* Ex eo Porsena propensior ad pacis conditiones evasit. Publicola vero tum tertium consul Tarquinium subinde ad jus vocavit: ut ejus improbitate declarata, vel Porsena judice, justissimo exsilio multatus existimaretur. Sed cum D Tarquinius respondisset, se Porsenam non admittere arbitrum, si belli socius esse desineret, Porsena causa ejus improbata, bellum deposuit. Tarquinii vero post etiam auxiliis finitimarum gentium, regnum sæpe recuperare conati, omnes in præliis occubuerunt: præter senem, qui Superbus dicebatur. Sed et ille tandem Cumis apud Opicos periit.

σαν οἱ Ταρκύνιοι τὴν βασιλείαν ἀναλαβεῖν, τοῖς ὁμοροῦσι Ῥωμαίοις ἔθνεσι συμμαχούμενοι· πάντες δὲ ἐν ταῖς μάχαις διεφθάρησαν, πλὴν τοῦ γέροντος, ὃς καὶ Σούπερβος ἐκαλεῖτο, εἴποι ἄν τις Ἕλλην ἀνὴρ Ὑπερήφανος. Κἀκεῖνος δὲ μετέπειτα εἰς Κύμην τὴν ἐν Ὀπικίᾳ γενόμενος, ἐτελεύτησεν.

XIII. Tarquiniorum res eo denique redierunt. Illis autem pulsis, Romani consules, ut dictum est, creaverunt; ex quorum numero P. Valerius quartum fuit consul, cognomento Publicola. Qui cum sine collega magistratum gereret, Romani offensi, eum non Bruti consulatus hæredem, sed tyrannidis Tarquinii successorem exstitisse, qui cum omnibus fascibus et securibus, ex ædibus tantis tamque splendidis prodiret, dixerunt. Etenim domum sumptuosiorem habebat, foro propinquam. Quo Publicola cognito, plurimis opificibus accersitis, ædes nocte destruxit atque evertit: at Romani mane id videntes, simul et magnitudinem animi ejus mirarentur, et tantam tamque præclaram domum eversam esse dolerent. Secures quoque a fascibus removit; et fasces ipsos cum in concionem prodibat, populo submisit. Pecuniæ item tractationem aliis mandavit, ne consulum per eam potentia augeretur, tum primum quæstoribus designatis. Ii principio causarum capitalium cognitioni præfuere, ab inquisitione veritatis quæsitores appellati: post etiam ærario sunt præfecti, judiciis aliorum curæ commissis. Collegam sibi ascivit, Lucretiæ patrem Lucretium. Quo brevi mortuo, M. Horatius in illius **337** locum suffectus, reliquum temporis consul fuit. Publicola rursus consul factus, collegam habuit T. Lucretium. Deinde cum Sabini in agrum Romanum duxissent exercitum, consul designatus est M. Valerius, Publicolæ frater, et Posthumius Tubertus. Sed cum res bellicæ consilio et præsentia Publicolæ administrarentur, Marcus duobus præliis victor, in posteriore XIII millibus hostium cæsis, nullum civem amisit. Sequente anno, denuo consule Publicola, consors Sabinorum et Latinorum adversus Romam expeditio exspectabatur. Erat autem in Sabinis Appius Claudius, vir et opibus et robore corporis præstans, sed opinione virtutis et eloquentia in primis clarus. Quas ob res invidia popularium suscepta, cum ob dissuasum bellum insidiis appeteretur, magna amicorum et clientium comitatus manu Romam transfugit. Quibus a Publicola benigne susceptis, Appius inter patres lectus, haud ita multo post prudentia gerendæ reipublicæ ad primam dignitatem pervenit, ac gentem Claudiam reliquit, quæ tempore longissimo floruit, summam adepta auctoritatem. Sabini vero eam quoque belli causam nacti, cum magno exercitu Romam invaserunt: quos Publicola, optimi ducis officiis functus, pene omnes interfecit, populoque spoliis hostium et captivis locupletato, triumphum duxit; traditaque reipublicæ administratione consulum successoribus, statim

ΙΓ'. Οὕτω μὲν οὖν τοῖς Ταρκυνίοις τὰ πράγματα ἐπεράνθησαν. Ἐκείνων δ' ἐξωσθέντων τῆς βασιλείας, ὕπατοι, ὡς εἴρηται, παρὰ τῶν Ῥωμαίων ᾑρέθησαν, ὧν εἷς ἦν καὶ Πόπλιος Οὐαλέριος, ὃς τετράκις ὑπάτευσεν, ὁ καὶ Ποπλικόλας ἐπικληθείς. Οὗτος οὖν μόνος ἄρχων, καὶ μὴ συνάρχοντα εἰληφὼς, Ῥωμαίοις προσέκρουσε, λέγουσι μὴ τῆς τοῦ Βρούτου κληρονόμον ὑπατείας εἶναι, τῆς δὲ τοῦ Ταρκυνίου τυραννίδος διάδοχον, ὑπὸ ῥάβδοις ὁμοῦ πάσαις καὶ πελέκεσι προϊόντα ἐξ οἰκίας τοσαύτης τὸ μέγεθος καὶ τὸ κάλλος. Καὶ γὰρ πολυτελεστέραν εἶχεν οἰκίαν, ἐπικειμένην τῇ ἀγορᾷ. Ταῦτα ὁ Ποπλικόλας μαθών, τεχνίτας πλείστους συναγαγὼν, νυκτὸς κατέβαλε τὴν οἰκίαν, καὶ ταύτην κατέσκαψεν· ὥστε μεθ' ἡμέραν τοὺς Ῥωμαίους βλέποντας τὸ γενόμενον, τὴν μὲν τοῦ ἀνδρὸς μεγαλοφροσύνην θαυμάζειν, ἄχθεσθαι δ' ὑπὲρ τῆς οἰκίας, διὰ τὸ μέγεθος καὶ τὸ κάλλος· Καὶ τοὺς πελέκεις δὲ τῶν ῥάβδων ἀπέλυσεν, αὐτάς τε τὰς ῥάβδους εἰς ἐκκλησίαν παριὼν ἀφῆκε τῷ δήμῳ· καὶ τὴν τῶν χρημάτων διοίκησιν ἄλλοις ἀπένειμεν, ἵνα μὴ τούτων ἐγκρατεῖς ὄντες οἱ ὑπατεύοντες μέγα δύνωνται, ὅτε πρῶτον οἱ ταμίαι γίνεσθαι ἤρξαντο, κοιαίστορας δ' ἐκάλουν αὐτούς. Οἳ πρῶτον μὲν τὰς θανασίμους δίκας ἐδίκαζον, ὅθεν καὶ τὴν προσηγορίαν ταύτην διὰ τὰς ἀνακρίσεις ἐσχήκασι, καὶ διὰ τὴν τῆς ἀληθείας τῆς ἐκ τῶν ἀνακρίσεων ζήτησιν. Ὕστερον δὲ καὶ τὴν τῶν κοινῶν χρημάτων διοίκησιν ἔλαχον, καὶ ταμίαι προσωνομάσθησαν. Μετὰ ταῦτα δ' ἑτέροις μὲν ἐπετράπη τὰ δικαστήρια· ἐκεῖνοι δὲ τῶν χρημάτων ἦσαν διοικηταί. Ἀπέδειξε δὲ ἑαυτῷ συνάρχοντα τὸν τῆς Λουκρητίας πατέρα Λουκρήτιον. Ταχὺ δὲ τούτου θανόντος, ᾑρέθη Μάρκος Ὁράτιος συνάρχειν αὐτῷ τὸν ὑπόλοιπον καιρὸν τοῦ ἐνιαυτοῦ. Αἱρεθεὶς δὲ καὶ αὖθις ὕπατος ὁ Ποπλικόλας, ἔσχε συνυπατεύοντα Τίτον Λουκρήτιον. Μετὰ δὲ ταῦτα Σαβίνων ἐμβαλόντων εἰς τὴν χώραν, ὕπατος ἀνεδείχθη Μάρκος Οὐαλέριος, ἀδελφὸς Ποπλικόλα, καὶ Ποστούμιος Τούβερτος (93). Πραττομένων δὲ τῶν πολέμων γνώμῃ καὶ παρουσίᾳ τοῦ Ποπλικόλα, δυσὶ μάχαις ὁ Μάρκος ἐνίκησεν, ὧν ἐν τῇ δευτέρᾳ μηδένα Ῥωμαίων ἀποβαλὼν, τρισχιλίους ἐπὶ μυρίοις τῶν πολεμίων ἀνεῖλε. Τῷ δ' ἑξῆς ἔτει πάλιν ὑπάτευε Ποπλικόλας, καὶ προσεδοκᾶτο Σαβίνων τε καὶ Λατίνων ὁμονοησάντων κατὰ τῆς Ῥώμης προσέλασις. Ἦν δ' ἐν Σαβίνοις ἀνὴρ Ἄππιος Κλαύδιος, ἔν τε χρήμασι καὶ σώματος ῥώμῃ πρωτεύων, ἐν ἀρετῇ δὲ μάλιστα δόξῃ ἐπιφανής, καὶ λόγου δεινότητι. Καὶ διὰ ταῦτα φθονούμενος ἐπεβουλεύετο παρὰ τῶν ὁμογενῶν, ὅτι συνεβούλευε καταπαύειν τὸν πόλεμον. Διὸ αὐτός τε τῇ Ῥώμῃ προσεληλύθει, καὶ πολλοὺς τῶν φίλων τε καὶ οἰκείων συνέπεσθαί οἱ συνέπεισεν. Οὓς Ποπλικόλας φιλοφρόνως ἐδέξατο, τῇ βουλῇ τὸν

Variæ lectiones et notæ.

(93) *Ποστούμιος Τούβερτος*. Ita duo codd. Reg. et Colb. Livius, lib. II, M. Valerio P. Postumium adjungit. W.

Κλαύδιον προσγραφάμενος. Ὅθεν ἐμφρόνως πολιτευόμενος ἀνέδραμεν εἰς τὸ πρῶτον ἀξίωμα, καὶ γένος μέγα τὸ Κλαυδίων κατέλιπεν ἐπὶ πλεῖστον ἀνθῆσαν, καὶ προεληλυθὼς εἰς δόξης ἀκρότητα. Οἱ δὲ Σαβῖνοι, καὶ τοῦτο τοῦ πολέμου ποιησάμενοι πρόφασιν, στρατῷ μεγάλῳ κατὰ τῆς Ῥώμης ἐπήλασαν· οἷς τοὺς Ῥωμαίους ὁ Ποπλικόλας ἀντεπαγαγών, καὶ στρατηγήσας ὡς ἄριστα, μικροῦ πάντας ἀπώλεσε, καὶ τὸν δῆμον ἐκ τῶν λαφύρων καὶ τῶν αἰχμαλώτων ὠφέλησεν. Ἀγαγὼν δ' ἐπὶ τῇ νίκῃ θρίαμβον, καὶ τοῖς μετ' αὐτὸν ὑπάτοις παραδοὺς τὴν πόλιν, εὐθὺς ἐτελεύτησε, δημοσίᾳ ταφείς, καὶ θρηνηθεὶς ἐφ' ὅλον ἐνιαυτόν. Οἱ μέντοι Σαβῖνοι δι' ὀργὴν ὧν ἔπαθον, οὐδὲ τὸν χειμῶνα ἠρέμησαν, ἀλλὰ τὴν Ῥωμαΐδα χώραν κατέδραμον, καὶ τὸν Ποστούμιον ἐκάκωσαν τὸ δεύτερον ὑπατεύοντα· καὶ εἷλον ἂν αὐτὸν πανσυδί, εἰ μὴ Μενήνιος Ἀγρίππας ὁ συνάρχων αὐτῷ ἐπεκούρησε. Προσπεσόντες δὲ αὐτοῖς, πολλοὺς ἔφθειραν, ὥστε τοὺς λοιποὺς ἀναχωρῆσαι. Μετὰ δὲ ταῦτα Σπούριός τε Κάσσιος καὶ Ὀπιτώριος Οὐεργίνιος ὑπατεύοντες τοῖς Σαβίνοις ἐσπείσαντο. Καμερῖνον δὲ τὸ ἄστυ ἑλόντες, τοὺς μὲν πλείους ἀπέκτειναν, τοὺς δὲ λοιποὺς ζωγρήσαντες ἀπέδοντο, καὶ τὴν πόλιν κατέσκαψαν. Ποστούμιος δὲ Κομίνιος καὶ Τίτος Λάρκιος δούλους τινὰς ἐπὶ καταλήψει τοῦ Καπιτωλίου συνωμοσίαν θεμένους συλλαβόντες, ἔφθειραν. Σερούϊός τε Σουλπίκιος καὶ Μάρκος Τούλλιος ἑτέραν αὖθις συνωμοσίαν δούλων, καὶ ἄλλων δή τινων συστάντων αὐτοῖς προκατέλαβον, ἀγγελθεῖσαν αὐτοῖς πρός τινων τῶν τῆς ἐπιβουλῆς μετεχόντων, οὓς καὶ συσχόντες περισταδὸν κατέκοψαν, ταῖς δὲ μηνυταῖς ἄλλα τε καὶ πολιτεία ἐδόθη. Αὖθις δὲ πολέμου παρὰ Λατίνων κατὰ Ῥώμης κεκινημένου, οὐκ ἤθελον οἱ πολλοὶ τὰ ὅπλα λαβεῖν, ἀποκοπὴν τῶν χρεῶν ἀξιοῦντες γενέσθαι καὶ διὰ τοῦτο καινήν τινα ἀρχὴν ἐπ' ἀμφοτέροις αὐτοῖς τότε πρῶτον οἱ δυνατοὶ κατεστήσαντο· δικτάτωρ ὁ ταύτης ἠξιωμένος ὠνόμαστο· ἠδύνατο δὲ ἐξ ἴσου πάντα τοῖς βασιλεῦσι. Τὴν μὲν γὰρ τοῦ βασιλέως ἐπωνυμίαν διὰ τοὺς Ταρκυνίους, ἐμίσησαν· τὴν δ' ἐκ τῆς μοναρχίας ὠφέλειαν θέλοντες, ὡς πολὺ ἰσχυούσης ἐς τὰς τῶν πολέμων καὶ τῶν στάσεων περιστάσεις, ἐν ἄλλῳ ταύτην ὀνόματι εἵλοντο. Ἦν μὲν οὖν, ὡς εἴρηται, ἡ δικτατωρία κατάγε τὴν ἐξουσίαν τῇ βασιλείᾳ ἰσόρροπος, πλὴν ὅτι μὴ, ἐφ' ἵππον ἀναβῆναι ὁ δικτάτωρ ἠδύνατο, εἰ μὴ ἐκστρατεύεσθαι ἔμελλεν, οὔτε ἐκ τῶν δημοσίων χρημάτων ἀναλῶσαί τι ἐξὴν αὐτῷ, εἰ μὴ ἐψηφίσθη. Δικάζειν δὲ καὶ ἀποκτείνειν καὶ οἴκοι καὶ ἐν στρατείαις ἠδύνατο, καὶ οὐ τοὺς τοῦ δήμου μόνους, ἀλλὰ καὶ ἐκ τῶν ἱππέων, καὶ ἐξ αὐτῆς τῆς βουλῆς. Καὶ οὔτ' ἐγκαλέσαι τις αὐτῷ, οὔτ' ἐναντίον τι διαπράξασθαι ἴσχυεν, οὐδὲ οἱ δήμαρχοι, οὔτε δίκη ἐφέσιμος ἐγένετο ἀπ' αὐτοῦ. Οὐκ ἐπὶ πλέον δὲ τῶν ἓξ μηνῶν αὐτῶν ἐν τοσούτῳ κράτει καὶ ἐξουσίᾳ ἀκράτῳ χρονίσας, ὑπερφρονήσῃ, καὶ πρὸς ἔρωτα μοναρχίας ἐκκυλισθῇ· ὅπερ ἐς ὕστερον καὶ ὁ Καῖσαρ Ἰούλιος ἔπαθεν, ἐπεὶ παρὰ τὰ νενομισμένα τῆς δικτατωρίας ἠξίωτο.

Τότε μὲν οὖν δικτάτορος γενομένου Λαρκίου, οὐδὲν ὁ δῆμος ἐνεωτέρισεν, ἀλλὰ καὶ ἐν τοῖς ὅπλοις ἐγένοντο· τῶν δὲ Λατίνων ἡσυχίαν ἀγόντων ἐπὶ συνθήκαις, οἱ δανεισταὶ τοὺς ὀφειλέτας μετεχειρίζοντο βιαιότερον, καὶ ὁ δῆμος αὖθις ἐστασίαζε διὰ τοῦτο, ὥστε καὶ εἰς τὸ Συνέδριον συνδραμεῖν, καὶ πάντας ἂν ὑπὸ τῶν εἰσπεσόντων ἐν αὐτῷ διεφθάρησαν, εἰ μή τινες τοὺς Οὐολούσκους εἰς τὴν χώραν ἐμβαλεῖν ἤδη κατήγγειλαν. Πρὸς δὲ τὴν τοιαύτην ἀγγελίαν ὁ

A obiit, publicis sumptibus elatus, annuo matronarum luctu. Cæterum Sabini ex dolore acceptæ cladis, ne hiberno quidem tempore quieverunt, sed incursione in Romanum agrum facta, Posthumium, iterum consulem, afflixerunt; eumque cum exercitu cepissent, nisi Menenius Agrippa collega ei auxilio venisset. Tum vero uterque consul, facto in hostes impetu, multos occidit, reliquos profligavit. Post hæc Spurius Cassius et Opitor Virginius consules, pacem cum Sabinis fecerunt: et Camerino capto, plerosque occiderunt: reliqui, oppido everso, venierunt. Posthumius Cominius et T. Largius aliquot servos, qui de occupando Capitolio conjurarant, occiderunt: quemadmodum Servius

338 Sulpicius et M. Tullius post, aliam quoque B conjurationem servorum oppresserunt, a consciis quibusdam indicatam, et conjuratos corona circumdatos trucidarunt. Indicibus cum alia præmia, tum civitas data. A Latinis iterum bello moto, plebs arma capere noluit, novas tabulas flagitans. Quapropter locupletiores novum magistratus genus crearunt, pari in omnes auctoritate, potentia regia præditum, quem dictatorem vocarunt. Nam cum regis cognomentum propter Tarquinios odissent, ac monarchiæ utilitates magna vi ad bella et seditionum tumultus præditæ expeterent: verbo rejecto, rem ipsam sub alio nomine sunt amplexi. Fuit igitur, ut dixi, dictatura potestate regno par: præterquam quod ei equum conscendere non licebat, nisi ad bellum ituro, neque ullos ex ærario C sumptus facere sine decreto, sed jus dicere, et capite plectere domi et militiæ, non plebeios duntaxat, sed et equestris et senatorii ordinis licuit, nemine eum vel accusare, vel intercedere audente, ac ne ipsis quidem tribunis plebis: neque ab eo provocatio fuit. Dictatura tamen ultra VI menses non extendebatur, ut ne quis in tanta potestate et auctoritate maxima diutius immoratus, per superbiam in monarchiæ cupiditatem delaberetur: id quod post Julio Cæsari accidit, dictaturam contra morem majorum consecuto.

XIV. Tunc igitur Largio dictatore creato, popu- D lus novarum rerum studio repudiato, in armis fuit. Sed Latino bello pactionibus sopito, cum creditores nomina sua violentius tractarent, tanta plebis orta est indignatio, ut in curiam concursus fieret, ac in eo tumultu patres occisi essent, nisi quidam nuntiassent Volscos infesto exercitu ad urbem oppugnandam venire. Ad eum nuntium plebs quievit, non reverentia senatus, sed exspe-

ctatione, ut is statim ab hostibus interiret. Quare neque mœnia custodierunt, neque opis quidquam attulerunt, donec Servilius ob æs alienum nexos solvit, et ne debitor quisquam expeditionis tempore appellaretur, edixit, seque levaturum æs alienum promisit. Tum igitur his promissis excitati **339** hostes vicerunt. Sed, cum deinde nec ære alieno levarentur, nec ulla æquitate tractarentur, rursus ab iratis tumultuatum, et contra senatum et consules mota seditio. Verum denuo exorto bello, consules novas tabulas decreverunt; sed aliis adversantibus, M. Valerius, Publicolæ gentilis, homo apud plebem gratiosus, dictator est creatus. Ac tantus ad eum et tam alacer, stipendio promisso concursus factus, ut et Sabinos vinceret, et Volscos Æquosque illorum fœderatos. Ob id ei cum alios honores, tum Maximi cognomentum decreverunt. Qui cum multa in senatu in populi gratiam disseruisset, neque quidquam impetrasset, iratus e curia se proripuit; et cum apud plebem in concione senatum nonnihil perstrinxisset, dictatura se abdicavit. Plebs vero magis ad seditionem irritata est. Nam creditores in alieno repetendo summum jus urgentes, neque ulla æquitate contra debitores mentes, nec id quod debebatur exegerunt, et in alia plura incommoda inciderunt. Inopia enim, atque inde orta desperatio, malum est admodum violentum, et si multitudinem sibi asciverit, pene inexpugnabile. Tum igitur locupletum erga pauperes severitas, plurimorum malorum Romanis causa fuit. Ut enim milites expeditionibus premebantur, et in multis sæpius evidenter decepti fuerant, et debitores a fœneratoribus et contumelias et flagra perpetiebantur: tanta iracundia exarserunt, ut inopum multi urbe excederent et castra deserrent, et ex agro Romano hostium instar commeatus peterent. Quo facto, cum multi ad eos qui secessionem fecerant, confluerent, senatores veriti, ne et hi magis exasperarentur, et civitatem factionibus distractam finitimi invaderent, per oratores plebi polliciti sunt se facturos quidquid ipsa vellet. Ea vero maxime fremente, et nullas rationes admittente, Menenius Agrippa unus ex oratoribus petiit, ut fabulam audirent, et audientia impetrata, dixit: *Orta aliquando contra ventrem cæterorum membrorum seditione, dixisse oculos, manus et pedes sua opera in officio esse; linguam et labia, per se animorum sensus annuntiari; aures* **340** *suo ministerio aliorum sermones ad mentem pervenire; manus, suo labore parari res necessarias; pedes, totum corpus a se sustentari, seque sive iter, sive opus fiat, sive stetur, fatigari. Ventrem vero solum omnis muneris et laboris expertem, ministeriis omnium tanquam regem uti, et sudoribus illorum partis frui facultatibus. Ventrem hæc ita se habere confessum, si videretur, nihil sibi tribui, nihil ministrari jussisse. Membra communiter decrevisse, ne quid deinceps ventri suppeditaretur. Qui cum nullum cibum acci-*

A δῆμος ἠρέμησεν, οὐχὶ φεισάμενος τῆς βουλῆς, ἀλλ' ὡς παρὰ τῶν πολεμίων ὅσον οὔπω φθαρησομένης. Διὸ οὔτε τοῦ τείχους ἔθεντο φυλακήν, οὔτε τινὰ παρεῖχον βοήθειαν, μέχρις ὁ Σερούϊλιος τούς τε ἐξ ὑπερημερίας κρατουμένους ἀφῆκε, καὶ ἄδειαν τῶν εἰσπράξεων καθόσον στρατεύοιντο, ἐψηφίσατο, καὶ κουφίσαι τὰ χρέα ὑπέσχετο. Τότε μὲν οὖν διὰ ταῦτα τοῖς πολεμίοις ἐπεξελθόντες, ἐνίκησαν. Μήτε δὲ τῶν χρεῶν κουφισθέντες, μήτ' ἄλλου μηδενὸς τυχόντες ἐπιεικοῦς, καὶ πάλιν ἐθορύβουν τε καὶ ὠργίζοντο, καὶ κατὰ τῆς βουλῆς καὶ κατὰ τῶν στρατηγῶν ἐστασίαζον. Πολέμου δὲ αὖθις ἐπενεχθέντος, οἱ μὲν στρατηγοὶ χρεῶν ἀποκοπὰς ἐψηφίζοντο, ἠναντιώθησαν δ' ἕτεροι· διὸ καὶ δικτάτωρ ἐρρήθη Οὐαλλέριος

B Μάρκος, ἐκ τῆς τοῦ Ποπλικόλα συγγενείας γενόμενος, καὶ τῷ πλήθει φιλούμενος· ἔνθεν τοι τοσοῦτοι καὶ οὕτω προθύμως, ἐπεὶ αὐτοῖς καὶ ἆθλα ὑπέσχετο, συνελέγησαν, ὡς καὶ τῶν Σαβίνων κρατῆσαι, καὶ τῶν συμμαχούντων αὐτοῖς Οὐολούσκων καὶ Αἰκουῶν. Ἐπὶ τούτοις ἄλλας τε τῷ Οὐαλλερίῳ ὁ δῆμος τιμὰς ἐψηφίσατο, καὶ Μάξιμον ἐπωνόμασεν, ἐξελληνιζόμενον δὲ Μέγιστον σημαίνει τὸ ὄνομα. Ὁ δὲ θέλων τῷ δήμῳ χαρίσασθαι, πολλὰ διελέχθη τῇ Γερουσίᾳ, ἀλλ' οὐκ ἔσχε ταύτην πειθήνιον. Διὸ σὺν ὀργῇ ἐκπηδήσας τοῦ Συνεδρίου, δημηγορήσας τε πρὸς τὸν δῆμόν τινα κατὰ τῆς βουλῆς, τὴν ἡγεμονίαν ἀπείπατο. Καὶ ὁ δῆμος ἔτι μᾶλλον εἰς στάσιν ἠρέθιστο. Οἱ γὰρ δανεισταὶ τῆς περὶ τὰ συμβόλαια ἀκριβείας ἐχόμενοι, καὶ μηδὲν τοῖς ὀφλουσιν ἐκδιδόντες, τοῦ

C ἀκριβοῦς τε διήμαρτον, καὶ πολλῶν ἑτέρων ἀπέτυχον. Ἡ γὰρ πενία, καὶ ἡ ἐκ ταύτης ἀπόνοια κακόν ἐστι βίαιον· εἰ δὲ καὶ τὸ πλῆθος προσλάβοι, καὶ δυσμαχώτατον. Πλείστων γοῦν δεινῶν τοῖς Ῥωμαίοις αἰτία ἡ τότε τῶν δυνατωτέρων πρὸς τοὺς ὑποδεεστέρους ἀκρίβεια γέγονεν. Ὡς γὰρ ταῖς στρατείαις τε τὸ στρατιωτικὸν ἐπιέζετο, καὶ πολλὰ πολλάκις ἐλπίσαν σαφῶς ἐξηπάτητο, καὶ παρὰ τῶν δανειστῶν οἱ ὀφειλέται ὠβρίζοντο καὶ ἠκίζοντο, ἐς τοσοῦτον ὀργῆς ἐξεκαύθησαν, ὡς καὶ τὴν πόλιν τῶν ἀπόρων συχνοὺς ἐκλιπεῖν, καὶ ἐκ τοῦ στρατοπέδου ἀναχωρῆσαι, καὶ ἐκ τῆς χώρας ὡς πολεμίου τὰς τροφὰς ἐρανίζεσθαι. Οὕτω δὲ τούτων συνενεχθέντων, ἐπεὶ πολλοὶ πρὸς τοὺς ἀποστάντας συνέῤῥεον, δείσαντες οἱ βουλευταὶ, μὴ ἐπὶ πλέον οὗτοί τε ἐκπολεμωθῶσι, καὶ τῇ στάσει

D συνεπίθωνται οἱ περίοικοι, διεκηρυκεύσαντο πρὸς αὐτοὺς, ὅσα πρὸς βουλῆς ἦσαν αὐτοῖς ποιεῖν ὑπισχνούμενοι. Ὧν δὲ μάλιστα ἐθρασύνοντο καὶ οὐδένα λόγον ἐδέχοντο, εἷς τῶν πρίσβεων Ἀγρίππας Μενήνιος, μύθου τινὸς σφᾶς ἀκοῦσαι ἠξίωσε, καὶ τυχὼν εἶπε· *Στασιάσαι πρὸς τὴν γαστέρα πάντα τὰ μέλη τοῦ σώματος, καὶ φᾶναι τοὺς ὀφθαλμοὺς, ὡς ἡμεῖς τὰς τὰ χεῖρας ἐνεργοὺς εἰς ἔργα, καὶ τοὺς πόδας πρὸς πορείαν τιθέμεν· τὴν γλῶσσαν δὲ καὶ τὰ χείλη, ὅτι δι' ἡμῶν τὰ τῆς καρδίας βουλεύματα ἐξαγγέλλονται· τὰ ὦτα δ' αὖ, ὡς δι' ἡμῶν οἱ δι' ἑτέρων λόγοι τῷ νοῖ παραπέμπονται· τὰς δὲ χεῖρας, ὅτι ἐργάτιδες οὖσαι ἡμεῖς περιποιούμεθα πορισμούς· τοὺς πόδας δ' αὖθις, ὅτι ἅπαν ἡμεῖς τὸ σῶμα φέροντες, κοπιῶμεν κἀν ταῖς*

πορείαις κἀν ταῖς ἐργασίαις, κἀν ταῖς στάσεσιν. Ἡμῶν δ' ἐνεργούντων οὕτω, σὺ μόνη ἀσυντελὴς οὖσα καὶ ἀεργὸς, ὑπὸ πάντων ἡμῶν ὡς δέσποινά τις ὑπηρετῇ, καὶ τῶν ἐκ καμάτου πάντων ἡμῶν πορισμῶν ἀπολαύεις αὐτή. Ἡ δὲ γαστὴρ συνέθετο, καὶ αὐτὴ οὕτω ταῦτ' ἔχειν. Καὶ εἰ δοκεῖ, ἔφησεν, ἀχορήγητόν με ἐάσατε, μηδέν μοι προσφέροντες. Ἔδοξε ταῦτα, καὶ μή τι τοῦ λοιποῦ χορηγεῖσθαι τῇ γαστρὶ κοινῶς ἐψηφίσθη τοῖς μέλεσι. Τροφῆς δὲ μὴ προσφερομένης αὐτῇ, οὔθ' αἱ χεῖρες πρὸς ἔργον ἦσαν εὐκίνητοι, διὰ τὴν ἔνδειαν τῆς γαστρὸς ἀτονήσασαι, οὔθ' οἱ πόδες ἔρρωντο, οὔτε τι ἕτερον τῶν μελῶν τὴν οἰκείαν ἐνέργειαν παρεῖχεν ἀπρόσκοπον, ἀλλ' ἄπρακτα πάντα, δυσκίνητά τε, ἢ καὶ τέλεον ἦσαν ἀκίνητα. Καὶ τότε συνῆκαν, ὅτι τὰ τῇ γαστρὶ προσφερόμενα, οὐ μᾶλλον ἐκείνῃ, ἀλλ' αὐτοῖς κεχορήγηνται, καὶ αὐτῶν ἕκαστον ἐκείνῃ προσαγομένων παραπολαύει. Τούτοις τοῖς λόγοις τὸ πλῆθος συνῆκεν, ὡς αἱ τῶν εὐπόρων οὐσίαι καὶ τοῖς πένησίν εἰσιν εἰς ὠφέλειαν. Καὶ εἰ κἀκεῖνοι ὠφελοῖντο ἐκ δανεισμάτων, καὶ τὰς οὐσίας αὔξουσιν, οὐκ εἰς βλάβην τοῦτο τῶν πολλῶν ἀποβαίνει; ὡς εἴ γε μὴ ἔχοιεν οἱ πλουτοῦντες, οὐδ' οἱ πένητες ἂν ἐν καιροῖς ἀναγκαίοις ἔξουσι τοὺς δανείσοντας, καὶ ἀπολοῦνται χρείας κατεπειγούσης. Ἐντεῦθεν ἠπιώτεροι γενόμενοι κατηλλάγησαν, κουφισμὸν τῶν ὀφειλῶν, καὶ τῶν ὑπερημεριῶν ἄφεσιν τῆς βουλῆς ψηφισαμένης αὐτοῖς.

A peret, neque manus ad opus fuisse agiles, ob ventris inediam defectas viribus : neque pedes valuisse, neque ullum aliud membrum suum munus citra offensum obiisse ; sed omnia fuisse ignava, ægra aut penitus immobilia. Tum vero intellectum esse, ea quæ ventri præbentur, non magis ipsi quam omnibus membris suppeditari, ac ea singula fructum inde suum percipere. Ex eo sermone multitudo intellexit, locupletum facultates etiam pauperibus esse utiles. Quod si illi suas opes ex mutuis pecuniis augeant id tamen in populi detrimentum non cedere. Nam si nihil haberent locupletes, neque pauperes necessariis temporibus habituros, unde mutuentur, atque urgente necessitate perituros. Hac oratione mitigati, decreta a senatu levatione debitorum, et B nexorum ob æs alienum solutione, in gratiam cum patribus redierunt.

ΙΕ'. Φοβηθέντες δὲ μὴ, σκεδασθείσης αὐτοῖς τῆς συστάσεως, ἢ τὰς συνθήκας οὐκ ἐπιτελεῖς ἔξουσιν, ἢ κακωθῶσι διαλυθέντες, καὶ ἄλλος κατ' ἄλλην πρόφασιν κολάζοιτο συνεχόμενος, συνέθεντο ἐπαρήγειν ἀλλήλοις, ἄν τίς τι ἀδικοῖτο· καὶ ὅρκους ἐπὶ τούτῳ ὑπέσχον, καὶ προστάτας αὐτίκα ἐξ ἑαυτῶν δύω προεχειρίσαντο, εἶτα καὶ πλείους, ἵν' εἶεν αὐτοῖς κατὰ συμμορίαν βοηθοί (94) τε καὶ τιμωροί. Καὶ τοῦτο οὐχ ἅπαξ ἐποίησαν, ἀλλ' ἔκτοτε τὸ πρᾶγμα ἀρξάμενον, οὕτω προέβαινε, καὶ ἐπ' ἐνιαυτὸν τοὺς προστάτας ὡς ἀρχήν τινα ἀπεδείκνυσαν, τῇ μὲν τῶν Λατίνων γλώσσῃ καλουμένους τριβούνους (οὕτω δὲ οἱ Χιλίαρχοι κέκληνται), δημάρχους δὲ προσαγορευομένους τῇ Ἑλληνίδι φωνῇ· ἵνα δὲ διαστέλληται ἡ τῶν τριβούνων προσηγορία, τοῖς μὲν τὸ τῶν στρατιωτῶν, τοῖς δὲ τὸ τοῦ πλήθους προσέθεντο πρόρρημα. Οὗτοι δὴ τοῦ πλήθους οἱ τριβοῦνοι ἢ δήμαρχοι μεγάλων κακῶν αἴτιοι τῇ Ῥώμῃ γεγόνασι. Τὸ μὲν γὰρ τῶν ἀρχόντων ὄνομα οὐκ ἔσχον εὐθὺς, ἰσχὺν δ' ὑπὲρ πάντας τοὺς ἄλλους ἐκτήσαντο, ἤμυνόν τε δεομένῳ παντὶ, καὶ πάντα τὸν ἐπιβοησάμενον σφᾶς ἀφῃροῦντο, οὐκ ἐκ μόνων ἰδιωτῶν, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν ἀρχόντων, πλὴν τῶν δικτατόρων. Εἰ δέ τις καὶ ἀπόντας αὐτοὺς ἐπεκαλέσατο, κἀκεῖνος ἀπὸ τοῦ συνέχοντος αὐτὸν ἀπηλλάττετο, καὶ ἢ ἐς τὸ πλῆθος ὑπ' αὐτῶν εἰσήγετο, ἢ καὶ ἀπελύετο. Ἀλλὰ καὶ εἴ τί που ἔδοξεν αὐτοῖς μὴ γενέσθαι, ἐκώλυον, κἂν ἰδιώτης ἦν ὁ ποιῶν, κἂν ἄρχων, κἂν ὁ δῆμος, κἂν ἡ βουλὴ πράττειν ἔμελλέ τι, κἂν ψηφίζεσθαι, εἴς δέ τις ἠναντίωτο δήμαρχος, ἄπρακτος καὶ ἡ πρᾶξις καὶ ἡ ψῆφος ἐγίνετο. Τοῦ χρόνου δὲ προϊόντος, καὶ τὴν

XV. Caterum veriti, ne illo cœtu dissipato, vel pactis non staretur, vel si digressi essent, alius alio nomine comprehensus plecteretur, pepigerunt, si cui fieret injuria, mutuo laturos esse opem. Eoque pacto jurejurando firmato, statim C duos patronos sui ordinis elegerunt ; deinde auxerunt numerum, ut singulæ classes suos patronos haberent ac vindices. Neque hoc semel fecerunt ; sed ab eo tempore, facto initio, res ita processit, ut quotannis eos patronos tanquam magistratus deligerent, qui tribuni plebis, discriminis causa nominantur : quod ii etiam in re militari tribuni dicuntur, qui imperium in mille viros obtinent. Ii tribuni plebis magnas in republica turbas concitarunt : qui cum magistratuum nomen non statim haberent, potentia cæteros omnes superabant, **341** quemvis supplicem defendebant, quemvis a quo implorati essent asserebant, non contra privatos duntaxat, sed etiam adversus ipsos magistra- D tus, dictatoribus tantum exceptis. Quod si quis eos vel absentes appellasset, is quoque ab eo, a quo comprehensus fuerat, liberatus, vel in concionem ab eis adducebatur, vel etiam absolvebatur. Ad hæc, si quod eis decretum sive a privato, sive a magistratu, sive a plebe factum, displicebat, intercedebant. Quod si senatus aliquid vel agere, vel decernere instituisset, atque unus tribunus plebis intercessisset, irritum erat id decretum, actione supersedebatur. Progressu temporis illa etiam, ut ei senatum convocarent, dicto non audientes punirent, et aruspices consulerent, aut concessa eis

Variæ lectiones et notæ.

(94) *Ἵν' εἶεν αὐτοῖς κατὰ συμμορίαν βοηθοί.* Ut singulæ classes suos patronos haberent, sequitur numerum tribunorum ad decem esse auctum : classes autem a Servio Tullio institutæ fuerunt sex. W.

sunt, aut ab ipsis usurpata. Nam multa quæ eis non licebant adversationibus illis invictis contra omnia quæ agerentur, obtinuerunt. Etenim leges rogabant, quibus is, sive privatus, sive magistratus, a quo dicto factove offensi essent, sacer esset, ac piaculo obstrictus. Sacrum autem esse, idem erat quod perisse. Sic enim omnia quæ instar victimæ ad cædem destinata sunt, appellantur. Ipsos etiam tribunos plebis sacrosanctos dixit plebs, tanquam sacra mœnia eorum a quibus implorentur. Proinde multa sunt ab eis absurde facta, ut consules in carcerem ducti, ut quidam indicta causa occisi. Neque eis adversari quisque audebat, alioqui et ipse sacer erat. Si qui tamen non ab omnibus tribunis damnarentur, opem dissentientium implorabant: itaque causam dicere, sive apud eos ipsos, sive apud alios judices, sive apud populum licebat, plurium suffragiis vel condemnandis, vel absolvendis. Tribunorum numerus tandem ad denos usque auctus est: unde vires eorum multum sunt imminutæ. Nam collegarum in magistratibus cum natura quodammodo, tum magis ex invidia societas infida est, nec temere fit ut multi, præsertim potentes, consentiant. Eo accedebat, quod alii vim eorum enervare studentes, motus excitabant, ut dissidentium robur infringeretur, aliis ad alios se conferentibus. Uno tamen eorum intercedente, **342** cæterorum sententiæ reddebantur irritæ. Principio curiam non ingrediebantur, sed in aditu sedentes, quid fieret observabant. Ac si quid displicebat, cvestigio refragabantur. Post intro vocati sunt, et ad senatoriam quoque dignitatem admissi. Denique ex senatoribus quidam tribunatum expetiverunt, modo ne patricii essent. Plebs enim patricios non admittebat: contra quos cum tribuni creati essent, et ad tantam provecti potestatem, verebantur, ne quis ea potestate in ipsam plebem abuteretur. Si quis autem ejerata familiæ dignitate ad plebeios transibat, benigne admittebatur. Itaque multi ex nobilissimis, magnæ potentiæ cupiditate, nobilitate repudiata, tribunatum gesserunt. Ac tribunorum potestas hunc ortum habuit: quibus duo ædiles sunt adjuncti, quorum ministeriis ad litteras uterentur. Qui cum omnia decreta, omnia plebiscita et senatusconsulta acciperent, atque asservarent, nihil eos, eorum omnium quæ agebantur, latebat. Olim igitur his de causis, dicundique juris ergo creabantur. Post autem cum alia, tum rerum venalium forum eis commissum; unde a Græcis Agoranomi appellantur.

A γερουσίαν ἀθροίζειν, καὶ ζημιοῦν τὸν μὴ πειθαρχοῦντα, καὶ μαντείᾳ χρῆσθαι, καὶ δικάζειν ἐπετράπησαν, ἢ ἑαυτοῖς ἐπέτρεψαν. Καὶ ὃ γὰρ ποιεῖν αὐτοῖς οὐκ ἐξῆν, κατώρθουν ἐκ τῆς ἀνταγωνίστου πρὸς πᾶν τὸ πραττόμενον ὑφ' ἑτέρων, ἐναντιώσεως. Καὶ γὰρ καὶ νόμους εἰσήγαγον, ἵν' ὅστις αὐτοῖς ἔργῳ ἢ λόγῳ προσκρούσῃ, κἂν ἰδιώτης εἴη, κἂν ἄρχων, ἱερός τε ᾖ, καὶ τῷ ἄγει ἐνέχηται. Τὸ γὰρ ἱερὸν εἶναι ἀπολωλέναι ἦν. Οὕτω γὰρ πᾶν ὅπερ ἂν ὥσπερ τι θῦμα εἰς σφαγὴν καθιερώθη, ὠνόμαστο. Καὶ αὐτοὺς δὲ τοὺς δημάρχους τὸ πλῆθος σακροσάγτους ὠνόμασαν, οἷον τείχη ἅγια εἰς φρουρὰν τῶν σφᾶς ἐπικαλουμένων τυγχάνοντας. Σάκρα γὰρ παρὰ Ῥωμαίοις τὰ τείχη, καὶ σάγκτα τὰ ἅγια. Ἑδρων οὖν πολλὰ ἄτοπα· καὶ γὰρ καὶ ὑπάτους ἔβαλλον εἰς τὸ δεσμωτήριον, καὶ

B ἐθανάτουν τινὰς μηδὲ λόγου τυγχάνοντας, καὶ οὐδεὶς αὐτοῖς ἐναντιωθῆναι ἐτόλμα· εἰ δὲ μή, καὶ αὐτὸς ἱερὸς ἐγίνετο. Εἰ μέντοι τινὲς μὴ παρὰ πάντων τῶν δημάρχων κατεδικάζοντο, τοὺς μὴ ὁμογνωμονοῦντας ἐπεκαλοῦντο εἰς ἀρωγήν, καὶ οὕτως εἰς δίκην καθίσταντο ἢ παρ' αὐτοῖς ἐκείνοις, ἢ παρά τισι δικασταῖς, ἢ καὶ παρὰ τῷ πλήθει, καὶ τῆς νικώσης ἐγίνοντο. Εἰς δέκα δὲ προϊόντος τοῦ χρόνου, οἱ δήμαρχοι κατέστησαν. Ὅθεν αὐτοῖς τὸ πολὺ τῆς ἰσχύος κατεβέβλητο. Φύσει γὰρ ὥσπερ, φθόνῳ δὲ μᾶλλον, ἀλλήλοις οἱ συνάρχοντες διαφέρονται· καὶ χαλεπὸν πολλοὺς, ἐν δυνάμει μάλιστα ὄντας, συμφρονῆσαι. Ἅμα δὲ καὶ οἱ ἄλλοι διασπᾶν τὴν αὐτῶν μηχανώμενοι δύναμιν, ὅπως ἀσθενέστεροι διχογνωμονοῦντες

C ὦσιν, ἐστασίαζον· καὶ οἱ μὲν τοῖσδε, οἱ δὲ τοῖσδε προσετίθεντο. Εἰ δὲ καὶ εἷς σφῶν ἀντεῖπε, τὰς τῶν ἄλλων διαγνώσεις ἀπράκτους ἀπέφαινε. Τὸ μὲν οὖν πρῶτον οὐκ εἰσῆσαν εἰς τὸ βουλευτήριον, καθήμενοι δὲ ἐπὶ τῆς εἰσόδου τὰ ποιούμενα παρετήρουν· καὶ εἴ τι μὴ αὐτοῖς ἤρεσκε, παραχρῆμα ἀνθίσταντο. Εἶτα καὶ εἰσεκαλοῦντο ἐντός. Εἰσέπειτα μέντοι καὶ μετέλαβον τῆς βουλείας οἱ δημαρχήσαντες, καὶ τέλος κἀκ τῶν βουλευτῶν τινες ἠξίωσαν δημαρχεῖν, εἰ μή τις εὐπατρίδης ἐτύγχανεν· οὐ γὰρ ἐδέχετο τοὺς εὐπατρίδας ὁ ὅμιλος. Κατὰ γὰρ τῶν εὐπατριδῶν ἐλόμενοι τοὺς δημάρχους, καὶ πρὸς τοσαύτην προσαγαγόντες ἰσχύν, ἐδεδοίκεσαν, μή τις αὐτῶν τῇ ἰσχύϊ ἐς τοὐναντίον κατ' αὐτῶν χρήσηται. Εἰ δέ τις τὸ γένους ἀξίωμα ἐξωμόσατο, καὶ πρὸς τὴν τοῦ πλήθους μετέστη νόμισιν, ἀσμένως αὐτὸν προσεδέχοντο. Καὶ τυχνοὶ τῶν σφόδρα εὐπατριδῶν ἀπείπαντο τὴν εὐγένειαν, ἔρωτι τοῦ μέγα δυνηθῆναι, καὶ ἐδημάρχησαν. Οὕτω μὲν οὖν ἡ τῶν δημάρχων δυναστεία συνέστη, οἷς καὶ ἀγορανόμους δύω προσεῖλοντο, οἷον ὑπηρέτας σφίσιν ἐσομένους πρὸς γράμματα. Πάντα γὰρ τά τε παρὰ τῷ πλήθει καὶ τὰ παρὰ τῷ δήμῳ καὶ τῇ βουλῇ γραφόμενα λαμβάνοντες, ὥστε μηδὲν σφᾶς τῶν πραττομένων λανθάνειν ἐφύλασσον. Τὸ μὲν οὖν ἀρχαῖον ἐπὶ τούτῳ ἠροῦντο, καὶ ἐπὶ τῷ δικάζειν, ὕστερον δὲ καὶ ἄλλ' ἄττα, καὶ τὴν τῶν ὠνίων ἀγορὰν ἐπετράπησαν, ὅθεν καὶ ἀγορανόμοι τοῖς ἑλληνίζουσιν ὠνομάσθησαν.

D

Cæteris ædilibus sunt adjuncti, quorum ministeriis ad litteras uterentur. Qui cum omnia decreta, omnia plebiscita et senatusconsulta acciperent, atque asservarent, nihil eos, eorum omnium quæ agebantur, latebat. Olim igitur his de causis, dicundique juris ergo creabantur. Post autem cum alia, tum rerum venalium forum eis commissum; unde a Græcis Agoranomi appellantur.

XVI. Prima Romanorum seditione ad hunc modum sedata, finitimorum, quorum multi ob eam secessionem contra eos concitati erant, post reditum in gratiam, multa gravia bella sustinuerunt, victis omnibus. Sed cum Coriolos obsiderent, parum ab-

ΙϚ'. Ἡ μὲν οὖν στάσις ἡ πρώτη οὕτω τοῖς Ῥωμαίοις κατέπαυσεν. Ἐκ δὲ τῶν περιοίκων σφίσι διὰ τὴν στάσιν πολλῶν κατ' αὐτῶν κινηθέντων, μετὰ τὴν σύμβασιν ὁμονοήσαντες, ἐρρωμένους τοὺς ἐξ ἐκείνων πολέμους διήνεγκαν, καὶ πάντας ἐνίκησαν.

Ὅτε καὶ Κοριόλου; πολιορκοῦντες, ἐκπεσεῖν καὶ τοῦ στρατοπέδου μικροῦ ἐκινδύνευον, εἰ μὴ Γναῖος Μάρκιος, εὐπατρίδης ἀνὴρ, ἠρίστευσε, καὶ τοὺς ἐπιόντας ἀπώσατο, ὃς διὰ τοῦτο ἄλλως τε ἐδοξάσθη, καὶ Κοριολάνος ἐκ τοῦ ἔθνους, ὃ ἐτρέψατο, ἐπεκλήθη. Καὶ τότε μὲν οὕτω; ἤρθη. Οὐ πολλῷ δ' ὕστερον στρατηγῆσαι σπεύδων, καὶ μὴ τυχών, ἠγανάκτησε κατὰ τοῦ ὁμίλου, καὶ τοὺς δημάρχους ἐβαρύνετο. Οἱ οὖν δήμαρχοι, οὓς καταλῦσαι ἐγλίχετο, αἰτίας τινὰς κατ' αὐτοῦ συμφορήσαντες, τυραννίδος αὐτῷ προσῆψαν αἰτίαμα, καὶ τῆς Ῥώμης ἐξήλασαν. Ἐκπεσὼν οὖν, τοῖς Οὐολούτκοις εὐθὺς προσεχώρησεν· ὧν οἱ μὲν πρῶτοι, καὶ οἱ ἐν τοῖς τέλεσιν αὐτῶν ὄντες ἐχαιρόν τε αὐτῷ, καὶ αὖθις πρὸς πόλεμον ἑτοιμάζοντο, Ἀττίου Τουλλίου πρὸς τοῦτον ἐρεθίζοντος ἅπαντας. Ὁ δὲ ὅμιλος ἀπρόθυμος ἦν. Ὡς οὖν οὔτε παραινοῦντες, οὔτ' ἐκφοβοῦντες αὐτοὺς οἱ δυνατοὶ, κινῆσαι πρὸς ὅπλων ἄρσιν ἠδύναντο, τοιόνδε ἐμηχανήσαντο. Ἱπποδρομίαν τῶν Ῥωμαίων ἀγόντων, ἄλλοι τε τῶν προσχώρων αὐτοῖς καὶ Οὐολοῦσκοι πλήθει πολλῷ κατὰ θέαν συνήλθοσαν. Ὁ δὲ Τούλλιος τοὺς τῶν Ῥωμαίων στρατηγοὺς ἔπεισεν, ὡς εὐνοῶν δῆθεν αὐτοῖς, τοὺς Οὐολούσκους φυλάσσεσθαι, παρεσκευασμένους ἐπιθέσθαι σφίσιν ἀνελπίστως ἐν τῇ Ἱπποδρομίᾳ. Οἱ δὲ στρατηγοὶ καὶ τοῖς ἄλλοις τὸ μήνυμα κοινωσάμενοι, τοὺς Οὐολούσκους αὐτίκα πρὸ τοῦ ἀγῶνος ἅπαντας ἐξεκήρυξαν. Οἱ δὲ δυσανασχετήσαντες, ὅτι μόνοι ἐκ πάντων ἐξελήλαντο, ἕτοιμοι πρὸς μάχην ἐγένοντο. Καὶ προστησάμενοι τὸν Κοριολάνον τε καὶ τὸν Τούλλιον, ἐπὶ τὴν Ῥώμην, καὶ τοὺς Λατίνους προσειληφότες, πλήθει ἐχώρησαν πλείονι. Ὃ οἱ Ῥωμαῖοι πυθόμενοι πρὸς τὰ ὅπλα μὲν οὐκ ἐξώρμησαν, ἐν αἰτίαις δ' ἀλλήλους ἐποιήντο, οἱ μὲν τοῦ ὁμίλου τοὺς εὐπατρίδας, ὅτι ἐξ αὐτῶν ὁ Κοριολάνος τυγχάνων, μετὰ τῶν ἐχθρῶν ἐπὶ τὴν πατρίδα στρατεύοιτο· οἱ δὲ τὸν ὅμιλον, ὅτι μὴ ἐνδίκως αὐτὸν ἐξελάσαντες, πολέμιον πεποιήκασιν. Οὕτω δὲ στασιάζοντες, ἐς μέγα τι κακὸν ἐνέπεσον ἄν, εἰ μὴ καὶ αἱ γυναῖκες αὐτοῖς ἐπεκούρησαν. Ὡς γὰρ ἡ γερουσία κάθοδον τῷ Κοριολάνῳ ἐψηφίσατο, καὶ ἐπὶ τούτῳ πρέσβεις πρὸς ἐκεῖνον ἐστάλησαν, ἐκεῖνος καὶ τὴν χώραν τοῖς Οὐολούσκοις ἀποδοθῆναι ἀπῄτει, ἧς ἐν τοῖς πρὶν πολέμοις ἐστέρηντο. Τὸ δὲ πλῆθος τῆς χώρας οὐ μεθίετο. Πάλιν οὖν ἑτέρα πρεσβεία. Ὁ δὲ περιθύμως ἔφερεν, ὅτι καὶ περὶ τῆς ἐκείνων κινδυνεύοντες, οὐδ' οὕτω τῶν ἀλλοτρίων ἀφίστανται. Καὶ τούτων δὲ ἀγγελθέντων αὐτοῖς, οὐδ' ἔτι κεκίνηντο, οὐδ' ὑπὸ τῶν κινδύνων οἱ ἄνδρες τοῦ στασιάζειν ἐξίσταντο. Αἵ τε γυναῖκες, ἥ τε γαμετὴ τοῦ Κοριολάνου Οὐολομνία, καὶ ἡ μήτηρ Οὐετουρίνα, καὶ τὰς λοιπὰς τὰς ἐπιφανεστάτας παραλαβοῦσαι, ἦλθον ἐς τὸ στρατόπεδον πρὸς αὐτὸν, καὶ τὰ παιδάρια αὐτοῦ ἐπαγόμεναι. Καὶ αἱ μὲν ἄλλαι σιωπῇ ἐδάκρυον· ἡ δὲ Οὐετουρίνα· *Οὐκ ἠὐτομολήκαμεν*, ἔφη, *τέκνον, ἀλλ' ἡ πατρὶς ἡμᾶς ἔπεμψέ σοι. Εἰ μὲν πείθοιο, μητέρα καὶ γυναῖκα καὶ τέκνα· εἰ δὲ μή, λάφυρα. Καὶ εἰ καὶ νῦν ἔτι ὀργίζῃ, πρώτας ἡμᾶς ἀπόκτεινον. Καταλλάγηθ', καὶ μηκέτι ὀργίζου τοῖς πολίταις, τοῖς φίλοις,*

A fuit, quin castris exuerentur, nisi virtus Cnei Martii, viri patricii, profligatis hostibus, obstitisset, qui cum aliis honoribus est affectus, tum Coriolani cognomentum, a devicto a se populo consecutus. Ac tum ita in altum est evectus: non multo autem post cum ei petenti prætura negata, iratus populo, tribunitiam potestatem insectatus, et abrogare conatus esset, a tribunis plebis, quibusdam criminibus conflictis et affectati regni calumnia instructa, in exsilium actus est. Exsul statim ad Volscos se contulit, quorum principes et magistratus, adventu illius læti, Actii Tullii impulsu rursus ad bellum se parabant. Quod cum populo minime placeret, qui a potentibus neque admonendo, **343** neque terrendo ad arma sumenda commoveri pos-
B set, hac arte sunt usi. Cum ludis circensibus cum alii ex finitimis, tum magna Volscorum multitudo Romam ad spectaculum convenisset, Tullius per benevolentiæ speciem Romanorum consulibus persuasit, Volscos cavendos esse, paratos ad impetum in eos circo faciendum. Consules eo indicio etiam communicato, Volscos ante ludos statim civitate excedere præconio jusserunt. Illi vero graviter ferentes, se solos ex omnibus esse pulsos, ad bellum irritati, imperatoribus lectis Coriolano et Tullio, ac Latinorum auxiliis ascitis, majore numero contra Romanos sunt profecti. Quo illi audito non statim arma corripuerunt, sed inter se criminibus certarunt. Plebeii cum patriciis, quod ex eo ordine
C Coriolanus cum hostibus patriam oppugnatum iret: illi cum plebe, quod eumdem iniquo exsilio multatum, hostem reddidissent. Ea contentio in magnum malum evasisset, nisi matronæ tulissent opem. Nam cum senatus Coriolano reditum decrevisset, ac legatos ad eum propterea misisset, et ille, ut agri superioribus bellis adempti Volscis rederentur, postulasset, multitudine de agris non assensa, rursus alia legatio mittitur. Quam ille iracunde tulit, quod qui de suis agris periclitarentur, nec sic quidem cederent alienis. Quibus nuntiatis cum plebs nihil moveretur, neque vel periculis admonita, a seditione recederent viri, matronæ, Coriolani uxor Volumnia, et mater Veturia, clarissimis quibusque mulieribus assumptis,
D in castra hostium sunt profectæ, liberis etiam Coriolani adductis. Cæteris autem tacite plorantibus, Veturia: *Non transfugimus*, inquit, *fili: sed nos patria misit. Si parueris, matrem, uxorem et liberos: sin minus prædam. Quod si tua nondum desæviit iracundia, nos primas occidito. Reconciliare omissa ira civibus, amicis, sacris, monumentis. Noli excindere patriam, in qua natus es, et educatus, et magnum illud Coriolani cognomentum adeptus. Ne me voti impotem dimiseris, ne meis manibus interfectam me videas.* His dictis ejulans, et mammis ostensis, et ventre **344** attrectato: *Hic te genuit*, inquit, *hæ te lactaverunt.* Deinde ab uxore et liberis ejus, cæterisque mulieribus fletu orto, ille quoque ad luctum commotus et vix sibi redditus ma-

trem amplectitur, et inter oscula : *En tibi*, inquit, *mater pareo. Tum enim me vincis : tibi gratiam istam debebunt omnes. Ego vero ab eorum etiam conspectu abhorreo, qui pro tantis beneficiis talem mihi gratiam retulerunt. Verum tu meo loco patriam teneto, quando ita voluisti ego recedam.* Hæc locutus, repudiato in patriam reditu, in Volscos recessit, ibique senex obiit.

τοῖς ἱεροῖς, τοῖς τάφοις. Μηδὲ ἐκπολιορκήσῃς τὴν πατρίδα, ἐν ᾗ ἐγεννήθης καὶ ἐτράφης, καὶ τὸ μέγα τοῦτο ὄνομα Κοριολάνος ἐγένου. Μήτε ἄπρακτον ἀποπέμψῃς, ἵνα μὴ νεκράν με αὐτοχειρίᾳ θεάσῃ. Ἐπὶ τούτοις ἀνέκλαυσε, καὶ τοὺς μαστοὺς προβαλοῦσα, τῆς τε γαστρὸς ἁψαμένη, Λῦτη σε ἔτεκεν, ἔφη, τέκνον, οὗτοί σε ἐξέθρεψαν. Ἡ μὲν εἶπε ταῦτα. Ἡ γαμετὴ δὲ αὐτοῦ, καὶ τὰ παιδάρια, καὶ αἱ ἄλλαι γυναῖκες συνεθρήνησαν, ὥστε κἀκεῖνον εἰς πένθος κινῆσαι. Μόλις δ' ἀνενεγκών, περιέπλεξε τὴν μητέρα, καὶ φιλῶν ἅμα· Ἴδε, ἔφη, μῆτερ, πείθομαί σοι. Σὺ γάρ με νικᾷς, καὶ σοὶ ταύτην τὴν χάριν πάντες ἐχέτωσαν. Ἐγὼ γὰρ οὐδὲ ἰδεῖν αὐτοὺς ὑπομένω, οἳ τηλικαῦτα παρ' ἐμοῦ εὐεργετηθέντες, τοιαῦτά μοι ἀνταπέδωκαν. Οὐδ' ἀφίξομαι εἰς τὴν πόλιν, ἀλλὰ σὺ μὲν ἀντὶ ἐμοῦ τὴν πατρίδα ἔχε, ὅτι τοῦτο ἠθέλησας· ἐγὼ δὲ ἀπαλλαγήσομαι. Ταῦτα εἰπών, ἀπανέστη, καὶ οὐδὲ τὴν κάθοδον κατεδέξατο. Ἀναχωρήσας δὲ εἰς τοὺς Οὐολούσκους, ἐκεῖ γηράσας, ἀπήλλαξεν.

XVII. Tribuni plebis agrum hostibus ademptum, populo dividi postulantibus, Romani et inter sese, et ab hostibus multa detrimenta cœperunt. Nam divites cum plebem aliter continere non possent, bella ex bellis de industria severunt, ut iis occupati, legis Agrariæ obliviscerentur. Quo consilio tandem a nonnullis animadverso, non passi sunt utrumque consulem a potentibus designari : sed et ipsi alterum ex patriciis eligere voluerunt. Eo impetrato, Spurium Furium elegerunt : quo duce omnia quæ aggressi sunt, sedulo confecerunt. Sed qui cum ejus collega Cæsone Fabio exierant, adeo se viros fortes non præbuerunt, ut castris relictis in urbem reversi, tumultum excitarint : donec Tyrrheni ea re cognita, illos invaserunt : ac ne tum quidem prius sunt egressi, quam tribuni quidam patriciis assensi essent. Tum vero strenue pugnarunt : ac multis hostibus cæsis, ipsorum quoque non pauci ceciderunt. Cecidit etiam alter consul Manlius. Plebs vero consulem alium creavit. Orto rursus a Tyrrhenis bello, Fabii Romanis, quomodo resisti posset hostibus, sollicitis opem tulerunt. Qui VI et CCC numero, quia populum anxium, nihil quod in rem esset deliberantem, ac desperantem omnia videbant, Tyrrhenum bellum suis et corporibus et sumptibus gerendum sibi depoposcerunt : et opportuno loco præsidium communierunt, unde infesta hostium omnia fecerunt, Tyrrhenis acie decernere aut non audentibus, aut si ausi essent, Jurpiter profligatis. Sed sociis ascitis, **345** et insidiis in saltu quodam collocatis, Fabios ob crebras victorias incautos circumvenerunt, et occiderunt omnes. Ac eorum familia internecione periisset, nisi unus ob teneriorem ætatem domi relictus fuisset, a quo instaurata, deinceps quoque floruit. Cum hæc clades accepta esset, Romani a

ΙΖ'. Οἱ δὲ δήμαρχοι χώραν ἐκ πολεμίων προσκτηθεῖσαν Ῥωμαίοις, ἀπῄτουν διανεμηθῆναι τῷ πλήθει· ὅθεν πρὸς ἀλλήλων τε καὶ πρὸς τῶν πολεμίων πολλὰ ἐκακώθησαν. Οἱ γὰρ δυνατοὶ μὴ ἄλλως κατέχειν αὐτοὺς δυνάμενοι, πολέμους ἐκ πολέμων ἐξεπίτηδες ἐκίνουν, ἵν' αὐτοῖς ἀσχολούμενοι, μηδὲν περὶ τῆς γῆς πολυπραγμονῶσι. Χρόνῳ δέ ποτε ὑποτοπήσαντές τινες τὸ πραττόμενον, οὐκ εἴων καὶ ἄμφω τοὺς ὑπάτους ἢ στρατηγοὺς ὑπὸ τῶν δυνατῶν ἀποδείκνυσθαι, ἀλλ' ἤθελον καὶ αὐτοὶ τὸν ἕτερον ἐκ τῶν εὐπατριδῶν αἱρεῖσθαι. Ὡς δὲ τοῦτο κατειργάσαντο, προεῖλοντο Σπούριον Φούριον (95)· καὶ μετ' ἐκείνου στρατευσάμενοι, πάντα ἐφ' ὅσα ὥρμησαν, προθύμως κατέπραξαν. Οἱ δὲ τῷ συνάρχοντι αὐτοῦ Φαβίῳ Καίσωνι συνεξελθόντες, οὐ μόνον οὐκ ἐρρώσθησαν, ἀλλὰ καὶ τὸ στρατόπεδον ἐκλιπόντες, εἰς τὴν πόλιν ἦλθον, καὶ ἐθορύβουν, ἕως οἱ Τυρσηνοί, τοῦτο μαθόντες, ἐπεχείρησαν αὐτοῖς. Καὶ τότε μέντοι οὐ πρότερον ἐξῆλθον τῆς πόλεως, πρὶν τῶν δημάρχων τινὰς συμφρονῆσαι τοῖς δυνατοῖς. Ἠγωνίσαντο δὲ προθύμως, καὶ πολλοὺς μὲν τῶν πολεμίων διέφθειραν, συχνοὶ δὲ καὶ αὐτῶν ἀπέθανον. Ἔπεσε δὲ καὶ ὁ εἷς τῶν ὑπάτων ὁ Μάλιος (96). Ὁ δὲ δημος στρατηγὸν ἕτερον (97) εἵλετο, καὶ πόλεμος αὖθις αὐτοῖς ἐπενήνεκτο πρὸς τῶν Τυρσηνῶν. Ἀθυμοῦσι δὲ Ῥωμαίοις, καὶ ἀποροῦσι, πῶς τοῖς ἐχθροῖς ἀντικαταστῶσιν, οἱ Φάβιοι ἐπεκούρησαν. Ἑξ γὰρ ὄντες καὶ τριακόσιοι, ὡς ἀθυμοῦντας εἶδον αὐτούς, καὶ μήτε τι βουλευομένους λυσιτελές, καὶ ἀπογινώσκοντας ἅπαντα, τὸν πρὸς τοὺς Τυρσηνοὺς ὑπεδέξαντο πόλεμον, αὐτοὶ δι' ἑαυτῶν προθυμηθέντες μαχέσασθαι καὶ τοῖς σώμασι καὶ τοῖς χρήμασι. Καί τι χωρίον καταλαβόντες ἐπίκαιρον, ἐτειχίσαντο, ὅθεν ὁρμώμενοι, πάντα τὰ τῶν πολεμίων ἦγον, τῶν Τυρσηνῶν μηδὲ ἐς χεῖρας αὐτοῖς ἰέναι θαρρούντων, εἰ δὲ καί ποτε συμμίξειαν, ἐλαττουμένων παρὰ πολύ. Προσλαβόμενοι δὲ καὶ συμμάχους οἱ Τυρσηνοί, ἐν

Variæ lectiones et notæ.

(95) *Φούριον.* Φρούριον, tres mss. Regii habent.

(96) *Ὁ Μάλιος.* Sic tres mss. Regii.

(97) *Στρατηγὸν ἕτερον.* Sic reposuimus ex duobus Regiis mss. ubi Wolfius, alter Reg. et Colbert. τὸ τρίτον τὸν Μάλιον εἵλετο. Ubi obiter observandum apud Zonaram, cum de rebus Romanis agit, *consules*, ut hoc loco, στρατηγοὺς appellari, et στρατηγῆσαι pro *consulatum inire*, usurpari. Quod ex hisce verbis in hac sectione descriptis vel colligitur : Ἄμφω τοὺς ὑπάτους, ἢ στρατηγούς. Consules enim postmodum dici cœpere, qui antea prætores vocabantur, ut ex Dione, n. 19, scribit Zonaras : Τότε γὰρ λέγεται πρῶτον ὑπάτους αὐτοὺς προσαγορευθῆναι, στρατηγοὺς καλουμένους πρότερον. Atque ita variis in istius libri locis, *consules*, reposuimus, ubi Wolfius *duces*, vel *prætores*, posuerat.

ὀλώδει χωρίῳ ἐλόχησαν, καὶ ἀφυλάκτους ἐπελθόντας αὐτοῖς τοὺς Φαβίους ὑπὸ τοῦ πάντα νικᾶν, περιεστοίχισαν, καὶ πάντας ἐφόνευσαν· καὶ παντελῶς τὸ γένος αὐτῶν ἐξέλιπεν ἄν, εἰ μὴ εἷς τις οἶκος κατελείφθη διὰ νεότητα, ἀφ' οὗπερ αὖθις εἰσέπειτα ἠνθησαν. Τῶν δὲ Φαβίων οὕτω φθαρέντων, οἱ Ῥωμαῖοι μάλα παρὰ τῶν Τυρσηνῶν ἐκακώθησαν. Εἶτα πρὸς μὲν τοὺς πολεμίους σπονδὰς ἐποιήσαντο. Τραπόμενοι δ' ἐπ' ἀλλήλους ἔπραξαν πολλὰ δεινά, ὡς μηδὲ τῶν στρατηγῶν ἀποσχέσθαι τὸ πλῆθος. Τούς τε γὰρ ὑπηρέτας αὐτῶν ἔπαιον, καὶ τὰς ῥάβδους κατέκλων, αὐτούς τε τοὺς στρατηγοὺς ὑπ' εὐθύνην ἦγον ἐπὶ πάσῃ προφάσει καὶ μείζονι καὶ ἐλάττονι. Ἄππιον οὖν Κλαύδιον καὶ παρ' αὐτὴν τὴν ἀρχὴν εἰς τὸ δεσμωτήριον ἐμβαλεῖν ἐβουλεύσαντο, ὅτι τε αὐτοῖς ἐναντιοῦτο εἰς ἅπαντα, καὶ ὅτι τοὺς συστρατευσαμένους αὐτῷ ἐδεκάτευσεν, ἐπειδὴ τοῖς Οὐολούσκοις ἐν μάχῃ ἐνέδοσαν. Ἡ δεκάτευσις δὲ τοιόνδε τι ἦν. Ὅτε τι οἱ στρατιῶται μέγα ἡμάρτοσαν, ὁ στρατηγὸς εἰς δεκάδας αὐτοὺς ἀριθμῶν, ἕνα λαβὼν ἐξ ἑκάστης δεκάδος τὸν κλήρῳ λαχόντα, θανάτῳ ἐκόλαζεν. Ἀπελθόντα δ' ἐκ τῆς ἀρχῆς τὸν Κλαύδιον, εὐθὺς οἱ τοῦ πλήθους εἰς ἀγῶνα κατέστησαν, καὶ οὐ κατεψηφίσαντο μέν, τὴν ψῆφον δὲ ὑπερθέμενοι, ἐς ἀνάγκην αὐτὸν αὐτοχειρίας κατέστησαν. Καί τινες δὲ τῶν δημάρχων ἄλλα τε κατὰ τῶν εὐπατριδῶν συνέγραψαν, καὶ τὸ ἐξεῖναι τῷ πλήθει, καὶ καθ' ἑαυτὸ συνιέναι, καὶ ἄνευ ἐκείνων βουλεύεσθαι, καὶ χρηματίζειν πάνθ' ὅσα ἂν ἐθελήσῃ. Κἄν τις ἐφ' αἰτίᾳ τινὶ παρὰ τῶν στρατηγῶν προστιμωθῇ, ἔκκλητον ἐπὶ τούτοις τὸν δῆμον δικάζειν ἔταξαν. Καὶ τοὺς ἀγορανόμους δὲ καὶ τοὺς δημάρχους ἐπηύξησαν, ἵνα πλείους τοὺς αὐτῶν προϊσταμένους ἔχωσι. Πραττομένων δὲ τούτων οἱ εὐπατρίδαι φανερῶς μὲν οὐ πάνυ ἀντέπραττον, πλὴν βραχέων, λάθρα δὲ συχνοὺς τῶν θρασυτάτων ἐφόνευον. Ἀλλ' οὔτε τοῦτο τοὺς λοιποὺς ἐπέσχεν, οὔθ' ὅτι ποτὲ ἐννέα δήμαρχοι πυρὶ ὑπὸ τοῦ δήμου παρεδόθησαν. Οὐ μόνον γὰρ οἱ μετὰ ταῦτα δημαρχοῦντες οὐκ ἠμβλύνοντο, ἀλλὰ μᾶλλον καὶ ἐθρασύνοντο· εἰς τοῦτο ὑπὸ τῶν εὐπατριδῶν προήχθη ὁ ὅμιλος. Οὔτε γὰρ στρατεύειν ἐπείθοντο πολέμων ἐπικειμένων, εἰ μὴ ὧν ὠρέγοντο ἔτυχον· καὶ εἴ ποτε δ' ἐξῆλθον, ἀπροθύμως ἐμάχοντο, εἰ μὴ πάνθ' ὅσα ἐβούλοντο ἦνυσαν. Κἀντεῦθεν πολλοὶ τῶν προσοίκων αὐτοῖς τῇ ἐκείνων διχοστασίᾳ, ἢ τῇ ἑαυτῶν θαῤῥοῦντες ἰσχύϊ, ἐνεωτέρισαν. Ὧν ἦσαν καὶ Αἰκουοὶ, οἳ Μάρκον Μινούκιον στρατηγοῦντα τότε νικήσαντες, ἐφρονημάτισθησαν. Μαθόντες δὲ τὸν Μινούκιον (98) ἡττημένον οἱ ἐν τῇ Ῥώμῃ, δικτάτορα Λούκιον Κόϊντιον εἵλοντο, πένητα μὲν ἄνδρα, καὶ γεωργίᾳ συνεζηκότα, ἐς ἀρετὴν δὲ καὶ σωφροσύνην διαπρεπῆ, καίτοι τὰς κόμας ἐς πλοκάμους ἀνιέντα, ὅθεν καὶ Κικινάτος ὠνόμαστο, οἷοι νῦν πολλοὶ περὶ τὰ βασίλεια (99). Ἐκεῖθεν δὲ τοῦ κακοῦ παρεισφθα-

A Tyrrhenis graviter vexati, pace cum hostibus facta, in semetipsos conversi, mutuis se cladibus afflecerunt : nec ipsis consulibus multitudo abstinuit. Nam et ministros eorum verberarunt, et fasces confregerunt, et ipsos consules per quamvis causam, sive magna ea, sive parva esset, reos fecerunt. Appium Claudium in ipso etiam magistratu in carcerem ducere voluerunt : quod is populi in omnibus adversator, legiones suas decimarat, quod Volscis in prælio cessissent. Decimatio vero hujusmodi fuit. Cum milites graviter deliquerant, imperator omnibus in decurias distributis, decimum quemque cui sors obvenerat, accidebat. Appio, de posito magistratu, plebeii statim diem dixerunt, nec damnarunt tamen : sed die producta, in eam B necessitatem adegerunt, ut ipse sibi manus afferret. Ad hæc quidam tribuni plebis cum alia contra patres scripserunt, tum illud, ut populo per se inire concilium, et absque illis deliberare liceret, et suo arbitratu decernere omnia. Quod si quis ob crimen aliquod a consulibus multetur, ei provocationem esse ad populum. Ædiliumque et tribunorum potestatem ampliarunt, ut quamplurimos patronos haberent. Quæ cum agerentur, patricii aperte non nisi in paucis adversabantur, clam vero multos ex audacissimis tollebant. Sed nec id cæteros coercebat : nec illud, quod semel novem tribuni a plebe cremati sunt. Quorum exemplo insecuti tribuni, adeo non facti sunt moderatiores, ut magis etiam sævierint. Eo populus a patribus est C redactus. Nam bellis exortis militare noluerunt, nisi optatis eorum satisfieret : aut egressi pugnarunt segniter, nisi quæ voluissent, omnia impetrassent. Unde multi ex finitimis, non tam suis freti viribus, quam illorum dissensionibus, bella moverunt. Quorum e numero Æqui, M. Minutio **346** consule victo, animos sustulerunt. Qua clade cognita, Romani Lucium Quintium, pauperem illum quidem, et agriculturæ deditum, sed virtute et temperantia præstantem, dictatorem dixerunt, qui ob comam in cincinnos implexam, Cincinnatus est appellatus, cujusmodi nunc multi in regia versantur : eoque malo in rempublicam invecto, Cincinnatos ubique videre licet. Is igitur dictator creatus, D eodem die ducto exercitu, celeritate citra temeritatem usus, una cum Minutio impetu in Æquos facto, plurimos occidit, cæteros vivos cepit, ac sub jugum missos dimisit. Quæ res hujusmodi erat : Duo recta ligna terra defigebantur, quibus unum obliquum supérne imponebatur, per hæc media captivi nudi traducebantur : quod victoribus magnæ gloriæ, victis tanto dedecori erat, ut quidam ei ignominiæ mortem anteferrent. Corvino urbe capta, et Minutio ob cladem consulatu abrogato,

Variæ lectiones et notæ.

(98) *Μαθόντες δὲ τὸν Μινούκιον.* Dionis excerpta Valesiana, p. 578.

(99) *Οἷον νῦν πολλοὶ περὶ τὰ βασίλεια.* Nobilium Palatinorum suæ ætatis mores hic carpit. Zonaras, qui capillos nutriebant, et cincinnati haberi volebant, cum cæteri e Græcis capillos raderent.

domum rediit, atque ipse etiam se magistratu abdicavit.

ρέντος εἰς τὸ πολίτευμα, καὶ ἀπανταχοῦ κινεῖσθαι ἔστιν ὁρᾶν. Οὗτος οὖν δικτάτωρ προχειρισθεὶς, καὶ αὐθημερὸν ἐκστρατεύσας, καὶ τάχει σὺν ἀσφαλείᾳ χρησάμενος, καὶ τοῖς Αἰκουοῖς προσβαλὼν μετὰ τοῦ Μινουκίου, πλείστους μὲν διέφθειρε, τοὺς δ' ἄλλους ἐζώγρησεν, οὓς ὑπὸ ζυγὸν διαγαγὼν ἀφῆκεν. Ἡ δὲ πρᾶξις ἡ τοῦ ζυγοῦ τοιάδε τις ἦν· σταυροὺς δύο ὀρθία δηλαδὴ ξύλα διέχοντα ἀλλήλων, εἰς τὴν γῆν κατεπήγνυον, καὶ αὐτοῖς ἐπετίθουν ἐγκάρσιον ἕτερον, καὶ διὰ μέσου τούτων τοὺς ἁλόντας διῆγον γυμνούς, ὃ τοῖς μὲν ὁρῶσι λαμπρότητα, πολλὴν δ' ἀτιμίαν τοῖς πάσχουσιν ἔφερεν, ὥστε τινὰς τοῦ τοιοῦτόν τι παθεῖν προαιρεῖσθαι θανεῖν. Καὶ πόλιν δὲ αὐτῶν Κορουΐνον καλουμένην ἑλὼν, ἐπανῆλθε, καὶ τὸν Μινούκιον διὰ τὴν ἧτταν τὴν στρατηγίαν ἀφεῖλετο, καὶ αὐτὸς ἀπέθετο τὴν ἀρχήν.

XVIII. Deinde Romani domestico bello sunt conflictati, a servis et exsulibus conflato, qui nocte subita impressione Capitolium occuparunt. Sed plebs tum quoque non prius arma cepit, quam patriciis aliquid detraxisset. Ac seditiosos oppressérunt : sed multos suorum amiserunt. His igitur de causis Romani et prodigiis quibusdam impulsi, omissis mutuis criminationibus, rempublicam æquabiliorem efficere decreverunt. Ac tres viros in Græciam, ad illorum leges et instituta cognoscenda, ablegarunt : quibus allatis, tribunatum et alios quosdam magistratus abrogarunt, eorumque loco viros VIII principes delegerunt : illoque anno Appium Claudium et Titum Genutium consules cum summo imperio crearunt, data potestate condendi leges, cum appendice, ne ab eis provocatio esset. Id quod prius non nisi dictatoribus concessum fuit. Illi per vices imperarunt, singuli in dies singulos magistratus insignibus ornati. Et leges a se conscriptas in foro proposuerunt : quas cum omnibus probassent, ad populum tulerunt, sancitasque in X tabulas retulerunt. Quæ enim digna custodia 347 judicabant, in tabellis asservabant. Ac illi anno exacto, magistratu abierunt. Quibus alii X cum successissent, ita gesserunt, quasi evertendæ reipublicæ causa delecti essent. Omnes enim simul ex æquo imperabant : ascitisque nobilium adolescentum audacissimis, per vim multa egerunt. Sero tandem, sub anni fere finem, pauca quædam in duabus tabulis suapte auctoritate ascripserunt, non ad concordiam, sed ad majores dissentiones pertinentia. Duodecim igitur tabulæ sic confectæ sunt. Decemviri autem non hæc tantum egerunt, sed et tempore magistratus eorum elapso, adhuc in rebus gerendis sunt versati, republica vi oppressa, neque senatu neque populo convocato, ne successores sibi darentur. Cum autem Æqui et Sabini Romanis arma inferrent, per idoneos homines effecerunt, ut sibi belli administratio mandaretur. Itaque ex decemviris Servius Oppius et Appius Claudius suum pristinum locum retinuerunt : cæteri octo contra hostes sunt profecti. Ita factum, ut cum et in urbe et in castris turbarentur omnia, denuo seditio oriretur. Nam cum prætores in Sabinorum agrum impressionem fecissent, L. Sicium rei bellicæ peritissimum, et præcipuæ apud plebem auctoritatis virum, cum aliis ad occupandum castrum quoddam missum per comites ejus peremerunt. Rumore in castris sparso, cum una cum aliis ab hostibus

ΙΗ'. Οἱ μέντοι Ῥωμαῖοι οἰκεῖον ἔσχήκασι πόλεμον, ὃς ἐκ δούλων συνέστη καὶ φυγάδων τινῶν, οἳ, νυκτὸς ἐπελθόντες ἐξαπιναίως, τοῦ Καπιτωλίου ἐκράτησαν. Ὁ δ' ὅμιλος καὶ τότε οὐ πρότερον ἐν ὅπλοις ἐγένετο, πρίν τι πλέον σχεῖν τῶν εὐπατριδῶν. Ἐπελθόντες δέ γε τοῖς στασιάσασιν, ἐκράτησαν μὲν αὐτῶν, πολλοὺς δὲ τῶν σφετέρων ἀπέβαλον. Διὰ ταῦτα τοίνυν οἱ Ῥωμαῖοι καὶ διά τινα σημεῖα εὐλαβηθέντες, τῶν τε πρὸς ἀλλήλους ἀπηλλάγησαν ἐγκλημάτων, καὶ τὴν πολιτείαν ἰσοτέραν ποιήσασθαι ἐψηφίσαντο. Καὶ τρεῖς ἄνδρας εἰς τὴν Ἑλλάδα διὰ τοὺς νόμους καὶ τὰ παρ' ἐκείνοις ἔθη πεπόμφασι· καὶ κομισθέντων αὐτῶν, τάς τε ἄλλας ἀρχὰς καὶ τὰς τῶν δημάρχων κατέλυσαν, καὶ ἄνδρας ὀκτὼ ἐκ τῶν πρώτων ἀνθείλοντο. Καὶ Ἄππιον Κλαύδιον, Τίτόν τε Γενούκιον ἀπέδειξαν κατὰ τὸν ἐνιαυτὸν ἐκεῖνον στρατηγοὺς αὐτοκράτορας, καὶ νόμους αὐτοῖς συγγράψαι ἐπέτρεψαν, μηδὲ μίαν τε δίκην ἐφέσιμον ἀπ' αὐτῶν γενέσθαι προσεψηφίσαντο, ὃ πρώτην οὐδενὶ τῶν ἀρχόντων πλὴν τῶν δικτατόρων ἐδέδοτο. Ἤρξάν τε οὗτοι ἡμέραν ἕκαστος, ἐναλλὰξ τὸ πρόσχημα τῆς ἡγεμονίας λαμβάνοντες· καὶ νόμους συγγράψαντες, εἰς τὴν ἀγορὰν ἐξέθηκαν, οἳ, ἐπεὶ πᾶσιν ἤρεσαν, ἐς τὸν δῆμον εἰσήχθησαν, καὶ κυρωθέντες, σανίσιν ἐνεγράφησαν δέκα· ὅσα γὰρ φυλακῆς ἐκρίθησαν ἄξια, ἐν σανιδίοις ἐθησαυρίζοντο. Ἐκεῖνοι μὲν οὖν, τὸν ἐνιαυτὸν ἀνύσαντες, ἀφῆκαν τὴν ἀρχήν. Ἕτεροι δ' αὖθις αἱρεθέντες δέκα, ὥσπερ ἐπὶ καταλύσει τῆς πολιτείας χειροτονηθέντες ἐξιοκείλαν. Πάντες γὰρ ἅμα ἀπὸ τῆς ἴσης ἦρχον, καὶ νεανίσκους ἐκ τῶν εὐπατριδῶν θρασυτάτους ἐκλεξάμενοι, πολλὰ δι' αὐτῶν ἐποίουν, καὶ βίαια. Ὀψὲ δέ ποτε ἐπ' ἐξόδῳ, τοῦ ἔτους ὀλίγα ἄττα ἐν δύω σανίσι προσέγραψαν, ἐς πάντα δὲ αὐτογνωμονήσαντες, ἀφ' ὧν οὐχ ὁμόνοια, ἀλλὰ καὶ διαφοραὶ μείζους Ῥωμαίοις γενήσεσθαι ἔμελλον. Αἱ μὲν οὖν λεγόμεναι Δώδεκα δέλτοι οὕτως τότε ἐγένοντο. Οἱ δὲ νομοθέται ἐκεῖνοι οὐ μόνον ταῦτ' ἔπραξαν, ἀλλὰ καὶ τοῦ ἐνιαυτοῦ τῆς ἀρχῆς αὐτοῖς διελθόντος, ἔτι τοῖς πράγμασιν ἐνέμειναν, βίᾳ τὴν πόλιν κατέχοντες, καὶ μηδὲ τὴν βουλὴν ἢ τὸν δῆμον ἀθροίζοντες, ἵνα μὴ συνελθόντες παύσωσιν αὐτούς. Αἰκουῶν δὲ καὶ Σαβίνων πόλεμον αἱρομένων κατὰ Ῥωμαίων, τότε τοὺς ἐπιτηδείους αὐτοῖς παρασκευάσαντες, διεπράξαντο σφίσι τοὺς πολέμους ἐπιτραπῆναι. Ἐκ γοῦν τῆς δεκαρχίας αὐτῶν Σερούϊος μὲν Ὄππιος καὶ Ἄππιος Κλαύδιος κατὰ χώραν ἔμειναν, οἱ δὲ ὀκτὼ ἐπὶ τοὺς πολεμίους ἐστράτευσαν. Πάντα μὲν ἁπλῶς καὶ τὰ ἐν τῷ ἄστει καὶ τὰ ἐν τοῖς στρατοπέδοις τετάρακτο, κἀντεῦθεν στάσις αὖθις συνηνέχθη. Ἐμβαλόντες γὰρ

εἰς τὴν τῶν Σαβίνων γῆν οἱ στρατίαρχοι, Λούκιόν A τινα Σίκιον (1), ἄκρον τε τὰ πολέμια καὶ ἐν τοῖς πρώτοις τοῦ ὁμίλου καταριθμούμενον, μεθ' ἑτέρων ὡς τι χωρίον καταλῃψόμενον ἔπεμψαν, καὶ διὰ τῶν συνεκπεμφθέντων αὐτῷ τὸν ἄνδρα διέφθειραν. Λόγου δ' εἰς τὸ στρατόπεδον γεγονότος, ὡς παρὰ πολεμίων τοῦ ἀνδρὸς σὺν ἄλλοις ἀνῃρημένου, οἱ στρατιῶται, ἀνελέσθαι τοὺς νεκροὺς ὁρμήσαντες, οὐδὲν σῶμα τῶν ἐναντίων εὑρήκασι, συχνοὺς δὲ τῶν ὁμοφύλων, οὓς ὁ Σίκιος ἐπιθεμένους αὐτῷ ἀπέκτεινεν ἀμυνόμενος. Ὡς οὖν κύκλῳ τε αὐτοῦ κειμένους καὶ τετραμμένους πρὸς αὐτὸν εἶδον, ὑπετόπησαν τὸ γενόμενον, καὶ μέντοι καὶ ἐθορύβησαν. Πρὸς δὲ τοῖς καὶ διά τι τοιοῦτον· Λούκιός τις Οὐεργίνιος, ἐκ τοῦ πλήθους ὤν, καὶ θυγατέρα ἔχων περικαλλῆ, Λουκίῳ Ἰκιλλίῳ τῶν ὁμοίων αὐτῷ ἐκδώσειν ἔμελλε. B Ταύτης ὁ Κλαύδιος ἐρασθείς, καὶ μὴ τυχών, παρασκευάσέ τινας δουλαγωγῆσαι αὐτήν. Ἐλθὼν ὁ τῆς κόρης πατὴρ ἐκ τοῦ στρατοπέδου, ἐδικαιολογεῖτο. Ὡς δὲ ὁ Κλαύδιος ταύτης κατεψηφίσατο, καὶ τοῖς δουλαγωγοῦσιν αὐτὴν ἡ κόρη παρεδόθη, καὶ οὐδεὶς ἐπήμυνεν, ὑπερῆλγησεν ὁ ταύτης πατὴρ, καὶ τὴν θυγατέρα κοπίδι διαχειρισάμενος, πρὸς τοὺς στρατιώτας, ὡς εἶχεν, ἐξώρμησεν. Οὓς οὐδὲ πρὶν εὖ διακειμένους οὕτως ἐτάραξεν, ὥστε εὐθὺς ἐπὶ τὴν πόλιν πρὸς τὸν Κλαύδιον ἐπειχθῆναι. Καὶ οἱ ἕτεροι δὲ οἱ ἐπὶ τοὺς Σαβίνους ἐστρατευμένοι, ἐπεὶ τοῦτ' ἔμαθον, τό τε τάφρευμα ἐξέλιπον· καὶ συμμίξαντες τοῖς λοιποῖς, ἄνδρας εἴκοσιν ἑαυτῶν προεστήσαντο, καὶ οὐδὲν μικρὸν ἐλογίζοντο πρᾶξαι. Καὶ τὸ ἄλλο δὲ πλῆθος τῷ ἐν τῇ πόλει προσεχώρησεν αὐτοῖς, καὶ μετ' αὐτῶν ἐθορύβει. Ἐν τούτοις ὁ μὲν Κλαύδιος φοβηθεὶς ἐκρύβη. Ὄππιος δὲ τήν τε βουλὴν ἤθροισε, καὶ πέμψας ἐπύθετο τοῦ πλήθους, τί βούλονται. Οἱ δὲ τὸν Οὐαλλέριον Λούκιον καὶ τὸν Ὁράτιον Μάρκον, ἄνδρας ἐκ τῶν βουλευτῶν αὐτοῖς προσκειμένους, πεμφθῆναι σφίσιν ἐζήτουν, ὡς τι δι' ἐκείνων ἀποκρινούμενοι. Ἐπεὶ δὲ οὐκ ἐπέμφθησαν, φοβηθέντων τῶν δέκα ἀρχόντων (ἦ γὰρ πάντες παρῆσαν) μὴ στρατηγοῖς αὐτοῖς κατ' αὐτῶν χρήσαιντο, ὅτι μᾶλλον ὠργίζοντο. Φόβος οὖν τοῖς βουλευταῖς ἐνέπεσεν οὐ μέτριος ἐντεῦθεν, καὶ διὰ τοῦτο καὶ παρὰ γνώμην τῶν ἀρχόντων τόν τε Οὐαλλέριον σφίσι καὶ τὸν Ὁράτιον ἔπεμψαν, κἀκ τούτου, συναλλαγῆς γενομένης, ταῖς μὲν θορυβήσασιν ἄδεια τῶν παραχθέντων ἐδόθη, καὶ ἡ δεκαρχία κατελύθη· αἱ δὲ ἐπέτειοι ἀρχαί, αἵ τε λοιπαὶ καὶ αἱ τῶν δημάρχων ἐπὶ τοῖς αὐτοῖς προνομίοις ἐπανῆλθον, ἐφ' οἷς πρώην ἦσαν. Ἀποδειχθέντες δὲ ἄρχοντες ἄλλοι τε καὶ Οὐεργίνιος, τὸν μὲν Ὄππιον τόν τε Κλαύδιον εἰς δεσμωτήριον ἐνέβαλον, οἳ πρὶν εὐθυνθῆναι ἑαυτοὺς διεχειρίσαντο, τοὺς δὲ λοιποὺς ἐγράψαντο, καὶ ἁλόντες ἐξήλασαν.

ιθ'. Οἱ δ' ὕπατοι (τότε γὰρ λέγεται πρῶτον D ὑπάτους αὐτοὺς προσαγορευθῆναι, στρατηγοὺς καλουμένους τὸ πρότερον) ἦσαν δὲ Οὐαλλέριος καὶ Ὁράτιος, καὶ τότε καὶ μετέπειτα τῷ πλήθει προσέκειντο, καὶ μᾶλλον αὐτοὺς ἢ τοὺς εὐπατρίδας ἐκράτυναν. Ἐλαττούμενοι οὖν οἱ εὐπατρίδαι οὔτε ῥᾴδιον συνελέγοντο, οὔτε τὰ πράγματα ἐπ' αὐτοῖς ἐποίουν παντάπασιν, ἀλλὰ καὶ τοὺς δημάρχους οἰωνοσκοπίᾳ ἐν συλλόγοις χρῆσθαι δεδώκασιν, ὃ λό-

caesum esse : milites ad cadavera tollenda profecti, cum nullum hostile corpus, sed civium complura undique circa Siccium jacentia, et ad eum conversa viderent, quos se defendendo occiderat suspicati, quid actum esset, et tumultuati sunt. Huc aliud facinus accessit. Lucius Virginius homo plebeius, virginem formosissimam L. Icilio ejusdem ordinis viro desponderat : quam cum Claudius deperiret, nec tamen ea potiri posset, quibusdam negotium dedit virginis in servitutem asserendæ. Quam cum pater e castris reversus defenderet, Claudius autem accusatoribus, nemine opitulante, addiceret : pater dolore commotus, filia cultro interfecta, statim ad milites properat : quos nec ante bene affectos sic perturbavit, ut mox in **348** urbem contra Claudium accurrerent. Alii quoque, qui contra Sabinos pugnabant, ea re cognita, vallo deserto congressi cum reliquis, viris XX summa rerum mandata, nihil modicum cogitarunt. Accessit etiam urbana multitudo, ac tumultum auxit. Interea Claudius præ metu se abscondit. Oppius vero, coacto senatu, per internuntios multitudinem percunctatur, quid sibi velit. Quæ cum L. Valerium et M. Horatium senatorii ordinis, sed homines populares, ad se mitti postularet, per quos responsum datura esset, iisque missi non essent : veritis decrem viris, ne contra se consules crearentur (jam enim omnes aderant) major indignatio populi est exorta. Qua territus senatus, vel invitis decemviris, Valerium et Horatium ablegavit : compositaque controversia, tumultus auctoribus data est impunitas, decemviratu abrogato. Annui vero magistratus cum alii, tum tribunorum, iisdem conditionibus, quibus prius steterant, sunt revocati. Lecti cum alii, tum Virginius, Oppium et Claudium in carcerem compegerunt : qui antequam causam dicerent, sibi ipsi manus attulerunt. Reliquos accusatos et damnatos in exsilium ejecerunt.

XIX. Consules vero (quibus tum primum id nomen factum esse fertur, cum ante prætores vocarentur) Valerius et Horatius, et tum deinceps multitudini addicti, plebeiorum opes magis quam patrum firmarunt. Itaque patres immunita auctoritate neque facile conveniebant, neque ullarum rerum potestatem prorsus sibi vindicabant. Quin tribunis etiam in conventibus, auspiciis utendi facultatem per honoris speciem concesserunt (id enim munus ab

Variæ lectiones et notæ.

(1) *Λούκιόν τινα Σίκιον.* Hinc emendandus Ammianus Marcellinus, lib. XXV, qui *Sicinium* vocat : *Sicinium Dentatum adjiciat, ornatum militarium multitudine coronarum. Siccium* etiam vocat Dion. Halicarnasseus.

antiquissimis temporibus ad solos patricios pertinebat) cum revera id agerent, ne tribuni et multitudo quidvis temere agerent, sed per causam auspiciorum aliquando impedirentur. Patricii et senatus irati consulibus, ut populi fautoribus, nec triumphum decreverunt, quamvis uterque hostes vicisset, et neutri diem de more assignarunt : sed multitudo et biduum ferias celebravit, et triumphum illis decrevit. Ea discordia freti hostes, receptis **349** animis Romanos invaserunt. Anno sequente, Marco Genutio et C. Curtio consulibus, contentiones retiudegratæ sunt. Nam plebeiis consulatum expetentibus, quod patricii ad plebem transeuntes tribunatum gererent : patriciis vero acriter defendentibus, multa violenter invicem et dicta et facta sunt. Ne quid vero deterius sequeretur, locupletes magistratum ipsum plebi concesserunt, sed nomen non communicarunt : dixeruntque tribunos militares pro consulibus, ne honoratum vocabulum a promiscua turba inquinaretur. Placuit igitur ternos ab utraque factione tribunos deligi, duorum consulum loco. Neque tamen horum nomen penitus defecit, cum alias tribuni crearentur. Atque hæc ita esse acta traditum est. Dictatores autem non soli consules (quamvis eorum auctoritas, illorum magistratu multo minor esset) sed tribuni etiam aliquando designarunt. Fertur tamen nullus unquam tribunus triumphasse, quamvis multi sæpe hostes vicissent. Ac tribuni tum hoc modo creati sunt. Censores vero anno sequente, Barbato et M. Macrino coss. designati sunt L. Papyrius, et L. Sempronius. Eorum creandi causa fuit, quod consules ob multitudinem omnia negotia exsequi non poterant. Nam jura censoribus attributa ad id usque tempus tenuerant. Ac principio bini fuere censores patricii, qui initio et postremo ad quinquennium imperarunt : interjecto vero tempore, menses XVIII ipsisque consulibus quamvis parte duntaxat potestatis eorum accepta, superiores evaserunt. Muneris eorum fuit, publica vectigalia elocare, vias et publica ædificia curare, cujusque facultates describere, mores civium observare et explorare : ac laude dignos, in tribus, in ordinem equestrem, in senatum referre, pro cujusque meritis : improbæ vitæ homines eodem modo ex albo delere. Id quod majus erat iis omnibus, quæ consulibus relinquebantur. Dabant autem in unoquoque jusjurandum, se nec gratia nec odio quidquam acturos : sed sincero animo, ea quæ e republica essent, et deliberaturos, et acturos. Populum item ad rogandas leges, **350** aliaque munia convocabant : et majorum magistratuum ornamentis, lictoribus exceptis, utebantur. Ac tale censorum munus fuit. Qui vero, cum census agebatur, sua nomina et facultates professi non erant, eorum facultates a censoribus, ipsi a consulibus vendebantur. Et hæc ad tempus aliquod sic acta sunt. Post constitutum est, ut qui semel in senatum

A γῳ μὲν τιμὴν αὐτοῖς ἔφερε καὶ ἀξίωμα, (μόνοις γὰρ τοῦτο ἐκ πάνυ ἀρχαίου τοῖς εὐπατρίδαις ἐπιτέτραπτο) ἔργῳ δὲ κώλυμα ἦν, ἵνα μὴ ῥᾳδίως οἱ δήμαρχοι καὶ τὸ πλῆθος ὅσα βούλοιντο πράττοιεν, ἀλλὰ προφάσει τῆς οἰωνοσκοπίας ἔστιν οὗ ἐμποδίζοιντο. Ἀθχόμενοι δὲ τοῖς ὑπάτοις οἵ τε εὐπατρίδαι καὶ ἡ βουλὴ, ὡς τὰ τοῦ πλήθους φρονοῦσιν, οὐκ ἐψηφίσαντο σφίσι τὰ ἐπινίκια, πόλεμον ἑκατέρου νικήσαντος, οὔθ' ἡμέραν ἑκάστῳ ἀπένειμαν ὥσπερ εἴθιστο, Τὸ μέντοι πλῆθος ἐπὶ δύω τε ἡμέρας ἑώρτασε, καὶ τοῖς ὑπάτοις τὰ νικητήρια ἐψηφίσαντο. Οὕτως οὖν ἐς διαφορὰς τῶν Ῥωμαίων ἐλθόντων, οἱ ἐναντίοι, σφίσιν, ἀναθαρσήσαντες, ἐπῆσαν αὐτοῖς.

B Τῷ δ' ἑξῆς ἔτει Μάρκου Γενουκίου καὶ Γαΐου Κουρτίου ὑπατευόντων, ἐπ' ἀλλήλους ἐτράποντο· Οἵ τε γὰρ τοῦ πλήθους καὶ ὑπατεύειν ἤθελον, ἐπείπερ ἐδημάρχουν οἱ εὐπατρίδαι πρὸς αὐτοὺς μεθιστάμενοι. Καὶ αἱ εὐπατρίδαι λίαν τῆς ὑπάτου ἀρχῆς περιείχοντο, καὶ πολλὰ κατ' ἀλλήλων καὶ βίαια ἔλεγόν τε καὶ ἔπραττον. Ἵνα δὲ μὴ πρός τι χεῖρον χωρήσωσι, τοῦ μὲν ἔργου τῆς ἡγεμονίας οἱ δυνατοὶ αὐτοῖς παρεχώρησαν· τοῦ δὲ ὀνόματος οὐ μετέδωκαν, ἀλλ' ἀνθ' ὑπάτων χιλιάρχους ὠνόμασαν, ἵνα μὴ τὸ τῆς κλήσεως ἔντιμον τῷ σύρφακι ὁμίλῳ καταῤῥυπαίνοιτο. Καὶ τρεῖς ἀφ' ἑκατέρων χιλιάρχους ἀντὶ τῶν δύο ὑπάτων αἱρεῖσθαι συνέδοξεν. Οὐ μέντοι τὸ τῶν ὑπάτων ἐξέλιπε τέλεον ὄνομα, ἀλλά ποτὲ μὲν ὕπατοι καθίσταντο ποτὲ δέ γε χιλίαρχοι. Οὕτω μὲν ταῦτα παραδέδοται γίνεσθαι, καίτοι οὐ μόνον τῶν ὑπάτων δικτάτορας ἀνειπόντων, καὶ ταῦτα

C πολὺ τῆς ἀρχῆς ἐκείνης ἐλαττουμένων, ἀλλὰ καὶ χιλιάρχων τοῦτο πεποιηκότων ἐνίοτε. Λέγεται δὲ, ὅτι οὐδεὶς τῶν χιλιάρχων, καίτοι πολλῶν πολλάκις νικησάντων, ἐπινίκια ἔπεμψεν. Οἱ μὲν οὖν χιλίαρχοι οὕτω τότε ἠρέθησαν. Οἱ δὲ τιμηταὶ τῷ ἐχομένῳ ἔτει Βαρβάτου καὶ Μάρκου Μακρίνου ὑπατευόντων, κατεδείχθησαν καὶ ἠρέθησαν Λούκιός τε Παπείριος καὶ Λούκιος Σεμπρώνιος. Κεχειροτόνηντο δὲ, ὅτι οἱ ὕπατοι ἀδύνατοι ἐπὶ πάντα διὰ τὸ πλῆθος ἐξαρκεῖν ἦσαν. Τὰ γὰρ τοῖς τιμηταῖς ἀπονεμηθέντα προνόμια ἐκεῖνοι μέχρι τότε ἐποίουν. Δύω τε ἦσαν οἱ τιμηταὶ ἐξ ἀρχῆς καὶ ἐκ τῶν εὐπατριδῶν. Ἦρχον δὲ τὰ μὲν πρῶτα καὶ τὰ τελευταῖα ἐπὶ πενταετίαν. Ἐν δὲ τῷ μέσῳ χρόνῳ ἐπὶ τρεῖς ἐξαμήνους, καὶ ἐγένοντο τῶν ὑπάτων μείζους, καίτοι μέρος τῆς ἐκείνων λαβόντες ἀρχῆς. Ἐξῆν δὲ αὐτοῖς τάς τε προσέδους τὰς κοινὰς ἐκμισθοῦν, καὶ τῶν ὁδῶν καὶ τῶν δημοσίων οἰκοδομημάτων ἐπιμελεῖσθαι, καὶ τὰς ἀπογραφὰς τῆς ἑκάστου εὐπορίας διατελεῖν, καὶ τὸν βίον τῶν πολιτῶν ἐπισκοπεῖν τε καὶ ἐξετάζειν, καὶ τοὺς μὲν ἀξίους ἐπαίνου ἐς τὰς φυλὰς καὶ ἐς τὴν ἱππάδα καὶ τὴν γερουσίαν ἐγγράφειν, καθὼς ἑκάστοις προσήκειν ἐνομίζετο· τοὺς δ' οὐκ εὖ βιοῦντας, ἀπανταχόθεν ὁμοίως ἀπελείφειν. Ὃ μεῖζον πάντων ἦν τῶν τοῖς ὑπάτοις καταλειφθέντων. Πίστεις δ' ἐνόρκους ἐφ' ἑκάστῳ πεποίηντο, ὡς οὔτε πρὸς χάριν, οὔτε πρὸς ἔχθραν τι ποιοῦσιν, ἀλλ' ἐξ ὀρθῆς γνώμης τὰ συμφέροντα τῷ κοινῷ καὶ σχο-

ποῦσι καὶ πράττουσι. Καὶ τὸν δῆμον ἐπί τε νόμων εἰσφοραῖς, καὶ τοῖς ἄλλοις συνήθροιζον, καὶ τῷ τῶν μειζόνων ἀρχῶν κόσμῳ, πλὴν ῥαβδούχων ἐχρῶντο. Τοιαύτη ἡ τῶν τιμητῶν ὑπῆρχεν ἀρχή. Τῶν μέντοι μὴ ἀπογραψαμένων τὰς οὐσίας ἐν ταῖς ἀπογραφαῖς καὶ ἑαυτούς, τὰς μὲν οὐσίας οἱ τιμηταὶ, αὐτοὺς δ' ἐκείνους οἱ ὕπατοι ἐπίπρασκον. Χρόνῳ μὲν οὖν τινι ταῦθ' οὕτως ἐπράχθη. Ὕστερον δὲ τὸν ἅπαξ τῇ βουλῇ καταλεχθέντα, διὰ βίου βουλεύειν ἔδοξε μηδ' ἀπαλείφεσθαι, εἰ μή τις ἀδικήσας καὶ κριθεὶς ἠτίμωτο, ἢ κακῶς ζῶν ἠλέγχθη. Τοὺς γὰρ τοιούτους ἀπήλειφον, καὶ ἀντ' αὐτῶν ἑτέρους ἐνέγραφον. Τῶν δὲ πρωτοκαίρως ἀρχόντων πρεσβεῖα μὲν ἐδίδοτο τοῖς δικτάτορσι, δευτερεῖα δέ γε τοῖς τιμηταῖς, ἡ δὲ τρίτη τάξις τοῖς ἱππάρχοις νενέμητο. Καὶ οὕτω ταῦτα ἐτέταχτο, κἂν ἐν ταῖς ἀρχαῖς ἦσαν, κἂν ἀπηλλάγησαν. Εἰ γάρ τις ἐκ μείζονος ἀρχῆς εἰς ὑποδεεστέραν κατέστη, τὸ τῆς προτέρας ἀξίωμα εἶχεν ἀκέραιον. Εἷς δέ τις, ὃν πρίγκιπα μὲν τῆς γερουσίας ὠνόμαζον (λέγοιτο δ' ἂν καθ' Ἕλληνας πρόκριτος), συμπάντων προεῖχε τὸν χρόνον ὃν προεκρίνετο (οὐ γὰρ διὰ βίου τις εἰς τοῦτο προεχειρίζετο), καὶ προέφερε τῶν ἄλλων τῷ ἀξιώματι οὐ μὴν καὶ δυνάμει ἐχρῆτό τινι.

lectus esset, per omnem ætatem in eo maneret: neque deleretur ex albo, nisi ob facinus ignominioso judicio condemnatus esset, aut improbæ vitæ convictus. Talibus enim in ordinem coactis, alios in eorum locum substituebant. In magistratibus temporum causa institutis, principem obtinebant locum dictatores, proximum censores, tertium magistri equitum: qui ordo, sive in magistratu essent, sive eo abiissent, observabatur. Quod si ad humilius munus descendissent, priorem dignitatem inviolatam obtinebant. Unus quidam princeps senatus per id tempus, dum is honos durabat (neque enim perpetuus erat) omnibus dignitate, non potentia præstabat.

Κ'. Χρόνον μὲν οὖν τινα εἰρήνην πρὸς ἀλλήλους καὶ πρὸς τοὺς περιοίκους ἦγαγον. Εἶτα λιμοῦ ἐπικρατήσαντος, ὥστε τινὰς καὶ εἰς τὸν ποταμὸν ἑαυτοὺς ἐμβαλεῖν, μὴ φέροντας τὸν λιμὸν ἐστασίασαν. Οἱ μὲν γὰρ τοὺς εὐπόρους ὡς περὶ τὸν σῖτον κακουργοῦντας ἐν αἰτίᾳ πεποίηντο, οἱ δὲ τοὺς πένητας ὡς τὴν γῆν μὴ βουλευομένους ἐργάζεσθαι. Ἰδὼν δὲ τοῦτο Σπούριος Μάλλιος, ἀνὴρ ἱππεὺς πλούσιος, τυραννίδι ἐπιχειρήκει, καὶ σῖτον ἐκ τῆς περιχώρου πριάμενος, πολλοῖς μὲν ἐπευωνίζων, πολλοῖς δὲ καὶ προῖκα ἐδίδου, κἀκ τούτου συχνοὺς προσῳκειωσάμενος, ὅπλα τε ἐπορίσατο καὶ φρουρούς, καὶ ἐκράτησεν ἂν τῆς πόλεως, εἰ μὴ Μινούκιος Αὔγουρῖνος, ἀνὴρ εὐπατρίδης, ἐπὶ τῇ σιτοδοσίᾳ ταταγμένος, καὶ αἰτιώμενος ἐπὶ τῇ σιτοδείᾳ, εἰσήγγειλε τῇ βουλῇ τὸ πραττόμενον. Ἡ δὲ γερουσία, μαθοῦσα τὸ μήνυμα, δικτάτορα παραυτίκα ἐν τῷ συνεδρίῳ ἀνεῖπε τὸν Κυΐντιον τὸν Λούκιον τὸν Κικινάτον, καὶ ταῦτα παρήλικα ὄντα (ὀγδοηκοντούτης γὰρ ἦν). Κἀκεῖ τὴν ἡμέραν πᾶσαν ἀνάλωσαν συγκαθήμενοι, ὥς τι δὴ βουλευόμενοι, ἵνα μὴ τὸ γεγονὸς ἐκφοιτήσῃ. Νυκτὸς δὲ ὁ δικτάτωρ τὸ Καπιτώλιον καὶ τὰ λοιπὰ τὰ ἐπικαιρότατα διὰ τῶν ἱππέων προκαταλαβών, ἔωθεν ἐπὶ τὸν Μάλλιον ἔπεμψε Γάϊον Σερουίλιον τὸν ἵππαρχον, ὡς δι' ἄλλο τι ἐκεῖνον μεταπεμπόμενος. Ὁ δὲ ὑποτοπήσαντός τι τοῦ Μαλλίου, καὶ διαμέλλοντος δείσας, μὴ ὑπὸ τοῦ πλήθους ἐξαρπασθῇ (ἤδη γὰρ συνέτρεχον) ἔκτεινε τὸν ἄνδρα, ἢ αὐτογνωμονήσας, ἢ τοῦτο κεκελευσμένος πρὸς τοῦ δικτάτορος. Θορυβηθέντος δ' ἐπὶ τούτῳ τοῦ πλήθους, ὁ Κυΐντιος δημηγορήσας, καὶ σῖτον σφίσι παρασχὼν, καὶ μή τινα ἕτερον ἢ κολάσας, ἢ ἐπαιτιασάμενος, τὸν θόρυβον ἔπαυσε. Πολέμων δὲ τοῖς Ῥωμαίοις ἐκ διαφόρων ἐθνῶν ἐπενηνεγμένων, τοὺς μὲν ἐν ὀλίγαις ἡμέραις ἐνίκησαν, τοῖς δὲ Τυρσηνοῖς ἐπὶ μακρὸν ἐπολέμησαν. Ποστουμίου δὲ νενικηκότος τοὺς Αἰκουοὺς, καὶ μεγάλην πόλιν ἑλόντος αὐτῶν, ὅτι μήτ' ἐκείνην οἱ στρατιῶται εἰς προνομὴν ἐξεχωρήθησαν, μήτε τι τῆς λείας αἰτήσαντες ἔλαβον, τόν τε ταμίαν τὸν διατιθέμενον αὐτὴν περιστάντες ἐφόνευσαν, καὶ τὸν

XX. Ad hunc modum pace ad tempus domi et foris constituta, tanta fames urbem oppressit, ut quidam inediam non ferentes, in flumen se præcipitarent. Unde orta seditione, pauperes divitibus annonæ suppressionem, divites pauperibus agriculturæ neglectum crimini dabant. Qua de causa Spurius Melius eques, homo dives, coemptum a finitimis frumentum, aliis minoris vendidit, aliis gratuito dedit. Eaque re multis sibi conciliatis, spe regni concepta, arma et satellites comparavit. Atque urbe potitus esset, nisi Minutius Augurinus, vir patricius, rei frumentariæ præfectus, cum ob annonæ penuriam accusaretur, rem ad senatum detulisset. Qui statim L. Quintium Cincinnatum dictatorem dixerunt virum exactæ ætatis, annum agentem LXXX, atque in curia totum diem deliberantium specie consederunt, ne id decretum foras eliminaretur. Noctu dictator Capitolium et alia opportuna loca per equites occupat. Mane C. Servilium magistrum equitum ad Melium mittit, quasi per aliam causam accersendum. **351** At ille Melium aliquid suspicantem et tergiversantem, veritus ne concursu populi eriperetur, interficit, sive suopte consilio, sive dictatoris jussu. Ob quod factum tumultuante multitudine, Quintius concione habita, et frumento distributo, accusato multatoque nemine, motum eum sedavit. Deinde Romani bellis petiti a diversis gentibus, cæteras paucis diebus vicerunt, sed cum Tyrrhenis longo tempore decertarunt. Milites, cum Posthumius victis Æquis magnam eorum urbem expugnatam, non diripiendam dedisset, neque ex manubiis quidquam concessisset, quæstorem primum, deinde ipsum etiam Posthumium, objurgantem, et cædis auctores ad supplicium postulantem, occiderunt: neque recens captum duntaxat, sed omnem publicum agrum sibi vindicarunt. Ac diuturna fuisset illa seditio, nisi belli ab Æquis redintegrati terrore quievissent. Cædium pœna in paucis consumpta, hostes vicerunt. Quamobrem potentes et manubias

inter eos distribuerunt : et peditibus, deinde etiam equiti stipendia decreverunt. Nam ad id usque tempus sine mercede, ac suis impensis militarant ; ac tum demum stipendia merere cœperunt. Bello adversus Veientes orto, dum illi suo Marte pugnabant, a Romanis sæpe victi, et intra mœnia compulsi sunt. Sed sociorum viribus aucti, eruptione ex urbe facta, Romanos profligarunt. Interea lacus Albanus, tumulis undique septus, cum nullum haberet aqua exitum, dum Veii obsidebantur, ita inundavit, ut aqua ultra montes evoluta, ad mare decurreret. Quo cum Romani divinitus portendi aliquid crederent, Delphicum oraculum consuluerunt. Erat et apud Veientes Tyrrhenus vates, qui cum Pythia consentiebat. Ambo enim urbem expugnatum iri affirmabant, si quæ exundasset aqua, in mare non decurreret, sed alibi consumeretur : et quædam sacra fieri jusserunt. Verum Apollo nec quibus diis, nec quo ritu immolandum esset, declaravit. Tyrrhenus autem cum ea scire videretur, celabat. Itaque Romani circa mœnia, ubi cum eo colloqui solebant, dispositi, simulata amicitia, cum aliis in rebus **352** cum bono animo esse jusserunt, tum impune in castra exire permiserunt : et comprehensum, omnia quæ facto essent opus, effari coegerunt, ex illius igitur præceptis rem divinam fecerunt : perfossoque tumulo, aquam redundantem occultis meatibus in campum emiserunt, in quo omnis consumpta est, nec in mare quidquam influxit.

XXI. Hoc peracto, M. Furius Camillus dictator creatus, cum impetu in mœnia facto nihil profecisset, a longinquo auspicatus, cuniculo in arcem acto, et militibus a Roma voluntariis auctus, urbem corona circumdedit : et civibus in mœnia dispersis, alii per cuniculum clam in urbem penetrarunt. Cum urbem captam diripi videret, illacrymasse, et cum suspirio dixisse fertur : *O dii, si quæ Romanis divina incumbit ultio, eorum contraria felicitati, precor ut in me illa desinat.* Tum vero prædæ decimam, invitis militibus, voto concepto Apollini dicavit. Præterea etiam craterem aureum, ex mulieribus ornamentis conflatum. Pro quo statim eis honos decretus est, ut curribus ad solemnia festa veherentur, ad quæ pedibus prius ire solitæ erant. Camillum autem indignatio atque invidia populi suscepit, tum ob decimam Apollini

Ποστούμιον ἐπιτιμῶντα αὐτοῖς ἐπὶ τούτῳ, καὶ ζητοῦντα τοὺς αὐτόχειρας, προσαπέκτειναν, καὶ τὴν χώραν οὐ τὴν αἰχμάλωτον μόνον, ἀλλὰ καὶ πᾶσαν προσένειμαν ἑαυτοῖς τὴν ἐν τῷ δημοσίῳ τότε τυγχάνουσαν. Κἂν ἐπὶ πλεῖστον ἡ στάσις διήρκεσεν, εἰ μὴ πόλεμος αὖθις Ῥωμαίοις παρὰ τῶν Αἰκουῶν ἐπενήνεκτο. Φοβηθέντες γὰρ διὰ τοῦτο ἡσύχασαν, καὶ τὴν τιμωρίαν τῶν φόνων εἰς ὀλίγους ἐλθοῦσαν ὑπέμειναν, καὶ ἐπὶ τοὺς ἐναντίους στρατεύσαντες, μάχῃ αὐτοὺς νενικήκασι. Διὸ τήν τε λείαν αὐτοῖς οἱ δυνατοὶ διέδοσαν, καὶ μισθὸν τοῖς πεζοῖς, εἶτα καὶ τοῖς ἱππεῦσιν ἐψηφίσαντο. Ἀμισθὶ γὰρ μέχρι τότε καὶ οἰκόσιτοι (2) ἐστρατεύοντο, τότε δὲ πρῶτον μισθοφορεῖν ἤρξαντο. Πολέμου δὲ αὐτοῖς πρὸς Οὐϊέντας συστάντος, ἕως μὲν κατὰ σφᾶς ἐπολέμουν ἐκεῖνοι, πολλάκις αὐτοὺς οἱ Ῥωμαῖοι ἐνίκησαν, καὶ ἐς πολιορκίαν κατέστησαν. Προσγενομένων δὲ αὐτοῖς συμμάχων, ἐπεξῆλθον τοῖς Ῥωμαίοις, καὶ ἐπεκράτησαν. Ἐν τούτοις δὲ καὶ πρὸς τῷ ὄρει τῷ Ἀλβανῷ οὖσα λίμνη ὑπὸ τῶν πέριξ αὐτῆς περικλειομένη λόφων, καὶ μὴ ἔχουσα ἐκροήν, κατὰ τὸν τῆς πολιορκίας τῶν Οὐϊέντων καιρὸν ἐς τοσοῦτον ἐπλημμύρησεν, ὡς ὑπερεχχεῖσθαι καὶ τῶν ὀρῶν, καὶ κατιέναι πρὸς θάλασσαν. Κρίναντες δ' οἱ Ῥωμαῖοι πάντως τι διὰ τούτου θεῖον σημαίνεσθαι, ἔπεμψαν εἰς Δελφοὺς περὶ τούτου χρησόμενοι. Ἦν δέ τις καὶ παρὰ τοῖς Οὐϊένταις Τυρσηνὸς ἀνὴρ μαντικός. Ἐς ταυτὸν οὖν ἥ τε Πυθία καὶ ἡ ἐκείνου μαντεία συνέδραμον· καὶ ἄμφω γὰρ ἁλώσεσθαι τὴν πόλιν εἶπον, ὅταν τὸ ὕδωρ τὸ πλημμυρῆσαν μὴ ἐς θάλασσαν ἐμπέσῃ, ἀλλ' ἀναλωκείη ἑτέρωθι. Καί τινας ἱερουργίας διὰ τοῦτο γενέσθαι ἐκέλευσαν. Ἀλλ' ὁ μὲν Πύθιος οὔτε τίσι θεῶν, οὔθ' ὅπως αὐτὰς ποιήσουσι διεσάφησεν· ὁ δὲ Τυρσηνὸς ἐφίκει μὲν εἰδέναι, οὐδὲν δὲ ἐδήλου. Οἱ γοῦν περὶ τὸ τεῖχος, ὅθεν ἐκεῖνος ὡμίλει, τεταγμένοι Ῥωμαῖοι, φιλίαν πρὸς ἐκεῖνον ὑποκριθέντες, τά τε ἄλλα θαρρεῖν αὐτῷ ἐνεδίδουν, καὶ ἀδεῶς ἐπέτρεπον ἐκφοιτᾶν· καὶ οὕτω συλλαβόντες αὐτόν, πάντα τὰ καθήκοντα ἠνάγκασαν ἐξειπεῖν, καὶ κατὰ τὴν ὑποθήκην ἐκείνου τάς τε θυσίας ἐποίησαν, καὶ τὸν λόφον διέτρησαν, καὶ τὸ πλεονάζον ὕδωρ εἰς τὸ πεδίον κρυπτῇ διώρυχι μετωχέτευσαν, ὥσθ' ἅπαν ἐν αὐτῷ ἀναλίσκεσθαι, καὶ μή τι καταῤῥέειν εἰς θάλασσαν.

ΚΑ'. Ἄρτι μὲν οὖν τοῦτο ἐγένετο, καὶ δικτάτωρ ᾑρέθη Μάρκος Φούριος Κάμιλλος, ὃς προσβαλὼν τῇ πόλει, ἐπεὶ οὐδὲν ἤνυεν, ὑπόγειον ὠρύξατο δίοδον πόῤῥωθεν ἀρξάμενος, ἐς τὴν ἀκρόπολιν φέρουσαν. Παρεσκευασμένου δὲ ἤδη τοῦ ὑπονόμου, ἐπεὶ πολλοὶ καὶ ἀπὸ τῆς Ῥώμης αὐτῷ προσεχώρησαν ἐθελονταὶ, παραλαβὼν κἀκείνους, προσέβαλε τῇ πόλει, καὶ πανταχόθεν τὸ τεῖχος ἐκύκλωσε. Τῶν δ' ἐντὸς περὶ πάντα τὸν περίβολον σκεδασθέντων, ἕλαθον ἕτεροι διὰ τῶν ὑπονόμων γεγονότες ἐντός. Ἁλούσης δὲ τῆς πόλεως, καὶ τῶν Ῥωμαίων διαρπαζόντων τὰ ἐν αὐτῇ, ὁρῶν ἀπὸ τῆς ἄκρας ὁ Κάμιλλος τὰ πραττόμενα, ἐστέναζε, καὶ ἐδάκρυσε. Καὶ, Ὦ θεοὶ, ἔφη, *εἴ τις Ῥωμαίοις ὀφείλεται νέμεσις, τῇδε τῆς εὐπραγίας ἀντίστροφος, εὔχομαι ταύτην* (3) *εἰς ἐμαυτὸν τελευτῆσαι.* Τὴν δὲ τῆς λείας δεκάτην ἐξελών, ἀκόντων τῶν στρατιωτῶν, ἀνέθετο τῷ Ἀπόλ-

Variæ lectiones et notæ.

(2) *Οἰκόσιτοι.* Suidas : Οἰκόσιτος, ὁ ἑαυτὸν τρέφων, μισθωτός.

(3) *Εὔχομαι ταύτην.* Hæc reposuimus ex duobus Reg. et Colbert., cum Wolf. edidisset, εὔχομαι ταύτην εὐχὴν ταῦτα πρὶν ποιησάμενος, ἀνέθετο δὲ καὶ κρατῆρα χρυσοῦν, etc.

λωνι, εὐχὴν τοῦτο πρὶν ποιησάμενος. Ἀνέθετο δὲ καὶ κρατῆρα χρυσοῦν, ἐκ τοῦ τῶν γυναικῶν κόσμου πεποιημένον, ἀνθ' οὗ τιμὴ αὐταῖς παραχρῆμα ἐψηφίστο. Ἡ δὲ ἦν, τὸ ἐπ' ὀχημάτων αὐτὰς ἐς τὰς πανηγύρεις φοιτᾶν, αὐτοποδίᾳ βαδιζούσαις πρότερον ἐς αὐτάς. Τῷ δὲ Καμίλλῳ προσιόντι ὁ δῆμος, καὶ ἐνεμέσησε τὸ μὲν, ὅτι τὴν δεκάτην τῶν λαφύρων οὐκ ἐν τῷ διαρπάζεσθαι ταῦτα, ἀλλὰ καιροῦ παρελθόντος ἐξεῖλετο τῷ Θεῷ· τὸ δ' ὅτι τά τε ἄλλα σοβαρῶς ἐθριάμβευσε, καὶ πρῶτος Ῥωμαίων λευκῷ τεθρίππῳ τὰ ἐπινίκια ἔπεμψεν. Ἡ δὲ τῶν ἐπινικίων πομπὴ, ἣν καὶ θριαμβον ἐκάλουν, τοιάδε τις ἐγίνετο. Ὅτε τι κατωρθώθη μέγα, καὶ ἐπινικίων ἐπάξιον, αὐτοκράτωρ αὐτίκα ὁ στρατηγὸς ὑπὸ τῶν στρατιωτῶν ἀνομάζετο, καὶ κλῶνας δάφνης περιέδει ταῖς ῥάβδοις, καὶ τοῖς δρομοκήρυξι (1) τοῖς τὴν νίκην καταγγέλλουσι τῇ πόλει, κομίζειν ἐδίδου. Ἐλθὼν δὲ οἴκαδε τὴν γερουσίαν συνήθροιζε, καὶ ἤτει ψηφίσασθαί οἱ τὰ ἐπινίκια. Καὶ εἰ ἔτυχε ψήφου παρά τε τῆς βουλῆς καὶ τοῦ δήμου, ἐβεβαιοῦτο αὐτῷ καὶ ἡ ἐπωνυμία τοῦ αὐτοκράτορος. Καὶ εἰ μὲν ἐν τῇ ἀρχῇ ἦν ἔτι, ἐν ᾗ τυγχάνων ἐνίκησε, ταύτῃ καὶ παντηγυρίζων ἐκέχρητο. Εἰ δ' ὁ χρόνος παρελήλυθε τῆς ἀρχῆς, ἄλλο τι πρόσφορον αὐτῇ ἐλάμβανε ὄνομα. Ἰδιώτῃ γὰρ νικητήρια πέμψαι ἀπείρητο. Ἐνσκευασάμενος δὲ τῇ ἐπινικίῳ σκευῇ, καὶ περιβραχιόνια λαβών, στέφανόν τε δάφνης ἀναδησάμενος, καὶ κλάδον κρατῶν ἐν τῇ δεξιᾷ, τὸν δῆμον συνεκάλει· καὶ ἐπαινέσας τοὺς συστρατευσαμένους αὐτῷ καὶ κοινῇ, καὶ ἰδίᾳ τινὰς, ἐδωρεῖτο μὲν σφίσι χρήματα, ἐτίμα δὲ καὶ κόσμῳ, περιβραχιόνιά τέ τισι, καὶ δόρατα ἀσίδηρα παρεῖχε, καὶ στεφάνους τοῖς μὲν χρυσοῦς, τοῖς δὲ ἀργυροῦς ἐδίδου, τοὔνομά τε ἑκάστου καὶ τῆς ἀριστείας φέροντας, τὸ ἐκτύπωμα. Εἴ γάρ τείχους τις πρῶτος ἐπέβη, καὶ τείχους ὁ στέφανος εἶδος ἐφέρετο· ἢ καὶ ἐξεπολιόρκησέ τι, καὶ τοῦτο κἀκεῖνο εἰκόνιστο. Ἐναυκράτησέ τις, ναυσὶν ὁ στέφανος ἐκεκόσμητο. Ἱππαρχήσας τις, ἱππικόν τι ἐξετετύπωτο. Ὁ δὲ πολίτην τινὰ ἐκ μάχης, ἢ ἑτέρου κινδύνου, ἢ ἐκ πολιορκίας σώσας, μέγιστόν τε εἶχε τὸν ἔπαινον, καὶ ἐλάμβανε στέφανον γινόμενον ἐκ δρυὸς, ὃς πολὺ πάντων καὶ τῶν ἀργυρῶν καὶ τῶν χρυσῶν ὡς ἐντιμότερος προτετίμητο. Καὶ οὐ κατ' ἄνδρα μόνον ἀριστεύσαντα ταῦτα ἐδίδοτο, ἀλλὰ καὶ λόχοις, καὶ στρατοπέδοις ὅλοις παρείχετο. Καὶ τῶν λαφύρων πολλὰ μὲν τοῖς στρατευσαμένοις διανενέμητο. Ἤδη δέ τινες καὶ παντὶ τῷ δήμῳ διέδοσαν, καὶ ἐδαπάνων εἰς τὴν πανήγυριν, καὶ ἐδημοσίευον. Καὶ εἴ τι περιελέλειπτο, εἰς νεὼς, εἰς στοὰς, ἢ καί τι ἕτερον δημόσιον ἔργον ἀνήλισκον. Ταῦθ' ὁ πομπεὺς ποιήσας, εἰς τὸ ἅρμα ἀνέβαινε. Τὸ δὲ δὴ ἅρμα οὔτ' ἀγωνιστηρίῳ, οὔτε πολεμιστηρίῳ ἦν ἐμφερὲς, ἀλλ' ἐς πύργου περιφεροῦς τρόπον ἐξείργαστο. Καὶ οὐ μόνος ἦν ἐν τῷ ἅρματι, ἀλλ' ἄν γε καὶ παῖδας ἢ

A non in direptione urbis, sed tempore elapso exemplam: tum quod in triumpho, præter cætera insolentius acta, candidos equos currui junxisset. Fuit autem triumphi hujusmodi ratio. Re bene gesta, justaque parta victoria, dux statim a militibus imperator appellatus, fasces laureatos per cursores in urbem mittebat. Domum reversus, convocato senatu, decerni sibi triumphum petebat: ac suffragiis a senatu populoque impetratis, imperatoris cognomen tum ei confirmabatur. Quod si adhuc magistratum gerens aliquem, vicerat, eo etiam in celebritate utebatur. Sin tempus exierat, aliud nomen sibi accommodatum assumebat. Privato enim triumphare non licebat. Triumphali habitu ornatus, armillis sumptis, laurea redimitus, et ramum dextra tenens, populum convocabat. Et militibus publice, quibusdam etiam seorsim laudatis, pecuniam donabat, et ornamenta: **353** ut armillas, hastas sine ferro, et coronas aliis aureas, aliis argenteas, expresso in iis nomine et facinore viri. Nam qui murum primus conscenderat, aut castellum expugnarat, ei muralis et obsidionalis dabatur. Qui classe vicerat, ejus corona specie navium erat. Si equestri pugna vicerat, aliquid equestre effingebatur. Qui vero civem in prælio, obsidione, aliove periculo liberarat, cum summam laudem assequebatur, tum quernam coronam accipiebat, cujus honos omnibus argenteis et aureis præferebatur. Hæc dona non viritim tantum, sed et cohortibus et exercitibus totis præbebantur. Spoliorum magna pars inter milites distribuebatur. Fuerunt etiam, qui toti sumptus ad specula publica largirentur. Quod supererat, in fana, in porticus, et alia publica opera conferebant. His triumphator peractis, currum conscendebat, neque bellicis, neque iis similem, quorum in ludis usus est, sed instar turris rotundæ confectum. Neque solus eo vehebatur, sed si liberos, aut cognatos aliquos habebat, vel suas vel illorum puellas et puellos in eo collocabat, grandiores equis jugalibus et anterioribus imponebat. Si plures erant, equis singularibus victorem comitabantur. Cæterorum civium equitabat nemo, sed laureati omnes sequebantur. Unus item publicus minister in ipso curru vehebatur, coronam auream gemmis interpolatam supra caput ejus tenens, et retro videre jubens: quo monebat, ut reliquæ vitæ cursum provideret, nec eo honore elatus superbiret. Appensa quoque erat currui nola et flagellum, quæ inurebant, eum in tantas calamitates posse incidere, ut aut flagris cæderetur, aut capitis damnaretur. Nam qui ob facinus extremo supplicio afficiebantur, nolas gestare solebant: ne quis inscius eundum, contactu illorum piaculo se obstringeret. Sic autem exornati urbem ingrediebantur, spoliis et victoriæ insignibus antecedentibus, in quibus

Variæ lectiones et notæ.

(1) Δρομοκήρυξι. *Tabellariis*, qua voce rursum utitur infra, lib. IX, sect. 8. Vide Henric. Valesium ad Harpocration. p. 272.

expressa erant castella, urbes, montes, fluvii, paludes, maria, denique omnia quæ capta erant. Quod si pompa uno die peragi non poterat, secundus et tertius sumebatur. Iis rebus præmissis, triumphator in forum **354** Romanum delatus, aliquot captivis in carcerem duci occidique jussis, in Capitolium invehebatur: ibique aliquot cæremoniis peractis, et donariis dedicatis, cum in porticibus ibi cœnatus esset, vesperi tibiis et fistulis antecedentibus domum redibat. Ac triumphus olim hujusmodi fuit: sed seditiones et factiones plurima in eis innovarunt.

A συγγενεῖς (5) τινας εἶχε, κἀκείνων τὰς μὲν χώρας καὶ τὰ ἄῤῥενα τὰ νεογνὰ ἐν αὐτῷ ἀνεβίβαζε, τοὺς δὲ ἀῤῥοτέρους ἐπὶ τοὺς ἵππους τούς τε ζυγίους καὶ τοὺς σειραφόρους ἀνετίθετο· εἰ δὲ πλείους ἦσαν, ἐπὶ κελήτων τῷ πομπεῖ παριππεύοντες συνεπόμπευον. Τῶν δ' ἄλλων οὐδεὶς ὠχεῖτο, ἀλλ' ἐστεμμένοι δάφνῃ πάντες ἐβάδιζον. Οἰκέτης μέντοι δημόσιος ἐπ' αὐτοῦ παρωχεῖτο τοῦ ἅρματος, τὸν στέφανον τῶν λίθων τῶν χρυσοδέτων ὑπερανέχων αὐτοῦ, καὶ ἔλεγε πρὸς αὐτόν, Ὀπίσω βλέπε, τὸ κατόπιν δηλαδὴ καὶ τὰ ἐφεξῆς προσκόπει τοῦ βίου, μηδ' ὑπὸ τῶν παρόντων ἐπαρθῇς καὶ ὑπερφρονήσῃς. Καὶ κώδων (6) ἀπήρτητο, καὶ μάστιξ τοῦ ἅρματος, ἐνδεικτικὰ τοῦ καὶ δυστυχῆσαι αὐτὸν δύνασθαι, ὥστε καὶ αἰκισθῆναι, ἢ καὶ δικαιωθῆναι θανεῖν. Τοὺς γὰρ ἐπί τινι ἀτοπήματι καταδικασθέντας θανεῖν, νενόμιστο κωδωνοφορεῖν, ἵνα μηδεὶς βαδίζουσιν αὐτοῖς ἐγχρίμπτόμενος μιάσματος ἀναπίμπληται. Οὕτω δὲ σταλέντες εἰσῆεσαν εἰς τὴν πόλιν, ἔχοντες προπέμποντα σφῶν τὰ σκύλα τε καὶ τὰ τρόπαια, καὶ ἐν εἰκόσι τά τε αἰχμάλωτα φρούρια ἠσκημένα, πόλεις τε καὶ ὄρη, καὶ ποταμοὺς, λίμνας, θαλάσσας, τά τε σύμπαντα ὅσα ἐαλώκεσαν. Καὶ εἰ μὲν μία ἡμέρα ἦν ἐξαρκοῦσα πρὸς τὴν τούτων πομπήν· εἰ δὲ μὴ καὶ ἐν δευτέρᾳ καὶ τρίτῃ ἐπέμπετο. Προδιελθόντων δ' ἐκείνων, οὕτως ὁ πομπεὺς εἰς τὴν Ῥωμαίων κομισθεὶς ἀγορὰν, καὶ τῶν αἰχμαλώτων τινὰς εἰς τὸ δεσμωτήριον ἀπαχθῆναι καὶ θανατωθῆναι κελεύσας ἀνῆλαυνεν εἰς τὸ Καπιτώλιον, καί τινας ἐκεῖ τελετὰς πληρώσας, καὶ προσαγαγὼν ἀναθήματα, καὶ παρὰ ταῖς ἐκεῖ δειπνήσας στοαῖς, πρὸς ἑσπέραν οἴκαδε μετ' αὐλῶν καὶ συρίγγων ἀπήρχετο. Τοιαῦτα μὲν ἦσαν πάλαι τὰ νικητήρια· αἱ δὲ στάσεις αἵ τε δυναστεῖαι πλεῖστα ἐνεωτέρισαν ἐπ' αὐτοῖς.

XXII. Etsi autem plebs, ut jam dictum est, Camillum oderat, tamen ob bellum Faliscum necessario tribunum militum designant. Qui cum prælio vicisset, urbis validæ, cui Falerii nomen erat, obsidione nihil proficiebat. Quam cives ita contemnebant, ut eorum liberi cum præceptore juxta mœnia deambularent et exercitationes frequentarent. Itaque Romani re infecta discessuri erant, nisi casu retenti essent. Is enim præceptor, sive ex offensa aliqua, sive lucri spe civibus insidians, quotidie pueros prope mœnia prima perducebat, eosque peractis exercitationibus statim reducebat. Denique omnes in excubias Romanorum conjectos, ad Camillum duci jussit: eique dixit, per eos pueros se totam illi urbem tradere. Camillus id facinus detestatus, imperatori suapte virtute, non aliena improbitate freto, bella gerenda esse dixit. Ac magistrum nudatum, manibus post tergum illigatis, reducendum Falerios pueris tradidit: virgis et flagellis datis, ut proditorem verberibus in urbem agerent. Proditione cognita, concursuque virorum et mulierum lamentantium in mœnia facto, pueri magistrum nudum adducunt. Quo spectaculo promoti Falisci, re cognita, ultro deditionem Camillo fecerunt, se illius tam justum imperium suæ libertati præponere professi. Qui cum accepta pecunia, dataque pace recessisset, milites direptione Faleriorum frustrati, populi odium ei objecerunt: ac magis aucta invidia, repetundarum accusatus est, ut qui Tyrrhenam prædam subripuisset, nec in ærarium inde quidquam intulisset. Unde tanta iracundia populi condemnatus est, ut privati luctus illius, mortuo altero filio,

B ΚΒ'. Εἰ δὲ καὶ, ὡς ἤδη ἱστόρηται, ὁ δῆμος ἐμίσει τὸν Κάμιλλον, ἀλλ' ὁ πρὸς Φαλίσκους πόλεμος ἠνάγκασε χιλίαρχον ψηφισθῆναι αὐτόν. Καὶ αὐτοὺς μὲν ἐνίκησαν μαχεσάμενοι. Πολιουρκοῦντες δὲ πόλιν αὐτῶν ἐρυμνὴν, Φαλερίους (6') ὠνομασμένην, οὐδὲν ἤνυον. Οὕτω γὰρ τῆς πολιορκίας οἱ τῆς πόλεως κατεφρόνουν, ὡς καὶ τοὺς παῖδας αὐτῶν παρὰ τὰ τείχη περιπατήσοντας μετὰ τοῦ διδασκάλου, καὶ γυμνασομένους φοιτᾷν. Κἂν ἀπέστησαν τῆς πολιορκίας, εἰ μή τι συμβέβηκεν. Οὗτος γὰρ ὁ διδάσκαλος ἐπιβουλεύων τοῖς πολίταις, ἢ δι' ὀργήν τινα, ἢ κέρδους ἐλπίδι, ἡμέρας ἑκάστης ἐξῆγε τοὺς παῖδας ἐπὶ τὸ τεῖχος ἐγγὺς τὸ πρῶτον, καὶ εἰσῆγεν αὖθις αὐτοὺς γυμνασαμένους εὐθύς. Τέλος δ' εἰς τοὺς προφύλακας τῶν Ῥωμαίων ἐνέβαλεν ἅπαντας, καὶ ἄγειν ἐκέλευσε πρὸς τὸν Κάμιλλον. Καὶ παραστὰς αὐτῷ, πᾶσαν εἶπε παραδιδόναι τὴν πόλιν διὰ τῶν παίδων. Ἐκεῖνος δὲ δεινὸν τὸ ἔργον ἡγησάμενος, καὶ ἀρετῇ φήσας ἰδίᾳ τὸν μέγαν στρατηγὸν, ἀλλ' οὐκ ἀλλοτρίᾳ κακίᾳ θαῤῥοῦντα χρῆναι στρατεύειν, προσέταξε γυμνωθῆναι μὲν τὸν διδάσκαλον, καὶ δεσμῆσαι τὰς χεῖρας ὄπισθεν, τοῖς δὲ παισὶ ῥάβδους δοῦναι, καὶ μάστιγας, ἵνα ταύταις τὸν προδότην δήσαντες καὶ τύπτοντες, εἰς τὴν πόλιν ἐλαύνωσι. Τῶν δὲ πολιτῶν ἅρτι γνόντων τὴν προδοσίαν, δρόμος ἦν ἐπὶ τὰ τείχη, καὶ θρῆνος ἀνδρῶν τε καὶ γυναικῶν. Οὕτω δὲ διακειμένων αὐτῶν, προσῆγον οἱ παῖδες γυμνὸν τὸν διδάσκαλον. Ὅπερ ἰδόντες οἱ Φαλίσκοι, καὶ μαθόντες ὅπως ἐγένετο, φέροντες ἑαυτοὺς ἐθελονταὶ τῷ Καμίλλῳ παρέδοσαν, τὴν ἧτταν ἀγαπήσαι πρὸ τῆς ἐλευθερίας διὰ τὴν δικαιοσύνην αὐτοῦ λέγοντες. Χρήματα οὖν λαβὼν, καὶ σπεισά-

Variæ lectiones et notæ.

(5) *Παῖδας ἢ συγγενεῖς*. Vide Henric. Valesium ad Nicolai Damasceni Excerpta, pag. 71.

(6) *Καὶ κώδων*. Vide Henricum Valesium ad Harpocrationem.

(6') *Φαλερίους*. Dionis excerpta Valesiana, pag. 578.

μενος, ἀνεχώρησεν. Οἱ δὲ στρατιῶται διαρπάσειν προσδοκήσαντες τοὺς Φαλερίους, ὡς μισοδήμου κατηγόρουν αὐτοῦ. Φθονηθεὶς δ' ἐπὶ πλέον κατηγορήθη, ὡς μηδὲν τὸ δημόσιον ἐκ τῶν Τυρρηνικῶν ὠφελήσας χρημάτων, αὐτὸς δ' ἐκ τούτων σφετερισάμενος. Οὕτω δὲ ὠργίζοντο κατ' αὐτοῦ, ὡς μηδ' οἰκτον αὐτοῦ τινα λαβεῖν ἐπὶ τῇ συμβάσῃ αὐτῷ συμφορᾷ. Τέθνηκε γὰρ αὐτοῦ νοσήσας ὁ ἕτερος τῶν υἱῶν. Διόμενος δὲ τῶν φίλων, μὴ περιδεῖν αὐτὸν ἀδίκως κατακρινόμενον, ἐπείπερ ἐκεῖνοι πρὸς μὲν τὴν ψῆφον αὐτῷ βοηθήσειν ἀπείπαντο, τὴν δὲ ζημίαν ὄφλοντι συνεκτίσειν ὑπέσχοντο, οὐκ ἀνασχόμενος ἔγνω φυγεῖν ἐκ τῆς πόλεως, καὶ ἐξιὼν ηὔξατο, εἰ μὴ δικαίως, ὕβρει δὲ δήμου ἐκπίπτει, καὶ φθόνῳ, ταχὺ τοὺς αὐτοὺς πολίτας αὐτοῦ δεηθῆναι, καὶ ζητῆσαι αὐτόν. Ἐκεῖνος μετὰ οὖν πρὸς Ῥουτούλους μετέστη, ἐρήμην δ' ἐάλω, καὶ ψῆφος ἠνέχθη κατ' αὐτοῦ τίμημα μυρίων καὶ πεντακισχιλίων ἀσσαρίων ἔχουσα, ὃ γίνεται πρὸς ἀργυρίου λόγον δραχμαὶ χίλιαι πενταχόσιαι.

A nulla ratio haberetur. Cumque amicos rogasset, ut sibi per injuriam damnato opem **355** ferrent, illi vero contra suffragia judicum, auxilia ei negarent, sed ad multam solvendam stipem promitterent; ea conditione repudiata, cum exsulatum abiret, precatur, si nulla sua culpa, sed injuria et invidia populi pelleretur, ut sui cives sua opera celeriter egerent, seque desiderarent, ad Rutulos se contulit: indictaque causa damnatus est XV millibus æris, quæ drachmas MD argenti valent.

ΚΓ'. Οἱ δ' Εὐρωπαῖοι Γαλάται, ὧν οἱ Ἀσιάται νομίζονται ἄποικοι, Κελτικὸν ὄντες γένος, λιπόντες τὴν ἑαυτῶν, ὡς οὐκ αὐτάρκη τρέφειν αὐτοὺς, οἱ μὲν ἐπὶ τὰ ὄρη τὰ Ῥιπαῖα ὥρμησαν· οἱ δὲ τῶν Ἄλπεων ἱδρυθέντες ἐγγὺς, χρόνον ἐκεῖ διήγαγον πλείονα. Τότε δὲ οἴνου κομισθέντος ἐξ Ἰταλίας, τούτου γευσάμενοι, καὶ ὑπερθαυμάσαντες, ἁράμενοι τὰ ὅπλα καὶ γενεὰς ἐπαγόμενοι τὴν γῆν ἐκείνην ἐζήτουν, ἥ τοιοῦτον καρπὸν ἀναδίδωσι. Καὶ πρὸς πόλιν Τυρρηνίδα, Κλούσιον καλουμένην, στρατεύσαντες, ἐπολιόρκουν αὐτήν. Οἱ δὲ Κλουσηνοὶ πρὸς τοὺς Ῥωμαίους κατέφυγον, αἰτοῦντες βοήθειαν. Πρέσβεις δ' ἐκ Ῥώμης πρὸς ἐκείνους ἐπέμφθησαν, οὓς οἱ Γαλάται διὰ τὸ τῶν Ῥωμαίων ὄνομα ἐντίμως ἐδέξαντο, καὶ τοῦ τειχομαχεῖν παυσάμενοι, εἰς λόγους συνεληλύθασιν. Ἐν τούτοις δὲ λοχήσαντες οἱ Κλουσηνοὶ μετὰ τῶν ἐκ Ῥώμης πρέσβεων, ἐπέθεντο τοῖς Γαλάταις. Ὁ δὲ τῶν Γαλατῶν βασιλεὺς Βρέννος, ὀργισθεὶς ἐπὶ τούτῳ, τῶν Κλουσηνῶν ἀμελήσας, εὐθὺς, ὡς εἶχε, τὸ στράτευμα κατὰ τῆς Ῥώμης ἐκίνησεν, ἐπεὶ μὴ ἐπὶ τιμωρίᾳ οἱ πρέσβεις αὐτῷ ἐξεδίδοντο· καὶ τοσούτῳ τάχει ἐχρήσατο, ὥστ' ἐπελθεῖν αὐτοὺς τῇ πόλει, μὴ προμαθόντων Ῥωμαίων τὴν ἔφοδον. Τὸ μέντοι δαιμόνιον προαγγεῖλαι αὐτοῖς τὴν ἔφοδον λέγεται. Μάρκος γὰρ Καίδικος νυκτὸς ποτὲ βαδίζων, φωνῆς ἤκουσε λεγούσης, *Γαλάται ἔρχονται*. Εἰρηκότος δὲ τοῦτο Μάρκου τῷ δήμῳ καὶ τῇ βουλῇ, ἐν παιδιᾷ τὸν λόγον ἐποιοῦντο, καὶ γέλωτι, ἕως αὐτάγγελοι οἱ Γαλάται σφῶν πλησίον ἐγένοντο. Τότε δὲ σπουδῇ ἐξελθόντες, καὶ ἀτάκτως ἀγωνισάμενοι, αἰσχρότατα ἥττηντο. Καὶ πολλοὶ μὲν ἐν τῇ μάχῃ πεπτώκασι, πολλοὶ δὲ φεύγοντες ἐθνήσκον καταλαμβανόμενοι, πλεῖστοι δὲ καὶ εἰς ποταμὸν τὸν Τίβεριν συνωθήθησαν καὶ ἐφθάρησαν. Οἱ δὲ λοιποὶ σκεδασθέντες, οἱ μὲν εἰς τὴν Ῥώμην ἐλθεῖν ἠδυνήθησαν, οἱ δὲ ἀλλαχοῦ. Οἱ δ' ἐν τῇ Ῥώμῃ γνόντες τὸ γεγονὸς, ἐν ἀμηχανίᾳ ἐγένοντο. Καὶ ἀπογνόντες, οὔτε τῶν τειχῶν φυλακὴν ἔθεντο, οὔτε τῆς πόλεως τὰς πύλας ἔκλεισαν, ἀλλ' οἱ μὲν αὐτὴν ἐκλιμπάνοντες ἔφευγον, οἱ δὲ σὺν γυναιξὶ καὶ τέκνοις ἀνέβραμον εἰς τὸ Καπιτώλιον. Μόνοι δὲ ὀγδοήκοντα ἄνδρες, οὓς οἱ μὲν ἱερεῖς εἶναί φασιν, οἱ δὲ τοὺς πρώτους Ἰώμαίων καθ' ἡλικίαν καὶ πλοῦτον καὶ γένος, ἐνδύντες ἱερὰς ἢ πολυτελεστάτας στολὰς ἐν ἀγορᾷ ἐπὶ τῶν ἐλε-

B XXIII. Cæterum Europæi Galli, quorum coloni perhibentur Asiatici, terra sub agrorum penuriam relicta partim ad Riphæos montes sunt profecti, partim prope Alpes diu consederunt. Tum vero Italico vino gustato, admiratione tantæ suavitatis, sumptis armis, cum uxoribus et liberis, terram illam, quæ talem liquorem gigneret, quærentes, Clusium Tyrrheniæ oppidum obsederunt. Clusini cum a Romanis supplices auxilia peterent, Galli Romanos legatos ob nomen populi honorifice susceperunt: et oppugnatione omissa, ad colloquium venerunt. Interea Clusini cum Romanis legatis Gallos ex insidiis invaserunt. Quod Brennus Gallorum rex indigne ferens, Clusinis neglectis, evestigio Romam versus duxit exercitum, cum ei legati ad supplicium non dederentur, tanta celeritate, ut Urbem invaderet, priusquam eorum accessum Romani cognovissent, quanquam divinitus prænuntiatum. Marcus enim Cædicus fertur, noctu iter faciens, vocem audivisse, quæ diceret: *Galli veniunt*. Quam cum senatui populoque narrasset, verba ejus cum ludibrio et risu excepta sunt, donec Galli ipsi in propinquo suum adventum nuntiarunt. Tunc estimanter egressi, temere commisso prælio, sunt turpissime superati, multi in pugna, multi in fuga comprehensi: plurimi in Tiberim flumen præcipitati perierunt. Reliqui dissipati, partim Romam pervenerunt, partim alio. Qui in Urbe erant, cladem eam deplorantes, inopes consilii, et desperabundi, nec mœnia custodiverunt, nec portas clauserunt: sed alii fugam ceperunt, alii cum uxoribus et liberis Capitolium occuparunt. Soli LXXX viri (quos alii sacerdotes fuisse memorant, alii Romanorum ætate opibus et genere **356** principes) sive pretiosissimis stolis induti, in sellis eburneis in foro cum majestate consederunt, imminentem fortunam exspectantes. Postridie Galli ad Romam venerunt: sed cum portas apertas, et mœnia præsidiis vacua viderent, restitere, nec ingressi sunt, subesse insidias suspicati. Tertio die, sumpta fiducia, impetu facto urbem ceperunt. Barbarorum rex Capitolium præsidio sepsit: forumque perambulans, senum illorum tranquillum et tacitum concessum est miratus. Gallos etiam stupor invasit, ob inusitatum

spectaculum ad eos accedere non ausos. Tandem quidam unum aggressus, promissam ejus barbam deorsum traxit; ei senem, qui baculum ejus capiti illiserat, stricto ense occidit, eodemque modo reliqui a barbaris cæsi sunt, ædes direptæ et incensæ. Deinde Capitolio per multos dies frustra oppugnato, alii in præsidiis manserunt, alii ad commeatum petendum agros populati sunt, dispersi, ac nullo ordine, elati successibus, et præ ebrietate titubantes. Nam vini magna copia reperta, avide se ingurgitarant, ut qui prius similem potum non gustassent. Quos ubi Camillus sic affectos vidit (nam Ardeatem quoque agrum infestabant) cum Ardeatium justa multitudo esset, sed ob belli gerendi imperitiam non satis audaciæ haberet: apud juniores sermonem injecit, successus illos non fortitudini barbarorum, sed infelicitati Romanorum esse ascribendos. Quod si strenuam operam imperterriti navare vellent, citra periculum hostes superaturos affirmavit. Sic persuasis adolescentibus, mox etiam ceteris, ætate florentes armat: et profunda nocte barbaros aggressus, plerosque illic cecidit. Si qui vero in tenebris effugerunt, eos interdiu equites comprehensos occiderunt. Eam victoriam cum fama celeriter passim vulgasset, Romani qui ex prima pugna Gallica evaserant, sumptis armis ad Camillum se contulerunt, petentes, ut imperium in se exercere vellet. Id ille recusavit, priusquam ab iis qui in Capitolio incolumes essent, decerneretur. Cum nemo esset, qui id in Capitolium nuntiaret, quidam adolescens Pontius **357** Cominius, gloriæ cupiditate id discrimen adiit, perque medios hostes clam ad tumulum Capitolinum evasit: et cum ægre nunc pronus, nunc supinus arrepsisset ab excubitoribus ad magistratus est perductus: nuntiataque victoria, et militum voluntate exposita, eos hortatus, ut imperium Camillo confirmarent. Qui cum ab eis dictator dictus esset, Romanorum qui foris erant ad xx millia, et magnis sociorum auxiliis comparatis, ad pugnam se paravit. At barbari cum interdiu circumeuntes animadvertissent, ubi Pontius in Capitolium conscendisset (id vero ex abruptis petræ fragmentis, et herba, quæ multa in ea erat, partim evulsa, partim conculcata, conjectabant) illic et ipsi noctu ascendere statuerunt: et rem aggressi, ægre illi quidem, sed ascenderunt tamen. Ac propugnacula attigissent et vigiles oppressissent, nisi anseres, qui in æde Junonis alebantur, cum natura sensus excitatos habeant, et ad quemvis strepitum expavescant, celeriter Gallorum adventu animadverso, cum turbulento strepitu fugientes, vigiles cæterosque omnes excitassent. Sic Romani, iis qui ascenderant partim occisis, partim de petra dejectis, id periculum evitarunt. Ex eo Gallis immissi sunt animi, cum oppugnationis ærumnas septem mensibus tolerassent. Itaque duce Barbarorum Brenno, et Romanorum tribuno Sulpitio, de pacificatione tractantibus, convenit, ut Romani Gallis mile pondo auri numerarent: Galli

A φαντίνων δίφρων ἐκάθηντο, τὴν ἐπιοῦσαν προσμένοντες τύχην. Οἱ δὲ Γαλάται τῇ ὑστεραίᾳ ἦλθον μὲν ἐπὶ τὴν Ῥώμην. Ἰδόντες δὲ τὰς πύλας ἠνεῳγμένας, καὶ τὸ τεῖχος ἀφύλακτον, ἐπέσχον, καὶ οὐκ εἰσῆεσαν, ἐνέδραν ὑποτοπήσαντες. Τῇ δὲ τρίτῃ θαρσήσαντες εἰσεπήδησαν, καὶ εἷλον τὴν πόλιν. Καὶ τῷ μὲν Καπιτωλίῳ φρουρὰν ὁ τῶν βαρβάρων ἐπέστησε βασιλεύς· αὐτὸς δὲ διιὼν τὴν ἀγορὰν, ἐθαύμαζε τοὺς προκαθημένους ἐκείνους ἄνδρας, ὁρῶν ἐν κόσμῳ αὐτοὺς ἀτρεμοῦντας, καὶ σιωπῇ. Τοὺς δὲ Γαλάτας εἶχεν ἔκπληξις πρὸς τὸ ἄτοπον, ὠκνουν δὲ αὐτοῖς προσελθεῖν. Ὀψὲ δὲ τολμήσας τις ἐνὶ παρέστη, καὶ τῆς ὑπήνης ἁψάμενος τοῦ ἀνδρὸς, κατῆγε ταύτην βαθεῖαν οὖσαν. Ὁ δὲ τῇ βακτηρίᾳ τὴν κεφαλὴν ἐκείνου ἐπάταξε, καὶ ὁ βάρβαρος σπασάμενος τὴν B μάχαιραν, τὸν ἄνδρα κατέκτεινεν. Οὕτω δὲ τοὺς λοιποὺς ἀνῄρουν οἱ βάρβαροι, προσπεσόντες αὐτοῖς, καὶ τὰς οἰκίας ἐπόρθουν καὶ κατεπίμπρασαν. Εἶτα καὶ τῷ Καπιτωλίῳ προσέβαλον. Ὡς δ' ἐπὶ πολλὰς ἡμέρας ἐπιχειροῦντες οὐδὲν ἤνυον, οἱ μὲν ἐφρούρουν τὸ Καπιτώλιον, οἱ δὲ τὴν χώραν κατέτρεχον, τροφὰς ποριζόμενοι, σκιδνάμενοι καὶ σποράδην ἐπιόντες, ἀλλ' οὐχ ὁμοῦ, ἅτε μέγα φρονοῦντες τῷ εὐτυχήματι, καὶ ὑπὸ μέθης ἐσφάλλοντο. Οἶνῳ γὰρ ἐντυχόντες πολλῷ ἀκρατέστερον ἐχρῶντο αὐτῷ, μήπω πρότερον πώματος τοιούτου γευσάμενοι. Οὕτω δ' ἔχοντας ὁρῶν τοὺς Γαλάτας ὁ Κάμιλλος, ἐπεὶ καὶ τὴν τῶν Ἀρδεατῶν ἐλπίζοντο χώραν, αὐτοὺς δὲ τοὺς Ἀρδεάτας πλήθει μὲν ἱκανοὺς ὄντας, τόλμης δὲ δεομένους διὰ ἀπειρίαν καὶ τὸ πρὸς μάχας ἀνάσκητον, λόγους πρὸς τοὺς νεωτέρους ἐνέβαλεν, ὡς οὐκ ἀνδρίᾳ τῶν βαρβάρων τὴν εὐπραγίαν αὐτῶν ἐπιγράφεσθαι δεῖ, ἀλλ' ἀτυχίᾳ Ῥωμαίων, καὶ εἰ προθυμοῖντο καὶ θαῤῥοῦσιν αὐτοὶ, ἀκινδύνως νικήσειν τοὺς πολεμίους διισχυρίζετο. Οὕτω πείθει τοὺς νέους, εἶτα καὶ τοὺς λοιποὺς, ὥπλισε τοὺς ἐν ἡλικίᾳ, καὶ νυκτὸς βαθείας μεθύουσιν αὐτὸς μετὰ τῶν Ἀρδεατῶν τοῖς βαρβάροις προσέμιξε, καὶ τοὺς πλείονας ἐκεῖ κατέκοψεν. Εἰ δέ τινες καὶ φυγεῖν ἠδυνήθησαν ἐν τῷ σκότει, μεθ' ἡμέραν διέφθειρον αὐτοὺς ἱππεῖς καταλαμβάνοντες. Τῆς δὲ φήμης ταχὺ κηρυξάσης, ἅπαντα χοῦ τὸ κατόρθωμα, ὅσοι τῶν Ῥωμαίων φυγόντες ἐκ τῆς πρώτης πρὸς τοὺς Γαλάτας μάχης ἐσώζοντο, τὰ ὅπλα λαβόντες, ἀπῆσαν πρὸς τὸν Κάμιλλον, δέ- P χεσθαι δεόμενοι τὴν ἀρχὴν αὐτῶν. Ὁ δ' οὐκ ἔφη πειθήσεσθαι, μὴ πρότερον τῶν ἐν τῷ Καπιτωλίῳ σωζομένων, ψηφισαμένων αὐτῷ τὴν ἀρχήν. Ἦν δὲ ἀπορία τοῦ ταῦτα διαγγελοῦντος τοῖς εἰς τὸ Καπιτώλιον. Εἷς δέ τις τῶν νέων Κομήνιος Πόντιος, δόξης ἐρῶν, ὑπέστη τὸν ἄθλον, καὶ λαθὼν διὰ μέσων διέβη τῶν πολεμίων, καὶ τῷ λόφῳ τοῦ Καπιτωλίου προσπελάσας, καὶ χαλεπῶς ἀνερπύσας, μόλις τε ἀναῤῥιχησάμενος, πρὸς τοὺς ἐντέλει τῶν Ῥωμαίων παρὰ τῶν φυλαττόντων εἰσήχθη, καὶ τὴν τε νίκην τοῦ Καμίλλου κατήγγειλε, καὶ τὰ δόξαντα τοῖς στρατιώταις εἶπὼν, βεβαιῶσαι τῷ Καμίλλῳ τὴν ἀρχὴν παρεκάλει. Οἱ δὲ Δικτάτορα τὸν Κάμιλλον ἐψηφίσαντο. Καὶ ὃς, τοὺς ἔξω ὄντας Ῥωμαίους περὶ δισμυρίους συναγαγὼν, καὶ ἀπὸ τῶν

συμμάχων πολλούς, παρεσκευάζετο πρὸς ἐπίθεσιν. Οἱ δὲ Βάρβαροι μθ' ἡμέραν διιόντες, καὶ καταμαθόντες ὅθεν ὁ Πόντιος προσέβη τῷ Καπιτωλίῳ (τοῦτο δ' ὑπετόπασαν ἔκ τε τῶν ἀπερρωγότων τῆς πέτρας ῥητυμάτων, καὶ τῆς πόας, ἣ πολλὴ ἐπ' αὐτῆς ἦν, τῆς μὲν ἀνεσπασμένης, τῆς δὲ συμπεπιλημένης), ἐκεῖθεν ἀναβῆναι νυκτὸς καὶ αὐτοὶ ἐβουλεύσαντο· καὶ ἐπεχείρησαν τῷ ἔργῳ, καὶ δυσχερῶς μὲν ἀνῆλθαν ὅ' ὅμως, καὶ ἔλαθον ἂν ἡμένοι τοῦ προτειχίσματος, καὶ τινὲς φύλαξιν ἐπιθέμενοι, εἰ μὴ χῆνες ἦσαν περὶ τὸν νεὼν τῆς Ἥρας τρεφόμενοι, οἳ φύσει ὄντες εὐαίσθητοι καὶ ψοφοδεεῖς, ταχὺ τῶν Γαλατῶν τὴν ἔφοδον ἤσθοντο, καὶ παραχώδει κλαγγῇ φερόμενοι πρὸς τοὺς φύλακας, ἐπήγειραν ἅπαντας. Οὕτω δὲ τοῖς ἀνιοῦσιν οἱ Ῥωμαῖοι προσμίξαντες, τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ κατὰ τῆς πέτρας ἀπώσαντο, καὶ τὸν κίνδυνον ἐκπεφεύγασιν. Ἐντεῦθεν ἦσαν οἱ Κελτοὶ ἀθυμότεροι, ἐφ' ἑπτὰ μησὶ τῇ πολιορκίᾳ ταλαιπωρούμενοι. Διὸ καὶ περὶ συμβάσεων ὅ τε τῶν Βαρβάρων βασιλεὺς Βρέννος, καὶ ὁ τῶν Ῥωμαίων χιλίαρχος ὁ Σουλπίκιος διελέχθησαν· καὶ συνέδοξε χιλίας λίτρας χρυσίου τοῖς Γαλάταις τοὺς Ῥωμαίους καταβαλεῖν, τοὺς δὲ τὸ χρυσίον λαβόντας αὐτίκα τῆς πόλεως καὶ τῆς χώρας ἀπαναστῆναι. Κομισθέντος δὲ τοῦ χρυσίου, καὶ τῶν Βαρβάρων περὶ τὸν σταθμὸν κακουργούντων λάθρα, ὁ Βρέννος, τὸ ξίφος ἅμα καὶ τὸν ζωστῆρα λύσας, ἐπέθηκε τοῖς σταθμοῖς. Ὑθουμένου δὲ τοῦ χιλιάρχου, τί τὸ γινόμενον; *Τί ἄλλο*, εἶπεν, *ἢ τοῖς νενικημένοις ὀδύνη*; Ἐν τούτοις ὁ Κάμιλλος ἄγων τὸν στρατὸν, ταῖς πύλαις ἐπέστησε τῆς πόλεως· καὶ μαθὼν τὰ γινόμενα, πρὸς τοὺς Ῥωμαίους ἐπειγόμενος ἐπορεύετο. Καὶ ἐλθὼν, τὸ μὲν χρυσίον ἆρας ἀπὸ τοῦ ζυγοῦ, τοῖς ὑπηρέταις ἔδωκε, τὸν ζυγὸν καὶ τὰ σταθμὰ τοῖς Κελτοὺς λαβόντας ἀποχωρεῖν ἐκέλευσεν, εἰπὼν ὡς *Σιδήρῳ πάτριόν ἐστι Ῥωμαίοις, καὶ οὐ χρυσῷ, τὴν πατρίδα σώζειν*. Τοῦ δὲ Βρέννου ἀδικεῖσθαι φάσκοντος, λυομένης τῆς ὁμολογίας, ἀντεῖπεν ὁ Κάμιλλος, μὴ κυρίας εἶναι τὰς συνθήκας αὐτοῦ μὴ συμπράξαντος, ἤδη δικτάτορος ἠρημένου. Ταραχθεὶς οὖν ὁ Βρέννος μέχρι ξιφουλκίας προῆλθεν, ὅμως δὲ εἰς τὸ στρατόπεδον προήγαγε τοὺς Κελτούς· εἶτ' ἐκλιπὼν τὴν πόλιν, καὶ σταδίους ἑξήκοντα προελθών, ἐστρατοπέδευσεν· Ἅμα δ' ἡμέρᾳ παρὼν ὁ Κάμιλλος ἐπ' αὐτὸν, τεθαρρηκότας ἤδη ἐπαγόμενος τοὺς Ῥωμαίους, καὶ τρέπεται τοὺς Βαρβάρους φόνῳ πολλῷ, καὶ λαμβάνει σφῶν τὸ στρατόπεδον. Οὕτως ἡ Ῥώμη παραλόγως ἥλω, καὶ ἐσώθη παραλογώτερον· ὁ δὲ Κάμιλλος ἐθριάμβευσε. Τῆς οὖν πόλεως διεφθαρμένης παντάπασι, τὸ πλῆθος ἀνοικοδομεῖν αὐτὴν οὐκ ἠβούλετο, οὔτε χρήμασιν οὔτε σώμασιν ἐρρωμένοι, καὶ μικροῦ ἐξέλιπον ἂν αὐτήν. Οὐδὲ γὰρ ἐπείθοντο οὔτε τοῖς ἐν τέλει, οὔτε τῇ γερουσίᾳ, παρακαλοῦσι καὶ συμβουλεύουσι μὴ ἐκλιπεῖν τὸ ἄστυ, ὃ ἐκ τῶν πολεμίων ἤδη ἐσέσωστο, εἰ μὴ ἐν τῇ ἀγορᾷ πάντων περὶ τούτου βουλευομένων, ἑκατόνταρχος φρουρὰν ἄγων τινά, καὶ παρ' αὐτὴν τὴν ἐκκλησίαν διιὼν τυχαίως, *Ἐνταῦθα στῆτε*, πρὸς τοὺς αὐτῷ ἑπομένους ἐβόησεν· *ἐνταῦθα γὰρ δεῖ ὑμᾶς μεῖναι*. Θείᾳ γὰρ προνοίᾳ ἐνόμισαν ταῦτ' εἰρῆσθαι, καὶ τοῦ μεταναστεῦσαι ἀπέσχοντο. Πρὸς δὲ τὸν ἀνακαινισμὸν τῆς Ῥώμης σὺν προθυμίᾳ ἐτράποντο, καὶ τά τε τείχη καὶ τὰς ἰδιωτικὰς οἰκίας ἐντὸς ἐνιαυτοῦ ἀνεκαίνισαν.

vero, auro accepto, statim urbe agroque Romano excederent. Auro allato, Barbaris in pensando clam fraudem struentibus, Brennus ensem et balteum lateri demptum ponderibus imposuit. Rogante tribuno, quid id esset? *Quid aliud*, inquit, *nisi victis dolor?* Interea Camillus cum exercitu ad portas urbis accessit: et statu rerum cognito, propere ad Romanos abit, aurum de lancibus sublatum ministris dat auferendum, Gallos cum lancibus et ponderibus abire jussit: *Romani enim moris esse ferro, non auro patriam tueri.* Brenno conquerente, injuriam sibi fieri, si pacta rumperentur, Camillus respondit, pacta irrita esse, ut quæ facta fuissent absque **358** suo assensu, qui jam dictator creatus esset. Quo sermone turbatus Brennus, parum abfuit quin ensem stringeret. Sed tamen Gallo: in castra duxit: eaque deinde, relicta urbe, ad stadia LX promovit. Cum primum diluxisset, adest Camillus, Romanos jam fidentes adducit: et Barbaris cum multa cæde profligatis, castra occupat. Sic Roma capta mirabiliter, et majore miraculo liberata, Camillus triumphavit. Sed multitudo urbem penitus eversam instaurare noluit, ob inopiam pecuniæ, et corporum imbecillitatem. Ac parum abfuit quin ea desereretur: ac neque senatui, neque aliis magistratibus, ab deserendæ urbis consilio, profligato hoste, revocantibus paruisset plebs, nisi cum in foro ea de re omnes deliberarent, centurio quidam ex præsidio revertens, dum forte agmine forum transiret, in comitio exclamasset: *Hic state, hic vobis manendum est.* Ea enim verba divinitus prolata arbitrati, migrationis consilium abjecerunt: et ad Romæ instaurationem alacriter conversi, tum mœnia, tum privatas ædes annuo spatio refecerunt.

ΚΔ'. Οὔπω δὲ τῆς περὶ ταῦτὰ παυθείσης ἀσχολίας, πόλεμοι προσέπεσον διαφόρων ἐθνῶν, Αἰκουῶν τε, καὶ Οὐολούσκων, καὶ Λατίνων. Τυρρηνοὶ δὲ Σούτριον ἐπολιόρκουν, συμμαχίδα Ῥωμαίων πόλιν. Ἀποδείκνυται οὖν τὸ τρίτον δικτάτωρ ὁ Κάμιλλος, καὶ στρατεύσας ἐπ' αὐτοὺς, κατετροπώσατο τοὺς λοιποὺς. Ἐπὶ δὲ τὸ Σούτριον ἦγε τὴν στρατειάν. Οἱ δὲ Σουτρινοὶ (ἔτυχον γὰρ τὴν πόλιν τοῖς πολεμίοις ἐκ-

XXIV. Verum ea occupatione nondum defunctos, bella variarum gentium infestarunt, Æquorum, Volscorum et Latinorum. Tyrrheni Sutrium, sociam populi Romani urbem, obsederunt. Ieitur Camillus tertium dictator dictus, cæteris profligatis, exercitum contra Sutrium duxit. Enimvero Sutriani, dedita hostibus urbe, cum uxoribus et liberis Camillo in itinere obviam facti sunt. Qui-

bus visis, Camillus, eorumque casibus cognitis, statim, ut erat, Sutrium properat : ac subito aggressus, urbem nulla munitam custodia, civibus incolumem eodem die restituit. His rebus gestis triumphavit, magnam gloriam adeptus. Marcus vero Manlius, qui primus Gallos Capitolio depulit, unde Capitolini nomen est adeptus, præ cæteris Camillo invidens, regnum affectavit : eaque de causa plebe sibi obsequiis devincta, in cujus gratiam nihil non faciebat, a factione sua ad Capitolium occupandum dictus est. Quare Camillus quartum dictator est dictus. Senatu autem et magistratibus cæteris admodum consternatis, et quid agendum **359** esset dubitantibus, servus quidam promisit, se Capitolinum eis viventem traditurum. Acceptisque armatis, et clam per insidias sub Capitolio collocatis, transfugæ specie se ad illum confert : ejusque facto collaudato, a conservis suis auxilia pollicetur. Quæ cum diceret, virum paulo longius a circumstantibus, ut arcani aliquid diceturus, in eum Capitolii locum, quo insidiæ collocatæ erant, perductum, præcipitat. Ita captus in prætorium abducitur ; ubi cum res suas gestas commemoraret, et Capitolio judicibus ac circumstanti coronæ (ex eo enim loco videri poterat) ostenso, ut et arcem, et eos qui illuc confugerant, conservasset, in memoriam revocaret : judices, miseratione adducti, cum neque absolutum, neque damnatum ampliarunt. Eo Camillus cognito, judices in alium locum traduxit, unde Capitolium conspici non poterat. Ubi condemnatus, et in Capitolium perductus, de rupe Tarpeia præcipitatur, unde Gallos ipse profligarat. Deinde multa bella partim ipsi urbi, partim subjectis civitatibus illata, Romani et per Camillum, et eo jam senio effœto, per alios omnia propulsarunt : et summo otio ab exteris hostibus potiti, inter sese certarunt. Nam cum M. Fabius patricius, duarum filiarum pater, natu majorem Licinio Stoloni, homini longe inferioris conditionis, juniorem Sulpitio Rufo, sui loci viro, despondisset : interim dum Rufus tum tribunus in foro versatur, soror uxorem ejus invisit. Illo revertente, cum lictor veteri quadam consuetudine fores pulsaret, ad eum strepitum mulier, illius rei insolens, expavescit : eaque de causa risu et a sorore et a cæteris orto, ut plebeia muliercula, deridetur. Quam illa rem iniquo animo ferens, maritum ad petendos honores incitat : cujus impulsu Stolon, re cum L. Sextio sui ordinis homine communicata, per vim tribunatum uterque expetiverunt, confuso reipublicæ ordine, ut per annos quatuor nulla esset populi obedientia, patriciorum comitiis interruptis. Auctaque turba illa esset, nisi nuntiatum fuisset, Gallos denuo Romam invasuros. Omissa igitur omni inter se contentione, Camilloque **360** quintum dictatore dicto, contra hostes sunt profecti. Sed antequam prælium committeretur, singulare certamen est initum. Titus enim Manlius, vir pa-

δεδωκότες, καὶ ταύτης ἀποχωρήσαντες) καθ' ἑδὸν ἔτι ὄντι τῷ Καμίλλῳ μετὰ γυναικῶν καὶ τέκνων ὑπήντων. Οὓς ἰδὼν ὁ Κάμιλλος, καὶ τὰ συμβεβηκότα πυθόμενος, αὐτίκα πρὸς τὸ Σούτριον, ὡς εἶχεν, ἠπείγετο, καὶ ἀπροσδοκήτως αὐτῷ προσβαλὼν, ἀφύλακτόν τε εὑρὼν, ἀπαθὲς κακῶν αὐθημερὸν τοῖς πολίταις αὐτὸ ἀνεσώσατο. Ἐθριάμβευσεν οὖν ἐπὶ τούτοις, ἄγων τὰ ἐπινίκια, καὶ ἐπὶ μέγα δόξης ἦρτο. Μάρκος δὲ ὁ Μάλλιος πρῶτος τοὺς Κελτοὺς τῷ Καπιτωλίῳ προσβαλόντας ἐκ τῆς ἄκρας ὠσάμενος, ὅθεν καὶ Καπιτωλῖνος προσωνομάσθη, φθονῶν τῷ Καμίλλῳ μᾶλλον τῶν ἄλλων, τυραννίδι ἐπέθετο. Καὶ διὰ τοῦτο ᾠκειοῦτο τὸν ὅμιλον δημαγωγῶν, καὶ πάντα πράττων εἰς θεραπείαν αὐτοῦ. Παραλαβὸν οὖν αὐτὸν τὸ πλῆθος ἀνήγαγεν εἰς τὸ Καπιτώλιον, καὶ κατέσχον αὐτό. Διὸ καὶ δικτάτωρ τὸ τέταρτον ἡρέθη ὁ Κάμιλλος. Τῶν δὲ τῆς γερουσίας καὶ τῶν ἐν τέλει ἐς μέγα δέος ἐμπεπτωκότων, καὶ ἀπορούντων τί ἂν πράξαιεν, δοῦλός τις αὐτοῖς προσελθὼν, ζῶντα τὸν Καπιτωλῖνον σφίσι παραδώσειν ὑπέσχετο. Λαβὼν οὖν ὁπλίτας, καὶ τάξας αὐτοὺς ἀφανῶς ἐνεδρεύειν ὑπὸ τὸ Καπιτώλιον, ὡς αὐτόμολος τῷ Καπιτωλίνῳ προσκεχωρήκει, ἐπῆνει τε αὐτὸν τῆς ἐπιχειρήσεως, καὶ βοήθειαν παρὰ τῶν ὁμοδούλων αὐτῷ ἐπηγγέλλετο. Καὶ ταῦτά οἱ διαλεγόμενος, ἀπήγαγε τὸν ἄνδρα πόρρω τῶν περιεστηκότων, ὡς δή τι κοινολογούμενος αὐτῷ ἰδιαίτατα, καὶ ἠρέμα κατ' ἐκεῖνο τοῦ Καπιτωλίου προσῄει, καθ' ὃ ἡ ἐνέδρα ἐλελόχιστο, κἀκεῖθεν αὐτὸν κάτω ἀπῶσατο, ὃς καὶ ληφθεὶς ἀποκεκόμιστο πρὸς τὸ δικαστήριον. Ὁ δὲ τάς τε ἀριστείας κατέλεγε, καὶ τὸ Καπιτώλιον τοῖς τε δικάζουσι καὶ τοῖς περιεστῶσιν ἐδείκνυ, ἄποπτον ὂν ἐκεῖθεν, καὶ τῆς σωτηρίας αὐτοῦ τε καὶ τῶν ἐν αὐτῷ προσπεφευγότων πολιτῶν ἀνεμίμνησκεν, ὡς ἐντεῦθεν καταχλάσθαι τοὺς δικαστὰς, καὶ ὑπερτίθεσθαι τὴν ψῆφον, μήτ' ἀφιέντας, μήτε καταδικάζοντας. Τοῦτο δὴ νοήσας ὁ Κάμιλλος, εἰς ἄλλον τόπον τὸ δικαστήριον συνεστήσατο, ὅθεν οὐκ ἦν τὸ Καπιτώλιον ἄποπτον· καὶ καταψηφισθεὶς ὁ Καπιτωλῖνος ἐκεῖ, ἀπήχθη τε εἰς τὸ Καπιτώλιον, καὶ κατὰ τῆς πέτρας ὠσθεὶς ἀπώλετο, καθ' ἧς ἐκεῖνος τὸν Κελτὸν κατεκρήμνισεν. Εἶτα πολλῶν πολέμων κατά τε τῆς Ῥώμης αὐτῆς, καὶ τῶν ὑποκειμένων αὐτῇ πόλεων κινηθέντων ἐπεξελθόντες τοῖς ἐναντίοις οἱ Ῥωμαῖοι, διά τε τοῦ Καμίλλου καὶ δι' ἑτέρων ἤδη ἐκείνου ὑπεργηράσαντος, τούς τε πολέμους κατέπαυσαν, καὶ εἰρήνην βαθεῖαν ἔσχον πρὸς τοὺς ἐκτὸς, πρὸς ἀλλήλους δὲ ἐστασίαζον. Μάρκος γάρ τις Φάβιος εὐπατρίδης, θυγατέρων δύο τυγχάνων πατὴρ, τὴν μὲν πρεσβυτέραν Λικιννίῳ τινὶ Στόλωνι κατηγγύησε, πολὺ αὐτοῦ καταδεεστέρῳ· τὴν δὲ νεωτέραν Σουλπικίῳ Ῥούφῳ ἀνδρὶ ὁμοτίμῳ συνῴκισε. Χιλιαρχοῦντος οὖν τοῦ Ῥούφου, καὶ ὄντος ἐν ἀγορᾷ, πρὸς τὴν γυναῖκα αὐτοῦ ἡ ἀδελφὴ αὐτῆς παραγέγονεν. Ἀφικομένου δ' ἐκείνου, τὴν θύραν ὁ ῥαβδοῦχος κατὰ τὸ ἔθος ἀρχαῖον ἔκρουσε. Διεπτοήθη δὲ πρὸς τὸν πάταγον ἡ γυνὴ οὔπω τούτου πεπειραμένη. Καὶ γέλως ἐπὶ τούτῳ καὶ παρὰ τῆς ἀδελφῆς καὶ τῶν παρόντων ἐγένετο, καὶ ὡς ἰδιώτις ἐσκώφθη. Τῇ δὲ

εν δεινῷ τὸ πρᾶγμα πεποίητο, καὶ τὸν ἄνδρα ἐς ἀρ- A tricius, offenso patre, neglectus in agro versaba-
χὴν παραγγεῖλαι ἠρέθιζεν. Ὁ γοῦν Στόλων, ὑπὸ τῆς tur. Cui deinde reconciliatus, factusque tribunus
γυναικὸς παρακινηθεὶς, Λουκίῳ τινὶ Σεξτίῳ ἀνδρὶ militum, Gallum a quo provocatus fuerat, vicit :
τῶν ὁμοίων τὰ τοῦ πράγματος κοινωσάμενος, ἄμφω et aureum torquem illi detractum gestare solitus.
δημαρχῆσαι κατεδιάσαντο, καὶ τὸν κόσμον τῆς πο- Torquati cognomentum invenit. Exercitibus quoque
λιτείας συνέχεον, ὡς καὶ ἐπὶ τέσσαρσιν ἔτεσιν ἀναρ- congressis Galli superati, Romano itinere omisso,
χίαν γενέσθαι τῷ δήμῳ. Τὰς γὰρ τῶν εὐπατριδῶν Albanum agrum populabantur. Id Romani prohi-
ἀρχαιρεσίας ἐνεπόδιζον, καὶ ἐπὶ πλέον ἂν ἔτι τοῦτο bere noluerunt, donec mero et crapula distentos
ἐγένετο, εἰ μή τις ἀγγελία κεκόμιστο, ἐπὶ τὴν Ῥώ- minore periculo aggressi, multos occiderunt, eos-
μην αὖθις ἐλαύνειν τοὺς Κελτούς. Ἅπαν οὖν πρὸς que castris exuerunt. Camillus Romam reversus,
ἀλλήλους ἀφέντες διάφορον, δικτάτορα τὸ πέμπτον magistratum deposuit. Ab eo tempore tribunis mi-
τὸν Κάμιλλον εἵλοντο, καὶ πρὸς τοὺς Βαρβάρους litum, qui in consulum successerant locum abro-
ἐστράτευσαν· οὐ μάχῃ μέντοι κοινῇ, μονομαχίᾳ δὲ gatis, consules designari cœperunt, alies patricii,
γέγονε πρότερον. Ἴττος γάρ τις Μάλλιος ἀνὴρ εὐ- alias plebeii, nonnunquam utriusque ordinis simul.
πατρίδης, προσκεκρουκὼς τῷ πατρὶ παρημελεῖτο Lue Romæ grassante, Camillus etiam est mortuus,
καὶ διέτριβεν ἐν ἀγρῷ. Εἶτα τῷ πατρὶ διηλλάγη, B cujus obitus plurimum tristitiæ Romanis attulit.
καὶ χιλίαρχος στρατοπέδου γενόμενος, τῷ τε προκαλουμένῳ Κελτῷ πρὸς μονομαχίαν ἀντέστη, καὶ
νικήσας αὐτὸν, τὸν στρεπτὸν αὐτοῦ χρυσοῦν ὄντα ἐσκύλευσε, καὶ Τουρκουάτος φορῶν αὐτὸν ἐπεκέ-
κλητο. Συμμιξάντων δὲ καὶ τῶν στρατευμάτων, ἥττηντο οἱ Κελτοὶ, καὶ τῆς μὲν ἐπὶ τὴν Ῥώμην ὁρ-
μῆς ἀπέσχοντο, τὴν δ' Ἀλβανίδα ἐλεηλάτουν. Ἐλάσαντες οὖν αὐτοὺς οἱ Ῥωμαῖοι διαρπάσαι τὴν χώ-
ραν, ὡς κατακορεῖς γενόμενοι βρωμάτων καὶ μέθης εὐεπιχειρητότεροι εἶεν, ἐπέθεντο σφίσι, καὶ αὐτῶν
τε πολλοὺς διέφθειραν, καὶ τὸ αὐτῶν εἷλον στρατόπεδον. Ὁ δὲ Κάμιλλος εἰς τὴν Ῥώμην ἐπανελθὼν,
ἀπέθετο τὴν ἀρχήν. Ἔκτοτε οὖν οἱ μὲν χιλίαρχοι οἳ ἀντὶ τῶν ὑπάτων ἐγίνοντο, ἐσχολάκασιν, ὕπατοι δὲ
ἀπεδείκνυντο, ἐνίοτε μὲν εὐπατρίδαι, ἐκ δὲ τοῦ πλήθους ἐνίοτε, ποτὲ δὲ καὶ ἐξ ἀμφοτέρων ὁμοῦ. Νόσου
δ' ἐνσκηψάσης τῇ Ῥώμῃ, καὶ ὁ Κάμιλλος τέθνηκε, καὶ οἱ Ῥωμαῖοι πλεῖστα θανόντος τοῦ ἀνδρὸς ἠνιά-
θησαν.

ΚΕ'. Μετὰ δὲ ταῦτα, καί τι συμβῆναι πάθος περὶ XXV. Post hujusmodi, malum Romanos invasisse
τὴν Ῥώμην ἱστόρηται. Διαστῆναι γὰρ τὸ πεδίον fertur, ut ea planicies, quæ intra palatium et Capi-
λέγεται τὸ μεταξὺ τοῦ Παλατίου, καὶ τοῦ Καπιτω- tolium est, subito hiatu, neque terræ motu,
λίου ἐξάπινα, μήτε σεισμοῦ προηγησαμένου, μήτ' C neque alia re, unde talia natura oriuntur, ante-
ἄλλου τινὸς οἷα συμβαίνειν εἴωθε φυσικῶς ἐπὶ τοιού- gressa, discesserit, ac ita permanserit diu. Qui
τοις παθήμασι. Καὶ ἦν τὸ χάσμα διαμένον ἐπὶ μα- cum neque coiret ullo modo, neque expleretur:
κρὸν, οὔτε συνερχόμενον οἷως δήποτε, οὔτε μέντοι quamvis Romanis multum et terræ, et saxorum,
πληρούμενον, καὶ ταῦτα χοῦν τε Ῥωμαίων ἐς αὐτὸ et alterius materiæ omnis generis eo congeren-
συμφορούντων πολὺν, καὶ λίθους, καὶ ἄλλην ὕλην tibus : oraculum consultum respondit, voraginem
παντοδαπήν. Ἀποροῦσιν οὖν τοῖς Ῥωμαίοις χρη- illam non expleri posse, priusquam res optima,
σμὸς ἐδόθη, μὴ ἄλλως τὸ διεστὼς συνελθεῖν, εἰ μὴ τὸ quaque plurimum Romani possent, in eam conji-
κρεῖττον αὐτῶν, καὶ δι' οὗ μάλιστα πλεῖστον ἰσχύου- ceretur. Sic enim et spe cum illum desiturum, et
σιν, εἰς τὸ χάσμα ἐμβάλλουσιν· οὕτω γὰρ ἐκεῖνό τε urbis imperium nunquam eversum iri. Hoc respon-
παύσεται, καὶ τῇ πόλει ἔσεται δύναμις ἀκατάλυτος. so non explicata est difficultas, propter obscurita-
Ἔμενεν οὖν καὶ πάλιν τὸ ἄπορον ἀπορούμενον, ἀσα- tem. Verum Marcus Curtius, vir patricius, ætate
φοῦς τυγχάνοντος τοῦ χρήσμου. Μάρκος δὲ Κούρτιος, integra, forma pulcherrima, viribus maximis, ani-
ἀνὴρ εὐπατρίδης, νέος τὴν ἡλικίαν, ὡραιότατος τὴν mo fortissimo, prudentia ornatissimus, oraculo in-
μορφὴν, ῥωμαλεώτατος τὴν ἰσχὺν, ἀνδρειότατος tellecto, pro concione dixit : *Quid obscuritatem*
τὴν ψυχὴν, φρονήσει διαπρεπὴς, τὸν νοῦν συνεὶς D *oraculi, Quirites, aut tarditatem ingeniorum nostro-*
τοῦ χρησμοῦ, παρελθὼν εἰς μέσον ἐδημηγόρησε, λέ- *rum accusamus? Nos id sumus quod quæritur,*
γων· *Τί τῶν λογίων ἀσάφειαν, ὦ Ῥωμαῖοι, ἢ ἀμα- omnesque suspensos tenet. Neque enim inanima*
θίαν ἡμῶν αὐτῶν καταψηφιζόμεθα; Ἡμεῖς ἐσμεν præferenda sunt animatis : neque ea quæ mente et
τοῦτο δὴ τὸ ζητούμενόν τε καὶ ἀπορούμενον. Οὐ intelligentia prædita sunt, et sermone ornata, brutis
γάρ τι ἄψυχον ἐμψύχου λογισθήσεται βέλτιον, 361 rationis et prudentiæ expertibus postponenda.
οὐδὲ τοῦ ἔννου καὶ ἔμφρονος καὶ λόγῳ κεκοσμημέ- Nam quid homini anteponatis, quo injecto hiatum
νου τὸ ἄνουν, ἄλογόν τε καὶ ἄφρον προτιμηθήσεται. illum contrahamus? Non est ullum mortale ani-
Τί γὰρ ἂν τις ἀνθρώπου προκρίνοιεν, ἵνα mantis genus homine præstantius, aut fortius. Quod
τοῦτο ἐς τὴν τῆς γῆς βαλόντες διάστασιν, αὐτὴν si audacius loquendum sit, quid est homo, nisi
συναγάγοιμεν; Οὐκ ἔστιν οὐδὲν ζῷον θνητὸν οὐδ' Deus corpore mortali circumseptus? aut quid Deus
ἄμεινον, οὐδ' ἰσχυρότερον ἀνθρώπου. Εἰ γάρ est, nisi homo omnis ex materia concretionis expers,
τι δεῖ καὶ θρασυνόμενον εἰπεῖν, οὔτ' ἄνθρωπος atque immortalis? Neque nos longe a divina poten-
οὐδὲν ἄλλο ἐστὶν ἢ Θεὸς σῶμα θνητὸν ἔχων, οὔτε tia absumus. Hæc mihi persuasa sunt, quæ vobis
θεὸς ἄλλο τι ἢ ἄνθρωπος ἀσώματος, κἀντεῦθεν etiam persuasa esse velim. Neque vero quisquam

existimet me sortem ducturum, aut virginem puerumve immolari jussurum. Nam ego ipse me pro nobis devoveo, ut me hodie statim caduceatorem et oratorem ad deos Manes ablegetis, semper patronum vestrum et adjutorem futurum. His dictis, arma induit, equum conscendit. Cæteri, inter lætitiam et mœrorem ambigui, ornamenta quædam partim ad eum ipsum pro heroe excolendum, partim quæ in hiatum conjicerentur, attulerunt. Qui cum primum equo insidens, se in specum immisit, hiatu illo expleto, neque voraginem, neque Curtium quisquam vidit. Hæc ita narrantur a Romanis: quæ si eni fabulosa et a fide veri aliena videbuntur, non postulo ut multum eis tribuat. Deinde Romanis alia bella et a Gallis et ab aliis gentibus sunt illata, sed propulsata omnia, vel a consulibus vel a dictatoribus, quo tempore hujusmodi quiddam accidit. Lucius Camillus dictator dictus, cum Galli suburbanum agrum incursarent, educto exercitu, in animo habuit ducere bellum, neque decertare cum hominibus, temere in perniciem suam ruentibus, quos facilius et tutius penuria commeatus domiturus esset. Gallo autem cuidam ex Romanis aliquem ad singulare certamen provocanti, restitit M. Valerius tribunus militum, ex Maximi illius posteritate. Certamen illustre fuit. Nam alter prudentia et arte superior erat, Gallus audacia et viribus: sed illud mirabilius, quod in Valerii galea corvus crocitans consedit, in hostem versus, cujus os oculosque rostro et unguibus appetere, illiusque impetum retardare non destitit, donec obtruncaretur. Galli, se ab alite victos indignati, statim Romanos iracunde invaserunt; sed male tractati recesserunt. Valerius ab illo **362** corvi auxilio Corvinus est appellatus. Deinde orta inter exercitus dissensione, ac bello civili imminente, seditio compressa est: cum hæ leges essent latæ, ut neque invitus quisquam ex albo militum deleretur, neque tribunus centurio fieret, ut consulem utrumque ex plebe creari liceret, ut idem binos eodem tempore magistratus non gereret, nec eumdem bis intra x annos.

A ἀθάνατος. Καὶ οὐ πόῤῥω τῆς θείας δυνάμεως ἀπηρτήμεθα. Ταῦτα ἐγὼ μὲν οὕτω φρονῶ· ἀξιῶ δὲ καὶ ὑμᾶς τῇ γνώμῃ προσθέσθαι ταύτῃ. Καὶ μή τις οἰήσαιτο ὅτι κλῆρον ποιήσομαι, ἢ κόρην κελεύσω θανεῖν, ἢ μειράκιον· αὐτὸς γὰρ ἐγὼ ἑκὼν ἐμαυτὸν ὑμῖν ἐπιδίδωμι, ἵνα σήμερον αὐτίκα κήρυκα πέμψητέ με καὶ πρεσβευτὴν τοῖς χθονίοις θεοῖς, ἐσόμενον ἀεὶ ὑμῶν προστάτην καὶ σύμμαχον. Ταῦτα εἰπὼν ὁ Κούρτιος, τὰ ὅπλα ἐνεδιδύσκετο, εἶτα καὶ τοῦ ἵππου ἐπέβη. Οἱ δ' ἄλλοι περιαλγεῖς ἐγίνοντο, καὶ περιχαρεῖς, καὶ κοσμήματά τινα συμφρονήσαντες, οἱ μὲν αὐτὸν ἐκεῖνον αὐτοῖς ἐκόσμουν ὡς ἥρωα, οἱ δέ τινα καὶ ἐς τὸ χάσμα ἐνέβαλλον· ἄρτι δ' ἐς αὐτὸ ἐνήλατο ὁ Κούρτιος ἔφιππος, καὶ ἡ τῆς γῆς συνήχθη διάστασις, καὶ οὐδεὶς
B οὐκέτι οὔτε τὸ χάσμα οὔτε τὸν Κούρτιον ἐθεάσατο. Ταῦθ' οὕτω τοῖς Ῥωμαίοις ἱστόρηται· εἰ δέ τῳ μυθώδη κριθείη, καὶ μὴ πιστά, ἔξεστίν οἱ μὴ προσέχειν αὐτοῖς. Τοῖς Ῥωμαίοις δὲ πόλεμοι αὖθις καὶ παρὰ Γαλατῶν, καὶ ὑφ' ἑτέρων ἐθνῶν ἐπηνέχθησαν, ἀλλ' ἀπεκρούσαντο πάντας πῇ μὲν ὑπάτους, πῇ δὲ δικτάτορας ψηφιζόμενοι· ὅτε καί τι τοιοῦτον συμβέβηκε· δικτάτωρ ἐλέχθη Λούκιος Κάμιλλος, Γαλατῶν κατατρεχόντων τὰ ὑπὸ Ῥώμην. Ὃς ἐπὶ τοὺς Βαρβάρους ὁρμήσας, γνώμην εἶχε τρίβειν τὸν καιρὸν, καὶ μὴ διακινδυνεύειν πρὸς ἀνθρώπους ἀπονοίᾳ χρωμένους. Ῥᾷον γὰρ αὐτοὺς καὶ ἀσφαλέστερον ἀπορίᾳ τροφῶν ἐκτρυχώσειν ἤλπισε. Γαλάτης δέ τις εἰς μονομαχίαν τινὰ τῶν Ῥωμαίων προεκαλεῖτο, καὶ ἀντέστη αὐτῷ Οὐαλλέριος Μάρκος χι-
C λιαρχῶν, ὁ τοῦ Μαξίμου ἐκείνου ἔγγονος. Καὶ λαμπρὰ μὲν ἡ μάχη προέβη ἀμφοῖν· ὁ μὲν γὰρ τῇ σοφίᾳ καὶ τῇ περιτεχνήσει προέφερεν, ὁ δὲ Γαλάτης τῇ ἰσχύϊ καὶ τῇ τόλμῃ· ἐπὶ πλέον δ' ἐθαυμαστώθη, ὅτι τῷ Οὐαλλερίου κράνει κόραξ ἐφιπτάμενος καὶ κρώζων, εἰς τὸν Βάρβαρον ἐνεχρίμπτετο, καὶ τήν τε ὄψιν αὐτοῦ ἐπετάρασσε, καὶ τὴν ὁρμὴν ἐνεπόδιζε, μέχρις οὗ κατειργάσθη. Διὸ ἀγανακτήσαντες οἱ Γαλάται ὡς ὑπὸ ὄρνιθος ἠλαττωμένοι, θυμῷ αὐτίκα συνέμιξαν τοῖς Ῥωμαίοις, καὶ κακῶς ἀπηλλάγησαν· ὁ δ' Οὐαλλέριος ἀπὸ τῆς τοῦ κόρακος συμμαχίας, Κορουῖνος ἐπωνομάσθη. Εἰσέπειτα δὲ τῶν στρατευμάτων στασιασάντων, καὶ ἐμφυλίου πολέμου γενέσθαι μέλλοντος, κατηλλάγησαν οἱ στασιάσαντες, νόμων τεθέντων, μήτ' ἄκοντά τινα τοῦ καταλόγου ἀπαλείφεσθαι, μήτε τὸν χιλιαρχήσαντα ἑκατονταρχεῖν, καὶ τοὺς ὑπάτους καὶ ἄμφω ἐξὸν εἶναι, καὶ ἐκ τοῦ πλήθους καθίστασθαι, καὶ τὸν αὐτὸν μήτε δύω ἅμα ἀρχὰς, μήτε τὴν αὐτὴν δὶς ἐντὸς δέκα ἄρχειν ἐτῶν.

XXVI. Post hæc Latini socii, quia pube continentibus expeditionibus egregie exercitata abundabant, elati animis defecerunt, et Romanis bellum intulerunt. Quibus Torquatus tertium et Decius lecti consules obviam profecti sunt, et atrox prælium commissum: utraque acie existimante, eo se die et virtutis et fortunæ suæ illustre specimen edituram. Ea pugna eventu quodam facta est celebrior. Cum enim Latinos eodem armorum genere, eademque lingua, qua Romanos, consules uti viderent: veriti ne qui militum discrimine hostium et suorum non facile observato, errarent: præter alia diligenter observanda, illud etiam edixerunt,

D Κϛ'. Λατῖνοι δὲ καίπερ ἔνσπονδοι τοῖς Ῥωμαίοις ὄντες, ἀπέστησαν, καὶ πόλεμον ἤραντο, ἐν φρονήματι γεγονότες, ὅτι τε νεότητι ἤκμαζον, καὶ τὰ πολεμικὰ ἐκ τῆς ἀεὶ σὺν αὐτοῖς στρατείας ἀκριβῶς ἤσκηντο. Οἱ δὲ τοῦτο γνόντες ἐξῆλθον, ὕπατον τόν τε Τουρκουάτον τὸ τρίτον ἑλόμενοι, καὶ τὸν Δέκιον, καὶ ἐμαχέσαντο αὐτοῖς κραταιὰν μάχην, κρίσιν τὴν ἡμέραν ἐκείνην ἑκάτεροι νομίζοντες ἀκριβῆ τῆς σφετέρας τύχης τε καὶ τῆς ἀρετῆς. Ἔδοξε δὲ περιφανεστέρα ἡ μάχη καὶ διά τι συμβεβηκός. Τοὺς γὰρ Λατίνους οἱ ὕπατοι καὶ ὁμοσκεύους καὶ ὁμοφώνους τοῖς Ῥωμαίοις ὁρῶντες, ἐφοβήθησαν μὴ τῶν στρατιωτῶν τινες σφαλῶσι,

τό τε οἰκεῖον καὶ τὸ πολέμιον μὴ βᾴστα διαγινώσκειν. Καὶ διὰ τοῦτο προεῖπον σφίσι τά τε ἄλλα παρατηρεῖν ἀκριβῶς, καὶ καθ' ἑαυτὸν μηδένα μηδενὶ τῶν ἐναντίων συμβαλεῖν. Τοῦτο δὴ τὸ παράγγελμα οἱ μὲν ἐτήρησαν, ὁ δὲ τοῦ Τορκουάτου παῖς, στρατευόμενος ἐν τοῖς ἱππεῦσι, καὶ πεμφθεὶς πρὸς κατασκοπὴν τῶν ἐναντίων, παρεῖδεν οὐκ αὐθαδείᾳ, ἀλλὰ μέντοι φιλοτιμίᾳ. Ἐπεὶ γὰρ ὁ ἵππαρχος τῶν Λατίνων, ἰδὼν αὐτὸν προσιόντα, πρὸς μονομαχίαν προεκαλέσατο, καὶ μὴ δεξάμενον ταύτην διὰ τὴν πρόρρησιν, παρώξυνεν εἰπών· *Οὐ σὺ μέντοι Τορκουάτου υἱὸς εἶ; Οὐ σεμνύῃ τῷ στρεπτῷ τοῦ πατρός; ἢ πρὸς μὲν Γαλάτας ἀνθρώπους φθόρους ἔῤῥωσθε καὶ ἀνδρίζεσθε, τοῖς δὲ δὴ Λατίνους ἡμᾶς φοβεῖσθε; Τί οὖν ἄρχειν ἡμῶν ἀξιοῦτε; τί δ' ὡς χείροσιν ὑμῶν ἐπιτάσσετε;* Ἐκφρων ἐγένετο ὑπὸ τοῦ θυμοῦ, καὶ τῆς παραγγέλσεως ἐκὼν ἐπελάθετο, καὶ μονομαχήσας ἐνίκησε, καὶ τὰ σκῦλα μεγαφρονῶν ἐκόμισε τῷ πατρί. Καὶ ὃς ἀθροίσας τὸ στράτευμα, *Γενναίως μέν*, ἔφη, *ὦ παῖ, ἐμαχέσω, καὶ διὰ τοῦτό σε στεφανώσω· ὅτι δὲ τὸ προσταχθὲν οὐ παρετήρησας, καίτοι καὶ ὡς υἱὸς πειθαρχεῖν καὶ ὡς στρατιώτης ἀναγκαζόμενος, διὰ τοῦτό σε διπλώσω, ἵνα καὶ τὸ τῆς ἀριστείας ἆθλον, καὶ τὸ τῆς ἀπειθείας τίμημα λήψῃ.* Ταῦτ' εἰπὼν, ἅμα τόν τε στέφανον τῇ κεφαλῇ αὐτοῦ ἐπέθετο, καὶ αὐτὴν ἐκείνην ἀπέτεμεν. Εἶτα ἅναρ ἀμφοῖν τοῖς ὑπάτοις ἐν τῇ αὐτῇ νυκτὶ ὁμοίως φανὲν ἔδοξε λέγειν, τῶν ἐναντίων κρατήσειν, ἂν ὁ ἕτερος τῶν ὑπάτων ἑαυτὸν ἐπιδῷ. Μεθ' ἡμέραν οὖν ἀλλήλοις τὸ ὄναρ διηγησάμενοι, συνέθεντο θεῖον εἶναι, καὶ πειστέον εἶναι αὐτῷ ὡμολόγησαν. Ἠμφισβήτησαν δὲ πρὸς ἀλλήλους, οὐχ ὃς ἂν σωθείη, ἀλλ' ὃς ἂν μᾶλλον ἑαυτὸν ἐπιδῷ. Καὶ παρὰ τοῖς πρώτοις τοῦ στρατοπέδου ἐδικαιολογήσαντο. Καὶ τέλος ἤρεσε σφίσι, τὸν μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως, τὸν δὲ ἐπὶ τοῦ λαιοῦ παρατάξασθαι, καὶ ὁπότερον ἂν ἐκείνων ἐλαττωθῇ, τὸν ἐπ' αὐτῷ τεταγμένον ἀποθανεῖν. Τοσαύτη δ' ἦν φιλοτιμία αὐτοῖς περὶ τὴν ἐπίδοσιν, ὡς εὔχεσθαι ἕκαστον τῶν ὑπάτων ἡττηθῆναι, ἵνα τύχῃ τῆς ἐπιδόσεως, καὶ τῆς εὐκλείας τῆς ἐξ αὐτῆς. Συμβαλόντες δὲ τοῖς Λατίνοις, μέχρι μὲν πολλοῦ ἰσοπαλῶς ἠγωνίσαντο· εἶτα κατὰ τὸν Δέκιον κέρας μικρόν τι τοῖς Λατίνοις ἐνέκλινεν. Ὁ γοῦν Δέκιος, ἑαυτὸν ἐπιδέδωκε, καὶ τὰ ὅπλα ἐκδὺς, τὴν ἐσθῆτα ἐνέδυ τὴν περιπόρφυρον. Καὶ οἱ μὲν οὕτω φασὶν ἐφ' ἵππον ἀναπηδῆσαι αὐτὸν, καὶ εἰσελάσαι πρὸς τοὺς πολεμίους, καὶ ὑπ' ἐκείνων ἀποθανεῖν· οἱ δὲ ὑπὸ συστρατιώτου πολίτου σφαγῆναι. Τέως δὲ τελευτήσαντος τοῦ Δεκίου τοῖς Ῥωμαίοις ἡ νίκη καθαρῶς συνηνέχθη, καὶ οἱ Λατῖνοι πάντες ἐτράπησαν, οὐ πάντως δὲ διὰ τὸν θάνατον τοῦ Δεκίου· πῶς γὰρ ἄν τις πιστεύσειεν, ἐξ ἑνὸς ἀνδρὸς τοιᾶσδε τελευτῆς τοσοῦτον πλῆθος ἀνθρώπων τὸ μὲν φθαρῆναι, τὸ δὲ σωθῆναι καὶ νικῆσαι περιφανῶς; Οἱ μὲν οὖν Λατῖνοι οὕτως ἥττηντο, ὁ δέ γε Τορκουάτος καὶ τὸν υἱὸν ἀποκτείνας, καὶ τοῦ συνάρχοντος τεθνηκότος, ἐώρτασεν ὅμως τὰ ἐπινίκια. Εἶτ' αὖθις αὖ-

ne quis extra ordinem in hostem pugnaret. Ei edicto cæteri paruerunt. Sed Torquati filius, qui inter equites militabat, ad explorandos conatus hostium missus, id non tam ex contumacia quam ambitione neglexit. Nam Latinorum equitum magister eum accedentem conspicatus, ad singulare certamen provocavit; idque illo propter patris edictum detrectante, dixit: *Non tu Torquati filius es? non torque parentis gloriaris? An contra Gallos homines perditos tantum viri fortes estis, nos vero Latinos formidatis? Cur ergo nobis imperitare vultis? cur ut deterioribus præscribitis?* Manlius vero, præ iracundia vix mentis compos, et paterni edicti ultro oblitus, hostem vincit, detractaque spolia magno animo parenti affert. Is, convocato exercitu: *Fortiter sane,* inquit, *fili, dimicasti, eaque de causa te corona donabo: sed quia neque imperium consulare, neque majestatem patriam veritus es, ea moderatione adversus te utar, ut et virtutis fructum percipias, et contumaciæ pœnas des.* Hæc dicens, simul et coronam capiti ejus imposuit, et caput amputavit. Deinde **363** eadem nocte uterque consul in somnis vocem audire sibi visus est, dicentem superiores fore hostibus, si alter consul se devoveret. Cum diluxisset, uterque alteri somnium narrat: divinum id esse, ideoque obtemperandum consentiunt. De eo tantum controversia est, non uter maneat incolumis, sed uter se devoveat. Causa apud exercitus principes disceptata, tandem convenit; alterum in dextro, alterum in sinistro cornu statuendum esse, et utrum prius inclinarit, ejus duci oppetendam esse mortem. Tantaque fuit ejus decoris cupiditas, ut uterque se succumbere optaret, ut et devotionis et gloriæ consecuturæ compos redderetur. Exercitibus congressis, pugna diu anceps fuit. Deinde cornu Decii Latinis nonnihil cessit. Quo ille cognito, se devovit, atque armis positis, togam prætextam induit. Itaque eum nonnulli in equum insiluisse, ac in medios hostes invectum occubuisse: alii a commilitone immolatum esse ferunt. Decio defuncto, victoriam Romani haud dubiam sunt adepti, Latinis omnibus in fugam versis, non utique ob Decii mortem. Quis enim credat tali unius viri interitu, tantam multitudinem hinc cæsam, illinc conservatam, et illustri potitam esse victoria? Latinis ita superatis, Torquatus quamvis et filio occiso, et collega mortuo, tamen triumphum duxit. Deinde populus Romanus Latinos rebellantes devicit, et alias gentes nunc per consules, nunc per dictatores armis subegit: quorum e numero fuit L. Papirius, Cursoris cognomentum a celeritate pedum, currendique studio, adeptus. Qui dictator cum Fabio Rufo equitum magistro contra Samnites missus, eos devictos in sua verba pacem facere coegit. Sed cum magistratu abiisset, rursus illi se commoverunt: et ab Aulo Cornelio dictatore rursus debellati, legatos de pace Romam miserunt, captivis quos habebant omnibus redditis, causaque

belli in Rutulum virum apud se potentem translata : cujus ossa, quoniam sibi consciscere necem maturarat, disjecerunt. Eis Romani, ut fœdifragis, pacem non dederunt : sed, quanquam captivis receptis, bellum irreconciliabile **364** indixerunt ; ac dum elati successibus, se illos omnes primo impetu capturos sperant, in magnam eladem inciderunt. Nam Samnites, perterriti et anxii ob negatam pacem, ex desperatione in pugnam ruebant : et, collocatis in angusta valle insidiis, castra ceperunt, totumque Romanum exercitum sub jugum miserunt (quæ res cujusmodi fuerit, supra exposuimus), neminem tamen occiderunt, sed armis, equis, cæterisque omnibus, una veste duntaxat relicta, ademptis dimisere nudos, ea conditione, ut agro illorum excederent, et æquo jure societatem colerent. Quæ pacta, ut etiam senatus auctoritate rata essent, de equites obsides retinuerunt. Consules vero Spurius Postumius et Tiberius Calvinus cum exercitu statim recesserunt : noctuque et ipsi, et præcipui e cæteris Romam sunt ingressi, reliqui in agris dispersi. Qui in urbe erant, clade cognita, neque militum salute delectati sunt, neque dolere potuerunt. Nam ut adversum casum dolentissime tulerunt, præsertim a Samnitibus illatum : sic, cum reputarent, si omnes periissent, se in extremo discrimine futuros, salute illorum sunt gavisi. Sed gaudio interim dissimulato, nihil more solito administrarunt, nec in præsentia, neque post, donec victoriam recuperarunt. Consulibus magistratus statim abrogatus est : aliisque lectis, deliberatum de pactis rescindendis. Quod quia fieri non poterat, nisi crimine in auctores illorum translato : inviti faciebant, ut consules et cæteros magistratus qui cum iis fuerant, condemnarent : neque committendum putabant ut, iis absolutis, crimen violati fœderis in semetipsos redundare paterentur. Re igitur cum ipsis consulibus communicata, primum Postumium sententiam dicere jusserunt, ut ipse contra sese pronuntiaret, ex verecundia, ne omnes dedecoris implerentur. Is in medium progressus, negavit probanda esse a senatu populoque, quæ ne ipsi quidem sua sponte, sed ab hostibus, non virtute, sed dolo atque insidiis coacti, egissent. Qui igitur dolum priores usurparint, ii si dolo vicissim circumventi fuerint, non habere quod querantur. Hæc et hujus **365** generis plura cum dixisset, a senatu animi dubio quid agendum esset : cum Postumius et Calvinus omnem culpam in semetipsos transtulissent, decretum est pactis rescissis illos dedendos esse. Consules igitur ambo, cæterique magistratus qui pacificationi adfuerant, Samnium abducti sunt. Samnites autem captivos omnes repetentes, deos testati, dedititios rejecerunt. Quibus Romani cupide receptis, iracunde cum Samnitibus pugnarunt, adeptique victoriam eodem plane modo eos tractarunt : itidemque sub jugum missos, nulla alia illata injuria dimiserunt, receptis absque noxa

A τούς τε τοὺς Λατίνους ἐπαναστάντας κατεπολέμησαν, καὶ ἕτερα ἔθνη μάχαις ὑπέταξαν ποτὲ μὲν ὑπάτοις κεχρημένοι, ποτὲ δὲ δικτάτορσιν, ὧν εἷς ἦν καὶ Λούκιος Παπείριος, ὁ καὶ Κούρσωρ ἐπονομαζόμενος διά τε τὴν ἕξιν (ἦν γὰρ δρομικώτατος) καὶ διὰ τὴν ἄσκησιν τὴν τοῦ δρόμου. Μετὰ δὲ ταῦτα δικτάτωρ ὁ Παπείριος ἐπὶ τοὺς Σαμνίτας ἐξεπέμφθη, μετὰ Φαβίου Ῥούλλου ἱππάρχου, καὶ ἡττήσας, αὐτοὺς ἠνάγκασεν ἐπὶ συνθήκαις συμβῆναι, αἷς ἐκεῖνος ἐβούλετο. Ἀποθεμένου δὲ τὴν ἡγεμονίαν αὐτοῦ, ἐπανέστησαν αὖθις. Ὑπὸ δὲ Κορνηλίου Αὔλου δικτάτορος καὶ πάλιν πολεμηθέντες καὶ ἡττηθέντες,
B διεκηρυκεύσαντο πρὸς τοὺς ἐν τῇ Ῥώμῃ, τούς αἰχμαλώτους τε ὅσους εἶχον πέμψαντες αὐτοῖς, καὶ τὴν αἰτίαν τοῦ πολέμου Ῥαυτούλῳ ἀνδρὶ δυνατῷ παρ' αὐτοῖς ἐπιγράφοντες, οὗ τὰ ὁστᾶ, ἐπεὶ φθάσα: ἐκεῖνος διεχειρίσατο ἑαυτὸν, διέῤῥιψαν· οὐ μέντοι καὶ ἔτυχον τῆς εἰρήνης ὡς ἄπιστοι, ἀλλ' ἀσπονδον σφίσιν ἐψηφίσαντο πόλεμον, καίτοι τοὺς αἰχμαλώτους λαβόντες. Ὑπεραυχήσαντες οὖν οἱ Ῥωμαῖοι, καὶ αὐτοβοεὶ πάντας αὐτοὺς αἱρήσειν ἐλπίσαντες, δεινῷ παθήματι περιέπεσον. Ὑπερδείσαντες γὰρ οἱ Σαμνῖται, καὶ ἐν συμφορᾷ ποιούμενοι τὸ μὴ σπεῖσασθαι, καὶ ὡς ἀπεγνωσμένοι μαχόμενοι, καὶ λοχήσαντες ἔν τινι χώρᾳ κοιλοτέρᾳ καὶ στενῇ, τό τε στρατόπεδον εἷλον, καὶ τοὺς Ῥωμαίους ἐζώγρησαν πανσυδί, καὶ πάντας ὑπήγαγον ὑπὸ τὸν
C ζυγὸν (τί δ' ἦν τὸ τοῦ ζυγοῦ, ἤδη μοι ἄνωθί που ἱστόρηται), οὐδένα μέντοι ἀπέκτειναν, ἀλλὰ τά τε ὅπλα καὶ τοὺς ἵππους, καὶ τἆλλα ὅσα εἶχον, πλὴν ἑνὸς ἱματίου, ἀφεῖλοντο, καὶ γυμνοὺς σφᾶς ἀφῆκαν ἐπὶ συνθήκαις, τοῦ τε τὴν χώραν αὐτῶν ἐκλιπεῖν, καὶ συμμάχους σφίσιν ἀπὸ τῆς ἴσης εἶναι. Ἵνα δὲ τὰ τῆς ὁμολογίας καὶ παρὰ τῆς γερουσίας βεβαιωθῶσι, τῶν ἱππέων ἑξακοσίους εἰς ὁμηρείαν κατέσχον. Οἱ δ' ὕπατοι Σπούριός τε Ποσθούμιος καὶ Τιβέριος Καλουῖνος μετὰ τῆς στρατιᾶς εὐθὺς ἀνεχώρησαν, καὶ νυκτὸς αὐταί τε καὶ τῶν ἄλλων οἱ ἀξιολογώτατοι εἰς τὴν Ῥώμην εἰσῆλθοσαν· οἱ δὲ λοιποὶ στρατιῶται κατὰ τοὺς ἀγροὺς ἐσκεδάσθησαν. Οἱ δ' ἐν τῇ πόλει τὰ πεπραγμένα παθόντες, οὔτε ἥσθησαι τῇ τῶν στρατιωτῶν σωτηρίᾳ, οὔτ' ἀχθεσθῆναι ἠδύναντο. Ἠρὸς μὲν γὰρ τὸ δεινὸν ὑπερήλγουν, καὶ ὅτι παρὰ τῶν Σαμνιτῶν τοιαῦτα πεπόνθασι, μεῖζον σφίσι τὸ ἄλγος ἐγίνετο. Λογιζόμενοι δὲ, ὡς εἰ πάντας ἀπολέσθαι συνέβη, καὶ περὶ πάντων ἂν ἐκινδύνευσαν, ἐπὶ τῇ σφῶν ἥδοντο σωτηρίᾳ· ἐπικρύπτοντες δὲ τέως τὸ ἥδεσθαι, πένθος ἐπεποιήκεσαν, καὶ οὐδὲν ἐν τῷ καθεστηκότι τρόπῳ ἔπραξαν, οὔτ' αὐτίκα, οὔθ' ὕστερον, ἕως ἀντεπεκράτησαν· τοὺς δ' ὑπάτους μὲν παραυτίκα ἔπαυσαν, ἑτέρους δ' ἀνθελόμενοι βουλὴν ἐποιήσαντο, καὶ ἐδόκει μὲν σφίσι μὴ δέξασθαι τὴν σύμβασιν. Ἐπεὶ δὲ ἀδύνατον ἦν τοῦτο δρᾶσαι, μὴ οὐχὶ πρὸς τοὺς πράξαντας αὐτὴν τρέψαντας τὴν αἰτίαν, ὤκνουν μὲν τῶν ὑπάτων καταψηφίσασθαι, καὶ τῶν ἄλλων οἱ μετ' αὐτῶν ἀρχάς τινας ἄρχοντες τὰς σπονδὰς ἐποιήσαντο. Ὤκνουν δὲ καὶ ἀφεῖναι, ἵνα μὴ ἐφ' ἑαυτοὺς τὸ παρασπόνδημα περιστήσωσιν. Αὐτοῖς οὖν ἐκείνοις τοῖς

ὑπάτοις ἐπεκοινώσαντο, καὶ πρώτῳ γε τῷ Ποστου- A equitibus suis, quos illi pacis obsides retinue-
μίῳ τὴν ψῆφον ἐπήγαγον, ὅπως οὑτὸς καθ' ἑαυτοῦ rant.
γνώμην ἀποφήνηται, αἰσχύνῃ τοῦ μὴ πάντας ἀδοξίας ἀναπλῆρῶσαι. Ὁ δὲ παρελθὼν εἰς τὸ μέσον, ἔφη μὴ δεῖν κυρωθῆναι τὰ ὑπ' αὐτῶν πεπραγμένα παρὰ τῆς γερουσίας καὶ τοῦ δήμου· μηδὲ γὰρ αὐτοὺς ἑκουσίως πρᾶξαι αὐτά, ἀλλ' ἀνάγκῃ συνεχομένους, ἣν αὐτοῖς ἐπήγαγον οἱ πολέμιοι οὐκ ἐξ ἀρετῆς, ἀλλ' ἐκ δόλου καὶ ἐξ ἐνέδρας. Οἱ γοῦν ἀπατήσαντες εἰ ἀντηπατήθησαν, οὐκ ἂν δύναιντο δικαίως ἐγκαλεῖν τοῖς ἀνταπατήσασι. Ταῦτα τοίνυν εἰπόντος καὶ τοιαῦτα πολλά, ἐν ἀμηχανίᾳ ἡ γερουσία ἐγένετο· τοῦ δὲ Ποστουμίου καὶ τοῦ Καλουίνου εἰς ἑαυτοὺς τὴν αἰτίαν ἀναδεχομένων, ἐψηφίσθη μήτε κυρωθῆναι τὰ ὡμολογημένα, ἐκείνους τε ἐκδοθῆναι. Ἀπήχθησαν οὖν καὶ ἄμφω οἱ ὕπατοι, καὶ οἱ λοιποὶ ἄρχοντες, οἱ ἐπὶ ὅρκοις παρουσιάσαντες, εἰς τὸ Σάμνιον (6''). Οὐ μέντοι αὐτοὺς οἱ Σαμνῖται ἐδέξαντο, ἀλλὰ τοὺς ἀλόντας ἀπῄτουν ἅπαντας, καὶ τοὺς θεοὺς ἐπεβοῶντο καὶ ἐπεθείαζον, καὶ τέλος τοὺς ἐκδοθέντας ἀντέπεμψαν. Οἱ δὲ Ῥωμαῖοι ἐκείνους μὲν ἀσμένως ἀπέλαβον, τοῖς δὲ Σαμνίταις ὀργῇ τὴν μάχην ἐπήγαγον. Καὶ κρατήσαντες, τὰ ὅμοια σφίσιν ἐποίησαν, καὶ ὑπὸ τὸν ζυγὸν αὐτοὺς ἀνθυπήγαγον, καὶ ἀφῆκαν, μηδὲν ἄλλο κακὸν δράσαντες. Καὶ τοὺς σφετέρους ἱππεῖς, οὓς ὡς ὁμήρους κατεῖχον οἱ Σαμνῖται, ἀπαθεῖς ἐκομίσαντο.

Variæ lectiones et notæ.

(6'') *Σάμνιον.* Colbert. Σάννιον, et Σαννῖται, infra.

LIBER OCTAVUS.

Α'. Μετὰ δὲ χρόνους πλείονας, αὖθις τοῖς Σαμνίταις B πολεμοῦντες οἱ Ῥωμαῖοι, Γαΐου Ἰουνίου ἡγουμένου αὐτῶν, συμφορᾷ περιέπεσον. Πορθοῦντος γὰρ τοῦ Ἰουνίου τὴν χώραν αὐτῶν, εἰς τὰς ὕλας τὰς Ἀόρνους, τὰ προσόντα οἱ Σαμνῖται ἀνεκομίσαντο, οὕτω καλουμένας ὑπὸ τοῦ μηδ' ὄρνις ἐσπέτεσθαι εἰς αὐτὰς τῇ τῶν δενδρῶν πυκνότητι. Ἐκεῖ δὲ ὄντες, πολύμνιά τινα ποιμένων ἢ φρουρῶν ἄνευ προκαθιστάντες, καὶ ψευδαυτομόλους ὑποπέμποντες, ὡς ἐφ' ἑτοίμην λείαν αὐτοὺς ὑπηγάγοντο. Εἶσω δὲ γενομένους τῆς ὕλης περιέσχον τε σφᾶς, καὶ οὐ πρότερον ἐπαύσαντο κτείναντες, πρὶν τέλεον ἐκκαμεῖν. Καὶ ἄλλοτε δὲ πολλάκις τοῖς Ῥωμαίοις πολεμήσαντες οἱ Σαμνῖται, καὶ ἡττηθέντες, οὐκ ἐφησύχασαν, ἀλλὰ καὶ συμμάχους ἄλλους τε προσλαβόμενοι, καὶ Γαλάτας, ὡς καὶ πρὸς τὴν Ῥώμην αὐτὴν ἐλάσοντες C ἡτοιμάζοντο. Ὅ οἱ Ῥωμαῖοι μαθόντες, ἐς δέος κατέστησαν, καὶ σημείων πολλῶν αὐτοὺς ἐναγόντων εἰς τοῦτο· ἐν γὰρ τῷ Καπιτωλίῳ ἐκ τοῦ βωμοῦ τοῦ Διὸς τρισὶν ἡμέραις μιᾷ μὲν αἷμα, μιᾷ δὲ μέλι, καὶ ἐν ἑτέρᾳ γάλα θρυλλεῖται ἀναδοθῆναι, εἴ τῳ ταῦτα πιστά. Καὶ ἐν τῇ ἀγορᾷ Νίκης τι ἄγαλμα χάλκεον ἱδρυμένον ἐπὶ βάθρου λιθίνου, αὐτομάτως εὐρέθη κάτω ἑστὼς ἐπὶ γῆς. Ἐτύγχανε δὲ ἐκεῖ ἀποβλέπων, ὅθεν οἱ Γαλάται ἤδη ἐπῆισαν. Ταῦτ' οὖν καὶ ἄλλως ἐξεφόβει τὸν δῆμον, πλέον δ' ὑπὸ τῶν μάντεων κεκριμένα ἀπαίσια. Μάνιος δέ τις Τυρρηνὸς τὸ γένος, ἐθάρσυνεν αὐτούς, εἰπών· *Τήν τε Νίκην, εἰ καὶ κατέβη, ἀλλ' εἰς τὸ πρόσθεν προσχωρήσασαν, καὶ βεβαιότερον ἐπὶ τῆς γῆς ἱδρυθεῖσαν, τὸ κράτος σφίσι προδηλοῦν τοῦ πολέμου, κἀκ τούτου καὶ θυσίας πολλὰς γενήσεσθαι τοῖς θεοῖς. Τοὺς γὰρ βωμοὺς, καὶ μάλιστα τοὺς ἐν τῷ Καπιτωλίῳ, ἐν ᾧ τὰ νικητήρια θύουσιν, ἐν ταῖς εὐπραγίαις αὐτῶν, ἀλλ' οὐκ ἐν ταῖς συμφοραῖς κατ' ἔθος αἱμάττεσθαι. Ἐκ μὲν οὖν τούτων ἀγαθόν τι σφᾶς ἔπεισε προσδοκᾶν· ἐκ δὲ τοῦ μέλιτος τό-*

I. Pluribus annis post, Romani iterum cum Samnitibus Caio Junio duce congressi, cladem acceperunt. Nam cum is agros eorum vastaret, Samnites res suas in silvas altissimas et densissimas, quo nec aves advolare dicuntur, contulerunt, atque inde gregibus sine pastoribus et præsidiis emissis, et transfugis subornatis, hostes tanquam ad paratam prædam pellexerunt. Sed cum in silvam penetrassent, non prius eos circumventos cædere destiterunt, quam plane viribus destituti essent. Sed et alias sæpe Samnites a Romanis victi, non quieverunt: sed cum aliis, tum Gallis sociis ascitis, ita se pararunt, quasi ipsam urbem oppugnaturi essent. Quo Romani cognito territi sunt etiam prodigiis multis admoniti. Nam ex Jovis Capitolini ara tribus diebus, uno sanguis, altero mel, tertio lac emanasse fertur, si hæc credere fas est: et in foro Victoriæ simulacrum æreum in solo marmoreo positum, repertum est ultro humi stans, vultu eo converso, unde Galli adventabant. Quæ cum per se terrerent populum, terror is ab aruspicibus dira canentibus augebatur. Sed Manius quidam Tyrrhenus genere, eos confirmavit. *Nam etsi*, inquit, *Victoria descendit, tamen cum progressa sit, et firmius in terra defixa, victoriam denuntiat. Quod autem sanguis ex ara Jovis Capitolini emanarit, indicio esse,* **366** *multas victimas diis immortalibus immolatum iri. Aras enim, præsertim Capitolinas, in quibus triumphantes sacrificare soleant, rebus secundis potius quam adversis cruentari solere. Ex his igitur eos læta exspectare jubebat. Mellis autem morbum, quod ægrotantibus eo sit opus, lacte famem portendi, aiebat. Ad tantam enim penuriam redactum iri, ut eum victum quæsituri essent, qui sponte proveniat citra humanam operam.* Manius prodigia sic interpretatus, cum ipse eventus prædictionem postea comprobasset, sapientiæ ac præscientiæ gloriam est adeptus. Volumnius ad bellum Samniti-

cum ire jussus. Contra Gallos eorumque fœderatos, designati consules, Rullus Fabius Maximus, et P. Decius : qui cum celeriter in Tyrrheniam venissent, et Appii castra duplici vallo munita vidissent, vallis revulsis et disjectis, milites spem salutis in armis habere docuerunt. Interim vero dum contra hostes pergunt, lupus cervam persequens, inter utramque aciem delatus, juxta Romanos evasit : eosque confirmavit, existimantes id faustum sibi omen esse, ob Romulum a lupa nutritum, quemadmodum est expositum. Cerva vero cum ad hostes fugisset, telis confecta, et timorem eis et ejusdem cladis eventum reliquit. Congressis exercitibus, Maximus in suo cornu facile vicit, Decius succubuit. Verum facti paterni recordatus, ad quod ille somnio impulsus fuerat, suum et ipse caput eodem modo devovit, consilio cum nemine communicato. Ipso cæso, milites partim ejus verecundia, qui ultro mortem pro ipsis oppetiisset, partim certa spe victoriæ ex eo facto concepta, fugere desierunt, et persequentibus fortiter restiterunt. Interim Maximus quoque a tergo hostes aggressus, multos occidit, reliqui in fuga perierunt. Decii cadaver Fabius Maximus una cum spoliis cremavit, petentibus pacem dedit. Sequente anno Attilius Regulus denuo cum Samnitibus pugnavit, aliquandiu æquo Marte. Deinde victi Romani, Samnites vicissim superatos, et sub jugum missos dimiserunt. Quam ignominiam iniquis ferentes animis, extrema experiri decreverunt, aut victuri, aut perituri : mortem comminati, **367** si quis mansisset domi. Cum igitur in Campaniam irruerent, consules Samnium militibus vacuum vastarunt, et oppida aliquot ceperunt. Samnites, Campania relicta, domum reducti, et cum altero consule congressi, atque arte quadam superati, graviter in fuga impegerunt, et castris et oppido, cui suppetias veniebant, amissis. Consul triumphavit : et quidquid ex præda redegerat, in ærarium intulit. Alter vero consul qui cum Tyrrhenis pugnabat, cum eos brevi tempore compescuisset, frumentum et pecuniam eis imperatam, partim militibus distribuit, partim in ærarium intulit. Cum autem urbs gravi pestilentia laboraret, Samnites et Falisci Romanis, cum ob morbum, tum propter consules non ex virtute creatos, ut pacatis temporibus fieri solet, spretis, in motu fuerunt. Quo cognito, Carvilium Junio Bruto; Quinto Fabio patrem Rullum Maximum legatos decreverunt. Ac Brutus Faliscos vicit, eorumque et cæterorum Tyrrhenorum agros populatus est. Sed Fabius, quod Samnites Campaniam infestare audiebat, propere ante patrem Roma profectus, cum aliquot eorum speculatores maturare abitum videret, omnes ibi hostes esse

σον, ὅτι αὐτοῦ οἱ πάμνοντες δέονται· καὶ ἐκ τοῦ γάλακτος λιμόν. Ἐς γὰρ τοσαύτην σιτοδείαν ἀφίξεσθαι, ὥστε καὶ τὴν αὐτόχυτον, τήν τε αὐτόνομον ζητῆσαι τροφήν. Ὁ μὲν οὖν Μάνιος οὕτω τὰ τῶν σημείων ἡρμήνευσε· καὶ ἐπὶ τῶν πραγμάτων δ' ἐσύστερον τῆς αὐτοῦ μαντείας ἐκβάσης, σοφίας ἐκομίσατο δόξαν, καὶ προγνώσεως. Ὁ δὲ Οὐολούμνιος τοῖς Σαμνίταις πολεμεῖν ἐκελεύσθη, τοῖς δὲ Γαλάταις καὶ τοῖς ἄλλοις τοῖς μετ' αὐτῶν ἀντεκστατηναι. Ὕπατοι αἱρεθέντες ἐπέμφθησαν, ὅ τε Ῥοῦλλος (7) ὁ Φάβιος ὁ Μάξιμος, καὶ ὁ Δέκιος ὁ Πούπλιος· οἳ πρὸς τὴν Τυρσηνίδα σπουδῇ ἀφικόμενοι, καὶ τὸ Ἀππίου στρατόπεδον ἰδόντες διπλῷ σταυρώματι κατωχυρωμένοι, τοὺς σταυροὺς ἀνέσπασάν τε καὶ διεφόρησαν, ἐν τοῖς ὅπλοις πεισθαι τὴν ἐλπίδα τῆς σωτηρίας τοὺς στρατιώτας διδάσκοντες. Προσέβαλον οὖν τοῖς πολεμίοις· κἀν τούτῳ λύκος ἔλαφον διώκων εἰς τὸ μεταίχμιον εἰσπεσών, αὐτὸς μὲν πρὸς τοὺς Ῥωμαίους ὁρμήσας διεξῆλθε, καὶ αὐτοὺς ἐπεθάρσυνε, προσήκειν αὐτὸν νομίζοντας ἑαυτοῖς, ὡς λυκαίνης θρεψαμένης τὸν Ῥωμύλον, καθάπερ ἱστόρηται· ἡ δ' ἔλαφος ἐς τοὺς ἑτέρους χωρήσασα, κατεκόπη, καὶ τόν τε φόβον αὐτοῖς, καὶ τὴν συντυχίαν τοῦ πάθους κατέλιπε. Συμπεσόντων οὖν τῶν στρατευμάτων, ὁ μὲν Μάξιμος ῥᾳον τοὺς κατ' αὐτὸν ἐνίκησεν, ἥττητο δέ γε ὁ Δέκιος. Ἐνθυμηθεὶς δὲ τὴν ἐπίδοσιν τοῦ πατρὸς, ἣν διὰ τὸ ἐνύπνιον ἐποιήσατο, ἑαυτὸν ὁμοίως ἐπέδωκε, μή τινι περὶ τῆς πράξεως κοινωσάμενος· ἅρτι δὲ ἔσφακτο καὶ οἱ συντεταγμένοι αὐτῷ, τὸ μὲν ἐκείνου αἰδοῖ, ὡς δι' αὐτοὺς θανόντος ἐθελοντοῦ, τὸ δὲ καὶ ἐλπίδι τοῦ πάντως ἐκ ταύτου κρατήσειν, τῆς τε φυγῆς ἐπέσχον, καὶ τοῖς διώκουσι σφᾶς γενναίως ἀντικατέστησαν. Κἀν τούτῳ καὶ ὁ Μάξιμος κατὰ νώτου τε αὐτοῖς προσέπεσε καὶ παμπόλλους ἐφόνευσεν (8). Οἱ δὲ περιλειφθέντες ἀποδιδράσκοντες διεφθάρησαν. Μάξιμος δὲ Φάβιος τὸν μὲν τοῦ Δεκίου νεκρὸν κατέκαυσε σὺν τοῖς σκύλοις, τοῖς δὲ εἰρήνης δεηθεῖσι σπονδὰς ἐποιήσατο. Τῷ δ' ἑξῆς ἔτει αὖθις τοῖς Σαμνίταις ἐπολέμησεν Ἀττίλιος Ῥήγουλος (9), καὶ μέχρι μέν τινος ἰσόρροπως ἐμάχοντο· εἶτα κρατησάντων τῶν Σαμνιτῶν, αὖθις οἱ Ῥωμαῖοι ἀντεπεκράτησαν. Καὶ ἑλόντες αὐτοὺς, ὑπήγαγον ὑπὸ τὸν ζυγὸν, καὶ οὕτως ἀφῆκαν. Σαμνῖται δὲ ἐπὶ τοῖς γεγονόσιν ἀγανακτήσαντες, πρὸς ἀπόνοιαν ὥρμησαν, ὡς ἢ κρατήσοντες, ἢ παντελῶς ἀπολούμενοι, θάνατον ἀπειλήσαντες τῷ οἴκοι μενοῦντι· καὶ οἱ μὲν ἐς τὴν Καμπανίαν ἐνέβαλον, οἱ δ' ὕπατοι ἔρημον ὂν στρατιωτῶν τὸ Σάμνιον ἐπόρθουν, καὶ πόλεις εἷλόν τινας. Ὅθεν οἱ Σαμνῖται τὴν Καμπανίαν λιπόντες, εἰς τὴν οἰκείαν ἠπείχθησαν, καὶ τῷ ἑνὶ τῶν ὑπάτων συμμίξαντες, ἐκ τινος ἥττηντο στρατηγήματος, καὶ φεύγοντες δεινῶς ἔπταισαν, καὶ τὸ στρατόπεδον ἀπέβαλον, πρὸς δὲ καὶ τὸ πόλισμα ᾧ ἐπεβοήθουν. Ὁ δὲ ὕπατος τά τε ἐπινίκια ἔπεμψε, καὶ τὰ ἀθροισθέντα

Variæ lectiones et notæ.

(7) *Ῥοῦλλος*. Ita infra Ῥοῦλλον Μάξιμον. Sic etiam tres mss. Regii et Colbert.

(8) *Διεφθάρησαν*. Sic etiam tres mss. Alter apud Wolfium διεσπάρησαν.

(9) *Ἀντίδιος Ῥήγουλος* Alter e Reg. et Colb. Ἀτίδιος. duo alii Regii Ἀντίδιος. Latinis scriptoribus *Attilius Regulus*.

ἐκ τῶν λαφύρων ἐδημοσίευσεν· ὁ δ' ἕτερος ὕπατος κατὰ τῶν Τυρσηνῶν στρατεύσας, καὶ καταστήσας αὐτοὺς δι' ὀλίγου, σῖτόν τε καὶ χρήματα παρ' αὐτῶν εἰσπράξας, τὰ μὲν τοῖς στρατιώταις διέδωκε, τὰ δ' εἰσήνεγκεν εἰς τοὺς θησαυρούς. Συμβεβηκότος δὲ λοιμοῦ ἰσχυροῦ, οἱ Σαμνῖται καὶ Φάλισκοι καταφρονήσαντες τῶν Ῥωμαίων διά τε τὴν νόσον, καὶ ὅτι τοὺς ὑπάτους οὐ κατ' ἀρετὴν ἤρηντο, ὡς μὴ πολέμιον ὄντων, παρεκίνησαν. Μαθόντες οὖν τοῦθ' οἱ Ῥωμαῖοι, Ἰουνίῳ μὲν Βρούτῳ τὸν Καρουίλιον, Κυΐντῳ δὲ Φαβίῳ τὸν πατέρα τὸν Ῥοῦλλον τὸν Μάξιμον ὑποστρατήγους ἢ, πρεσβευτάς, συνεξέπεμψαν. Ὁ μὲν οὖν Βροῦτος Φαλίσκους ἐνίκησε, καὶ τὰ τούτων καὶ τὰ τῶν ἄλλων Τυρσηνῶν ἐλῃΐζετο. Φάβιος δὲ τῆς Ῥώμης πρὸ τοῦ πατρὸς ἐξελάσας, καὶ τοὺς Σαμνίτας λῃΐζεσθαι τὴν Καμπανίδα πυθόμενος, ἠπείγετο, προσκόποις τέ τισιν αὐτῶν ἐντυχών, καὶ ταχέως ἀποχωροῦντας σφᾶς θεασάμενος, πάντας τε πολεμίους ἐκεῖ τυγχάνειν ἐνόμισε, καὶ φεύγειν ἐπίστευσε· κἀκ τούτου σπεύσας αὐτοῖς συμβαλεῖν πρὸ τοῦ τὸν πατέρα αὐτοῦ ἀφικέσθαι, ἵν' αὐτοῦ τὸ κατόρθωμα, ἀλλὰ μὴ ἐκείνου δοκῇ, προεχώρησεν ἀσυντάκτως· καὶ περιπεσὼν ἀθρόοις τοῖς πολεμίοις πανσυδὶ ἂν διεφθάρη, εἰ μὴ νὺξ ἐγένετο. Πολλοὶ δ' οὖν καὶ μετὰ ταῦτα τεθνήκασι, μήτ' ἰατροῦ μήτ' ἐπιτηδείου τινὸς παρόντος, διὰ τὸ πολὺ πρὸ τῶν σκευοφόρων αὐτοὺς ἐπειχθῆναι ὡς αὐτίκα νικήσοντας· καὶ πάντως ἂν καὶ ἀπώλοντο τῆς ὑστεραίας, εἰ μὴ οἱ Σαμνῖται τὸν πατέρα αὐτοῦ ἐγγὺς εἶναι νομίσαντες, ἔδεισάν τε καὶ ἀνεχώρησαν. Πυθόμενοι (10) δὲ ταῦθ' οἱ ἐν τῷ ἄστει, δεινῶς ἠγανάκτησαν· καὶ μεταπεμψάμενοι τὸν ὕπατον, εὐθύνειν ἤθελον. Ὁ δὲ γέρων ὁ τούτου πατὴρ, καταριθμήσας τά τε οἰκεῖα καὶ τὰ τῶν προγόνων ἀνδραγαθήματα, καὶ ὑποσχόμενος μηδὲν αὐτῶν πράξειν ἀνάξιον τὸν υἱὸν, καὶ τὴν τούτου νεότητα πρὸς τὸ ἀτύχημα προβαλόμενος, τῆς ὀργῆς αὐτοὺς αὐτίκα παρέλυσε, καί οἱ συνεξελθών, μάχῃ τοὺς Σαμνίτας ἐνίκησε, καὶ τὴ στρατόπεδον αὐτῶν εἷλε· τήν τε χώραν ἐπόρθησε, καὶ λείαν πολλὴν ἤλασε· καὶ τὰ μὲν αὐτῆς ἐδημοσίωσε, τὰ δὲ τοῖς στρατιώταις κατένειμε. Διά τοι ταῦτα οἱ Ῥωμαῖοι ἐκεῖνόν τε ἐμεγάλυνον, καὶ τὸν υἱὸν καὶ εἰς τὸ ἔπειτα ἀντὶ ὑπάτου ἄρξαι ἐκέλευσαν, ὑποστρατήγῳ καὶ τότε τῷ πατρὶ χρώμενον. Καὶ ὡς πάντα μὲν αὐτὸς διῴκει, καὶ διῆγε μηδὲν τοῦ γήρως φειδόμενος, οὐ μέντοι καὶ ἔνδηλος ἦν δι' ἑαυτοῦ τὰ πράγματα πράττων, ἀλλὰ τὴν δόξαν τῶν ἔργων τῷ παιδὶ προσῆπτε.

Β'. Μετὰ δὲ ταῦτα δημάρχων τινῶν χρεῶν ἀποκοπὴν εἰσηγησαμένων, ἐπεὶ μὴ καὶ παρὰ τῶν δανειστῶν αὕτη ἐδίδοτο, ἐστασίασε τὸ πλῆθος· καὶ οὐ πρότερον τὰ τῆς στάσεως κατηυνάσθη, ἕως πολέμιοι τῇ πόλει ἐπῆλθοσαν. Ἦρξαν δὲ τῶν πολέμων οἱ Ταραντῖνοι, Τυρσηνοὺς, καὶ Γαλάτας, καὶ Σαμνίτας, καὶ ἄλλους προσεταιρισάμενοι πλείονας. Ἀλλὰ τοὺς μὲν ἄλλους οἱ Ῥωμαῖοι συμβαλόντες διαφόροις μάχαις ἐνίκησαν, καὶ ὑπάτοις ἄλλοτε ἄλλοις. Οἱ δὲ Ταραντῖνοι, καίτοι αὐτοὶ τὸν πόλεμον παρασκευάσαντες, ὅμως οὔπω πρὸς μάχην ἀντικατέστησαν φανερῶς. Ναυαρχοῦντος δὲ Λουκίου Οὐαλερίου, καὶ τριήρεσι προσορμίσαι βουληθέντος ἐς Τάραντα, ἐπεὶ ἀπῄει ὅτι σὺν αὐταῖς ἀπεστάλη, φίλιον τὴν χώραν ἡγούμενος· οἱ Ταραντῖνοι κατ' αὐτῶν ὑποτοπήσαντες τὸν Οὐαλλέριον πλεῖν ἐκ τοῦ συνειδότος ὧν ἔδρων, μετ' ὀργῆς ἀντανήχθησαν, καὶ προσπεσόντες αὐτῷ μηδὲν πολέμιον ἐλπίσαντι, κατέδυσαν ἐκεῖνόν τε καὶ ἄλλους πολλούς· καὶ τοὺς ἁλόντας, τοὺς μὲν καθεῖρξαν, τοὺς δὲ καὶ ἀπέκτειναν. Πυθόμενοι δὲ

B

C

D

ratus, ac fugere: ante patris adventum manus conserere properans, ut suum esset decus, nullo ordine processit; et in confertos hostes delapsus, cum exercitu cæsus esset, nisi mox supervenisset. Multi etiam post prælium perierunt, neque medicum neque quidquam valetudini curandæ aptum habentes: quod impedimentis longe anteverterant, spe victoriæ statim adipiscendæ; ac nisi patrem ejus in propinquo esse rati Samnites metu recessissent, omnino postridie quoque eos occidissent. Quæ cum in urbem nuntiata essent, magna indignatione orta, et consuli revocato die dicta, pater ejus senex, tum suis, tum majorum suorum rebus præclare gestis commemoratis, filium nihil illis indignum facturum pollicitus, acceptamque cladem ætati imputans, ira populi mitigata, cum eo profectus, Sammites victos castris exuit, agros vastavit: et prædam, quæ magna erat, partim in ærarium retulit, partim militibus **363** distribuit. Ea de causa cum ipsi Fabio honos est habitus: tum filio permissum, ut etiam deinceps pro consule imperaret, tum quoque patre legato utens, qui, nihil senectuti suæ parcens, ipse administravit omnia; sed dissimulanter, ut a filio acta esse viderentur.

II. Post hæc, cum tribuni plebis legem de novis tabulis rogarent, cui creditores intercesserunt, orta seditio non conquievit prius, quam hostes urbem invaserunt. Belli ejus principium a Tarentinis ortum est, qui se Tyrrhenis, Gallis, Samnitibus, et pluribus aliis conjunxerunt. At Romani cæteros, per alios atque alios consules devicerunt. Tarentini autem, quamvis belli auctores, tamen aperte in aciem nondum descenderant. Cæterum L. Valerium classis præfectum, dum ibat quo missus erat, Tarenti appulsurum (eam enim urbem populi Romani amicam esse putabat), ex conscientia facinorum suorum contra se esse missum suspicati, iracunde impetu facto, nihil hostile metuentem, cum multis aliis demerserunt: captos partim in carcerem conjecerunt, partim occiderunt. Quo Romani audito, etsi graviter eam injuriam ferebant, tamen per legatos cum eis expostularunt: quibus non modo nihil æqui responsum est, sed etiam contumelia facta, L. Posthumii legatorum principis veste

Variæ lectiones et notæ.

(10) *Πυθόμενοι.* Vide Excerpta Dionis Valesiana, p. 586.

sordibus inquinata. Eam ob rem tumultu orto, ac Tarentinis cachinnantibus, Posthumius : *Ridete*, inquit, *ridete dum vobis licet : nam longissimo tempore plorabitis, cum vestem hanc sanguine vestro eluetis.* Eam contumeliam iniquis animis Romani ferentes, bellum Tarentinum L. Æmilio consuli decreverunt. Qui cum eo appulisset, idoneis verbis animos eorum tentavit, æquis conditionibus pacem amplexuros ratus. Sed dissensione inter cives orta, senioribus et divitibus pacem expetentibus, juvenibus et iis qui vel parum vel nihil habebant bellum flagitantibus, juniorum sententia vicit. Sed suis diffisi viribus, Pyrrhum Epirotam ad belli societatem accersendum duxerunt, legatis et muneribus ad eum missis. Quæ Æmilius cognito, agrum populatur et vastat : eosque in aciem egressos profligat, ut Romani deinceps **369** impune prædas agerent, et quædam castella caperent. Cum autem captivos diligenter curaret Æmilius, et aliquot ex potentioribus dimisisset, Tarentini et humanitatem ejus admirati, et in spem pacis impetrandæ erecti, Agidem Romanis amicum ducem cum summo imperio creaverunt. Qui cum vix magistratum iniisset, Cineas legatus a Pyrrho præmissus, eam rem impediit. Nam Pyrrhus, Epiri rex, tum ingenii dexteritate, tum institutionis accuratione, tum usu rerum omnibus præstans, maxima Græciæ parte vel beneficiis vel terrore sibi adjuncta, Tarentinorum societatem peropportunam sibi fore existimans, cum longo jam tempore Siciliam, Carthaginem et Sardiniam subigere cuperet, et tamen Romanos armis lacessere vereretur, legatis auxilia pollicitus est. Sed ne ob loca quæ diximus suspectus esset, se statim rediturum esse domum dixit : et in fœderibus excepit, ne diutius quam opus esset, ab eis in Italia detineretur. Hæc pactus, majorem legatorum partem, ut in colligendo milite operam navaturos, obsidum vice retinuit : paucos et Cineam cum exercitu præmisit. Quorum adventu confirmati Tarentini, pacificatione repudiata, imperium Agidi abrogatum, uni ex legatis detulerunt. Non multo post, Milonem cum exercitu, ad arcem in adventum suum occupandam, et mœnia custodienda, misit Pyrrhus. Gratum id Tarentinis fuit, quod neque in præsidiis esse, neque quidquam laboris capere cogerentur. Itaque militi cibaria præbuerunt, Pyrrho pecuniam miserunt. Æmilius, qui ad id tempus in castris se tenuerat, Pyrrhi militum adventu cognito, cum per hiemem oppugnare urbem non posset, in Apuliam abire statuit. Sed cum Tarentini, angustis quibusdam faucibus occupatis, per quas transire necesse habebat, iter ei sagittis, jaculis et fundis interclusissent, captivos eorum præmisit. Illi vero, veriti ne suos pro Romanis conficerent, destite-

A ταῦθ' οἱ Ῥωμαῖοι, ἠγανάκτησαν μὲν, πρέσβεις δ' ὅμως ἀπέστειλαν, ἐπεγκαλοῦντες αὐτοῖς καὶ δίκας ἀπαιτοῦντες. Οἱ δὲ οὐ μόνον αὐτοῖς οὐδὲν ἐπιεικὲς ἀπεκρίθησαν, ἀλλὰ καὶ ἐτωθάζον, ὡς καὶ τὴν ἐσθῆτα τοῦ Λουκίου Ποστουμίου τοῦ προέχοντος κηλιδῶσαι (11) τῶν πρέσβεων. Θορύβου δὲ ἐπὶ τούτῳ γενομένου, καὶ τῶν Ταραντίνων ἐπικαγχαζόντων, ὁ Ποστούμιος, *Γελᾶτε*, ἔφη, *γελᾶτε, ἕως ἔξεστιν ὑμῖν· κλαύσεσθε γὰρ ἐπὶ μακρότατον, ὅταν τὴν ἐσθῆτα ταύτην τῷ αἵματι ὑμῶν ἀποπλύνητε.* Ἐπανελθόντων οὖν τῶν πρέσβεων, οἱ Ῥωμαῖοι, τὰ πραχθέντα μαθόντες, ἠλγησαν, καὶ στρατεῦσαι ἐπὶ τοὺς Ταραντίνους Λούκιον Αἰμίλιον τὸν ὕπατον (12) ἐψηφίσαντο. Ὃς εἰς Τάραντα προσχωρήσας, λόγους αὐτοῖς ἐπιτηδείους ἔπεμψε, νομίζων ἐπί τισι μετρίοις εἰρήνην αἱρήσεσθαι. Οἱ δὲ ταῖς γνώμαις ἀλλήλοις ἠναντιώθησαν, καὶ τῶν μὲν πρεσβυτέρων καὶ εὐπόρων τὴν εἰρήνην σπευδόντων, τῶν δ' ἐν ἡλικίᾳ καὶ ἄλλα ἢ μηδὲν ἐχόντων πόλεμον αἱρουμένων, ἐκράτησαν οἱ νεώτεροι. Φοβούμενοι δὲ ὅμως, τὸν Πύρρον τὸν Ἠπειρώτην εἰς συμμαχίαν ἐβουλεύσαντο προσκαλέσασθαι, καὶ πρέσβεις αὐτῷ καὶ δῶρα πεπόμφασιν. Αἰμίλιος δὲ, ταῦτα μαθὼν, τὴν χώραν αὐτῶν ἐλεηλάτει καὶ ἔφθειρεν. Οἱ δὲ ἐπεξῆλθον μὲν, ἀλλ' ἐτράπησαν, ὥστε τοὺς Ῥωμαίους τήν τε χώραν αὐτῶν ἀδεῶς πορθῆσαι, καί τινα χειρώσασθαι φρούρια. Πολλὴν δὲ τὴν τῶν ἁλόντων τοῦ Αἰμιλίου πεποιηκότος ἐπιμέλειαν, καί τινας τῶν δυνατωτέρων ἐλευθερώσαντος, οἱ Ταραντῖνοι, τήν τε φιλανθρωπίαν αὐτοῦ θαυμάσαντες, καὶ εἰς ἐλπίδας προαχθέντες σπονδῶν. Ἄγιν, τοῖς Ῥωμαίοις ἐπιτήδειον ὄντα, εἵλοντο στρατηγὸν αὐτοκράτορα. Ἄρτι δ' οὗτος κεχειροτόνητο, καὶ Κινέας, ὑπὸ τοῦ Πύρρου προπεμφθεὶς, ἐμποδὼν τοῖς πραττομένοις ἐγένετο. Ὁ γὰρ Πύρρος τῆς καλουμένης βασιλεύων Ἠπείρου, φύσεώς τε δεξιότητος, καὶ παιδείας ἰσχύϊ, καὶ ἐμπειρίᾳ πάντων προέφερε· καὶ τοῦ Ἑλληνικοῦ τὸ πλεῖστον τὸ μὲν εὐπειθείας, τὸ δὲ φόβῳ προσεπεποίητο. Οὗτος τοίνυν, τοῖς τῶν Ταραντίνων πρέσβεσιν ἐντυχὼν, ἕρμαιον τὴν συμμαχίαν ἡγήσατο, ἐκ πλείονος τῆς Σικελίας καὶ τῆς Καρχηδόνος καὶ τῆς Σαρδοῦς ἐφιέμενος· ὀκνῶν δ' ὅμως αὐτὸς ἔγθρας πρὸς Ῥωμαίους προκατάρξασθαι, καὶ βοηθήσειν μὲν αὐτοῖς ἐπηγγείλατο· ἵνα δὲ μὴ ὑποπτευθείη δι' ἅπερ εἴρηται, οἷόν τε αὐτίκα ἀνακομισθήσεσθαι ἔφη, καὶ ἐν ταῖς συνθήκαις προστεθῆναι πεποίηκε τὸ μὴ πρότερον τῆς χρείας ἐν τῇ Ἰταλίᾳ παρ' αὐτῶν κατασχεθῆναι. Συνθέμενος δὲ ταῦτα, τοὺς μὲν πλείους τῶν πρέσβεων ὡς τὰ στρατεύματα αὐτῷ συμπαρασκευάζοντας, ἐν ὁμηρείᾳ κατέσχεν, ὀλίγους δ' ἐξ αὐτῶν καὶ τὸν Κινέαν προέπεμψε σὺν στρατῷ. Ἐλθόντων δ' αὐτῶν, οἱ Ταραντῖνοι, θαρσήσαντες, τῶν τε καταλλαγῶν τῶν πρὸς Ῥωμαίους ἀπέσχοντο, καὶ τὸν Ἄγιν παύσαντες τῆς στρατηγίας, ἕνα τῶν πρέσβεων ἐχειροτόνησαν στρατηγόν. Μετ' οὐ πολὺ δὲ Μίλων,

B

C

D

Variæ lectiones et notæ.

(11) *Κηλιδῶσαι.* Ita alter e Regiis et Colbert. Duo alii Regii, κῆδος δῶσαι. Vide Gloss. med. Lat. in *Genitus.*

(12) *Λούκιον Αἰμίλιον τὸν ὕπατον.* Sic tres mss. Alter codex apud Wolfium Λούκιον Μανίλιον habuit.

ὑπὸ τοῦ Πύῤῥου σὺν δυνάμει πεμφθεὶς, τήν τε ἀκρό- A runt. At Pyrrhus vere non expectato, cum magno
πολιν αὐτῶν ἐς τὴν ἐκείνου ὑποδοχὴν κατειλήφει, lectissimoque exercitu abiens, et XX elephantis
καὶ τὴν τοῦ τείχους φρουρὰν ὑφ' ἑαυτὸν ἐποιήσατο· (quæ animalia non prius in Italia conspecta, stu-
καὶ οἱ Ταραντῖνοι ἐπὶ τούτοις ἔχαιρον, ὡς μήτε porem et admirationem hominibus attulerunt), **370**
φρουρεῖν, μήτ' ἄλλο τι ἐπίπονον ὑπομένειν ἀναγκα- dum Ionium trajecit, tempestate orta, multis amis-
ζόμενοι. Καὶ αὐτοῖς τροφὰς ἐχορήγουν, καὶ τῷ sis, cæteris dissipatis, pedestri itinere Tarentum
Πύῤῥῳ χρήματα ἔπεμπον. Ὁ οὖν Αἰμίλιος τέως ægre pervenit, ac pubem statim suis militibus in-
μὲν κατὰ χώραν ἔμενεν, ἐπεὶ δὲ τούς τε Πυῤῥείους seruit, ne, seorsim instructi, belli tempore novis
ἥκοντας ἔγνω, καὶ διὰ τὸν χειμῶνα προσκαρτερεῖν rebus studerent. Eademque forsitan de causa
οὐχ οἷός τε ἦν, ἐς Ἀπουλίαν ὥρμησεν. Οἱ δὲ Ταραν- theatrum clausit, et conviviorum commessatio-
τῖνοι ἔν τινι στενοπόρῳ χωρίῳ, δι' οὗ διελθεῖν ἀνάγ- numque cœtibus interdictis, adolescentes aut in
κην εἶχε, λοχήσαντες, ἄπορον αὐτῷ τὴν πορείαν armis exerceri, aut per totos dies in foro agere jus-
ἐποίουν τοξεύμασιν, ἀκοντίσμασί τε καὶ σφενδονή- sit. Quarum rerum molestia quibusdam se subdu-
μασιν. Ὁ δὲ τοὺς αἰχμαλώτους σφῶν, οὓς ἐπήγετο, centibus, suos portis præfecit, qui neminem exire
προήγαγε. Φοβηθέντες δ' οἱ Ταραντῖνοι μὴ τοὺς paterentur. His igitur rebus et commeatus suppe-
σφετέρους ἀντὶ τῶν Ῥωμαίων ἀπολέσωσιν, ἐπαύ- B ditatione, et satellitum in ædes receptione onera-
σαντο. Ὁ δὲ Πύῤῥος, οὐδὲ τὸ ἔαρ ἀναμείνας, ἀπῆει, tos, sera pœnitentia Tarentinos invasit, quod non
στράτευμά τε πολὺ καὶ ἔκκριτον ἐπαγόμενος, καὶ socium, sed dominum accivissent. Pyrrhus vero, ne
ἐλέφαντας εἴκοσι, ζῶα μήπω πρότερον τοῖς ἐν τῇ ad Romanos his de causis inclinarent veritus, rei-
Ἰταλίᾳ ὀφθέντα, ὅθεν ἐξεπλήσσοντο καὶ ἐθαύμαζον· publicæ gerendæ, tractandoque populo idoneos,
χειμῶνι δὲ περιπεσὼν τὸ Ἰόνιον περαιούμενος, πολ- partim per causas aliquas in Epirum ad filium mi-
λοὺς ἀπώλεσε τοῦ στρατεύματος, οἱ δὲ λοιποὶ τῷ sit, partim clam sustulit. Aristarchum vero sum-
κλύδωνι ἐσκεδάσθησαν. Μόλις δ' οὖν πεζεύσας ἦλθεν mum apud illos virum, et eloquentia præstantem,
εἰς Τάραντα, καὶ αὐτίκα τοὺς μὲν ἀκμάζοντας τοῖς sibi conciliavit, ut ob suam familiaritatem populo
ἑαυτοῦ στρατιώταις συνέταξεν, ὅπως μὴ καθ' ἑαυ- suspectus esset. Sed cum ei nihilominus fidem esse
τοὺς λελοχισμένοι νεωτερίσωσι· καὶ τὸ θέατρον cerneret, in Epirum ire jussit, qui cum refragari
ἔκλεισε τάχα διὰ τὸν πόλεμον, ὅπως μὴ, ἐς αὐτὸ συν- non auderet, se illo navigaturum simulans, Romam
ερχόμενοι, νεοχμώσωσί τι. Ἀπεῖπε δ' αὐτοῖς καὶ est profectus.

πρὸς συμπόσια καὶ κώμους ἀθροίζεσθαι, καὶ τοὺς νεωτέρους ἐν τοῖς ὅπλοις ἀσκεῖσθαι ἐκέλευεν, ἢ διημερεύειν κατὰ τὴν ἀγοράν. Ὡς δέ τινες ἀχθόμενοι τούτοις ὑπεχώρησαν, φρουροὺς ἐκ τῶν οἰκείων κατέστησεν, ὥστε μηδένα ἐξιέναι τῆς πόλεως. Οἱ δὲ, τούτοις τε καὶ τῇ χορηγίᾳ τῶν τροφῶν βαρυνόμενοι, καὶ τοὺς δορυφόρους αὐτῶν εἰς τὰς οἰκίας αὐτῶν ἀναγκαζόμενοι δέχεσθαι, μετεγίνωσκον, δεσπότου καὶ οὐχὶ συμμάχου τοῦ Πύῤῥου πειρώμενοι. Ὁ δὲ διὰ ταῦτα μὴ πρὸς τοὺς Ῥωμαίους ἀποκλίνωσι φο- βηθεὶς, τῶν τὰ πολιτικὰ δυναμένων πράττειν, καὶ προστατεῖν τοῦ ὁμίλου, τοὺς μὲν εἰς τὴν Ἤπειρον πρὸς τὸν υἱὸν ἐπί τισι προφάσεσιν ἔπεμπε, τοὺς δὲ καὶ ἀφανῶς διώλλυεν. Ἀρίσταρχον δέ τινα ἐν τοῖς ὁρίστοις τῶν Ταραντίνων ἐξεταζόμενον, καὶ εἰπεῖν πιθανώτατον, προσηταιρίσατο, ἵν' ὕποπτος τῷ δήμῳ, ὡς τὰ τοῦ Πύῤῥου φρονῶν, γένηται· ὡς δ' ἔτι πιστεῦον ἐκείνῳ τὸ πλῆθος ἑώρα, ἔπεμπεν αὐτὸν εἰς τὴν Ἤπειρον. Καὶ ὡς ἀντειπεῖν μὴ θαῤῥῶν, ἐξέπλευσε μὲν, ἐς δὲ τὴν Ῥώμην ἀφίκετο· καὶ τοιαῦτα μὲν ὁ Πύῤῥος τοῖς Ταραντίνοις ἐποίει.

Γ'. Οἱ δ' ἐν τῇ Ῥώμῃ κατέδεισαν, μαθόντες τὸν C Πύῤῥον ἐλθόντα εἰς Τάραντα, τῷ τε ἐκπεπολεμῶ- σθαι τὰ ἐν τῇ Ἰταλίᾳ αὐτοῖς, καὶ τῷ θρυλλεῖσθαι ἐκεῖνον εὐπόλεμόν τε τυγχάνειν, καὶ δύναμιν ἔχειν ἀνανταγώνιστον. Στρατιώτας τε οὖν κατέλεγον, καὶ χρήματα ἤθροιζον, φρουρούς τε ἐς τὰς συμμαχίδας πόλεις διέπεμπον, ἵνα μὴ καὶ ἐκεῖναι ἀποστῶσι. Καί τινας προαισθόμενοι νεωτεριοῦντας, τοὺς πρώτους αὐτῶν ἐκόλασαν, καί τινες τῶν Πραινεστηνῶν ἐς τὴν Ῥώμην ἀχθέντες, περὶ δείλην ὀψίαν εἰς τοὺς θησαυ- ροὺς ἐπὶ φυλακῇ ἐνεβλήσθησαν. Καί τις αὐτοῖς ἐκ τούτου χρησμὸς ἐκπεπλήρωτο· ἐχρήσθη γὰρ αὐτοῖς ποτε, ὅτι τοὺς τῶν Ῥωμαίων καθέξουσι θησαυρούς. Καὶ ὁ μὲν χρησμὸς εἰς τοῦτο ἀπέβη· ἐκεῖνοι δὲ καὶ ἀπώλοντο. Οὐαλλέριον δὲ Λαουΐνιον ἐπὶ τὸν Πύῤῥον καὶ τοὺς Ταραντίνους, καὶ τοὺς ἄλλους τοὺς σὺν αὐ- D τοῖς ἀπεστάλκασι, καί τι καὶ ἐν τῷ ἄστει τοῦ στρα- τεύματος κατέσχον. Ὁ γοῦν Λαουΐνιος εὐθὺς ἐξε- στράτευσεν, ἵνα πορρωτάτω τὸν πόλεμον τῆς οἰκείας ποιήσηται· καὶ τὸν Πύῤῥον καταπλήξειν ἤλπισεν, εἰ

III. Quæ cum Tarenti agerentur, Romani, Pyrrhi adventu minime læti, tum quod Italiam infestam haberent, tum quod illum bellicosum et invictis munitum esse copiis fama ferebat, delectibus habitis, coactaque pecunia, sociis civitatibus præsidia imposuerunt, ne illæ quoque deficerent; et quas novis rebus studere velle præsenserant, earum principes multarunt. Prænestinos autem quosdam vesperi in urbem adductos, ærario custodiæ causa incluserunt; ut vetus oraculum quoddam impleretur, quo prædictum fuerat, illos Romanum ærarium occupaturos, cujus hic eventus fuit, ut ibi necarentur. Contra Pyrrhum, Tarentinos, eorumque socios Valerium Levinum miserunt, parte exercitus in urbe præsidii causa retenta. Is statim Roma profectus est, ut bellum quam longissime e patria gereret, et terrorem Pyrrho incuteret; qui ab iis ultro lacesseretur, quorum se mœnia oppugnaturum **371** opinabatur. Captoque munito et opportuno castello, præsidium in Lucanis

reliquit, ne ad hostes se conferrent. Pyrrhus, Levini adventu cognito, eductis copiis tempus terere, dum auxilia convenissent, cupiens, superbus et minaces Levino litteras scripsit, in hanc sententiam : *Rex Pyrrhus Levino salutem. Audio te exercitum contra Tarentinos adducere. Caterum eo dimisso, ipse cum paucis ad me venito. Nam si qua inter vos, controversia est, ego jus vobis dicam : et invitos ea quæ æqua sunt, præstare cogam.* Ei Levinus hoc modo respondit : *Omnino mihi, Pyrrhe, insanire videris, qui te inter nos et Tarentinos judicem constituas, priusquam nobis pœnas dederis ingressus in Italiam tui. Itaque cum toto exercitu veniam, et de te et Tarentinis pœnas sumam. Quid enim verbis et nugis mihi opus est, cum Marte judice, auctore nostri generis, causam disceptare liceat?* Hoc responso dato, properat ; et flumine interjecto castris positis, speculatores aliquot, comprehendit ; quos per castra circumductos, seque alium longe majorem habere exercitum gloriatus, dimisit. Quo facto perculsus Pyrrhus, pugnam detrectavit, tum quod fœderati ejus nondum convenissent, tum quod Romanos in hostili agro commeatus penuria laboraturos sperabat. Eodem Levinus quoque reputans, confligere quamprimum statuit : et quia milites et Pyrrhi famam, et elephantes timebant, convocato exercitu, et longa oratione ad confirmandos militum animos habita, ita se parat, ut cum Pyrrho vel invito pugnaturus. Qui quamvis a pugna abhorreret, tamen ne Romanos formidare videretur, et ipse milites suos ad pugnam cohortatus, Levinum flumen juxta castra transire conantem, prohibuit. Is igitur cum peditatu ibi se continens, equitibus per speciem prædæ petendæ ablegatis, mandat ut, longe provecti, trajiciant. Qui cum ex improviso terga hostium invasissent, et ordines turbassent, Levinus amne superato, prælium et ipse init. Sed Pyrrhus dum suis fugientibus suppetias venit, equo ex vulnere amisso periisse putabatur : unde Epirotis animi imminuti sunt, Romanis creverunt, mutata prælii facie. Quo rex intellecto, vestem insignem dat Megacli **372** induendam, eumque passim circumvehi jubet, ut se vivere arbitrati hostes terrerentur, sui confirmarentur, ipse privati habitu cum toto exercito, elephantis exceptis, in Romanos invehitur, et ubique laborantibus succurrens, suos multum juvat. Pugna igitur initio magna diei parte anceps fuit, donec quidam Megacle occiso, so Pyrrhum occidisse ratus, effecit ut hostes idem crederent. Tum vero et Romanis aucti sunt animi, et hostes cesserunt. Pyrrhus autem, abjecto pileo, nudo capite circumiens, pugnæ fortunam mutavit. Et cum Levinus equites, quos extra aciem in insidiis habebat, a tergo in hostes incurrere jussisset, signum elephantis sustulit. Ibi ex inusitato belluarum conspectu, et horrendo barritu, armorumque sonitu, quem qui in turribus ferebantur, edebant : tum ipsi Romani perterriti sunt, tum equi perturbati, sessores partim excutientes, partim ve-

αὐτοῖς ἐθέλονται ἐπίσιειν, οὓς ἐκεῖνος πολιορκεῖν προσεδόκησε. Καὶ ἀπιὼν χωρίον τι τῶν Λευκανῶν εἶλεν ἰσχυρὸν καὶ ἐπίκαιρον, καὶ δύναμίν τινα ἐν τῇ Λευκανίᾳ κατέλιπεν, εἴρξουσαν αὐτοὺς τοῦ ἐπαρῆξαι τοῖς ἐναντίοις. Καὶ ὁ Πύρρος μαθὼν πλησιάζοντα τὸν Λαυΐνιον, προεξώρμησε. Καὶ στρατοπεδευσάμενος, τρίβειν ἤθελε τὸν καιρὸν, ἀναμένων τοὺς συμμαχήσοντας. Καὶ τῷ Λαυΐνίῳ ἐπέστειλεν ὑπερηφάνως, ὡς καταπλήξων αὐτὸν, εἶχε δὲ ἡ γραφὴ ὧδε· *Βασιλεὺς Πύρρος Λαυΐνίῳ χαίρειν. Πυνθάνομαί σε στράτευμα ἐπὶ Ταραντίνους ἄγειν. Τὸ μὲν οὖν ἀπόπεμψον, αὐτὸς δὲ μετ' ὀλίγων ἧκε πρὸς ἐμέ. Δικάσω γὰρ ὑμῖν ἐγὼ, εἴ τι ἀλλήλοις ἐγκαλεῖτε, καὶ ἄκοντας τὰ δίκαια ποιεῖν ἀναγκάσω.* Λαυΐνιος δὲ τάδε τῷ Πύρρῳ ἀντέγραψε· *Ἔδοξε μοι δοκεῖς, ὦ Πύρρε, τετυφῶσθαι, δικαστὴν ἡμῶν ἑαυτὸν καθιστὰς καὶ Ταραντίνοις, πρὶν δίκην ἡμῖν ὑποσχεῖν, ὅτι καὶ τὴν ἀρχὴν εἰς τὴν Ἰταλίαν ἐπεραιώθης. Ἥξω τε οὖν μετὰ παντὸς τοῦ στρατοῦ, καὶ τὴν προσήκουσαν τιμωρίαν καὶ παρὰ Ταραντίνων καὶ παρά σου λήψομαι. Τί γὰρ δέ μοι λήρου καὶ φλυαρίας, ἐξὸν παρὰ τῷ Ἄρει τῷ προπάτορι ἡμῶν κριθῆναι;* Τοιαῦτα ἀντεπιστείλας, ἡπείγετο, καὶ ηὐλίσατο διὰ μέσου τὸ ῥεῦμα τοῦ ἐκεῖ ποταμοῦ ποιησάμενος. Κατασκόπους τέ τινας συλλαβών, δείξας τὴν δύναμιν αὐτοῖς, καὶ ἐπειπὼν πολλαπλασίαν ἄλλην ἔχειν, ἀπέπεμψεν. Ἐπὶ τούτοις ὁ Πύρρος καταπλαγείς, οὐ μάχεσθαι ἤθελεν, ὅτι καὶ τῶν συμμάχων οὔπω τινὲς συνῆλθον αὐτῷ, ἐπιλείψειν τε τοῖς Ῥωμαίοις τὰ ἐπιτήδεια ἤλπιζεν ἐν πολέμῳ διάγουσι. Ταῦτα δὲ καὶ ὁ Λαυΐνιος λογιζόμενος, ἔσπευσε συμμίξαι. Τῶν δὲ στρατιωτῶν πρὸς τὴν τοῦ Πύρρου φήμην καὶ διὰ τοὺς ἐλέφαντας ἐκπεπληγμένων, συγκαλέσας αὐτοὺς, πολλὰ πρὸς θάρσος παρακαλοῦντα ἐδημηγόρησε, καὶ παρεσκευάζετο καὶ ἄκοντι τῷ Πύρρῳ συμμίξαι. Ὁ δὲ γνώμην μὲν οὐκ εἶχε μάχεσθαι· ὅπως δὲ μὴ δόξῃ τοὺς Ῥωμαίους φοβεῖσθαι, καὶ αὐτὸς τοῖς οἰκείοις διαλεχθείς, ἐπώρυνεν εἰς τὸν πόλεμον. Λαυΐνιος δὲ, τὸν ποταμὸν πειρώμενος κατὰ τὸ στρατόπεδον διαβῆναι, ἐκωλύθη· ἐπαναγαγὼν οὖν αὐτὸς μὲν κατὰ χώραν μετὰ τοῦ πεζοῦ ἔμεινε, τοὺς δ' ἱππεῖς ὡς ἐπὶ λείαν τάχα τινὰ ἔπεμψεν, ἐντειλάμενος, πόρρω ποι βαθίσαντας περαιωθῆναι. Καὶ οὕτως ἐκεῖνοί τε κατὰ νώτου τοῖς πολεμίοις προσέπεσον ἀπροσδόκητοι. Καὶ ὁ Λαυΐνιος ταραχθέντων αὐτῶν τόν τε ποταμὸν διέβη, καὶ τῆς μάχης συνεπελάβετο. Φεύγουσιν οὖν τοῖς ἑαυτοῦ, ὁ Πύρρος ἐπικουρήσας, τρωθέντα τὸν ἵππον ἀπέβαλε, καὶ ἔδοξεν αὐτοῖς τεθνηκέναι. Κἀκ τούτου τῶν μὲν ἀθυμησάντων, τῶν δὲ καταφρονησάντων, τὸ ἔργον ἡλλοιώτο. Συνεὶς δὲ τοῦτο τὴν μὲν στολὴν ἐκπρεπεστέραν τῶν ἄλλων οὖσαν ἔδωκε Μεγακλεῖ, κελεύσας ἐνδῦναι αὐτὴν, καὶ πανταχόσε περιελαύνειν, ὅπως, σώζεσθαι αὐτὸν νομίσαντες, οἱ μὲν ἐναντίοι πρὸς δέος, οἱ δ' οἰκεῖοι πρὸς θάρσος ἀφίκωνται· αὐτὸς δὲ, στειλάμενος ἰδιωτικῶς, συνέμιξεν αὐτοῖς παντὶ τῷ στρατῷ, πλὴν ἐλεφάντων, καὶ τοῖς ἀεὶ πονουμένοις ἀπαμύνων, πλεῖστον τοὺς σφετέρους ὠφέλησε. Τὰ μὲν οὖν πρῶτα ἐπὶ πολὺ τῆς ἡμέρας ἰσορρόπως ἐμα-

χοντο· ὡς δὲ τὸν Μεγακλέα τις ἀποκτείνας, ᾠήθη τὸν Πύρρον ἀπεκτονέναι, καὶ τοῖς ἄλλοις δίκην τούτου παρέσχεν, οἵ τε Ῥωμαῖοι ἐπερρώσθησαν, καὶ οἱ ἐναντίοι ἐνέδοσαν. Γνοὺς δὲ ὁ Πύρρος τὸ γινόμενον, τὸν πίλον ἀπέρριψε, καὶ γυμνῇ τῇ κεφαλῇ περιῄει, καὶ εἰς τοὐναντίον περιέστη ἡ μάχη. Ἰδὼν δὲ τοῦτο ὁ Λαουΐνιος, καὶ ἱππέας ἔχων ἐνθρεύοντάς που τῆς μάχης ἐκτὸς, κατὰ νώτου προσπεσεῖν αὐτοὺς τοῖς πολεμίοις ἐκέλευσε. Πρὸς τοῦτο δὲ ἀντιστρατηγῶν ὁ Πύρρος, τὸ σημεῖον τοῖς ἐλέφασιν ἦρεν, ἔνθα ἔκ τε τῆς τῶν θηρίων θέας ἀλλοκότου οὔσης, καὶ τῆς βοῆς φρικώδους, καὶ ἐκ τοῦ τῶν ὅπλων πατάγου, ὃν οἱ ἐπιβεβηκότες ἐποίουν ἐν τοῖς πύργοις φερόμενοι, αὐτοί τε οἱ Ῥωμαῖοι ἐξεπλάγησαν, καὶ οἱ σφῶν ἵπποι ἐκταραχθέντες οἱ μὲν ἀποσειόμενοι τοὺς ἀναβάτας, οἱ δὲ καὶ φέροντες ἔφευγον. Ἀθυμῆσαν οὖν ἐκ τούτων τὸ Ῥωμαϊκὸν ἐτράπετο στράτευμα, καὶ φεύγοντες ἀνῃροῦντο οἱ μὲν παρὰ τῶν ἐν τοῖς πύργοις ἀνδρῶν τοῖς ἐπὶ τῶν ἐλεφάντων, οἱ δὲ καὶ παρ' αὐτῶν τῶν θηρίων ταῖς προβοσκίσι καὶ τοῖς κέρασιν ἢ ὀδοῦσι φθειρόντων πολλούς· καὶ τοῖς ποσὶ δὲ οὐ μείους κατηλόων (13) συμπατουμένους. Καὶ οἱ ἱππεῖς δὲ ἐφεπόμενοι πολλοὺς ἔφθειρον, οὐδ' ἂν εἷς ὑπελείφθη, εἰ μὴ ἐλέφας τρωθεὶς αὐτός τε ἐσφράδαξεν ἐκ τοῦ τραύματος, καὶ οἱ ἄλλοι πρὸς τὰς ἐκείνου βοὰς ἐταράσσοντο. Διὰ τοῦτο γὰρ ὁ Πύρρος ἐπέσχε τὴν δίωξιν, καὶ οὕτως οἱ Ῥωμαῖοι, διαβεβηκότες τὸν ποταμὸν, εἰς Ἀπουλίδα πόλιν τινὰ ἀπεσώθησαν. Πολλοὶ δὲ καὶ τῶν τοῦ Πύρρου στρατιωτῶν καὶ τῶν ἡγεμόνων πεπτώκασιν, ὥστε, συγχαιρόντων αὐτῷ τῆς νίκης τινῶν· *Εἰ καὶ αὖθίς ποτε ὁμοίως*, ἔφη, *κρατήσομεν, ἀπολούμεθα*. Τοὺς μέντοι Ῥωμαίους καὶ νικηθέντας ἐθαύμασεν, εἰπών, ὅτι, *Τὴν οἰκουμένην ἂν πᾶσαν ἐχειρωσάμην, εἰ Ῥωμαίων ἐβασίλευον*. Ὁ μὲν οὖν Πύρρος ἐπὶ τῇ νίκῃ μέγα ἔσχεν ὄνομα, καὶ πολλοὶ αὐτῷ προσεχώρησαν. Οἵ τε σύμμαχοι ἀφίκοντο πρὸς αὐτόν· οἷς, ὀλίγα ἐπιτιμήσας διὰ τὴν μέλλησιν, τῶν σκύλων μετέδωκεν.

Δ'. Οἱ δ' ἐν τῇ Ῥώμῃ ἤλγησαν ἐπὶ τῇ ἥττῃ, τῷ δέ γε Λαουΐνίῳ στράτευμα ἔπεμψαν, καὶ τὸν Τιβέριον ἐκ τῶν Τυρσηνῶν μετεπέμψαντο, καὶ τὴν πόλιν διὰ φυλακῆς ἐποιήσαντο, πυνθανόμενοι ἐπ' αὐτὴν τὸν Πύρρον ἐπείγεσθαι. Ὁ μέντοι Λαουΐνιος, τούς τε οἰκείους τραυματίας ἐξακεσάμενος, καὶ τοὺς σκεδασθέντας συναγαγών, ἤδη καὶ τῶν ἐκ Ῥώμης πεμφθέντων ἀφικομένων, τὸν Πύρρον παρεπόμενος ἐλύπει· καὶ τὴν Καπύην μαθὼν ἑλεῖν γλιχόμενον, προκατέλαβε, καὶ ἐφύλαξεν. Ἁμαρτὼν δ' ἐκείνης ὁ Πύρρος, ἐπὶ τὴν Νεάπολιν ὥρμησεν. Ὡς οὐδὲν οὐδ' ἐν αὐτῇ δρᾶσαι ἴσχυσε, σπεύδων τὴν Ῥώμην καταλαβεῖν, καὶ διὰ τῆς Τυρσηνίδος παριὼν, ὡς κἀκείνους προσλάβοι, ἐπεὶ ἔμαθεν αὐτούς τε τοῖς Ῥωμαίοις ὁμολογίας πεποιημένους, καὶ τὸν Τιβέριον αὐτῷ ἀντιπροσιόντα, τόν τε Λαουΐνιον ἑφεπόμενον, ἐφοβήθη μὴ ὑπ' αὐτῶν πανταχόθεν ἐν χωρίοις ἀγνώστοις ἀπολημφθῇ, καὶ περαιτέρω οὐ προεχώρησεν. Ὡς δὲ ἀναχωροῦντι καὶ γενομένῳ περὶ Καμπανίαν ὁ Λαουΐνιος ἐπεφάνη, καὶ τὸ στράτευμα αὐτοῦ πολλῷ πλεῖον τοῦ πρόσθεν ἦν, Ὕδμας ἔφη δίκην τὰ στρατόπεδα τῶν Ῥωμαίων κοπτόμενα ἀναφύεσθαι. Καὶ ἀντιπαρετάξατο μὲν, οὐκ ἐμαχέσατο δὲ, ὅτι ἐκέλευσεν, ὡς καταπλήξων πρὸ τῆς συμπλοκῆς τοὺς Ῥωμαίους, τοὺς ἑαυτοῦ στρατιώτας τὰς ἀσπίδας τοῖς δόρασι πλήξαντας ἐκβοῆσαι, καὶ τοὺς σαλ-

hentes fugerunt. Itaque abjectis animis in fugam versi, partim a viris qui in elephantorum turribus erant, occidebantur : partim ab ipsis belluarum manibus et dentibus multi conficiebantur, neque pauciores pedibus illarum proterebantur. Multos etiam equites insecuti sustulerunt : neque ullus evasisset, nisi elephantus vulneratus retrocessisset, et barritu suo cæteros turbasset. Nam cum ea de causa Pyrrhus a persequendo destitisset, Romani flumine superato in urbem quamdam Apuliæ pervenerunt. Multi etiam ex Pyrrhi militibus et ducibus ceciderunt. Quare cum ei quidam victoriam gratularentur : *Si denuo*, inquit, *ita vicerimus, actum de nobis erit*. Et Romanos quamvis victos admiratus : *Si Romanis*, ait, *imperarem, universum orbem subjugarem*. Ex ea victoria magnum nomen adeptus est, ac multi se ad eum contulerunt. Sociis, cum venissent, ob moram nonnihil castigatis, partem manubiarum dedit.

IV. Qui Romæ erant, ob acceptam cladem mœsti, Levino supplementum miserunt : et Tiberio ex Etruria revocato, urbem præsidiis firmarunt ; nam Pyrrhum ad eam tendere audierant. Levinus vero, sauciis curatis, et dispersis recollectis, acceptisque missis ex **373** urbe militibus, Pyrrhum assectando vexavit ; et Capuam, cujus illum capiendæ esse cupidum audierat, occupatam defendit. Eo consilio frustratus Pyrrhus, Neapolim contendit, qua cum potiri non posset, ad Romam occupandam properans, et per Etruriam transiens, ut eam quoque gentem sibi adjungeret, ubi eos cum Romanis fœdus percussisse didicit, et Tiberium sibi obviam ire, Levinum a tergo sequi, ne ab eis in regione ignota circumveniretur timens, ulterius non est progressus. Ut vero recedenti et Campaniæ fines ingresso, Levinus cum exercitu longe majore quam prius habuerat, se ostendit : *Hydræ instar*, inquit, *Romanorum legiones cædendo renascuntur*. Et aciem instruxit ille quidem, sed non commisit prælium. Nam cum suos milites clypeos hastis pulsantes, clamorem tollere, et classica canere, et elephantos barrire jussisset, ut Romanos ante congressum perterrefaceret, illi autem longe ferocius reclamassent, ut ipsius milites consternarentur ; pugnam inire, sacra inauspicata causatus, noluit, sed

Variæ lectiones et notæ.

(13) *Κατηλόων*. Ita Regii quatuor et Colbert. Alius apud Wolfium κατηλώφων. Vide Henric. Valesium ad Harpocrationem, pag. 232, ubi de hac voce.

captivos Tarentum reduxit, ibique Romanorum legatos pro captivis redimendis missos, Fabricium et cæteros, honorifice benigneque excepit, sperans eos pacem petituros, et ut victos leges accepturos. Cæterum Fabricio pro captis in bello id pretium offerente, quod utrinque convenisset : quia pacis nullam mentionem fecerat, animi dubius seorsim, ut solebat, cum amicis, de reddendis captivis deque bello administrando deliberavit. Milone autem suadente, ut neque captivos redderet, neque pacem faceret, sed Romanis jam victis, etiam reliquias belli persequeretur, Cyneas plane contrarium censuit. Nam et captivos gratis esse reddendos, et legatos atque pecuniam Romam mittendos, pacis et fœderis impetrandi causa, cujus sententiæ et cæteri et ipse Pyrrhus assensi, legatis accersitis : *Neque prius*, inquit, *Romani, mea sponte vobis bellum intuli, neque nunc inferam. Amicus enim vester esse cupio. Itaque captivos gratis vobis reddo, et ut pacem mecum faciatis peto.* Hæc cum legatis omnibus dixisset, et pecuniam partim **374** dedisset, partim promisisset, cum Fabricio seorsim hoc modo egit : *Cum omnium Romanorum amicitiam expeto, tum vero tuam, quem virum bonum esse video, et ut pacem mihi conficias peto.* Hæc cum diceret, munera quoque multa ei obtulit. At ille : *Pacis*, inquit, *studium in te, Pyrrhe, laudo, et pacem, modo ea nobis prosit, tibi conficiam : neque enim postulabis cum me bonum virum esse dicas, ut aliquid agam contra patriam. Sed nihil munerum illorum quæ mihi offers, accipiam. Numquid enim me vere bonum virum esse censes, an non? Nam si malus sum, cur munera mihi largiris? Sin bonus, cur ea me accipere jubes? Scito autem me abundare opibus, sorte mea contentum, neque plura desiderantem. Te vero, etsi ditissimus es, extrema inopia laborare. Nam neque Epiro, neque cæteris quæ habes relictis huc trajecisses : si, illis contentus, plura non desiderares.* His dictis, legati captivis receptis abierunt. Pyrrhus autem Cyneam cum multo auro et ornamentis muliebribus omnis generis Romam misit ; ut etsi ex viris aliqui adversarentur, at uxores eorum ornamentis illectæ viros etiam corrumperent. Romam profectus Cyneas, non statim senatum adiit, sed alias aliud causando moratus, potentum ædes circumiit, eosque et verbis et muneribus sibi conciliavit. Cum jam multos sibi devinxisset, curiam ingressus, dixit : *Pyrrhus rex se venisse ait, non ut bellum vobiscum gereret, sed ut Tarentinos supplices sibi factos reconciliaret. Præterea captivos sine pretio vobis restituit : et cum agrum vestrum vastare, et urbem oppugnare potuisset, se in numerum amicorum et sociorum vestrorum inscribi petit. Jam quamvis sibi vos multum commodaturos credit, plura se tamen et majora in vos beneficia collocaturum existimat.* Hæc cum maximæ senatorum parti ob largitiones et captivos redditos placerent, tamen nullo responso dato, plures dies in deliberando consumpserunt ; cumque varia dicerentur, sententia de pace fa-

πιγκτὰς καὶ τοὺς ἐλέφαντας συνηχῆσαι. Ἐπεὶ δὲ κἀκεῖνοι πολὺ μεῖζον ἀντεβόησαν, ὡς ἐκπλαγῆναι τοὺς τοῦ Πύρρου, οὐκ ἔτ' ἠθέλησε συμμίξαι, ἀλλ' ὡς δυσιερῶν ἐπανήγαγε, καὶ ἀφίκετο ἐς Τάραντα, ἔνθα πρέσβεις τῶν Ῥωμαίων ὑπὲρ τῶν αἰχμαλώτων ἀφίκοντο ἄλλοι τε καὶ ὁ Φαβρίκιος· οὓς φιλοτίμως ἐξένισε, καὶ ἐδεξιώσατο, ἐλπίσας αὐτοὺς σπείσασθαι, καὶ ὁμολογίαν ὡς ἡττημένους ποιήσασθαι. Τοῦ δὲ Φαβρικίου τοὺς ἁλωκότας ἐν τῇ μάχῃ κομίσασθαι αἰτοῦντος ἐπὶ λύτροις τοῖς ἀμφοῖν συναρέσουσι, διηπορήθη ὅτε μὴ καὶ περὶ εἰρήνης πρεσβεύειν ἔφη. καὶ ἰδίᾳ μετὰ τῶν φίλων ἐβουλεύετο, ὡς εἰώθει, περὶ τῆς τῶν αἰχμαλώτων ἀποδόσεως, καὶ περὶ τοῦ πολέμου, καὶ ὅπως τοῦτον μεταχειρίζεται. Ὁ μὲν οὖν Μίλων, μήτε τοὺς αἰχμαλώτους ἀποδόσθαι, μήτε σπείσασθαι συνεβούλευεν, ἀλλ' ἤδη τῶν Ῥωμαίων ἡττημένων, καὶ τὰ λοιπὰ πολέμῳ προσκατεργάσασθαι· Ὁ δὲ Κινναίας τοὐναντίον ἅπαν αὐτῷ συνεβούλευε· τούς τε γὰρ αἰχμαλώτους προῖκα ἀποδοῦναι συνήνει, καὶ πρέσβεις εἰς Ῥώμην καὶ χρήματα πέμψαι τῆς εἰρήνης ἕνεκα καὶ σπονδῶν. Οὗ τῇ γνώμῃ καὶ οἱ λοιποὶ συνετίθεντο· οὕτω δὲ φρονῶν καὶ ὁ Πύρρος ἐτύγχανε. Καλέσας οὖν τοὺς πρέσβεις· *Οὔτε πρώην, ὦ Ῥωμαῖοι, ἔφη, ἑκὼν ὑμῖν ἐπολέμησα, οὔτε νῦν πολεμήσαιμι· φίλος γὰρ ὑμῖν γενέσθαι βεβούλημαι· διὸ καὶ τοὺς αἰχμαλώτους ὑμῖν ἄνευ λύτρων ἀφίημι, καὶ σπείσασθαι ἀξιῶ.* Ταῦτα μὲν πᾶσιν εἰρήκει τοῖς πρέσβεσι, καὶ χρήματα σφίσι τὰ μὲν δέδωκε, τὰ δὲ ἐπηγγείλατο· τῷ δὲ Φαβρικίῳ κατὰ μόνας διαλεχθείς, *Φίλος*, εἶπεν, *ἡδέως καὶ πᾶσιν ἂν Ῥωμαίοις γενοίμην, μάλιστα δὲ σοί. Ὁρῶ γάρ σε ἀγαθὸν ἄνδρα, καὶ τὴν εἰρήνην συμπρᾶξαί μοι ἀξιῶ.* Ταῦτα λέγων, καὶ δῶρα αὐτῷ πολλὰ ἐδίδου. Ὁ δέ, *Ἐπαινῶ σε*, εἶπεν, *ὦ Πύρρε, ὅτι τῆς εἰρήνης ἐπιθυμεῖς, καί σοι αὐτὴν, ἂν γε συμφέρῃ ἡμῖν, καταπράξομαι. Οὐ γὰρ κατὰ τῆς πατρίδος τι πρᾶξαί με, ἀγαθόν, ὡς φῂς, ἄνδρα ὄντα, ἀξιώσεις. Ἀλλ' οὐδὲ τούτων ὧν δίδως τι λάβοιμι ἄν. Πυνθάνομαι γάρ σου, πότερον ἐλλύγμόν με ὡς ἀληθῶς νομίζεις ἄνδρα, ἢ οὔ. Εἰ μὲν γὰρ φαῦλός εἰμι, πῶς με δώρων ἄξιον κρίνεις; εἰ δὲ χρηστός, πῶς με λαβεῖν αὐτὰ κελεύεις; Ἴσθι γοῦν, ὡς ἐγὼ καὶ πάνυ πολλὰ ἔχω, τοῖς παροῦσιν ἀρκούμενος, καὶ πλειόνων οὐ δέομαι· σὺ δ' εἰ καὶ σφόδρα πλουτεῖς, ἐν πενίᾳ μυρίᾳ καθέστηκας. Οὐ γὰρ ἂν οὕτε τὴν Ἤπειρον, οὔτε τἆλλα ἃ ἔχεις καταλιπών, δεῦρο ἐπεραιώθης, εἰγε ἐκείνοις ἤρκουν, καὶ μὴ πλειόνων ὠρέγου.* Τούτων οὕτω λεχθέντων, οἱ πρέσβεις τοὺς αἰχμαλώτους λαβόντες ἀπῆσαν. Καὶ ὁ Πύρρος τὸν Κινναίαν εἰς τὴν Ῥώμην ἀπέστειλε μετὰ χρυσίου πολλοῦ, καὶ κόσμου γυναικείου παντοδαποῦ, ἵνα, εἰ καί τινες τῶν ἀνδρῶν ἀντίσχοιεν, ἀλλ' αἱ γυναῖκες αὐτῶν, τοῖς κόσμοις ἀναπεισθεῖσαι, κἀκείνους συνδιαφθείρωσιν. Ἐλθὼν δὲ πρὸς τὴν πόλιν ὁ Κινναίας, οὐ προσῄει τῇ γερουσίᾳ, ἀλλὰ διῆγεν ἄλλοτε ἄλλην αἰτίαν σκηπτόμενος. Περιφοιτῶν δὲ καὶ τὰς τῶν δυνατῶν οἰκίας, λόγοις τε σφᾶς καὶ δώροις ὑπῆγετο· καὶ ἐπειδὴ πολλοὺς ᾠκειώσατο, εἰσῆλθεν εἰς

tuit, etiam Annibalem eruptione facta Romanos a tergo cæsurum sperans. Quo consules animadverso cum quiescerent, et Hanno per contemptum usque ad vallum accessisset, aliquot miserunt, qui ei a tergo insidiarentur. Illoque sub vesperam secure et contemptim **386** exercitum reducente, Romani tam ex vallo, quam ex insidiis eum aggressi, multam et hominum et elephantorum cædem edidérunt. Interea Annibal Romanorum castra adortus est, sed repulsus a custodibus. Hanno castris desertis Heracleam confugit. Annibal noctu Agrigento profugiendi capto consilio, ipse quidem clam evasit : ceteri autem deprehensi, partim a Romanis, multi ab Agrigentinis sunt occisi : qui tamen ea re veniam non impetrarunt, sed opibus direptis omnes vænierunt. Consules Messanam in hiberna concessérunt. Carthaginienses Hannoni irati, Amilcarem Barchinum successorem dederunt, imperatorem, Annibale filio excepto, inter suos præstantissimum : qui cum Siciliam ipse tueretur, Annibalem classi præfectum in Italiam, oræ maritimæ infestandæ causa misit, ut consules ad se retraheret. Sed fefellit eum opinio. Nam præsidiis ubique in mari collocatis, in Siciliam profecti, nihil memorabile gessérunt. Amilcar vero, metuens ne Galli milites, ob stipendia non integra munerata indignantes, cum Romanis se conjungerent, ad quamdam Romanam urbem per proditionem scilicet occupandam et diripiendam eos misit : subornatis transfugis, qui consulibus Gallorum adventum nuntiarent. Ita illi omnes insidiis excepti perierunt : sed et Romanorum multi occubuerunt. Consulibus domum reversis; Amilcar etiam Italiæ oram classe vastavit; et quasdam Siciliæ urbes subegit. Quo Romani audito, classem instruxerunt, cui consulum alter Cneius Duillius est præfectus, collega ejus Cneius Cornelius in Siciliam missus : qui cum bello terrestri, quod mandatum ei fuerat, negiecto, navibus quas habebat, Liparæ, spe proditionis dolo Carthaginiensium facta, appulisset, a Bode Annibalis legato est circumventus. Cum autem ad defensionem se pararet, ille Romanorum audaciam veritus, eos ad pacis conditiones provocavit. Cumque consuli et tribunis militum persuasissét, ut ipsius triremem conscenderent, quo cum præfecto classis colloquerentur, eos Carthaginem misit, cæteros non repugnantes cepit.

A αὐτοῖς συναιρόμενος πρότερον, τότε σῖτον αὐτοῖς ἔπεμψεν, ὡς τε καὶ τοὺς ὑπάτους ἀναθαρσῆσαι. Ἄννων δὲ ἐπεχείρησε μάχην συνάψαι, ἐλπίσας, καὶ τὸν Ἀννίβαν ἐκ τοῦ τείχους κατὰ νώτου τοῖς Ῥωμαίοις προσπεσεῖσθαι. Ὁ μαθόντες οἱ ὕπατοι, ἡσύχαζον, ὡς τε τὸν Ἄννωνα καταφρονήσαντα τῷ ταφρεύματι προσελθεῖν. Ἔπεμψαν δέ τινας κατόπιν αὐτοῦ ἐνεδρεύσοντας. Ἐκείνου δὲ πρὸς ἑσπέραν ἀδεῶς καὶ καταφρονητικῶς ἐπανάγοντος, ἔκ τε τῆς ἐνέδρας καὶ τοῦ χαρακώματος αὐτῷ οἱ Ῥωμαῖοι συνέμιξαν, καὶ φόνον πολὺν καὶ αὐτῶν καὶ τῶν ἐλεφάντων εἰργάσαντο. Ὁ δ' Ἀννίβας ἐν τούτῳ ταῖς σκηναῖς τῶν Ῥωμαίων ἐπελθών, ἐξεκρούσθη ὑπὸ τῶν φυλαττόντων αὐτάς. Ὁ δ' Ἄννων εἰς τὴν Ἡράκλειαν κατέφυγε, τὸ στρατόπεδον ἐκλιπών, καὶ ὁ Ἀννίβας νυκτὸς ἐκδράναι τοῦ Ἀκράγαντος βουλευσάμενος, αὐτὸς μὲν ἔλαθεν· οἱ δ' ἄλλοι γνωσθέντες, οἱ μὲν ὑπὸ τῶν Ῥωμαίων, συχνοὶ δὲ καὶ ὑπὸ τῶν Ἀκραγαντίνων ἐκτάνθησαν. Οὐ μέντοι συγγνώμης ἔτυχον οἱ Ἀκραγαντῖνοι, ἀλλὰ καὶ τὰ χρήματα σφῶν διηρπάσθησαν, καὶ αὐτοὶ ἐπράθησαν ἅπαντες. Καὶ οἱ μὲν ὕπατοι πρὸς τὴν Μεσήνην διὰ τῶν χειμώνα ἀνεχώρησαν. Ἤρχοντο δ' οἱ Καρχηδόνιοι κατὰ Ἄννωνος, καὶ Ἀμίλκαν ἀντ' αὐτοῦ τὸν Βαρχίδην ἀπέστειλαν, ἄνδρα τῶν ὁμοφύλων, πλὴν τοῦ Ἀννίβα τοῦ υἱέος, ἐν στρατηγίᾳ κρείττονα· καὶ αὐτὸς μὲν τὴν Σικελίαν ἐφύλαττεν· Ἀννίβαν δὲ ναυαρχοῦντα ἐς Ἰταλίαν ἔπεμψε, τὰ παράλια αὐτῆς κακουργήσοντα, ἵνα τοὺς ὑπάτους πρὸς ἑαυτὸν ἐπισπάσηται. Ἀλλ' οὐκ ἔτυχε τοῦ σκοποῦ. Καταστήσαντες γὰρ ἐκεῖνοι φρουρὰς ἑκασταχόθι τῆς παραλίας, εἰς Σικελίαν ἦλθον, οὐδὲν δὲ μνήμης ἔπραξαν ἄξιον. Ὁ δὲ Ἀμίλκας τοὺς Γαλάτας τοὺς μισθοφόρους, ὅτι μὴ ἐντελῆ δέδωκεν αὐτοῖς τὸν μισθὸν, ἀγανακτήσαντας, φοβηθεὶς μὴ προσχωρήσωσι τοῖς Ῥωμαίοις, διέφθειρε, πέμψας αὐτοὺς εἴς τινα τῶν ὑπὸ Ῥωμαίους πόλιν παραληψομένους αὐτὴν, ὡς τάχα προδιδομένην, καὶ διαρπάσαι αὐτὴν ἐπιτρέψας. Στείλας δὲ πρὸς τοὺς ὑπάτους ψευδαυτομόλους, τὴν τῶν Γαλατῶν προμηνύοντας ἔλευσιν· ὅθεν οἱ Γαλάται μὲν πάντες ἐνεδρευθέντες ἐφθάρησαν, πολλοὶ δὲ καὶ τῶν Ῥωμαίων ἀπέθανον. Ἀπελθόντων δὲ τῶν ὑπάτων οἴκαδε, ὁ Ἀμίλκας καὶ τὴν Ἰταλίαν ἐπόρθει, προσπλέων, καὶ ἐν τῇ Σικελίᾳ πόλεις τινὰς ὑπηγάγετο. Πυθόμενοι δὲ ταῦτα οἱ Ῥωμαῖοι, ναυτικὸν συνεστήσαντο, καὶ Γαΐου αὐτῷ Δουιλίου τὸν ἕτερον τῶν ὑπάτων ἐπέστησαν, τὸν δὲ τούτου συνάρχοντα Κορνήλιον Γάϊον εἰς Σικελίαν ἔπεμψαν, ὃς κατὰ γῆν πολέμου ὢν ἐκεκλήρωτο ἀμελήσας, ταῖς προσούσαις αὐτῷ ναυσὶν ἐς Λιπάραν ἔπλευσεν, ὡς προδιδομένην αὐτῷ, τοῦτο δ' ἐκ δόλου τῶν Καρχηδονίων ἐγένετο. Ὡς οὖν ἐς τὴν Λιπάραν καθωρμίσατο, Βόδης αὐτὸν ὁ τοῦ Ἀννίβου περιεστοίχισεν ὑπαστράτηγος. Παρασκευαζομένου δὲ τοῦ Γαΐου πρὸς ἄμυναν, δείσας ἐκεῖνος τὴν ἀπόνοιαν αὐτῶν, προεκαλέσατο αὐτοὺς εἰς σπονδάς· καὶ πείσας ἀνεβίβασεν εἰς τὴν ἑαυτοῦ τριήρη τόν τε ὕπατον καὶ τοὺς χιλιάρχους, ὡς τῷ ναυάρχῳ ἐντευξομένους. Καὶ τούτους μὲν εἰς Καρχηδόνα ἀπέπεμψεν, τοὺς δὲ λοιποὺς οὐδὲ ὡπλισμένους τὰ ὅπλα εἶλον.

B

C

D

387 XI. Annibal deinde Italiam vastavit : Amilcar Segestam petiit, ubi maxima pars Romani peditatus erat : et C. Cæcilio tribuno militum opem illis ferre volenti, per insidias multos milites occidit. His Romani cognitis, præfectum urbis statim

ΙΑ'. Εἶτα Ἀννίβας μὲν τὴν Ἰταλίαν ἐπόρθει, Ἀμίλκας δὲ εἰς Ἔγεσταν ἐστράτευσεν, ἐν ᾗ τὸ πλεῖστον τοῦ πεζοῦ τοῖς Ῥωμαίοις ἦν, οἷς ἐπικουρῆσαι Γάϊον Καικίλιον χιλίαρχον ἐθελήσαντα λοχήσας, πολλοὺς ἐφόνευσε τῶν αὐτοῦ. Ταῦτα δὲ μαθόν-

τες οἱ ἐν τῇ Ῥώμῃ, τὸν μὲν ἀστυνόμον εὐθὺς ἐξέπεμψαν, καὶ τὸν Δουίλιον ἐπέσπευσαν. Ὁ δὲ ἐς τὴν Σικελίαν ἐλθὼν, καὶ καταμαθὼν τὰς ναῦς τῶν Καρχηδονίων τῇ μὲν παχύτητι καὶ τῷ μεγέθει τῶν σφῶν ἐλαττουμένας, τῷ τάχει δὲ τῆς εἰρεσίας καὶ τῇ ποικιλίᾳ τοῦ πλοῦ προεχούσας, μηχανὰς ἐπὶ τῶν τριήρων, ἀγκύρας τε καὶ χεῖρας περικόντους σιδηρᾶς, καὶ ἄλλα τοιαῦτα κατεσκεύασεν, ὅπως ταῖς πολεμίαις ναυσὶν ἐμβριπτοῦντες αὐτὰ συνάπτοιντο σφίσι, καὶ μεταβαίνοντες εἰς αὐτὰς, εἰς χεῖρας ἴοιεν τοῖς Καρχηδονίοις, καὶ ὡς ἐν πεζῇ μάχῃ τούτοις συρρήγνυνται. Συμμίξαντες οὖν οἱ Καρχηδόνιοι ταῖς τῶν Ῥωμαίων ναυσὶ, περιέπλεον σφᾶς, συντόνῳ χρώμενοι εἰρεσίᾳ, καὶ ἐκ τοῦ αἰφνιδίου προσέβαλον. Χρόνον μὲν οὖν τινα ἰσοπαλὴς ἡ ναυμαχία ἐγίνετο. Εἶθ' οἱ Ῥωμαῖοι ἐπικρατέστεροι γεγονότες, πολλοὺς μὲν κατέδυσαν, συνέσχον δὲ καὶ πολλούς. Ὁ δ' Ἀννίβας ἐπὶ ἑπτήρους ναυμαχῶν, σοσχεθείσης τῆς αὐτοῦ νηὸς τριήρει τινὶ, μὴ ἄλλῳ φοβηθείς, τὴν ἑπτήρη τε ἐγκατέλιπε, καὶ μεταβὰς εἰς ἑτέραν ἔφυγε. Τῆς μὲν οὖν ναυμαχίας τοῦτο τέλος ἐγένετο, καὶ λάφυρα πολλὰ ἐλήφθη. Τὸν δ' Ἀννίβαν οἱ Καρχηδόνιοι διὰ τὴν ἧτταν ἀπέκτειναν ἄν, εἰ μὴ εὐθὺς ἐπηρώτησε σφᾶς, ὡς ἀκεραίων ἔτι τῶν πραγμάτων ὄντων, εἰ ναυμαχῆσαι κελεύουσιν, εἰ μή; Συνθεμένων γὰρ αὐτῶν ναυμαχῆσαι, ὡς τῷ ναυτικῷ προέχειν ἐπαιρομένων, ὑπεῖπεν, ὅτι, *Οὐδὲν ἄρα ἠδίκηκα, ὅτι ταὐτὰ ὑμῖν ἐλπίσας συνέβαλον· τῆς γὰρ γνώμης, ἀλλ' οὐ τῆς τύχης ἐτύγχανον κύριος.* Καὶ ὁ μὲν ἐσώθη, τὴν δὲ ἡγεμονίαν ἀφῃρέθη. Δουίλιος δὲ τὸ πεζὸν προσλαβὼν, τούς τε Ἐγεσταίους ἐρρύσατο, μηδ' εἰς χεῖρας αὐτῷ τοῦ Ἅμιλκα ἐλθεῖν ὑπομείναντος, καὶ τὰ φίλια τὰ ἄλλα ἐβεβαιώσατο, καὶ εἰς τὴν Ῥώμην τοῦ θέρους παρελθόντος ἀνεκομίσθη. Ἀπάραντος δ' αὐτοῦ, ὁ Ἅμιλκας τό τε Δρέπανον κεκλημένον (ἔστι δὲ λιμὴν ἐπίκαιρος) ἐκρατύνατο, καὶ ἐς αὐτὸ τὰ πλείστου κατέθετο ἄξια, καὶ τοὺς Ἐρυκηνοὺς ἅπαντας μετανέστησε, καὶ τὴν πόλιν αὐτῶν κατέσκαψεν, ἵνα μὴ οἱ Ῥωμαῖοι καρτερὰν αὐτὴν οὖσαν καταλαβόντες, ὁρμητήριον τοῦ πολέμου ποιήσωνται· καὶ πόλεις εἷλε τὰς μὲν βίᾳ, τὰς δὲ προδοσίᾳ. Καὶ εἰ μὴ Γάϊος Φλῶρος αὐτὸν ἐπέσχεν, ἐκεῖ χειμάσας, τὴν Σικελίαν ἂν κατεστρέψατο ἅπασαν. Λούκιος δὲ Σκιπίων ὁ συνάρχων αὐτοῦ, ἐπὶ Σαρδὼ καὶ ἐπὶ Κύρνον ἐστράτευσε (κεῖνται δὲ ἐν τῷ Τυρσηνικῷ πελάγει, ὀλίγον ἀλλήλων ἀπέχουσαι, ὡς μίαν αὐτὰς πόρρωθεν εἶναι δοκεῖν) καὶ πρότερα τῇ Κύρνῳ προσβαλὼν, τὴν μὲν Οὐαλερίαν τὴν κρατίστην αὐτῆς πόλιν βίᾳ εἷλεν, ἀπόνως δὲ τὰ λοιπὰ ἐχειρώσατο. Ἐς δὲ τὴν Σαρδὼ πλέων, κατεῖδέ τι ναυτικὸν Καρχηδόνιον, καὶ ἐπ' αὐτὸ ἐτράπετο, καὶ οἱ μὲν ἔφυγον πρινὴ συμμίξαι. Αὐτὸς δ' ἐπὶ πόλιν Ὀλβίαν ἦλθεν. Ἔνθα τῶν Καρχηδονίων ὑπὸ τῶν νεῶν ἐπιφανέντων φοβηθεὶς (οὐδὲ γὰρ ἦν τὸ πεζὸν ἀξιόμαχον) ἐπ' οἴκου ἀπῆρεν. Ἐν δὲ τῷ τότε χρόνῳ ἄλλοι τε τῶν ἀλόντων, καὶ ἐν τῷ ἄστει δουλευόντων, καὶ οἱ Σαμνῖται (συχναὶ γὰρ πρὸς τὴν τοῦ ναυτικοῦ παρασκευὴν ἀφίκοντο) συνέθεντο τῇ Ῥώμῃ ἐπιβουλεῦσαι. Μα-

ablegarunt, et Duillium maturare jusserunt. Qui cum in Siciliam venisset, navesque Carthaginiensium crassitudine et magnitudine Romanis inferiores, sed celeritate remigii, et navigandi varietate superiores esse vidisset : machinas quasdam, ancoras, manus ferreas longis contis præfixas, aliaque ejus generis fabricavit, quibus hostiles naves attraherentur : ac transitu in illas facto, sui cum Carthaginiensibus, veluti in terrestri pugna, cominus dimicarent. Carthaginienses cum Romanas naves crebra remigatione circumdatas, subito invarissent, aliquandiu æquo marte certatum est : deinde vero Romani superiores facti, multos demerserunt, multos ceperunt. Annibal septiremi, in qua pugnabat, cum triremi commissa, veritus ne caperetur, in aliam navim saltu facto, evasit. Hoc navalis prælii exitu Romani multis spoliis aucti sunt. Carthaginienses vero Annibalem ob acceptam cladem occidissent, nisi eos statim, veluti rebus adhuc integris, percontatus esset : Utrum navali prælio decertare juberent, necne. Cum assensi essent, ut qui classibus gloriarentur, subjecit, *Nullum suum peccatum esse, qui eadem spe, qua ipsi, pugnam iniisset. Consilium enim in sua potestate, eventum penes fortunam fuisse.* Sic illi vita concessa est, imperium abrogatum. Duillius peditatu sibi adjuncto, Segestanos liberavit, Amilcare nec ad manus venire auso : et sociis civitatibus firmatis, elapsa æstate Romam rediit. Post ejus abitum Amilcar Drepanum (est autem portus opportunus) muniit, eoque res maximi pretii contulit : et Erycinis omnibus expulsis, atque urbe eversa, ne locus munitissimus Romanis ad bellum gerendum usui esset, urbes alias vi, alias proditione cepit : ac nisi a C. Floro, qui ibi hibernabat, coercitus fuisset, totam Siciliam subegisset. L. Scipio ejus collega exercitum in Sardiniam et Corsicam **388** duxit, insulas in Tyrrheno mari sitas, tam exiguo intervallo separatas, ut ex longinquo pro una habeantur. Ac primum Corsicæ principe urbe Valeria vi capta, reliquis citra laborem est potitus. In Sardiniam navigaturus, cum classem Carthaginiensem conspexisset, in eam impetum fecit. Sed cum illa, priusquam ad manus veniretur, fugisset, Olbiam urbem invasit. Ubi navium Carthaginiensium conspectu territus (nec enim a peditatu satis ad pugnam paratus erat), domum versus iter intendit. Eo tempore cum alii captivi, tum Samnites, quorum complures ad navalem instructionem venerant, Romæ insidiari decreverunt. Quo Erius Potilius auxiliorum dux cognito, se eis assentiri simulavit, ut omnia eorum consilia cognosceret. Quia vero illa deferre non poterat, a Samnitibus undique circumdatus, eis persuasit, ut cum senatus haberetur, in foro congressi, vociferarentur, in demetiendo frumento fraudem sibi esse factam. Quod cum illi fecissent, accersitus, ut tumultus auctor, insidias exposuit: ac tum quidem seditione sopita, illi sunt dimissi. Noctu vero, cum quique domini servos suos com-

prehendissent, omnis conjuratio dissipata est. Sequenti æstate Romani et Carthaginienses simul et in Sicilia et in Sardinia bellum gesserunt. Deinde cum Attilius Latinus in Siciliam venisset, atque Mutistratum urbem a Floro obsessam invenisset : copiis illius usus, cum mœnia oppugnaret, oppidani principio cum Carthaginiensibus ei fortiter restiterunt. Sed uxoribus et liberis lamentantibus, omissa defensione, Carthaginiensibus noctu digressis, primo diluculo portas ultro aperuerunt. Verum Romani ingressi, nemini pepercerunt : donec Attilius pronuntiari jussit, prædam et homines ejus fore qui cepisset. Tum demum reliquis captis, urbem direptam incenderunt.

Καὶ μετὰ τοῦτ' Ἀττίλιος Λατῖνος ἐς τὴν Σικελίαν ἐλθὼν, καὶ Μουτίστρατον πόλιν ὑπὸ τοῦ Φλώρου πολιορκουμένην εὑρὼν, τῇ παρασκευῇ ἐκείνου ἐχρήσατο. Καὶ προσβολὰς περὶ τὸ τεῖχος αὐτοῦ ποιουμένου, πρῶτον μὲν οἱ ἐπιχώριοι μετὰ τῶν Καρχηδονίων ἠμύνοντο κραταιῶς. Τῶν δὲ γυναικῶν καὶ τῶν παίδων ἐς δάκρυα καὶ ἐς οἰμωγὰς προαχθέντων, οὐκ ἀντέσχον. Ὑπεξελθόντων δὲ νυκτὸς τῶν Καρχηδονίων, ἅμα τῇ ἕῳ τὰς πύλας ἐθελονταὶ οἱ ἐπιχώριοι ἀνεπέτασαν. Εἰσελθόντες δὲ οἱ Ῥωμαῖοι, πάντας ἐφόνευον· ἕως ἐκήρυξεν ὁ Ἀττίλιος, τὴν λοιπήν τε λείαν καὶ τοὺς ἀνθρώπους τοῦ λαβόντος εἶναι. Ἔκτοτε γὰρ τούς τε ἐζώγρησαν, καὶ τὴν πόλιν προδιαρπάσαντες κατέπρησαν.

XII. Inde Camarinam incircumspecte aggressi, atque in loca insidiis occupata delapsi, omnes perissent, nisi M. Calphurnius, tribunus militum, calamitatem eam arte correxisset. Nam cum ex omnibus unum tumulum ob præcipitium non occupatum vidisset, ccc **389** a consule milites petiit : quos cum propere illo adduxisset, ut hostibus in se conversis, cæteri effugerent, non deceptus est. Nam hostes eorum impetu perculsi, consule cum suis ut jam captis relictis, contra Calphurnium concurrerunt : et atroci pugna commissa, multi etiam ex illis, sed illi ccc omnes perierunt, præter unum Calphurnium : qui cum præ vulneribus instar mortui inter cadavera jacuisset, vivens repertus, evasit incolumis. Interea vero dum ccc pugnant, etiam consul Attilius, evitato periculo, Camarina et aliis urbibus partim vi, partim deditione subactis, ad Liparam proficiscitur : quam cum Hamilcar clam noctu occupasset, subita eruptione facta, multos cæcidit. Caius vero Sulpitius non modo Sardiniæ pleraque loca infestavit : sed successibus elatus, etiam contra Libyam iter intendit. Ac Carthaginienses cum Annibale solverunt, patriæ metuentes : sed vento adverso repulsi, ambo recesserunt. Deinde Attilius Annibalem per subornatos transfugas, tanquam denuo in Africam navigaturus, decepit. Cum igitur celeriter e portu solvisset, Sulpitius contra eum invectus, plerasque naves ejus, præ caligine diu ignorantes quid rei esset, ac turbatas, demersit : reliquæ ad terram profugerunt, atque inanes captæ sunt. Nam Annibal cum portum non tutum esse videret, iis relictis, in urbem Sulcos se contulit : ibique orta contra eum seditione Carthaginiensium, cum solus ad eos prodiisset, periit. Ex eo tempore Romani securius agros populantes, ab Hannone victi sunt. Hæc eo anno gesta sunt : et continenter lapides de cœlo simul plures, grandinis instar, Romæ deciderunt.

ΙΒ'. Ἐκεῖθεν δ' ἐπὶ Καμερίναν ἀπερισκέπτως γενόμενοι ἐς χωρία προλελοχισμένα ἐνέπεσον· καὶ πανσυδὶ ἂν ἐφθάρησαν, εἰ μὴ Μάρκος Καλπούρνιος χιλιαρχῶν σοφίᾳ μετῆλθε τὸ δυστύχημα. Ἰδών γάρ τινα τῶν πέριξ λόφων μόνον ὑπὸ τοῦ χρημνώδους μὴ προκατειλημμένον, ὁπλίτας τριακοσίους παρὰ τοῦ ὑπάτου ἠτήσατο, καὶ σὺν αὐτοῖς ἐπ' ἐκεῖνον ὥρμησεν, ἵν' οἱ πόλεμοι πρὸς αὐτοὺς τράπωνται, κἀντεῦθεν οἱ λοιποὶ διαφύγωσι· καὶ ἔσχεν οὕτως. Ὡς γὰρ τὴν ὁρμὴν αὐτῶν εἶδον οἱ ἐναντίοι, ἐκπλαγέντες, τὸν μὲν ὕπατον καὶ τοὺς περὶ αὐτὸν, ὡς ἤδη ἁλωκότας, κατέλιπον, ἐπὶ δὲ τὸν Καλπούρνιον συνέδραμον. Καὶ μάχης ἰσχυρᾶς γεγονυίας, πολλοὶ μὲν κἀκείνων, πάντες δ' οἱ τριακόσιοι ἔπεσον· μόνος δὲ περιεσέσωστο ὁ Καλπούρνιος, τρωθεὶς μέν· λαθὼν δ' ἐν τοῖς νεκροῖς κείμενος ὑπὸ τῶν τραυμάτων, ὡς τεθνηκὼς, ἔνθα ζωὸς εὑρεθεὶς ἐσώθη. Ἐν ᾧ δ' οἱ τριακόσιοι ἐμάχοντο, ὁ ὕπατος ἀπεχώρησε. Διαφυγὼν δ' οὕτως, τήν τε Καμαρίναν καὶ ἄλλας πόλεις τὰς μὲν βίᾳ, τὰς δὲ καὶ ὁμολογίᾳ παρεστήσατο. Ἐντεῦθεν ἐπὶ τὴν Λιπάραν ὥρμησεν ὁ Ἀττίλιος. Νυκτὸς δὲ λαθὼν προκατέσχεν αὐτὴν ὁ Ἀμίλκας· καὶ ἐπεξελθὼν αἰφνιδίως, πολλοὺς διέφθειρε. Γάϊος δὲ Σουλπίκιος τῆς τε Σαρδοῦς τὰ πλεῖστα κατέδραμε, καὶ ὑπερφρονήσας ἐκ τούτου, ὥρμησεν ἐπὶ τὴν Λιβύην. Καὶ ἀπῆραν μὲν καὶ οἱ Καρχηδόνιοι σὺν τῷ Ἀννίβᾳ, περὶ τοῖς οἴκοι δεδότες. Ἀντιπνεύσαντος δὲ πνεύματος σφίσιν, ἄμφω ὑπεχώρησαν. Καὶ μετὰ ταῦτα ἔσφηλε διά τινων ψευδαυτομόλων τὸν Ἀννίβαν ὁ Ἀττίλιος, ὡς ἐς τὴν Λιβύην αὖθις πλευσόμενος. Σπουδῇ τε οὖν αὐτῷ ἐξαναχθέντι ἐπιπλεύσας ὁ Σουλπίκιος, τὰς μὲν πλείους τῶν νεῶν ἀγνοούσας ὑπὸ ὁμίχλης ἐπὶ πολὺ τὸ γινόμενον, καὶ ταραττομένας κατέδυσε· τὰς δὲ λοιπὰς καταφυγούσας ἐς τὴν γῆν κενὰς εἶλεν. Ὁ γὰρ Ἀννίβας, οὐκ ἀσφαλῆ τὸν λιμένα ὁρῶν, καταλιπὼν αὐτὰς ἀνεχώρησεν εἰς πόλιν Σουλκούς. Ἔνθα στασιασάντων πρὸς αὐτὸν Καρχηδονίων, πρυῒ-

θέ τε ἐς αὐτοὺς μόνος, καὶ ἀπώλετο. Ἀδεέστερον δ' ἐκ τούτου τὴν χώραν κατατρέχοντες οἱ Ῥωμαῖοι, ἠτυχήθησαν ὑπὸ Ἄννωνος. Ταῦτα ἐν τῷ ἔτει τούτῳ ἐγένετο. Καὶ συνεχῶς λίθοι ἐξ οὐρανοῦ ἐς τὴν Ῥώμην ἅμα πολλοί, ὡς καὶ χαλάζῃ ἐοικέναι, ἔπεσον. Καὶ ἐς τὸ Ἀλβανὸν καὶ ἄλλοθι λίθου ὁμοίως συνέβη κατενεχθῆναι. Οἱ δ' ὕπατοι, ἐπὶ Σικελίαν ἐλθόντες, ἐπὶ Λιπάραν ἐστράτευσαν. Ἐπεὶ δ' ὑπὸ τὴν ἄκραν τὴν Τυνδαρίδα καλουμένην ναυλοχοῦντας ᾔσθοντο τοὺς Καρχηδονίους, διχῇ τὸν πλοῦν ἐποιοῦντο. Καὶ θατέρου τῶν ὑπάτων τῷ ἡμίσει τοῦ ναυτικοῦ τὸ ἀκρωτήριον περιβαλόντος, νομίσας ὁ Ἀμίλκας μόνους εἶναι, ἐξανήχθη. Ὡς δὲ καὶ οἱ λοιποὶ ἐπεγένοντο, πρὸς φυγὴν ἐχώρησε, καὶ τοῦ ναυτικοῦ πλεῖστον ἀπέβαλεν. Ἐπαρθέντες δ' οἱ Ῥωμαῖοι, Σικελίαν μὲν, ὡς ἤδη σφετέραν οὖσαν, κατέλιπον, τῇ δὲ Λιβύῃ τῇ τε Καρχηδόνι ἐπιχειρῆσαι ἐτόλμησαν. Ἡγοῦντο δὲ αὐτῶν ὅ τε Ῥηγοῦλος ὁ Μάρκος, καὶ Λούκιος Μάλιος, ἐξ ἀρετῆς προκριθέντες. Καὶ οἱ μὲν, εἰς τὴν Σικελίαν πλεύσαντες, τὰ ἐκεῖσε καθίστων, καὶ τὸν ἐς τὴν Λιβύην ηὐτρέπιζον πλοῦν. Καρχηδόνιοι δὲ οὐκ ἀνέμειναν αὐτοὺς ἐπιπλεῦσαι σφίσιν, ἀλλὰ παρασκευασάμενοι πρὸς Σικελίαν ἠπείχθησαν, καὶ παρὰ τῇ Ἡρακλειώτιδι ἐς χεῖρας ἀλλήλοις ἦλθον. Ἰσορρόπου δὲ τῆς ναυμαχίας ἐπὶ πολὺ γινομένης, τέλος ὑπερέσχον Ῥωμαῖοι. Ἀμίλκας δὲ ἀντιστῆναι αὐτοῖς οὐκέτι ἐτόλμα· Ἄννωνα δὲ πρὸς αὐτοὺς ἔπεμψεν, ὡς ὑπὲρ εἰρήνης, βουλόμενος τὸν καιρὸν τρίβειν (ἤλπιζε γὰρ στράτευμα· οἱ πεμφθήσεσθαι οἴκοθεν), Ἄννων δὲ βοώντων τινῶν συλλαβεῖν αὐτὸν, ὅτι καὶ Καρχηδόνιοι ἀπάτῃ συνέλαβόν τὸν Κορνήλιον· Ἂν τοῦτο ποιῆσητε, εἶπεν, οὐδὲν ἔτι κρείττους τῶν Λιβύων ἔσεσθε. Ἐκεῖνος μὲν οὖν εὐκαιρότατα θωπεύσας αὐτοὺς, οὐδὲν ἔπαθεν, οἱ δὲ καὶ αὖθις τοῦ πολέμου εἶχοντο. Καὶ οἱ μὲν ὕπατοι ἐκ τῆς Μεσήνης ἔπλεον, Ἀμίλκαν δὲ καὶ Ἄννωνα διαιρεθέντες, ἀμφοτέρωθεν αὐτοὺς περισχεῖν ἐμελέτων. Ἀλλ' ὁ μὲν Ἄννων οὐχ ὑπέστη προσιόντας αὐτούς· προκαταπλεύσας δ' ἐς Καρχηδόνα, ταύτην ἐφύλασσεν. Ὁ δὲ Ἀμίλκας, πυθόμενος τοῦτο, κατὰ χώραν ἔμενεν. Ἐκβάντες δ' εἰς τὴν γῆν οἱ Ῥωμαῖοι, ἐπὶ τὴν Ἀσπίδα τὴν πόλιν ἐχώρησαν. Οὓς ἰδόντες προσιόντας οἱ ἐπιχώριοι, προὐπεξῆλθον, καὶ ἅμαχεὶ κατασχόντες αὐτὴν οἱ Ῥωμαῖοι, τοῦ πολέμου ὁρμητήριον ἐποιήσαντο. Κἀντεῦθεν τήν τε γῆν ἐπόρθουν, καὶ πόλεις τὰς μὲν ἐθελουσίας, τὰς δὲ φόβῳ προσεκτῶντο, λείαν τε πολλὴν ἐλάμβανον, καὶ αὐτομόλους πλείστους ἐδέχοντο, καὶ τῶν οἰκείων συχνοὺς τῶν ἐν τοῖς πρὶν ἁλόντων πολέμοις ἐκομίζοντο.

ΙΓ. Χειμῶνος δὲ ἐπιγενομένου, Μάλιος μὲν εἰς Ῥώμην σὺν τῇ λείᾳ ἀπέπλευσε, Ῥηγοῦλος δ' ἐν τῇ Λιβύῃ ὑπέμεινε. Καὶ οἱ Καρχηδόνιοι ἐν παντὶ κακῷ γεγόνασι, τῆς χώρας τε πορθουμένης αὐτῶν, καὶ τῶν περιοίκων ἀλλοτριουμένων, καὶ κατειληθέντες εἰς τὸ τεῖχος ἡσύχαζον. Ῥηγούλῳ δὲ παρὰ τὸν Βαγράδαν ποταμὸν στρατοπεδευομένῳ, δράκων ἐπεφάνη ὑπερμεγέθης, οὗ τὸ μῆκος λέγεται εἶναι ποδῶν ἑκατὸν πρὸς εἴκοσι· καὶ γὰρ ἡ λεβηρὶς αὐτοῦ εἰς τὴν Ῥώμην κεκόμιστο δι' ἐπίδειξιν. Ἀνάλογον δὲ καὶ τὸν ἄλλον ὄγκον τοῦ σώματος εἶχεν· ὃς συχνοὺς τῶν στρατιωτῶν τοὺς μὲν πελάζοντας αὐτῷ, τοὺς δὲ καὶ πίνοντας ἐκ τοῦ ποταμοῦ διέφθειρε. Κατειργάσατο δ' αὐτὸν ὁ Ῥηγοῦλος πληθύϊ στρα-

A Idem in Albano, et alibi quoque factum. Consules in Siciliam profecti, Liparam oppugnarunt. Cum autem sub Tyndario promontorio Carthaginienses in insidiis esse cognovissent, naves diviserunt. Et cum alter consul semisse classis promontorium circumdedisset, ratus Hamilcar eum solum esse, naves suas contra eduxit. Sed reliquis etiam se ostendentibus, in fugam versus, maximam navium partem amisit. Hoc successu elati Romani, Sicilia, ut jam suæ ditionis, relicta, **390** Libyam et Carthaginem petere ausi sunt, ductu et auspiciis M. Reguli et L. Manlii : qui ob virtutem prælati cæteris, cum in Sicilia appulissent, insula ordinata, navigationem Libycam adornarunt. Verum Carthaginienses eorum adventu non exspectato, classe celeriter comparata, juxta Heracleam cum eis congressi sunt. Cumque diu æquo Marte pugnatum esset, Romani tandem vicerunt. Amilcar vero non amplius eis resistere ausus, et cum spem haberet, domo sibi missum iri exercitum, tempus extrahere cupiens, Hannonem ad eos per speciem petendæ pacis misit. Quem cum quidam comprehendendum esse clamitarent, quod etiam Carthaginienses Cornelium fraude cepissent : *Si istud*, inquit, *feceritis, Afris nihilo jam præstantiores eritis.* Ea tam opportuna adulatione incolumis evasit. Illi vero rursus in bellum incubuerunt. Ac consules Messana profectos Hamilcar et Hanno divisis copiis utrinque circumdare statuerunt. Sed Hanno eorum accessu non exspectato, ad Carthaginem tutandam properavit. Quo Amilcar cognito, eodem loco mansit. Cæterum Romani exscensu in terram facto, Aspidem urbem invaserunt : quos cum cives accedere vidissent, e medio excesserunt. Ita urbem Romani vacuam ceperunt : eaque ad belli gerendi commoditatem usi, atque inde erumpere soliti, agros vastarunt ; et alias urbes vi, alias deditione subegerunt, magnamque prædam ceperunt : et transfugas, suorumque plurimos, bellis prioribus captos, receperunt.

XIII. Cum hiems supervenisset, Manlius cum manubiis Romam navigavit. Regulus in Africa mansit Carthaginienses vero omnis generis malis conflictantes (nam et ager vastabatur, et finitimi alienabantur) intra mœnia conglobati se continuerunt. Regulo ad Bagradam flumen castrametato, draco ingens visus est, cujus longitudo pedum CXX fuisse perhibetur, et pellis ostentationis causa Romam perlata esse. Longitudini tantæ totius moles corporis respondit. Eum post multos milites, qui vel propius accesserant, vel e flumine biberant, devoratos, Regulus militum copiis et catapultis confecit. **391** Amilcarem autem in silvoso tumulo castra habentem, nocte aggressus, multos in cu-

lilibus, multos experrectos occidit : si qui vero evaserant, ab iis qui vias custodiebant, excepti perierunt. Sic magna pars Carthaginiensium est absumpta, et multæ urbes ad Romanos defecerunt. Itaque ii qui in urbe erant, veriti ne caperentur, caduceatores ad eum miserunt ; ut eo tolerabili aliqua pactione amoto, imminens malum subterfugerent. Cum autem multa perquam molesta postularet, ut pacis conditiones nihil aliud quam excidium judicarent, paci bellum prætulerunt. Regulus enim ad id usque tempus prospera fortuna usus, animis et fastu adeo plenus fuit, ut Romam scriberet, se metu obsignatas habere Carthaginis portas. Idem affectus et ejus militum, et civium Romanorum fuit : unde factum est, ut impingerent. Nam Carthaginiensibus cum alii, tum Xanthippus Lacedæmonius auxilio venerunt. Qui imperator creatus (nam ei et populus cupide summam rerum detulit, et Amilcar cæterique principes ultro cesserunt) cum alia probe ordinavit, tum Carthaginienses a tumulis, in quibus præ metu agebant, in planitiem deduxit, ubi et equitatus eorum et elephantes plurimum poterant. Hic aliis temporibus quietus, exspectavit dum Romani castra negligenter tuerentur. Elati enim victoria, Xanthippum ut Græculum (quo nomine per contemptum utuntur) nihil facientes, securi agitabant. Sic affectos Romanos adortus, eorumque equitatu per elephantos profligato, multos occidit, multos cepit, atque ipsum Regulum. Qua victoria Carthaginienses etsi animos receperant, tamen captivos conservarunt : ne ii quoque, quos pridem Romani reperant, occiderentur. Ac cæteros quidem bene tractarunt, Regulum autem omnibus modis afflixerunt. Nam et tantum cibi præbebant, unde vitam sustentare posset, ut continenter elephantum ad eum adducebant : a quo territus, neque animo neque corpore conquiesceret. Denique post has vexationes eum in carcerem conjecerunt. Suos etiam fœderatos crudelissime tractarunt. Nam cum ea quæ promiserant **392** præstare non possent, eos dimiserunt, ut stipendia non multo post persoluturi. Sed vectores eorum jusserunt, iis in deserta quadam insula expositis, clam discedere. Xanthippum alii subuersum ab iis ferunt, abeuntem persecutis. Alii navem ei datam veterem, et ruinarum plenam, extrinsecus recens picatam, ut in ea per se submergeretur : quo is animadverso, alia navi conscensa evaserit. Id vero factum, ne ab illo conservati viderentur. Putabant enim, eo sublato, etiam rerum gestarum gloriam una perituram.

τῶν καὶ μηχαναῖς λιθοβόλοις. Καὶ τὸν μὲν οὕτως διέφθειρεν. Τῷ δὲ Ἀμίλκᾳ ἐπὶ μετεώρου καὶ ξυλίνους στρατοπεδευομένῳ χωρίου νύκτωρ προσέμιξε, καὶ πολλοὺς μὲν ἐν ταῖς εὐναῖς, πολλοὺς δ' ἐξεγερθέντας διώλεσεν. Εἰ δέ τινες καὶ διέφυγον, τοῖς τὰς ὁδοὺς τηροῦσιν ἐμπίπτοντες ὤλλυντο. Καὶ οὕτω τῶν τε Καρχηδονίων μέρος ἀναλώθη πολύ, καὶ πόλεις αὐτῶν συχναὶ πρὸς Ῥωμαίους μεθίσταντο. Φοβηθέντες δ' οἱ ἐν τῇ πόλει μὴ ἁλῶσι, διεκηρυκεύσαντο πρὸς τὸν ὕπατον, ὅπως ὁμολογίᾳ τινὶ ἐπιεικεῖ ἀποπέμψαντες αὐτὸν, τὸ παραυτίκα δεινὸν ὑπεκφύγωσιν. Ἐπεὶ δὲ πολλὰ ἀπῃτοῦντο καὶ φορτικά, ὡς ἅλωσιν αὐτῶν ἀκριβῆ νομίζεσθαι τὰς σπονδάς, πολεμεῖν μᾶλλον εἵλοντο. Ὁ μέντοι Ῥηγοῦλος, μέχρι τότε εὐτυχῶν, αὐχήματος μεστὸς ἐγένετο καὶ φρονήματος, ὥστε καὶ γράφειν εἰς τὴν Ῥώμην, ὅτι κατεσφραγισμένας ἔχει τὰς τῶν Καρχηδονίων πύλας ὑπὸ τοῦ φόβου. Τὰ ἴσα δὲ καὶ οἱ σὺν αὐτῷ, καὶ οἱ ἐν τῇ Ῥώμῃ ἐφρόνουν· ὅθεν καὶ ἐσφάλησαν. Ἦλθον μὲν γὰρ τοῖς Καρχηδονίοις καὶ ἕτεροι σύμμαχοι, ἦλθε δὲ καὶ ἐκ Λακεδαίμονος Ξάνθιππος. Οὗτος, τὴν αὐτοκράτορα τῶν Καρχηδονίων ἀρχὴν εἰληφὼς (ὅ τε γὰρ δῆμος αὐτῷ τὰ πράγματα προθύμως ἐπέτρεψε, καὶ ὁ Ἀμίλκας καὶ οἱ λοιποὶ οἱ ἐν τέλει ἑκουσίως ἐξέστησαν) τά τε ἄλλα παρεσκεύασεν εὖ, καὶ ἀπὸ τῶν μετεώρων τοὺς Καρχηδονίους, ἐν οἷς ὑπὸ δέους ἦσαν, κατήγαγεν εἰς τὸ ὁμαλὸν, ἐν ᾧ ἥ τε ἱππεία αὐτῶν καὶ οἱ ἐλέφαντες πλεῖστον ἰσχύσειν ἔμελλον· καὶ τὸν μὲν ἄλλον χρόνον ἡσύχαζε· τηρήσας δέ ποτε τοὺς Ῥωμαίους καταφρονητικῶς αὐλιζομένους· μέγα γὰρ φρονοῦντες τῇ νίκῃ, καὶ τὸν Ξάνθιππον ὡς Γραικὸν ὑπερορῶντες (οὕτω γὰρ καλοῦσι τοὺς Ἕλληνας, καὶ εἰς ὄνειδος δυσγενείας τῷ προσρήματι κατ' αὐτῶν χρῶνται) τὰς στρατοπεδείας ἀπερισκέπτως πεποίηντο· οὕτως οὖν τοῖς Ῥωμαίοις διακειμένοις ὁ Ξάνθιππος ἐπελθὼν, καὶ τὸ ἱππικὸν αὐτῶν διὰ τῶν ἐλεφάντων τρεψάμενος, πολλοὺς μὲν κατέκοψε, πολλοὺς δὲ καὶ ἐζώγρησε, καὶ αὐτὸν τὸν Ῥηγοῦλον. Καὶ ἐν φρονήματι διὰ ταῦτα ἦσαν οἱ Καρχηδόνιοι, τοὺς δὲ ἁλόντας περιέσωσαν, ἵνα μὴ καὶ οἱ παρὰ τῶν Ῥωμαίων πρότερον ἐξ αὐτῶν αἰχμαλωτισθέντες κτανθῶσι. Τοὺς μὲν οὖν ἄλλους τῶν ἐαλωκότων Ῥωμαίων ἐν θεραπείᾳ εἶχον, τὸν δὲ Ῥηγοῦλον ἐν πάσῃ κακουχίᾳ πεποίηντο, τροφήν τε αὐτῷ ὅσον ἀποζῆν προσῆγον, καὶ ἐλέφαντα προσέφερον συνεχῶς, ὅπως ὑπ' αὐτοῦ δεϊματούμενος, μήτε τῷ σώματι, μήτε τῇ διανοίᾳ ἡσυχάζοι. Ἐπὶ συχνὸν δὲ κακώσαντες οὕτως αὐτὸν εἰς δεσμωτήριον ἔθεντο. Τοὺς δὲ σφετέρους συμμάχους οἱ Καρχηδόνιοι δεινότατα μετεχειρίσαντο. Οὐ γὰρ εὐπορούντες ἀποξῦναι αὐτοῖς ἃ προὐπέσχοντο, ἀπέπεμψαν αὐτοὺς, ὡς καὶ τὸν μισθὸν αὐτοῖς οὐκ ἐς μακρὰν ἀποδώσοντες. Ἐκέλευσαν δὲ τοῖς κομίζουσι σφᾶς εἰς ἐρήμην τινὰ νῆσον ἐκβιβάσαι, καὶ λάθρα ἀποπλεῦσαι. Καὶ τὴν Ξάνθιππον δὲ οἱ μέν φασι καταποντίσαι αὐτοὺς ἀποπλεύσαντι ἐπιπλεύσαντας· οἱ δὲ ναῦν αὐτῷ δοῦναι παλαιὰν, μηδὲν στέργουσαν, νέον καταπιττώσαντες ἔξωθεν, ἵν' αὐτῇ ἐφ' ἑαυτοῦ καταποντισθῇ· τὸν δὲ γνόντα τοῦτο εἰς ἑτέραν ἐμβῆναι, καὶ οὕτω διασωθῆναι. Ταῦτα δ' ἐποίουν, ἵνα μὴ δοκοῖεν πρὸς ἐκείνου σεσῶσθαι. Ἐνόμισαν γὰρ, ἀπολωλότος αὐτοῦ, καὶ τὴν τῶν ἔργων δόξαν συναπολέσθαι.

XIV. Romanis ea clade mœstis, illud dolorem

ΙΔ'. Οἱ δ' ἐν τῇ Ῥώμῃ ἤλγουν μὲν διὰ τὸ συμβὰν,

καὶ πλέον ὅτι τοὺς Καρχηδονίους ἐπὶ τὴν Ῥώμην αὐτὴν προσδόκων ἀποπλευσεῖσθαι. Διὰ ταῦτα τήν τε Ἰταλίαν ἐν φυλακῇ ἐποιήσαντο, καὶ ἐπὶ τοὺς ἐν Σικελίᾳ τῇ τε Λιβύῃ ὄντας Ῥωμαίους σπουδῇ τοὺς ὑπάτους ἔπεμψαν, Μάρκον Αἰμίλιον καὶ Φούλβιον Πλαίτινον. Οἱ ἐς Σικελίαν πλεύσαντες, καὶ φρουρήσαντες τὰ ἐκεῖ, πρὸς Λιβύην ὡρμήκεσαν. Καὶ χειμῶνι ληφθέντες, κατηνέχθησαν ἐς Κόρσουραν. Παρθήσαντες δὲ τὴν νῆσον, καὶ φρουρᾷ παραδόντες, ἔπλεον αὖθις. Κἀν τούτῳ ἰσχυρὰ ναυμαχία πρὸς Καρχηδονίους ἐγίνετο. Ἠγωνίζοντο γὰρ οἱ μὲν παντελῶς τοὺς Ῥωμαίους ἐκ τῆς οἰκείας ἐκβαλεῖν· Ῥωμαῖοι δὲ τοὺς ἐγκαταλειφθέντας σφῶν ἐν τῇ πολεμίᾳ ἀνασώσασθαι. Ἀγχωμάλως δὲ μαχομένων, οἱ ἐν τῇ Ἀσπίδι ὄντες Ῥωμαῖοι κατὰ νώτου τοῖς Καρχηδονίοις ἐξαίφνης ἐπέπλευσαν· καὶ ἀμφιβόλους αὐτοὺς καταλαβόντες, ἐνίκησαν. Καὶ μετὰ τοῦτο καὶ τῷ πεζῷ Ῥωμαῖοι ἐκράτησαν, καὶ εἷλον πολλούς, οὓς διὰ τὸν Ῥήγουλον καὶ τοὺς μετ' αὐτοῦ ἁλόντας περιεσώσαντο. Ἁρπαγάς δέ τινας ποιησάμενοι, ἐς Σικελίαν ἔπλεον. Χειμῶνι δὲ περιπεσόντες, καὶ πολλοὺς ἀποβαλόντες, οἴκοι ταῖς ναυσὶ ταῖς περισωθείσαις ἀπέπλευσαν. Οἱ δὲ Καρχηδόνιοι καὶ τὴν Κόρσουραν ἔλαβον, καὶ ἐς Σικελίαν ἐπεραιώθησαν. Καὶ εἰ μὴ τὸν Κολλατῖνον καὶ Γναῖον Κορνήλιον ἔμαθον πολλῷ προσπλέοντας ναυτικῷ, πᾶσάν ἂν αὐτὴν ἐχειρώσαντο. Οἱ γὰρ Ῥωμαῖοι ναυτικόν τε ἄριστον ταχέως ἐξήρτυσαν, καὶ καταλόγους βελτίστους ἐπεποιήκεσαν. Καὶ οὕτως ἐρρώσθησαν, ὥστε τρίτῳ μηνὶ ἐς τὴν Σικελίαν ἐπανελθεῖν. Ἑνὶ καὶ εἰκοστὸν δ' ἦν ἔτος, ἀφ' οὗπερ ἡ Ῥώμη συνέστη. Καὶ τὴν μὲν κάτω τοῦ Πανόρμου πόλιν οὐ χαλεπῶς εἷλον, τῇ δὲ ἄκρᾳ προσεδρεύοντες ἐκακοπάθησαν, μέχρις οὗ τοὺς ἐν αὐτῇ ἐπέλιπεν ἡ τροφή. Τότε γὰρ προσεχώρησαν τοῖς ὑπάτοις. Οἱ δὲ Καρχηδόνιοι τὰς ναῦς αὐτῶν εἶκοσι πλεούσας τηρήσαντες, εἷλον συχνὰς χρημάτων μεστάς. Εἶτα Σερουΐλιός τε Καιπίων καὶ Γάϊος Σεμπρώνιος ὕπατοι, τοῦ μὲν Λιλυβαίου πειράσαντες ἀπεκρούσθησαν, ἐς δὲ τὴν Λιβύην ἐπεραιώθησαν, καὶ τὴν παραλίαν ἐπόρθουν. Ὡς δ' ἐκομίζοντο οἴκαδε, χειμῶνι ἐνέτυχον καὶ ἐβλάβησαν. Διὸ νομίσας ὁ δῆμος ἐξ ἀπειρίας τῶν ναυτικῶν βλάπτεσθαι, τῆς μὲν ἄλλης θαλάσσης ἀπέχεσθαι ἐψηφίσαντο, ναυσὶ δ' ὀλίγαις τὴν Ἰταλίαν φρουρεῖν παρεσκεύαζον. Τῷ δ' ἐπιγενομένῳ ἔτει Πούπλιος Γάϊος καὶ Αὐρήλιος Σερουΐλιος ἐς τὴν Σικελίαν ἦλθον, καὶ ἄλλα τέ τινα κατεστρέψαντο, καὶ Ἰμέραν· οὐ μέντοι τινὰ συνέσχον τῶν ἐν αὐτῇ· νυκτὸς γὰρ αὐτοὺς οἱ Καρχηδόνιοι ἐξεκόμισαν. Μετὰ δὲ τοῦτο Αὐρήλιος ναῦς τε παρὰ Ἱέρωνος εἰλήφως, καὶ ὅσοι τῶν Ῥωμαίων ἦσαν ἐκεῖ συμπαραλαβών, ἔπλευσεν εἰς Λιπάραν, καὶ ἐν αὐτῇ χιλίαρχον Κοΐντον Κάσσιον κατελιπών, προσεδρεύοντα μάχης ἄνευ, ἀπῆρεν οἴκαδε. Κόϊντος δὲ μὴ φροντίσας τῆς ἐντολῆς, προσέμιξε τῇ πόλει, καὶ πολλοὺς ἀπέβαλεν. Ὁ μέντοι Αὐρήλιος μετὰ ταῦτα ἐκείνους ἁλών, πάντας ἀπέκτεινε, καὶ τὸν Κάσσιον τῆς ἀρχῆς ἔπαυσε. Καρχηδόνιοι δὲ τὰ δόξαντα τοῖς Ῥωμαίοις περὶ τοῦ

A auxit, quod Carthaginienses ad ipsam urbem navigaturos arbitrabantur. His de causis et Italiam praesidiis munierunt, et consules M. Æmilium et Fulvium Platinum ad Romanos, qui in Sicilia et Libya erant, celeriter miserunt. Qui cum Sicilia praesidiis firmata, in Africam navigarent, tempestate ad Corsuram delati, vastata insula, et praesidiis munita, perrexerunt. Ac tum acre prælium in mari commissum est cum Carthaginiensibus. Hi enim annitebantur, ut Romanos e sua ditione penitus ejicerent; Romani vero, ut suos ex hostili terra recuperarent. Ancipiti pugnæ eventu, Romani qui Aspide erant, a tergo Carthaginienses ex improviso adorti, utrinque circumventos vicerunt. Deinde Romani, etiam pedestri prælio victores, ceperunt

B multos, quos propter Regulum et concaptivos ejus conservarunt: abactaque præda, in Siciliam redierunt. Sed tempestate conflictati, multis amissis, cum reliquis navibus domum redierunt. Carthaginienses autem et Corsuram receperunt, et in Siciliam trajecerunt. Ac nisi Collatinum et Cneium Cornelium cum magna classe adventare cognovissent, eam totam subegissent. Romani enim optimam classem celerrime compararunt, et delectus fortissimorum virorum habuerunt: itaque firmati sunt, ut tertio mense in Siciliam redirent. Id factum anno ab Urbe condita quingentesimo. Ac Panormi urbem inferiorem facile ceperunt; sed in arcis

C obsidione difficultatibus conflictati sunt: donec præsidiarii commeatu destituti, consulibus deditionem **393** fecerunt. Carthaginienses autem, observatis navibus eorum domum redituris, multas pecuniæ plenas ceperunt. Deinde Servilius Cæpio et C. Sempronius coss. Lilybæo frustra tentato, in Africam transvecti, oram maritimam infestarunt: in reditu incommodum ex tempestate ceperunt. Itaque populus existimans detrimenta illa ex rei navalis imperitia capi, reliquo mari abstinere, et Italiam duntaxat paucis tueri navibus decreverunt. Anno sequenti, P. Caius et Aurelius Servilius in Siciliam profecti, cum alia loca, tum Himeram ceperunt, sed vacuam civibus, quos Carthaginienses noctu asportarant. Post hæc Aurelius, navibus ab

D Hierone acceptis, et Romanis omnibus qui in insula erant assumptis, Liparam trajecit: ibique Q. Cassio tribuno militum relicto, qui eam sine pugna obsideret domum rediit: sed Quintus mandato consulis neglecto, urbem aggressus, multos amisit. Qua deinde Aurelius expugnata, omnes occidit, et Cassio magistratum abrogravit. Carthaginienses decreto Romanorum de re navali cognito, classem spe totius Siciliæ potiundi miserunt. Ac dum ambo coss. Cæcilius Metellus et C. Furius aderant, quieverunt. Sed cum Furius Romam rediisset, Metello contempto, ad Panormum accesserunt. Metellus, cognita exploratorum præsentia, omnibus qui in urbe erant convocatis, pro concione edixit, ut sese invicem prehensarent: et quemvis rogando quis esset, quidque ageret, hostes deprehendit.

Carthaginiensibus autem ad pugnam se parantibus, per dies complures metu simulato, effecit, ut elati animis audacius mœnia oppugnarent. Signoque dato, Romanis subito portis omnibus erumpere jussis, facile vicit in angustias redactos : unde cum evadere non possent, in tanta et virorum et elephantorum multitudine, turbabantur. Sed interea classis Punica appellens, exitii causa in primis eis fuit. Nam dum naves conscendere contendunt, partim in mari perierunt, partim ab elephantis et sese et homines urgentibus conculcati, partim a Romanis occisi sunt. Capti etiam multi et viri et elephantes : qui cum magistros suos non **394** habentes exasperarentur, Metellus captivis, qui eos cepissent, salutem et impunitatem præconio promitti jussit. Sic illi mansuetissimis et notis captis, etiam cæteros attraxerunt : qui cxx, numero sic per fretum Romam sunt traducti. Dolia multa inter sese devinxerunt, et lignis insertis ita distinxerunt, ut neque separarentur, neque coirent : eaque trabibus constrata, sarmentis et terra ingesta, circumsepserunt, ut structura illa stabuli instar esset : in eamque introductos, sine sensu navigationis trajecerunt. Hac victoria potito Metello, Asdrubal dux tum quidem evasit : sed post a Carthaginensibus revocatus, atque in crucem actus est.

A ναυτικοῦ μαθόντες, ἐπεμψαν εἰς Σικελίαν, πᾶσαν ὑποτάξαι τότε ἐλπίζοντες. Καὶ ἕως μὲν ἄμφω παρῆσαν οἱ ὕπατοι Καικίλιος Μέτελλος καὶ Γάϊος Φούριος, ἠρέμουν. Ὡς δὲ πρὸς τὴν Ῥώμην ἀπῆρεν ὁ Φούριος, κατεφρόνησαν τοῦ Μετέλλου, καὶ πρὸς τὸ Πάνορμον ἦλθον. Ὁ δὲ Μέτελλος κατασκόπους ἐλθεῖν μαθὼν ἐκ τῶν πολεμίων, ἤθροισε τοὺς ἐν τῇ πόλει πάντας, καὶ διαλεχθεὶς αὐτοῖς, ἀλλήλων λαβέσθαι σφίσιν ἐκέλευσε. Καὶ οὕτως ἕκαστον ἀνακρίνων ὅστις τε εἴη καὶ ὅ τι πράττοι, κατεφώρασε τοὺς πολεμίους. Καρχηδόνιοι δὲ παρετάξαντο, ὡς μαχούμενοι, καὶ Μέτελλος διδιέναι προσεποιεῖτο. Τούτου δ' ἐπὶ πλείους ἡμέρας γινομένου, οἱ Καρχηδόνιοι ἐφρονηματίσθησαν, καὶ προσέβαλλον θρασύτερον. Καὶ τότε ὁ Μέτελλος σημεῖον τοῖς Ῥωμαίοις ἦρε· κἀκ τούτου B ἐξαπιναίως, ἐκεῖνοι κατὰ πάσας τὰς πύλας ἐπεκβαμόντες, ῥᾳδίως ἐκράτησαν, καὶ ἐς στενὸν αὐτοὺς κατέκλεισαν, ὥστε μηκέτ' ἀναχωρῆσαι δι' αὐτοῦ δυνηθῆναι. Στενοχωρούμενοι γὰρ ἅτε καὶ αὐτοὶ πολλοὶ ὄντες, καὶ πολλοὺς ἐλέφαντας ἔχοντες ἐταράττοντο. Κἀν τούτῳ τὸ ναυτικὸν τὸ Λιβυκὸν προσπελάσαν αὐτοῖς ἐγένετο φθορᾶς αἰτιώτατον. Ἰδόντες γὰρ τὰς ναῦς, ὥρμησαν εἰς αὐτὰς, καὶ ἐμβαίνειν ἐξεβιάζοντο, καὶ οἱ μὲν εἰς τὴν θάλασσαν ἐνέπιπτον, καὶ ἐφθείροντο, οἱ δὲ ὑπὸ τῶν ἐλεφάντων ἐμπελαζομένων ἀλλήλοις τε καὶ τοῖς ἀνθρώποις ἀπώλλυντο· οἱ δὲ ὑπὸ τῶν Ῥωμαίων ἐκτείνοντο, πολλοὶ δὲ καὶ ζῶντες ἑάλωσαν, ἄνδρες τε καὶ ἐλέφαντες. Ἐπειδὴ γὰρ ἄνευ τῶν συνήθων σφίσιν ἀνδρῶν ὄντες ἠγριαίνοντο, κήρυγμα τοῖς αἰχμαλώτοις ὁ Μέτελλος ἐποιήσατο, σωτηρίαν καὶ ἄδειαν τοῖς συλλαβοῦσιν αὐτοὺς διδοὺς· καὶ οὕτως προσελθόντες τοῖς σφῶν πραοτάτοις, ἐκείνους τε διὰ τὴν συνήθειαν ἐχειρώσαντο καὶ τοὺς ἄλλους προσεπεσπάσαντο, οὓς καὶ εἰς τὴν Ῥώμην ἐκόμισαν, ἑκατὸν ὄντας καὶ εἴκοσιν, οὕτως αὐτοὺς τὸν πορθμὸν περαιώσαντες. Πίθους πολλοὺς συνδήσαντες ἀλλήλοις, καὶ ξύλοις διαλαβόντες σφᾶς, ὥστε μήτ' ἀπαρτᾶσθαι σφᾶς, μήτε συμπίπτειν, δοκοὺς ἐπ' αὐτῶν ἐπέτειναν, καὶ ὕλην καὶ γῆν ἐπεφόρησαν, φράξαντές τε πέριξ τὸ χωρίον, ὡς αὐλῇ τινι ἐοικέναι, εἰς τοῦτο αὐτοὺς ἐπεβίβασαν, καὶ διεπόρθμευσαν, οὐδ' αἰσθανομένους ὅτι πλέοιεν. Ὁ μὲν οὖν Μέτελλος οὕτως ἐνίκησεν· ὁ δ' Ἀσδρούβας ὁ τῶν Καρχηδονίων στρατηγὸς σωθεὶς τότε, ὕστερον ὑπὸ τῶν Καρχηδονίων ἐκλήθη, καὶ ἀνεσκολοπίσθη.

XV. Carthaginienses cum aliis de causis, tum ob captivorum multitudinem, Romam legatos miserunt, adjuncto Regulo, quem propter virtutem et auctoritatem nihil non impetraturum arbitrabantur, jurejurando obstrictum, ut rediret. Is et aliis in rebus se pro Carthaginiense gessit, neque uxorem ad colloquium admisit : neque urbem, quamvis vocaretur, ingressus est. Sed senatu extra urbem coacto (ita enim respondere legatis hostium moris erat) in concilium introductus, dixit : *Nos, P. C. Carthaginienses ad vos miserunt (nam ego quoque jure belli servus eorum factus sum) petentes in primis, ut pax iis conditionibus, quas utrinque probaveritis, fiat : sin id nolitis, ut saltem captivi permutentur.* Hæc locutus, cum legatis secessit, ut Romani soli deliberarent. Cum autem a coss. interesse deliberationi juberetur, non paruit, priusquam id Carthaginienses permisissent. Ac tacitus assidens, cum sententiam rogaretur, ait : *Ego, P. C. si vel millies captus fuero, vestrum unus sum. Nam meum corpus penes Carthaginienses est, animus vero meus vobiscum. Ac illud quidem alienatum a vobis : hic, quo minus Romanorum sit, efficere nemo potest : ac ut captivus, ad*

C IE'. Οἱ Καρχηδόνιοι δὲ διεκηρυκεύσαντο τοῖς Ῥωμαίοις διά τε τἆλλα, καὶ τὸ πλῆθος τῶν αἰχμαλώτων, καὶ τοῖς πρέσβεσι καὶ αὐτὸν τὸν Ῥηγοῦλον συνέπεμψαν, πᾶν δι' αὐτοῦ οἰηθέντες κατωρθωκέναι διὰ τὴν ἀρετὴν καὶ τὸ ἀξίωμα τοῦ ἀνδρός. Ὤρκωσάν τε αὐτὸν, ἢ μὴν ἐπανήξειν. Καὶ ὃς τά τε ἄλλα ὡς εἷς τῶν Καρχηδονίων ἔπραττε, καὶ οὔτε τὴν γυναῖκα εἰς λόγους ἐδέξατο, οὔτε τὴν πόλιν εἰσῆλθε, καὶ ταῦτα καλούμενος, ἀλλ' ἔξω τοῦ τείχους τῆς βουλῆς ἀθροισθείσης (ὡς ἔθος ἦν χρηματίζειν τῶν πολεμίων τοῖς πρέσβεσιν) εἰσαχθεὶς εἰς τὸ συνέδριον, εἶπεν· *Ἡμᾶς, ὦ πατέρες, πρὸς ὑμᾶς Καρχηδόνιοι ἔπεμψαν (ἐκεῖνοι γάρ με ἐστάλκασι, ἐπεὶ δοῦλος αὐτῶν νόμῳ πολέμου γεγένημαι) καὶ ἀξιοῦσι μάλιστα μὲν καὶ τὸν πόλεμον λύσασθαι ἐπὶ συν-* D *θήκαις ταῖς δοκούσαις ἀμφοῖν, εἰ δὲ μὴ τῶν αἰχμαλώτων ποιήσασθαι ἄλλαγμα.* Ταῦτα εἰπὼν, μετέστη μετὰ τῶν πρέσβεων, ὡς ἂν καθ' ἑαυτοὺς οἱ Ῥωμαῖοι βουλεύσωνται. Κελευόντων δὲ αὐτὸν τῶν ὑπάτων συμμετασχεῖν σφίσι τῆς διαγνώμης, οὐ πρὶν ἐπείσθη, πρὶ τοῦ ἐπιτραπῆναι παρὰ τῶν Καρχηδονίων. Ὁ δὲ τέως μὲν ἐσιώπα. Ἐπεὶ δ' οἱ βουλευταὶ εἰπεῖν αὐτὸν γνώμην ἐκέλευον, εἶπεν· *Εἰμὶ*

μὲν εἷς ἐξ ὑμῶν, ὦ πατέρες, κἂν μυριάκις ἄλλῳ. Τὸ μὲν γὰρ σῶμά μου Καρχηδονίων, ἡ δὲ ψυχή μου ὑμετέρα ἐστίν. Ἐκεῖνο μὲν γὰρ ὑμῶν ἡλοτρίωται, ταύτην δὲ οὐδεὶς δύναται μὴ οὐχὶ Ῥωμαίαν εἶναι ποιῆσαι· καὶ ὡς μὲν αἰχμάλωτος Καρχηδονίοις προσήκω. Ἐπεὶ δ' οὐκ ἐκ κακίας, ἀλλ' ἐκ προθυμίας ἐδυστύχησα, καὶ Ῥωμαῖός εἰμι, καὶ φρονῶ τὰ ὑμέτερα, καὶ οὐδ' ἐξ ἑνὸς τρόπου λυσιτελεῖν ὑμῖν τὰς καταλλαγὰς νομίζω. Ταῦτα ὁ Ῥηγοῦλος εἰπὼν, καὶ τὰς αἰτίας προσέθηκε, δι' ἃς τὰς συμβάσεις ἀπηγόρευε. Καὶ ἐπήγαγεν ὡς, Οἶδα μὲν ὅτι μοι προῦπτος ὄλεθρος πρόκειται. Ἀδύνατον γὰρ λαθεῖν αὐτοὺς ἃ συνεβούλευσα, ἀλλὰ καὶ οὕτως τῆς ἐμαυτοῦ σωτηρίας τὸ κοινῇ συμφέρον προτίθημι. Εἰ δέ τις φήσει· Τί οὖν οὐκ ἐκδιδράσκεις, ἢ ἐνταῦθα καταμένεις; ἀκούσεται, ὅτι ὁμώμοκα αὐτοῖς ἐπανήξειν, καὶ οὐκ ἂν παραβαίην τοὺς ὅρκους, οὐδ' εἰ πρὸς πολεμίους γεγόνασι, καὶ δι' ἄλλα, μάλιστα δὲ ὅτι τὸ δεινὸν ἐμπεδορκήσας μὲν μόνος πείσομαι· ἂν δ' ἐπιορκήσω, πᾶσα ἡ πόλις ἀναπλησθήσεται. Ἡ γερουσία δὲ τῆς ἐκείνου σωτηρίας ἕνεκεν, καὶ τὴν εἰρήνην ποιήσασθαι, καὶ τοὺς αἰχμαλώτους ἀντιδοῦναι προετεθύμητο. Γνοὺς οὖν τοῦτο αὐτὸς, ἵνα μὴ τὸ συμφέρον δι' αὐτὸν καταπρώωνται, ἐπλάσατο πεπωκέναι φάρμακον δηλητήριον, καὶ μέλλειν πάντως δι' αὐτοῦ ἀπολέσθαι. Καὶ οὔτε ἡ σύμβασις γέγονεν, οὔτε τῶν αἰχμαλώτων ἡ ἀμοιβή. Ἀπιόντος δ' αὐτοῦ σὺν τοῖς πρέσβεσιν, ἀντελάβοντο ἄλλοι τε καὶ οἱ παῖδες καὶ ἡ γυνή. Οἱ δ' ὕπατοι μήτ' ἐθέλοντα καταμεῖναι αὐτὸν ἐκδῶσειν ἔφασαν, μήτ' ἀπιόντα κατασχεῖν. Καὶ οὕτω πρωτιμήσας μὴ παραβῆναι τοὺς ὅρκους, ἀνεκομίσθη· καὶ αἰκισθεὶς ὑπ' αὐτῶν, ὡς ἡ φήμη λέγει, ἀπέθανε. Τὰ γὰρ βλέφαρα αὐτοῦ περιτεμόντες, καὶ χρόνον τινὰ ἐν σκότει καθείρξαντες, εἶτα εἰς σκεῦός τι σύμπηκτον κέντρα πανταχόθεν ἔχον ἐμβαλόντες αὐτὸν, καὶ τρέψαντες πρὸς τὸν ἥλιον, οὕτως ὑπὸ κακοπαθείας καὶ ἀγρυπνίας μὴ δυνάμενόν πη κλιθῆναι διὰ τὰ κέντρα, διέφθειραν. Ἃ πυθόμενοι οἱ Ῥωμαῖοι (22), τοὺς πρώτους τῶν παρ' αὐτοῖς αἰχμαλώτων παρέδοσαν τοῖς ἐκείνου παισὶ καὶ ἀνταικίσασθαι, καὶ ἀνταποκτεῖναι. Τοὺς δ' ὑπάτους εἰς τὴν Λιβύην στρατεύσασθαι ἐψηφίσαντο, τόν τε Γάϊον Ἀττίλιον τὸν τοῦ Ῥηγούλου ἀδελφὸν, καὶ τὸν Μάλλιον τὸν Λούκιον. Οἳ ἐς τὴν Σικελίαν ἐλθόντες, τῷ Λιλυβαίῳ προσέβαλον, καί τι μέρος τῆς τάφρου συγχῶσαι εἰς τὴν τῶν μηχανημάτων προσαγωγὴν ἐπεχείρησαν. Καὶ οἱ Καρχηδόνιοι ὑπορύσσοντες, τὸν χοῦν ὑφεῖλκον. Ἐπεὶ δ' ἠλαττοῦντο τῇ πολυχειρίᾳ, τεῖχος ἕτερον ἔνδον μηνοειδὲς ᾠκοδόμησαν. Καὶ οἱ μὲν ὑπονόμους ὑπὸ τὸν κύκλον εἰργάζοντο, ὅπως κατὰ τὸ διάκενον αὐτῶν ἰζήσαντος τοῦ τείχους, ἐμπέσωσιν. Οἱ Καρχηδόνιοι δὲ ἀντορύσσοντες, πολλοὺς μὲν ἀγνοοῦντας τὸ γινόμενον ἐκδεχόμενοι ἔκτεινον, πολλοὺς δὲ καὶ πῦρ ἐν φρυγάνοις εἰς τὰ

A Carthaginienses pertineo. Cum autem nulla improbitate, sed rei bene gerendæ studio cladem acceperim, Romanus sum : vobisque consultum cupio, et pacificationem nullo modo e re vestra esse duco. His dictis, suæque sententiæ rationibus adductis, subjecit : Scire se, haud dubium exitium sibi instare : neque enim Carthaginiensibus clam esse posse, quid suaserit. **395** Sed sic quoque reipublicæ commodum privata incolumitate sibi esse antiquius. Quod si quis dixerit, Cur non aufugiat, aut Romæ maneat ? ei se responsurum, se jurejurando reditum promisisse : id se hostibus etiam cum ob alia servaturum esse, tum quod servata fide, solus æruminam passurus esset ; violata, tota civitas perjurii crimine obstringeretur. Senatu autem salutis illius causa, tum ad
B pacem faciendam, tum ad permutandos captivos parato : ne a ratione utilitatis sua causa decederent, venenum sibi datum esse finxit, ex quo omnino periturus esset. Ita neque pace neque captivorum permutatione facta, cum eum cum legatis abeuntem, præter alios uxor et liberi retinerent : consules neque manere volentem dedituros, neque abiturum detenturos esse dicerent, jurisjurandi religione privatis affectibus anteposita, discessit. Et a Carthaginiensibus per cruciatum, ut aiunt, interfectus est. Nam palpebris præcisis, eum aliquandiu in tenebris concluserunt. Deinde in vas quoddam refertum stimulis conjectum, et ad solem conversum, doloribus et vigiliis, cum nusquam inclinare se posset, peremerunt. Quibus Romani auditis, principes captivorum ejus liberis vicissim et
C excruciandos et necandos tradiderunt : et coss. C. Attilio, Reguli fratri, et L. Manlio, bellum Africanum decreverunt. Qui cum in Sicilia Lilybæum oppugnarent, et fossæ partem ad machinas adducendas explere aggressi essent, Carthaginienses subterfodientes terram subtraxerunt : sed cum operarum multitudine vincerentur, alium murum intus lunatum struxerunt. Romanis autem cuniculos subter muros agentibus, ut iis in cavernas desidentibus, irruerent : Carthaginienses contra fodientes, multos id ignorantes exceptos trucidarunt, multos igni sarmentis injecto in fossis cremarunt. Sed cum quidam e socils moram obsidio-
D nis, et stipendia non integra numerata ægre ferentes, de oppido prodendo cum Romanis agerent : Amilcar eo consilio animadverso, sed dissimulato, ne illi palam deficerent, pecunia magistratibus data, multitudini promissa, sic eos reconciliavit, ut proditionem non inficiati, postremos legatos redeuntes non reciperent : qui ad consules **396** profugi, agro in Sicilia et aliis rebus donati sunt. Carthaginienses qui domi erant, his auditis, Ardebam cum plurimis navibus, frumentum et pecunias Lilybæum advehentibus miserunt. Is tempestate observata appulit. Quod deinde alii

Variæ lectiones et notæ.

(22) Ἀπυθόμενοι οἱ Ῥωμαῖοι. Vide Excerpta ex Diodoro Siculo, p. 274, 276.

plurimi imitari ausi, partim successum habuerunt, partim perierunt. Dum ambo consules aderant, æquo marte pugnabatur. Sed cum morbo et fame premerentur, iisque de causis alter suos milites domum reduceret, Amilcar erumpere ausus, machinas incendit, defensores earum occidit : et equitatu Deprano emisso, Romanos pabulatione et commeatu prohibendo, eorumque socios infestando, Ardeba interim alias Siciliæ, alias Italiæ oram populante, ad summam inopiam redegit. Sed Lucio Junio classem parante, Claudius Pulcher Lilybæum propere abiit : et militibus in naves impositis, Hannonem Carthaginiensem in quinqueremi navigantem comprehendit : unde Romani exemplum fabricandarum navium petiverunt. Sed cum classes sæpe periclitarentur, quanquam crebro B tot navium, in quibus multi viri et pecuniæ erant, interitu dolebant : tamen non cesserunt, sed quemdam in senatu de pace cum Carthaginiensibus facienda locutum occiderunt, et dictatorem dixerunt Collatinum, magistrum equitum Metellum : nihil tamen memorabile gesserunt. Interea Junius Ericem subegit ; et Carthalo Ægithalo potitus, Junium cepit.

A ὀρύγματα ἐμβαλόντες ἔφθειρον. Ἐπεὶ δέ τινες τῶν συμμάχων τῇ τε παρατάσει τῆς πολιορκίας ἀχθόμενοι, καὶ τῷ μὴ τὸν μισθὸν αὐτοῖς ἐντελῆ καταβάλλεσθαι, προδοῦναι τὸ χωρίον τοῖς Ῥωμαίοις διεχηρυκεύοντο, ἐφώρασεν ὁ Ἀμίλκας τὸ βουλευόμενον, οὐκ ἐξέφηνε δέ, ἵνα μὴ πολεμιώσῃ αὐτούς, χρήματα δὲ τοῖς ἄρχουσιν αὐτῶν παρασχών, καὶ τῷ πλήθει προσυποσχόμενος ἕτερα, οὕτως αὐτοὺς ᾠκειώσατο, ὥστε μηδ' ἀρνήσασθαι τὴν προδοσίαν, ἀλλὰ καὶ τοὺς τελευταίους πρέσβεις ἐπαντῶντας ἀπώσασθαι· οἱ πρὸς τοὺς ὑπάτους αὐτομολήσαντες, γῆν τε ἐν Σικελίᾳ καὶ ἕτερ' ἄττα ἔλαβον. Ἀκούσαντες δὲ ταῦτα οἱ οἶκοι Καρχηδόνιοι, πέμπουσιν Ἀρδέβαν σὺν ναυσὶ πλείσταις εἰς τὸ Λιλύβαιον, σῖτον ἀγούσας, καὶ χρήματα. Καὶ ὃς χειμῶνα ἐπιτηρήσας, εἰσέπλευσε. Κἀκ τούτου καὶ ἄλλοι συχνοὶ καταίρειν ὁμοίως ἐτόλμων· καὶ οἱ μὲν ἐπετύγχανον, οἱ δὲ ἀπώλλυντο. Ἕως μὲν οὖν ἄμφω παρῆσαν οἱ ὕπατοι, ἰσοπαλεῖς οἱ ἀγῶνες ἐγίνοντο. Νόσου δὲ καὶ λιμοῦ τρυχόντων αὐτούς, καὶ τοῦ ἑτέρου οἴκαδε διὰ ταῦτα σὺν τοῖς ἀμφ' αὐτὸν στρατιώταις ἀναχωρήσαντος, Ἀμίλκας θαρρήσας ἐπεξῄει, καὶ τὰς μηχανὰς ἐνεπίμπρα, καὶ τοὺς ἐπαμύνοντας αὐταῖς ἔφθειρε, καὶ ἡ ἵππος αὐτοῦ ἐκ τοῦ Δρεπάνου ὁρμωμένη, τά τε ἐπιτήδεια κομίζεσθαι τοὺς Ῥωμαίους ἐκώλυε, καὶ τὴν αὐτῶν συμμαχίδα κατέτρεχε, καὶ ὁ Ἀρδίβας ποτὲ μὲν τῆς Σικελίας, ποτὲ δὲ τῆς Ἰταλίας τὰ παράλια ἔκειρεν, ὅθεν οἱ Ῥωμαῖοι ἐν ἀπορίᾳ κατέστησαν. Τέως μέντοι Λούκιος Ἰούνιος ἡτοίμαζε ναυτικόν, Κλαύδιος δὲ Πούλχρος εἰς τὸ Λιλύβαιον ἐπιχθείς, καὶ τριήρεις πληρώσας, συνέλαβε δι' αὐτῶν Ἄννωνα τὸν Καρχηδόνιον ἐκπλέοντα πεντήρει, καὶ παράδειγμα τοῖς Ῥωμαίοις τῆς κατασκευῆς τῶν νεῶν ἐγένετο. Πολλάκις δὲ τοῦ ναυτικοῦ κινδυνεύοντος, ἐβαρύνοντο οἱ Ῥωμαῖοι τῇ συνεχεῖ τῶν νεῶν φθορᾷ. Ἄνδρας γὰρ συχνοὺς καὶ χρήματα πλεῖστα ἐν ταύταις ἀπώλλυσαν. Οὐ μέντοι γε καὶ ἐνέδοσαν, ἀλλὰ καί τινα φθεγξάμενον περὶ καταλλαγῶν πρὸς Καρχηδονίους ἐν τῇ βουλῇ διεχρήσαντο, καὶ λεχθῆναι δικτάτορα ἐψηφίσαντο. Καὶ δικτάτωρ μὲν ὁ Κολλατῖνος ἐλέχθη, ἱππάρχησε δὲ ὁ Μέτελλος· οὐδὲν δὲ μνήμης ἔπραξαν ἄξιον. Ἐν ᾧ δὲ Κολλατῖνος δικτάτωρ ἐλέγετο, ἐν τούτῳ τὸν Ἔρυκα παρεστήσατο ὁ Ἰούνιος, καὶ ὁ Καρθάλων κατέσχεν Αἰγίθαλον, καὶ ἐζώγρησε τὸν Ἰούνιον.

XVI. Sequenti anno C. Aurelius et P. Servilius, C magistratu inito, Lilybæum et Drepanum infestantes, terra Carthaginienses prohibuerunt, eorumque socias civitates afflixerunt. Carthalo cum variis rationibus contra eos tentatis nihil effecisset, in Italiam abiit, ut aut consules eo traduceret, aut interea agros vastaret, et urbes caperet : sed ne ibi quidem ei quidquam successit. Nam cum Strategum ædilem adventare didicisset, in Siciliam rediit. Ubi cum conductitius miles ob stipendium tumultuaretur, multos in desertis insulis expositos reliquit, multos Carthaginem misit. Quo cæteri cognito indignati, res novas spectabant. Sed Amilcar, successor Carthaloni **397** datus, multos eorum nocte occidit, multos in mari demersit. Interea Romani perpetuam cum Hierone amicitiam sanxerunt, remissis tributis annuis. Sequenti anno bello navali propter crebras clades et impensas, publice abstinuerunt. Sed quidam privatim navibus postulatis, quas restituerent, et prædam sibi vendicarent, cum alias clades hostibus intulerunt, tum Hipponem urbem Libycam ingressi, navigia omnia et multas ædes cremarunt. Et cum cives portus aditum catenis clausissent, ex magno

ΙϚ'. Τῷ δ' ἑξῆς ἔτει Αὐρήλιος Γάϊος καὶ Σερουίλιος Πούπλιος τὴν ἀρχὴν λαβόντες τότε Λιλύβαιον, καὶ τὸ Δρέπανον ἐλύπουν, καὶ τοὺς Καρχηδονίους τῆς γῆς ἀπεῖργον, καὶ τὴν αὐτῶν συμμαχίδα κατέσχειρον. Ὁ οὖν Καρθάλων πολυτρόπως ἐπιχειρήσας κατ' αὐτῶν, ὡς οὐδὲν ἤνυσεν, εἰς Ἰταλίαν ὥρμησεν, ἵν' οὕτω τοὺς ὑπάτους μεταγάγῃ ἐκεῖ, εἴ τίως τὴν χώραν κακώσῃ, καὶ πόλεις αἱρήσῃ. Ἀλλ' οὐδ' ἐνταῦθά τι αὐτῷ προσεχώρησε· τὸν γὰρ στρατηγὸν τὸν ἀστυνόμον μαθὼν πλησιάζοντα, εἰς Σικελίαν ἀνέπλευσεν. Ἔνθα τῶν μισθοφόρων στασιασάντων διὰ τὸν μισθόν, συχνοὺς μὲν ἐς νῆσους ἐρήμους ἐκβιβάσας κατέλιπε, πολλοὺς δὲ καὶ ἐς τὴν Καρχηδόνα ἀπέστειλεν. Ὁ γνόντες οἱ λοιποὶ ἠγανάκτησαν, καὶ νεωτερίσειν ἔμελλον. Ὧν Ἀμίλκας διαδεξάμενος τὸν Καρθάλωνα, πολλοὺς μὲν νυκτὸς κατέκοψε, πολλοὺς δὲ καὶ κατεπόντωσεν. Ἐν τοσούτῳ δ' οἱ Ῥωμαῖοι φιλίαν ἀΐδιον πρὸς Ἱέρωνα διεπράξαντο, καὶ προσαφῆκαν ὅσα παρ' αὐτοῦ ἐτετίως ἐλάμβανον. Τῷ δ' ἑξῆς ἔτει τοῦ θαλαττίου πολέμου δημοσίᾳ μὲν οἱ Ῥωμαῖοι ἀπέσχοντο διὰ τὰ ἀναλώματα. Ἰδίᾳ δέ τινες νῆας αἰτήσαντες, ὥστ' ἐκείνας μὲν ἀποκαταστῆσαι, τὴν λείαν δὲ οἰκειώσασθαι, ἄλλα τε τοὺς πολεμίους ἐκάκωσαν, καὶ ἐς Ἵππωνα Λιβυκὴν πόλιν εἰσπλεύσαν-

τες, τά τε πλοῖα πάντα καὶ πολλὰ τῶν οἰκοδομημάτων κατέπρησαν. Τῶν δ' ἐπιχωρίων τὸ στόμα τοῦ λιμένος διαλαβόντων ἀλύσεσιν, ἐν περιστάσει ἐγένοντο, σοφίᾳ δὲ καὶ τύχῃ περιεγένοντο. Σπουδῇ γὰρ ταῖς ἁλύσεσι προσπεσόντες, ἐπεὶ προσάψασθαι αὐτῶν ἔμελλον οἱ ἔμβολοι τῶν νηῶν, μετέστησαν, ἐς τὰς πρύμνας οἱ τοῦ πληρώματος· καὶ οὕτως αἱ πρῶραι, κουφισθεῖσαι, ὑπερῆραν τὰς ἁλύσεις. Αὖθις δ' ἐς τὰς πρώρας αὐτῶν μεταπηδησάντων, αἱ πρύμναι τῶν σκαφῶν μετεωρίσθησαν, καὶ διεξέδραμον. Καὶ μετὰ τοῦτο περὶ τὸ Πάνορμον ναυσὶ Καρχηδονίους ἐνίκησαν. Οἱ δ' ὕπατοι, Μέτελλος μὲν Καικίλιος περὶ τὸ Λιλύβαιον ἦν, Νουμέριος δὲ Φάβιος τῷ Δρεπάνῳ προσήδρευε, καὶ ἐπεβούλευσε τῇ νησίδι τῇ Πελιάδι καλουμένῃ, προκατειλημένῃ παρὰ Καρχηδονίων, στρατιώτας πέμψας νυκτὸς, οἳ τοὺς φρουροὺς κτείναντες, τὴν νῆσον εἷλον. Ὁ μαθὼν Ἀμίλκας, ἑωθεν τοῖς διαβεβηκόσιν ἐπέθετο· οἷς οὐκ ἔχων ἀμῦναι ὁ Φάβιος, τῷ Δρεπάνῳ προσέμιξεν, ὡς ἢ τὴν πόλιν δι' ἐρημίαν αἱρήσων, ἢ τῆς νήσου τὸν Ἀμίλκαν ἀπάξων. Καὶ ἠνύσθη τὸ ἕν· φοβηθεὶς γὰρ ὁ Ἀμίλκας, ἀνεχώρησεν εἰς τὸ τεῖχος. Καὶ ὁ Φάβιος τὴν Πελιάδα κατέσχε, καὶ τὸ μεταξὺ ταύτης καὶ τῆς ἠπείρου στενὸν καὶ τεναγῶδες τυγχάνον συγχώσας ἠπείρωσε, καὶ ῥᾷον προσεπολέμει τοῦ τείχους ἐκεῖ (25) ὄντος ἀσθενεστέρου. Καὶ οἱ Καρχηδόνιοι συχνὰ παρελύπουν αὐτοὺς, εἰς Σικελίαν τε περιπλέοντες, καὶ εἰς τὴν Ἰταλίαν περαιούμενοι. Τοὺς δ' αἰχμαλώτους ἀλλήλων ἄνδρα ἀντ' ἀνδρὸς ἠλλάξαντο· τοὺς δὲ λοιποὺς, ἐπεὶ μὴ ἦσαν ἰσοπληθεῖς, ἀργυρίου οἱ Καρχηδόνιοι ἐκομίσαντο. Ἔκτοτε δὲ διάφοροι μὲν ὑπάτευσαν, οὐδὲν δὲ ἱστορίας ἔπραξαν ἄξιον· μέγιστον γὰρ οἱ Ῥωμαῖοι ἐσφάλλοντο, ὅτι κατ' ἐνιαυτὸν ἄλλους, εἶθ' ἑτέρους ἄρχοντας ἔπεμπον· ἄρτι δὲ τὴν στρατηγίαν μανθάνοντας, τῆς ἀρχῆς ἔπαυον, ὥσπερ εἰς ἄσκησιν σφᾶς, ἀλλ' οὐκ εἰς χρῆσιν αἱρούμενοι. Οἱ Γαλάται δὲ, τοῖς Καρχηδονίοις συμμαχοῦντες καὶ μισοῦντες αὐτοὺς, ὅτι κακῶς μετεχειρίζοντο σφᾶς, φρουρίου τινὸς φυλακὴν ἐμπιστευθέντες τοῖς Ῥωμαίοις αὐτὸ προήκαντο ἐπὶ χρήμασι. Μεταστάντας δὲ ἀπὸ τῶν Καρχηδονίων Γαλάτας, καὶ ἄλλους τῶν σφῶν συμμάχων τινὰς οἱ Ῥωμαῖοι ἐπὶ μισθοφορᾷ προσελάβοντο, μήπω πρότερον τρέφοντες ξενικόν. Τούτοις οὖν ἐπαιρόμενοι, καὶ ὅτι οἱ τὰς ναῦς ἔχοντες ἰδιῶται τὴν Λιβύην ἐπόρθησαν, οὐκέτι ἀμελεῖν τῆς θαλάσσης ἤθελον, ἀλλὰ καὶ αὖθις ναυτικὸν συνεστήσαντο.

A periculo arte et fortuna evaserunt. Namque festinanter in catenas invecti, cum eas rostra navium jamjam attingerent, in puppes transierunt : ita proræ levatæ catenas superarunt. Cumque rursus in proras transiluissent, puppes levatæ transierunt. Post hæc ad Panormum Carthaginienses vicerunt. Consulum alter Cæcilius Metellus ad Lilybæum fuit, alter Numerius Fabius Drepanum obsedit, et insulæ Columbariæ, a Carthaginiensibus præoccupatæ, noctu missis militibus est insidiatus, qui occiso præsidio insulam occuparunt. Cum autem, Amilcare mane contra illos profecto, Fabius illis opem ferre non posset, Drepanum invasit, ut aut urbem per ducis absentiam caperet, aut illum ab insula abstraheret. Horum alterum ei successit. B Amilcar enim territus, in munitionem se recepit. Fabius Columbariam tenuit : et angustias paludesque interjectas aggeribus continenti junxit. Ita facilior facta oppugnatio, cum ibi murus esset infirmior. Carthaginienses autem eis crebra detrimenta inferebant, nunc in Siciliam, nunc in Italiam trajiciendo. Captivos viritim permutarunt : cæteros, quia tantum numerum non habebant, Carthaginienses pecunia redemerunt. Ab eo tempore diversi consules fuerunt, sed nihil historia dignum gesserunt. Nam illud maximo detrimento Romanis fuit, quod duces quotannis mutabant, eosque qui imperatoria munia adhuc discebant, revocabant : quasi non rei gerendæ, sed exercendi causa ablegatos. Galli Carthaginiensibus sociis infensi, quod ab eis male acciperentur, præsidium quoddam sūæ fidei commissum, Romanis pecunia 398 prodiderunt : ab eisque una cum aliis qui a societate Carthaginiensium defecerant, stipendio conducti sunt, cum prius peregrinum alere militem Romani non consuevissent. His freti, et classe privatorum hominum Africam infestantium, mare diutius negligere nolentes, denuo naves comparaC runt.

ΙΖ'. Καὶ Λουτάτιος Κατύλος ὕπατος ᾑρέθη, καὶ τούτῳ συνεξεπέμφθη Κόϊντος Οὐαλέριος Φλάκκος ἀστυνομῶν. Οἳ, ἐς Σικελίαν ἐλθόντες, καὶ κατὰ γῆν καὶ θάλασσαν τῷ Δρεπάνῳ προσέβαλον, καί τι τοῦ τείχους κατήρειψαν· καὶ εἷλον ἂν αὐτὸ, εἰ μὴ, τοῦ ὑπάτου τρωθέντος, περὶ ἐκεῖνον οἱ στρατιῶται ἀπησχολήθησαν. Κἀν τούτῳ μαθόντες τοὺς πολεμίους οἴκοθεν ἥκειν ναυτικῷ πλήθει, Ἄννωνος ναυαρχοῦντος, πρὸς ἐκείνους ἐτράποντο. Καὶ ἀντιπαραταξαμένων αὐτῶν, ἄστρον τι λαμπαδοῦδες, ὑπερθεν τῶν Ῥωμαίων φανὲν ἐξ ἀριστερᾶς, εἰς τοὺς Καρχηδονίους ἀρθὲν ἐγκατέσκηψεν. Ἐγένετο δ' ἡ ναυμαχία καὶ ἐπ' ἀμφοῖν καρτερὰ, δι' ἄλλα τε καὶ ἵνα οἱ μὲν Καρ-

XVII. Luctatio Catulo consuli designato, collega adjunctus est Q. Valerius Flaccus ædilis. Qui in Siciliam profecti, et terra marique Drepanum aggressi, partem muri dejecerunt : oppidumque cepissent, nisi consulo vulnerato, milites circa illum occupati fuissent. Interea cognito hostium adventu, Hannonne magnam turbam domo adducente, contra illos se converterunt. Acie utrinque instructa, astrum quoddam, facis instar, supra Romanos ad lævam exortum, versus Carthaginienses acumen direxit. Pugna atrox commissa est ab utrisque, tum ob alia, tum quod Carthaginienses Romanos ad extremam bellorum navalium despe-

Variæ lectiones et notæ.

(25) *Τοῦ τείχους ἐκεῖ*, etc. Mutilum locum putabat Wolfius : sic tamen omnes mss.

rationem adigere voluerunt. Romani prius acceptas clades resarcire studuerunt. Sed penes hos victoria fuit. Nam Carthaginiensium naves, præter alias sarcinas, frumentum et pecuniam vehentes, gravabantur. Hanno elapsus, statim Carthaginem properavit. Sed a civibus iracundia et metu commotis, in crucem actus est, et legati de pace ad Catulum missi. Qui quod et annus ejus jam pene exierat, neque brevi tempore Carthaginis exscindendæ spem habebat, et successoribus gloriam laborum suorum invidebat, a pace non abhorrens, inducias fecit, pecunia, frumento et obsidibus acceptis, ut Romam legatos mitterent; ea conditione, ut tota Sicilia et omnibus circumjacentibus insulis Romanis cederent, neque Hieronem lacesserent : et pecuniam partim pace facta statim, partim post numerarent : et Romanos captivos gratis redderent, suos vero redimerent. Tali pactione facta (solam enim sub jugum missionis ignominiam Amilcar deprecatus est) militibus e munitionibus eductis, domum rediit, priusquam jusjurandum daretur. Qui Romæ erant, victoria celeriter cognita, ita sunt **399** animis elati, quasi plane debellatum esset : legatisque præsentibus, se non amplius continere potuerunt, spe totius Africæ occupandæ concepta. Itaque conditionibus a consulibus propositis non acquiescentes, et pecuniam promissa longe majorem postularunt : et interdixerunt, ne longis navibus vel ad Italiam, vel ad alias socias provincias accederent, aut conductitiis inde militibus uterentur. Atque ita primo bello Punico, anno quarto et vicesimo a Romanis confecto, Catulus triumphavit. Quintus vero Luctatius, post consulatum in Siciliam profectus, cum fratre Catulo omnia ibi ordinavit. Siculis arma adempta : tota insula, Hieronis excepto imperio, a Romanis subacta, et amicitia cum Carthaginiensibus constituta. Sed utrique paulo post seorsim alia gessere bella. Nam Carthaginienses, reliqui eorum stipendiarii, et servitia civitatis, et multi ex finitimis, adversa illorum fortuna freti, invaserunt. Romani cum ab hostibus illorum accerserentur, adeo non assenserunt, ut cum per legatos reconciliare illos non possent, omnes Carthaginiensium captivos gratis dimitterent, frumentum mitterent, e sociis provinciis conscribendi militis potestatem darent, clementiæ laudem magis occupantes, quam suis rationibus consulentes. Unde post in negotia inciderunt. Amilcar enim Barchinus ille, victis hostibus, Romanos, quanquam eis infensissimus, bello petere non ausus, contra magistratuum voluntatem in Hispaniam abiit. Sed hæc post facta sunt.

XVIII. Tum autem Romani cum Faliscis bellum gesserunt, Manlio Torquato agrum illorum urente :

χηδόνιοι ἐς τελείαν ἀπόγνωσιν τοὺς Ῥωμαίους τοῦ ναυτικοῦ καταστήσωσιν· οἱ δ' ἵνα καὶ τὰς προτέρας ἀνακαλέσωνται συμφοράς· ὅμως δ' οὖν οἱ Ῥωμαῖοι τὴν νίκην ἤραντο. Τὰ γὰρ τῶν Καρχηδονίων σκάφη, φορτία φέροντα πρὸς τοῖς ἄλλοις, καὶ σῖτον, καὶ χρήματα, ἐβαρύνοντο. Ὁ δ' Ἄννων, διαφυγών, εὐθὺς εἰς τὴν Καρχηδόνα ἠπείχθη. Οἱ Καρχηδόνιοι δὲ θυμῷ λιφθέντες, καὶ φόβῳ, τὸν μὲν ἀνεσταύρωσαν, πρέσβεις δὲ πρὸς εἰρήνην τῷ Κατύλῳ πεπόμφασι. Καὶ τῷ πρὸς βουλῆς ἦν τὸν πόλεμον καταλύσασθαι, ὅτι ἐπὶ ἐξόδῳ οὔσης αὐτῷ τῆς ἀρχῆς οὔτε δι' ὀλίγου ἐξαιρήσειν τὴν Καρχηδόνα ἤλπιζεν, οὔτε τοῖς διαδόχοις τὴν δόξαν τῶν ἑαυτοῦ πόνων καταλιπεῖν ἤθελε. Διὸ ἀναχωχὴν ἐποιήσατο, καὶ χρήματα καὶ σῖτον καὶ ὁμήρους αὐτῷ δόντες, ἵν' ἐς τὴν Ῥώμην πρεσβεύσωνται ἐπὶ τῷ Σικελίας τε αὐτοὺς πάσης ἐκστῆναι Ῥωμαίοις, καὶ πάσας τὰς πέριξ νήσους ἐκλιπεῖν, καὶ μήτε τῷ Ἱέρωνι πολεμεῖν· καὶ χρήματα τὰ μὲν ἅμα τῷ σπείσασθαι δοῦναι, τὰ δὲ καὶ ὕστερον· καὶ τοὺς μὲν ἐκείνων αὐτομόλους καὶ αἰχμαλώτους πρῶτα ἐκπέμψαι, τοὺς δ' ἑαυτῶν πρίασθαι. Τοιαύτη μὲν οὖν ἡ σύμβασις ὡμολόγητο (μόνην γὰρ τὴν τοῦ ζυγοῦ ἀτιμίαν ὁ Ἀμίλκας παρῃτήσατο)· καὶ ὁ μὲν ταῦτα συνθέμενος, καὶ τοὺς στρατιώτας ἐκ τῶν τειχῶν ἐξαγαγών, ἀπέπλευσεν οἴκαδε, πρὶν τοὺς ὅρκους ἐπενεχθῆναι. Οἱ δ' ἐν τῇ Ῥώμῃ τήν τε νίκην δι' βραχέος ἔμαθον καὶ ἐπήρθησαν ὡς παντάπασι κεκρατηκότες. Καὶ τῶν πρέσβεων ἐλθόντων, οὐκέτι κατέχειν ἑαυτοὺς ἠδύναντο, καὶ τὴν Λιβύην ἔχειν ἅπασαν ἤλπιζον. Διὸ οὐδὲ ταῖς τοῦ ὑπάτου ὁμολογίαις ἐνέμειναν, ἀλλὰ καὶ χρήματα αὐτοὺς πολλῷ πλείω τῶν ὑπεσχημένων ἐπράξαντο· καὶ ἀπηγόρευσαν σφίσι μήτε τὴν Ἰταλίαν, μήτε τὴν ἔξω συμμαχίδα σφῶν μακραῖς ναυσὶ παραπλεῖν, ἢ μισθοφόροις τισὶν ἀπ' αὐτῶν κεχρῆσθαι. Ὁ μὲν οὖν πρῶτος τοῖς Καρχηδονίοις πόλεμος τοῖς Ῥωμαίοις εἰς τοῦτο κατέληξε τετάρτῳ ἔτει καὶ εἰκοστῷ, καὶ ἐπ' αὐτῷ ἦγαγεν ὁ Κατύλος τὰ ἐπινίκια, Κόϊντος δὲ Λουτάτιος ὑπατεύσας, ἀπῆλθεν ἐς Σικελίαν, καὶ μετὰ τοῦ ἀδελφοῦ Κατύλου πάντα τὰ ἐκεῖ κατεστήσατο, καὶ τὰ ὅπλα τῶν ἐν αὐτῇ ἀφείλοντο. Σικελία μὲν οὖν οὕτως ὑπὸ Ῥωμαίων δεδούλωτο πλὴν τῆς ἀρχῆς τοῦ Ἱέρωνος· ἐκ δὲ τούτου πρὸς τοὺς Καρχηδονίους φιλία ἦν αὐτοῖς. Ἄμφω δ' αὖθις εἰς πολέμους ἑτέρους χωρὶς μετ' ὀλίγον κατέστησαν. Τοῖς γὰρ Καρχηδονίοις οἵ τε περίλοιποι τῶν μισθοφορησάντων σφίσι, καὶ τὸ δουλεῦον τὸ ἐν τῇ πόλει, καὶ τῶν ὁμορούντων πολλοὶ πρὸς τὰς συμφορὰς αὐτῶν συνεπέθεντο. Οἵ γε μὴν Ῥωμαῖοι, ἐπικαλεσαμένων αὐτοὺς τῶν πολεμούντων ἐκείνοις, οὔθ' ὑπήκουσαν, ἀλλὰ καὶ ἀντιπρεσβευσάμενοι, καὶ μὴ δυνηθέντες καταλλάξαι αὐτούς, καὶ τοὺς αἰχμαλώτους τῶν Καρχηδονίων, ὅσους εἶχον, ἀφῆκαν πρόικα, καὶ σῖτον ἔπεμψαν, καὶ μισθοφόρους ἐκ τῆς οἰκείας συμμαχίδος αὐτοῖς ἐπαγαγέσθαι ἐπέτρεψαν, δόξαν ἐπιεικείας θηρώμενοι μᾶλλον, ἢ τοῦ συμφέροντος αὐτοῖς προμηθούμενοι· ὅθεν πράγματα ἔσχον εἰσέπειτα. Ὁ γὰρ Ἀμίλκας ἐκεῖνος ὁ Βαρχίδης, ἐπεὶ τοὺς ἐναντίους ἐνίκησεν, ἐπὶ μὲν θοὺς Ῥωμαίους, καίπερ χάρτα μισῶν αὐτούς, οὐκ ἐτόλμησε στρατεῦσαι, ἐς δὲ τὴν Ἰβηρίαν παρὰ γνώμην τῶν οἴκοι τελῶν ἀπῆρεν. Ἀλλὰ ταῦτα μὲν ἐγένετο ὕστερον.

ΙΗ'. Τότε δὲ καὶ οἱ Ῥωμαῖοι Φαλίσκοις ἐπολέμησαν, καὶ Μάλιος Τουρκουάτος τὴν χώραν αὐτῶν

ἐδήωσε· καὶ συμμίξας αὐτοῖς, ἐσφάλησεν τῷ ὁπλιτικῷ, τοῖς δ' ἱππεῦσιν ἐκράτησε, καὶ αὖθις αὐτοῖς μαχεσάμενος ἐνίκησε· καὶ τά τε ὅπλα αὐτῶν, καὶ τὴν ἵππον καὶ τὰ ἐπιπλα καὶ τὸ δουλεῦον καὶ τὸ ἥμισυ τῆς χώρας ἀφείλετο. Ὕστερον δὲ ἡ μὲν ἀρχαία πόλις, εἰς ὄρος ἐρυμνὸν ἱδρυμένη, κατεσκάφη· ἑτέρα δ' ὠκοδομήθη εὐέφοδος. Μετὰ δὲ τοῦτο ἐπολέμησαν αὖθις πολέμους πρὸς Βοουΐους, καὶ πρὸς Γαλάτας ἐκείνοις πλησιοχώρους, καὶ πρὸς Λιγύων τινάς. Τοὺς μὲν οὖν Λίγυας Σεμπρώνιος Γράκχος μάχῃ νικήσας ἐκάκου. Καὶ τοῖς Γαλάταις Πούπλιος Οὐαλέριος συμβαλὼν, τὸ μὲν πρῶτον ἡττήθη· εἶτα πυθόμενος εἰς ἐπικουρίαν αὐτοῦ τινας ἐκ τῆς Ῥώμης ἥκειν, ὁμόσε αὖθις τοῖς Γαλάταις ἐχώρησεν· ἢν' ἢ καθ' ἑαυτὸν νικήσοι, ἢ ἀποθάνοι. Τοῦτο γὰρ μᾶλλον ἢ ζῶν αἰσχύνην ὄφλειν προείλετο· καί πως κατὰ τύχην ἐκράτησε. Τότε μὲν οὖν ταῦθ' οὕτως τοῖς Ῥωμαίοις συνήντησαν, καὶ Σαρδῶ (24) παρὰ τῶν Καρχηδονίων ἀμαχεὶ, χρήματά τε αὖθις ἔλαβον, ἐγκαλέσαντες αὐτοῖς βλάπτειν σφῶν τοὺς πλέοντας· οὔπω γὰρ κρατυνθέντες οἱ Καρχηδόνιοι, τὰς ἀπειλὰς αὐτῶν ἐδεδοίκεσαν. Τῷ δ' ἑξῆς ἔτει Λούκιος Λέντουλος καὶ Κόϊντος Φλάκκος ἐπὶ τοὺς Γαλάτας στρατεύσαντες, ἕως μὲν ὁμοῦ διῆγον, ἦσαν ἀνανταγώνιστοι· ἐπεὶ δὲ διχῇ πορθεῖν τινα ἤρξαντο, ὡς οὕτω πλείω λείαν περιβαλούμενοι, ἐς κίνδυνον τὸ τοῦ Φλάκκου κατέστη στρατόπεδον, νυκτὸς κυκλωθέν. Ἀλλὰ τότε μὲν οἱ βάρβαροι ἀνεκόπησαν, προσλαβόμενοι δὲ συμμάχους, χειρὶ πολλῇ αὖθις ἐπὶ τοὺς Ῥωμαίους ἐχώρησαν. Ἀπαντησάντων δὲ σφίσι Πουπλίου τε Λεντούλου καὶ Λικιννίου Οὐάρου ἦλπισαν αὐτοὺς δι' τὸ πλῆθος τὸ σφέτερον καὶ ἄνευ μάχης καταπλήξειν· καὶ πέμψαντες, τήν τε χώραν τὴν περὶ τὸ Ἀρίμενον ἀπῄτουν, καὶ τῆς πόλεως, ὡς αὐτῶν οὔσης, ἐξοικισθῆναι ἐκέλευον. Οἱ δ' ὕπατοι, μήτε συμβαλεῖν θαρροῦντες· δι' ὀλιγότητα, μήτε προέσθαι τολμῶντες, ἀνοχὰς ἔπραξαν, ὡς ἐς τὴν Ῥώμην πρεσβεύσωνται. Οἱ δ' ἐπὶ τὴν βουλὴν ἐλθόντες τὰ αὐτὰ εἶπον. Ὡς δ' οὐδενὸς οἱ πρέσβεις ὧν ἤτουν ἐτύγχανον, εἰς τὸ στρατόπεδον ἀνεχώρησαν, καὶ εὗρον ἐφθαρμένα σφίσι τὰ πράγματα. Τινὲς γὰρ τῶν συμμάχων αὐτῶν, μεταγνόντες, καὶ διὰ φόβου τοὺς Ῥωμαίους πεποιημένοι, ἐτράποντο ἐπὶ τοὺς Βοουΐους, καὶ συχνοὶ ἀπώλοντο ἀμφοτέρωθεν. Κἀντεῦθεν ἀπῆλθον οἴκαδε οἱ λοιποὶ, καὶ οἱ Βορύϊοι σπονδὰς ἐπὶ μέρει πολλῷ τῆς χώρας σφῶν ἐποιήσαντο. Ἤδη δὲ τῶν Γαλατικῶν λυθέντων πολέμων, ὁ Λέντουλος ἐστράτευσεν ἐπὶ Λίγυας, καὶ τοὺς προσπίπτοντας ἠμύνετο, καί τινα ἐρύματα παρεστήσατο. Οὔαρος δὲ, ἐπὶ Κύρνον ὁρμήσας, καὶ μὴ δυνηθεὶς ἀπορίᾳ πλοίων περαιωθῆναι, Κλινέαν Κλαύδιόν τινα σὺν δυνάμει προέπεμψε. Κάκεῖνος, τοὺς Κυρνίους καταπλήξας, ἐς λόγους ἦλθε, καὶ ὡς αὐτοκράτωρ τυγχάνων ἐσπείσατο. Οὔαρος δὲ τῶν συνθηκῶν μὴ

A qui cum eis congressus peditatu succubuit, equitatu victor. Deinde repetita pugna, eos domuit, armis, equis, supellectilibus, servitiis, et agri semisse multatos. Tandem etiam antiqua urbs, in arduo sita monte, eversa : aliaque condita in planitie, oppugnatu facilis. Post, alia bella cum Boiis et Gallis eorum vicinis et Liguribus quibusdam gesserunt. Ac Ligures Sempronius Gracchus victor afflixit. P. Valerius, a Gallis principio superatus, cum auxilia sibi mitti Roma audisset, Gallos denuo 400 est aggressus : ut aut per se victoria potiretur, aut mortem oppeteret, quam vitæ ignominiosæ præferebat ; ac fortuna quadam vicit. Tum igitur ita cum Romanis actum : eisque Sardinia citra pugnam, et pecuniæ rursus datæ a
B Carthaginiensibus : qui cum negotiatores Romanos in mari male tractasse accusarentur, nondum firmatis opibus, minas illorum timuerunt. Sequenti anno P. Lentulus et Q. Flaccus, bello contra Gallos suscepto, dum una agebant, insuperabiles erant. Sed cum separati, loca quædam, majoris prædæ cupiditate, vastare cœpissent, Flacci castra noctu circumdata, in periculo fuerunt. Barbari vero tum repulsi, multis sociis ascitis, cum magna manu denuo Romanos invaserunt. Et P. Lentulo et Licinio Varo se ob multitudinem suam vel sine pugna terrorem incussuros arbitrati, per legatos Ariminensem agrum repetierunt : et eos ipsa urbe, quæ
C sua esset, cedere jusserunt. Consules vero nec ob paucitatem confligere, neque illa concedere ausi, inducias fecerunt, ut iis de rebus legati a Gallis Romam mitterentur. Qui cum apud senatum eadem postulassent, neque quidquam impetrassent, in castra reversi, res suas perditas repererunt. Quidam enim ex eorum sociis, mutata sententia, Romanos timentes, Boios sunt aggressi : ac utrinque multi ceciderunt. Unde reliqui domum redierunt : Boii per pactiones magna agri sui parte sunt multati. Gallicis bellis jam confectis, Lentulus contra Ligures arma cepit : et iis qui occurrebant profligatis, castella quædam subegit. Varus Corsicam petiturus, cum propter navigiorum penuriam trajicere non posset, Claudium Cliniam cum copiis
D præmisit : qui Corsis territis, in colloquium venit, et pro auctoritate pacem cum eis fecit. Varus autem nulla pactionis habita ratione, eos oppugnare non destitit, donec subegisset. Romani vero id crimen violati fœderis a sese amoventes, Claudium eis dediderunt : non receptum expulerunt. Bellum adversus Carthaginienses, ob mercatorum suorum injurias susceptum, deposuerunt : exactaque pecunia fœdus renovarunt, ne sic quidem diu duraturum. Ac 401 Carthaginiensi bello dilato, Sardos dicto non audientes adorti vicerunt : qui deinde a

Variæ lectiones et notæ.

(24) *Καὶ Σαρδόνιοι.* Ita mss. Reg. et Colb. At Wolfius legendum censebat Σαρδώ. Neque enim, inquit, Sardi a Carthaginiensibus pecuniam extorserunt, sed Romani et pecuniam et ipsam Sardiniam.

Carthaginiensibus clam ad rebellionem incitati sunt. Defecerunt et Corsi : nec Ligures quieverunt. Sequenti anno Romani copiis trifariam divisis, ut hostes simul bello infestati, auxilia inviecm ferre non possent, Posthumium Albinum in Ligusticum, Sp. Carvilium contra Corsos, in Sardiniam P. Cornelium ædilem miserunt. Consules licet haud citra laborem, citra moram tamen mandata exsecuti sunt. Sardos nihil modicum animis agitantes, Carvilius ingenti prælio subegit. Cornelius enim et multi milites morbo perierunt. Romanis digressis, Sardi et Ligures de integro defecerunt. Contra Ligures missus est Q Fabius Maximus, in Sardiniam Pomponius Manius. Carthaginienses, ut eorum bellorum auctores, hostes judicati, jussi numerare pecuniam, et omnibus cedere insulis, ut quæ Romanorum essent. Et ut sententiam suam magis declararent, hastam illis et caduceum miserunt, optione data, utrum mallent. Sed Carthaginienses nihil territi, tum ad alia responderunt asperius, tum se neutrum velle dixerunt, sed illud alacriter accepturos, quod legati reliquissent. Hic mutuis odiis conceptis, neutri bellum auspicari sunt ausi. Contra Sardos autem denuo tumultuantes, ambo coss. M. Malleolus et M. Æmilius missi, magnam prædam ceperunt : quæ eis a Corsis, cum eo appulissent, est erepta. Qua de causa post Romani utrosque invaserunt. M. Pomponius, qui Sardos infestabat, cum eorum plurimos in saltuosis specubus abditos indagare non posset, sagaces canes ex Italia accersivit : per eosque tramitibus hominum et pecudum investigatis, multos inde extraxit. Caius vero Papirius Cursor planitie pulsos, cum in montes adegisset, per insidias multos amisit : et præ siti plures amisisset, ni sero tandem aqua inventa, Corsis ut deditionem facerent, persuasisset.

Ἀφροντίσας ἐπολέμησε τοῖς Κυρνίοις, ἕως αὐτοὺς ἐχειρώσατο. Οἱ δὲ Ῥωμαῖοι τὸ παρασπόνδημα ἀποπροσποιούμενοι ἔπεμψαν αὐτοῖς ἐκδιδόντες τὸν Κλαύδιον. Ὡς δ' οὐκ ἐδέχθη, ἐξήλασαν αὐτόν. Ἐπὶ δὲ Καρχηδονίους μέλλοντες στρατεύσειν, ὡς τοῖς σφῶν ἐμπόροις λυμαινομένους, τοῦτο μὲν οὐκ ἐποίησαν, χρήματα δ' ἐπιπραξάμενοι, ἀνενεώσαντο τὰς σπονδάς· ἔμελλον δὲ μηδ' ὡς ἐς μακρὰν αἱ συνθῆκαι μένειν. Τὰ μὲν οὖν τῶν Καρχηδονίων ἀνεβέβλητο· ἐπὶ δὲ τοὺς Σαρδονίους μὴ πειθομένους αὐτοῖς ἐστράτευσαν καὶ ἐνίκησαν. Μετὰ δὲ ταῦτα ἔπεισαν τοὺς Σαρδονίους οἱ Καρχηδόνιοι κρύφα τοῖς Ῥωμαίοις ἐπαναστῆναι, καὶ τούτοις οἱ Κύρνιοι προσαπέστησαν, καὶ οἱ Λίγυες οὐχ ἡσύχασαν. Τῷ δ' ἐπιγενομένῳ ἔτει τριχῇ τὰς δυνάμεις διελόμενοι οἱ Ῥωμαῖοι, ἵν' ἅμα πολεμούμενοι πάντες μὴ συμβοηθεῖν ἀλλήλοις, Ποστούμιον μὲν Ἀλβῖνον εἰς τὴν Λιγυστικήν, Σπούριον δὲ Καρουΐλιον ἐπὶ τοὺς Κυρνίους, ἐς δὲ τὴν Σαρδὼ τὸν ἀστυνόμον Πούπλιον Κορνήλιον ἔπεμψαν. Καὶ οἱ μὲν ὕπατοι οὐκ ἀπόνως μὲν, οὐ βραδέως δὲ τὰ προσταχθέντα σφίσι κατέπραξαν. Τοὺς δὲ Σαρδονίους μή τι μέτριον φρονοῦντας ἰσχυρᾷ μάχῃ Καρουΐλιος κατεστρέψατο· ὁ γὰρ Κορνήλιος καὶ τῶν στρατιωτῶν πολλοὶ ὑπὸ νόσου ἐφθάρησαν. Ἐπεὶ δ' οἱ Ῥωμαῖοι ἐκ τῆς χώρας αὐτῶν ἀπηλλάγησαν, ἀπέστησαν αὖθις οἱ Σαρδόνιοι καὶ οἱ Λίγυες. Κόϊντος μὲν οὖν Φάβιος Μάξιμος ἐπέμφθη πρὸς Λίγυας, ἐς δέ γε τὴν Σαρδὼ Πομπώνιος Μάνιος. Τοὺς γε μὴν Καρχηδονίους, ὡς αἰτίους αὐτοῖς τῶν πολέμων ὄντας, πολεμίους ἔκριναν, καὶ πέμψαντες πρὸς αὐτοὺς, χρήματά τε ἀπήτουν, καὶ ἁπασῶν ἐκπλεῖν τῶν νήσων ἐπέτασσον, ὡς αὐτοῖς διαφερουσῶν. Ἐκφαίνοντες δὲ καὶ τὴν σφετέραν διάνοιαν, δόρυ αὐτοῖς ἐπέστειλαν, καὶ κηρύκιον, ἓν ἑλέσθαι κελεύοντες ὁποῖον ἂν ἐθελήσωσιν. Οἱ δὲ, μηδὲν ὑποπτήξαντες, τά τε ἄλλα τραχύτερον ἀπεκρίναντο, καὶ τῶν πεμφθέντων σφίσιν αἱρεῖσθαι μὲν εἶπον οὐδέτερον, δέχεσθαι δ' ἑτοίμως ὁπότερον καταλείψουσιν. Ἐντεῦθεν μὲν ἐμίσουν ἀλλήλους, ὤκνουν δὲ πολέμου κατάρξασθαι. Κινηθέντων δ' αὖθις τῶν Σαρδονίων, ἐπ' αὐτοὺς οἱ ὕπατοι ἄμφω ἐστράτευσαν, Μάρκος δὲ Μαλέολος καὶ Μάρκος Αἰμίλιος· καὶ πολλὰ μὲν λάφυρα ἔλαβον. Παρὰ δὲ τῶν Κυρνίων προσχόντες, αὐτοῖς αὐτὰ ἀφῃρέθησαν. Διὸ μετὰ ταῦτα ἐπ' ἀμφοτέρους οἱ Ῥωμαῖοι ἐτράποντο. Καὶ Μάρκος μὲν Πομπώνιος Σαρδόνας (25) ἤφερε, καὶ μαθὼν τοὺς πλείονας αὐτῶν ἐς σπήλαια ὑλώδη καὶ δυσεξεύρετα καταδύντας, μὴ δυνάμενός τε αὐτοὺς εὑρεῖν, κύνας ἐκ τῆς Ἰταλίας μετεπέμψατο εὑρινας, καὶ δι' ἐκείνων τὴν στιβὸν καὶ τῶν ἀνθρώπων καὶ τῶν βοσκημάτων εὑρὼν, πολλὰ ἀπετέμετο. Γάϊος δὲ Παπείριος ἐκ μὲν τῶν πεδίων τοὺς Κυρνίους ἀπήλασε· βιαζόμενος δὲ πρὸς τὰ ὄρη, συχνοὺς ἐξ ἐνέδρας ἀπέβαλε, πλείους τε ἂν ὕδατος ἀπορίᾳ ἀπώλεσεν, εἰ μή που ὕδωρ ὀψέ ποτε ἀνεφάνη, καὶ ἔπεισε τοὺς Κυρνίους ὁμολογῆσαι.

XIX. Sub hoc tempus Amilcar dux Carthaginiensium, ab Hispanis victus occubuit. Nam cum aciem contra eos instruxisset, illi currus facibus et pice plenos ante **402** copias Carthaginiensium produxerunt : cumque prope ventum esset, iis incensis, jumenta incitata in rabiem egerunt : eaque re adversarios turbatos, divulsos, et in fugam versos assectati, et ducem et plurimos alios ceciderunt. Amilcari post diuturnam felicitatem ad hunc mo-

ιθ'. Κατὰ τοῦτον τὸν χρόνον καὶ Ἀμίλκας ὁ τῶν Καρχηδονίων στρατηγὸς πρὸς Ἴβήρων νικηθεὶς ἔθανεν. Ἀντιπαραταξαμένου γὰρ σφίσιν, ἁμάξας δᾴδων καὶ πίσσης μεστὰς πρὸ τοῦ στρατοῦ τῶν Καρχηδονίων προήγαγον, καὶ πλησιάσαντες ἀνῆψαν αὐτὰς, καὶ τὰ ἕλκοντα αὐτὰς ὑποζύγια ἐπισπέρχοντες οἴστρησαν. Κἀκ τούτου συνταραχθέντων τῶν ἐναντίων, διασπασθέντων τε καὶ τραπομένων, ἑπόμενοι κἀκείνων καὶ ἄλλους πλείστους ἐφόνευσαν. Καὶ ὁ μὲν, ἐπὶ

Variæ lectiones et notæ.

(25) *Σαρδῶνας*. Mss. omnes Σαρδόνα; habent.

πλείστον ἀνθήσας, οὕτως ἐτελεύτησε. Τελευτήσαντα δὲ αὐτὸν Ἀσδρούβας ὁ Γαμβρὸς διεδέξατο, καὶ τῆς Ἰβηρίας πολλὰ προσεκτήσατο, πόλιν τε ἐν αὐτῇ Καρχηδόνα ὁμώνυμον τῇ πατρίδι ἔκτισε. Τῶν δέ γε Βοουΐων καὶ τῶν ἄλλων Γαλατῶν πολλὰ μὲν καὶ ἄλλα, πλείστους δὲ καὶ αἰχμαλώτους πωλούντων, δείσαντες οἱ Ῥωμαῖοι μήποτε κατ' αὐτῶν τοῖς χρήμασι χρήσωνται, ἀπεῖπον μηδένα ἀνδρὶ Γαλάτῃ μήτ' ἀργύριον μήτε χρυσίον διδόναι. Ἐντεῦθεν οἱ Καρχηδόνιοι μαθόντες τοὺς ὑπάτους Μάρκον Αἰμίλιον καὶ Μάρκον Ἰούνιον εἰς τὴν Λιγυστικὴν ἀπάραντας, παρεσκευάζοντο εἰς τὴν Ῥώμην ἐλάσαι. Γνόντων δὲ τοῦτο τῶν ὑπάτων, καὶ ἐπ' αὐτοὺς ἀθρόον ὡρμηκότων, ἐξεπλάγησαν, καὶ ἀπήντησαν αὐτοῖς ὡς φίλοι. Κἀκεῖνοι δὲ ὑπεκρίθησαν ὅτι οὐκ ἐπ' ἐκείνους ἀπῆεσαν, ἀλλὰ διὰ τῆς χώρας αὐτῶν ἐς τοὺς Λίγυας. Ῥωμαῖοι δὲ τόν τε Ἰόνιον ἐπεραιώθησαν, καὶ τῆς ἠπείρου τῆς ἑλληνικῆς ἥψαντο· πρόφασις δ' αὐτοῖς τοῦ πλοῦ ἐγένετο ἥδε. Ἴσσα νῆσός ἐστιν, ἐν τῷ Ἰονίῳ κόλπῳ κειμένη. Οἱ γοῦν ταύτης κάτοικοι Ἰσσαῖοι καλούμενοι, ἐθελονταὶ τοῖς Ῥωμαίοις παραδεδώκασιν ἑαυτοὺς, τῷ σφῶν κρατοῦντι ἀχθόμενοι Ἀγρῶνι τῷ τῶν Σαρδιαίων βασιλεῖ, γένους Ἰλλυρικοῦ. Πρὸς ὃν οἱ ὕπατοι πρέσβεις ἔπεμψαν. Ἐκείνου δὲ τεθνεῶτος, ἐπὶ υἱῷ διαδόχῳ παιδὶ ἔτι ἡ ἐκείνου γυνὴ, τοῦ δὲ παιδὸς μητρυιὰ, τὴν τῶν Σαρδιαίων (26) διεῖπεν ἀρχήν· ἡ τοῖς πρέσβεσιν οὐδὲν μέτριον ἐχρημάτισε. Μαχρήσασαμένους δὲ τοὺς μὲν ἔδησε, τοὺς δὲ ἀπέκτεινε. Τῶν δὲ Ῥωμαίων πόλεμον ψηφισαμένων αὐτῇ, κατέπτηξε, καὶ τούς τε σωζομένους τῶν πρέσβεων ἀποδώσειν ὑπέσχετο, καὶ τοὺς θανόντας ἔλεγεν ὑπὸ λῃστῶν πεφονεῦσθαι. Τῶν δὲ Ῥωμαίων τοὺς αὐτόχειρας ἐξαιτησαμένων, οὔτε τινὰ ἐκδώσειν ἔφη, καὶ ἐπὶ τὴν Ἴσσαν ἔστειλε στράτευμα. Εἶτα αὖθις δείσασα, Δημήτριόν τινα πρὸς τοὺς ὑπάτους ἔπεμψεν, ὡς ἑτοίμη πρὸς πᾶν ὑπακοῦσαι αὐτῶν. Καὶ σπονδαὶ πρὸς τὸν πεμφθέντα ἐγένοντο, τὴν Κέρκυραν αὐτοῖς παρασχόμενον. Τῶν δὲ πρὸς τὴν νῆσον περαιωθέντων, ἀνεθάρσησεν αὖθις, οἷα γυνὴ κούφην ἔχουσα γνώμην, καὶ εὐμετάβολον, καὶ πρὸς Ἐπίδαμνον καὶ Ἀπολλωνίαν ἐξέπεμψε στρατιάν. Τῶν δὲ Ῥωμαίων τὰς πόλεις τε ῥυσαμένων, καὶ πλοῖα αὐτῆς κατασχόντων μετὰ χρημάτων ἐκ Πελοποννήσου προσπλέοντα, καὶ τὰ χωρία πορθησαμένων τὰ πάραλα, καὶ τοῦ Δημητρίου διὰ τὴν ἐμπληξίαν ἐκείνης πρὸς Ῥωμαίους μεθεστηκότος, καὶ ἄλλους αὐτομολῆσαι πεπεικότος, κατέπτηξε, καὶ ἀπέσχετο τῆς ἀρχῆς, καὶ τὴν μὲν ὁ Δημήτριος, ὡς τῷ παιδὶ ἐπιτροπεύσων εἰλήφει. Οἱ δὲ Ῥωμαῖοι διὰ ταῦτα παρὰ Κορινθίων ἐπηνέθησαν, καὶ τοῦ Ἰσθμικοῦ μετέσχον ἀγῶνος. Καὶ στάδιον ἐν αὐτῷ ὁ Πλαῦτος ἐνίκησε. Καὶ πρὸς Ἀθηναίους δὲ φιλίαν ἐπεποιήκεσαν, καὶ τῆς πολιτείας σφῶν, τῶν τε μυστηρίων μετέσχον. Τὸ δ' Ἰλλυρικὸν ὄνομα πάλαι μὲν ἐν ἄλλοις ἐπεκέλητο, ὕστερον δὲ ἐς τὴν ἄνω μεταβέβηκεν ἤπειρον,

A dum interfecto, gener Asdrubal successit: ac multis Hispaniæ urbibus subactis, Carthaginem patriæ cognominem condidit. Boiis cæterisque Gallis ex venditione tum aliarum rerum, tum plurimorum captivorum, magnam pecuniam facientibus, veriti Romani, ne iis opibus contra se uterentur, edixerunt, ne quis homini Gallo vel aurum vel argentum daret. Deinde Carthaginienses M. Æmilii et M. Junii in Ligusticum expeditione cognita, se ad Romam invadendam paraverunt. Quo consules intellecto, ex improviso eos adorti terruerunt, ut per amicitiæ speciem eis obviam egrederentur. Simularunt illi quoque se non contra illos esse profectos, sed per eorum agrum in Ligyriam ituros. Romani sinu Ionio transmisso, ad Græciæ contiB nentem hac de causa appulerunt. Issa insula in Ionio sinu sita est: cujus incolæ Issæi Romanis ultro se dediderunt, suo domino Agroni Sardianorum regi, gentis Illyricæ irati. Ad eum consules legatos miserunt. Sed illo mortuo, filio adhuc impubi hærede relicto, uxor ejus pueri noverca, Sardianorum imperium administravit, nec ullum æquum legatis responsum dedit. Qui cum liberius locuti essent, alios occidit, alios vinxit. Cum autem Romani bellum ei decrevissent, territa, sect in columes legatos reddituram pollicetur, et mortuos a latronibus esse cæsos ait. Romanis vero cædium auctores poscentibus, neque se quemquam dedituram esse dixit, et Issam exercitum misit. Deinde rursus C territa, Demetrium ad consules misit, tanquam per omnia morem eis gestura. Et pax facta est cum legato, Corcyra ab eo accepta. Sed cum Romani ad insulam trajecissent, resumpta fiducia, ut mulier levi et mutabili prædita ingenio, ad Epidamnum et Apolloniam misit exercitus. Verum quia Romani iis urbibus liberatis, illiusque navibus cum pecunia ex Peloponeso **403** venientibus, captis, oram maritimam vastabant: Demetrius autem ob mulierculæ vecordiam ad Romanos se contulerat, multis transfugis secum adductis: abjecto animo, imperio abstinuit, quod Demetrius tutorio nomine suscepit. Hac de causa Romani a Corinthiis laudati sunt, et ad Isthmiacos ludos admissi, in quibus Plautus stadium vicit. Inita cum D Atheniensibus quoque amicitia, civitate donati, et ad initia sunt admissi. Illyrici nomen olim aliis locis attributum, post in superiorem continentem supra Macedoniam et Thraciam, intra Hæmum et Rhodopen transiit: sitaque est Illyria in medio horum montium et Alpium, et intra Hæmum fluvium, et Istrum, usque ad Pontum Euxinum: alicubi etiam ultra Istrum evagatur. Cum aliquando Romanis oraculum esset redditum, Græcos et Gallos urbem occupaturos, duos Gallos et totidem Græcos utriusque sexus in medio foro vivos defoderunt: ut

Variæ lectiones et notæ.

(26) *Σαρδιαίων*. Ita mss. Reg. et Colb. at Hentic. Valesius ad Dionis Excerpta, Ἀρδιαίων legendum observat, ex Strabone, lib. VII, Appiano in Illyrico, et Stephano.

ita satis satisfactum esse, itaque defossi, partem urbis aliquam tenere viderentur. Sardi perpetuam Romani prætoris præsentiam ægre ferentes, seditionem moverunt : sed denuo subacti sunt.

καὶ ὑπὲρ τὴν Μακεδονίαν, τήν τε Θρᾴκην τὴν ἐντὸς τοῦ Αἵμου, καὶ τὴν πρὸς τῇ Ῥοδόπῃ, καὶ ἔστιν ἐν τῷ μέσῳ τούτων τῶν ὀρῶν καὶ τῶν Ἀλπίων, τοῦ τε Αἵμου ποταμοῦ (27), καὶ τοῦ Ἴστρου μέχρι τοῦ Εὐξείνου Πόντου, καί πη καὶ ἐπέκεινα τοῦ Ἴστρου νέμεται. Λογίου δέ ποτε τοῖς Ῥωμαίοις ἐλθόντος, καὶ Ἕλληνας καὶ Γαλάτας τὸ ἄπτυ καταλήψεσθαι, Γαλάται δύω καὶ Ἕλληνες ἕτεροι ἔκ τε τοῦ ἄρρενος καὶ τοῦ θήλεος γένους ζῶντες ἐν τῇ ἀγορᾷ κατωρύγησαν, ἵν' οὕτως ἐπιτελὲς τὸ πεπρωμένον γενέσθαι δοκῇ, καί τι κατέχειν τῆς πόλεως κατορωρυγμένοι νομίζωνται. Μετὰ δὲ τοῦτο Σαρδόνιοι ἐν δεινῷ ποιούμενοι, ὅτι στρατηγὸς Ῥωμαίων ἀεὶ καθειστήκει αὐτοῖς, ἐπανέστησαν· αὖθις δὲ ἐδουλώθησαν.

XX. Cum Insubres Gallica gens, auxiliis a transalpinis popularibus accersitis, Romanis arma intulissent, et quædam loca populati essent : tandem nocte magna tempestate orta, deos sibi infestos esse rati, abjectis animis, trepidi fuga salutem quærere instituerunt. Regulus vero eos persecutus, et extremum agmen aggressus, victus occubuit. Æmilius cum tumulum quemdam occupasset, Galli idem imitati, per dies aliquot quieverunt. Deinde illi cladis acceptæ dolore, Barbari victoriæ insolentia impulsi, de tumulis decurrerunt. Cumque diu æquo marte certatum esset, Romani denique eos equitatu circumdatos occiderunt, castris direptis, et spoliis recuperatis. Post hæc Æmilius Boiis superatis triumphans, captivorum principes armatos in Capitolium perduxit, insolentiam eorum irridens, quod se thoraces non prius exuturos jurassent, quam in Capitolium venissent. Ab eo tempore Boiorum terram omnem occuparunt : et tum primum Eridano superato. **404** Insubres invaserunt, eorumque agros vastarunt. Interea Roma prodigiis perterrita est. Nam et in Piceno flumen sanguine manavit, et in Etruria magnus cœli tractus ardere visus, et Arimini lux noctu instar diei fulsit, et alibi in Italia tres lunæ noctu apparuerunt, et vultur in foro per dies complures sedit. Consules igitur, tum ob hæc prodigia, tum quod vitio creati dicerentur, accersiti sunt. Verum non statim litteras legerunt : sed cum modo in aciem descendissent, commisso prius prælio vicerunt. Epistola post pugnam lecta, Furius haud gravatim paret : sed Flaminius victoria elatus, eam argumento esse aiebat, se rite creatos esse, et optimates ex invidia etiam diis affingere mendacia asseverabat. Nec igitur, nisi rebus omnibus confectis, recedere voluit : et se cives suos edocturum esse dixit, ne vel avium vel ullius alterius rei observatione fallerentur. Itaque manere, et collegæ idem persuadere instituit. Quod cum ille detrectaret, Flaminii milites veriti, ne a cæteris destituti, ab hostibus male tractarentur, precibus ab eo impetrarunt, ut dies aliquot maneret, sed nihil rei gessit. Flaminius autem regionem ubique pervagatus, agros vastavit, et aliquot castella cepit : et militibus, ut eos sibi conciliaret, omnes manubias donavit. Sero domum reversis, contumaciæ crimen a senatu est objectum : et ob iram in Flaminium,

Κ'. Ἰνσοῦβροι δὲ Γαλατικὸν γένος, συμμάχους ἐκ τῶν ὑπὲρ τὰς Ἄλπεις ὁμοφύλων προσειληφότες, ὅπλα τοῖς Ῥωμαίοις ἐπήνεγκαν· διὸ καὶ αὐτοὶ ηὐτρεπίζοντο. Ληϊσαμένων δὲ τῶν βαρβάρων τινὰ, τελευταῖον χειμῶνος μεγάλου νυκτὸς συμβάντος, ὑπετόπησαν τὸ θεῖον ἐναντιοῦσθαι αὐτοῖς καὶ ἠθύμησαν· καὶ καταπτήξαντες φυγῇ τὴν σωτηρίαν πορίσασθαι ἐπεχείρησαν. Καὶ ὁ Ῥηγοῦλος αὐτοὺς κατεδίωξε, καὶ τοῖς ὀπισθοφυλακοῦσι προσμίξας, ἡττήθη τε καὶ ἀπέθανεν. Αἰμίλιος δὲ, λόφον τινὰ κατασχών, ἡσύχαζεν. Ἀντικατασχόντων δὲ καὶ τῶν Γαλατῶν ἕτερον, ἐπί τινας μὲν ἡμέρας ἠρέμουν· ἔπειτα οἱ μὲν ὀργῇ τοῦ γεγονότος, αὐχήματι δὲ τῆς νίκης οἱ βάρβαροι, καταβραμόντες ἀπὸ τῶν μετεώρων συνέβαλον. Καὶ ἐπὶ πολὺ μὲν ἰσορρόπως ἐμάχοντο· τέλος δ' οἱ Ῥωμαῖοι, τῷ ἱππικῷ περισχόντες, αὐτοὺς κατέκοψαν, καὶ τὸ στρατόπεδον αὐτῶν εἷλον, καὶ τὰ λάφυρα ἐκομίσαντο. Καὶ μετὰ ταῦτα τοῖς τῶν Βοουΐων ὁ Αἰμίλιος ἐλυμήνατο, καὶ τὰ ἐπινίκια ἤγαγε, τούς τε πρώτους τῶν ἁλόντων ὡπλισμένους ἐπὶ τὸ Καπιτώλιον ἀνεκόμισεν, ἐπισκώπτων αὐτοῖς ὡς ὁμωμοκόσι μὴ πρότερον τοὺς θώρακας ἀποδύσασθαι πρὶν ἀνελθεῖν εἰς τὸ Καπιτώλιον. Ἐκ δὲ τούτου τήν τε τῶν Βοουΐων ἅπασαν προσεκτήσαντο, καὶ τὸν Ἠριδανὸν τότε πρῶτον ἐπὶ τοὺς Ἰνσούβρους διέβησαν, καὶ τὴν χώραν αὐτῶν ἐπόρθουν. Τεράτων δ' ἐν τούτῳ γενομένων, ἐς μέγα δέος οἱ ἐν τῇ Ῥώμῃ κατέστησαν. Ποταμός τε γὰρ ἐν τῷ Πικηνῷ αἱματώδης ἐρρύη, κἀν τῇ Τυρσηνίδι καίεσθαι τοῦ οὐρανοῦ πολὺ ἔδοξε, καὶ ἐν τῷ Ἀριμίνῳ φῶς νύκτωρ ἡμέρᾳ προσεοικὸς ἔλαμψε, καὶ πολλαχόθι τῆς Ἰταλίας τρεῖς σελῆναι νυκτὸς ἐφαντάσθησαν, κἀν τῇ ἀγορᾷ γὺψ ἐφ' ἡμέρας πλείονας ἐνιδρύθη. Διά τε γοῦν τὰ τέρατα ταῦτα, καὶ ὅτι τινὲς παρανόμως ἔλεγον τοὺς ὑπάτους αἱρεθῆναι, μετεπέμψαντο αὐτούς. Δεξάμενοι δὲ τὰ γράμματα οἱ ὕπατοι, οὐκ εὐθὺς αὐτὰ ἀνέγνων, ἄρτι πρὸς πόλεμον καθιστάμενοι, ἀλλὰ προσνμβαλόντες ἐκράτησαν. Μετὰ δὲ τὴν μάχην ἀναγνωσθείσης τῆς ἐπιστολῆς, ὁ μὲν Φούριος ἑτοίμως ἐπείθετο· ὁ δέ γε Φλαμίνιος, ἐπαιρόμενος τῇ νίκῃ, τήν τε αἵρεσιν αὐτῶν ἀπεδείκνυ δι' αὐτῆς ὀρθῶς ἔχουσαν, καὶ διὰ τὸν πρὸς αὐτὸν φθόνον ἐνέκειτο καὶ τοῦ θείου τοὺς δυνατοὺς καταψεύδεσθαι. Οὔτ' οὖν ἀπαναστῆναι πρὶν τὸ πᾶν καταστήσεσθαι ἤθελε, καὶ διδάξειν καὶ τοὺς οἴκοι, ἔφη, μήτ' ὄρνισι μήτ' ἄλλῳ δή τινι τοιούτῳ προσέχοντας ἀπατᾶσθαι. Καὶ ὁ μὲν κατὰ χώραν μέ-

Variæ lectiones et notæ.

(27) *Αἵμου ποταμοῦ.* Sic tres mss. Reg. Asteriscum apposuit Wolfius, quod fluvius hujusce nominis non occurrat apud geographos. Cum vero dicat Zonaras, Illyricum intra Hæmum fluvium et Istrum usque ad Pontum Euxinum contineri, videtur intellexisse aut Dravum aut Savum fluvios.

νειν ἤθελε, καὶ τὸν συνάρχοντα κατέχειν ἐπειρᾶτο· Φούριος δ' οὐκ ἐπείθετο. Τῶν δὲ μετὰ τοῦ Φλαμινίου μελλόντων καταλειφθήσεσθαι, φοβηθέντων μὴ μονωθέντες πάθωσί τι παρὰ τῶν ἐναντίων, καὶ δεηθέντων ἡμέρας τινὰς προσμεῖναι, ἐπείσθη, οὐ μέντοι καὶ ἔργου ἥψατο. Φλαμίνιος δὲ περίνοστῶν τὴν χώραν ἔτεμνε καὶ ῥύματά τινα κατεστρέψατο, τά τε λάφυρα πάντα τοῖς στρατιώταις, θεραπεύων αὐτούς, ἐχαρίσατο. Ὕψὲ δ' οἴκαδε ἐπανελθόντες, ὑπὸ μὲν τῆς γερουσίας τὴν αἰτίαν τῆς ἀπειθείας ἔσχον· διὰ γὰρ τὴν πρὸς τὸν Φλαμίνιον ὀργὴν ἠτίμασαν καὶ τὸν Φούριον (28)· τὸ δὲ πλῆθος, ἀντιφιλονεικῆσαν ὑπὲρ τοῦ Φλαμινίου, ἐψηφίσαντο τὰ νικητήρια, καὶ ἀγαγόντες αὐτά, ἐξέστησαν τῆς ἀρχῆς. Ἕτεροι δὲ ὕπατοι Κλαύδιος Μάρκελλος καὶ Γνάϊος Σκιπίων, ἀνθαιρεθέντες, ἐστράτευσαν ἐπὶ τοὺς Ἰνσούβρους· εἰρήνην γὰρ αὐτοῖς αἰτήσασιν οὐκ ἐψηφίσαντο· καὶ ἄμφω μὲν πρῶτον πολεμοῦντες· τὰ πλείω ἐκράτουν. Ἔπειτα, τὴν συμμαχίδα λεηλατουμένην μαθόντες, διῃρέθησαν. Καὶ Μάρκελλος μὲν, ἐπὶ τοὺς ληζομένους τὴν σύμμαχον διὰ ταχέων ἐλθών, οὐ κατέλαβε σφᾶς ἐκεῖ, φεύγοντας δ' ἐπεδίωξε, καὶ ὑποστάντας ἐνίκησε· Σκιπίων δὲ, κατὰ χώραν μείνας, Ἀκέρας ἐπολιόρκει· καὶ λαβὼν αὐτὰς ὁρμητήριον τοῦ πολέμου πεποίηκεν, οὔσας ἐπικαίρους καὶ εὐερκεῖς. Κἀντεῦθεν ὁρμώμενοι τό τε Μεδιόλανον καὶ κωμόπολιν ἑτέραν ἐχειρώσαντο. Ἁλόντων δὲ τούτων, καὶ οἱ λοιποὶ Ἰνσοῦβροι ὡμολόγησαν αὐτοῖς, χρήματα καὶ μέρος τῆς γῆς δόντες. Εἶτα Πούπλιός τε Κορνήλιος καὶ Μάρκος Μινούτιος ἐπ' Ἴστρου (29) ἐστράτευσαν, καὶ πολλὰ τῶν ἐκεῖ ἐθνῶν τὰ μὲν πολέμῳ, τὰ δὲ ὁμολογίαις ὑπέταξαν. Λούκιος δὲ Οὐετούριος καὶ Γάϊος Λουτάτιος ἦλθον μέχρι τῶν Ἄλπεων, ἄνευ δὲ μάχης πολλοὺς ᾠκειώσαντο. Ὁ μέντοι τῶν Σαρδιαίων ἄρχων Δημήτριος, ὡς ἄνω που εἴρηται, τοῖς ἐπιχωρίοις ἐπαχθὴς ἦν καὶ τὰ τῶν πλησιοίκων ἐκακούργει, καὶ ἐδόκει τῇ Ῥωμαίων φιλίᾳ ἀποχρώμενος ἀδικεῖν. Αἰσθόμενοι δὲ τοῦτο οἱ ὕπατοι Αἰμίλιος Παῦλος καὶ Μάρκος Λιούϊος, μετεπέμψαντο αὐτόν. Ὡς δ' οὐχ ὑπήκουσεν ἀλλὰ καὶ τῆς συμμαχίδος σφῶν ἥπτετο, ἐστράτευσαν ἐπ' αὐτὸν ἐν τῇ Ἴσσῃ ὄντα. Καὶ προμαθόντες ὅτι ὑφώρμει που τῶν κατάρσεων, μέρος τῶν νεῶν εἰς τὰ ἐπὶ θάτερα τῆς νήσου προσμίξαι ἔπεμψαν. Κἀκ τούτου τῶν Ἰλλυρίων ἐπ' ἐκείνους ὡς καὶ μόνους ὄντας τραπομένων, αὐτοὶ κατὰ σχολὴν προσπλεύσαντες ἐν ἐπιτηδείῳ τε ἐστρατοπεδεύσαντο καὶ προσπεσόντας σφίσιν αὐθημερὸν τοὺς ἐπιχωρίους ὀργῇ τῆς ἀπάτης ἀπεώσαντο. Τοῦ δὲ Δημητρίου ἐς Φάρον ἑτέραν νῆσον διαφυγόντος, καὶ ἐπ' ἐκείνην ἔπλευσαν, καὶ τῶν ἀντικατασχόντων ἐκράτησαν καὶ τὴν πόλιν ἐκ προδοσίας εἷλον, τοῦ Δημητρίου διαδράντος. Ὃς, τότε μὲν εἰς Μακεδονίαν μετὰ πολλῶν χρημάτων πρὸς Φίλιππον τὸν βασιλέα αὐτῆς ἐλθών, ὑπ' ἐκείνου μὲν οὐκ ἐξεδόθη, πρὸς δὲ τοὺς Ἰλλυρίους ἐπανελθὼν συνελήφθη ὑπὸ Ῥωμαίων καὶ ἐδικαιώθη.

A etiam Furio negatus honos. Sed a multitudine patribus pro Flaminio adversata, decreto actoque triumpho, magistratum deposuerunt: aliique consules creati, Claudius Marcellus, et Cn. Scipio, Insubribus arma intulerunt, pace quam petierant haud concessa: ac principio belli ambo rem fere bene gesserunt. Deinde cum sociæ civitates infestarentur, divisi, Marcellus contra prædatores celeriter profectus, cum eos ibi non invenisset, fugientes persecutus est, commissaque pugna superavit. Sed Scipio castris non motis, Acerrâs obsedit: iisque expugnatis (erant enim opportuno loco sitæ et munitæ) ad gerendi belli commoditatem usus est. Inde profecti, Mediolanum, et aliud oppidum ceperunt: quibus expugnatis, cæteri quoque Insubres **405** deditionem fecerunt, pecunia et agri parte multati. Deinde P. Cornelius et M. Minutius ad Istrios duxerunt exercitum, et multas illius loci gentes partim vi, partim deditione subegerunt. L. vero Veturius et C. Luctatius usque ad Alpes progressi, citra pugnam sibi multos adjunxerunt. Demetrius autem, cujus supra facta est mentio, Sardianorum princeps, popularibus suis gravis, etiam finitimos vexabat; ac Romanorum amicitia fretus, injurius esse videbatur. Quo consules Paulus Æmilius et M. Livius animadverso, eum accersiverunt. Ut vero non parebat, sed eorum socios quoque offendebat, Issam contra eum sunt profecti: edoctique, eum alicubi in portubus insidias collocasse, navium partem ad alterum latus insulæ miserunt. Quo factum, ut Illyriis contra illos, tanquam soli essent, conversis, cæteri per otium portu occupato, et castris idoneo loco positis, insulares eodem die ex imposturæ iracundia irruentes profligarent. Demetrium in aliam insulam Pharum persecuti, hostibus superatis, urbem proditione ceperunt. Demetrius ad Philippum Macedoniæ regem cum magna pecunia confugit. Nec ab illo deditus est: sed in Illyrios reversus, et a Romanis captus, pœnas dedit.

ΚΑ'. Τῷ δ' ἐχομένῳ ἔτει περιφανῶς οἱ Ῥωμαῖοι τοῖς Καρχηδονίοις ἐξεπολεμώθησαν, καὶ ὁ πόλεμος οὗτος τῷ μὲν χρόνῳ πολὺ ἐλάσσων τοῦ προτέρου συμβέβηκε, τοῖς δ' ἔργοις τοῖς τε παθήμασι καὶ μείζων καὶ χαλεπώτερος. Ἐπῆρε δὲ τοῦτον μάλιστα ὁ Ἀννίβας στρατηγῶν τῶν Καρχηδονίων. Ὁ δ' Ἀν-

XXI. Sequenti anno Romanorum et Carthaginiensium inimicitiæ aperte eruperunt: ac id bellum, ut tempore longe priore minus, sic operibus et cladibus longe majus fuit, et gravius. Ejus autem belli potissimus auctor fuit Annibal dux Carthaginiensium, Amilcaris Barchini filius, statim a

Variæ lectiones et notæ.

(28) *Φούριος*. Φρούριος habent mss. omnes.

(29) *Ἔπ' Ἴστρου*. Ita mss. codd. sed ἐπ' Ἴστροις reponendum ex Eutropio lib. III, et aliis observat Henricus Valesius ad Joannem Antiochenum, qui Ἰστριανοῖς habet. Ita Dio, lib. XXXVIII, p. 64. Ἠττήθη (πρὸς) τῇ τῶν Ἰστριανῶν πόλει πρὸς τῶν Σκύθων τῶν Βαστάρνων, ubi interpres, *ad Istrarum urbem*.

puero contra Romanos exercitatus. Aiebat enim Amilcar se omnes filios, tanquam catulos quosdam contra illos alere. Illum autem quem ingenio longe cæteris antecellere videret, jurejurando adegit, se hostem fore populo Romano. Ea de causa cum aliis eum disciplinis, tum in re militari diligenter erudiit, usque ad annum ætatis decimumquintum. Unde patri in imperio succedere non potuit : sed post Asdrubalis obitum, annum tum sextum et vicesimum agens, nihil cunctatus, Hispaniensem exercitum statim occupavit. Et imperator a militibus salutatus, effecit ut etiam ab **406** urbanis magistratibus sibi principatus confirmaretur. His perfectis, speciosum quærebat titulum invadendi Romanos, quem ei Zacynthiorum coloni in Hispania suppeditarunt. Qui cum non procul ab amne Ibero habitarent, paulum a mari remoti, Romanos magno studio et honore colebant, atque in Carthaginiensi fœdere excepti erant. Ea de causa bellum eis intulit Annibal, haud ignarus, Romanos aut opem eis laturos, aut clades eorum ulturos. Eo accedebat, quod eos magnas opes habere norat, quibus in primis egebat : et aliis rationibus, quæ contra Romanos etiam ei profutura erant, adductus, Saguntinos est adortus. Hispania vero, in qua illi habitant, cum finitimis locis omnibus in Europa versus Occidentem sita, ad mare interius, et Herculis columnas et Oceanum longe excurrit, atque etiam continentem longissimo tractu usque ad montes Pyrenæos occupat : qui a mari, quod olim Bebrycium dicebatur, post Narbonense appellatum est, usque ad exterius mare magnum pertinent, totamque Hispaniam a Gallia finitima dirimunt. Intra eos multæ diversæ gentes consederunt, nec lingua eadem, nec forma reipublicæ utentes : unde nec eodem nomine appellantur. Nam Romani Hispanos, Græci ab Ibero amne Iberos vocant. Saguntini cum obsiderentur, auxilia et finitimorum et Romanorum implorarunt : ac illos prohibuit Annibal. Romani autem legatis ad eum missis, postularunt, ut Sagunto abstineret. Quod ni faceret, minabantur, se Carthaginem statim ad eum accusandum navigaturos. At Annibal ex Hispanis quosdam misit, qui per fidei et amicitiæ speciem legatis appropinquantibus dicerent, non adesse ducem, procul in loca quædam incognita profectum : monerentque, ut quamprimum discederent, ne adventu illorum cognito, per imperatoris absentiam ab effrenatis militibus interirent. Legati vera illa esse rati, Carthaginem abierunt. indictoque concilio, Carthaginiensium alii pacem suaserunt ; factio vero Annibalis, Saguntinos esse injurios, et Romanos ea quæ nihil ad ipsos attinerent, curiose complecti asserebat. Denique in eorum **407** sententiam itum est, qui belli Romanis inferendi auctores erant. Interea dum Annibal

νίβας οὗτος παῖς τοῦ Ἀμίλκου τοῦ Βαρχίδου ἐγένετο, καὶ ἐκ παίδων εὐθὺς ἐπὶ τοὺς Ῥωμαίους ἠσκήθη. Πάντας γὰρ τοὺς υἱοὺς ὁ Ἀμίλκας ὥσπερ τινὰς σκύμνους ἐπ' αὐτοὺς τρέφειν ἔλεγεν, ἐκεῖνον δὲ, πολὺ τῇ φύσει προφέροντα ὁρῶν, καὶ ὤρκωσε πολεμήσειν αὐτοῖς. Καὶ διὰ τοῦτο τά τε ἄλλα καὶ τὰ πολέμια ἔτι μᾶλλον αὐτὸν ἐξεδίδασκε, πεντεκαιδεκαέτη ὄντα. Ὅθεν οὐκ ἠδυνήθη, θανόντος αὐτῷ τοῦ πατρὸς, τὴν στρατηγίαν διαδέξασθαι. Ἐπεὶ δὲ ὁ Ἀσδρούβας ἐτελεύτησεν, οὐκέτι ἐμέλλησεν, ἓξ καὶ εἴκοσιν ἐτῶν τότε γεγονώς, ἀλλὰ τό τε στράτευμα ἐν τῇ Ἰβηρίᾳ αὐτίκα προσκατέλαβε (30), καὶ στρατηγὸς ὑπ' αὐτῶν ἀναδειχθεὶς, διῳκήσατο καὶ παρὰ τῶν οἴκοι τελῶν βεβαιωθῆναι αὐτῷ τὴν ἡγεμονίαν. Πράξας δὲ ταῦτα, προφάσεως εὐπρεποῦς ἐδεῖτο εἰς τὴν κατὰ Ῥωμαίων ὁρμὴν, καὶ ταύτην ἐποιήσατο τοὺς ἐν τῇ Ἰβηρίᾳ Ζακυνθίους. Οὗτοι γὰρ, οὐ πόρρω τοῦ ποταμοῦ οἰκοῦντες τοῦ Ἴβηρος ἄνω τῆς θαλάσσης βραχὺ, τοῖς Ῥωμαίοις προσέκειντο, κἀκεῖνοι καὶ ἐτίμων αὐτοὺς καὶ ἐν ταῖς πρὸς τοὺς Καρχηδονίους συνθήκαις ἐξαιρέτους ἐπεποιήκεσαν. Διὰ ταῦτ' οὖν ὁ Ἀννίβας πόλεμον ἤρατο πρὸς αὐτούς, εἰδὼς ὅτι ἢ ἐπικουρήσουσιν οἱ Ῥωμαῖοι τοῖς Ζακυνθίοις ἢ καί τι παθοῦσι τιμωρήσουσι. Διά τε οὖν ταῦτα καὶ ὅτι καὶ μέγαν πλοῦτον κεκτῆσθαι αὐτοὺς ἐγίνωσκεν, οὗ καὶ μάλιστα ἔχρῃζε, καὶ δι' ἕτερα αἴτια καὶ κατὰ Ῥωμαίων αὐτῷ συμβαλλόμενα, τοῖς Ζακυνθίοις ἐπέθετο. Ἡ δ' Ἰβηρία, ἐν ᾗ οἱ Ζακύνθιοι οἰκοῦσι, καὶ ἡ προσεχὴς αὐτῇ πᾶσα ἔν τε τῇ Εὐρώπῃ πρὸς δυσμάς ἐστι, καὶ ἐπὶ πολὺ μὲν παρὰ τὴν ἔσω θάλασσαν, καὶ παρὰ τὰς Ἡρακλείους στήλας τόν τε Ὠκεανὸν αὐτὸν προήκει, καὶ προσέτι καὶ τὴν ἤπειρον τὴν ἄνω διὰ πλείστου μέχρι τοῦ Πυρηναίου νέμεται. Τὸ γὰρ ὄρος τοῦτο, ἐκ τῆς θαλάσσης τῆς πάλαι μὲν Βεβρύκων, ὕστερον δὲ Ναρβωνησίων ἀρξάμενον, ἐς τὴν ἔξω τὴν μεγάλην διατείνει, πολλὰ μὲν ἐντὸς αὐτοῦ καὶ σύμμικτα ἔθνη ἔχον, πᾶσαν δὲ τὴν Ἰβηρίαν ἀπὸ τῆς προσοίκου Γαλατίας ἀφορίζον. Οὔτε δ' ὁμόφωνοι ἦσαν, οὔτε κοινῇ ἐπολιτεύοντο, ὅθεν οὐδὲ εἷς ἓν ὄνομα ἐτέλουν. Οἱ μὲν γὰρ Ῥωμαῖοι Ἱσπανοὺς, οἱ δ' Ἕλληνες Ἴβηρας ἀπὸ τοῦ ποταμοῦ Ἴβηρος αὐτοὺς ἐπεκάλεσαν. Οἱ μὲν οὖν Ζακύνθιοι οὗτοι ἐπολιορκοῦντο, καὶ ἔπεμψαν πρὸς τοὺς περιοίκους καὶ πρὸς τοὺς Ῥωμαίους ἐπικουρίας δεόμενοι. Ἀλλὰ τοὺς μὲν ὁ Ἀννίβας ἐκώλυσεν· οἱ δὲ Ῥωμαῖοι, πρέσβεις πρὸς ἐκεῖνον πέμψαντες, μὴ πολεμεῖν τοῖς Ζακυνθίοις ἐκέλευον, καὶ εἰ μὴ πείθοιτο, ἐς τὴν Καρχηδόνα πλεῦσαι εὐθὺς καὶ κατηγορῆσαι αὐτοῦ ἐπηπείλησαν. Ὁ δ' Ἀννίβας, ἐκ τῶν ἐπιχωρίων πέμψας τινὰς ὡς εὔνοιαν τηροῦντας τοῖς πρέσβεσιν ἤδη πλησίον οὖσι, παρεσκεύασε λέγειν αὐτοῖς μὴ παρεῖναι τὸν στρατηγὸν, πόρρω που ἐς ἄγνωστα χωρία ἀποδημήσαντα, καὶ παρῄνουν ἀπαλλαγῆναι ὡς τάχιστα, πρὶν καταγγελθεῖεν ὡς πάρεισιν, ἵνα μὴ διὰ τὴν ἀναρχίαν, τοῦ στρατηγοῦ μὴ παρόντος, ἀπόλωνται. Οἱ μὲν οὖν πιστεύσαντες αὐτοῖς εἰς μὲν τὴν Καρχηδόνα

Variæ lectiones et notæ.

(30) *Αὐτίκα προσκατέλαβε.* Alter codex Wolfii, προσέλαβε duo Reg. et Colb. προσκατέλαβε.

ἀπῆεσαν. Γενομένης δὲ ἐκκλησίας, οἱ μὲν τῶν Καρχηδονίων εἰρήνην ἄγειν πρὸς τοὺς Ῥωμαίους συνεβούλευον, οἱ δέ, τῷ Ἀννίβᾳ προσκείμενοι (31), τοὺς μὲν Ζακυνθίους ἀδικεῖν, τοὺς δὲ Ῥωμαίους τὰ μηδὲν σφίσι προσήκοντα πολυπραγμονεῖν ἔλεγον. Καὶ τέλος ἐπεκράτησαν οἱ πολεμῆσαι σφᾶς ἀναπείθοντες. Ἐν τούτῳ δὲ ὁ Ἀννίβας σπουδῇ τὰς προσβολὰς τῆς τειχομαχίας ἐποιεῖτο. Πολλῶν δὲ πιπτόντων, καὶ πλειόνων τιτρωσκομένων ἐκ τῶν τοῦ Ἀννίβου, καί ποτε τῶν Καρχηδονίων κατασεισάντων τι τοῦ περιβόλου καὶ κατὰ τὸ ῥῆγμα εἰσελθεῖν τολμησάντων, ἐπεξέδραμον οἱ Ζακύνθιοι καὶ ἀπεσόβησαν σφᾶς· ἔθεν αὐτοὶ μὲν ἐπερρώσθησαν, οἱ Καρχηδόνιοι δὲ ἐνέδοσαν ἀθυμήσαντες. Οὐκ ἀπέστησαν δὲ πρὶν τὴν πόλιν ἑλεῖν, καίτοι ἐπ' ὄγδοον μῆνα τῆς πολιορκίας παραταθείσης, ἐν οἷς ἄλλα τε πολλὰ συνηνέχθη καὶ ἄτοπα, καὶ ὁ Ἀννίβας δεινῶς ἐτρώθη. Ἥλω δὲ οὕτως· μηχάνημα τῷ τείχει προσήγαγον, πολύ τε αὐτοῦ ὑπεραῖρον, καὶ ὁπλίτας τοὺς μὲν ἐμφανεῖς ἔχον, τοὺς δὲ λανθάνοντας. Τῶν οὖν Ζακυνθίων τοῖς ὁρωμένοις ὡς μόνοις οὖσι μαχομένων ἐρρωμενέστερον, οἱ κεκρυμμένοι τὸ τεῖχος ὑπορύξαντες εἰσεβιάσαντο καὶ ἔνδον ἐγένοντο. Τῷ γοῦν παραδόξῳ οἱ Ζακύνθιοι ἐκπλαγέντες εἰς τὴν ἀκρόπολιν ἀνέδραμον, καὶ εἰς λόγους ἦλθον, εἴ πως ἐπιτειχεῖ τινι ὁμολογίᾳ περισωθεῖεν. Ὡς δ' οὐδὲν ὁ Ἀννίβας προὔσχετο μέτριον, οὔτε τις αὐτοῖς ὠφέλεια πρὸς τῶν Ῥωμαίων ἐγίνετο, ἐπισχεθῆναι τὰς προσβολὰς ἐξῃτήσαντο, ὅπως τι περὶ τῶν κατὰ σφᾶς βουλευσόμενοι. Κἀν τούτῳ τὰ τιμιώτατα συμφορήσαντες τῶν χρημάτων ἐς πῦρ ἐνέβαλον. Καὶ οἱ μὲν ἀπόμαχοι διεχειρίσαντο ἑαυτούς· οἱ δ' ἐν ἡλικίᾳ ἅθροοι πρὸς τοὺς ἐναντίους ὥρμησαν καὶ προθύμως ἀγωνιζόμενοι κατεκόπησαν.

ΚΒ'. Καὶ δι' αὐτοὺς οἱ Ῥωμαῖοι καὶ οἱ Καρχηδόνιοι ἐπολέμησαν. Ὁ γὰρ Ἀννίβας, καὶ συμμάχους πολλοὺς προσλαβών, εἰς τὴν Ἰταλίαν ἠπείγετο. Πυθόμενοι δὲ ταῦθ' οἱ Ῥωμαῖοι συνῆλθον εἰς τὸ συνέδριον, καὶ ἐλέχθη μὲν πολλά. Λούκιος δὲ Κορνήλιος Λέντουλος ἐδημηγόρησε καὶ εἶπε μὴ μέλλειν, ἀλλὰ πόλεμον κατὰ τῶν Καρχηδονίων ψηφίσασθαι, καὶ διχῇ διελεῖν καὶ τοὺς ὑπάτους καὶ τὰ στρατεύματα· καὶ τοὺς μὲν εἰς τὴν Ἰβηρίαν, τοὺς δὲ εἰς τὴν Λιβύην πέμψαι, ἵν' ὑπὸ τὸν αὐτὸν χρόνον ἥ τε χώρα αὐτῶν πορθῆται καὶ οἱ σύμμαχοι κακουργῶνται, καὶ μήτε τῇ Ἰβηρίᾳ βοηθῆσαι δύνωνται μήτ' ἐκεῖθεν αὐτοῖ ἐπικουρηθῶσι. Πρὸς ταῦτα Κόϊντος Φάβιος Μάξιμος ἀντέθετο, μὴ οὕτως ἐκ παντὸς τρόπου τὸν πόλεμον δεῖν ψηφίσασθαι, ἀλλὰ πρεσβείᾳ χρήσασθαι πρότερον. Κἂν μὲν πείσωσιν ὅτι οὐδὲν ἀδικοῦσιν, ἡσυχίαν ἄγειν· ἂν δ' ἀδικοῦντες ἁλῶσι, τότε πολεμῆσαι αὐτοῖς, ἵνα καὶ τὴν αἰτίαν τοῦ πολέμου ἐς αὐτοὺς ἀπωσώμεθα. Αἱ μὲν οὖν ἀμφοῖν δόξαι τοιαῦται ἦσαν, ὡς ἐν κεφαλαίῳ εἰπεῖν. Τῇ δὲ βουλῇ παρᾴσκευάζεσθαι μὲν ἔδοξε πρὸς τὴν μάχην, πρέσβεις δὲ εἰς τὴν Καρχηδόνα στεῖλαι, καὶ τοῦ Ἀννίβου κατηγορῆσαι. Καὶ εἰ μὲν μὴ ἐπαινοῖεν τὰ πραχθέντα, δικάσαι· εἰ δ' εἰς ἐκεῖνον αὐτὰ ἀναφέροιεν, ἐξαιτήσασθαι αὐτόν· κἂν μὴ ἐκδῶσι, τὸν πόλεμον ἐπαγγεῖλαι αὐτοῖς. Τῶν γοῦν πρέσβεων ἀπελθόντων, οἱ Καρχηδόνιοι τὸ ποιη-

A sedulo mœnia oppugnat, multi ex ejus militibus cadunt, pluribus vulneratis : et cum aliquando Carthaginienses muri partem dejecissent, et per ruinas penetrare conarentur, a Saguntinis eruptione facta, repulsi cesserunt : imminuta audacia, oppidanorum vero animi aucti sunt. Neque tamen ab obsidione destiterunt, in mensem octavum usque prorogata : quo temporis spatio cum alia multa, eaque incommoda evenerunt, tum Annibal graviter vulneratus est. Urbs autem sic capta est. Machinam adduxerunt, quæ mœnia multum superaret, armatis partim conspicuis, partim occultis refertam. Dum autem Saguntini cum iis duntaxat quos videbant, acrius pugnant, solos eos esse opinati, occulti suffosso muro, vi in urbem penetrarunt. Saguntini re inopinata perterriti, in arcem accurrerunt : habitoque colloquio, tolerabilibus conditionibus salutem impetrare studuerunt. Annibale vero nihil moderati postulante, neque Romanis quidquam opis ferentibus, efflagitarunt, ut oppugnatione intermissa, rebus suis consulendi spatium daretur. Interea pretiosissimis quibusque rebus igni absumptis, homines imbelles sibi ipsi manus attulerunt : qui erant ætate integra, subito in hostes impetu facto, strenue dimicantes occubuerunt.

XXII. Hæc Romanis et Carthaginiensibus belli causa fuit. Nam eum Annibalem multis sociis asciscitis in Italiam properare Romani audivissent, indicto concilio multa verba facta sunt. Verum L. Cornelius Lentulus pro concione dixit, non esse cunctandum, sed bellum contra Carthaginienses decernendum, et tam consules quam exercitus bifariam dividendos, et alterum in Hispaniam, alterum in Lybiam mittendum : ut eodem tempore et ager eorum vastaretur, et socii vexarentur : neque Hispaniæ opem ferre, neque inde auxilia exspectare hostes possent. Ad hæc Q. Fabius Maximus respondit, non adeo præcipitanter bellum esse decernendum, sed legatos prius mittendos. Quod si crimina purgarint, quiescendum : sin injuriarum convincantur, **408** tum demum bello petendos esse, ut etiam causa belli in illos transferatur. Ac utriusque sententia summatim hæc fuit : senatui autem placuit, se et ad bellum parare, et legatis Carthaginem missis Annibalem accusare. Quod si illa improbarent, jure agendum : sin illi imputarent, eum deposcendum : si non dederent, bellum eis indicendum. Legatis digressis, Carthaginienses quid agendum esset deliberabant. Asdrubal vero unus ex iis quos Annibal subornarat, auctor fuit veteris libertatis recuperandæ : et servitutis, quam

Variæ lectiones et notæ.

(31) *Προσκείμενοι.* Ita reposuimus ex mss., ubi Wolfius *προκείμενοι* ediderat.

pax attulisset, tum pecuniis, tum copiis, tum sociis comparatis repudiandæ; subjecitque: *Si vel soli Annibali suo arbitratu rem gerere permisissent, omnia rite administratum iri, et ipsos omni laboris molestia carituros.* Illo hæc loculo, magnus Hanno contra, non temere, neque ob parva et aliena crimina bellum in rempublicam retrahendum esse censuit, cum alia purgare, alia in auctores transferre liceat. Qui cum dicendi finem fecisset, Carthaginiensium seniores, primique belli memores, illi sunt assensi: cæteri adolescentes, iique potissimum qui Annibalis causam agebant, acriter adversati sunt. Ut autem nihil certi responsi dederunt, legatosque neglexerunt, M. Fabius sinu ex toga facto: *Hic*, inquit, *vobis bellum et pacem porto: utrum placet, sumite.* Cum respondissent se neutrum quidem sumere, sed utrum dedisset alacriter accepturos, bellum eis statim indixit. Hoc igitur modo, et his de causis inter Carthaginienses et Romanos alterum bellum est conflatum, futuraque divinitus denuntiata sunt. Nam Romæ bos humana voce locutus est; et alius ludis Romanis ex ædibus se in Tiberim præcipitavit, ac periit; fulmina multa sunt delata; sanguis tum e statuis manavit, tum e militis cujusdam clypeo; alterius ensem lupus ex ipsis castris rapuit. Annibali vero multæ ignotæ bestiæ Iberum transeunti, veluti viam monstrarunt; et somnium hujusmodi apparuit. Aliquando sibi visus est a diis in concilio sedentibus accersi, et quamprimum in Italiam exercitum ducere juberi: ab eisque ducem itineris accepisse, quem non respectans sequeretur. Sed cum se **409** convertisset, magnam ingruere tempestatem vidisse, draconemque sequi ingentis magnitudinis. Quæ cum miraretur, ductorem rogasse, quidnam ea sibi vellent? qui responderit: *Ea illi ad vastitatem Italiæ adjumento futura esse.*

τέον ἐσκόπουν. Καί τις Ἀσδρούβας, εἷς τῶν ὑπὸ τοῦ Ἀννίβου προπαρεσκευασμένων, συνεβούλευσε σφίσι χρῆναι τήν τε ἀρχαίαν ἐλευθερίαν ἀναχτήσασθαι, καὶ τὴν ἐκ τῆς εἰρήνης δουλείαν ἀποτρίψασθαι καὶ χρήμασι, καὶ δυνάμεσι, καὶ συμμάχοις συγκεχροτημένοις, ἐπαγαγὼν ὅτι, *Κἂν τῷ Ἀννίβᾳ μόνῳ ὅσα βούλεται πρᾶξαι ἐπιτρέψητε, καὶ τὰ προσήκοντα ἔσται, καὶ οὐδὲν αὐτοὶ ποιήσετε.* Τοιαῦτα δὲ αὐτοῦ εἰπόντος, Ἄννων ὁ μέγας ἐναντιούμενος τοῖς τοῦ Ἀσδρούβου λόγοις, γνώμην εἰσήνεγκε, μήτε ῥᾳδίως, μήτε μικρῶν καὶ ἀλλοτρίων ἐγκλημάτων ἕνεκα τὸν πόλεμον ἐφ' ἑαυτοὺς ἐπισπάσασθαι, παρὸν τὰ μὲν λῦσαι, τὰ δὲ ἐς τοὺς δράσαντας αὐτὰ τρέψαι. Καὶ ὁ μὲν ταῦτα εἰπὼν ἐπαύσατο. Τῶν δὲ Καρχηδονίων οἱ μὲν πρεσβύτεροι καὶ τοῦ πρὶν μεμνημένοι πολέμου, αὐτῷ συνετίθεντο· οἱ δ' ἐν ἡλικίᾳ, καὶ μάλισθ' ὅσοι τὰ τοῦ Ἀννίβου ἔπραττον, ἰσχυρῶς ἀντέλεγον. Ὡς δ' οὐδὲν σαφὲς ἀπεκρίναντο, καὶ ἐν ὀλιγωρίᾳ τοὺς πρέσβεις εἶχον, ὁ Μάρκος ὁ Φάβιος, τὰς χεῖρας ὑπὸ τὸ ἱμάτιον ὑποβαλών, καὶ ὑπτιάσας αὐτὰς, ἔφη· *Ἐγὼ μὲν ἐνταῦθ', ὦ Καρχηδόνιοι, καὶ τὸν πόλεμον καὶ τὴν εἰρήνην φέρω· ὑμεῖς δ' ὁπότερον αὐτῶν βούλεσθε ἕλεσθε.* Ἀποκριθέντων δὲ μηδέτερον μὲν αἱρεῖσθαι, δέχεσθαι δ' ἑτοίμως, ὁπότερον καταλείψουσιν· ἐπήγγειλεν αὐτοῖς αὐτίκα τὸν πόλεμον. Οὕτω μὲν καὶ διὰ ταῦτα οἵ τε Ῥωμαῖοι καὶ οἱ Καρχηδόνιοι τὸ δεύτερον ἐπολέμησαν, καὶ τὸ δαιμόνιον τὰ γενησόμενα προεσήμηνεν. Ἐν γὰρ τῇ Ῥώμῃ ἀνθρωπίνως ἐλάλησε βοῦς, καὶ ἕτερος ἐν τῇ τῶν Ῥωμαίων πανηγύρει ἐξ οἰκίας εἰς τὸν Τίβεριν ἑαυτὸν ἔρριψε, καὶ ἐφθάρη, κεραυνοί τε πολλοὶ ἐφέροντο, καὶ αἷμα τὸ μὲν ἐξ ἀγαλμάτων ὤφθη, τὸ δὲ ἐξ ἀσπίδος στρατιώτου ἐρρύη, ἑτέρου τε ξίφος ἐξ αὐτοῦ τοῦ στρατοπέδου λύκος ἥρπασε. Τῷ δ' Ἀννίβᾳ θηρία πολλὰ καὶ ἄγνωστα τὸν Ἴβηρα διαβαίνοντι προκαθηγήσατο, καὶ ὄψις ὀνείρου ἐφάνη. Ἔδοξε γάρ ποτε τοὺς θεοὺς ἐν ἐκκλησίᾳ καθημένους μεταπέμψασθαί τε αὐτὸν καὶ στρατεῦσαι ὅτι τάχιστα εἰς τὴν Ἰταλίαν προστάξαι, καὶ λαβεῖν παρ' αὐτῶν τῆς ὁδοῦ ἡγεμόνα, καὶ ἀμεταστρεπτὶ ὀπ' αὐτοῦ κελευσθῆναι ἕπεσθαι. Μεταστραφῆναι δὲ καὶ ἰδεῖν χειμῶνα μέγαν χωροῦντα, καὶ δράκοντα αὐτῷ ἐπακολουθοῦντα ἀμήχανον, καὶ θαυμάσαι ἔρεσθαί τε τὸν ἀγωγὸν, τί ταῦτα εἴεν· καὶ τὸν εἰπεῖν· *Ὦ Ἀννίβα, ταῦτα συμπορθήσοντά σοι τὴν Ἰταλίαν ἔρχεται.*

XXIII. Hæc bonam spem Annibali, Romanis magnum timorem attulerunt. Qui copiis et coss. bifariam distributis, Sempronium Longum in Siciliam miserunt, in Hispaniam P. Scipionem. Annibal vero impressionis in Italiam primo quoque tempore faciendæ cupidus, iter accelleravit: ac Galliam, quæ intra Pyrenæum et Rhodanum est, citra dimicationem transiit: neque quisquam cum eo congressus est, priusquam ad Rhodanum venisset. Ibi se illi ostendit Scipio: et quanquam ejus copiæ nondum advenissent, tamen cum popularibus, eorumque finitimis, naves quæ in flumine erant, communiit, alveumque custodiit. Annibal, etsi temporis aliquid instruendis ratibus, scaphis et lintribus consumpsit, tamen omnia ad trajectum necessaria, multitudine operarum prius paravit, quam Scipioni suæ legiones advenissent. Fratrem-

ΚΓ'. Ταῦτα τῷ μὲν Ἀννίβᾳ χρηστὴν ἐλπίδα, τοῖς δὲ Ῥωμαίοις δεινὴν ἐνεποίει ἐκφόβησιν. Διχῇ δὲ τὰς δυνάμεις οἱ Ῥωμαῖοι διελόντες, καὶ τοὺς ὑπάτους Σεμπρώνιον μὲν Λόγγον ἐς Σικελίαν ἔπεμψαν, ἐς δὲ τὴν Ἰβηρίαν Σκιπίωνα Πούπλιον. Ὁ δὲ Ἀννίβας, εἰς τὴν Ἰταλίαν ὡς τάχιστα ἐπιθυμῶν εἰσβαλεῖν, σπουδῇ ἐχώρει, καὶ πᾶσαν τὴν Γαλατίαν τὴν μεταξὺ τοῦ Πυρηναίου καὶ τοῦ Ῥοδανοῦ οὖσαν ἀμαχεὶ διῆλθε, καὶ μέχρι μὲν τοῦ ποταμοῦ Ῥοδανοῦ οὐδεὶς εἰς χεῖρας ἦκεν αὐτῷ. Ἐκεῖ δ' ὁ Σκιπίων ἐπεφάνη, καίπερ μὴ παρούσης αὐτῷ τῆς δυνάμεως, ὅμως μετὰ τῶν ἐπιχωρίων καὶ τῶν αὐτοῖς προσοίκων· τά τε πλοῖα τὰ ἐν τῷ ποταμῷ προδιέφθειρε, καὶ τὸ ῥεῦμα αὐτοῦ διὰ φυλακῆς ἐποιήσατο. Ὁ οὖν Ἀννίβας ἔτριψε μέν τινα χρόνον, καὶ σχεδίας, καὶ σκάφη, ἄλλα τε καὶ μονόξυλα κατασκευάζων. Ἔφθη δ' οὖν ὑπὸ πολυχειρίας τὰ πρὸς περαίωσιν

ἀναγκαῖα πάντα, πρὶν τῷ Σκιπίωνι τὸ οἰκεῖον ἀφικέσθαι στράτευμα, προετοιμασάμενος, καὶ τὸν ἀδελφὸν Μάγωνα σὺν τοῖς ἱππεῦσι καὶ ψιλοῖς τισιν, ᾗ σκεδάννυται ὁ ποταμὸς ἐπὶ πολὺ καὶ νήσοις διαλαμβάνεται, διαβησόμενον ἔπεμψεν. Αὐτὸς δὲ κατὰ τὸν ἐμφανῆ πόρον ἐχώρει· δῆθεν, ἵν' οἱ Γαλάται ἀπατηθείεν, πρὸς αὐτὸν ἀντιταττόμενοι, καὶ ἀμελέστερον ἐν ἄλλοις τοῦ ποταμίου τὴν φυλακὴν θῶνται. Ὃ καὶ γέγονε. Καὶ ὁ Μάγων διέβη τὸν ποταμόν· ὁ δὲ Ἀννίβας καὶ οἱ περὶ αὐτὸν κατὰ τὸν πόρον ἐπεραιοῦντο· καὶ γενόμενοι κατὰ τὸ μέσον, ἠλάλαξαν, καὶ οἱ σαλπιγκταὶ δὲ συνήχησαν· καὶ ὁ Μάγων κατὰ νώτου τοῖς ἀνθεστηκόσι προσέπεσε, καὶ οὕτως οἵ τε ἄλλοι καὶ οἱ ἐλέφαντες ἀκινδύνως ἐπεραιώθησαν. Ἄρτι δὲ περαιωθέντων αὐτῶν, καὶ τῷ Σκιπίωνι οἰκεία ἀφίκετο δύναμις. Πέμψαντες οὖν εἰς προσκοπὴν ἱππέας ἀμφότεροι, τοιούτῳ τέλει τῆς ἱππομαχίας ἐχρήσαντο, ὁποῖον ὁ σύμπας ἔσχηκε πόλεμος. Οἱ γὰρ Ῥωμαῖοι καὶ ἔλαττον τὴν πρώτην ἐνεγκάμενοι, καὶ συχνοὺς ἀποβαλόντες ἐνίκησαν· ἐντεῦθεν Ἀννίβας, ἀπιέναι πρὸς Ἰταλίαν σπεύδων, ὑποπτεύων δὲ τὰς ἐπιτομωτέρας τῶν ὁδῶν, ἐκείνας μὲν παρεξῆλθεν, ἑτέραν δὲ πορευθεὶς ἰσχυρῶς ἐπόνησε· τά τε γὰρ ὄρη ἐκεῖνα ἀποτομώτατά ἐστι, καὶ ἡ χιὼν πολλὴ γενομένη, καὶ τὰς φάραγγας ὑπ' ἀνέμων πληρώσασα, καὶ ὁ κρύσταλλος ἰσχυρότατα παγείς, δεινῶς σφᾶς ἐταλαιπώρησε· καὶ πολλοὶ τῶν αὐτοῦ στρατιωτῶν ὑπό τε τοῦ χειμῶνος, καὶ ὑπὸ σιτοδείας ἀπώλοντο, πολλοὶ δὲ καὶ οἴκαδε ἀνεχώρησαν. Ἔχει δὲ λόγος ὅτι καὶ αὐτὸς ἀνέστρεψεν ἄν, εἰ μὴ πλείων καὶ ἀπορωτέρα ἡ προδιηνυσμένη ὁδὸς τῆς λειπομένης ἐτύγχανε. Διὰ μὲν δὴ τοῦτο οὐκ ἀπετράπετο· ἐξαπίνης δὲ ἐκτὸς τῶν Ἄλπεων ἐκφανείς, θαῦμα καὶ δέος τοῖς Ῥωμαίοις ἐνέβαλε. Καὶ ὁ μὲν προεχώρει τὰ ἐν ποσὶ προσποιούμενος. Σκιπίων δὲ τὸν μὲν ἀδελφὸν Γάϊον Σκιπίωνα ὑποστρατηγοῦντα αὐτῷ εἰς τὴν Ἰβηρίαν ἔπεμψεν, ὡς καταληψόμενον αὐτὴν ἢ τὸν Ἀννίβαν ἐπανάξοντα. Αὐτὸς δ' ἐπὶ τὸν Ἀννίβαν ἦλασε, καὶ ἡμέρας μέν τινας ἐπέσχον, ἔπειτα ἄμφω πρὸς τὴν μάχην ὥρμησαν. Πρὶν δὲ δὴ ἔργου ἔχεσθαι, συγκαλέσας ὁ Ἀννίβας τοὺς στρατιώτας, παρήγαγε τοὺς αἰχμαλώτους, οὓς κατὰ τὴν ὁδὸν εἵλῃφει, καὶ ἤρετο αὐτοὺς πότερον δεδέσθαι καὶ δουλεύειν κακῶς βούλοιντο, ἢ μονομαχῆσαι ἀλλήλοις, ὥστ' ἀφεθῆναι προῖκα τοὺς νικήσαντας. Καὶ ὡς τὸ δεύτερον εἵλοντο, συνέβαλεν αὐτούς, καὶ μαχεσαμένων ἐδημηγόρησε, τοὺς οἰκείους στρατιώτας ἐπιρρωννὺς καὶ παραθήγων εἰς πόλεμον. Τοῦτο δ' ἑτέρωθεν καὶ ὁ Σκιπίων ἐποίησεν. Εἶτα συνῆλθον μὲν ὡς ὅλοις τοῖς στρατοπέδοις μαχούμενοι. Ὁ Σκιπίων δὲ, προσυμμίξας τῷ ἱππικῷ καὶ ἡττηθεὶς συχνούς τε ἀποβαλὼν καὶ αὐτὸς τρωθείς, ἀποθανών τ' ἂν, εἰ μὴ περ αὐτῷ Σκιπίων ὁ υἱὸς, καίπερ ὢν ἐπταεκαιδεκαέτης, ἐπήμυνε, κατέδεισε μὴ καὶ τῷ πεζῷ σφαλῇ, καὶ αὐτίκα τε ἐπανήγαγε καὶ τῆς νυκτὸς ὑπεχώρησεν.

ΚΔ'. Ἀννίβας δὲ μεθ' ἡμέραν τὴν ἀποχώρησιν αὐτοῦ μαθών, πρὸς τὸν Ἠριδανὸν ἦλθε, καὶ μήτε σχεδίας ἢ πλοῖα εὑρὼν (ἐνεπέπρηστο γὰρ παρὰ τοῦ Σκιπίωνος), τὸν μὲν ἀδελφὸν Μάγωνα σὺν τοῖς ἱππεῦσι διανήξασθαι καὶ ἐπιδιῶξαι τοὺς Ῥωμαίους ἐκέλευσεν· αὐτὸς δὲ, ἄνω πρὸς τὰς πηγὰς χωρήσας τοῦ ποταμοῦ, τοὺς ἐλέφαντας κατὰ τὸν ἐπίρρουν

A que Magonem cum equitibus et velitibus nonnullis, qua amnis late spargitur, et insulis distinguitur, trajicere jussit. Ipse ad evidens vadum contendit: nimirum ut Galli, dum ipsi obsisterent, fallerentur, et in aliis ripis fluminis negligentius custodias haberent. Itaque contigit. Cum Magon flumen transmisisset, Annibal suique vadum ingressi, ubi ad medium pervenere, clamorem sustulerunt et classico cecinerunt: et Magone adversarios a tergo adorto, et cæteri et elephantes citra periculum transierunt. Vix transierant, cum Scipionis copiæ advenerunt. Cum igitur utrinque speculatum equites misissent, is equestris prælii fuit exitus, qui belli totius. Romani enim principio inferiores, multis amissis, vicerunt. Inde Annibal in Italiam properans, cum vias compendiosiores suspectas haberet: illis vitatis, atque aliis tramitibus quæsitis, magnas aerumnas toleravit. Nam et montes admodum prærupti, et valles flatu ventorum profundis nivibus expletæ, et glacies densissima **410** graviter exercitum afflixerunt: multique milites vel hiemе, vel inedia perierunt: multi etiam domum redierunt. Fertur et ipse Annibal reverti voluisse, nisi confectum iter longius et difficilius fuisset eo quod restabat. Eaque de causa cœptis non destitit: ac subito extra Alpes conspectus, admirationem simul et terrorem Romanis injecit, interque progrediendum obvia quæque subegit. Scipio fratrem C. Scipionem, legatum suum, in Hispaniam misit, ut aut eam occuparet, aut Annibalem eo retraheret: ipse contra Annibalem est profectus. Ac dies quidem aliquot quieverunt, deinde autem ambo pugnæ se pararunt. Sed priusquam ad manus veniretur, Annibal, militibus convocatis, in itinere captos produxit in medium, rogans utrum vincti duram perpeti servitutem mallent, an inter sese singulari certamine congredi, ut victores gratis manumitterentur? Ut posterius prætulerunt, eos inter se commisit: peractoque certamine, militum suorum animos pro concione confirmavit, atque ad bellum acuit. Idem et Scipio ex altera parte fecit. Deinde ita congressi sunt, quasi cum totis exercitibus conflicturi essent. Sed Scipio equestri prælio in primis tentato, multis amissis victus et vulneratus, atque adeo perimendus, nisi a filio septendecim annos nato protectus esset: timens ne pedites etiam succumberent, statim receptui cecinit, ac noctu recessit.

XXIV. Annibal, ejus discessu mane cognito, ad Eridanum venit: ubi cum ne unam quidem ratem invenisset (cremarat enim omnia navigia Scipio), fratrem Magonem cum equitibus tranare jussit, Romanosque persequi: ipse sursum ad fontes amnis profectus, elephantes, qua flumen concitatius fertur, traducit: et aqua in belluarum mole

resistente et sparsa, facilius infra eos transiit. Scipio ab hostibus deprehensus, se loco non movit. Ac pugnam iniisset, nisi Gallica auxilia noctu ad hostes transfugissent. Ea re turbatus, et dolore vulneris vexatus, sub noctem castra in editiorem locum transtulit, vallumque communiit, persequente nemine. Deinde Carthaginienses venerunt, et flumine interjecto **411** castrametati sunt. Dum Scipio tum ex dolore vulneris, tum ob acceptam cladem sese continens, plures copias exspectat, Annibal multis frustra tentatis; ut eum ad pugnam eliceret, cum penuria commeatus laboraret, castellum quoddam est adortus, in quo Romani multum frumenti repositum habebant : et quia vi nihil proficiebat, castellanum pecunia corrumpit, ut id sibi prodat : quo occupato, etiam cæteris partim vi, partim auro se potiturum speravit. Interea Longus, Siciliam legato credita, accersitus ad Scipionem venit : nec multo post ex ambitione, et quod prædatores quosdam superarat, dum in pugnam ruit, in insidias delapsus impingit, et ab Annibale cum equitibus et elephantis in fugam convertitur : in qua multi cæsi, multi temere in fluvium præcipitati perierunt, pauci cum Longo evasere. Annibal vero ea victoria non est lætatus, quod et milites multos et elephantos omnes præter unum, frigore et vulneribus confectos amiserat. Factis igitur sine fœdere induciis, utrique ad socios se contulerunt, et in eorum urbibus hiberna- C runt. Ac Romanis commeatus abunde suppetebat. Annibal autem cum ea quæ socii dabant, satis non essent, Romanorum pagos et oppida invadendo, alias vincebat, alias repellebatur : aliquando equestri certamine a Longo victus, vulnus accepit. Unde quidam ex Romanis sumpta fiducia, per sese contra eum mœnia oppugnantem, eruperunt. Sed et illi cæsi sunt, et oppidum facta deditione eversum : et ex captivis Romani omnes interfecti, cæteri dimissi. Eamdem rationem in omnibus captivis observavit, ut per eos urbes sibi conciliaret. Quin ex reliquis etiam Gallis, Liguribus et Etruscis multi, Romanis in suis oppidis partim occisis, partim deditis, defecerunt. Annibal in Etruriam iturus, a Longo magna tempestate lacessitus est : et multis utrinque cæsis, in Liguriam profectus, diu ibi se D continuit, suos quoque suspectos habens, nemini temere credens : sed et veste mutata et coma apposititia utens, et alias alia lingua loquens (plures enim norat, ipsamque Latinam) et noctu et interdiu plurima et videbat **412** et audiebat : quædam etiam loquebatur, persona sua dissimulata.

διαβῆναι προσέταξε. Καὶ οὕτω τοῦ ὕδατος περὶ τοῖς ὄγκοις τῶν ζώων ἐμποδιζομένου, καὶ σκεδαννυμένου ῥᾷον κάτω σφῶν διεπεραιώθη. Καταληφθεὶς οὖν ὁ Σκιπίων κατὰ χώραν ἔμεινε. Καὶ ἐμαχέσατ' ἄν, εἰ μὴ νυκτὸς οἱ Γαλάται, οἱ μετ' αὐτοῦ ηὐτομόλησαν. Ὁ δ' οὖν Σκιπίων, ἐπὶ τούτῳ ταραχθείς, καὶ ὑπὸ τοῦ τραύματος ταλαιπωρήσας, ὑπὸ νύκτα αὖθις ἐξανέστη, καὶ ἐπὶ μετεώρου τὸ τάφρευμα ἐποιήσατο. Δίωξις δὲ αὐτοῦ οὐκ ἐγένετο. Μετὰ δὲ τοῦτο ἀφίκοντο καὶ οἱ Καρχηδόνιοι, καὶ τὸν ποταμὸν διὰ μέσου ποιησάμενοι, ἐστρατοπεδεύσαντο. Ὁ μὲν οὖν Σκιπίων διά τε τὸ τραῦμα καὶ διὰ τὰ συμβεβηκότα ἀνεῖχε καὶ δύναμιν μετεπέμπετο· Ἀννίβας δὲ, πολλὰ πειράσας παρακινῆσαι πρὸς μάχην αὐτὸν, ἐπεὶ οὔτε τοῦτ' ἠδυνήθη, καὶ τροφῆς ἐπάνισε, φρουρίῳ προσέβαλεν, ἐν ᾧ σῖτος πολὺς τῶν Ῥωμαίων ἔκειτο. Καὶ μηδὲν περαίνων, τὸν φρούραρχον διέφθειρε χρήμασι, κἀκεῖνό τε προδοθὲν ἔλαβε, καὶ τὰ ἄλλα σχεῖν τὰ μὲν ὅπλοις, τὰ δὲ χρυσίῳ ἐπήλπισε. Κἀν τούτῳ ὁ Λόγγος, τὴν Σικελίαν τῷ ὑποστρατήγῳ πιστεύσας, πρὸς τὸν Σκιπίωνα κεκλημένος ἀφίκετο· καὶ οὐ πολλῷ ὕστερον ὑπὸ φιλοτιμίας, καὶ ὅτι τινὰς καταπρέχοντας τὴν χώραν ἐκράτησεν, εἰς παράταξιν ὥρμησε, καὶ ἐσφάλη ἐνέδραις περιπεσών· καὶ τοῦ Ἀννίβα ἐπεξελθόντος μετὰ τῶν πεζῶν καὶ τῶν ἐλεφάντων, οἱ μετ' αὐτοῦ ἐτράπησαν εἰς φυγήν, καὶ πολλοὶ διεφθάρησαν φόνῳ, πολλοὶ δὲ καὶ εἰς τὸν ποταμὸν ἀπερισκέπτως ἐμπεσόντες ἐπνίγησαν, ὡς ὀλίγους μετὰ τοῦ Λόγγου περισωθῆναι. Νικήσας μέντοι ὁ Ἀννίβας, οὐκ ἔχαιρεν, ὅτι στρατιώτας τε πολλοὺς καὶ τοὺς ἐλέφαντας πλὴν ἑνὸς ὑπὸ τοῦ χειμῶνος καὶ τῶν τραυμάτων ἀπέβαλεν. Ἀνοχὴν οὖν ἄσπονδον ποιησάμενοι, πρὸς τὴν συμμαχίδα σφῶν ἑκάτεροι ἐχώρησαν, κἀν ταῖς πόλεσιν αὐτῶν ἐχείμαζον. Καὶ τοῖς μὲν Ῥωμαίοις ἄφθονα ἐφοίτα τὰ ἐπιτήδεια· Ὁ δ' Ἀννίβας, οὐκ ἀρκούμενος τοῖς παρὰ τῶν συμμάχων διδομένοις, ταῖς τε κώμαις καὶ ταῖς πόλεσι τῶν Ῥωμαίων προσπίπτων, τὰ μὲν ἐκράτει, τὰ δ' ἀπεκρούετο, καί ποτε τῷ ἱππικῷ ὑπὸ τοῦ Λόγγου νικηθεὶς ἐτρώθη. Θαρσήσαντες οὖν ἐκ τούτου τινὲς τῶν Ῥωμαίων, καὶ καθ' ἑαυτοὺς προσβάλλοντι αὐτοῖς ἐπαξῆλθον, κἀκείνους τε ἔφθειρε, καὶ τοῦ χωρίου ὁμολογίᾳ ἐκράτησε. Καὶ αὐτὸ μὲν κατέσκαψε· τῶν δ' αἰχμαλώτων τοὺς μὲν Ῥωμαίους ἀπέκτεινε, τοὺς δ' ἄλλους ἀφῆκε· τοῦτο δὲ ἐφ' ἅπασι τοῖς ζωγρουμένοις ἐποίει, τὰς πόλεις δι' αὐτῶν οἰκειούμενος. Ἀμέλει καὶ τῶν λοιπῶν Γαλατῶν πολλοὶ καὶ Λιγύων καὶ Τυρσηνῶν τοὺς Ῥωμαίους τοὺς παρ' αὐτοῖς ὄντας οἱ μὲν φονεύσαντες οἱ δὲ ἐκδόντες μετέστησαν· ἐς δὲ τὴν Τυρσηνίδα τῷ Ἀννίβᾳ πορευομένῳ ὁ Λόγγος ἐπέθετο, χειμῶνος πολλοῦ γενομένου. Ἡσσόντων δὲ ἀμφοτέρους πολλῶν, ὁ Ἀννίβας, ἐς τὴν Λιγυστικὴν ἐλθών, ἐνδιέτριψεν· ὑποπτεύων δὲ καὶ τοὺς ἑτέρους, οὐδενὶ ῥᾳδίως ἐπίστευεν, ἀλλὰ τὴν ἐσθῆτά τε μεταβάλλων καὶ κόμαις χρώμενος περιθέτοις, τήν τε διάλεξιν ἄλλοτε ἄλλην ποιούμενος (ἤδει γὰρ πλείους, καὶ τὴν τῶν Λατίνων) καὶ νύκτωρ καὶ μεθ' ἡμέραν πολλὰ ἐπεσκόπει ἠκουέ τε πλεῖστα ὡς οὐκ Ἀννίβας, καί τινα ὡς ἕτερός τις ἐφθέγγετο.

XXV. Dum hæc in Italia geruntur, alter Scipio Caius in Hispaniis appulit : et oram ejus maritimam omnem usque ad Iberum, multa etiam supe-

ΚΕ'. Ἐν μὲν οὖν τῇ Ἰταλίᾳ ταῦτα ἐγίνετο. Ὁ δ' ἕτερος Σκιπίων ὁ Γάϊος εἰς τὴν Ἰβηρίαν περέπλευσε, καὶ τὰ παραθαλάσσια αὐτῆς μέχρι τοῦ Ἴβη

ρος πάντα καὶ τῶν ἄνω συχνὰ τὰ μὲν βίᾳ, τὰ δ' ἑκόντα προσείληφε, καὶ τὸν Βαννῶνα (32) μάχῃ νικήσας ἐζώγρησεν. Ὁ δὲ τοῦ Ἀννίβου ὁμαίμων Ἀσδρούβας, μαθὼν ταῦτα, διέβη τὸν Ἴβηρα, καὶ τῶν μεταστάντων τινὰς ἐπηγάγετο· τοῦ δὲ Σκιπίωνος ἐπελθόντος αὐτῷ, ἀνεχώρησεν. Οἱ δ' ἐν τῇ Ῥώμῃ τὸν Φλαμίνιον καὶ τὸν Γάϊον αὖθις ὑπάτους εἵλοντο. Ἀννίβας δ' ἅρτι τοῦ ἔαρος ἐπιστάντος, ὡς ἔγνω τὸν Φλαμίνιον μετὰ τοῦ Σερουΐλίου Γεμίνου χειρὶ πολλῇ ἐπ' αὐτὸν ἰόντα, πρὸς ἐξαπάτην αὐτῶν ἐτράπη, καὶ πλαττόμενος ἐνδιατρίψειν ἐκεῖ καὶ μάχην συνάψειν, ἐπεὶ νομίσαντες αὐτὸν οἱ Ῥωμαῖοι κατὰ χώραν μένειν, ἀμελῶς τῶν ὁδῶν ἔσχον, ἐπὶ τοῦ στρατοπέδου τοὺς ἱππέας κατέλιπεν. Αὐτὸς δ' ὑπὸ νύκτα ἅρας τά τε στενόπορα μεθ' ἡσυχίας διῆλθε καὶ πρὸς Ἀρίτιον ἠπείγετο. Καὶ οἱ ἱππεῖς, ἐπεὶ πολὺ προῆλθεν, ἀπῆσαν αὐτῷ ἐφεπόμενοι· οἱ δ' ὕπατοι, γνόντες ἠπατημένοι, Γεμῖνος μὲν αὐτοῦ ὑπέμεινε, τούς τ' ἀφεστηκότας κακώσων καὶ κωλύσων ἐπικουρῆσαι Καρχηδονίοις· Φλαμίνιος δὲ μόνος ἐδίωκεν, ἵν' αὐτοῦ μόνου τὸ ἔργον τῆς νίκης, ὡς ᾤετο, γένηται, καὶ τὸ Ἀρίτιον προκατέλαβεν. Ὁ γὰρ Ἀννίβας, συντομωτέραν τραπόμενος, δυσόδοις ἐνέτυχε, καὶ ἀνθρώπους συχνούς, καὶ πολλὰ ὑποζύγια, καὶ τὸν ἕτερον τῶν ὀφθαλμῶν ἀπέβαλεν. Ὀψὲ δ' οὖν πρὸς τὸ Ἀρίτιον ἐλθὼν, καὶ εὑρὼν ἐκεῖ τὸν Φλαμίνιον, κατεφρόνησεν αὐτοῦ, καὶ μάχῃ μὲν οὐ συνέβαλε (τὸ γὰρ χωρίον ἀνεπιτήδειόν οἱ ἐδόκει), πεῖραν δὲ αὐτοῦ ποιούμενος, ἔκειρε τὴν χώραν· κἀν τούτῳ ἐπεκδραμόντων τῶν Ῥωμαίων, ἐπανήγαγεν, ἵνα φοβεῖσθαι δόξῃ. Τῆς δὲ νυκτὸς ἐξαναστάς, ἐπιτήδειόν τι χωρίον πρὸς τὴν μάχην εὑρὼν, ἔμεινε. Καὶ τοῦ μὲν πεζοῦ τὸ πλεῖον κατὰ τὰ ὄρη λοχᾶν ἔταξε, τὸ δ' ἱππικὸν σύμπαν ἔξω τῶν στενῶν ἀφανῶς ἐξελθεῖν ἐκέλευσε, καὶ αὐτὸς ἐπὶ τοῦ γηλόφου μετ' ὀλίγων ἐστρατοπεδεύσατο. Ὁ δὲ Φλαμίνιος ἐν φρονήματι ὢν, καὶ ἐπὶ μετεώρου σὺν ὀλίγοις αὐτὸν ἰδὼν, τήν τε λοιπὴν στρατιὰν πόρρω που πεπομφέναι νομίσας, ῥᾳδίως μεμονωμένον αἱρήσειν ἤλπισε, καὶ ἐς τὸ στενὸν ἀπερισκέπτως εἰσῆλθε, κἀνταῦθα (ὀψὲ γὰρ ἦν) ηὐλίσατο, καὶ ὑπὸ μέσας νύκτας ὑπὸ καταφρονήσεως αὐτοὺς ἀφυλάκτους καθεύδοντας παντα-χόθεν ὁμοῦ περιέσχον οἱ Καρχηδόνιοι καὶ πόρρωθεν ἀκοντίοις καὶ σφενδόναις καὶ τοξεύμασι, τοὺς μὲν εὐναζομένους ἔτι, τοὺς δὲ τὰ ὅπλα λαμβάνοντας ἔκτεινον, αὐτοὶ μή τι δεινὸν ἀντιπάσχοντες· οἱ γὰρ Ῥωμαῖοι, μηδενὸς αὐτοῖς συμπλεκομένου, σκότους τε καὶ ὁμίχλης οὔσης, οὐκ εἶχον τῇ σφετέρᾳ χρήσασθαι ἀρετῇ. Τοσοῦτος δ' ἐγένετο θόρυβος, καὶ τοιαύτη ταραχώδης ἔκπληξις κατέσχεν αὐτούς, ὡς μηδὲ τῶν σεισμῶν τῶν τότε γενομένων αἰσθέσθαι, καίπερ πολλὰ μὲν οἰκοδομήματα κατερράγη, πολλὰ δὲ καὶ τῶν ὀρῶν τὰ μὲν διέσχε, τὰ δὲ καὶ συνέπεσεν, ὡς καὶ τὰς φάραγγας ἐμφράξαι, καὶ ποταμοὶ δὲ τῆς ἀρχαίας ἐξόδου ἀποκλεισθέντες ἄλλην ἐτράποντο. Τοιοῦτοι σεισμοὶ μὲν τὴν Τυρσηνίδα κατ-

A riora loca, partim vi, partim deditione, Bannonem quoque prælio victum cepit. Quibus Asdrubal frater Annibalis cognitis, Ibero superato, et quibusdam ex iis qui defecerant receptis, Scipioni contra se eunti cessit. Romani Flaminium et Caium denuo consules crearunt. Annibal ubi ineunte vere, Flaminium et Servilium Geminum cum magna manu adventare cognovit, ad eos decipiendos conversus, neque ibi moraturum et pugnæ copiam illis facturum simulando, dum Romani verum id esse rati, vias negligenter custodiunt, equitibus in castris relictis, noctuque sarcinis collectis, et angustiis per otium superatis, Aretium contendit : equitibus etiam, cum longe processisset, consecutis. Consules ut se deceptos esse senserunt, Geminus ibi mansit, ut eos qui defecerant vexaret, et Carthaginiensibus opem ferre prohiberet. Flaminius vero solus abeuntes persecutus, ut victoria scilicet sui unius esset, Aretium ante occupavit. Nam Annibal dum compendia quærit, in invia incidit ; multosque mortales, multa jumenta, et alterum oculum amisit. Sero tandem ad Aretium progressus, Flaminium illic inventum contempsit : ac pugna quidem abstinuit (locus enim incommodus videbatur), sed hominis ingenium periclitans, agrum vastavit. Cum vero Romani excurrissent, simulato metu reduxit exercitum : et noctu castris promotis, locoque pugnæ idoneo capto, peditum partem maximam in montibus in insidiis collocavit, equitatum omnem extra angustias clam in subsidiis esse jussit, ipse in tumulo cum paucis castra habuit. At Flaminius sibi fidens, cum eum cum paucis in colle vidisset, et longe ablegasse reliquum exercitum putaret, spe ejus ita destituti facile capiendi concepta, temere angustias est ingressus, ibique (serum enim diei erat) quievit. Sub noctem mediam Carthaginienses eos sine excubiis (adeo sibi prælidebant) dormientes, cum **413** eodem tempore ab omni parte circumdederunt : atque eminus jaculis, fundis, sagittis, alios cubantes adhuc, alios arma induentes, impune occiderunt. Romani enim in tenebris et nebula nemine cominus congresso, virtute sua uti non potuerunt. Tantus autem tumultus fuit, tanta perturbatio, tantus terror eos invasit, ut terræmotus qui tum fiebant, non sentirent, quamvis multa ædificia corruerent, multi montes partim finderentur, partim collapsi valles complanarent, et flumina veteribus alveis exclusa, alio verterentur. Quæ cum in Etruria fierent, a pugnantibus non sunt animadversa. Cecidit ipse Flaminius, et maxima multitudo : complures etiam tumulo quodam occupato, ubi diluxit, fuga salutem quæsituri, capti, arma et semetipsos, impunitate promissa, dediderunt. Sed Annibal jurisjurandi parum memor, omnes captivos qui in castris erant, ex subditis et sociis Ito-

Variæ lectiones et notæ.

(32) *Βαννῶνα.* Ita Regii et Colbert. Wolfius Βαανῶνα ediderat.

manorum dimisit : Romanos ipsos in vinculis asservavit. His actis, itinere Romam intento, Narniam usque agros vastando, et urbes subigendo, Spoleto excepto, progressus, C. Centenium prætorem circumventum, evitatis ejus insidiis, occidit. A Spoleto repulsus, cum pontem Naris dejectum vidisset, idemque cæteris fluminibus, quæ transire necesse habebat, esse factum audisset : omisso Romano itinere, in Campaniam se convertit, cujus solum fertilissimum, et urbem Capuam maximam esse audiebat. Quas si occupasset, se cætera brevi tempore adjecturum putabat. Romani clade audita mœsti atque anxii, et semetipsos et cæsos lugentes, pontes Tiberis, præter unum, dejecerunt, et mœnia multis in locis ruinosa celeriter refecerunt, et dictatorem in concione dixerunt : ac bene secum agi existimantes, si ipsi manerent incolumes, nulla sociis auxilia miserunt. Sed Annibalis in Campaniam profectione audita, etiam sociis opem ferre decreverunt. Annibali dictatorem Fabium et M. minutium magistrum equitum opposuerunt : qui cum eo venissent, cum illo non congressi sunt, sed tergis inhærentes, observarunt quando se pugnæ offerret occasio. Fabius enim cum militibus trepidis et victis contra **414** plures, et victores, Martis aleam experiri noluit : simulque putabat, quo magis agrum vastassent, eo citius commeatus penuria laboraturos. His rationibus adductus, neque alteri regioni ulli, neque Campaniæ opem tulit : et omnes hostes in Campania conclusos, et undique ignorantes circumdatos observavit. Nam ipsi quidem et ex mari et ex sociis civitatibus commeatus abunde suppetebat : illis vero nihil esse nisi ex agrorum vastatione norat. His de causis moram æquo ferebat animo, et a civibus non sine querelis Cunctator dicebatur.

σχον, οὐ μέντοι καὶ οἱ μαχόμενοι ἐν ἐννοίᾳ σφῶν ἐγένοντο. Αὐτός τε οὖν ὁ Φλαμίνιος, καὶ ἄλλοι παμπληθεῖς ἔπεσον· συχνοὶ δὲ ἐπί τινα λόφον ἀνέβησαν· ἐπεὶ δ' ἡμέρα ἐγένετο, εἰς φυγὴν ὥρμησαν, καὶ καταληφθέντες, τά τε ὅπλα καὶ ἑαυτοὺς ἐπ' ἀδείᾳ παρέδοσαν. Ὅ γε μὴν Ἀννίβας βραχὺ τῶν ὁμωμοσμένων ἐφρόντισε, πάντων δὲ τῶν ἐν τῷ στρατοπέδῳ ἀλόντων, τὸ μὲν ὑπήκοον, τό τε συμμαχικὸν τῶν Ῥωμαίων ἀφῆκεν, αὐτοὺς δὲ ἐκείνους δήσας ἐφύλασσε. Πράξας δὲ ταῦτα, ἐπὶ τὴν Ῥώμην ἠπείγετο, καὶ μέχρι μὲν Ναρνιᾶς τήν τε γῆν τέμνων, καὶ τὰς πόλεις προσαγόμενος πλὴν Σπολιτίου, προῆλθε, Γάϊόν τε ἐνταῦθα Κεντήνιον στρατηγὸν ἐνεδρεύοντα περισχὼν ἔκτεινεν. Ὡς δὲ τῷ Σπολιτίῳ προσβαλὼν ἀπεκρούσθη, καὶ τὴν τοῦ Νάρου γέφυραν καθηρημένην εἶδε, καὶ περὶ τοὺς ἄλλους ποταμούς, οὓς ἀναγκαῖον διελθεῖν, τοῦτο γεγονὸς ἐπύθετο, τῆς μὲν ἐπὶ τὴν Ῥώμην ὁρμῆς ἐπέσχεν· ἐς δὲ τὴν Καμπανίαν ἐτράπετο, τήν τε χώραν ἀρίστην καὶ τὴν πόλιν τὴν Καπύην μεγίστην οὖσαν ἀκούων, ἐνόμιζεν, εἰ σφᾶς προκαταλάβοι, καὶ τἄλλα δι' ὀλίγου προσκτήσασθαι. Οἱ δ' ἐν τῇ Ῥώμῃ πυθόμενοι περὶ τῆς ἥττης ἠλγησαν καὶ διὰ ἐκείνους καὶ δι' ἑαυτοὺς ὀδυρόμενοι καὶ ἐν ἀπόρῳ ἦσαν τάς τε γεφύρας τοῦ Τιβέριδος πλὴν μιᾶς καθεῖλον, καὶ τὰ τείχη πολλαχῇ πεπονηκότα σπουδῇ ἐπεσκεύαζον. Δικτάτορά τε προχειρίσασθαι βουληθέντες, αὐτοὶ ἐν ἐκκλησίᾳ αὐτὸν ἀνεῖπον. Ἀγαπῶντες δὲ εἰ αὐτοὶ μόνοι σωθεῖεν, οὐκ ἐστείλαν τοῖς συμμάχοις βοήθειαν. Πυθόμενοι δὲ τὸν Ἀννίβαν ἐς Καμπανίαν ὁρμηθῆναι, τό τε καὶ τοῖς συμμάχοις ἐπικουρῆσαι ἔγνωσαν· τῷ δ' Ἀννίβᾳ τὸν δικτάτορα τὸν Φάβιον, καὶ τὸν ἵππαρχον τὸν Μάρκον τὸν Μινούκιον ἀντικατέστησαν. Οἳ ἐπ' ἐκεῖνον ἐλθόντες, ἐς μὲν χεῖρας αὐτῷ οὐκ ἦεσαν· παρεπόμενοι δὲ ἐπετήρουν, εἴπου καιρὸς μάχης παραπέσοι· ἀποκινδυνεῦσαι γὰρ ὁ Φάβιος κατεπτηχὼς στρατιώτας καὶ ἡττημένους, πρὸς πλείους καὶ νενικηκότας οὐκ ἤθελε, καὶ ἅμα ὅσῳ μᾶλλον τὴν χώραν κακώσειαν, τοσούτῳ θᾶσσον ἀπορῆσαι τροφῆς αὐτοὺς ἤλπισε. Τοιούτοις χρώμενος λογισμοῖς, οὔτ' ἄλλῃ χώρᾳ ἐπήμυνεν, οὔτε τῇ Καμπανίᾳ· κατέκλεισεν οὖν διὰ ταῦτα πᾶν τὸ πολέμιον εἰς τὴν Καμπανίαν. Περισχὼν γὰρ αὐτοὺς ἀπανταχόθεν οὐκ εἰδότας ἐν φυλακῇ ἐποιήσατο. Αὐτὸς μὲν γὰρ κἀκ τῆς θαλάσσης, καὶ ἐκ τῆς συμμαχίδος τῶν ἐπιτηδείων εὐπορεῖ· ἐκείνοις δὲ μόνα τὰ ἐκ τῆς γῆς ἦν ἔκειρον, ὑπάρχοντα ἤδει. Καὶ διὰ τοῦτο ἀνεῖχε καὶ τῆς μελλήσεως οὐκ ἐφρόντισε. Διὸ καὶ παρὰ τῶν πολιτῶν αἰτίαν εἶχεν ὡς καὶ Μελλητὴς ἐπωνομασθῆναι.

XXVI. Annibal autem, instante hieme, cum ob commeatus penuriam eo loco hibernare non posset, et varias rationes Campaniæ exeundi frustra tentasset, hujusmodi consilium cepit. Captivos omnes convocatos, ne quis eorum effugeret, et quid ageretur Romanis significaret, occidit : et boum, quos in castris habebat, cornibus faces alligavit, noctuque ad Samniticos montes profectus, facibus incensis boves extimulavit, qui igni et verberibus in rabiem acti, multis in locis silva incensa, facilem ei transitum præbuerunt. Nam Romani qui in castris et collibus erant, insidias veriti, se non commoverunt. Sic Annibal ad Samnites pervenit. Ea re Fabius mane cognita, abeuntes persequens, iis qui ad hostes repellendos in via relicti erant, ignatis, eorumque sociis superatis : non procul a

ΚΖ'. Ὁ δ' Ἀννίβας ἐπεὶ πρὸς χειμῶνα ἐγίνετο, καὶ οὔτε κατὰ χώραν χειμάσαι σπάνει τῶν ἀναγκαίων ἠδύνατο, καὶ πολλαχῇ πειράσας ἐξιέναι τῆς Καμπανίας κεκώλυτο, τοιοῦτόν τι ἐμηχανήσατο. Τοὺς αἰχμαλώτους πάντας, ἵνα μή τις αὐτῶν διαφύγῃ, καὶ τὸ γινόμενον γνωρίσῃ τοῖς Ῥωμαίοις, κατέσφαξε· καὶ τὰς ἐν τῷ στρατοπέδῳ βοῦς ἀθροίσας, δᾷδας τοῖς αὐτῶν προσέδησε κέρασι, καὶ πρὸς τὰ κατὰ τοὺς Σαμνίτας ὄρη, ὑπὸ νύκτα χωρήσας, τάς τε δᾷδας ἀνῆψε καὶ τὰς βοῦς ἐπετάραξεν. Οἱστρηθεῖσαι δ' ἐκεῖναι διὰ τὸ πῦρ καὶ τὴν ἔλασιν, πολλαχῇ τὴν ὕλην ἐνέπρησαν, κἀκ τούτου ῥᾳδίαν παρέσχον αὐτῷ τὴν ὑπέρβασιν. Οἱ γὰρ ἐν τῷ πεδίῳ Ῥωμαῖοι καὶ οἱ ἐν τοῖς μετεώροις, ἐνέδρας πτοηθέντες, οὐκ ἐκινήθησαν. Καὶ οὕτως ὁ Ἀννίβας διῆλθε, καὶ ἐς τὴν Σαμνίτιδα ἐκομίσθη. Ὁ οὖν Φά-

διος, μεθ' ἡμέραν τὸ γενόμενον γνοὺς, κατεδίωξε, καὶ τοὺς τε καταλελειμμένους ἐν τῇ ὁδῷ ἵνα σφᾶς εἴρξασι τρεψάμενος, καὶ τοὺς βοηθήσαντας αὐτοῖς κρατήσας, ἐστρατοπεδεύσατο μὲν οὐ πόρρω τῶν πολεμίων, οὐ μέντοι καὶ ἐς χεῖρας ἐκείνοις ἦλθεν, ἀλλ' ἀποσκίδνασθαί τε αὐτοὺς καὶ προνομεύειν ἐκώλυεν. Ὥστε τὸν Ἀννίβαν, ἀπορήσαντα, τὸ μὲν πρῶτον ἐπὶ τὴν Ῥώμην ὁρμῆσαι· ὡς δ' οὐκ ἐμάχετο, δι' ἡσυχίας δὲ παρηκολούθει ὁ Φάβιος, αὖθις ὑπέστρεψεν εἰς τὸ Σάμνιον. Καὶ ὁ Φάβιος αὐτῷ ἑφεπόμενος δι' ἀσφαλείας προσήδρευε προμηθούμενος μήτε τῶν οἰκείων ἀποβαλεῖν τινας, καὶ αὐτὸς μὲν ἐν εὐπορίᾳ τῶν ἀναγκαίων τυγχάνων, ἐκείνῳ δὲ τῶν ὅπλων ἐκτὸς οὐδὲν προσεῖναι ὁρῶν, καὶ μηδ' οἴκοθεν προσιοῦσαν ἐπικουρίαν. Οἱ γὰρ Καρχηδόνιοι καὶ ἐν γέλωτι αὐτὸν ἐποιοῦντο, γράφοντα εὖ πράττειν καὶ πολλὰ κατορθοῦν, καὶ στρατιώτας παρ' αὐτῶν αἰτοῦντα, καὶ χρήματα, λέγοντες μὴ συμφωνεῖν τὰς αἰτήσεις ταῖς κατορθώσεσι. Τοὺς γὰρ νικῶντας προσήκει καὶ τῷ παρόντι ἀρκεῖσθαι στρατεύματι, καὶ χρήματα στέλλειν οἴκαδε, ἀλλ' οὐ προσαιτεῖν. Ἕως μὲν οὖν ἐνεδήμει ὁ Φάβιος, δεινὸν οὐδὲν τοῖς Ῥωμαίοις ἐγένετο· ὡς δ' ἐκεῖνος εἰς τὴν Ῥώμην ἀπῆρε κατά τι δημόσιον, ἔπταισαν. Ὁ γὰρ Ῥοῦφος ὁ ἵππαρχος, φρόνημα κενὸν ὑπὸ νεότητος ἔχων καὶ τῶν πολεμικῶν σφαλμάτων ἀπείρητος ὢν καὶ τῇ μελλήσει τοῦ Φαβίου ἀχθόμενος, ἐπεὶ τὴν προστασίαν τῆς στρατιᾶς μόνος ἔσχε, τῶν μὲν ἐντολῶν τοῦ δικτάτορος ὠλιγώρησεν· ὁρμήσας δ' εἰς παράταξιν, τὸ μὲν πρῶτον νικᾷν ἔδοξεν, εἶτα ἡττήθη. Κἂν πανσυδὶ διεφθάρη, εἰ μή τινες Σαμνιτῶν κατὰ τύχην τοῖς Ῥωμαίοις ἐπίκουροι ἀφικνούμενοι δόξαν τοῖς Καρχηδονίοις παρέσχον προσιέναι τὸν Φάβιον. Ἀναχωρησάντων οὖν διὰ τοῦτο, κεκρατηκέναι ἐνόμισε, καὶ ἐς τὴν Ῥώμην τὸ ἔργον μεγαλύνων καὶ τὸν δικτάτορα προσδιαβάλλων ἐπέστειλεν, ὀκνηρὸν καὶ Μελλητὴν αὐτὸν καλῶν, καὶ τὰ τῶν ἐναντίων φρονοῦντα. Οἱ δ' ἐν τῇ Ῥώμῃ νενικηκέναι τὸν Ῥοῦφον ὄντως ἐνόμισαν, καὶ οἷα παρὰ δόξαν θαρσήσαντες, καὶ ἐπῄνουν αὐτὸν καὶ ἐτίμων. Καὶ τὸν Φάβιον ἐν ὑποψίᾳ σχόντες διὰ ταῦτα, καὶ ὅτι τὰ ἐν Καμπανίᾳ χωρία αὐτοῦ οὐκ ἐδῄωσαν, μικροῦ καὶ τῆς ἀρχῆς ἂν παρέλυσαν. Ἀλλ' ἐκεῖνον μὲν χρήσιμον νομίζοντες εἶναι, οὐκ ἔπαυσαν, τῷ δ' ἱππάρχῳ τὴν αὐτὴν ἐξουσίαν προσένειμαν, ὥστ' ἄμφω ἀπὸ τῆς ἴσης ἄρχειν. Δοξάντων δὲ τούτων, ὁ μὲν Φάβιος οὔτε τοῖς πολίταις, οὔτε τῷ Ῥούφῳ ἔσχεν ὀργήν. Ὁ δὲ Ῥοῦφος, οὐδὲ πρὶν ὀρθῶς φρονῶν, τότε μάλιστα ἐπεφύσητο, καὶ κατέχειν ἑαυτὸν οὐκ ἠδύνατο, ἀλλ' ἡμέραν ἠξίου παρ' ἡμέραν ἢ καὶ πλείους ἐφεξῆς ἐναλλὰξ μόνος ἄρχειν. Δείσας δ' ὁ Φάβιος μή τι κακὸν ἐξεργάσηται, εἰ πάσης τῆς δυνάμεως γένοιτο ἐγκρατής, πρὸς οὐδέτερον αὐτῷ συνῆνεσεν, ἀλλ' ἐνείματο τὸ στρατόπεδον, ὥστε τοῖς ὑπάτοις ἐπίσης ἰδίαν ἑκάτερον ἰσχὺν ἔχειν· καὶ παραχρῆμα ὁ Ῥοῦφος ἀπεστρατοπεδεύσατο, ἵνα διάδηλος ᾖ ὅτι καθ' ἑαυτὸν ἄρχει, ἀλλ' οὐχ ὑπὸ τῷ δικτάτορι. Ὁ οὖν Ἀννίβας, τοῦτο αἰσθόμενος, ἐς μάχην αὐτὸν ὑπηγάγετο, ὡς ἐπὶ καταλήψει τοῦ χωρίου προσελθών· καὶ περιστοι-

A Pœnis castra posuit, sed pugna detrectata, eos vagari et prædas agere prohibuit. Itaque Annibal ob cibariorum penuriam primum Romam invadere statuit. Ut autem Fabius pugnæ copia negata, eum pedetentim assectabatur, in Samnium rediit : dictatore nunquam ab eo discedente, atque in id intento, ne quos suorum amitteret, utque ipse commeatu abundaret : ille autem præter arma nihil haberet, neque domo auxilia acciperet. Nam Carthaginienses eum deridebant, scribentem se bene rem gerere, et prosperis uti successibus, et tamen pecuniam et milites flagitantem : neque enim petitiones cum successibus consentire. Victores enim decere, exercitibus quos habeant contentos, pecuniam domum mittere, **415** non emendicare. Ac B dum Fabius apud exercitum fuit, nihil adversi Romanis accidit. Eo autem Romam ob publica negotia profecto, impegerunt. Rufus enim magister equitum juvenili audacia exsultans, bellique casus non prospiciens, et Fabii cunctationem ægre ferens, cum solus imperium adeptus esset, mandatorum dictatoris immemor, acie cum hoste congressus principio bene pugnavit, sed tandem succubuit : ac internecione deletus esset, nisi forte fortuna Samnitum auxilia ad Romanos accedentia Carthaginiensibus adventus Fabii opinionem attulissent. Qui cum hac de causa recessissent, se victorem esse arbitratus, Romam litteras misit, quibus et rem gestam exaggerabat, et dictatorem, ut segnem et cunctatorem et hostium studiosum criC minabatur. Romani vere vicisse Rufum opinati, præter exspectationem receptis animis, eo collaudato et honorato, Fabium et ob calumniam eam, et quod hostes ejus prædia in Campania non incendissent, suspectum habentes, parum abfuit quin magistratu privarent. Sed cum eum usui reipublicæ esse putarent, id quidem non fecerunt, sed magistro equitum eamdem potestatem dederunt, : ut ambo ex æquo imperarent. His decretis, Fabius neque civibus neque collegæ succensuit. Rufus vero jam ante parum prudens, tum magis etiam inflatus, temperare sibi non potuit, quin postularet ut diebus alternis, aut etiam pluribus diebus per vices solus imperaret. Fabius autem veritus, ne totius exercitus accepto imperio rem male gereret, neutrum concessit, sed D divisit exercitum, ut more coss. uterque ex æquo privatas vires haberet. Rufus igitur statim castra transtulit, ut appareret, se suapte auctoritate imperare, non subesse dictatori. Quo Annibal animadverso, eum ad pugnam elicuit per speciem ejus loci occupandi : et undique per insidias circumventum, in discrimen adduxit totius amittendi exercitus, nisi Fabius hostem a tergo adortus obstitisset. Hac plaga accepta, Rufus mutavit animum : et reliquiis exercitus statim ad Fabium adductis, imperium una, non exspectatis populi suffragiis, ultro ei tradidit, **416** quod solus ex magistris equitum acceperat : quo nomine ab omnibus est laudatus. Idque Fabius statim citra ullam dubi-

tationem universum recepit, approbante populo. Deinde milites cautissime duxit, et magistratu abiturus, consules, tradito exercitu, candidissime de omnibus rebus monuit : qui confidenter nihil, sed ex Fabii consiliis omnia administrarunt, quamvis Geminus rem bene gesserat. Nam cum classem Carthaginiensium tendere in Italiam, sed ob Romanorum instructionem non appellere vidisset, inter navigandum Corsicam et Sardiniam firmavit : et exscensu in Africa facto, ex ora maritima prædas egit. Quæ cum egisset, non tamen elatus fuit, ut temere Annibalem aggrederetur : sed Fabii mandatis paruit. Unde urbes non tam facile ut prius ad Carthaginienses defecerunt, metuentes, ne Annibale Italia pulso, a Romanis finitimis male tractárentur. Ac plerique futura considerabant, sed pauci ad Romanorum societatem redibant, quidam etiam donaria miserunt. Ex multis autem Hieronis muneribus, frumentum duntaxat et victoriæ signum acceperunt : quanquam adeo pecuniæ inopes, ut argenteum nummum prius impermistum et purum, ære admisto adulterarent.

Α χισάμενος ἐξ ἐνέδρας, εἰς κίνδυνον κατέστησεν, ὡς πανστρατιᾷ ἐξελεῖν, εἰ μὴ ὁ Φάβιος κατὰ νώτου αὐτῷ προσπεσὼν ἐκώλυσε. Παθὼν οὖν τοῦτο ὁ Ῥοῦφος, μετεβάλετο, καὶ τὸ στράτευμά τε τὸ περίλοιπον ἐς τὸν Φάβιον εὐθὺς ἦγαγε, καὶ τὴν ἀρχὴν παραδέδωκεν, οὐδ' ἀνέμεινε τὸν δῆμον ἀναψηφίσασθαι, ἀλλ' ἐθελοντὴς τὴν ἡγεμονίαν, ἣν παρ' αὐτοῦ μόνος ἱππάρχων (33) ἔλαβεν ἀφῆκε· καὶ αὐτὸν ἐπὶ τούτῳ πάντες ἐπῄνεσαν. Καὶ ὁ Φάβιος αὐτίκα, μηδὲν ἐνθουσιάσας, πᾶσαν ἐδέξατο, καὶ ὁ δῆμος αὐτὸ ἀπεδέξατο. Καὶ μετὰ ταῦτα αὐτός τε ἀσφαλέστατα προέστη τοῦ στρατεύματος· καὶ μέλλων ἀπαλλαγήσεσθαι τῆς ἀρχῆς, τοὺς ὑπάτους μετεπέμψατο, καὶ τὸ στράτευμα σφίσι παρέδωκε, καὶ πάνθ' ὅσα πραχθῆναι ἐχρῆν παρῆνεσεν ἀφθονώτατα· κἀκεῖνοι θρασέως οὐδέν, ἀλλὰ κατὰ τὴν ὑποθήκην τοῦ Φαβίου ἅπαντα ἔπραξαν, καίπερ ὁ Γεμῖνος καὶ προκατωρθώκει τι. Τὸ γὰρ ναυτικὸν τῶν Καρχηδονίων ἰδὼν ὁρμῆσαν μὲν ἐπὶ τὴν Ἰταλίαν, διὰ δὲ τὴν ἀντιπαρασκευὴν αὐτῶν μὴ προσμίξαν αὐτῇ, ἐπεκπλεύσας τά τε τῶν Κυρνίων, καὶ τὰ τῶν Σαρδονίων ἐν τῷ παράπλῳ ἐβεβαιώσατο. Καὶ ἐς τὴν Λιβύην ἐκβάς, ἐλεηλάτησε τὴν παραλίαν αὐτῆς. Ταῦτα μὲν ἔπραξεν, οὐ μέντοι δι' αὐτὰ ἐπεφύσητο ὥστε πρὸς τὸν Ἀννίβαν διακινδυνεῦσαι, ἀλλὰ ταῖς ἐντολαῖς τοῦ Φαβίου ἐνέμεινεν. Ὅθεν περ καὶ αἱ πόλεις οὐκέθ' ὁμοίως τοῖς Καρχηδονίοις προσετίθεντο. Ἐφοβοῦντο γὰρ μὴ ὁ Ἀννίβας τῆς Ἰταλίας ἐκπέσῃ, καὶ κακόν τι αὐτοὶ ὑπὸ Ῥωμαίων ἅτε προσοίκων πάθωσι. Καὶ οἱ μὲν πλείους τὸ ἀποβησόμενον ἐσκόπουν, ὀλίγοι δὲ πρὸς τοὺς Ῥωμαίους αὖθις μετέστησαν, καὶ ἀναθήματά τινες αὐτοῖς ἔπεμψαν. Καὶ τοῦ Ἱέρωνος πολλὰ πεπομφότος, σῖτον καὶ νίκης ἄγαλμα οἱ Ῥωμαῖοι μόνα ἔλαβον, καίπερ ἐν ἀχρηματίᾳ ὄντες, ὥστε τὸ ἀργυροῦν νόμισμα, ἀμιγὲς καὶ καθαρὸν γινόμενον πρότερον, χαλκῷ προσμίξαι.

Β

Variæ lectiones et notæ.

(33) *Μόνος ἱππάρχων*. Excerpta Dionis Valesiana, p. 597.

LIBER NONUS.

I. Hæc tum in Italia acta sunt, ac Romæ servilis conjuratio mature oppressa. Explorator quidam in urbe deprehensus, amputatis manibus dimissus est, ut ipse Carthaginiensibus suæ cladis nuntius esset. In Hispania Scipio navali prælio, ad Iberi ostia vicit. Nam cum pugna principio anceps esset, velis navium refectis, suos ad promptius dimicandum cohortari voluit : nec agros duntaxat vastavit, sed etiam multa loca munita subegit : et per fratrem P. Scipionem urbes Hispanicas Romano imperio adjecit. Abelus enim quidam Hispanus, cum Carthaginiensibus fidus esse crederetur, revera Romanis favens, persuasit ei qui obsides Hispanorum custodiebat, ut eos domum abire sineret, quo facilius civitates ad benevolentiam adducerentur. Quos cum, ut illius consilii **417** auctor, legatis prius ad Scipionem missis, et communicatis iis quæ volebat, noctu abduceret, captus est scilicet : Romani iis domum remissis, patrias eorum in deditionem acceperunt. Quæ cum feliciter succederent, in eam cladem inciderunt, qua nec ante nec post gravicrem senserunt : eaque prodigiis præsignifi-

C

D

Α'. Ταῦτα ἐν τῇ Ἰταλίᾳ τότε ἐπράχθη. Καί τινες δοῦλοι συνωμοσίαν ἐπὶ τῇ Ῥώμῃ πεποιηκότες προκατελήφθησαν. Κατάσκοπός τέ τις ἄλοὺς ἐν αὐτῇ τὰς χεῖρας ἀπεκόπη, καὶ ἀφείθη, ἵνα τοῖς Καρχηδονίοις γένηται τοῦ πάθους αὐτάγγελος. Ἐν δὲ τῇ Ἰβηρίᾳ, ναυμαχίᾳ πρὸς τῇ τοῦ Ἴβηρος ἐκβολῇ ὁ Σκιπίων ἐνίκησεν. Ἰσοπαλῶς γὰρ ἀγωνιζομένων, τὰ ἱστία τῶν νεῶν ὑπετέμετο, ὅπως ἀπογνόντες προθυμότερον ἀγωνίσωνται, καὶ τήν τε χώραν ἐπόρθησε, καὶ τείχη συχνὰ ἐχειρώσατο, καὶ διὰ τοῦ ἀδελφοῦ Πουπλίου Σκιπίωνος πόλεις τῶν Ἰβήρων προσεκτήσατο. Ἄβελος γάρ τις Ἴβηρ δοκῶν μὲν τοῖς Καρχηδονίοις πιστὸς, τὰ τῶν Ῥωμαίων δὲ θεραπεύων, ἀνέπεισε τὸν φρουροῦντα τοὺς τῶν Ἰβήρων ὁμήρους, οἴκαδε αὐτοὺς ἀποπέμψαι, ἵν' ἐς εὔνοιαν τάχα ὑπ' αὐτῶν αἱ πόλεις ὑπαχθῶσι· καὶ παραλαβὼν σφᾶς ἅτε καὶ τῆς ἐπινοίας εἰσηγητὴς γεγονὼς, πρὸς τοὺς Σκιπίωνας τὸ πρότερον πέμψας, καὶ κοινολογησάμενος περὶ ὧν ἠξίου, εἶτα νυκτὸς ὑπεκκομίζων αὐτοὺς, ἐάλω δῆθεν· καὶ οὕτως ἐκείνων τε ἐγκρατεῖς ἐγένοντο οἱ Ῥωμαῖοι, καὶ τὰς πατρίδας αὐτῶν ἀνακομισθέντων οἴκαδε κατεκτή-

σαντο. Ἐν μὲν οὖν τούτοις εὐτύχουν, συμφορᾷ δ' οὐ περιέπεσον ἧς οὔτε πρόσθεν οὔθ' ὕστερον δεινοτέρᾳ οὐδὲ μιᾷ. Προηγήσατο δὲ ταύτης καί τινα τέραια καὶ τὰ τῆς Σιβύλλης λόγια, ἥτις πρὸ τοσούτων ἐτῶν τὴν συμφορὰν αὐτοῖς ἐμαντεύσατο. Θαυμαστὸν δὲ καὶ τὸ τοῦ Μάρκου προμάντευμα· χρησμολόγος γάρ τις καὶ οὗτος γενόμενος ἐν τῷ Διομηδείῳ πεδίῳ παίσειν αὐτοὺς ἅτε καὶ Τρῶας τὸ ἀρχαῖον ὄντας ἐφοίβασε. Τοῦτο δ' ἐν Ἀπουλίᾳ τῇ Δαυνίων ἐστί, καὶ τὸ ὄνομα ἀπὸ τῆς τοῦ Διομήδους κατοικήσεως, ἣν ἐκεῖ ἀλητεύσας ἐποιήσατο, ἔσχηκεν. Ἐν γὰρ τῷ πεδίῳ ἐκείνῳ καὶ αἱ Κάνναι, ἔνθα τότε ἐδυστύχησαν, παρά τε τῷ Ἰονίῳ κόλπῳ, καὶ περὶ τὰς τοῦ Αὐφιδίου ἐκβολάς εἰσιν. Ἡ δὲ Σιβύλλα φυλάττεσθαι μὲν τὸ χωρίον παρῄνεσεν, οὐ μέντοι καὶ πλεῖόν τι γενήσεσθαι ἔφη, οὐδ' εἰ διὰ πάσης αὐτὸ ποιήσαιντο φυλακῆς. Τοιαῦτα μὲν οὖν ἦσαν τὰ χρησμῳδοτήματα, τὰ δὲ τοῖς Ῥωμαίοις συμβάντα οὕτως ἐγένετο. Ἦρχον μὲν Παῦλος Αἰμίλιος καὶ Τερέντιος Οὐάρρων, ἄνδρες οὐχ ὁμοιότροποι. Ὁ μὲν γὰρ εὐπατρίδης ἦν καὶ παιδείᾳ κεκόσμητο καὶ τὸ ἀσφαλὲς προετίμα τοῦ προπετοῦς· Τερέντιος δὲ ἐν τῷ ὁμίλῳ ἐτέθραπτο καὶ ἐν βαναυσικῇ θρασύτητι ἤσκητο, καὶ τἄλλα τε ἐξεφρόνει, καὶ τὴν ἡγεμονίαν μόνος ἔχειν ἡγεῖτο διὰ τὴν τοῦ συνάρχοντος ἐπιείκειαν. Ἥλθον οὖν ἄμφω εἰς τὸ στρατόπεδον εὐκαιρότατα. Οὔτε γὰρ τροφὴ ἔτι ἦν τῷ Ἀννίβᾳ, καὶ τὰ τῶν Ἰβήρων κεκίνητο, τά τε τῶν συμμάχων αὐτοῦ ἠλλοτριοῦτο· καὶ εἴ γε καὶ τὸ βραχύτατον ἐπεσχήκεσαν, ἀπόνως ἐκράτησαν ἄν. Νῦν δέ γε τοῦ Τερεντίου τὸ ἀπερίοπτον καὶ τὸ τοῦ Παύλου ἐπιεικὲς ἥττησεν αὐτούς. Ὁ γὰρ Ἀννίβας ἐπεχείρησε μὲν καὶ παραχρῆμα πρὸς μάχην αὐτοὺς ὑπαγαγέσθαι, καὶ σὺν ὀλίγοις προσπελάσας αὐτῶν τῷ ἐρύματι, ἐπεὶ ἐκδρομὴ ἐγένετο, ἐκὼν ὑπεχώρησεν, ὅπως δεδιέναι νομισθείς, ἐπισπάσαιτο μᾶλλον αὐτοὺς εἰς παράταξιν. Τοῦ δὲ Παύλου τοῖς οἰκείοις στρατιώταις ἐπισχόντος τὴν ὁρμήν, ὁ Ἀννίβας προσεποιήσατο φοβεῖσθαι· καὶ τῆς νυκτὸς ἀνασκευασάμενος ὡς ἀπιών, σκευή τε συχνὰ κατέλιπεν ἐν τῷ χαρακώματι, καὶ τὰ λοιπὰ ἀμελέστερον κομίζεσθαι ἐνετείλατο, ἵνα τῶν Ῥωμαίων ἐφ' ἁρπαγὴν αὐτῶν τραπομένων ἐπίθηται σφίσι. Καὶ εἰς ἔργον ἂν τὸ βούλευμα ἤγαγεν, εἰ μὴ ὁ Παῦλος καὶ ἄκοντας κατεσχήκει τοὺς στρατιώτας καὶ τὸν Τερέντιον. Ὁ οὖν Ἀννίβας, καὶ τούτου διαμαρτών, νυκτὸς πρὸς τὰς Κάννας ἀφίκετο. Καὶ γνοὺς τὸ χωρίον καὶ πρὸς ἑνέδρας, καὶ πρὸς παράταξιν ἐπιτήδειον, ἐστρατοπεδεύσατο καὶ προήρυσε πάντα τὸν τόπον ὑπόψαμμον ὄντα, ἵνα κονιορτὸς ἐν τῇ μάχῃ ἀρθῇ. Τὸν γὰρ ἄνεμον ὃς ἐν θέρει ἐκεῖσε περὶ τὴν μεσημβρίαν εἰώθει γίνεσθαι, κατὰ νώτου ἔχειν ἐμηχανήσατο. Οἱ δὲ ὕπατοι ἔωθεν κενὸν ἀνδρῶν ἰδόντες αὐτοῦ τὸ χαράκωμα, πρῶτον μὲν ἐπέσχον, ἐνεδρεύεσθαι δόξαντες· εἶτα μεθ' ἡμέρας πρὸς τὰς Κάννας ἀφίκοντο, καὶ παρὰ τῷ ποταμῷ ἑκάτερος ἰδίᾳ χύλισατο. Οὐκ ὄντες γὰρ ὁμοήθεις τὴν πρὸς ἀλλήλους συνουσίαν ἐξέκλινον. Καὶ ὁ μὲν Παῦλος ἡσύχασεν, ὁ δέ γε Τερέντιος ἤθελε συμβαλεῖν· σμβλυτέρους δὲ τοὺς στρατιώτας ὁρῶν, ἀνεκόπτετο. Ὁ

A cata est, et Sibyllinis oraculis tot ante ætatibus prædicta. Mirabilis fuit et Marci vatis divinatio, qui eos, quippe a prima stirpe Trojanos, in campo Diomedæo cladem accepturos prædixit. Is vero in Apulia Dauniorum est, nomen ab habitatione Dionedis sortitus, cum illic oberraret. In eo enim campo Cannæ sunt, ubi cæsi fuerunt, juxta sinum Ionium, et Aufidi ostia. Sibylla autem monuit et cum locum caverent, neque tamen quidquam cautione vel diligentissima profecturos adjecit. Ac talia fuerunt oracula : res autem ita gesta est. Legionibus præerant Paulus Æmilius et Terentius Varro, viri dissimilibus ingeniis. Nam alter patricius erat, doctrina ornatus, tutasque rationes audacie præponebat. Terentius vero inter plebeios B educatus, et importunæ audaciæ assuetus, tum aliis de rebus perperam sentiebat, tum se solum habere imperium ob collegæ moderationem opinabatur. Ambo autem perquam in tempore in castra venerunt. Neque enim commeatum habebat Annibal, et res Hispanicæ turbatæ erant, et socii ab eo alienabantur. Quod si perpusillum morati essent, citra laborem vicissent. Nunc Terentii temeritas et Pauli moderatio causæ cladis exstiterunt. Nam Annibal statim eos ad pugnam elicere studens, cum paucis munitionem aggressus est : factaque excursione, sponte recessit, ut timore simulato facilius eos in prælium attraheret. Cumque Paulus suos milites ab hoste persequendo revocasset, timore simulato, vasis noctu collectis, tanquam abiturus, multa in C vallo reliquit, cæteraque negligentius portari jussit, ut Romanos in rapinam intentos aggrederetur : ac id omnino accidisset, nisi Paulus milites et Terentium vel invitos cohibuisset. Annibal, etiam hoc consilio frustratus, noctu ad Cannas venit : cognitoque loci situ, et ad parandas **418** insidias, et ad prælium committendum idoneo, castra ibi posuit, ac omnem cum agrum subarenosum aratro proscidit, ut in pugna pulvis tollereturt : id machinatus, ut ventum qui ibi sub meridiem flare consuevit a tergo haberet. Coss. cum mane castra viris vacua vidissent, primum se repressere, insidias veriti. Postridie ad Cannas venerunt, juxta flumen uterque seorsim castrametatus. Oh morum enim diversitatem alter alterius consuetudinem D declinabat. Paulo quiescente, Terentius confligere voluit : nec tamen fecit, cum milites parum esse alacres vidisset. At Annibal vel invitos ad pugnam eliciens, aquatione prohibebat, nec palari sinebat, et cadavera cæsorum supra in profluentem ante vallum eorum projiciebat, ut a potu abhorrerent. His rebus Romani concitati, aciem instruxerunt. Quo Annibal præcognito, insidiis sub tumulis collocatis, et reliquo exercitu ordinato, nonnullos transfugas subornavit, quos signo dato clypeis, hastis et ensibus gravioribus abjectis, solos pugiones relinere jussit, ut ab adversariis pro inermibus acceptl, eos ex improviso aggrederentur. Romani, cum Annibalis exercitum mane in procinctu

stare viderent, armis captis et ipsi instruebantur. Classicis igitur utrinque canentibus, collatisque signis, varie et usque meridiem ancipiti Marte pugnaverunt. Ut autem ventus est exortus, et fictitii transfugæ pro inermibus accepti, post Romanos steterunt, ne scilicet a Carthaginiensibus opprimerentur : tunc qui in insidiis erant, utrinque consurrexerunt, et Annibal a fronte cum equitibus, et hostes, nec minus ventus et pulvis in facies eorum violenter incidentes, Romanos undique turbabant, et creber ex fatigatione anhelitus, ut et visu et voce privati, promiscue nulloque ordine cæderentur. Tanta igitur multitudo cecidit, ut Annibal vulgi inire numerum ne tentarit quidem : equitum autem et senatorum numerum ad senatum Carthaginiensem non scripserit, sed per modios annulorum demonstrarit. Soli enim senatores et equites annulis utebantur. Multi tamen cum Terentio tum quoque evaserunt, sed Paulus occubuit. At Annibal fugientes **419** non persecutus est, neque Romam properavit. Nam cum vel totum exercitum, vel partem ejus evestigio Romam perducere, atque in urbe bellum gerere potuisset, non tamen fecit, quamvis suadente Maharbale. Quare probro ei datum est, quod vincere possit, sed uti victoria nesciat. Rem sane tum neglectam postea nunquam resarcire potuerunt : et Annibalem cessationis ita pœnituit, ut continenter exclamaret: *O Cannæ ! Cannæ !*

Α δὲ Ἀννίβας, καὶ ἄκοντας αὐτοὺς εἰς μάχην παρακινῶν, τῆς τε ὑδρείας εἶργε, καὶ ἀποσκεδάννυσθαι σφᾶς ἐκώλυε, καὶ τὰ σώματα τῶν φονευομένων ἄνω πρὸ τῶν ταφρευμάτων ἐνέβαλλεν, ὅπως σφίσι τὸ ποτὸν δυσχεραίνηται. Κἀντεῦθεν καὶ οἱ Ῥωμαῖοι πρὸς παράταξιν ὥρμησαν. Τοῦτο δὲ προγνοὺς ὁ Ἀννίβας, λόχους μὲν ὑπὸ τοὺς ὄχθους ἐκάθισε, τὴν δὲ λοιπὴν στρατιὰν συνέταξε, καί τινας ψευδαυτομολῆσαι, ὅταν σημήνῃ, ἐκέλευτε τὰς μὲν ἀσπίδας, καὶ τὰ δόρατα, καὶ τὰ μείζω τῶν ξιφῶν ἀπορρίψαντας, τὰ δ' ἐγχειρίδια φέροντας κρύφα, ἵνα, δεξαμένων αὐτοὺς τῶν ἀντικαθεστηκότων ὡς ἀόπλους, ἐπίθωνται αὐτοῖς ἀπροσδοκήτως. Οἱ δὲ δὴ Ῥωμαῖοι, ἰδόντες πρωΐθεν τοὺς περὶ τὸν Ἀννίβαν παρατεταγμένους, ὡπλίζοντό τε καὶ παρετάσσοντο· καὶ Β οἱ σαλπιγκταὶ ἀμφοτέρους ἐξώτρυναν, καὶ τὰ σημεῖα ἤρθη, καὶ συμπεσόντες πολυτρόπως ἠγωνίσαντο, καὶ μέχρι τῆς μεσημβρίας οὐδετέροις τὸ κράτος ἀπονενέμητο. Ἐπεὶ δὲ τὸ πνεῦμα ἐπῆλθε, καὶ οἱ ψευδαυτόμολοι δεχθέντες ὡς ὅπλων γυμνοὶ ὄπισθεν τῶν Ῥωμαίων ἐγένοντο, ἵνα μὴ σφίσιν ἐπιτιθῶσι δῆθεν οἱ Καρχηδόνιοι, τότε καὶ οἱ λόχοι ἑκατέρωθεν ἐπανέστησαν, καὶ ὁ Ἀννίβας κατὰ πρόσωπον σὺν τοῖς ἱππεῦσι προσέμιξε, καὶ οἵ τε πολέμιοι τοὺς Ῥωμαίους παντοχόθεν ἐθορύβουν, καὶ ὁ ἄνεμος ὅ τε κονιορτὸς ἐς τὰς ὄψεις αὐτῶν βιαίως ἐμπίπτων ἐτάραττε, καὶ τὸ ἄσθμα γινόμενον συνεχὲς ἐκ τοῦ καμάτου ἀπέφραττεν, ὥστ' ἀπεστερημένοι μὲν τῆς ὄψεως, ἀπεστερημένοι δὲ καὶ φωνῆς, φύζην καὶ ἐν οὐδενὶ κόσμῳ ἐφθείροντο. Καὶ τοσοῦτον ἔπεσε πλῆθος ὥστε τὸν Ἀννίβαν τῶν μὲν ἐκ τοῦ ὁμίλου μηδὲ πειραθῆναι ἐξευρεῖν ἀριθμόν, περὶ δὲ τῶν ἱππέων καὶ τῶν ἐκ τῆς βουλῆς ἀριθμὸν μὲν μὴ γράψαι τοῖς οἴκοι Καρχηδονίοις, διὰ δὲ τῶν δακτυλίων ἐνδείξασθαι τοῦτον· χοίνικι γὰρ σφᾶς ἀπομετρήσας ἀπέστειλε. Μόνοι γὰρ οἱ βουλευταὶ καὶ οἱ ἱππεῖς δακτυλίοις ἐκέχρηντο. Συχνοὶ δ' οὖν ὅμως καὶ τότε διέφυγον, καὶ ὁ Τερέντιος· ὁ γὰρ Παῦλος ἀπεθανεν. Ὁ δ' Ἀννίβας οὐκ ἐπεδίωξεν, οὐδ' εἰς τὴν Ῥώμην ἠπείχθη. Δυνάμενος γὰρ ἢ παντὶ τῷ στρατεύματι, ἢ καὶ μέρει τούτου πρὸς τὴν Ῥώμην παραυτίκα ὁρμῆσαι, καὶ ταχέως διαπολεμῆσαι, οὐκ ἐποίησε τοῦτο, καίτοι τοῦ Μαάρβου συναινοῦντος τοῦτο ποιῆσαι. Διὸ καὶ αἰτίαν ἔσχεν ὡς νικᾶν μὲν δυνάμενος, χρῆσθαι δὲ ταῖς νίκαις οὐκ ἐπιστάμενος. Ἐπεὶ δὲ τότε ἠμέλησαν, οὐκέτι οὐδ' αὖθις ἠπείχθησαν. Διὸ καὶ ὁ Ἀννίβας ὡς ἁμαρτὼν μετεμέλετο, συνεχῶς ἀναβοῶν, Ὦ *Κάρναι, Κάρναι.*

II. Romani autem excidio proximi, victoriam per Scipionem recuperarunt, P. Scipionis in Hispania bellum gerentis filium, qui patrem vulneratum defenderat. Tum vero miles Canusium fugit, adeptusque gloriam ab iis qui eodem se receperant, imperium ultro delatum accepit, et rebus ibi constitutis præsidia misit finitimis, in rebus et deliberandis et gerendis dexter. Qui Romæ erant, cladem audiverunt, sed non crediderunt; cum credidissent, luxerunt, et in curia congressi, rebus infectis recedebant : donec tandem Fabius dixit, exploratores esse mittendos, qui et rem gestam, et quid ageret Annibal, nuntiarent. Ipsis vero non plorandum esse, sed pedetentim procedendum, ut ea quæ facto essent opus, tempestive gererentur : et copias quantæ possint maximæ conscribendas esse, et finitimorum opem implorandam. Posthæc cum Annibalem in Apulia esse cognovissent, et a Terentio litteras accepissent de salute et actis ejus, nonnihil receptis animis, dictatorem Marcum Ju-

Β'. Οἱ δὲ δὴ Ῥωμαῖοι, παραῤῥαχὺ κινδυνεύσαντες ἀπολέσθαι, ἀντεπεκράτησαν διὰ τοῦ Σκιπίωνος, ὃς υἱὸς μὲν ἦν τοῦ Πουπλίου τοῦ ἐν τῇ Ἰβηρίᾳ, καὶ τὸν πατέρα, ὅτε ἐτρώθη, περιέσωσε· τότε δὲ στρατευόμενος, εἰς τὸ Κανύσιον ἔφυγε, καὶ ὕστερον εὐδοκίμησε. Παρ' ἐκόντων γὰρ τῶν συμφυγόντων εἰς τὸ Κανύσιον τὴν ἡγεμονίαν λαβών, τά τε ἐκεῖ κατεστήσατο καὶ τοῖς πλησιοχώροις φρουρὰς ἔπεμψε καὶ πάντα καλῶς ἐβούλευσέ τε καὶ ἔπραξεν. Οἱ δ' ἐν τῇ Ῥώμῃ τὴν ἧτταν μὲν ἤκουσαν, οὐ μὴν καὶ ἐπίστευον. Πιστεύσαντες δ' ἐπένθουν, καὶ συνιόντες εἰς τὸ συνέδριον, μή τι πράσσοντες ἀπηλλάσσοντο. Ὀψὲ δ' οὖν ὁ Φάβιος γνώμην ἔδωκε κατασκόπους πέμψαι τοὺς ἀγγελοῦντας τὸ γεγονὸς καὶ τί ὁ Ἀννίβας πράττει. Αὐτοὺς δὲ μὴ κλαίειν, σιγῇ δὲ βαδίζειν, ἵν' ἐν καιρῷ τὰ προσήκοντα γίνοιτο· δύναμίν τε συλλέξαι ὅσην ἂν δύναιντο, καὶ τοὺς περιοίκους ἐπικαλέσασθαι. Μετὰ δὲ ταῦτα ὡς τὸν Ἀννίβαν ἐν τῇ Ἀπουλίᾳ εἶναι ἔμαθον, καὶ γράμματα παρὰ τοῦ Τερεντίου ἐδέξαντο, ὅτι περιείη καὶ ὅσα πράττοι,

μικρὸν ἀνεθάρρησαν· καὶ δικτάτωρ μὲν Μάρκος Ἰούνιος, ἵππαρχος δὲ Τιβέριος Σεμπρώνιος Γράκχος ἐλέχθησαν. Καὶ παραχρῆμα τῶν τε πολιτῶν οὐ τοὺς ἡβῶντας μόνον, ἀλλὰ καὶ παρηβηκότας ἤδη κατέλεξαν, καὶ δεσμώτας ἐπ' ἀδείᾳ, καὶ δούλους ἐπ' ἐλευθερίᾳ, λῃστάς τέ τινας προσελάβοντο, καὶ τοὺς συμμάχους προσπαρεκάλουν, ἀναμιμνήσκοντες εἴ τί που εὐηργέτηντο, καὶ προσυπισχνούμενοι δώσειν τοῖς μὲν σῖτον, τοῖς δὲ ἀργύρια, ὅπερ οὔπω πρόσθεν ἐποίησαν· καὶ ἐς τὴν Ἑλλάδα πεπόμφασιν, ἢ πείσοντές τινας συμμαχῆσαι αὐτοῖς, ἢ μισθωσόμενοι. Ἀννίβας δὲ συνεστηκέναι τοὺς Ῥωμαίους καὶ παρασκευάζεσθαι μαθών, ἐν ταῖς Κάνναις διέτριβε, τὴν ἐξ ἐπιδρομῆς ἅλωσιν ἀπεγνωκώς· καὶ τῶν αἰχμαλώτων τὸ μὲν συμμαχικὸν ἄνευ λύτρων ἀφῆκεν, ὡς καὶ πρότερον, τοὺς δὲ Ῥωμαίους ἐτήρει, ἀποδόσθαι ἐλπίζων αὐτούς, ἵν' ἑαυτὸν εὐπορώτερον ἐντεῦθεν ποιήσῃ, τοὺς δὲ Ῥωμαίους ἀπορωτέρους. Ἐπεὶ δὲ μηδεὶς ἐξ αὐτῶν ἀφίκετο τοὺς αἰχμαλώτους ζητῶν, ἐκέλευσεν αὐτοῖς πέμψαι τινὰς οἴκαδε ἐπὶ λύτρα, προομόσαντας ἐπανήξειν. Ὡς δὲ οὐδ' οὕτω λύσασθαι σφᾶς ἠθέλησαν, τοὺς μὲν λόγου τινὸς ἀξίους ἐς τὴν Καρχηδόνα ἀπέστειλε, τῶν δ' ἄλλων τοὺς μὲν αἰκισάμενος ἀπέκτεινε, τοὺς δὲ μονομαχῆσαι ἠνάγκασε, τοὺς φίλους καὶ τοὺς συγγενεῖς ἀλλήλοις συμβαλών. Οἱ δὲ πεμφθέντες ἐπὶ τὰ λύτρα, ἐπανελθόντες, ἵν' εὐορκήσωσι, φυγόντες δὲ μετὰ τοῦτο, ἄτιμοι ὑπὸ τῶν τιμητῶν ἐγένοντο, καὶ ἑαυτοὺς διεχρήσαντο (34). Μάγωνα δὲ τὸν ἀδελφὸν ὁ Ἀννίβας ἀγγελοῦντα τοῖς Καρχηδονίοις ἔπεμψε τὰ γινόμενα, καὶ χρήματα παρ' αὐτῶν καὶ δυνάμεις αἰτήσοντα· καὶ ὁ μὲν ἀπελθὼν τούς τε δακτυλίους ἠριθμήσε, καὶ ἐπὶ μεῖζον ἐξῆρε δὴ τὸ κατόρθωμα, καὶ ἐψηφίσθη πάντα ὅσα ἠτήσατο· τῷ γὰρ Ἄννωνι τἀναντία λέγοντι, καὶ καταλύσασθαι τὸν πόλεμον, ἕως καθυπέρτεροι δοκοῦσι, συμβουλεύοντι, οὐκ ἐπείσθησαν· οὐ μέντοι τὰ ψηφισθέντα καὶ εἰς ἔργον ἤγαγον, ἀλλ' ἠμέλησαν. Ἀννίβας δ' ἐν τούτῳ εἰς τὴν Καμπανίαν προὐχώρησε, καὶ πόλισμά τι εἶλε Σαμνιτικὸν, καὶ ἐπὶ Νέαν ὥρμησε πόλιν, προπέμψας μετὰ τῆς λείας ὀλίγους τινάς· πρὸς οὓς ὡς μόνους ὄντας τῶν τῆς πόλεως ἐκβραμόντων, ἐπεφάνη αὐτὸς ἀπροσδόκητος, καὶ συχνοὺς ἀπέκτεινε, τὴν δὲ πόλιν οὐχ εἶλεν, οὔτ' ἐπὶ πολὺ ταύτῃ προσήδρευσεν. Οἱ γὰρ τὴν Καπύην οἰκοῦντες Καμπανοὶ, οἱ μὲν τῇ Ῥωμαίων φιλίᾳ ἐνέμειναν, οἱ δὲ πρὸς τὸν Ἀννίβαν ἀπέκλιναν. Ἐπεὶ δὲ ἐν ταῖς Κάνναις εὐτύχησε, καί τινες ἄνδρες αὐτῶν ἁλόντες ἀφέθησαν, τὸ μὲν πλῆθος ὥρμησε μεταστῆναι πρὸς τὸν Ἀννίβαν· οἱ δὲ δυνατοὶ χρόνον μέν τινα ἐπέσχον. Εἶτ' ἐπ' αὐτοὺς τὸ πλῆθος ὁρμῆσαν συνηγμένους ἐν τῷ βουλευτηρίῳ, πάντας ἂν κατεχρήσατο, εἰ μή τις ἐκ τοῦ πλήθους τὸ μέγεθος συνιδὼν τοῦ κακοῦ, κατηγόρησε μὲν τῶν βουλευτῶν ὡς πάντως φθαρῆναι ἀξίων· ἔφη δὲ πρότερον ἄλλους ἀντ' ἐκείνων ἀνθελέσθαι προσήκειν, τὴν γὰρ πόλιν μὴ δύνασθαι, μὴ προβουλευόντων τινῶν σώ-

A nium, Tiberium Sempronium Gracchum magistrum equitum dixerunt. Et evestigio non juvenes duntaxat, sed etiam effetos senes conscripserunt: et carcere aperto maleficis impunitate, servis libertate promissa, etiam latrones aliquot in militum catalogos retulerunt. Ad hæc socios accersiverunt, beneficiorum quæ accepissent admonitos, aliis frumentum, aliis argentum polliciti, quod prius facere non soliti erant: et in Græciam miserunt, auxilia vel impetraturi, vel mercede conducturi. Annibal, Romanorum conspiratione et apparatu cognito, in Cannis se tenuit, desperata repentina urbis expugnatione, et fœderatos, ut prius etiam, gratis dimisit, Romanos **420** vero spe venditionis asservavit, ut ea re suas opes augeret, Romanorum
B imminueret. Sed cum nemo veniret qui captivos requireret, eos aliquot domum mittere jussit, afferendæ pecuniæ causa, prius jurejurando adactos se redituros esse. Sed cum eos ne tum quidem redimere vellent, eos qui nominis alicujus erant, Carthaginem misit. Cæteros partim excruciatos necavit, partim inter sese dimicare coegit, amicis et cognatis inter se commissis. Qui vero petendæ pecuniæ causa missi fuerant, reversi, ut jurejurando satisfecisse viderentur, et post fuga elapsi, a censoribus notati, semetipsos peremerunt. Annibal, fratre Magone Carthaginem res gestas nuntiatum misso, et ad pecuniam militesque petendos, cum is exaggerasset omnia et annulos adnumerasset,
C decreverunt omnia quæ petierat. Hannoni enim belli deponendi, et dum superiores essent, faciendo pacis auctori, non auscultarunt: non tamen decreta exsecuti sunt, sed neglexerunt. Interim Annibal in Campaniam processit, et oppido quodam Samnitico capto, Neapolim contendit, paucis cum præda præmissis, contra quos oppidani, ut solos, excursione facta, improviso illius adventu, cæsi sunt magna ex parte: urbem tamen non cepit, neque obsidioni illius diu immoratus est. Nam Campani cum partim Romanorum amicitiam colerent, partim Annibali studerent, postquam is in Cannis victor, aliquot eorum cives captos dimiserat: multitudo ad eum deficere voluit, optimates
D autem aliquandiu distulerunt. Deinde cum in curia convenisset, impetu populi omnes occisi essent, nisi quidam ex plebe, considerata mali magnitudine, senatores ut exitio dignos accusasset, sed prius alios eis subrogandos esse dixisset, quod urbs sine consilio salva esse non posset. Cui cum Campani obtemperassent, singulis e curia ejiciendis multitudinem rogabat, quosnam illorum loco crearent, et cum exiguo tempore alios sufficere non possent, omnes illos ut necessarios dimiserunt: et inter se reconciliati, pacem cum Annibale fecerunt. Qui celeriter, relicta Neapoli, Capuam venit, et pro concione post multa **421** alia grata anri-

Variæ lectiones et notæ.

(34) *Ἑαυτοὺς κατεχρήσαντο.* Καταχρήσασθαι pro διαχρήσασθαι usurpat crebrius Zonaras.

bus, Italiæ principatum eis promisit, ut spe erecti, se pro semetipsis laborare alacrius pugnarent. Post Capuæ defectionem etiam reliqua Campania in motu fuit : cujus defectionem Romanis ægre ferentibus, Annibal Nucerinos oppugnavit. Qui cum obsiderentur, inutilem ætatem ob cibariorum penuriam expulerunt : quos Annibal non recepit, neque alio quam in urbem redeundi potestatem dedit. Quamobrem cæteri quoque cum una veste se urbe excessuros pepigerunt. At ille urbe potitus, senatores in balneis inclusos suffocavit : reliquos cum discedere quo vellent jussisset, multos in itinere interfecit : sed tamen eorum multi in silvas profugi evaserunt. Ea crudelitate cæteri territi, non amplius ejus fidei se permiserunt, sed resistebant dum potuerant. Nolanique de facienda deditione consultantes, illo facinore viso, Marcellum clam accersiverunt, Annibale ab urbis oppugnatione repulso. Inde digressus, Acerranos fame domuit, iisdem quibus Nucerinos conditionibus, eodemque tractavit modo. Deinde Basilinas est aggressus, quo Romani eorumque socii circiter x confugerant, qui civibus proditionem molientibus occisis, Annibaleque sæpe profligato, famem quoque fortiter tolerarunt. Cum autem commeatus defecisset, quemdam in utre ad dictatorem miserunt : qui noctu dolia farina plena in flumen conjecta, eos in tenebris observare jussit. Hoc modo clam eos ad tempus aluit : sed tandem uno dolio ex allisione confracto, Carthaginienses re animadversa catenis fluvium munierunt. Ut autem fame et vulneribus multi perierunt, altera urbis parte deserta et ponte interrupto, in altera obsidionem tolerarunt. Postea semen raporum in quemdam locum extra murum abjecerunt, ut hostes eos diu habituros crederent unde viverent. Qua eadem opinione deceptus Annibal, eorumque fortitudinem admiratus, eos ad pactionem provocatos pecunia vendidit : quos Romani non modo cupide redemerunt, sed aliam honorarunt.

ξεσθαι. Πεισθέντων δὲ τῶν ἐν τῇ Καπύῃ, ἐκβάλλουν ἕνα ἕκαστον ἐκ τοῦ συνεδρίου, ἡρώτα τὸ πλῆθος, ὁντινα αὐτοῦ ἀνθαιρεῖται· καὶ οὕτω μὴ δυνηθέντων αὐτῶν ἑτέρους δι' ὀλίγου ἀνθελέσθαι, πάντας ἐκείνους ὡς ἀναγκαίους ἀφῆκε, καὶ καταλλαγέντες ἀλλήλοις, ἐσπείσαντο τῷ Ἀννίβᾳ. Καὶ ὃς διὰ ταχέων ἐπαναστὰς ἐκ τῆς Νεαπόλεως ἦλθεν εἰς τὴν Καπύην· καὶ διαλεχθεὶς αὐτοῖς ἄλλα τε πολλὰ εἶπεν ἐπαγωγά, καὶ τὴν ἡγεμονίαν σφίσι τῆς Ἰταλίας δώσειν ὑπέσχετο, ἵν' ἐν ἐλπίσι γενόμενοι, ὡς καὶ ἑαυτοῖς πονήσαντες, προθυμότερον ἀγωνίσωνται. Μεταστάσης δὲ τῆς Καπύης, καὶ ἡ ἄλλη Καμπανία κεκίνητο. Καὶ οἱ Ῥωμαῖοι, τὴν ἀπόστασιν αὐτῆς μαθόντες, ἦχθοντο. Ὅ γε μὴν Ἀννίβας ἐπὶ Νουκερίνους (35) ἐστράτευσεν· οἱ δὲ πολιορκούμενοι τὴν ἄχρηστον σφῶν ἡλικίαν ἀπορίᾳ τροφῶν ἐξεώσαντο· οὓς ὁ Ἀννίβας οὐ προσήκατο, ἀλλὰ καὶ εἰς τὴν πόλιν ἀπιοῦσι μόνον ἀσφάλειαν ἔδωκε. Διὸ καὶ οἱ λοιποὶ μεθ' ἑνὸς ἱματίου ἐκχωρῆσαι τοῦ ἄστεος ὡμολόγησαν. Ἐπεὶ δ' ἐγκρατὴς αὐτῶν ἐγένετο, τοὺς μὲν βουλευτὰς ἐς βαλανεῖα καταχλείσας ἀπέπνιξε· τοῖς δ' ἄλλοις ἀπελθεῖν εἰπὼν ὅπη βούλοιντο, πολλοὺς ἐν τῇ ὁδῷ κἀκείνων ἐφόνευσε. Συχνοὶ δ' οὖν αὐτῶν καὶ περιεγένοντο εἰς ὕλας προκαταφυγόντες. Ἐκ τούτου δὲ οἱ λοιποὶ φοβηθέντες οὐ συνέβαινον ἔτι αὐτῷ, ἀλλ' ἀντεῖχον ἕως ἠδύναντο. Καὶ οἱ Νωλανοὶ βουλευόμενοι προσχωρῆσαι αὐτῷ, ἐπεὶ τὸ εἰς ἐκείνους εἶδον πραχθὲν, ἐπηγάγοντο λάθρα τὸν Μάρκελλον, καὶ τὸν Ἀννίβαν προσβαλόντα μετὰ ταῦτα τῇ πόλει ἀπώσαντο. Ἀποκρουσθεὶς δὲ τῆς Νώλης, Ἀκεράνους (36) εἷλε λιμῷ ἐπὶ ταῖς αὐταῖς τοῖς Νουκερίνοις συνθήκαις, καὶ τὰ αὐτὰ εἰργάσατο καὶ αὐτούς. Εἶτα καὶ ἐπὶ Βασιλίνας ἐστράτευσεν, ἐν ᾧ Ῥωμαῖοί τε καὶ συμμάχων ὡσεὶ χίλιοι συγκατέφυγον. Οἳ τοὺς μὲν ἐπιχωρίους προδοῦναι σφᾶς μελετήσαντας ἀπέκτειναν, καὶ τὸν Ἀννίβαν πολλάκις ἀπώσαντο, καὶ πρὸς λιμὸν γενναίως διεκαρτέρησαν· ἐπιλιπούσης δὲ τῆς τροφῆς αὐτοὺς, ἐπ' ἀσκοῦ τινα διὰ τοῦ ποταμοῦ πρὸς τὸν δικτάτορα ἔπεμψαν. Ὁ δὲ πίθους ἀλεύρων πλήρεις νυκτὸς ἐνέβαλλεν εἰς τὸν ποταμὸν, ἐντειλάμενος αὐτοῖς παρατηρεῖν ἐν τῷ σκότει τὸ ῥεῦμα· καὶ χρόνον μέν τινα ἐλάνθανεν οὕτως τροφὰς αὐτοῖς χορηγῶν. Ἔπειτα πίθου τινὸς προσραγέντος ποι, καὶ συντριβέντος, ἔγνωσαν οἱ Καρχηδόνιοι τὸ γινόμενον, καὶ ἀλύσεσι τὸν ποταμὸν διειλήφασιν. Ὡς δὲ τῷ λιμῷ καὶ τοῖς τραύμασι συχνοὶ διεφθάρησαν, τὸ ἕτερον μέρος τῆς πόλεως ἐξέλιπον, κἀν τῷ λοιπῷ διεκαρτέρουν, τὴν γέφυραν διακόψαντες. Εἶτα σπέρμα γογγυλίδος ἀπὸ τοῦ τείχους εἴς τι χωρίον ἔξωθεν αὐτοῦ κατέβαλον. Ἐποίησαν δὲ τοῦτο ἵνα καταπλήξωσι τοὺς πολεμίους ὡς καὶ ἐπὶ πολὺ αὐταρκέσοντας. Ὅθεν ὁ Ἀννίβα, ἄφθονον αὐτοὺς ἔχειν τὴν τροφὴν οἰηθεὶς, καὶ ἐπὶ τῇ καρτερίᾳ θαυμάσας, εἰς ὁμολογίαν προεκαλέσατο, καὶ χρημάτων ἀπέδοτο σφᾶς. Ἐλύσαντο γὰρ αὐτοὺς οἱ ἔξω Ῥωμαῖοι ἀσμένως, ἀλλὰ μὴν καὶ ἐτίμησαν.

III. Dum hæc geruntur, legati Delphis reversi nuntiant, jubere Pythiam ut, repudiata ignavia, bello sint intenti. Ex eo confirmati atque assecuti Annibalem, juxta eum castra posuerunt, ut quid ageret observarent. Ac Junius dictator, quæ Carthaginienses facere jubebantur, eadem

Γ'. Ἐν ᾧ δὲ ταῦτα ἐγένετο, καὶ ἐκ Δελφῶν οἱ πεμφθέντες ἀνεκομίσθησαν, λέγοντες τὴν Πυθίαν χρῆσαι αὐτοῖς παύσασθαι τῆς ῥᾳθυμίας, καὶ τῷ πολέμῳ προσέχειν. Ἐντεῦθεν ἀνερρώσθησαν, καὶ κατέλαβον τὸν Ἀννίβαν, καὶ οἱ παρεστρατοπεδεύσαντο, ὅπως τὰ πραττόμενα παρ' αὐτοῦ παρατηρῶσι. Καὶ ὅ

Variæ lectiones et notæ.

(35) *Νουκερίνους*. Excerpta Dionis Valesiana, p. 598, 601.

(36) *Ἀκερράνους*. Vide Excerpta Dionis Valesiana, p. 601.

γε Ἰούνιος ὁ δικτάτωρ τὰ τοῖς Καρχηδονίοις παραγγελλόμενα, καὶ τοὺς Ῥωμαίους ποιεῖν ὁμοίως ἐκέλευε, καὶ αἴτα καὶ ὕπνον ἐν τῷ αὐτῷ καιρῷ ἤροῦντο, καὶ τὰς φυλακὰς ὁμοίως ἐπεσκόπουν, καὶ τἄλλα ἐπίσης ἔπραττον. Καταμαθὼν οὖν τοῦτο Ἀννίβας χειμέριον ἐτήρησε νύκτα, καὶ τοῖς μὲν τῶν στρατιωτῶν ἐπ' ἔξοδον ἀφ' ἑσπέρας ἀνεῖπε. Τοῦ δὲ Ἰουνίου τὸ αὐτὸ ποιήσαντος, ἐκ διαδοχῆς ἄλλοτε ἄλλους αὐτῷ προσβάλλειν ἐκέλευσεν, ἵν' ἐν συνεχεῖ πόνῳ ἐκ τῆς ἀγρυπνίας καὶ τοῦ χειμῶνος εἶησαν· αὐτὸς δὲ μετὰ τῶν λοιπῶν ἀνεπαύετο. Ἐπεὶ δ' ἡμέρα ἐπιλάμψειν ἔμελλε, τὸ στράτευμά τε δῆθεν ἀνεκαλέσατο, καὶ τῶν Ῥωμαίων τὰ ὅπλα ἀποθεμένων, καὶ πρὸς ἀνάπαυλαν τραπομένων, ἐπῆλθεν αὐτοῖς ἄφνω, καὶ συχνοὺς ἀπέκτεινε, καὶ τὸ τάφρευμα ἐκλειφθὲν εἷλε. Τὰ δ' ἐν τῇ Σικελίᾳ καὶ τῇ Σαρδοῖ ἐκινεῖτο, οὐ μέντοι καὶ ἐπιστροφῆς τινος παρὰ τῶν Ῥωμαίων ἔτυχον. Ὕπατοι δὲ ὅ τε Γράγχος ὁ ἵππαρχος καὶ Ποστούμιος Ἀλβῖνος ᾑρέθησαν. Καὶ ὁ μὲν Ἀλβῖνος μετὰ παντὸς τοῦ στρατοῦ ὑπὸ τῶν Βοουτῶν ἐφθάρη, δι' ὄρους ὑλώδους πορευόμενος καὶ ἐνεδρευθείς, οὗ τὴν κεφαλὴν ἀποτεμόντες οἱ βάρβαροι, καὶ ἐκκαθάραντες καὶ περιχρυσώσαντες, πρὸς τὰ ἱερὰ αὐτῶν ἀντὶ φιάλης ἐκέχρηντο. Γεγόνασι δὲ τότε τέρατα· βοῦς τε γὰρ ἵππον ἔτεκε, καὶ ἐν θαλάσσῃ ἐξέλαμψε πῦρ. Οἱ δ' ὕπατοι Γράγχος καὶ Φάβιος, στρατοπεδευσάμενοι, τόν τε Ἀννίβαν ἐν Καπύῃ ὄντα ἐπετήρουν, ὅ τι πράσσει. Καὶ διεπέμποντο ἑκασταχόσε, τοῖς τε συμμάχοις ἐπήμυνον, καὶ τοὺς ἀφεστηκότας οἰκειοῦσθαι ἐπειρῶντο, τά τε τῶν ἀνθισταμένων ἐκάκουν. Ὁ δ' Ἀννίβας, ἕως μὲν τῆς τροφῆς ἐνδεῶς ηὐπόρει, καὶ διακινδυνεύων, σωφρόνως μετὰ τοῦ στρατοῦ διῆγεν· ὡς δὲ τὴν Καπύην ἔλαβον, καὶ πολλοῖς ἐπιτηδείοις ἐν ῥᾳστώνῃ διεχείμασαν, τήν τε ἰσχὺν τῶν σωμάτων μὴ πονούμενοι, καὶ τὴν ῥώμην τῆς γνώμης ὑπὸ τῆς εὐθυμίας ἠλαττώθησαν, καὶ τὴν πάτριον ἀμείψαντες δίαιταν, μετέμαθον ἡττᾶσθαι μαχόμενοι. Ἐπεὶ δὲ ὁ πόλεμος ἤδη ἐπέκειτο, ἐς ὄρη μετέστη, καὶ ἐγύμναζε τὸ στράτευμα. Οἱ δ' οὐχ οἷοί τε δι' ὀλίγου ῥωσθῆναι γεγόνασι. Βοηθείας δὲ αὐτῷ οἴκοθεν ἄλλης τε καὶ ἐλεφάντων ἐλθούσης, ἀνεθάρσησε· καὶ ἐπὶ τὴν Νώλαν, ὡς αἱρήσων αὐτήν, ἦ τόν τε Μάρκελλον τὴν Σαμνίτιδα πορθοῦντα, ταύτης ἀπάξων, ὥρμησεν. Ὡς δ' οὐδὲν ἐπέραινε, τῆς μὲν πόλεως ἀπέστη· τὴν δὲ χώραν ἔκειρε, μέχρις οὗ μάχῃ κατὰ τὸ ἰσχυρὸν ἡττήθη, ἐφ' ᾧ καὶ ἤλγησε. Πολλοὶ μὲν γὰρ Ἴβηρες, πολλοὶ δὲ καὶ τῶν Λιβύων ἐγκατέλιπον αὐτὸν, καὶ πρὸς τοὺς Ῥωμαίους ηὐτομόλησαν, ὃ οὔπω πρὶν ἔπαθε. Καταγνοὺς δ' ἐκ τούτου καὶ ἑαυτοῦ καὶ τῶν στρατιωτῶν, πᾶσαν τὴν γῆν ἐκείνην ἐξέλιπε, καὶ εἰς τὴν Καπύην ἀνεχώρησεν· εἶτα κἀκεῖθεν μετέστη. Οἱ δὲ Σκιπίωνες τόν τε Ἴβηρα ποταμὸν διέβησαν, καὶ τὴν χώραν ἐπόρθουν, καὶ πόλεις προσήγοντο, καὶ τὸν Ἀσδρούβαν διὰ ταῦτα σπουδῇ ἐπελθόντα μάχῃ ἐνίκησαν. Οἱ Καρχηδόνιοι δὲ, ταῦτα μαθόντες, καὶ νομίσαντες πλείονος τὸν Ἀσδρούβαν ἢ τὸν Ἀννίβαν δεῖσθαι βοηθείας, καὶ φοβηθέντες μὴ καὶ ἐς τὴν Λιβύην οἱ Σκιπίωνες διαβῆναι ἐπιχειρήσωσι, τῷ μὲν Ἀννίβᾳ

A suos et ipse observare atque facere jubebat. Itaque et cibum et somnum eodem tempore capiebant, excubias eodem modo visebant, ceteraque ex æque faciebant. Quo Annibal cognito, tempestuosa nocte captata, parti militum a vespera profectionem denuntiat. Junio id imitato, per vices alios atque alios impetum in Romanos facere jussit, ut continenter vigiliis et tempestate fatigarentur: ipse cum reliquis quievit. Cum lucesceret, exercitu revocato, Romanos qui armis positis ad quietem se conferebant, subito aggressus, multos occidit, et vallum ab eis desertum cepit. Sardinia et Sicilia quamvis in motu essent, a Romanis non curabantur. Coss. creati sunt, Gracchus magister equitum et Posthumius Albinus: quorum hic cum omni exercitu a Boiis cæsus est, in transitu silvosi montis insidiis exceptus, cujus capite barbari excavato, auroque inducto, pro phiala in sacris usi sunt. Prodigia tum fuerunt. Nam bos equum peperit, et flamma e mari emicuit. Coss. Gracchus et Fabius, quid Annibal Capuæ ageret, observantes, quolibet legatos mittebant, sociis opem ferebant, eos qui defecerant reconciliare conabantur, et resistentium agros populabantur. Annibal vero dum commeatu eoque armis parto non abundabat, modeste cum exercitu vivebat. Ut vero, Capua occupata, in magna rerum affluentia otiosi hibernarunt: et vires corporum desidia, et robur animorum deliciis sunt imminuta; mutatoque victu patrio, in prœliis vinci didicerunt. Bello jam instante, in montes transiit, et milites exercuit: sed cum exiguo tempore firmari non possent, elephantis aliisque militibus domo advectis, animum recepit. Nolamque oppugnavit, ut vel urbem caperet, vel Marcellum a Samnii vastatione revocaret. Cum nihil proficeret, urbe relicta, agros vastavit, donec justo prœlio vi superatus, ex Hispanorum et Afrorum crebra ad Romanos defectione (quod ei prius nuntiatum **423** quam acciderat) magnum dolorem cepit: et sibi ipsi ac militibus diffisus, omni illa provincia relicta, Capuam rediit, atque inde etiam post discessit. At Scipionibus, Ibero amne jam superato, agros vastantibus et urbes capientibus, etiam Asdrubale, qui ad ea prohibenda festinanter accurrerat, acie victo, Carthaginienses majoribus auxiliis Asdrubali, quam Annibali, opus esse rati, et ne Scipiones in Africam trajicerent veriti, Annibali parvis supplementis missis, maximam copiarum partem cum Magone quam celerrime in Hispaniam ablegarunt: jubentes ut, rebus illic constitutis, ipse in præsidiis esset, Asdrubal autem cum exercitu in Italiam proficisceretur. Quo cognito, Scipiones pugna abstinuerunt, ne forte victor Asdrubal in Italiam properaret. Cum autem socii Romanorum a Carthaginiensibus vexarentur, Publius cum hostibus congressus, vicit: Cneus e pugna abeuntes, exceptos occidit. Ob eam cladem, et frequentem urbium defectionem, etiam Afris aliquot ad Romanos transeuntibus, Asdrubal opinione sua

clutius mansit. Scipiones iis qui ad se defecerant statim in Italiam missis, res Hispanicas constituebant: et Saguntinorum subditis, et belli et calamitatis illius auctoribus captis, oppidum everterunt, homines vendiderunt, ac Saguntum veteribus civibus reddiderunt. Circa manubias tam accurati fuerunt, ut plus militibus quam sibi concedentes, nihil ex iis domum mitterent, nisi liberis suis talos. Itaque Cneo veniam domum eundi petenti, ut filiæ nubili dotem colligeret, senatus dotem ex publico decrevit.

βραχεῖαν δύναμιν ἔπεμψαν, τὴν πλείστην δὲ μετὰ Μάγωνος εἰς τὴν Ἰβηρίαν τάχιστα ἀπεστάλκασι, κελεύσαντες μετὰ τὴν τῆς Ἰβηρίας κατάστασιν τὸν μὲν ἐπὶ τῇ τῶν ἐκεῖ φυλακῇ καταμεῖναι, τὸν δὲ Ἀσδρούβαν ἐπὶ τὴν Ἰταλίαν σὺν δυνάμει σταλῆναι. Ὅ γνόντες οἱ Σκιπίωνες οὐκέτ' ἐμαχέσαντο, ἵνα μὴ κρατήσας ἴσως ὁ Ἀσδρούβας εἰς τὴν Ἰταλίαν ἐπειχθῇ. Ὡς δὲ τὸ τῶν Ῥωμαίων φίλιον ἐκάκουν οἱ Καρχηδόνιοι, Πούπλιος μὲν ὁμόσε τοῖς προσπεσοῦσιν αὐτῷ τῶν ἐναντίων ἐχώρησέ τε καὶ ἐπεκράτησε· Γναῖος δὲ, τοὺς ἀποχωροῦντας σφῶν ἐκ τῆς μάχης ὑπαλυβῶν, προτδιέφθειρεν. Ἐκ δὲ τῆς συμφορᾶς ταύτης, καὶ ὅτι καὶ πόλεις συχναὶ πρὸς τοὺς Ῥωμαίους μεθίσταντο, καὶ τῶν Λιβύων τινὲς αὐτοῖς προσεχώρησαν, πλέον ἢ δυνοεῖτο ὁ Ἀσδρούβας κατέμεινεν. Οἱ δὲ Σκιπίωνες εἰς τὴν Ἰταλίαν εὐθὺς τοὺς προσχωρήσαντας ἐστειλαν. Αὐτοὶ δὲ τὰ ἐν τῇ Ἰβηρίᾳ καθίστων, καὶ τοὺς τῶν Ζακυνθίων ὑπηκόους, τοὺς καὶ τοῦ πολέμου καὶ τῆς συμφορᾶς αἰτίους αὐτοῖς γενομένους, ἑλόντες, τό τε πόλισμα κατέσκαψαν, καὶ τοὺς ἀνθρώπους ἐπώλησαν, καὶ τὴν Ζάκυνθον μετὰ τοῦτο κομισάμενοι, τοῖς ἀρχαίοις πολίταις ἀπέδοσαν· τοσαύτῃ τε ἀκριβείᾳ περὶ τὴν λείαν ἐχρήσαντο, ὡς μηδὲν οἴκοι πέμψαι. Τοῖς μὲν γὰρ στρατευομένοις ἐπέτρεπον τοῦτο ποιεῖν, αὐτοὶ δὲ ἀστραγάλους τοῖς τέκνοις ἔπεμψαν· ὅθεν ἡ γερουσία (37), παραιτουμένου τοῦ Γναίου, ἵν' ἀπελθὼν οἴκαδε προῖκα τῇ θυγατρὶ ἐρανίσῃ, ὡραίᾳ οὔσῃ ἀνδρὸς, ἐψηφίσαντο ἐκ τοῦ δημοσίου προῖκα δοθῆναι αὐτῷ.

IV. Eodem tempore Sardinia et Sicilia plane alienatæ facile sub jugum reductæ sunt, Asdrubale qui opem eis ferebat, capto, totaque pene Sicilia per Manlium Torquatum subacta. Neque tamen insulæ res diu tranquillæ manserunt. Philippus autem, Macedoniæ rex, apertissime Carthaginiensium amicitiam coluit. Nam cum Græciæ imperare cuperet, fœdus cum Annibale percussit, ut communibus opibus bellum gerentes Carthaginienses Italiam haberent, ipse vero Græciam, Epirum et insulas. Hac pactione Romani cognita (interceperant **424** enim Philippi caduceatorem ad Annibalem euntem), statim Marcum Valerium Lavinium prætorem contra eum miserunt, ut suo regno timens, domi maneret. Itaque factum est. Nam Corcyram usque progressus, ut in Italiam navigaret, cum Lavinium Brundusium venisse didicisset, domum rediit. Lavinio autem Corcyram usque progresso, impetu in socios Romanorum facto, Noricum cepit, et Apolloniam obsedit. Sed Lavinius ductis adversus eum copiis, et Noricum recepit, et Apolloniam liberavit. Unde Philippus navibus, quibus usus fuerat, incensis, pedes domum rediit. Romæ consules creati Fabius et Marcellus bellum adversus Annibalem, Calabriam et finitima loca circumeuntem, Graccho decessori suo mandarunt. Is Hannone, qui e Brutiis circa Beneventum occurrerat, profligato, ulterius progressus, Annibalem observabat: eorumque qui defecerant agris vastatis, urbes nonnullas recepit. Ipsi vero coss. in Campaniam se converterunt, ut ea subacta, nihil a tergo hostile habentes, ita demum Annibalem aggrederentur. Postea divisi.

Δ'. Ἐν δὲ τῷ αὐτῷ καιρῷ, καὶ ἡ Σικελία καὶ ἡ Σαρδὼ ἄντικρυς ἐπολεμώθησαν. Καὶ τὰ μὲν ἐν ταύταις δι' ὀλίγου κατέστη, καὶ ὁ Ἀσδρούβας ἐπικουρῶν αὐταῖς ἐάλω, καὶ τὴν νῆσον μικροῦ πᾶσαν ἀνεκτήσατο Μάλιος Τουρκουάτος. Καὶ τότε μὲν τὰ ἐν τῇ Σικελίᾳ ἡσύχασε, μετὰ δὲ ταῦτα ἐταράχθη. Ὁ δὲ τῆς Μακεδονίας βασιλεὺς Φίλιππος φανερώτατος τῶν Καρχηδονίων ἐγένετο σπουδαστής. Τῆς γὰρ Ἑλλάδος προσεπάρξαι θέλων, συνθήκας πρὸς τὸν Ἀννίβαν ἔθετο, ὥστε κοινῇ πολεμῆσαι, καὶ τὴν μὲν Ἰταλίαν τοὺς Καρχηδονίους λαβεῖν, τὴν δ' Ἑλλάδα καὶ τὴν Ἤπειρον μετὰ τῶν νήσων ἐκεῖνον. Ἡ μὲν οὖν ὁμολογία ἐπὶ τούτοις ἐγένετο. Τοῦ δὲ κήρυκος τοῦ ὑπὸ τοῦ Φιλίππου πεμφθέντος πρὸς τὸν Ἀννίβαν ἁλόντος, ἔμαθον οἱ Ῥωμαῖοι τὸ γινόμενον, καὶ παραγρῆμα στρατηγὸν ἐπ' αὐτὸν Μάρκον Οὐαλέριον Λαουῖνιον ἔστειλαν, ὅπως περὶ τοῖς οἴκοι δείσας κατὰ χώραν μείνῃ. Καὶ ἔσχεν οὕτως. Προῆλθε μὲν γὰρ μέχρι τῆς Κερκύρας ὁ Φίλιππος, ὡς ἐς τὴν Ἰταλίαν πλευσούμενος, μαθὼν δὲ τὸν Λαουῖνιον ἐς τὸ Βρεντέσιον ἤδη παρόντα, οἴκαδε ἀνεκομίσθη. Τοῦ Λαουῖνίου δὲ μέχρι τῆς Κερκύρας πλεύσαντος, εἰς τοὺς τῶν Ῥωμαίων συμμάχους ὥρμησε, καὶ εἷλε Νώρικον, Ἀπολλωνίαν τ' ἐπολιόρκει. Ἐπιστρατεύσας δ' αὖθις αὐτῷ Λαουῖνιος, καὶ Νώρικον ἀνεκτήσατο, καὶ τὴν Ἀπολλωνίαν ἐρρύσατο. Κἀντεῦθεν ὁ Φίλιππος τὰς ναῦς αἷς ἐκέχρητο καταπρήσας, πεζῇ ἐπ' οἴκου ἀνεχώρησεν. Οἱ δ' ἐν τῇ Ῥώμῃ ὑπάτους εἵλοντο τὸν Φάβιον, καὶ τὸν Μάρκελλον, οἳ τὸν μὲν Ἀννίβαν τὴν νῦν καλουμένην Καλαβρίαν, καὶ τὰ περὶ αὐτὴν περιπορευόμενον, τῷ Γράχχῳ τῷ πρὸ αὐτῶν ἄρξαντι ἐπέταξαν. Καὶ ὃς

Variæ lectiones et notæ.

(37) Ὅθεν ἡ γερουσία. Ammianus, lib. XIV: *Et datur ex ærario filia Scipionis, cum nobilitas florem adultæ virginis, diuturnam absentiam erubesceret patris.* Vide Valerium Maximum, lib. IV, cap. 4. Hausit a Dione Zonaras, quod siluit Titus Livius.

Ἄννωνα περὶ Βενεβέντου ἀπαντήσαντά οἱ ἐκ Βρεττίων ἐτρέψατο. Κἀντεῦθεν προϊών, τόν τε Ἀννίβαν παρεφύλαττε, καὶ τὰ τῶν ἐφεστηκότων ἐπόρθει, πόλεις τέ τινας ἀνεσώσατο. Αὐτοὶ δὲ οἱ Ὕπατοι πρὸς τὴν Καμπανίαν ἐτράποντο, ἵν' αὐτὴν χειρωσάμενοι μηδὲν κατόπιν πολέμιον ὑπολίπωσιν, οὕτω τε ἐπὶ τὸν Ἀννίβαν χωρήσωσιν· εἶτα διαιρεθέντες, Φάβιος μὲν τά τε ἐκείνων, τά τε τοῦ Σαμνίου κατέτρεχε· Μάρκελλος δὲ εἰς τὴν Σικελίαν ἐπεραιώθη, καὶ τὰς Συρακούσας ἐπολιόρκει, προσχωρησάσας μὲν αὐτῷ, εἶτ' ἀποστάσας δόλῳ τινῶν ὑπὸ ψευδοῦς ἀγγελίας, καὶ δι' ἐλαχίστου ἂν σφᾶς ἐχειρώσατο, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἅμα προσβαλών τῷ τείχει, εἰ μὴ ὁ Ἀρχιμήδης μηχαναῖς ἐπὶ πλεῖστον αὐτοὺς ἐποίησεν ἀντισχεῖν· καὶ λίθους γὰρ καὶ ὁπλίτας μηχανήμασιν ἀπαρτῶν, καθεῖς τε ἐξαπιναίως αὐτούς, καὶ ἀνέσπα δι' ὀλίγου. Ταῖς δὲ ναυσὶ καὶ ταῖς πυργοφόροις ἑτέρας ἐπιῤῥίπτων, ἀνεῖλκέ τε αὐτάς, καὶ μετεωρίζων ἀθρόως ἦφεν, ὥστε ἐμπιπτούσας εἰς τὸ ὕδωρ ῥύμῃ βαπτίζεσθαι. Καὶ τέλος σύμπαν τὸ ναυτικὸν τῶν Ῥωμαίων παραδόξως κατέπρησε. Κάτοπτρον γάρ τι πρὸς τὸν ἥλιον ἀνεκτείνας, τήν τε ἀκτῖνα αὐτοῦ ἐς αὐτὸ εἰσεδέξατο, καὶ τὸν ἀέρα ἀπ' αὐτῆς τῇ πυκνότητι καὶ τῇ λειότητι τοῦ κατόπτρου πυρώσας, φλόγα τε μεγάλην ἐξέκαυσε, καὶ πᾶσαν αὐτὴν ἐς τὰς ναῦς ὑπὸ τὴν τοῦ πυρὸς ὁδὸν ὁρμούσας ἐνέβαλε, καὶ πάσας κατέκαυσεν. Ἀπογνοὺς οὖν ὁ Μάρκελλος τὴν πόλιν αἱρήσειν διὰ τὸ τοῦ Ἀρχιμήδους εὐμήχανον, λιμῷ αὐτοὺς κατασχεῖν ἐκ προσεδρίας διεμελέτησε· καὶ ταῦτας μὲν τῷ Πούλχρῳ ἐπέτρεψεν, αὐτὸς δ' ἐπὶ τοὺς συναποστάντας σφίσιν ἐτράπετο· καὶ τοῖς μὲν γνωσιμαχοῦσι συγγνώμην ἔνεμε, τοὺς δ' ἀνθισταμένους μετεχειρίζετο χαλεπῶς, καὶ συχνὰς μὲν τῶν πόλεων βίᾳ, τινὰς δὲ καὶ προδοσίᾳ ἥρει. Ἐν τούτοις δ' Ἱμίλκων ἐκ Καρχηδόνος σὺν στρατῷ ἦκε, τόν τ' Ἀκράγαντά τε κατέσχε, καὶ τὴν Ἡράκλειαν, καὶ πρὸς Συρακούσας ἐλθών, ἡττήθη τε καὶ ἀντεπεκράτησε· καὶ τοῦ Μαρκέλλου ἐξαπίνης αὐτῷ προσπεσόντος, αὖθις ἐνικήθη.

A Fabius Campaniam et Samnium vastavit. Marcellus in Siciliam profectus, Syracusas obsedit. Quæ cum deditionem fecissent, dolo cujusdam propter falsum nuntium denuo defecerunt; ac iis, terra marique mœnia adortus, facillime potitus esset, nisi Archimedis machinæ obstitissent. Nam et lapides, et milites inde suspensos, subito et demittebat, et paulo momento retrahebat. Aliis quoque machinis injectis, naves et turres attrahebat: et in altum eductas subito demittebat, ut cum impetu in aquas relapsæ mergerentur. Denique totam Romanorum classem mirabiliter exussit. Speculo enim quodam versus solem suspenso, radios excepit: aereque ob densitatem et levitatem speculi ex iis radiis incenso, effecit, ut ingens flamma recta in naves illata omnes eas cremaret. Marcellus igitur, B ob Archimedis ingenium expugnatione desperata, diuturnitate obsidionis et fame urbem domare statuit, eaque Pulchro mandata, ipse ad defectionis eorum socios se convertit: ac pœnitentibus concessa venia, **425** resistentes aspere tractavit: multas urbes vi, quasdam proditione cepit. Interim Himilco Carthagine cum exercitu profectus, et Agrigento et Heraclea occupatis, ad Syracusas progressus, et victus est, et vicissim vicit: et subito Marcelli superventu denuo succubuit.

Ε'. Ἐντεῦθεν ὁ Μάρκελλος ταῖς Συρακούσαις ἐφήδρευεν· ὁ δ' Ἀννίβας ἐν τῇ Καλαβρίᾳ διέτριβεν. Οἱ μέντοι Ῥωμαῖοι πολλὰ αὖθις καὶ δυσχερῆ πεπόνθασιν· οἵ τε γὰρ Ὕπατοι πρὸς τῇ Καπύῃ ἔπταισαν, καὶ ὁ Γράκχος ἐν τῇ Λευκανίᾳ ἀπώλετο, καὶ οἱ Ταραντῖνοι καὶ ἄλλαι πόλεις ἀπέστησαν· καὶ ὁ Ἀννίβας, κατεπτηχὼς πρότερον, ἐν τῇ Ἰταλίᾳ τε ἤρεινε, καὶ ἐπὶ τὴν Ῥώμην ἐστράτευσε, καὶ οἱ Σκιπίωνες ἄμφω διώλοντο. Ἐπορθεῖς οὖν ἐπὶ τούτοις ὁ Ἀννίβας ἐπεχείρησε τῇ Καπύῃ βοηθῆσαι, καὶ ἦλθε μέχρι Βενεβέντου. Τὸν δὲ Κλαύδιον εἰς τὴν Λευκανίαν ἐκ τοῦ Σαμνίου διὰ τὸν τοῦ Γράκχου θάνατον ἀπελθεῖν πυθόμενος, καὶ φοβηθεὶς μή τινα αὐτῆς στερίσηται, οὐκέτι πρότερον προσεχώρησεν· ἐπ' ἐκεῖνον δ' ἐτράπετο. Τῶν Σκιπιώνων δὲ θανόντων, πᾶσα ἡ Ἰβηρία τετάραχτο. Καὶ οἱ μὲν ἑκουσίως πρὸς τοὺς Καρχηδονίους ἀπέκλινον, οἱ δὲ καὶ ἀναγκαζόμενοι, εἰ καὶ ὕστερον αὖθις πρὸς τοὺς Ῥωμαίους ἀπέκλιναν. Ὁ δὲ Μάρκελλος, ἐπεὶ μηδὲν προσβάλλων ταῖς Συρακούσαις ἐπέραινε, τοιοῦτόν τι ἐπενόησεν. Ἦν τι τοῖς Συρακουσίοις τοῦ τείχους ἐπίμαχον, ὃ Γαλεάγραν ὠνόμαζον, ὃ πρὶν μὲν ἐλάνθανε τοιοῦτον ὄν, τότε δὲ ἐφωράθη. Τηρήσας οὖν τοὺς Συρακουσίους πανννυχίδα τῇ Ἀρτέμιδι ἄγοντας πανδημεί, ἐκέλευσε στρατιώταις τισὶ κατ' ἐκεῖνο τὸ

C V. Dehinc Marcellus Syracusis assedit, Annibale in Calabria versante: Romani autem denuo multas clades acceperunt. Nam et coss. ad Capuam impegerunt, et Gracchus in Lucania perfit, et Tarentini atque aliæ urbes defecerunt: et Annibal dudum territus, in Italia mansit, et contra Romam est profectus: et ambo Scipiones perierunt. His rebus elatus Annibal, opem ferre Capuæ statuens, Beneventum usque processit. Sed cum audisset Claudium ob Gracchi mortem e Samnio in Lucaniam transisse, veritus nē qua illic loca alienaret, omisso itinere, contra illum se convertit. Scipionum interim tota Hispania est turbata: alii ultro, alii vi coacti, cum Carthaginiensibus se conjunxerunt, qui post ad Romanorum amicitiam redierunt. Marcellus cum Syracusas oppugnando nihil proficeret, hujusmodi rem machinatus est. Erat Syracusani muri pars parum firma, quam Galeagram vocabant; quod cum prius ignoratum esset, tum animadversum est. Toto igitur populo Syracusano nocturnis Dianæ sacris operante, milites aliquot murum illum transcendere jussit. Qui cum portas aliquot aperuissent, atque alii quoque intrassent, simul omnes, tam qui intus quam qui foris erant, ex composito clamorem sustulerunt, hastis clypeos pulsan-

tes, et classica cecinerunt. Quibus rebus Syracusanis jam vino gravibus, subito exterritis, urbs capta est, præter Acradinam et Insulam. Marcellus partes captas diripit, reliquas oppugnat: et quanquam cum labore et tarde, tamen capit. Quibus Romani potiti, præter alios multos, etiam Archimedem occiderunt. Nam cum figuram quamdam delinearet, et hostes adesse audiret; *Caput*, inquit, *petant*, *lineam non petant*; ac militem jam astantem parum curavit, ab eoque, quod a linea discedere jussisset irato, cæsus est. Marcellus, Syracusis expugnatis, et magna **426** Siciliæ parte recuperata, magnam laudem assecutus est, et cos. designatus. Nam Torquatum illi quidem, filii sui interfectorem, elegerant: sed cum ille recusasset (neque enim se populi mores, neque populum ipsius imperium pati posse), Marcellum et Valerium Lavinium coss. crearunt.

VI. Marcello ex Sicilia digresso, copias equestres in eam misit Annibal, misere et Carthaginienses: et præliis aliquot victores, civitates quoque subegerunt, ac ni Cornelius Dolabella prætor supervenisset, totam Siciliam subegissent. Tum Capua quoque a Romanis capta est: quanquam Annibale per Latium Romam eunte, ut eos ab ejus urbis obsidione repelleret, et usque ad Tiberim progresso, et suburbanum agrum vastante. Romani autem, quamvis territi, tamen alterum consulem manere Capuæ, alterum Urbem defendere jusserunt. Ac Claudius Capuæ mansit (vulnus enim acceperat), Flaccus Romam properavit. Cæterum Annibale excursiones subinde in oculis civium faciente, et multa crudelia facinora edente, alio tempore satis habuerunt ipsam urbem tueri. Sed cum eodem tempore et in mœnia et in castra impetum facturus esset, alea jacta, ut aiunt, excurrerunt. Cum autem jam eminus dimicarent, serenitas in tempestatem ingentem cum turbine maximo, tonitribus, grandine et fulguribus est conversa: ut ambo exercitus, velut ex composito, cupide eo refugerent unde venerant. Vix arma posuerant, cum serenitas rediit. Annibal quamvis illa, ipsius conflictus tempore, non sine numine accidisse rebatur, tamen ab obsidione non destitit; sed cum denuo confligere instituisset, eademque acciderent, pertimuit: etiam eo obstupefactus, quod Romani in tanto discrimine constituti, neque Capuam relinquerent, et prætorem cum militibus in Hispaniam missuri essent: et quod pecunia egentes, præter alia, illud etiam solum publici agri, in quo castra habebat, vendidissent; desperataque expugnatione recessit, subinde exclamans, *O Cannæ! Cannæ!* ac ne Capuæ quidem opem amplius ferre voluit. Capuani vero, quanquam ad summas angustias **427** redacti, tamen desperata venia restiterunt, auxilio Annibalis per litteras im-

A χωρίον ὑπερβῆναι τὸ τεῖχος. Κἀκ τούτου πύλαι τέ τινες ὑπ' αὐτῶν ἀνεῴχθησαν, καὶ εἰσελθόντων καὶ ἑτέρων, ἅμα πάντες ἀπὸ σημείου, καὶ οἱ ἔσω καὶ οἱ ἔξω, συνεβόησαν καὶ τοῖς δόραι τὰς ἀσπίδας συνέκρουσαν, καὶ οἱ σαλπιγκταὶ προσεπήχησαν. ὥστε ἀθρόαν τὴν ἔκπληξιν τοῖς Συρακουσίοις μηδ' ἄλλως εὖ ἔχουσιν ὑπὸ μέθης συμβῆναι, καὶ τὴν πόλιν ἁλῶναι, πλὴν τῆς Ἀχραδινῆς καὶ τῆς Νήσου καλουμένης. Ὁ οὖν Μάρκελλος τά τε ἐκλυσκότα διήρπασε καὶ τοῖς μὴ ἁλοῦσι προσέβαλε, καὶ σὺν πόνῳ μὲν καὶ χρόνῳ, ὅμως δ' οὖν καὶ τῶν λοιπῶν τῆς Συρακούσης ἐκράτησεν. Ἐγκρατεῖς δὲ τούτων οἱ Ῥωμαῖοι γενόμενοι ἄλλους τε πολλοὺς, καὶ τὸν Ἀρχιμήδην ἀπέκτειναν. Διάγραμμά γάρ τι διαγράφων, καὶ ἀκούσας τοὺς πολεμίους ἐφίστασθαι, *Παρὰ κεφαλήν*, ἔφη, *καὶ μὴ παρὰ γραμμήν*. Ἑπτοτάντος δὲ αὐτῷ πολεμίου, βραχύ τε ἐφρόντισε, καὶ εἰπών, Ἀπόστηθι, ἄνθρωπε, ἀπὸ τῆς γραμμῆς, παρώξυνέ τε αὐτὸν, καὶ κατεκόπη. Ὁ μὲν οὖν Μάρκελλος τὰς Συρακούσας ἑλών, καὶ τῆς ἄλλης Σικελίας τὰ πλείω προσαγαγόμενος, καὶ ἐπῃνεῖτο μεγάλως, καὶ ὕπατος ἀποδέδεικτο. Προεβάλοντο μὲν γὰρ τὸν Τουρκουάτον, ὃς ποτε τὸν υἱὸν ἀπέκτεινεν· ἐπεὶ δὲ ἐκεῖνος ἀπηνήνατο, εἰπών ὡς Οὔτ' ἐὰν ἐγὼ τὰ ὑμέτερα ἁμαρτήματα, οὔτ' ἂν ὑμεῖς τὴν ἐμὴν ἀκρίβειαν ἐνέγκοιτε, τὸν Μάρκελλον καὶ Λαουΐνιον τὸν Οὐαλέριον ἐχειροτόνησαν.

Ϛ'. Ἀπελθόντος δὲ τοῦ Μαρκέλλου ἐκ Σικελίας, δύναμιν ἱππέων ἐς αὐτὴν ὁ Ἀννίβας ἀπέστειλε, καὶ ἑτέραν οἱ Καρχηδόνιοι ἔπεμψαν, καὶ μάχαις τισὶν ἐνίκησαν καὶ πόλεις προσεποιήσαντο· καὶ εἰ γε μὴ Κορνήλιος Δολοβέλλας στρατηγὸς ἐπελήλυθε, πᾶσαν τὴν Σικελίαν ἐχειρώσαντο ἄν. Καὶ ἡ Καπύη δὲ τότε ἑάλω παρὰ Ῥωμαίων, καίτοι τοῦ Ἀννίβου ἐς τὴν Ῥώμην ὁρμήσαντος ἵν' ἀπὸ τῆς Καπύης τοὺς πολιορκοῦντας αὐτὴν ἀπάξῃ, καὶ διὰ τῶν Λατίνων ἐλάσαντος καὶ πρὸς τὸν Τίβεριν ἐλθόντος καὶ πορθοῦντος τὰ πρὸ τοῦ ἄστεος. Οἱ γὰρ ἐν τῇ Ῥώμῃ ἐφοβήθησαν μὲν, ἐψηφίσαντο δὲ τὸν ἕτερον τῶν ὑπάτων ἐν Καπύῃ μεῖναι, τὸν δ' ἕτερον αὐτοῖς ἐπαμῦναι. Καὶ Κλαύδιος μὲν ἐν τῇ Καπύῃ κατέμεινεν (ἐτέτρωτο γὰρ), Φλάκκος δὲ πρὸς τὴν Ῥώμην ἠπείχθη. Τοῦ δ' Ἀννίβου τάς τε καταδρομὰς ἐν τοῖς ὀφθαλμοῖς αὐτῶν ἀεὶ ποιουμένου καὶ πολλὰ δεινὰ δρῶντος, τὸν μὲν ἄλλον χρόνον ἠγάπων εἰ τά γε ἐντὸς τῶν τειχῶν περισώσαιντο. Ἐπεὶ δὲ καὶ τῇ πόλει καὶ τοῖς στρατοπέδοις ἅμα προσβαλεῖν ἔμελλεν, ἀνερρίψαντο, τὸ τοῦ λόγου, κύβον, καὶ ἐπεξέδραμον. Καὶ ἀκροβολιζομένων ἤδη χειμὼν ἐξ αἰθρίας ἐξαίσιος ἐπεγένετο μετὰ πνεύματος ἀμηχάνου, βροντῶν τε καὶ χαλάζης καὶ ἀστραπῶν, ὡς ἄμφω ἀγαπητῶς ὡς ἐκ συνθήματος ἀναφυγεῖν ὅθεν ὥρμησαν, ἄρτι τε τὰ ὅπλα κατετίθεντο, καὶ αἰθρία ἐγένετο. Ὁ γοῦν Ἀννίβας, καίτοι οὐκ ἀθεεὶ λογισάμενος παρὰ τὸν τῆς συνόδου καιρὸν συνενεχθῆναι τὰ γεγονότα, ὅμως οὐκ ἀπέστη τῆς πολιορκίας, ἀλλὰ καὶ αὖθις μετὰ τοῦτο συμβαλεῖν ἐπεχείρησεν. Ὡς δὲ καὶ τότε τὰ αὐτὰ συνέβη, κατέδεισε· καὶ προσεκπλαγεὶς ὅτι ἐν τηλικούτῳ κινδύνῳ ὄντες, οὔτε τῆς Καπύης ἀπέστησαν, καὶ ἐς τὴν Ἰβηρίαν καὶ στρατιώτας καὶ στρατηγὸν πέμψειν ἔμελλον, καὶ ὅτι χρημάτων δεηθέντες ἐπώλησαν ἄλλα τε καὶ τὸ χωρίον ἐν ᾧ ἐστρατοπεδεύετο, δημόσιον ὄν, καὶ ἀπογνοὺς ἀπανέστη, πολλάκις ἀναβοήσας, Ὦ Κάννα, Κάννα, καὶ οὐδὲ τῇ Κα-

πῃ ἔτ' ἐπικουρῆσαι ἠθέλησεν. Οἱ δὲ, καίπερ ἐν ἀσθενεστάτοις ὄντες, ὅμως ἀπογνόντες ὡς οὐ τευξόμενοι συγγνώμης παρὰ Ῥωμαίων, ἀντεῖχον, καὶ τῷ Ἀννίβᾳ ἐπέστειλαν βοηθήσειν αὐτοῖς ἀξιοῦντες. Συλληφθέντες δὲ οἱ τῶν ἐπιστολῶν κομισταὶ παρὰ τοῦ Φλάκκου (ὁ γὰρ Κλαύδιος ἔφθη τεθνηκὼς ἐκ τοῦ τραύματος) τὰς χεῖρας ἀπετμήθησαν. Οὓς ἰδόντες οἱ Καμπανοὶ δεινῶς κατεπλάγησαν, καὶ ὅτι πράξουσιν ἐβουλεύοντο. Λεχθέντων δὲ πολλῶν, Ἰούβιός τις Οὐῖριος ἐν τοῖς πρώτοις αὐτῶν ὢν καὶ τῆς ἀποστάσεως αἰτιώτατος, *Μία ἡμῖν ἐστιν*, ἔφη, *καταφυγὴ καὶ ἐλευθερία, ὁ θάνατος. Καί μοι ἀκολουθήσατε οἴκαδε· ἔχω γάρ τι φάρμακον παρεσκευασμένον.* Καὶ ὁ μὲν, παραλαβὼν τοὺς αὐτῷ πεισθέντας, ἑκουσίως ἀπέθανε σὺν αὐτοῖς, καὶ οἱ λοιποὶ τὰς πύλας τοῖς Ῥωμαίοις ἀνέῳξαν. Ὁ δὲ Φλάκκος τά τε ὅπλα αὐτῶν καὶ τὰ χρήματα πάντα ἀφείλετο, καὶ τῶν ἀνδρῶν τῶν κορυφαίων τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ ἐς τὴν Ῥώμην ἔπεμψε. Μόνων δ' ἀπέσχετο τῶν ἐκ τοῦ ὁμίλου περιλειφθέντων, ἐπὶ τῷ καὶ ἄρχοντα αὐτοὺς Ῥωμαίων λαμβάνειν, καὶ μήτε βουλὴν ἔχειν, μήτε σύνοδον ποιεῖσθαι. Ὕστερον δὲ καὶ ἄλλα τινὰ προσεπῴφλον, κατηγορῆσαι τοῦ Φλάκκου τολμήσαντες. Ἐπεχείρησαν δὲ καὶ οἱ Καμπανοὶ τοῦ Φλάκκου κατηγορῆσαι, καὶ τοῦ Μαρκέλλου οἱ Συρακούσιοι ὑπατεύοντος ἤδη, καὶ ἀπελογήσατο. Οὐ γὰρ ἠθέλησε πρᾶξαί τι τῶν τῇ ἀρχῇ προσηκόντων, πρὶν ἀπολογήσασθαι. Οἱ Συρακούσιοι δὲ, καταστάντες εἰς λόγους, οἰκονομικώτερον τῇ διαλέξει ἐχρήσαντο, οὐκ εἰς κατηγορίαν τοῦ Μαρκέλλου, ἀλλ' εἰς ἱκετείαν τραπέντες καὶ ἀπολογίαν τοῦ μὴ ἑκόντες ἀποστῆναι Ῥωμαίων καὶ συγγνώμης τυχεῖν ἀξιοῦντες. Καὶ ταῦτα λέγοντες, εἰς τὴν γῆν πεσόντες ὠλοφύροντο. Καὶ διαγνώμης γενομένης, ἔδοξε τὸν Μάρκελλον μὲν μηδὲν ἀδικεῖν, τοὺς μέντοι Συρακουσίους φιλανθρωπίας τινὸς ἀξίους εἶναι, οὐκ ἐξ ὧν ἐποίησαν, ἀλλ' ἐξ ὧν εἶπόν τε καὶ ἱκέτευσαν. Τοῦ δὲ Μαρκέλλου παραιτησαμένου τὸ ἀπελθεῖν εἰς Σικελίαν, τὸν Λαουΐνιον ἔπεμψαν. Καὶ οἱ μὲν Συρακούσιοι οὕτω συγγνώμης ἔτυχον. Οἱ δὲ Καμπανοὶ ὑπ' ἀπαιδευσίας θρασύτερον τῇ κατηγορίᾳ χρησάμενοι, καὶ ἐπετιμήθησαν, μηδὲ παρόντος τοῦ Φλάκκου, ἀλλά τινος τῶν ὑπεστρατηγηκότων αὐτῷ ἀπολογησαμένου. Ἁλούσης δὲ τῆς Καπύης, καὶ τἆλλα τὰ πέριξ πολίσματα τοῖς Ῥωμαίοις προσκεχωρήκασι, πλὴν Ἀτελανῶν. Οὗτοι γὰρ, ἐκλιπόντες τὴν πόλιν αὐτῶν, πανδημεὶ πρὸς τὸν Ἀννίβαν ἐχώρησαν. Καὶ ἡ ἄλλη δὲ Ἰταλία ἡ τὰ τῶν Καρχηδονίων φρονοῦσα ἠλλοιοῦτο. Καὶ περιιόντες οἱ ὕπατοι προσεποιοῦντο αὐτήν. Ταραντῖνοι δὲ φανερῶς μὲν οὐδέπω τὰ τῶν Ῥωμαίων ἤροῦντο· λάθρα δὲ τοῖς Καρχηδονίοις ἤχθοντο. Οἱ δ' ἐν τῇ Ῥώμῃ διεκηρυκεύσαντο τῷ Ἀννίβᾳ ἀνταπόδοσιν τῶν αἰχμαλώτων ποιήσασθαι, οὐ κατηλλάξαντο δὲ αὐτούς, ἐπεὶ οὐκ ἐδέξαντο τὸν Καρθάλωνα τοῦ τείχους ἐντὸς, ὡς πολέμιον. Οὐδ' ἐς λόγους γὰρ αὐτοῖς ἐλθεῖν ἠθέλησεν, εὐθὺς δὲ ὠργισμένος ἀνέστρεψε. Τότε μέντοι καὶ ὁ Λαουΐνιος τοὺς Αἰτωλοὺς συμμαχοῦντας Φιλίππῳ προσηταιρίσατο, καὶ τὸν Φίλιππον μέχρι Κερκύρας προχωρήσαντα αὖθις ἐξεφόβησεν, ὥστε καὶ ἐς τὴν Μακεδονίαν τάχιστα ἐπανελθεῖν.

plorato. Sed tabellarii a Flacco comprehensi (nam Claudius ex vulnere jam decesserat), manibus truncati sunt: quo Capuani viso perculsi, de summa rerum deliberabant. Multis verbis factis, Juvius Virius, vir princeps, defectionis præcipuus auctor: *Unum*, inquit, *nobis confugium et libertas est, mors. Vos me domum sequimini, venenum enim præparatum habeo.* Sic abductis iis secum, quibus ea sententia placebat, una cum illis ultro periit, cæteri portas Romanis aperuerunt: quibus Flaccus arma omnia et pecuniam omnem ademit: et principum virorum alios occidit, alios Romam misit, soli turbæ ex plebeiis reliquæ iis conditionibus pepercit, ut prætori Romano parerent, ut nullum senatum, nullum concilium haberent. Post etiam aliæ multæ impositæ, cum Flaccum accusare ausi essent, Campani quoque eumdem accusare instituerunt, et Syracusani Marcellum jam consulem. Is se defendit, nec ante eam defensionem quidquam pro auctoritate imperii gerere voluit. Verum Syracusani, dicendi potestate data, causam suam artificiose egerunt; omissaque Marcelli accusatione, ad preces conversi, se non ultro defecisse asserentes, veniam petiverunt. Quæ cum perorassent, in terram prolapsi et lamentati sunt. Suffragiis latis, Marcellus crimine solutus est: et decretum, Syracusanos clementius tractandos esse, non ob facta eorum, sed propter verba et supplicationes. Marcello redire in Siciliam recusante, Lavinium miserunt. Cum Syracusani hoc modo veniam impetrassent, Campani ex inscitia insolentius in consulem invecti, etiam objurgati et gravius multati sunt, absente Flacco, et quodam ex ejus legatis causam dicente. Capta Capua, etiam finitimæ civitates Romanis accesserunt, præter Atellanos. Hi enim, urbe deserta, cum uxoribus et liberis Annibalem adierunt. Etiam reliquæ Italiæ partes, Carthaginiensium studiosæ, mutabant animos, et a consulibus passim circumeuntibus recipiebantur. Tarentini autem nondum aperte cum Romanis faciebant, sed clam Carthaginiensibus **428** succensebant. Romani petitam ab Annibale captivorum permutationem non impetrarunt, ob Carthalonem, ut hostem, intra mœnia non receptum. Quamobrem is iratus, colloquio detrectato, statim recessit. Hoc tempore Lavinius Ætolos Philippi socios sibi conciliavit, et Philippum usque ad Corcyram progressum ita terruit, ut trepidus in Macedoniam se reciperet.

Ζ'. Οἱ δὲ ἐν τῇ Ῥώμῃ Γάϊον Κλαύδιον Νέρωνα εἰς τὴν Ἰβηρίαν μετὰ τῶν στρατιωτῶν ἔπεμψαν, καὶ ὃς περιεκομίσθη τῷ ναυτικῷ μέχρι τοῦ Ἴβηρος. Ἔνθα καὶ τὰ λοιπὰ στρατεύματα εὑρηκὼς, ἐπῆλθε τῷ Ἀσδρούβᾳ, πρὶν γνωσθῆναι ὅτι πάρεστι. Καὶ

VII. C. Claudius Nero cum militibus in Hispaniam missus est, et classe usque ad Iberum vectus: ubi cæteris etiam legionibus inventis, Asdrubalem, priusquam eum adesse nosset, oppressum circumvenit: sed deceptus est. Videns enim

Asdrubal se irretitum esse, caduceatoribus ad Neronem missis, se ea conditione dimitti petiit, ut tota Hispania excederet. Quam cum ille cupide accepisset, pactiones procrastinando, alios in alios montes dimisit. Qui cum evasissent, Romanis spe pacis excubias non habentibus, postridie ad Neronem in colloquium venit. Sed totum diem consumpsit, priusquam quidquam confirmaretur. Itidemque nocte alios dimisit, et sic aliis quoque diebus fecit, subinde aliquid in pactis cavillando. Denique et ipse cum equitatu et elephantis se subduxit, et Neroni formidabilis exstitit. Quo Romæ cognito, successor Neroni datus est. Cum autem dubitaretur, quis ejus loco mittendus esset (neque enim res quemlibet postulabat), et multi clade Scipionum deterrerentur : P. Scipio, is qui patrem vulneratum conservavit, ultro se ad illam expeditionem obtulit, juvenis virtute præstantissimus, et optime institutus : statimque est electus. Sed cum non multo post ejus judicii populum pœnituisset, tum ob ætatem (annum enim quartum et vicesimum agebat), tum propter domum ejus, patris et patrui interitu funestam : denuo in publicum progressus, pro concione patribus conscriptis ita satisfecit, ut imperium ei non adimerent, sed M. Junium, virum senem, collegam adjungerent. Post hæc res Romana non citra ærumnas in melius mutari cœpit. Marcellus enim, cum absolutus esset, Annibalem aggressus, pleraque caute administravit, cum desperatis 429 hominibus certare veritus. Sed si quando confligere necesse erat, prudentia magnanimitate temperata, superior evadebat. Annibal autem tum ea de causa, tum quod ab aliis sociis civitatibus desertus, ab aliis deserendus erat, tum propter alia quædam, ea loca quæ tueri nequibat, vastare instituit. Cumque multos vexasset, a pluribus desereatur. In urbe autem Salapia tale quiddam accidit. Duo viri summæ rerum ibi præerant, inter se dissentientes. Nam Alinius Carthaginiensibus, Plautius Romanis studebat, et cum Alinio de urbe Romanis tradenda collocutus erat. Quod cum ille statim ad Annibalem detulisset, in jus adductus est Plautius. Annibale autem cum iis qui in consilio aderant, de ejus supplicio deliberante, ausus est in conspectu Pœni cum Alinio denuo de eadem re agere. Illo vero exclamante, *Ecce ecce, nunc etiam de proditione mecum agit* : propter rei absurditatem Annibal non credidit, eumque ut calumnia petitum absolvit. Absoluto eo, ambo consenserunt : et accersitis a Marcello militibus, Punicoque præsidio cæso, Romanis urbem tradiderunt. Hoc Italicarum rerum statu, Siculi nihilo plus faventes Carthaginiensibus, ad Lavinium consulem se conferebant. Carthaginiensibus qui in Sicilia erant Hanno præerat, sub eoque Mutinas militabat : qui cum pridem Annibali familiaris, ob magna virtutis opera edita, invidiam suscepisset, in Siciliam fuerat

A περιστοιχισάμενος αὐτὸν, ἡπατήθη. Ἰδίων γὰρ ὁ Ἀσδρούβας, ὡς ἀπείλπται, προεχηρυκεύσατο πρὸς τὸν Νέρωνα, ὥστε τὴν Ἰβηρίαν πᾶσαν ἀφεθεὶς ἐκλιπεῖν. Ὡς δ' ἐκεῖνος τοὺς λόγους ἀσμένως ἐδέξατο, ἀναβαλλόμενος ἴνα τὰς συνθήκας τῇ ὑστεραίᾳ ποιήσηται, ὑπεξέπεμψε τῆς νυκτὸς ἄλλους ἄλλῃ τῶν ὁρῶν. Διεξελθόντων δ' ἐκείνων, ἅτε μὴ φυλακῆς οὔσης παρὰ τῶν Ῥωμαίων διὰ τὰς τῶν σπονδῶν ἐλπίδας, ἦλθε μὲν τῇ ἐπιούσῃ ἐς λόγους τῷ Νέρωνι, κατέτριψε δὲ πᾶσαν αὐτὴν, πρίν τι ἐπικυρωθῆναι. Καὶ αὖθις ἄλλους τῆς νυκτὸς ὁμοίως ἀπέπεμψε. Τοῦτο δὲ καὶ ἐν ἄλλαις τισὶν ἡμέραις ὁμοίως ἐποίησεν, ἀμφισβητῶν τινα ἐν τῇ συμβάσει. Προελθόντων δὲ τῶν πεζῶν ἁπάντων, τέλος καὶ αὐτὸς σὺν τοῖς ἱππεῦσι καὶ τοῖς ἐλέφασιν ὑπεξεχώρησε· καὶ διασωθεὶς φοβερὸς αὖθις τῷ Νέρωνι ἐγένετο. Μαθόντες δὲ ταῦτα οἱ ἐν τῇ Ῥώμῃ τοῦ Νέρωνος μὲν κατέγνων, ἄλλῳ δέ τινι τὴν ἡγεμονίαν ἐψηφίσαντο ἐγχειρίσαι. Ἀπορούντων οὖν τίνα ἂν ἀποστείλωσιν (οὐ γὰρ τοῦ τυχόντος ἀνδρὸς ἐδεῖτο τὰ πράγματα), καὶ πολλοὶ τοῦτο διὰ τὸ τῶν Σκιπιώνων πάθος ἐξίσταντο, ὁ Σκιπίων (38) ἐκεῖνος ὁ Πούπλιος, ὁ τὸν πατέρα τρωθέντα σώσας, ἑαυτὸν ἐθελοντὴς εἰς τὴν στρατείαν ἐπέδωκεν. Ἦν δὲ καὶ ἀρετῇ κράτιστος καὶ παιδείᾳ λογιμώτατος· καὶ παραχρῆμα μὲν ἡρέθη. Μεταμέλον δὲ οὐ πολλῷ ὕστερον διά τε τὴν ἡλικίαν αὐτοῦ (τέταρτον γὰρ καὶ εἰκοστὸν ἔτος τῆς ζωῆς ἦγε) καὶ ὅτι καὶ ἡ οἰκία αὐτοῦ διὰ τὸν τοῦ πατρὸς καὶ τοῦ θείου θλεθρον ἀπένθει, ἦλθεν αὖθις εἰς τὸ κοινὸν καὶ ἐδημηγόρησε, καὶ οἷς εἶπε καταιδέσας τοὺς τῆς βουλῆς, τὴν μὲν ἀρχὴν οὐκ ἀφῃρέθη· Μάρκος δὲ Ἰούνιος, ἀνὴρ γηραιὸς, προσεπέμφθη αὐτῷ. Τοῖς Ῥωμαίοις δὲ μετὰ ταῦτα τὰ πράγματα οὐκ ἀταλαιπώρως ἐχώρησεν εἰς τὸ βέλτιον. Ὁ γὰρ Μάρκελλος, ἐπειδὴ κατηγορηθεὶς ἀπελύθη, ὥρμησεν ἐπὶ τὸν Ἀννίβαν, καὶ τὰ μὲν πλεῖστα δι' ἀσφαλείας ἐποιεῖτο, δεδιὼς πρὸς ἀπονενοημένους ἀποκινδυνεῦσαι· εἰ δέ ποτε ἠναγκάσθη προσμῖξαι, κρείττων ἐκ φρονήσεως εὐτολμίᾳ κεκραμένης ἐγένετο. Ὁ οὖν Ἀννίβας διά τε ταῦτα, καὶ ὅτι αἱ πόλεις αἱ συμμαχοῦσαι αὐτῷ αἱ μὲν ἐγκαταλελοίπεσαν αὐτὸν, αἱ δὲ διενοοῦντο, καὶ δι' ἕτερ' ἄττα, κακῶσαι τὰ χωρία ἃ μὴ κατέχειν οἷός ἦν ἐπεχείρησε, καὶ πολλοῖς ἐλυμήνατο, καὶ πλείους διὰ τοῦτο ἀφίσταντο. Περὶ δὲ Σαλαπίαν πόλιν τοιοῦτόν δέ τι συνέπεσε. Δύω ἄνδρες τὰ πράγματα αὐτῶν εἶχον, διάφοροί τε ἀλλήλοις ἦσαν. Καὶ Ἀλίνιος μὲν τὰ τῶν Καρχηδονίων ἐφρόνει, Πλαύτιος δὲ τὰ τῶν Ῥωμαίων, ὃς καὶ διελέχθη τῷ Ἀλινίῳ περὶ προδοσίας τῆς εἰς Ῥωμαίους. Μηνύσαντός τε εὐθὺς ἐκείνου τῷ Ἀννίβᾳ ταῦτα, ἐς δίκην ὑπήχθη ὁ Πλαύτιος. Βουλευομένου δὲ τοῦ Ἀννίβου μετὰ τῶν συνέδρων, ὅπως αὐτὸν κολάσει, ἐτόλμησεν ἐπ' ὄψει αὐτοῦ τῷ Ἀλινίῳ πέλας που ὄντι περὶ προδοσίας αὖθις εἰπεῖν. Ἀναβοήσαντος δ' ἐκείνου, *Ἴδε, ἴδε, καὶ νῦν μοι περὶ αὐτοῦ τούτου λαλεῖ*· οὐκ ἐπίστευσεν ὁ Ἀννίβας διὰ τὸ ἄτοπον, ἀλλὰ καὶ ὡς συκοφαντούμενον αὐτὸν ἀπέλυσεν. Ἀφεθέντος δὲ, ὡμο-

Variæ lectiones et notæ.

(38) *Ὁ Σκιπίων.* Excerpta Dionis Valesiana, p. 602.

νόησαν ἅμ᾽ ᾧ· καὶ στρατιώτας παρὰ τοῦ Μαρκέλλου ἐπαγαγόμενοι, τήν τε φρουρὰν τῶν Καρχηδονίων κατέκοψαν, καὶ τὴν πόλιν τοῖς Ῥωμαίοις παρέδοσαν. Καὶ οὕτω μὲν ἐν τῇ Ἰταλίᾳ ἔσχον τοῖς Καρχηδονίοις τὰ πράγματα, καὶ οὐδ᾽ ἡ Σικελία ἦν εὐνοοῦσα αὐτοῖς, ἀλλὰ τῷ ὑπάτῳ τῷ Λαουϊνίῳ προσεχώρουν. Ἡγεῖτο μὲν γὰρ τῶν ἐν τῇ Σικελίᾳ Καρχηδονίων Ἀννίων· συνεστρατεύετο δὲ αὐτῷ καὶ Μουτίνας. Ὃς συνὼν τῷ Ἀννίβᾳ πρώην, καὶ φθονηθείς, ὅτι μεγάλα ἔργα ἀρετῆς ἐπεδείκνυτο, ἐς Σικελίαν ἐπέμφθη. Ὡς οὖν κἀκεῖ λαμπρῶς ἱππάρχει, φθόνον καὶ πρὸς τοῦ Ἄννωνος ὤφλε, καὶ διὰ τοῦτο τῆς ἱππαρχίας ἐπαύθη. Περιαλγὴς γοῦν διὰ ταῦτα γενόμενος, πρὸς τοὺς Ῥωμαίους ἀπέκλινε. Καὶ πρῶτον μὲν προδοσίαν Ἀκράγαντος συνέπραξε σφίσιν. Εἶτα καὶ τἄλλα συγκατειργάσατο, ὥστε πᾶσαν αὖθις τὴν Σικελίαν ὑπ᾽ αὐτοὺς ἄνευ μεγάλου πόνου γενέσθαι.

A ablegatus. Sed ne ibi quidem magister equitum rebus præclare gestis, Hannonis invidia evitata, magistratu abire coactus est. Quibus injuriis exacerbatus ad Romanos se contulit : ac primum adjumento fuit, ut eis Agrigentum proderetur. Deinde in aliis quoque rebus navavit operam, ut totam Siciliam absque magno labore recuperarent.

Η'. Ὁ δὲ Φάβιος καὶ ὁ Φλάκκος, ἄλλας τε πόλεις πολλὰς, καὶ τὸν Τάραντα, τοῦ Ἀννίβου κατέχοντος αὐτὸν, ἐχειρώσαντο. Κελεύσαντες γάρ τισι τὴν Βρεττίαν κατατρέχειν, ἵν᾽ ὁ Ἀννίβας εἰς ἐπικουρίαν αὐτῆς ἀπάρῃ ἐκ Τάραντος, ἐπεὶ τοῦτο ἐγένετο, Φλάκκος μὲν ἐκεῖνον ἐπετήρει, Φάβιος δὲ ἐν τούτῳ νυκτὸς τῷ Τάραντι ταῖς τε ναυσὶν ἅμα καὶ τῷ πεζῷ προσβαλὼν, τῇ τε προσβολῇ καὶ τῇ προδοσίᾳ εἷλε τὴν πόλιν. Ὁ οὖν Ἀννίβας διὰ τὴν ἀπάτην ἀχθόμενος, ἀντεπιβουλεῦσαι τῷ Φαβίῳ ἐσπούδασε. Καὶ ἐπιστολὴν αὐτῷ ἐκ Μεταποντίου ὡς παρὰ τῶν ἐπιχωρίων ἐπὶ προδοσίᾳ τῆς πόλεως ἔπεμψεν, ἐλπίσας ἀπερισκέπτως αὐτὸν προσιόντα ἐνεδρεύσειν. Καὶ ὃς ὑπεξέπεμψε τὸ πραττόμενον, καὶ παραβαλὼν τὰ γράμματα ταῖς ἐπιστολαῖς ἃς τοῖς Ταραντίνοις ποτὲ ἐγεγράφει, κατεφώρασεν ἐκ τῆς αὐτῶν ὁμοιότητος τὸ ἐπιβούλευμα. Σκιπίων δὲ τὸν ἄλλον χρόνον, εἰ καὶ τιμωρῆσαι τῷ πατρὶ καὶ τῷ θείῳ ἐγλίχετο, καὶ τῆς τοῦ πολέμου δόξης ὠρέγετο, ἀλλ᾽ οὐκ ἐπείγετο διὰ τὸ πλῆθος τῶν ἐναντίων. Ἐπεὶ δ᾽ ἤσθετο αὐτοὺς χειμάζοντας πόρρω ποι, ἐκείνους μὲν εἶα, ἐς δὲ τὴν Καρχηδόνα τὴν ταύτῃ ὥρμησεν· οὐ μέντοι τις τὸ παράπαν τὴν ὁρμὴν αὐτοῦ ἔγνωκε πρὶν πρὸς αὐτῇ τῇ Καρχηδόνι γενέσθαι, καὶ ἔλαβε σὺν πόνῳ τὴν πόλιν. Ἁλούσης δὲ τῆς Καρχηδόνος, στάσις μεγίστη μικροῦ τῶν στρατιωτῶν ἐγένετο ἄν. Τοῦ γὰρ Σκιπίωνος στέφανον ὑποσχομένου δώσειν τῷ πρώτῳ τοῦ τείχους ἐπιβάντι, δύω ἄνδρες, ὁ μὲν Ῥωμαῖος, ὁ δ᾽ ἐκ τῶν συμμάχων περὶ αὐτοῦ ἠμφισβήτησαν. Διαφερομένων δ᾽ ἐκείνων, καὶ τὸ ἄλλο πλῆθος ἐθορυβήθη, καὶ ἐπὶ πλεῖστον ἐταράχθησαν, ὥστε καὶ δεινόν τι δρᾶσαι, εἰ μὴ ὁ Σκιπίων καὶ ἄμφω ἐστεφάνωσε, καὶ συχνὰ μὲν τοῖς στρατιώταις διέδωκε, συχνὰ δὲ καὶ τοῖς δημοσίοις προσένειμε, καὶ τοὺς ἐκεῖ κατεχομένους ὁμήρους προῖκα πάντας τοῖς οἰκείοις ἀπέδωκεν. Ὅθεν πολλοὶ μὲν δῆμοι, πολλοὶ δὲ καὶ δυνάσται αὐτῷ προσεχώρησαν, καὶ τὸ τῶν Κελτιβήρων ἔθνος πρὸς τοῖς λοιποῖς. Παρθένον γὰρ ἐν τοῖς αἰχμαλώτοις λαβὼν κάλλει ἐπιφανῆ, ἐνομίσθη μὲν ἔσεσθαι αὐτῆς ἐν ἔρωτι· μαθὼν δὲ ὅτι τινὶ τῶν ἐν τέλει Κελτιβήρων ἐγγεγύηται, μετεπέμψατο αὐτὸν, καὶ τὴν νεᾶνιν παραδέδωκε, προσεπιδοὺς καὶ τὰ λύτρα ἃ οἱ προσήκοντες αὐτῇ προσεκόμισαν. Κἀκ τούτου καὶ ἐκείνους καὶ τοὺς λοιποὺς ἀνηρτήσατο. Μαθὼν δὲ τὸν Ἀσδρούβαν τὸν τοῦ Ἀννίβου ἀδελφὸν σπουδῇ ἰόντα, καὶ ἀγνοοῦντα ἔτι τὴν τῆς πόλεως ἅλωσιν,

VIII. At Fabius et Flaccus, cum alias urbes, tum Tarentum, tenente tum Annibale, subegerunt. Nam cum Brutios incursare quosdam jussissent, eaque de causa Annibal, relicta urbe, illis suppetias iret, Flaccus illum observat : Fabius interim noctu impetu terra marique facto, partim vi, partim proditione Tarentum cepit. Quem dolum **430** ægre ferens Annibal, pari dolo Fabium ulcisci statuit, eique litteras Metapontinorum civium nomine scribit de prodenda civitate : eum temere accedentem, in insidias delapsurum esse ratus. Verum ille suspicatus quid rei esset, litteris iis cum illis comparatis, quas aliquando Tarentinis scripserat, insidias ex earum similitudine deprehendit. Enimvero Scipio, quamvis et patris et patrui cædem ulcisci cupiens, et belli gloriam expetens, non tamen properavit, ob hostium multitudinem : sed cum eos longe in hibernis abesse cognovisset, omissis eis, tanta celeritate et circumspectione novam Carthaginem contendit, ut ejus adventus non prius resciretur quam adesset, urbemque non sine labore cepit. Ea expugnata, pene maxima inter milites orta esset seditio. Nam cum Scipio ei qui primus murum conscendisset, coronam pollicitus esset; duo viri, alter Romanus, alter ex sociis, eam sibi laudem vindicarunt; ac studiis multitudinis contentio ad maximum tumultum processit. Et haud dubie gravius aliquid accidisset, ni Scipio utrumque coronasset. Idem multa militibus, multa rebus publicis largitus est; et obsides, qui ibi tenebantur, omnes suis sine pretio reddidit. Quo factum, ut multæ civitates, multi dynastæ se ad fidem ejus contulerint, et præter cæteros Celtiberi. Nam cum inter captivos virginem excellenti forma cepisset, eam adamaturus putabatur. Sed cum principi cuidam apud Celtiberos desponsam esse cognovisset, accito sponso, puellam ei tradidit, una cum pecunia, quam ejus necessarii pro ea redimenda contulerant. Quo facto, et illos et cæteros sibi conciliavit. Asdrubali fratri Annibalis, quem propere adventare cognorat, captam esse urbem adhuc ignoranti, et nihil in itinere hostile timenti, occurrit; eoque superato et castris ejus occupatis, multos illius loci ad suam amicitiam pellexit. Nam in re bellica acer erat, in familiaribus congressibus lenis, resistentibus foe-

θαῤῥήσας, σπείσασθαι ὅτι τάχιστα ἔγνω, ἵν' εἰ μὴ A τοῦτο συμβαίη, τριβὴν τέως τινὰ πορίσηται καὶ διακωχήν. Πέμψας οὖν πρὸς τὸν Μασινίσσαν, δι' ἐκείνου ὡς ὁμοφύλου τὰς σπονδὰς ᾔτησε· καὶ ἦλθε μὲν ἐς λόγους τῷ Σκιπίωνι, ἔπραξε δὲ οὐδέν. Ὁ γὰρ Σκιπίων οὔτε τραχὺ οὔτε τι σαφὲς ἀπεκρίνατο, ἀλλὰ τὸ μὲν ὅλον ἐμέσευσεν, ἐπιεικέστερον δ' ὅμως διειλέχθη, ὅπως αὐτὸν ὡς καὶ σπεισόμενος εἰς ἀμέλειαν προαγάγῃ, ὃ καὶ συμβέβηκε. Μάχης μὲν γὰρ περὶ οὐδὲν ὁ Ἀννίβας ἐνενόησε, μεταστρατοπεδεύσασθαι δὲ εἰς χωρίον ἐπιτηδειότερόν τι ἠθέλησεν. Ἐξ αὐτομόλων δὲ τοῦτο μαθὼν ὁ Σκιπίων, προεξανέστη νυκτός, καὶ κατέσχε τὸν τόπον εἰς ὃν ἐκεῖνος ἠπείγετο. Ἐν χωρίῳ δέ τινι κοίλῳ καὶ ἀνεπιτηδείῳ πρὸς στρατοπέδευσιν γενομένοις τοῖς Καρχηδονίοις ἐπεφάνη αἰφνίδιον. Ὁ δ' Ἀννίβας συμβαλεῖν οὐκ ἠθέλησε. Στρατοπεδευόμενος δ' ἐκεῖ καὶ φρεωρυχῶν ἐταλαιπώρησε διὰ πάσης τῆς νυκτός, καὶ οὕτως κακῶς αὐτοὺς ἔχοντας ὑπὸ καμάτου καὶ δίψης, κατηνάγκασε καὶ ἄκοντας ὁ Σκιπίων συμμίξαι αὐτῷ. Συνέβαλον οὖν οἱ μὲν Ῥωμαῖοι συντεταγμένοι καὶ πρόθυμοι, Ἀννίβας δὲ καὶ οἱ Καρχηδόνιοι ἀπρόθυμοί τε καὶ καταπεπληγμένοι, καὶ δι' ἕτερα καὶ ὅτι καὶ ὁ ἥλιος σύμπας ἐξέλιπεν. Ἐκ γὰρ τῶν ἄλλων καὶ τοῦτο οὐκ αἴσιόν τι προμηνύειν σφίσιν ὁ Ἀννίβας ὑπώπτευσεν. Οὕτω δ' ἔχοντες τοὺς ἐλέφαντας ἑαυτῶν προσβάλοντο. Καὶ οἱ Ῥωμαῖοι μέγα ἐξαίφνης καὶ καταπληκτικὸν ἀνεβόησαν, καὶ τὰς ἀσπίδας τοῖς δόρασι κρούσαντες θυμῷ καὶ ὁρόμῳ ἐπὶ τοὺς ἐλέφαντας ὥρμησαν. Ὑφ' ὧν ταραχθέντες ἐκεῖνοι οἱ μὲν πλείους οὐκ ἐδέξαντο σφᾶς, ἀλλ' ἀπετράποντο, καὶ τιτρωσκόμενοι μείζω τοῖς ἐπιτεταγμένοις ἐνεπίπλουν τὸν θόρυβον. Οἱ δὲ καὶ ὁμόσε σφίσι χωρήσαντες, τῶν Ῥωμαίων διιστάντων, διὰ μέσου αὐτῶν διεξέτρεχον, καὶ περιόντες ἐβάλλοντό τε καὶ ἐχειρὸς ἐτιτρώσκοντο. Καὶ ἐπί τινα μὲν χρόνον ἀντέσχον οἱ Καρχηδόνιοι. Ἔπειτα τοῦ Μασινίσσου καὶ τοῦ Λαιλίου τοῖς ἵπποις προσπεσόντων αὐτοῖς, πάντες ἔφυγον· οἱ δὲ πλείους ἐφθάρησαν, καὶ ὁ Ἀννίβας μικροῦ ἂν ἀπώλετο. Φεύγοντα γὰρ αὐτὸν ὁ Μασινίσσας ἐπεδίωκεν ἀκρατῶς τῇ τοῦ ἵππου ῥύμῃ ὑπενδιδούς. Μεταστραφεὶς δ' ὁ Ἀννίβας, καὶ ἰδὼν αὐτὸν οὕτω διώκοντα, ἡρέμα ἐξέκλινε, καὶ τὸν δρόμον ἐπέστησε, καὶ οὕτω παρελάσαντα τὸν Μασινίσσαν κατὰ νώτου γενόμενος ἔτρωσε, κἀκ τούτου μετ' ὀλίγων ἐξέφυγε. Σκιπίων δὲ νικήσας, ἐπὶ τὴν Καρχηδόνα ἤπείχθη, καὶ ἐπολιόρκει αὐτὴν ἐκ γῆς ἅμα καὶ θαλάσσης. Οἱ δ' αὖ Καρχηδόνιοι πρῶτον μὲν ὡς τὴν πολιορκίαν καρτερήσοντες ἡτοιμάζοντο. Ἔπειτα διαπρεσβευσάμενοι πρὸς τὸν Σκιπίωνα διεκηρυκεύσαντο, καὶ ὁ Σκιπίων τοὺς λόγους σφῶν προσεδέξατο, καὶ περὶ τῶν συνθηκῶν διειλέχθη αὐτοῖς. Ἦν δὲ τὰ ὁμολογημένα, ὁμήρους τε παρὰ τῶν Καρχηδονίων, καὶ τοὺς αἰχμαλώτους καὶ τοὺς αὐτομόλους δοθῆναι· καὶ πάντας μὲν τοὺς ἐλέφαντας, τὰς δὲ τριήρεις πλὴν δέκα παρασχεθῆναι· καὶ τοῦ λοιποῦ μήτε ἐλέφαντας, μήτε ναῦς μακρὰς πλείους τῶν δέκα ἔχειν, καὶ μήτε πόλεμον παρὰ τὴν τῶν Ῥωμαίων γνώμην πρὸς μηδένα ποιεῖσθαι· καί τινα ἕτερα. Τοιούτων δὲ γε-

neque aspere neque perspicue respondit; sed quamvis omnino medium quoddam teneret, tamen humanius disseruit, ut eum spe pacis negligentiorem redderet, idque accidit. Cum enim Annibalem de pugna minime cogitantem, castra in locum commodiorem transferre velle ex transfugis intellexisset, noctu loco eo, quo ille properabat, præoccupato, Carthaginiensibus in convalle, castris haud idonea, versantibus, ex improviso se ostendit. At Annibal detrectata pugna, castris ibi muniendis et puteis fodiendis per totam noctem fuit occupatus, qua ærumna fatigatos et sitientes Scipio vel invitos inire prælium coegit. Congrediuntur inter sese, Romani instructi et sacres, Annibal et Carthaginienses inviti, et præter alia etiam defectu solis integro territi; quem præter cætera nihil sibi fausti portendere Pœnus arbitratus, elephantes in prima acie collocat. Romani vero subito ingenti et terribili clamore sublato, et clypeos hastis pulsantes, ira et cursu incitati, belluas impetu illo territas dissiparunt atque everterunt; quæ vero vulnerabantur, suis magis incommodabant. Jam ut aliquæ in hostes irent, tamen Romanis spatium præbentibus, per mediam aciem transcurrentes, inter præterecundum et jaculis et gladiis vulnerabantur. Ac ad tempus aliquod Carthaginienses restiterunt. Deinde Masinissæ et Lælii equitatu invecto, fugerunt omnes, plures ceciderunt, ipso etiam Annibale pene interfecto. Nam cum fugiens Masinissam laxis habenis acerrime persequi conversus vidisset, ejus impetu nonnihil declinato, cursuque inhibito, prætervectum a tergo adortus vulneravit; itaque cum paucis evasit. Scipio victoria potitus, propere Carthaginem **443** terra marique obsedit. Carthaginienses principio se ad tolerandam obsidionem parantes, tandem rebus desperatis, caduceatores ad illum miserunt, cum quibus Scipio de pacis conditionibus egit, quæ hujusmodi fuerunt: ut Carthaginienses obsides darent, captivos et transfugas omnes restituerent, elephantos omnes et triremes, decem exceptis, traderent. In posterum neque elephantos neque longas naves plures quam denas haberent, neque bellum cum quoquam nisi de sententia Romanorum susciperent. Adjecta sunt et alia quædam. His conditionibus propositis legati Romam missi, sed parum alacriter a senatu susceptæ sunt; aliis aliud censentibus, ac inter sese rixantibus. Verum populus pacem magno consensu decrevit, acceptis conditionibus, decemque legatis missis, qui una cum Scipione omnia administrarent. Pactis firmatis, triremes traditæ, crematæque sunt elephantorum major pars Romam missa, reliqui Masinissæ donati, Africam Romani, Carthaginienses Italiam reliquerunt. Hic secundi belli Punici post annos sexdecim exitus fuit. Scipio autem, magna parta gloria, cognomentum Africani tulit. (Jam tum enim Carthagini finitima Libya, Africa vocabatur) et multis captivis civibus receptis, liberator a multis dictus, in summo honore fuit. Annibal contra a

suis civibus accusatus est, quod Romam capere potuit, nec voluerit; et manubiis in suum peculium conversis, reipublicæ fraudarit. Sed absolutus est; nec multo post, summum Carthaginiensium magistratum adeptus.

νομένων των ἐμολογιῶν, πρέσβεις ἐπὶ Ῥώμην οἱ Καρχηδόνιοι ἐστάλκασι. Καὶ οἱ μὲν ἀπῆλθον, οὐ μέντοι καὶ ἡ γερουσία τὴν πρεσβείαν ἑτοίμως ἐδέξατο, ἀλλ' ἐπὶ πολὺ ἠμφισβήτησαν, ἀλλήλοις ἐναντιούμενοι. Ὁ δὲ δῆμος τὴν εἰρήνην ὁμοθυμαδὸν ἐψηφίσατο, καὶ τὰς ὁμολογίας ἐδέξαντο· καὶ ἔπεμψαν δέκα ἄνδρας, ἵνα μετὰ τοῦ Σκιπίωνος ἅπαντα διοικήσωσι· Καὶ αἱ συμβάσεις ἐπράχθησαν, καὶ αἱ τριήρεις ἐδόθησαν, καὶ ἐκαύθησαν, καὶ τῶν ἐλεφάντων οἱ μὲν πλείους εἰς τὴν Ῥώμην ἀπήχθησαν· τῷ Μασινίσσῃ δὲ καὶ οἱ λοιποὶ ἐδωρήθησαν. Καὶ Ῥωμαῖοι μὲν τὴν Λιβύην ἐξέλιπον, τὴν δ' Ἰταλίαν οἱ Καρχηδόνιοι. Ὁ μὲν οὖν δεύτερος πόλεμος τῶν Καρχηδονίων ἐτελειώθη· ἐκκαιδεκάτῳ εἰς τοῦτο κατήντησε. Κἀντεῦθεν ὁ Σκιπίων λελάμπρυστο καὶ Ἀφρικανὸς ἐπεκέκλητο (Ἀφρικὴ (42) γὰρ ἤδη ἡ περὶ Καρχηδόνα Λιβύη ὠνόμαστο), πολλοῖς δὲ καὶ ἐλευθέρωτὴς προσηγόρευτο, πολλοὺς πολίτας κομίσας αἰχμαλώτους. Καὶ ὁ μὲν μέγας ἐκ τούτων ἦρετο, Ἀννίβας δὲ κατηγόρητο παρὰ τοῖς οἰκείοις, ὡς τήν τε Ῥώμην λαβεῖν δυνηθεὶς, καὶ μὴ θελήσας, καὶ τὴν λείαν τὴν ἐκ τῆς Ἰταλίας σφετερισάμενος. Οὐ μὴν καὶ ἐάλω, ἀλλὰ καὶ τὴν μεγίστην τῶν Καρχηδονίων ἀρχὴν οὐκ εἰς μακρὰν ἐπετράπη.

XV. Hoc bello confecto, Romani aliis adversus Philippum Macedonem et Antiochum sunt implicati. Nam Punicis adhuc certaminibus districti, Philippum quamvis parum amicum, tamen colebant, ne Carthaginienses adjutaret, aut Italiam invaderet. Pace autem cum illis constituta, nihil cunctati, bellum aperte cum eo gesserunt. Cum enim per legatos multa questi, nihil eorum quæ postularant, impetrassent, bellum decreverunt: eam causam prætexentes, quod Græciam invasisset, sed revera ob priores injurias illi infensi: et antevertere cupientes, ne, Græcis subactis, 44 Pyrrhi exemplo bellum in Italiam transferret. Bello decreto cum alia rite præparārunt, tum L. Apustium classi præfectum Sulpitio Galbæ adjunxerunt, qui cum sinu fonio occupato diu ægrotaret, præfectus ille, et Claudius Cento legatus, omnibus copiis acceptis, hic quidem Athenas a Macedonibus obsessas classe liberavit; et Chalcidem, quam iidem tenebant, vastavit: et Philippum, qui Athenas interim invaserat, regressus iterum atque iterum depulit. Apustius autem Philippo in Græcia occupato, impressione in Macedoniam facta, agros vastavit, et castella atque oppida subegit. Qua de causa Philippus animo æstuans, sursum deorsum aliquandiu cursitavit, alias aliis opem ferens. Cæterum Apustio regionem graviter urgente et Dardanis finitimam sibi Macedoniam vexantibus (habitant autem supra Illyrios et Macedones) cum Illyrii quoque atque Amynander Athamaniæ Thessalicæ gentis regulus, dudum ejus fœderati, ad Romanos defecissent, etiam Ætolos suspectos habens, et rebus suis metuens: cum majori copiarum parte in suum regnum properavit. Cujus adventu cognito, Apustius, hieme instante recessit. Galba ex morbo recreatus, pluribus copiis comparatis, sub veris initia in Macedoniam properavit. Cumque castra in propinquo haberent, levia certamina inter equites et velites facta sunt. Romanis autem in locum quemdam digressis, unde com-

ΙΕ'. Εἰς ἕτερους δ' αὖθις πολέμους οἱ Ῥωμαῖοι κατέστησαν, γενομένους πρὸς Φίλιππόν τε τὸν Μακεδόνα καὶ τὸν Ἀντίοχον. Μέχρι γὰρ ἡ πρὸς Καρχηδονίους ἥκμαζε μάχη, κἂν μὴ φίλια σφίσι τὰ περὶ τὸν Φίλιππον ἦν, ἐθεράπευον αὐτὸν, ἵνα μὴ τοῖς Καρχηδονίοις συνάροιτο, ἢ εἰς τὴν Ἰταλίαν στρατεύοιτο. Ἐπεὶ δὲ τὰ κατ' ἐκείνους ἠρέμησαν, οὐκέτ' ἐμέλλησαν, ἀλλ' εἰς πόλεμον αὐτῷ κατέστησαν φανερὸν πολλὰ ἐγκαλοῦντες αὐτῷ. Πρέσβεις οὖν οἱ Ῥωμαῖοι πρὸς αὐτὸν πέμψαντες, ἐπεὶ μηδὲν ὧν ἐπετάττετο ἔπραττε, τὸν πόλεμον ἐψηφίσαντο, χρώμενοι μὲν τῇ τῶν Ἑλλήνων ἐπιβάσει λαβεῖν, τὸ δ' ἀληθὲς ἀγανακτοῦντες ἐφ' οἷς ἐδεδράκει, καὶ προκαταλαμβάνοντες αὐτὸν, ἵνα μὴ καταδουλωσάμενος ἐκεῖνος, ἐπὶ τὴν Ἰταλίαν στρατεύσῃ κατὰ τὸν Πύρρον. Ψηφισάμενοι δὲ τὸν πόλεμον, τά τε ἄλλα παρεσκευάσαντο εὖ, καὶ στρατηγὸν ἐπὶ τοῦ ναυτικοῦ Λούκιον Ἀπούστιον Σουλπικίῳ Γάλβᾳ δεδώκασι. Καὶ ὁ Γάλβας τὸν Ἰόνιον κόλπον διαλαβὼν ἐπὶ πολὺ ἐνόσησε. Παραλαβόντες οὖν τὴν δύναμιν πᾶσαν ὅ τε ῥηθεὶς στρατηγὸς καὶ Κλαύδιος Κέντων ὁ ὑποστράτηγος, αὐτὸς μὲν τῷ ναυτικῷ τὰς Ἀθήνας ὑπὸ τῶν Μακεδόνων πολιορκουμένας ἐρρύσατο, καὶ Χαλκίδα κατεχομένην ὑπ' αὐτῶν ἐπόρθησε. Κἀν τούτῳ Φιλίππου ταῖς Ἀθήναις ἐπιστρατεύσαντος, ἐπανελθὼν τότε αὐτὸν ἀπεώσατο, καὶ μετὰ τοῦτο αὖθις προσβαλόντα ἀπεκρούσατο. Ἀπούστιος δ' ἐς τὴν Μακεδονίαν, ἀσχόλου περὶ τὴν Ἑλλάδα τοῦ Φιλίππου ὄντος, ἐμβαλὼν, τήν τε γῆν ἐλῄζετο καὶ φρούρια καὶ πόλεις ἐχειρώσατο. Φίλιππος δὲ διὰ ταῦτα ἐν ἀμηχανίᾳ γενόμενος, τέως μὲν ἄνω καὶ κάτω περιέθει, ἄλλοθε ἄλλοις ἀμύνων. Ὡς δὲ ὁ Ἀπούστιος τῇ χώρᾳ αὐτοῦ ἰσχυρῶς ἐνέκειτο, καὶ οἱ Δάρδανοι τὴν πρόσορον σφίσι Μακεδονίαν ἐκάκουργουν (οἰκοῦσι δ' οὗτοι ὑπέρτε Ἰλλυρίων καὶ ὑπὲρ Μακεδόνων), Ἰλλύριοί τέ τινες καὶ Ἀμύνανδρος Ἀθαμανίας Θεσσαλικοῦ γένους βασιλεὺς ὢν, σύμμαχοι πρότερον ὄντες αὐτοῦ, πρὸς τοὺς Ῥωμαίους μετέστησαν· ἐκ τούτου καὶ τὰ τῶν Αἰτολῶν ὑπώπτευσε, καὶ περὶ τοῖς οἴκοι ἔδεισε, καὶ ἐκεῖ μετὰ τοῦ πλείονος στρατεύματος

Variæ lectiones et notæ.

(42) *Ἀφρικὴ γάρ.* Eunapius in Maximo: Καί τις τῶν ἐκ Λιβύης, ἣν Ἀφρικὴν καλοῦσι Ῥωμαῖοι κατὰ τὸ πάτριον τῆς γλώττης.

ἔσπευσε. Γνοὺς δὲ τὴν πρόσοδον αὐτοῦ ὁ Ἀπούστιος ἀνεχώρησεν· ἤδη γὰρ καὶ χειμὼν ἦν. Ῥᾳτσας δ' ἐκ τῆς νόσου ὁ Γάλβας πλείω παρεσκευάσατο δύναμιν, καὶ ἅμα ἔαρι εἰς τὴν Μακεδονίαν ἠπείγετο. Ἐπεὶ δ' ἐπλησίασαν ἀλλήλοις ἀντεστρατοπεδεύσαντο, καὶ ἀκροβολισμοῖς ἐχρῶντο τῶν ἱππέων καὶ τῶν ψιλῶν. Μεταστάντων δὲ τῶν Ῥωμαίων ἔς τι χωρίον ὄθεν ῥᾷον ἦν αὐτοῖς ἐπισιτίσασθαι, νομίσας ὁ Φίλιππος ὡς φοβουμένους αὐτὸν μεταστῆναι, ἐπῆλθεν αὐτοῖς ποιουμένοις ἁρπαγὰς ἀπροσδόκητος, καί τινας διέφθειρε. Καὶ ὁ Γάλβας τοῦτο αἰσθόμενος, ἐπεξέδραμεν ἐκ τοῦ στρατοπέδου καὶ προσπεσὼν αὐτῷ πολλῷ πλείους ἀντεπέκτεινεν. Ὁ δέ γε Φίλιππος ἡττηθείς, καὶ τρωθείς, ὑπὸ νύκτα ἀπανέστη. Οὐ μέντοι αὐτὸν ὁ Γάλβας ἐδίωξεν, ἀλλ' εἰς τὴν Ἀπολλωνίαν ἀνεχωρήσατο. Καὶ Ἀπούστιος δὲ μετὰ τῶν Ῥοδίων καὶ τοῦ Ἀττάλου περιπλέων, νήσους συχνὰς ἐχειρώσατο. Κατὰ δὲ τὸν αὐτὸν χρόνον καί τις Ἀμίλκας Καρχηδόνιος τῷ Μαγῶνι συστρατεύσας ἐν Ἰταλίᾳ, κἀκεῖ ὑπομείνας, τέως μὲν ἡσυχίαν ἦγεν. Ὡς δ' ὁ Μακεδονικὸς πόλεμος ἐνέστη, τούς τε Γαλάτας τῶν Ῥωμαίων ἀπέστησε· καὶ μετ' αὐτῶν ἐπὶ Λίγυας στρατεύσας, τινὰς κἀκείνων προσεποιήσατο. Λουκίῳ δὲ Φουρίῳ στρατηγοῦντι πολεμηθέντες ἡττήθησαν, καὶ περὶ σπονδῶν ἐπρεσβεύσαντο. Καὶ οἱ μὲν Λίγυες ἔτυχον αὐτῶν, τοῖς ἄλλοις δὲ οὐκ ἐδόθησαν· ἀλλ' ἀντεστράτευσεν ἐπ' αὐτοὺς Αὐρήλιος ὁ ὕπατος, φθονήσας τῆς νίκης τῷ στρατηγῷ. Τῷ δ' ἑξῆς ἔτει πρὸς τοῦ Ἀμίλκου καὶ τῶν Γαλατῶν συνηνέχθη πολλὰ καὶ δεινά. Γναῖόν τε γὰρ Βαίβιον (43) στρατηγὸν ἐνίκησαν, καὶ τὴν συμμαχίδα τῶν Ῥωμαίων κατέτρεχον, καὶ Πλακεντίαν ἐπολιόρκουν, καὶ ἑλόντες κατέσκαψαν.

ΙϚ'. Ἐν δὲ τῇ Ἑλλάδι καὶ τῇ Μακεδονίᾳ Πούπλιος Οὐάλιος (44) ὁ ὕπατος ἀντεκάθητο τῷ Φιλίππῳ, τὰ τῆς Ἠπείρου προκαταλαβόντι στενά, δι' ὧν εἰς τὴν Μακεδονίαν εἰσὶν εἰσβολαί. Μετὰ δὲ τὸν χειμῶνα Τίτος Φλαμίνιος ὕπατος, τοῦ Φιλίππου πᾶν τὸ μεταξὺ τῶν ὀρῶν διατειχίσαντος, καὶ ὄντος δυσπολεμήτου, διά τινος ἐκπεριῆλθε στενῆς ἀτραποῦ μετ' ὀλίγων τὸ περιτείχισμα. Καὶ φανεὶς ἐξ ὑπερδεξίων αἰφνίδιον ἐφόβησε τὸν Φίλιππον, νομίσαντα πᾶν τὸ τοῦ Τίτου στράτευμα εἴσω τῶν στενῶν παρελθεῖν, ὅθεν καὶ εἰς τὴν Μακεδονίαν ἀπῆρεν εὐθύς. Ὁ δ' ὕπατος ἐκεῖνον μὲν οὐκ ἐδίωξε, τὰς δ' ἐν τῇ Ἠπείρῳ πόλεις προσεποιήσατο· καὶ ἐς Θεσσαλίαν ἐλθὼν πολλὰ παρεσπάσατο τοῦ Φιλίππου, καὶ εἰς τὴν Φωκίδα τὴν Βοιωτίαν τε ἀνεχώρησε· καὶ ὁ μὲν Ἐλάτειαν ἐπολιόρκει, Λούκιος δὲ Φλαμίνιος ὁ ἀδελφὸς αὐτοῦ μετὰ τοῦ Ἀττάλου καὶ τῶν Ῥοδίων τὰς νήσους ἐχειροῦτο. Καὶ τέλος Κέγχρειαν ἑλόντες, καὶ πυθόμενοι πρέσβεις παρὰ Φιλίππου πρὸς τοὺς Ἀχαιοὺς ἐπὶ συμμαχίᾳ πεπέμφθαι, ἀπέστειλαν καὶ αὐτοί, καὶ Ἀθηναῖοι συνεπρεσβεύσαντο. Καὶ πρότερον μὲν ἐμερίσθησαν αἱ γνῶμαι τῶν Ἀχαιῶν, τῶν μὲν τῷ Φιλίππῳ τὴν συμμαχίαν ψηφιζομένων, τῶν δὲ τοῖς Ῥωμαίοις. Ὀψὲ δ' οὖν ποτε τὴν βοήθειαν αὐτοῖς ἐψηφίσαντο, καὶ ἐπὶ τὴν Κόρινθον συνεστράτευσαν, καὶ τοῦ μὲν τείχους κατήρειψάν τινα· πονήσαντες δ' ἐπ' ἐκδρομαῖς, ἀπανέστησαν. Εἶτα δείσας ὁ Φίλιππος μὴ πολλαὶ πόλεις ἁλῶσιν, ὑπὲρ εἰρήνης πρὸς τὸν ὕπατον ἐπεχηρυκεύσατο. Καὶ ὃς ἐδέξατο

A meatus facilius suppeteret, Philippus eos sui metu fugisse ratus, ex improviso prædatores aliquot occidit. Quo Galba animadverso, e castris eruptione acta, longe plures interfecit; Philippum vero victum et saucium noctu recedentem non est persecutus, sed Apolloniam rediit, Apustio interim cum Rhodiis et Attalo mare peragrante, et complures insulas subigente. Sub idem tempus Carthaginiensis quidam Amilcar, Magonis in Italia commilito, qui ad tempus quietus ibi remanserat, exorto Macedonico bello, Gallos ad defectionem impulit, cum iisque Ligures bello adortus, eorum etiam nonnullos sibi adjunxit. Sed a L. Furio prætore acie victi, legatos de pace miserunt. Ea Liguribus data est: cæteri nihil impetrarunt. **445** Nam Aurelius consul prætori victoriam invidens, eos vicissim bello est adortus. Sequenti anno Amilcar et Galli multas clades Romanis intulerunt. Nam et Cn. Bebium prætorem superarunt, et socias civitates incursarunt, et Placentiam expugnatam everterunt.

XVI. In Græcia et Macedonia P. Villius consul contra Philippum in procinctu erat, qui Epiri angustias occuparat, per quas in Macedoniam patebat aditus. Hieme elapsa, T. Flaminius Cos. cum Philippus, ob omne illud spatium, quod inter montes interjacet, muro obseptum, oppugnatu difficilis esset, cum paucis per angustum callem munitionem circumiit, et ex superiore loco subito conspectus, terrorem incussit Philippo, omnem ejus exercitum angustias superasse opinanti, ut statim in Macedoniam recederet. Consul vero illum non persecutus, Epiri urbibus est petitus: atque inde in Thessaliam transgressus, multis a Philippo alienatis, in Phocidem et Bœotiam se contulit. Ubi dum Elatiam obsidet, L. Flaminius, frater ejus cum Attalo et Rhodiis insulas subigunt. Denique Cenchreis etiam petiti, cum audissent societatem Achæorum a Philippo petitam esse, legatos et ipsi una cum Atheniensibus ad illos miserunt. Initio divisæ fuerunt Achæorum sententiæ, aliis Philippo, aliis Romanis auxilia decernentibus. Sed sero tandem societate inita, Corinthi oppugnandæ adjutores, parte muri dejecta, crebris eruptionibus fatigati, recesserunt. Deinde veritus Philippus, ne multæ urbes caperentur, caduceatores ad consulem de pace misit. Qui cum ejus postulatis annuisset, et ipsi et socii convenerunt: sed nihil actum est aliud, nisi quod Philippo legatos Romam mittere est concessum: ac ne ibi quidem quidquam impo-

Variæ lectiones et notæ.

(43) *Βαίβιον*. Ita Regii duo, Colbert. Βαίτων.

(44) *Οὐάλιος*. Duo Regii et Colbert. Οὐϊάλιος.

tratum. Nam Græcis postulantibus, ut Corintho, Chalcide et Thessalica Demetriade cederet; Philippi legati nihil de iis urbibus in mandatis se habere affirmantes, rebus infectis discesserunt. Romani vero Græciæ provinciam, et bellum Philippi cum Flaminio, in sequentem etiam annum prorogarunt. Qui cum ibi mansurus esset, ad bellum se paravit: **446** eoque magis, quod Nabis, Lacedæmoniorum tyrannus, quanquam Philippi, ob Argos ab eo acceptum, amicus, pacem cum ipso fecerat. Nam quia Macedo multa simul curare non poterat, eam urbem, veritus ne a Romanis caperetur, Nabidis fidei, depositi instar, commisit. Ælio Pæto consule bellum cum Gallis gerente, etsi multi utrinque in conflictibus ceciderunt, nihil tamen memorabile gestum est. Obsides Carthaginensium, eorum servi et captivi venundati, urbes in quibus quique degebant, occupare ausi, multis civibus interfectis: a Cornelio Lentulo prætore sunt oppressi, prius quam gravius aliquid committeretur. At Galli successibus elati, cum Romanos obiter secum bellare animadverterent, ita se parabant, quasi ipsam urbem oppugnaturi. Quo conatu Romani territi, utrumque consulem Cornelium Cethegum et Minutium Rufum, contra Gallos miserunt: qui inter se divisi, alius aliam regionem vastavit. Ut consules, ita etiam hostes divisi, qui cum Amilcare fuerunt, victi a Cethego, pacem impetrarunt: reliqui ea clade territi, cum Rufo agros impune vastante non sunt congressi, nec tamen ab armis recesserunt. Tunc etiam Flaminius cum Attalo totam Bœotiam subegit. Ac Attalus dum concionem ad Bœotios habet, præsenio efflavit animam. At Flaminius in Thessaliam profectus, equestri prælio cum Philippo decertavit: neque enim locus majori pugnæ fuit idoneus. Quare ambo in tumulum quemdam, cujus cacumen Cynoscephalæ, a canini capitis similitudine dicitur, secesserunt: diverseque castris positis, inter se totis exercitibus congressi, æquo marte discessissent, nisi Ætolorum auxilia victoriam Romanis peperissent. Philippus victus et profligatus, cum Larissam et circumjacentes civitates in victoris partes concessisse audisset, caduceatoribus missis, pecuniaque; et præter alios filio Demetrio obside dato, inducias a Flaminio impetravit, et legatos Romam pro pace misit. Dum hæc geruntur, etiam Androsthenes ab Achæis victus, Corinthum amisit. Lucius Flaminius classis præfectus, cum Acarnanes a Philippi societate **447** abstrahere non posset, Leucadem obsidione cepit: eosque, ubi Philippi cladem audivere, facilius subegit. Sic Macedonicum bellum est solutum, et Romani pacem cum Philippo minime gravatim fecerunt; his conditionibus, ut captivos et transfugas omnes restitueret, ut elephantos et triremes, præter quinque et prætoriam quæ 16 remorum erat, et pecuniam partim præsentem, partim certis pensionibus daret: ut soli Macedoniæ imperaret, neque milites ultra

A τοὺς λόγους αὐτοῦ, καὶ συνῆλθον αὐτοὶ καὶ οἱ σύμμαχοι. Ἐπράχθη δ' οὐδὲν, ἢ ὅτι πρέσβεις εἰς Ῥώμην πέμψαι τῷ Φιλίππῳ ἐπετράπη, καὶ οὐδὲ ἐκεῖ τι ἐγένετο. Τῶν γὰρ Ἑλλήνων ἀποστῆναι αὐτὸν ἀξιούντων τῆς Κορίνθου καὶ τῆς Χαλκίδος, τῆς τε Δημητριάδος τῆς Θετταλικῆς, οὐδὲν περὶ τούτων οἱ τοῦ Φιλίππου πρέσβεις ἐντετάλθαι ἔφασαν, καὶ ἄπρακτοι ἀπηλλάγησαν. Οἱ δ' ἐν τῇ Ῥώμῃ τῷ Φλαμινίῳ τὴν ἐν τῇ Ἑλλάδι ἡγεμονίαν καὶ εἰς τὸ ἐπιὸν ψηφισάμενοι ἔτος, αὐτῷ ἀνέθεντο καὶ τὰ κατὰ Φίλιππον. Ὁ δὲ ὅτι κατὰ χώραν ἔμελλε μένειν, πρὸς πόλεμον ἡτοιμάζετο, καὶ μᾶλλον ὅτι καὶ Νάβις ὁ Λακεδαιμονίων τύραννος ἐσπείσατό οἱ, καίτοι φίλος ὢν τοῦ Φιλίππου, καὶ τὸ Ἄργος λαβὼν παρ' αὐτοῦ. Ἀδυνατῶν γὰρ ὁ Μακεδὼν πολλὰ διέπειν ὁμοῦ, καὶ δείσας μὴ τοῖς Ῥωμαίοις ἡ πόλις ληφθῇ, τῷ Νάβιδι αὐτὴν, ἵν' αὖθις ἀποδοίη, παρακατέθετο. Αἰλίου δὲ Πέτου τοῦ ὑπάτου στρατεύσαντος ἐπὶ τοὺς Γαλάτας, πολλοὶ ἀπ' ἀμφοτέρων ἀπώλλυντο, προσμιγνύντες ἀλλήλοις, καίριον δέ τι ἐπράχθη οὐδέν. Οἱ δ' ἔμποροι τῶν Καρχηδονίων, οἵ τε δοῦλοι οἱ μετ' αὐτῶν, καὶ οἵτινες περαμένοι αἰχμάλωτοι, κατασχεῖν τὰς πόλεις ἐν αἷς ἕκαστοι τὰς διατριβὰς ἐποιοῦντο τολμήσαντες, καὶ πολλοὺς τῶν ἐπιχωρίων φονεύσαντες, καθηρέθησαν ὑπὸ Κορνηλίου Λεντούλου στρατηγοῦ, πρὶν μεῖζόν τι ἐξεργάσασθαι. Οἱ μέντοι Γαλάται εὐτυχίαις τε ἐπαιρόμενοι, καὶ τοὺς Ῥωμαίους ἐν παρέργῳ σφίσι πολεμοῦντας αἰσθόμενοι, παρεσκευάσαντο ὡς καὶ ἐπὶ τὴν Ῥώμην ἐλάσοντες. Δείσαντες οὖν οἱ Ῥωμαῖοι, ἄμφω τοὺς ὑπάτους Κορνήλιον Κέθηγον καὶ Μινούκιον Ῥοῦφον ἐπὶ τοὺς Γαλάτας ἔπεμψαν· οἳ διαιρεθέντες ἄλλος ἄλλην ἐπόρθουν χώραν. Πρὸς οὖν τοὺς ὑπάτους καὶ οἱ πολέμιοι διῃρέθησαν, καὶ οἱ μὲν τῷ Κεθήγῳ μετὰ τοῦ Ἀμίλκου συμβαλόντες, ἡττήθησαν. Οἱ λοιποὶ δὲ τοῦτο γνόντες, ἀπεδειλίασαν καὶ οὐκέτι τῷ Ῥούφῳ συνέβαλον, ἀλλ' ἀδεῶς ἐκεῖνος τὴν χώραν κατέτρεχε. Καὶ οἱ μὲν τῷ Κεθήγῳ πολεμήσαντες σπονδὰς ἐποιήσαντο, οἱ δ' ἄλλοι ἐν τοῖς ὅπλοις ἔτι ἐτύγχανον. Τότε δὲ καὶ ὁ Φλαμίνιος μετὰ τοῦ Ἀττάλου τὴν Βοιωτίαν ἅπασαν ὑπηγάγετο. Καὶ ὁ μὲν Ἄτταλος ἐν τῷ δημηγορεῖν αὐτοῖς ὑπὸ γήρως ἀπέψυξεν. Ὁ δέ γε Φλαμίνιος ἐς τὴν Θεσσαλίαν ἐλθὼν, τῷ Φιλίππῳ προσέμιξε, καὶ ἱππομαχίαν ἐποιήσαντο· τὸ γὰρ χωρίον οὐκ ἐπιτήδειον πρὸς μείζω μάχην ἦν. Διὸ καὶ ἄμφω ἀπανέστη σαν, καὶ πρός τινα λόφον γενόμενοι, οὗ τὴν ἀκροωυχίαν Κυνὸς κεφαλὴν ὀνομάζουσιν, οἱ μὲν ἔνθεν, οἱ δ' ἐκεῖθεν ηὐλίσαντο· καὶ μαχεσάμενοι τοῖς στρατεύμασιν ἅπασιν, ἰσοπαλεῖς ἂν ἀπαλλάγησαν, εἰ μὴ οἱ Αἰτωλοὶ ἐπικρατεστέρους τοὺς Ῥωμαίους ἐποίησαν. Ἡττηθεὶς οὖν ὁ Φίλιππος καὶ φυγὼν, εἶτα μαθὼν τήν τε Λάρισσαν καὶ τὰς περὶ αὐτὴν πόλεις τὰ τοῦ νικήσαντος φρονούσας, ἐπεκηρυκεύσατο τῷ Φλαμινίῳ· καὶ ὃς ἐσπείσατο, χρήματά τε τοῦ Φιλίππου ὄντος, καὶ ὁμήρους ἄλλους τε καὶ τὸν οἰκεῖον υἱὸν Δημήτριον, καὶ πρέσβεις ὑπὲρ τῆς εἰρήνης εἰς Ῥώμην ἐκπέμψαντος. Ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, καὶ Ἀνδροσθένης ἐνικήθη ὑπὸ τῶν Ἀχαιῶν, καὶ τὴν Κόρινθον ἀπέβαλε. Καὶ ὁ Φλαμίνιος ὁ Λεύκιος ἐπὶ τοῦ

ναυτικοῦ ὤν, ἐπεὶ μὴ ἔπεισε τοὺς Ἀκαρνᾶνας μὲν συμμαχεῖν τῷ Φιλίππῳ, τήν τε Λευκάδα πολιορκίᾳ εἶλε, κἀκείνους μετὰ τοῦτο τὴν ἧττον τοῦ Φιλίππου γνόντας ῥᾷον συμπαρεστήσατο. Οὕτω μὲν ὁ Μακεδονικὸς ἐλέλυτο πόλεμος, καὶ οἱ ἐν τῇ Ῥώμῃ τῷ Φιλίππῳ ἑτοιμότατα συνελλάγησαν ἐπὶ τῷ τοὺς αἰχμαλώτους καὶ τοὺς αὐτομόλους ἀποδοῦναι καὶ τοὺς ἐλέφαντας τάς τε τριήρεις, πλὴν πέντε καὶ τῆς στρατηγίδος αὐτῆς οὔσης ἑκκαιδεκήρους· καὶ χρήματα μὲν αὐτίκα δοῦναι, τὰ δὲ καὶ ἐν τάξεσί τισι· καὶ μόνης τῆς Μακεδονίας βασιλεύειν, μὴ πλείους τ' ἔχειν στρατιώτας τῶν πεντακισχιλίων, μήτε πόλεμον ἔξω τῆς ἑαυτοῦ χώρας ποιεῖσθαί τινι. Τὰς γὰρ ἄλλας πόλεις τάς τε ἐν τῇ Ἀσίᾳ καὶ τῇ Εὐρώπῃ, τὰς πρὶν δουλευούσας αὐτῷ, ἐλευθέρας ἀφῆκαν. Οἱ δ' ὕπατοι τοῖς Γαλάταις αὖθις οὐκ ἀταλαιπώρως ἐπολέμησαν, ὅμως μέντοι καὶ τούτους ὑπέταξαν.

A quinquies mille aleret, neque ulli extra regnum suum bellum faceret. Nam cæteros urbes tam Asianas quam Europæas, quæ prius ei servierant, liberas dimiserunt. Consules denuo Gallos, sed non citra laborem et ærumnam, subegerunt.

ΙΖ'. Πόρκιος δὲ Κάτων ὕπατος αἱρεθεὶς τὴν Ἰβηρίαν μικρὸν πᾶσαν ἀλλοτριωθεῖσαν ἀνεκτήσατο, ἀνὴρ ἀρετῇ πάσῃ τοὺς τότε νικῶν. Νόμου δὲ τεθέντος μετὰ τὴν ἐν Κάνναις τοῖς Ῥωμαίοις συμβᾶσαν ἧττταν, μὴ χρυσοφορεῖν τὰς γυναῖκας μήτε διαφορεῖσθαι, μήθ' ὅλως ἐσθῆτι καταστίκτῳ κεχρῆσθαι, ὁ δῆμος, εἰ χρὴ καταλύσαι τὸν νόμον, βουλὴν ἐποιεῖτο, καὶ περὶ τούτου ὁ Κάτων ἐδημηγόρησε, δεῖν κατασκευάζων τὸν νόμον κρατεῖν. καὶ τέλος ταῦτα ἐπήγαγε· *Κοσμείσθωσαν οὖν αἱ γυναῖκες, μήτε χρυσῷ μηδὲ λίθοις ἢ τισὶν ἀνθηροῖς καὶ ἀμοργίνοις ἐσθήμασιν, ἀλλὰ σωφροσύνῃ, φιλανδρίᾳ, φιλοτεκνίᾳ, πειθοῖ, μετριότητι, τοῖς νόμοις τοῖς πειμένοις, τοῖς ἄλλοις τοῖς ἡμετέροις, ταῖς νίκαις, τοῖς τροπαίοις.* Λούκιος δὲ Οὐαλέριος δήμαρχος ἀντιλέγων τῷ Κάτωνι διειλέχθη, ἀποδοθῆναι συμβουλεύων ταῖς γυναιξὶ τὸν κόσμον τὸν πάτριον, καὶ πολλὰ περὶ τούτου πρὸς τὸν δῆμον εἰπών, εἶτα πρὸς τὸν Κάτωνα τὸν λόγον ἀπέτεινε, καὶ ἔφη· *Σὺ δ', ὦ Κάτων, εἰ ἄχθῃ τῷ κόσμῳ τῶν γυναικῶν καὶ βούλει φιλόσοφόν τι ποιῆσαι καὶ μεγαλοπρεπές, ἀπόκειρον αὐτὰς περιτρόχαλα, καὶ χιτωνίσκους καὶ ἐξωμίδας ἔνδυσον, καὶ νὴ Δία σύ γε καὶ ὄπλισον, ἐφ' ἵππους τε ἀνάβίβασον, καὶ εἰ δοκεῖ σοι, καὶ εἰς τὴν Ἰβηρίαν ἀνάγαγε, ὅπως τε καὶ τῶν ἐκκλησιῶν κοινωνῶσιν ἡμῖν. Καὶ δεῦρο αὐτὰς εἰσφερώμεθα.* Καὶ ὁ μὲν Οὐαλέριος ταῦτα ἐπισκώπτων εἶπεν· ἀκούσασαι δὲ αἱ γυναῖκες (ἐγγὺς γὰρ τῆς ἀγορᾶς πολλαὶ διέτριβον, πολυπραγμονοῦσαι τὸ γενησόμενον) εἰσεπήδησαν εἰς τὴν ἐκκλησίαν καταβοῶσαι τοῦ νόμου. Καὶ οὕτω σπουδῇ λυθέντος αὐτοῦ ἀνεβήσαντο εὐθὺς ἐκεῖ ἐν τῇ ἐκκλησίᾳ κόσμον τινὰ, καὶ ἐξῆλθον χορεύουσαι. Ὁ δὲ Κάτων ἀποπλεύσας εἰς Ἰβηρίαν ἀφίκετο, καὶ μαθὼν πάντας τοὺς μέχρι τοῦ Ἴβηρος οἰκοῦντας συνεστράφθαι ἵνα καθ' ἓν αὐτῷ πολεμήσωσι, συγχροτήσας τὸ στράτευμα προσέβαλε σφίσι, καὶ ἡττήσας αὐτοὺς, ἠνάγκασε προσχωρῆσαί οἱ, φοβηθέντας ἵνα μὴ καὶ τὰς πόλεις αὐτοθοεὶ ἀποβάλωσι. Καὶ τότε μὲν δεινὸν οὐδὲν αὐτοῖς εἰργάσατο. Ὕστερον δὲ ὑπόπτων τινῶν γενομένων, τά τε ὅπλα πάντων ἀφείλετο, καὶ τὰ τείχη σφῶν δι' αὐτῶν τῶν ἐπιχωρίων κατέσκαψε. Γράμματα γὰρ ἐκασταχόσε διαπέμψας, καὶ ἐν τῇ αὐτῇ ἡμέρᾳ ἅπασιν αὐτὰ ἀποδοθῆναι κελεύσας, προσέταξε τοὺς περιβόλους αὐθήμερον καθελεῖν, θάνατον ἀπειλήσας τοῖς ἀπειθήσασιν. Ἃ ἀναγνόντες οἱ ἐν ταῖς ἀρχαῖς ὄντες, καὶ

XVII. Porcius Cato consul designatus Hispaniam pene totam alienatam recuperavit, vir illis temporibus omnibus virtutibus præstantissimus. Cum autem post Cannensem cladem lex esset lata, ne mulieres aurum gestarent, neve vehiculis aut varia veste uterentur, et populus utrum ea abroganda esset, necne, deliberaret, Cato pro concione eam retinendam esse suasit, cum hac conclusione: *Ornentur igitur mulieres, non auro, non gemmis, non acupictis aut byssinis vestibus, sed modestia, maritorum observantia, liberorum amore, obedientia, moderatione, legibus civitatis, armis nostris, victoriis, triumphis.* Sed L. Valerius tribunus plebis Catoni adversatus, auctor fuit, ut mulieribus patria ornamenta redderentur; qua de re cum ad populum multa verba fecisset, oratione ad Catonem conversa: *Tu, Cato,* inquit, *si ornamenta mulierum iniquo animo pateris, et aliquid magnificum et philosopho dignum præstare cupis, in orbem eas radito, tunicis et palliis induito, atque etiam, si diis placet, armato, et equis impositas in Hispaniam ducito, atque adeo huc adducito, ut et concionibus nostris intersint. Age, accersamus eas huc.* Cum hæc dicteria Valerii mulieres audivissent (multæ enim eventus exspectatione suspensæ, juxta forum versabantur) in concionem irruperunt, contra legem vociferantes. Qua citra cunctationem soluta, statim ibi ornamentis quibusdam sumptis, cum tripudiis abierunt. Cato in Hispaniam profectus, **448** cum omnes usque ad Iberum conspirasse, atque in unum convenisse didicisset, ut semel universi cum eo pugnarent: prælio victos ad deditionem compulit, metuentes, ne eodem terrore etiam urbes amitterent. Ac tum quidem eis pepercit. Post autem, cum quidam suspicionem de se præbuissent, omnibus arma ademit, et ipsos cives suo mœnia evertere coegit. Litteris enim in omnia loca missis, eodemque die redditis, omnia mœnia eodem die dirui jussit, contumacibus mortem comminatus. Quibus magistratus lectis, singuli putantes sibi solis ita scriptum esse, ne spatio quidem ad deliberandum sumpto, munitiones omnes dejecerunt. Iberum transgressus, cum Celtiberis hostium sociis ob multitudinem congredi non ausus, mirabiliter homines tractavit: alias majora stipendia pollicendo ut ad se transirent, alias monendo, ut domum redirent, alias etiam certum pugnæ diem designando.

lin factum ut inter se dissentientes, cum eo pugnare ausi non fuerint.

νομίσαντες ἕκαστοι μόνοις αὐτοῖς γεγράφθαι, καὶ μηδὲ καιρὸν λαβόντες βουλῆς, κατέβαλον πάντες τὰ τείχη. Ὁ δὲ Κάτων διέβη τὸν Ἴβηρα, καὶ τοῖς Κελτίβηρσι συμμαχοῦσι τοῖς πολεμίοις αὐτοῦ διὰ πλῆθος συμβαλεῖν μὴ θαρσήσας, μετεχειρίσατο θαυμασίως αὐτούς, ποτὲ μὲν μεταπείθων πρὸς αὐτὸν μεταστῆναι δόσει μείζονος μισθοῦ, ποτὲ δὲ παραινῶν σφίσιν ἐπανελθεῖν οἴκαδε, ἔστι δ' ὅτε καὶ μάχην αὐτοῖς ἐς ἡμέραν ἐπαγγέλλων ῥητήν. Ἐκ γὰρ τούτου ἐστασίασαν πρὸς ἀλλήλους, καὶ φοβηθέντες, οὐκέτι αὐτῷ πολεμῆσαι ἐτόλμησαν.

XVIII. Tum Flaminius Argos oppugnavit. Romani enim Nabidem neque sibi fidum, et Græcis formidabilem, hostem judicarant. Sed cum ei auxilia a Philippo missa essent, Flaminius Spartam oppugnaturus, Taygeto monte citra laborem superato, ad ipsam usque urbem, adversante nemine, pervenit. Nabis enim et Romanos metuens, et civibus diffidens, se loco non moverat, ut illi mature occurreret : sed cum jam præ foribus adesset, eruptionem fecit, eo tum ob laborem itineris, tum propter castrametationis occupationem contempto, ac nonnullos turbavit. Postridie oppugnantes cum magna clade suorum adortus, de cætero intra mœnia se continuit. Flaminius igitur parte copiarum ibi relicta, ne hostis alio abiret, ipse cum fratre suo, Rhodiis, et Eumene Attali filio, agros vastavit. Quibus rebus ad desperationem adactus Nabis, caduceatore ad Flaminium misso, non statim pacem impetravit. Nam quæ conditiones ei ferebantur, eas neque repudiare, neque multitudine prohibente accipere ausus est. Sed cum Romani urgerent, et totam pene Spartam (quadam enim parte mœnia non habebat) cepissent : **449** non diutius cunctatus, pace cum Flaminio facta, et legatis Romam missis, reconciliatus est. At Flaminius tum omnibus Græcis libertatem dedit, eosque postea convocatos, beneficiis, quæ accepissent, commemoratis, monuit, ut benevolentiam erga populum Romanum conservarent : et præsidiis omnibus deductis, cum toto exercitu discessit. Eo Romam profecto, Nabis novis rebus studuit : quo motu tota pene Græcia, impulsu Ætolorum est concussa, seque bello gerendo pararunt, ad Philippum et Antiochum legatis missis, cui persuaserunt, ut Romanis bellum inferret, spe et Græci et Italici regni proposita. Romani turbatis adhuc rebus, sine ulla spe Antiochi superandi, satis habuerunt, si sua tueri possent. Nam Antiochus domestiris viribus multum posse putabatur, cum propter alia, tum quod Mediam subegisset : sed multo major factus erat, affinitate Ptolemæi Ægypti, et Ariarathis Cappadociæ regum. Antiochum igitur, de quo talis esset opinio, belli Philippici tempore coluerunt, per legatos amice cum eo agentes, et munera missitantes. Sed Macedone victo, quem pridem timuerant, contempserunt. At ille in Thraciam trajecit : et præter alia vi subacta, Lysimachiam desolatam instauravit, qua ad belli gerendi commoditatem uteretur, a Philippo et Nabide accersitus. Annibal quoque coram in spe eum erexerat, fore ut Carthaginem, atque inde in Italiam navigans, Ionii sinus gentibus subactis, Romam ipsam

ΙΗ'. Τότε δὲ καὶ Φλαμίνιος ἐπὶ τὸ Ἄργος ἐστράτευσε. Τὸν γὰρ Νάβιν οὔτε σφίσιν πιστὸν καὶ τοῖς Ἕλλησι φοβερὸν ὁρῶντες οἱ Ῥωμαῖοι, πολέμιον ἐποιήσαντο. Προσγενομένων δὲ συμμάχων ἐκ τοῦ Φιλίππου αὐτῷ, ἐπὶ τὴν Σπάρτην ἦλασεν ὁ Φλαμίνιος, καὶ ἀπόνως τὰ Ταϋγετά τε ὑπερέβη, καὶ πρὸς τὴν πόλιν προσῆλθε μηδενὸς ἐναντιουμένου. Ὁ γὰρ Νάβις τούς τε Ῥωμαίους δείσας καὶ τοὺς ἐπιχωρίους ὑποπτεύσας, οὐκ ἐκινήθη ὥστε προαπαντῆσαι τῷ Φλαμινίῳ. Πλησιάσαντι δὲ ἐπεξέδραμε, καταφρονήσας διά τε τὸν κάματον, τὸν ἐκ τῆς πορείας καὶ ὅτι περὶ τὴν στρατοπέδευσιν ἀπησχόλητο, καί τινας συνετάραξε. Τῇ δ' ὑστεραίᾳ ἐπεξῆλθε τοῖς προσβάλλουσι, καὶ πολλοὺς ἀποβαλών, οὐκέτι ἐπεξῆλθε. Καταλιπὼν οὖν μέρος τοῦ στρατοῦ ἐκεῖ ὁ Φλαμίνιος, ὅπως μηδαμοῦ κινηθείη, τοῖς λοιποῖς ἐπὶ τὴν χώραν ἐτράπετο· κἀκεῖνός τε καὶ ὁ ἀδελφὸς αὐτοῦ, καὶ οἱ Ῥόδιοι, καὶ ὁ τοῦ Ἀττάλου παῖς Εὐμένης ἐπόρθουν αὐτήν. Ἀπογνοὺς οὖν διὰ ταῦτα ὁ Νάβις κήρυκα τῷ Φλαμινίῳ ὑπὲρ εἰρήνης ἀπέστειλε. Καὶ ὃς τοὺς μὲν λόγους αὐτοῦ προσήκατο, οὐκ αὐτίκα δὲ κατελύσατο. Τὰς γὰρ ὁμολογίας ἃς ἀπῄτειτο ὁ Νάβις ποιήσασθαι, οὔτ' ἀπαγορεῦσαι ἐθάρρει, οὔτε ποιῆσαι συγκατετίθετο, τὸ δὲ πλῆθος ἐκώλυσαν αὐτὸν συμβῆναι· καὶ τότε μὲν οὐκ ἐπείσατο. Προσβαλόντων δὲ τῶν Ῥωμαίων αὖθις, καὶ τὴν Σπάρτην ὀλίγου πᾶσαν (καὶ γὰρ ἀτείχιστος ἦν ἐν μέρει) ἑλόντων, οὐκέτ' ἐπέσχεν, ἀλλὰ πρός τε τὸν Φλαμίνιον σπονδὰς ἐποιήσατο, καὶ πρὸς τὴν Ῥώμην πρεσβευσάμενος συνῆλλάγη. Ὁ δὲ Φλαμίνιος τότε μὲν πάντας τοὺς Ἕλληνας ἐλευθέρους ἀφῆκεν· ὕστερον δὲ συγκαλέσας αὐτοὺς καὶ ὑπομνήσας ὧν εὐηργέτηντο, παρῄνεσεν εὔνοιαν τῇ Ῥώμῃ τηρεῖν, καὶ τὰς φρουρὰς ἁπάσας ἐξήγαγε, καὶ ἀπῆρε μετὰ παντὸς τοῦ στρατοῦ. Ἀφικομένου δ' ἐς Ῥώμην τοῦ Φλαμινίου, ὁ Νάβις ἐνεωτέρισε, κἀκ τούτου καὶ τὸ Ἑλληνικὸν ἅπαν ὡς εἰπεῖν ἐταράχθη, τῶν Αἰτωλῶν σφᾶς ἐναγόντων. Παρεσκευάζοντό τε ὡς πολεμήσοντες, καὶ πρὸς τὸν Φίλιππον καὶ τὸν Ἀντίοχον ἐπρεσβεύοντο, καὶ ἔπεισαν αὐτὸν ἐκπολεμωθῆναι Ῥωμαίοις, ὡς καὶ τῆς Ἑλλάδος, τῆς Ἰταλίας τε βασιλεύσοντα. Τοῖς δὲ Ῥωμαίοις τῶν πραγμάτων τεταραγμένων, οὐχὶ περιγενέσθαι τοῦ Ἀντιόχου ἐλπὶς ἦν, ἀλλ' ἠγάπων εἴ γε τὰ ἑαυτῶν διασώσαιντο. Ὁ γὰρ Ἀντίοχος μέγας μὲν καὶ ἐπὶ τῇ οἰκείᾳ δυνάμει ἐδόκει, δι' ἄλλα τε καὶ ὅτι τὴν Μηδίαν κατεστρέψατο. Πολλῷ δ' ἔτι μείζων ἐγένετο, ὅτι τὸν Πτολεμαῖον τὸν τῆς Αἰγύπτου βασιλέα, καὶ τὸν Ἀριαράθην τὸν τῆς Καππαδοκίας κηδεστὴν προσέτίθειτο. Τοιοῦτον τὸν Ἀντίοχον νομιζόμενον οἱ Ῥωμαῖοι, μέχρι μὲν τῷ Φιλίππῳ ἐπολέμουν, ἐθεράπευον, φιλίως τε διὰ πρέσβεων

ὁμιλοῦντες, καὶ δῶρα πέμποντες. Ἐπὶ δ' ἐκείνου ἐνίκησαν, καὶ τούτου δι πρόσθεν ἐδεδίεσαν κατεφρόνουν. Ὁ δὲ ἐς τὴν Θρᾴκην ἐπεραιώθη καὶ ἄλλα τε παρεστήσατο, καὶ τὴν Λυσιμαχίαν ἀνεστηκυῖαν συνῴκισεν, ὡς ὁρμητηρίῳ ταύτῃ χρησόμενος. Καὶ γὰρ αὐτὸν καὶ ὁ Φίλιππος καὶ ὁ Νάβις ἐπηγάγοντο. Ὅ τε Ἀννίβας αὐτῷ συγγενόμενος ἐλπίσαι πεποίηκεν ἐς τὴν Καρχηδόνα, κἀκεῖθεν εἰς τὴν Ἰταλίαν πλεῦσαι, καὶ τὰ τοῦ Ἰονίου κόλπου ἔθνη προσκαταστρέψασθαι, καὶ μετ' αὐτῶν ἐπὶ τὴν Ῥώμην ὁρμῆσαι. Ἔφθη γοῦν ὁ Ἀντίοχος καὶ ὃς ἐς τὴν Εὐρώπην διαβὰς εἴς τε τὴν Ἑλλάδα ἀφικόμενος. Πυθόμενος δὲ τὸν Πτολεμαῖον τεθνηκέναι, καὶ περὶ παντὸς τῆς Αἰγύπτου κρατῆσαι ποιούμενος, τὸν μὲν υἱὸν Σέλευκον ἐν τῇ Λυσιμαχίᾳ σὺν δυνάμει κατέλιπεν· αὐτὸς δὲ ἀναζεύξας, καὶ ζῶντα τὸν Πτολεμαῖον μαθών, τῆς μὲν Αἰγύπτου ἀπέσχετο. Ἐπιχειρήσας δ' ἐς Κύπρον πλεῦσαι, ἐπταισεν ὑπὸ χειμῶνος, καὶ οἴκαδε ἀνεχώρησε. Καὶ πρέσβεις οἱ Ῥωμαῖοι κἀκεῖνος ἀντεπέστελλον, ἀλλήλοις ἀντεγκαλοῦντες, ὅπως πρόφασίν τε τοῦ πολέμου λάβουσι καὶ ὅπως τὰ παρ' ἀλλήλοις προκατασκέψωνται. Ἀννίβας δὲ τὴν μεγίστην τῶν παρὰ Καρχηδονίοις ἀρχῶν εἰληφὼς, καὶ προσκρούσας ἀπ' αὐτῆς τοῖς δυνατωτάτοις, ἐμισήθη τά ὑπ' αὐτῶν, καὶ πρὸς τοὺς Ῥωμαίους διεβλήθη ὡς τά τε τῶν Καρχηδονίων νεωτερίζων, καὶ τῷ Ἀντιόχῳ κοινολογούμενος. Καὶ μαθών τινας ἐκ τῆς Ῥώμης παρόντας, καὶ δείσας μὴ συλληφθῇ, ἀπέδρα νυκτὸς ἐκ τῆς Καρχηδόνος. Καὶ πρὸς τὸν Ἀντίοχον ἐλθών, ἑαυτῷ τε τὴν εἰς τὴν πατρίδα κάθοδον, καὶ τὸν πρὸς τοὺς Ῥωμαίους πόλεμον ἔπραττεν, ὑπισχνούμενος ἐκείνῳ περιποιήσειν τό τε τῆς Ἑλλάδος κράτος καὶ τὸ τῆς Ἰταλίας, μέχρις οὗ σφίσιν (45) ὁ Σκιπίων ὁ Ἀφρικανὸς συνεγένετο. Οὗτος γὰρ δικαστὴς ἐς τὴν Λιβύην πεμφθεὶς τῷ τε Μασινίσσᾳ καὶ τοῖς Καρχηδονίοις περὶ ὅρων γῆς διαφερομένοις, μετέωρον τὴν ἔχθραν αὐτῶν κατέλιπεν, ἵν' ἀλλήλοις τε διαφέροιντο καὶ μηδεὶς αὐτῶν διὰ τὴν κρίσιν κατὰ Ῥωμαίων ὀργίζοιτο. Ἐντεῦθεν δ' εἰς τὴν Ἀσίαν διέβη, λόγῳ μὲν ὡς πρεσβεύσων πρὸς τὸν Ἀντίοχον, ἔργῳ δὲ ἵνα κἀκεῖνον καὶ τὸν Ἀννίβαν ἐπιφανεὶς καταπλήξῃ, καὶ πράξῃ τὰ τοῖς Ῥωμαίοις συμφέροντα. Ἀφικομένου δ' αὐτοῦ οὐχ ὁμοίως ἔτι προσεῖχεν ὁ Ἀντίοχος τῷ Ἀννίβᾳ· ὑπώπτευσε γὰρ αὐτὸν δι' ἀπορρήτων ὁμιλήσαντα τῷ Σκιπίωνι, καὶ ἄλλως δὲ αὐτὸν ἐβαρύνετο, ὅτι ἅπαν βούλευμα τῷ Ἀννίβᾳ πᾶς ἐπεγράφετο, καὶ τὴν τοῦ πολέμου κατόρθωσιν ἐν τούτῳ πάντες ἐπήλπιζον. Διὰ γοῦν ταῦτα καὶ ἐφθόνησε τῷ Ἀννίβᾳ· καὶ ἐφοβήθη αὐτὸν, ἵνα μή τι δυνηθεὶς μεταβάληται, καὶ οὔτε στράτευμα παρέσχεν αὐτῷ, οὔτ' εἰς τὴν Καρχηδόνα ἔπεμψεν, οὐδ' ἐν ταῖς συνουσίαις αὐτῷ κατακόρως ἐκέχρητο, ἀλλὰ καὶ ἐπετήδευε μηδὲν τῶν πραττομένων αὐτοῦ δοκεῖν εἶναι.

A oppugnare posset. Pervenit autem Antiochus bis in Europam atque in Græciam. Sed Ptolemæi morte audita, cum in eo sibi putaret esse omnia, ut Ægypto potiretur : Seleuco filio Lysimachiæ cum copiis relicto, abitum paravit. Cæterum cum Ptolemæum adhuc superstitem esse cognovisset, Ægypto abstinuit; in Cyprum navigaturus, tempestate conflictatus, domum redilt. Legatos porro et ille et Romani miserunt inviceni, cum ut de injuriis expostulantes belli causam quærerent; tum ut quæ vires adversæ partis essent, utrique explorarent. Annibal vero summum apud Carthaginienses magistratum gerens, eoque potentissimorum civium susceptis **450** odiis, apud Romanos accusatus est, ut qui et Carthagine res novas moliretur, et cum Antiocho arcana consilia tractaret. Itaque cognita Romanorum quorumdam præsentia, veritus ne comprehenderetur, noctu Carthagine aufugit; et ad Antiochum profectus, id molitus est, ut et sibi reditum in patriam, et Romanis bellum conficeret, et Græciæ et Italiæ imperium illi promittens, donec Scipio Africanus ad eos venit. Is enim judex in Africam missus, ut inter Massinissam et Carthaginenses de finibus disceptantes sententiam ferret, inimicitias eorum vigere passus est, ut et ipsi inter sese contenderent, et neutri ob judicium Romanis irascerentur. Inde in Asiam trajecit, per speciem legationis apud Antiochum ob eundæ; revera ea de causa, ut præsentia sua et rege et Annibale territis, ea ageret quæ essent e republica. Cum ad Antiochum pervenisset, rex Annibali non perinde auscultavit, eumque suspectum habuit ob arcana cum Scipione colloquia, jam antea quoque parum gratum, quod omnia consilia Annibali ascriberentur, omnium spes belli rite conficiendi ab eo penderet. Ob hæc invidens Annibali, timuit, ne potestate data mutaretur. Itaque nec exercitum dedit, nec Carthaginem eum remisit, neque in arctiorem familiaritatem admisit; sed de industria id egit, ut nihil ejus consilio gestum esse videretur.

Ἡ δὲ περὶ τοῦ Ἀντιόχου φήμη πολλὴ τὴν Ῥώμην κατέσχε, καὶ ἐς φροντίδα τοὺς Ῥωμαίους οὐκ ἐλαχίστην κατέστησε. Συχνῶν δὲ περὶ τοῦ Ἀντιόχου θρυλλουμένων, καὶ τῶν μὲν ὅτι τὴν Ἑλλάδα πᾶσαν ἤδη κατέχει, τῶν δ' ὅτι ἐπὶ τὴν Ἰταλίαν ἐπείγεται, λογοποιούντων, οἱ Ῥωμαῖοι πρέσβεις τοὺς τε ἄλλους ἐς τὴν Ἑλλάδα καὶ Φλαμίνιον οἰκείως

XIX. Fama porro de Antiocho maxima Romæ fuit, neque is curam civitati minimam attulit. De quo cum multa dicerentur, atque alii eum jam totam Græciam obtinere, alii in Italiam properare fabularentur : Romani cum alios legatos, tum Flaminium in Græciam, ut et Philippum et cæteros a studio novarum rerum pro amicitia deborlaretur :

δὲ ἵνα κἀκεῖνον καὶ τὸν Ἀννίβαν ἐπιφανεὶς καταπλήξῃ, καὶ πράξῃ τὰ τοῖς Ῥωμαίοις συμφέροντα.

παρέσχεν αὐτῷ, οὔτ' εἰς τὴν Καρχηδόνα ἔπεμψεν, οὐδ' ἐν ταῖς συνουσίαις αὐτῷ κατακόρως ἐκέχρητο, ἀλλὰ καὶ ἐπετήδευε μηδὲν τῶν πραττομένων αὐτοῦ δοκεῖν εἶναι.

Variæ lectiones et notæ.

(45) *Μέχρις οὗ σφίσιν.* Hic deesse versum aliquem putabat Wolfius, sed sensus est integer, atque ita etiam mss. omnes præferunt.

et prætores, M. Bebium Apolloniam, si Antiochus ibi trajicere auderet; Attilium adversus Nabidem miserunt : et hic quidem nihil egit, Nabide jam per insidias ab Ætolis perempto, Spartaque ab Achæis capta. Sed Bebius et Philippus multa loca Thessaliæ firmarunt. Macedo enim tum ob alia, tum quod Antiochus ei Thraciæ quædam loca eripuerat, Romanis servabat fidem. Flaminius Græciam **451** passim obiens, aliis persuasit ne deficerent, alios ad officium reduxit, præter Ætolos et quosdam alios. Hi enim et ipsi ad Antiochum se contuleranl, et alios partim coactos, partim volentes eodem pertraxerant. Antiochus vero quamvis hiberno tempore, tamen ut spei Ætolorum satisfaceret, sine justis copiis advenit : et illis adjutantibus, Chalcidem cepit : et reliqua Eubœa potitus, Romanos quosdam inter captivos repertos, omnes dimisit : et Chalcide hibernavit, ubi et ipsius et ducum ejus et militum animi cum aliis deliciis corrupti sunt, tum ipse ex amore puellæ cujusdam voluptatum illecebris irretitus, etiam cæteros bello ineptos fecit. Romani audito ejus in Græciam adventu, et Chalcidis expugnatione, bellum aperte susceperunt : et altero consule Scipione Nasica ad Italiæ defensionem relicto, Manium Glabrionem cum magno exercitu in Italiam miserunt. Quorum ille cum Boiis bellum gessit, hic Antiocho Græcia pulso, cum Bebio et Philippo multas Thessalicas civitates subegit, et Philippum Megalopolitanum captum Romam misit : Amynandro ejecto, Macedoni ditionem ejus tradidit. Antiochus interim Chalcide otium agens, post in Bœotiam venit, in Thermopylis Romanorum aggressionem exspectaturus. Nam loci naturam paucitati suorum militum subsidio fore judicabat : ac ne idem sibi quod Græcis bello Persico accideret, partem Ætolorum in montium cacumina præsidii causa misit. Sed Glabrio contemptis locorum angustiis, pugnaque non dilata, Porcium Catonem et Valerium Flaccum legatos noctu contra Ætolos in montium cacumina misit : ipse cum Antiocho mane congressus, dum in planitie pugnatur, superior, exercitu ab Antiocho ad altiora loca subducto, inferior fuit, donec Cato hostes a tergo est adortus, qui cum Ætolos dormientes oppressisset, plerisque cæsis, reliquis dissipatis, decurrit, et pugnæ etiam inferioris fuit particeps. Antiochus victus, et castris exutus, mox Chalcidem redit; et consulis adventu cognito, clam in Asiam discedit. Glabrio vero Bœotiam et Eubœam statim occupat. Heraclea, Ætolis deditionem renuentibus **452** oppugnata, urbem inferiorem obsidione capit; eos vero qui in arcem confugerant, ad deditionem compellit. Ac inter cæteros, Democritus quoque dux Ætolorum captus est, qui aliquando Flaminii societate repudiata, ei decretum petenti quo Romam mitteret, dixerat : *Bono animo esto : ego enim id cum exercitu afferam, et juxta Tiberim vobis recitabo.* Philippo Lamiam

αὐτοῖς ἔχοντα ἔστειλαν, ὅπως τόν τε Φίλιππον καὶ ἐκείνους ἐπίσχῃ μηδὲν νεοχμῶσαι· καὶ στρατηγοὺς. Μάρκον μὲν Βαίβιον εἰς Ἀπολλωνίαν, εἰ ταύτῃ ἐς τὴν Ἰταλίαν περαιωθῆναι τολμήσειεν ὁ Ἀντίοχος, Ἄτιλον δὲ Ἀττίλιον ἐπὶ τὸν Νάβιν· καὶ οὗτος μὲν οὐδὲν ἔπραξεν, ἔφθη γὰρ ὁ Νάβις ὑπὸ τῶν Αἰτωλῶν φθαρεὶς ἐξ ἐπιβουλῆς, καὶ ἡ Σπάρτη ἥλω ὑπὸ τῶν Ἀχαιῶν. Ὁ δὲ Βαίβιος καὶ ὁ Φίλιππος πολλὰ τῆς Θεσσαλίας ἐβεβαιώσαντο. Ταῖς γὰρ πρὸς τοὺς Ῥωμαίους ὁμολογίαις ὁ Μακεδὼν ἐμμεμένηκε, διά τε ἄλλα καὶ ὅτι ὁ Ἀντίοχος χωρία αὐτοῦ ἐν τῇ Θράκῃ τινὰ ἐπεσπάσατο. Ὁ δέ γε Φλαμίνιος περιὼν τὴν Ἑλλάδα, τοὺς μὲν μηδ' ἀποστῆναι ἔπεισε, τοὺς δὲ καὶ ἀποστάντας ἤδη μετέστησε, πλὴν Αἰτωλῶν καὶ ἑτέρων τινῶν. Αὐτοί τε γὰρ τῷ Ἀντιόχῳ προσεχώρησαν, καὶ ἄλλους τοὺς μὲν ἐκόντας συνίστων, ἐνίους δέ γε καὶ ἄκοντας· καὶ ὁ Ἀντίοχος, καίτοι χειμῶνος ὄντος, ὅμως πρὸς τὰς τῶν Αἰτωλῶν ἐλπίδας ἔσπευσε. Διὸ οὐδὲ ἀξιόμαχον ἐπήγετο δύναμιν, τὴν μέντοι Χαλκίδα μετ' αὐτῶν ἔλαβε, τήν τε ἄλλην Εὔβοιαν προσεποιήσατο· καὶ ἐν τοῖς αἰχμαλώτοις Ῥωμαίους τινὰς εὑρών, πάντας αὐτοὺς ἀφῆκε· καὶ ἐς τὴν Χαλκίδα διεχείμασεν, ὅθεν αὐτός τε καὶ οἱ στρατηγοί, οἵ τε στρατιῶται αὐτοῦ τὰς γνώμας προδιεφθάρησαν. Τῇ τε γὰρ ἄλλῃ ῥᾳστώνῃ, καὶ ἔρωτι κόρης τινός, ἐς τὸ ἀβροδίαιτον ἐξώκειλε, καὶ τοὺς ἄλλους ἀπολέμους ἐποίησεν. Οἱ δ' ἐν τῇ Ῥώμῃ μαθόντες αὐτὸν ἐς τὴν Ἑλλάδα παρόντα, τήν Χαλκίδα τε ἠρηκότα, τὸν πόλεμον φανερῶς ἀνείλοντο· καὶ τῶν ὑπάτων Σκιπίωνα μὲν τὸν Νασικᾶν ἐπὶ φυλακῇ τῆς Ἰταλίας κατέσχον, Μάνιον δὲ Γλαβρίωνα μετὰ στρατοῦ πολλοῦ ἐς τὴν Ἑλλάδα πεπόμφασι. Καὶ ὁ μὲν Νασικᾶς τοὺς Βοιωτοὺς προσεπολεμώσατο, ὁ δὲ Γλαβρίων τὸν Ἀντίοχον ἐκ τῆς Ἑλλάδος ἐξήλασε. Καὶ ἐς τὴν Θεσσαλίαν ἐλθὼν πολλὰ τῶν ταύτῃ μετὰ τοῦ Βαιβίου καὶ τοῦ Φιλίππου παρεστήσατο. Τόν τε γὰρ Μεγαλοπολίτην Φίλιππον ἑλὼν εἰς τὴν Ῥώμην ἀπέστειλε· καὶ τὸν Ἀμύνανδρον ἐκ τῆς ἀρχῆς ἐκβαλὼν τῷ Μακεδόνι αὐτὴν ἔδωκεν. Ὁ δ' Ἀντίοχος ἐν τούτοις ἡσυχίαν ἄγων ἐν τῇ Χαλκίδι διέτριβεν. Εἶτα εἰς τὴν Βοιωτίαν ἐλήλυθε καὶ ἐν ταῖς Θερμοπύλαις ἀντιπροσιόντας οἱ τοὺς Ῥωμαίους ὑπέμεινε. Πρὸς γὰρ τὴν τῶν στρατιωτῶν ὀλιγότητα σύμμαχον τὴν τοῦ χωρίου φύσιν ἔξειν ἐνόμισε, καὶ ἵνα μή τι καὶ αὐτὸς πάθῃ οἷον οἱ Ἕλληνες οἱ πρὸς τὸν Μῆδον ἀντιταχθέντες ἐκεῖ, μέρος τι τῶν Αἰτωλῶν ἐπὶ τὰ ἄκρα τῶν ὀρῶν ἀνεβίβασεν, ὥστε φρουρῆσαι αὐτά. Ὁ δὲ Γλαβρίων βραχύ τε τῶν χωρίων ἐφρόντισε, καὶ τὴν μάχην οὐκ ἀνεβάλετο, ἀλλὰ Πόρκιον μὲν Κάτωνα καὶ Οὐαλέριον Φλάκκον ὑποστρατήγους νυκτὸς ἐπὶ τοὺς Αἰτωλοὺς τοὺς ἐν τοῖς ἄκροις ἀπέστειλεν· αὐτὸς δὲ τῷ Ἀντιόχῳ ὑπὸ τὴν ἕω συνέμιξε. Καὶ ἕως μὲν ἐν τῷ ὁμαλῷ ἐμάχετο ἐπεκράτει· ἀναχωρήσαντος δὲ τοῦ Ἀντιόχου πρὸς τὰ μετέωρα ἠλαττοῦτο, μέχρις ὁ Κάτων κατὰ νώτου οἱ ἐγένετο. Τοῖς γὰρ Αἰτωλοῖς καθεύδουσιν ἐπελθὼν τοὺς μὲν πλείους ἀπέκτεινε καὶ τοὺς λοιποὺς διεσκέδασε. Κἀντεῦθεν καταβραμὼν καὶ τῆς κάτω μάχης μετέσχε, καὶ τὸν τε Ἀντίοχον ἔτρεψαν, καὶ τὸ στρατόπεδον αὐτοῦ

εἶλον. Καὶ ὁ μὲν ἐς τὴν Χαλκίδα εὐθὺς ἀπεχώρησε. Μαθὼν δὲ τὸν ὕπατον προσιόντα ἐς τὴν Ἀσίαν ἀνεκομίσθη λαθών. Καὶ τὴν μὲν Βοιωτίαν καὶ τὴν Εὔβοιαν ὁ Γλαβρίων αὐτίκα κατέσχε. Τῇ δὲ Ἡρακλείᾳ, μὴ βουληθέντων αὐτῷ προσχωρῆσαι τῶν Αἰτωλῶν, προσβολὰς ἐποιεῖτο· καὶ τὴν μὲν κάτω πόλιν πολιορκίᾳ εἶλε, τοὺς δ' ἐς τὴν ἀκρόπολιν ἀναφυγόντας ὁμολογίᾳ παρεστήσατο. Ἐν δὲ τοῖς τότε ζωγρηθεῖσι καὶ Δημόκριτος ὁ στρατηγὸς τῶν Αἰτωλῶν ἐγένετο, ὃς τῷ Φλαμινίῳ ποτὲ τὴν συμμαχίαν ἠρνήσατο, καὶ ψήφισμα ἐκείνου αἰτήσαντος ἵν' ἐς τὴν Ῥώμην πέμψῃ, *Θάῤῥει*, ἔφη, *ἐγὼ γὰρ αὐτῷ κομιῶ μετὰ τοῦ στρατοῦ καὶ παρὰ τῷ Τιβέριδι ὑμῖν ἀναγνώσομαι.* Τοῦ Φιλίππου δὲ τὴν Λάμιαν πολιορκοῦντος ἐπῆλθεν ἐπ' αὐτὴν ὁ Γλαβρίων, καὶ τήν τε νίκην καὶ τὴν λείαν ἐσφετερίσατο. Τῶν μέντοι Αἰτωλῶν οἱ λοιποὶ συναλλαγῆναι μὲν ἠθέλησαν, οὐκ ἐσπείσαντο δὲ τοῦ Ἀντιόχου πρέσβεις αὐτοῖς καὶ χρήματα πέμψαντος· ἀλλὰ πρὸς πόλεμον ἡτοιμάζοντο. Καὶ ὁ Φίλιππος ὑπεκρίνετο μὲν τὴν πρὸς τοὺς Ῥωμαίους φιλίαν, τὰ δὲ τοῦ Ἀντιόχου ἐφρόνει. Ἐν τούτῳ δὲ Ναύπακτον ὁ Γλαβρίων τῶν Αἰτωλῶν οὖσαν ἐπολιόρκει, οὓς ἐλθὼν ὁ Φλαμίνιος ἔπεισε σπείσασθαι, γνωρίμως αὐτοῖς ἔχων. Καὶ πρέσβεις εἰς τὴν Ῥώμην ἐκεῖνοί τε καὶ οἱ Ἠπειρῶται ἐστάλκασι· καὶ ὁ Φίλιππος στέφανον νικητήριον τῷ Διὶ τῷ Καπιτωλίῳ πέμψας, ἄλλα τε ἀντειλήφει καὶ τὸν υἱὸν Δημήτριον ἐν Ῥώμῃ ὁμηρεύοντα. Τοῖς δ' Αἰτωλοῖς σπονδαὶ οὐκ ἐγένοντο, οὐ γὰρ ἐλαττωθῆναί τι κατεδέξαντο.

A obsidente, Glabrio adventu suo et victoriam et manubias intercepit. Ceteri Ætoli, cum Romanis conciliari vellent, pecunia per legatos ab Antiocho accepta, repudiata pace bello se pararunt; Philippo Romanorum amicitiam simulante, cum Antiocho clam studeret. Interea Glabrione Naupactum Ætolicæ ditionis obsidente, Flaminius civibus cum quibus ei notitia erat, persuasit, ut pacem amplecterentur. Itaque et hi et Epirotæ legatos Romam miserunt. Philippus corona triumphali Jovi Capitolino donata, præter alia munera filium quoque Demetrium obsidem in urbe agentem recepit. Ætolis ideo pax data non est, quod nulla re deteriore conditione esse volebant.

Κ'. Ἐπὶ δὲ τὸν Ἀντίοχον οἱ Ῥωμαῖοι τοὺς Σκιπίωνας ἔταξαν, τόν τε Ἀφρικανὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ Λούκιον. Οἳ τοῖς μὲν Αἰτωλοῖς ἀνοχὴν ἔδωσαν ἵν' ἐς τὴν Ῥώμην αὖθις ὑπὲρ τῆς εἰρήνης πρεσβεύσωνται. Ἠπείγοντο δ' ἐπὶ τὸν Ἀντίοχον· καὶ ἐπὶ Μακεδονίαν ἐλθόντες, συμμάχους τε λαβόντες ἐκ τοῦ Φιλίππου, ἐπὶ τὸν Ἑλλήσποντον ἦλασαν. Καὶ ἐς τὴν Ἀσίαν περαιωθέντες, τὰ πλεῖστα τῶν παραθαλασσίων κατέλαβον προκατειλημμένα παρὰ τῶν ἐκεῖ προαπελθόντων Ῥωμαίων. Πρὸς δὲ καὶ τοῦ Εὐμενοῦς, καὶ τῶν Ῥοδίων, οἵ καὶ τὸν Ἀννίβαν ναῦς τινας ἐκ Φοινίκης ἄγοντα περὶ Παμφυλίαν ἐνίκησαν. Καὶ Εὐμενὴς δὲ καὶ Ἄτταλος ὁ ἀδελφὸς αὐτοῦ τὴν χώραν ἐκάκουν τοῦ Ἀντιόχου· καὶ πόλεις, αἱ μὲν βίᾳ αἱ δ' ἑκούσιαι, πρὸς τοὺς Ῥωμαίους μεθίσταντο, ὥστε ἐκ τούτων ἀναγκασθῆναι τὸν Ἀντίοχον τήν Εὐρώπην τε παντελῶς ἐκλιπεῖν, καὶ τὸν υἱὸν Σέλευκον ἀπὸ τῆς Λυσιμαχίας ἀπαγαγεῖν· ὃν ἐπανελθόντα σὺν δυνάμει ἐπὶ τὴν Πέργαμον ἔπεμψεν. Ὡς δὲ προσεβρεύσας τῇ πόλει οὐδὲν ἐπέραινε, καὶ οἱ Σκιπίωνες ἐπῆλθον, εὐθὺς αὐτοῖς ἐπεκηρυκεύσατο, προσδοκήσας τεύξεσθαι τῆς εἰρήνης, ὅτι τὸν Ἀφρικανοῦ υἱὸν συλλαβών, ἐν θεραπείᾳ εἶχε πολλῇ, καὶ τέλος, καίπερ τῶν σπονδῶν ἁμαρτών, ἄνευ λύτρων ἀφῆκεν αὐτόν. Οὐκ ἐγένετο δὲ ἡ εἰρήνη, τοῦ Ἀντιόχου ἃ οἱ Ῥωμαῖοι ἀπῄτουν, μὴ συνθεμένου ποιῆσαι. Τέως μέντοι ἐπὶ πολὺ ἡσύχασαν, εἶτα καὶ ἐπολέμησαν. Ὁ δὲ ἀγὼν οὕτως ἐγένετο. Πρῶτα τὰ ἅρματα, εἶτα τοὺς ἐλέφαντας ὁ Ἀντίοχος ἔταξε, καὶ μετὰ ταῦτα τοὺς σφενδονήτας καὶ τοὺς τοξότας. Τὴν μὲν οὖν ἐκδρομὴν τῶν ἁρμάτων προεκδραμόντες οἱ Ῥωμαῖοι καὶ μετὰ κραυγῆς σφίσι πολλῆς ἀντιμέτωποι προσπεσόντες ἀνέκοψαν, ὥστε τὰ πολλὰ αὐτῶν ἐς τοὺς ἐλέφαντας τραπόμενα πάλιν τὸ οἰκεῖον συνετάραξαν· αὐτοί τε γὰρ ἐπλανῶντο καὶ τοὺς ἐπιτεταγμένους σφίσιν ἐκφοβήσαντες διεσκέδασαν· τὴν δὲ τοξείαν καὶ τὴν σφενδόνησιν ὄμβρος πολὺς ἐπιγενόμενος ἐκώλυσε. Καὶ τὸ μὲν πεζὸν ἐν τῷ ὁμίχλῃ ἐμάχοντο· ἡ γὰρ νὺξ ἐπεγένετο· τὸ δὲ ἱππικὸν ἐν τῷ καθαρῷ ἐκράτησε. Καὶ τὸ μὲν τοῦ Ἀντιόχου ἐς τὸ στρατόπεδον ἐσέπεσε, τὸ δὲ τῶν Ῥωμαίων ἐπὶ τὸ ἄλλο τῶν πολεμίων ἐπιστρέψαν ἐτρέψατο. Καὶ ἐν τούτῳ ἡ νὺξ ἐπεγένετο, καὶ ἐπαύσαντο ἀμφότεροι.

XX. Contra Antiochum Romani Scipiones, Africanum et fratrem ejus Lucium miserunt; qui Ætolis inducias dederunt, dum Romam legatos pacificatum mitterent. Et quia contra Antiochum properabant, in Macedoniam profecti, acceptisque a Philippo auxiliis, per Hellespontum in Asiam trajecti, maximam oræ maritimæ partem a Romanis, qui prius eo venerant, atque ab Eumene et Rhodiis, præoccupata invenerunt; a quibus etiam Annibal naves aliquot e Phœnicia ducens, juxta Pamphyliam victus fuerat. Eumene porro et Attalo fratre ejus Antiochi regnum vastantibus, urbes partim ultro, partim coactæ ad Romanos defecerunt. Unde necessitas Antiocho imposita est Europa prorsus excedendi, et Seleuci filii Lysimachia revocandi: quem reversus cum copiis, Pergamum misit. Ut autem obsidio inanis erat, et Scipio adventabat, statim caduceatore misso spem pacis impetrandæ habuit, quod Africani filium captum honorificentissime tractaret; quem tandem quamvis spe sua frustratus, gratis dimisit. Quominus autem **453** pax fieret, in causa fuere conditiones quas Romani tulerant non acceptæ. Cum ad tempus quievissent, repetito bello, hæc pugnæ ratio fuit. Antiochus primo loco, currus disposuit, secundo elephantos, deinde funditores et sagittarios. Curruum impetum Romani priores excursione facta, magnoque clamore sublato in eos illati retuderunt, ut plerique in elephantos rursus conversi, amicorum aciem turbarent, cum et ipsi temere ferrentur, et commilitones territos dissiparent. Sagittarii vero, et funditores, magno imbre sunt debilitati. Ad hæc, magna et densa nebula Romanos quippe victores, et cominus totis viribus pugnantes nihil impediit; sed adversarios territos, et sagittariis atque equitatu maxime nitentes, adempto prospectu ad dirigenda tela, inter sese ut in tenebris ober-

rantes, multum læsit. Antiochus tamen cataphractis equitibus adversum cornu profligatum usque ad castra persecutus est; eaque cepisset, nisi M. Æmilius Lepidus iis custodiendis relictus, Romanorum primos accedentes occidisset, cum eis ut fugam sisterent, persuadere non potuisset. Tum enim et reliqui in hostem redierunt, et ipse cum integris prætidiariis excursione facta, Antiochum repulit. Interea vero Zeuxis ab alia parte in vallum irrupit, idque diripuit; donec Lepidus, re animadversa, et sua castra defendit, et Scipio Antiochi cepit. In iis multi mortales, multi equi, jumenta, argentum, aurum, ebur, et aliæ res pretiosæ inventæ. Antiochus victus statim in Syriam recessit. Asiani Græci ad Romanorum amicitiam se contulerunt. Post hæc induciæ quædam Antiocho petenti pactæ sunt. Nam et Scipio propter filium ei bene cupiebat, et consul victoriam successori quamproximi concedere nolebat. Cum igitur nihil amplius Antiocho imposuissent, quam ea quæ ante pugnam postularant, Cn. Manlius eorum successor, illa pactione haud contentus, plura exegit; et inter obsides ipsius etiam filium Antiochum dare, et transfugas omnes dedere jussit, inter quos erat etiam Annibal. Iis postulatis Antiochus vel invitus paruit; sed Annibalem, qui jam ad Prusiam Bithyniæ regem confugerat, dedere **454** non potuit, et legatis Romam missis, iis conditionibus pacem fecit. L. vero Scipio ea victoria magnam laudem adeptus, Asiatici cognomentum ex provincia deportavit; quemadmodum frater Carthagine subacta, potentissima Africæ urbe, Africani. Tanti autem viri, tantamque virtute gloriam adepti, non multo post in judicium adducti, et populi potestati subjecti sunt; ac Lucius repetundarum damnatus, quasi ex manubiis multa subtraxisset; Africanus vero, quod pactiones propter filium mitiores fecisset; sed vera damnationis causa fuit invidia. Nam eos insontes fuisse, cum aliunde patet, tum ex eo, quod publicatis Asiatici bonis nihilo plus est repertum, quam ante habuerat; et quod Africanum antequam suffragia ferrentur, Linternum profectum, ubi usque ad obitum exsulavit, nemo amplius condemnavit. At Manlius tum Pisidiam, Lycaoniam, Pamphyliam, et Galatiæ sive Galliæ Asiaticæ magnam partem subegit. Est enim ibi quoque Gallica gens, ex Europa, profecta. Nam cum olim Brennum regem creassent, Græciam et Thraciam pervagati atque inde in Bithyniam transgressi, partibus quibusdam Phrygiæ, Paphlagoniæ, Mysiæ ad Olympum, et Cappadociæ occupatis, peculiarem gentem condiderunt, qui Galatæ appellantur. Hi etsi Manlio negotium facesserunt, tamen et ipsi victi sunt, Ancyra urbe primo impetu capta, cæteris deditione subactis. His rebus gestis, et Ariaμενος ἀσθενῇ ἐποίησεν. Ὁμίχλη τε πλείστη καὶ βαθεῖα συμβᾶσα, τοὺς μὲν Ῥωμαίους ἅτε κρατοῦντας καὶ ἀγχεμάχως (46) ἐκ χειρὸς μαχομένους οὐδὲν ἐνεπόδισε· τοὺς δ' ἐναντίους οἷα πεφοβημένους ἵππῳ τε καὶ τοξείᾳ τὸ πλεῖστον χρωμένους, τήν τε πρόσῳν εἰς τὰ τοξεύματα ἀφεῖλετο, καὶ περὶ ἀλλήλους ὡς ἐν σκότῳ πλανωμένους ἔσφηλεν. Ὅμως δ' οὖν ἴσχυσεν ὁ Ἀντίοχος τοῖς καταφράκτοις ἱππεῦσι τοὺς ἀντιστάντας αὐτῷ τρεψάμενος, μέχρι τοῦ στρατοπέδου ἐλθεῖν ἐπιδιώκων αὐτούς. Καί γε εἶλεν ἂν αὐτό, εἰ μὴ Μάρκος Αἰμίλιος Λέπιδος ὁ τὴν φρουρὰν αὐτοῦ ἔχων τοὺς πρώτους προσιόντας τῶν Ῥωμαίων ἀπέκτεινεν, ἐπεὶ μὴ ἔπεισεν αὐτοὺς τῆς φυγῆς ἐπισχεῖν. Ἐκ γὰρ τούτου ἐκείνων τε οἱ λοιποὶ ὑποστρέψαντες καὶ αὐτὸς ἀκραίφνεσιν ἐπεκδραμὼν τοῖς φρουροῖς ἀπεώσαντο τὸν Ἀντίοχον. Ἐν ᾧ δὲ τοῦτ' ἐγίνετο, Ζεῦξις καθ' ἕτερον μέρος τῷ ταφρεύματι προσβαλών, εἴσω τε αὐτοῦ εἰσῆλθε καὶ ἁρπαγὴν ἐποιεῖτο, μέχρις οὗ ὁ Λέπιδος ἤσθετο. Τότε γὰρ κἀκεῖνος τὸ σφέτερον ἐρρύσατο, καὶ ὁ Σκιπίων τὸ τοῦ Ἀντιόχου εἶλε, καὶ ἐν αὐτῷ πολλοὺς μὲν ἀνθρώπους, πολλοὺς δ' ἵππους, ὑποζύγια, ἀργύριον, χρυσίον, ἐλέφαντα, ἄλλα τε πολλὰ καὶ πολυτελῆ εὗρε. Καὶ ὁ μὲν Ἀντίοχος ἡττηθεὶς αὐτίκα ἐς τὴν Συρίαν ἀνεχώρησεν· οἱ δ' Ἕλληνες οἱ ἐν τῇ Ἀσίᾳ τοῖς Ῥωμαίοις προσέθεντο. Μετὰ δὲ ταῦτα ἀναχωχή τις ἐπιχηρυκευσαμένου τοῦ Ἀντιόχου ἐσπείσθη (47). Ὅ τε γὰρ Ἀφρικανὸς εὐνοϊκῶς οἱ διὰ τὸν υἱὸν εἶχε, καὶ ὁ ὕπατος οὐκ ἤθελε τὴν νίκην τῷ διαδόχῳ πλησιάζοντι καταλελοιπέναι. Οὔκουν οὐδὲ ἐπέταξεν τῷ Ἀντιόχῳ πλέον οὐδὲν ἢ ὅσα καὶ πρὸ τῆς μάχης ἦτουν. Διὸ καὶ Γναῖος Μάνλιος ὁ τὴν ἀρχὴν σφῶν διαδεξάμενος οὐκ ἠρκέσθη τοῖς συγκειμένοις, ἀλλὰ πλείω αὐτὸν ἀπῄτησε. Πρὸς δὲ καὶ ὁμήρους δοῦναι ἐκέλευσεν ἄλλους τε καὶ τὸν υἱὸν Ἀντίοχον, καὶ τοὺς αὐτομόλους πάντας ἐκδοῦναι, ἐν οἷς καὶ ὁ Ἀννίβας ἦν. Καὶ ὁ Ἀντίοχος καὶ ἄκων πρὸς ἅπαντα ἐπειθάρχησεν, οὐ μέντοι καὶ τὸν Ἀννίβαν ἐκδοῦναι ἠδυνήθη. Πρὸς γὰρ Προυσίαν τὸν βασιλέα τῶν Βιθυνῶν προκατέφυγε. Καὶ ὁ μὲν Ἀντίοχος πρέσβεις ἐπὶ τούτοις εἰς τὴν Ῥώμην πέμψας ἐσπείσατο. Σκιπίων δὲ Λούκιος ἐπῃνεῖτο ἐπὶ τῇ νίκῃ, καὶ τὴν τοῦ Ἀσιατικοῦ ἐπωνυμίαν δι' αὐτὴν ἔσχεν, ὥσπερ ὁ ἀδελφὸς αὐτοῦ Ἀφρικανὸς ἐπεκλήθη τῆς Καρχηδόνος κρατήσας, μέγιστον ἐν τῇ Ἀφρικῇ δυνηθείσης. Τοιοῦτοι δ' οὖν ἄνδρες οὗτοι γενόμενοι καὶ ἐπὶ τοσοῦτον δόξης ἐλθόντες ἐξ ἀρετῆς, δικαστηρίῳ καὶ τῷ δήμῳ οὐ πολλῷ ὕστερον παρεδόθησαν· καὶ ὁ μὲν Λούκιος κατεψηφίσθη ὡς τάχα πολλὰ ἐκ τῆς λείας σφετερισάμενος· Ἀφρικανὸς δὲ ὡς ἐπιτεχεστέρας τὰς συνθήκας διὰ τὸν υἱὸν ποιησάμενος· τὸ δ' ἀληθὲς, διὰ φθόνον. Ὅτι δ' οὐδὲν ἠδίκουν, δηλοῦται μὲν καὶ ἄλλοθεν, οὐχ ἥκιστα δὲ ὅτι καὶ τῆς οὐσίας τοῦ Ἀσιατικοῦ δημευθείσης οὐδὲν πλέον τῶν αὐτῷ προϋπαρχόντων εὑρέθη. Ὅτι δὲ τοῦ Ἀφρικανοῦ ἐς τὸ Λίτερνον πρὸ ψήφου

Variæ lectiones et notæ.

(46) Ἀγχωμάλως. Mss. habent ἀγχεμαχως.
(47) Ἀναχωχή τις ἐπείσθη. Mss. Reg. et Colb. ἐσπείσθη.

ἀναχωρήσαντος καὶ μέχρι τελευτῆς ἐκεῖ καταμείναντος οὐδεὶς αὐτοῦ ἔτι κατεψηφίσατο. Ὁ δέ γε Μάνλιος Πισιδίαν, Λυκαονίαν τε καὶ Παμφυλίαν, τῆς τε Γαλατίας τῆς Ἀσιανῆς πολλὰ προσηγάγετο. Ἔστι γάρ τι κἀνταῦθα γένος αὐτῶν, ἐκ τοῦ Εὐρωπαίου ἀποδάσμιον. Βρέννον γάρ ποτε βασιλέα σφῶν προστησάμενοι, τήν τε Ἑλλάδα καὶ τὴν Θρᾴκην ἐπέδραμον, κἀκεῖθεν εἰς τὴν Βιθυνίαν διαβάντες μέρη τινὰ τῆς τε Φρυγίας καὶ τῆς Παφλαγονίας, τῆς τε Μυσίας, τῆς πρὸς τῷ Ὀλύμπῳ καὶ Καππαδοκίας ἀπετέμοντο καὶ ἐν αὐτοῖς κατῴκησαν, καὶ νῦν ἔθνος ἴδιόν εἰσι τὸ ὄνομα τῶν Γαλατῶν φέροντες. Οὗτοι δὴ πράγματα τῷ Μανλίῳ παρέσχον· ἀλλὰ καὶ τούτων ἐκράτησε, τὴν μὲν Ἄγκυραν τὴν πόλιν ἑλὼν ἐξ ἐπιδρομῆς, τὰς δ' ἄλλας ὁμολογίᾳ παραστησάμενος. Πράξας δὲ ταῦτα, καὶ συχνὸν παρὰ Ἀριαράθους τοῦ Καππαδοκῶν βασιλέως ἀργύριον ἐπὶ εἰρήνῃ λαβών ἀπῆρεν οἴκαδε.

ΚΑ'. Οἱ δ' Αἰτωλοὶ πρέσβεις τὸ δεύτερον ὑπὲρ εἰρήνης ἐς τὴν Ῥώμην πέμψαντες, αὐτοὶ αὖθις ἐνεωτέριζον. Διὸ οἱ Ῥωμαῖοι τούς τε πρέσβεις εὐθὺς ἀπεπέμψαντο, καὶ Μάρκῳ Φουλουΐῳ τὴν Ἑλλάδα ἀνέθεντο. Ὁ δ' ἐς Ἀμβρακίαν τὴν πόλιν πρῶτον ὥρμησε, μεγάλην οὖσαν (ἦν γάρ ποτε τοῦ Πύρρου βασίλειον, τότε δὲ κατείχετο πρὸς τῶν Αἰτωλῶν), καὶ ἐπολιόρκει αὐτήν. Οἱ οὖν Αἰτωλοὶ πρὸς αὐτὸν ὑπὲρ εἰρήνης διειλέχθησαν. Ὡς δ' οὐκ ἠθέλησε σπείσασθαι, μέρος τι τοῦ στρατοῦ ἐς τὴν Ἀμβρακίαν εἰσέπεμψαν. Οἱ δὲ Ῥωμαῖοι δι' ὑπονόμου τινὸς ἐπεχείρησαν τὴν πόλιν ἑλεῖν, καὶ διώρυσσον πόρρωθεν, καὶ τέως μὲν ἐλάνθανον τοὺς πολιορκουμένους. Ἐπεὶ δ' ὁ χοῦς ἠθροίσθη, ὑπετόπησαν τὸ γενόμενον. Ἀγνοοῦντες δ' ὅπη ὀρύσσοιτο, χαλκῆν ἀσπίδα κατὰ τὸν περίβολον πρὸς αὐτὸ ἐτίθουν τὸ δάπεδον. Καὶ διὰ τῆς ἠχῆς τὸν τόπον γνόντες, καὶ αὐτοὶ ἀντώρυσσον ἔνδοθεν, καὶ πελάσαντες τοῖς Ῥωμαίοις ἦσαν εἰς μάχας κρυπτάς. Τέλος δέ τι τοιοῦτον ἀντετεχνήσαντο. Πίθον μέγαν πτίλων πληρώσαντες πῦρ ἐς αὐτὸν ἐνῆκαν, καὶ πῶμα χαλκοῦν αὐτῷ πολλαχῇ τετρημένον ἐνέθηκαν, καὶ εἰς τὸν ὑπόνομον τὸν πίθον κομίσαντες καὶ πρὸς τοὺς πολεμίους τρέψαντες τὸ στόμα αὐτοῦ ἀκροφύσιόν οἱ κατὰ τὸν πυθμένα ἐνέβαλον, καὶ τούτῳ φύσας προσφέροντες πλεῖστον καὶ δυσχερῆ καπνὸν οἷα ἐκ πτίλων ἐκθορεῖν ἐποίουν, ὃν οὐδεὶς τῶν Ῥωμαίων ὑπέμενεν. Ὅθεν ἀπογνόντες οἱ Ῥωμαῖοι ἐσπείσαντο καὶ τὴν πολιορκίαν κατέλυσαν. Ὁμολογησάντων δ' αὐτῶν καὶ οἱ Αἰτωλοὶ μετεβάλοντο, καὶ διεπράξαντο ἀνοχὴν, εἶτα καὶ εἰρήνην παρὰ τοῦ δήμου, πολλὰ μὲν χρήματα, πολλοὺς δὲ καὶ ὁμήρους δόντες. Καὶ ὁ Φουλούϊος τὴν Κεφαλληνίαν ὁμολογίᾳ παρεστήσατο, καὶ τὴν Ἡλοπόννησον στασιάζουσαν κατεστήσατο. Γαΐου δὲ Φλαμινίου καὶ Αἰμιλίου Λεπίδου ὑπατευόντων μετέπειτα ὁ Ἀντίοχος ἔθανε, καὶ αὐτὸν ὁ υἱὸς ὁ Σέλευκος διεδέξατο. Τελευτήσαντος δὲ κἀκείνου πολλῷ ὕστερον ὁ εἰς τὴν Ῥώμην ὁμηρεύων Ἀντίοχος ἐβασίλευσεν. Ὁ δέ γε Φίλιππος ἐτόλμησε μὲν νεωτερίσαι ὅτι πόλεών τινων ἐστερήθη ἐν Θεσσαλίᾳ, καὶ πρὸς ταῖς δὲ καὶ Αἴνου καὶ Μαρωνείας. Οὐκ ἠδυνήθη δὲ διὰ τὸ γῆρας καὶ διὰ τὰ περὶ τοὺς παῖδας συνενεχθέντα αὐτῷ. Καὶ Γαλάται τινὲς τὰς Ἄλπεις ὑπερβάντες, πόλιν ἐντὸς αὐτῶν κτίσαι ἠθέλησαν· ὧν ὁ Μάρκος ὁ Μάρκελλος τά τε ὅπλα ἀφείλετο, καὶ τἄλλα ὅσα ἐπεκομίζοντο. Οἱ δ' ἐν τῇ Ῥώμῃ πρεσβευσαμένοις σφίσιν, ἐπὶ τῷ εὐθὺς ἀναχωρῆσαι πάντα ἀπέδωκαν. Τότε δὲ καὶ ὁ Ἀννίβας ἀπέθανε. Πρέσβεων γὰρ πρὸς τὸν Προυσίαν τὸν τῆς Βιθυνίας κρατοῦντα πεμφθέντων ἐκ Ῥώμης δι' ἄλλα τέ τινα καὶ ὅπως καὶ τὸν

A rathi Cappadocum regi magna pecunia pace data, domum recessit.

XXI. Ætoli autem secundum legatis de pace Romam missis, ipsi ultro novis rebus studuerunt. Quamobrem Romani legatis statim rejectis, M. Fulvio Græciam provinciam decreverunt. Qui primum Ambraciam urbem magnam, Pyrrhi olim regiam, tum autem Ætolis obnoxiam, obsedit. Ætoli frustra de pacificatione cum eo locuti, exercitus partem in urbem miserunt; quam Romani per cuniculos capere aggressi, a longinquo suffoderunt. Id obsessi principio non animadverterunt; sed exaggerata humo suspicati quid rei esset, quia tamen ignorabant ubi foderetur, æreum clypeum humi mœnibus applicarunt, eque sonitu loco deprehenso **455** atque intrinsecus vicissim suffossis mœnibus, cum Romanis occulta prælia commiserunt. Tandem hujusmodi dolum excogitarunt. Magno dolio plumis repleto ignem injecerunt, æreo operculo multis perforato locis addito. Ejus dolii ore in cuniculis hostibus obverso, fundoque folle inserto, inflato, maximum et molestissimum fumum, ut ea materia fert, excitarunt, quem cum nemo Romanorum tolerare posset, desperata expugnatione, solutaque obsidione, pacem fecerunt. Post Ambraciotarum deditionem Ætoli quoque mutati, primo inducias, mox etiam pacem a Romanis impetrarunt, magna pecunia et multis obsidibus datis. Fulvius vero Cephalenia deditione capta, Peloponnesum seditione laborantem composuit. Deinde C. Flaminio et Æmilio Lepido coss. Antiocho defuncto filius Seleucus successit, quo et ipse multo post mortuo, Antiochus qui Romæ obses erat, regnum suscepit. Philippus novas res moliri ausus, urbibus quibusdam Thessalicis et Æno Maroneaque ereptis: nihil gerere potuit ob senectutem, et filiorum casus. Galli quidam Alpibus superatis, urbem intra eas condere statuerunt, quibus M. Marcellus arma cæteraque quæ domo attulerant, ademit. Romani vero legatis eorum illa omnia restituerunt, ut statim Italia excederent. Tum etiam Annibal interiit. Nam legatis ad Prusiam Bithyniæ regem tum ob alia, tum ut Annibalem apud ipsum degentem dederet, Roma missis: ille ea re præcognita, cum effugere non posset, necem sibi consciviit. Qui cum aliquando accepisset oraculum se in terra Libyca obiturum, se in Africa patria decessurum esse putabat. Verum id prædium in quo moriebatur, Libyæ nomen habuit. Tunc etiam Scipio Africanus decessit.

Ἀννίβαν ἐκδοίη παρ' αὐτῷ ὄντα, προμαθὼν τοῦτ' ἐκεῖνος καὶ διαδράναι μὴ οἷός τε ὢν ἑαυτὸν δι' ἱκέτου ἐποιήσατο. Χρησμοῦ δέ ποτε αὐτῷ γενομένου, ἐν γῇ Λιβύσσῃ τεθνήξεσθαι· ὁ μὲν ἐν τῇ πατρίδι τῇ Λιβύῃ προσεδόκα θανεῖν, ἔτυχε δὲ θνήσκων ἐν χωρίῳ τινὶ τυγχάνων καλουμένῳ Λιβύσσῃ. Καὶ ὁ Ἀφρικανὸς δὲ Σκιπίων τότε μετήλλαξε.

XXII. Philippus Macedonum rex, filio Demetrio occiso, Perseum quoque occisurus, obiit. Nam cum Demetrius ob Romanorum amicitiam, exteriique Macedones spem concepissent regni post Philippi obitum obtinendi: Perseus ut natu major ei invidit, et ut patri insidiantem calumniatus est. Itaque venenum bibere coactus, periit. Philippus autem nec multo post **456** veritate cognita, Perseum ulcisci volens, morte interceptus, regnum Perseo vel invitus reliquit: quod ei Romani, paterna amicitia renovata, confirmarunt. Insecutis temporibus accidere quædam, scriptione parum digna. Sed post Perseus Romanorum inimicitiis susceptis, ut bello moram, dum se pararet, produceret: legatos Romam misit, objecta sibi crimina purgaturus, scilicet. Quibus Romani in urbem non admissis, senatu foris dato, nihil responderunt aliud, nisi consulem se missuros esse, cum quo ageret quæ vellet: eodemque die illos abire jusserunt, ductoribus adjunctis, ne cum quoque colloquerentur, ac Perseo aditu Italiæ in posterum interdixerunt. Deinde Cn. Sicinium prætorem cum parvis copiis ablegarunt, majoribus nondum paratis. Perseus Thessaliam ingressus, maximam ejus partem sibi adjunxit. Imminente vere Licinius Crassus contra cum missus est, et classi præfectus C. Lucretius. Ac primo equestri conflictu impegit: deinde victoria potitus, eo redegit Perseum, ut in Macedoniam recederet. Urbes autem Græcas aggressus, quas Philippus obtinuerat, a plerisque repulsus est, nonnullas subegit, nonnullas evertit, civibus sub corona venditis. Quibus Romani auditis indignati, Crasso postmodum pecuniariam multam dixerunt, captas urbes liberas esse jusserunt; earumque cives venundatos, quos in Italia reperere, ab emptoribus redemerunt. His ita gestis bello Persico multas magnas clades acceperunt, rebus eorum passim afflictis. Nam Perseus Epiri et Thessaliæ pleraque obtinuit. Præter enim alias ingentes copias, adversus Romanorum elephantes etiam phalangem armatorum instruxerat, quorum clypei et galeæ ferreis clavis acutis horrebant. Ne autem equis formidabiles essent, simulacra elephantorum paravit ex unguento quodam, tetrum fœtorem spirantia, visu, audituque horrenda, quæ arte quadam sonitum instar tonitrus ederent: ad quæ equi subinde adducti, timere denique desierunt. His rebus Perseus auctis animis, se Alexandro gloria et magnitudine imperii superiorem fore putabat. Romani vero iis cognitis, Marcium Philippum cos. **457** celeriter ablegarunt: qui cum in Thessaliam ad exercitum

ΚΒ'. Φίλιππος δὲ ὁ Μακεδόνων βασιλεὺς τὸν υἱὸν Δημήτριον ἀποκτείνας καὶ τὸν ἕτερον υἱὸν τὸν Περσέα μελλήσας φονεύσειν, ἀπέθανεν. Ἐπεὶ γὰρ προσφιλὴς τοῖς Ῥωμαίοις ἐκ τῆς ὁμηρείας ἐγένετο ὁ Δημήτριος, καὶ αὐτός τε καὶ οἱ λοιποὶ τῶν Μακεδόνων ἤλπιζον ὅτι μετὰ τὸν Φίλιππον τὴν βασιλείαν λήψεται, ἐφθόνησεν αὐτῷ ὁ Περσεὺς ὅτε καὶ πρεσβύτερος αὐτοῦ ὢν, καὶ διέβαλεν αὐτὸν ὡς ἐπιβουλεύοντα τῷ πατρί. Καὶ ὁ μὲν φάρμακον πιεῖν ἀναγκασθεὶς ἐτελεύτησεν. Ὁ δὲ Φίλιππος οὐ πολλῷ ὕστερον τὸ ἀληθὲς γνοὺς ἀμύνασθαι τὸν Περσέα ἠθέλησεν· οὐ μέντοι καὶ ἴσχυσεν, ἀλλ' αὐτός τε ἀπέθανε, καὶ τὴν βασιλείαν ὁ Περσεὺς διεδέξατο. Καὶ οἱ Ῥωμαῖοι ταύτην τε αὐτῷ ἐβεβαίωσαν, καὶ τὴν πατρῴαν φιλίαν ἀνενεώσαντο. Ἐν δὲ τοῖς μετὰ ταῦτα χρόνοις συνηνέχθησαν μέν τινα, οὐ μέντοι καὶ ἀναγκαῖα πάνυ ὥστε καὶ συγγραφῆς νομίζεσθαι ἄξια. Ὕστερον δὲ ὁ Περσεὺς πολέμιον ἑαυτὸν τοῖς Ῥωμαίοις ἐποίησεν. Ἵνα δὲ ἀναβολὴν τοῦ πολέμου ἴσχοι μέχρις ἂν παρασκευάσηται, πρέσβεις εἰς τὴν Ῥώμην ἔπεμψεν ἀπολογησομένους τάχα περὶ ὧν ἐνεκαλεῖτο. Οὓς οἱ Ῥωμαῖοι οὔτ' εἴσω τοῦ τείχους ἐδέξαντο· καὶ πρὸ τοῦ ἄστεως αὐτοῖς χρηματίσαντες οὐδὲν ἀπεκρίναντο ἕτερον, ἢ ὅτι ὕπατον πέμψουσι, πρὸς ὃν ὅσα βούλεται διαλεχθήσεται· καὶ αὐθήμερον αὐτοὺς ἀπιέναι ἐποίησαν, δόντες σφίσι καὶ ἀγωγούς· ὥστε μή τινι συγγένωνται, καὶ τῷ Περσεῖ τῆς Ἰταλίας ἐπιβαίνειν τοῦ λοιποῦ ἀπειρήκασιν. Οἱ μὲν οὖν Ῥωμαῖοι μετὰ ταῦτα Γναῖον Σικίνιον στρατηγὸν μετὰ δυνάμεως ὀλίγης ἐξέπεμψαν (οὐ γάρ πω τὴν μείζω παρεσκευάσαντο) καὶ ὁ Περσεὺς εἰς Θεσσαλίαν παρεμβάλλων, τά γε πλεῖστα αὐτῆς ᾠκειώσατο· Ἐπεὶ δὲ τὸ ἔαρ ἐπέστη, πέμπουσιν ἐπ' αὐτὸν Λικίννιον Κράσσον, καὶ στρατηγὸν ἐπὶ τοῦ ναυτικοῦ Γαῖον Λουκρήτιον. Συμμίξας οὖν πρῶτον περὶ Λάρισσαν τῷ Περσεῖ ἐν ἱππομαχίᾳ ἔπταισεν· ὕστερον μέντοι περιεγένετο, ὥστε καὶ ἀναχωρῆσαι τὸν Περσέα εἰς Μακεδονίαν. Ὁ Κράσσος δὲ ταῖς πόλεσι ταῖς Ἑλληνικαῖς ταῖς ὑπὸ τοῦ Φιλίππου κατεχομέναις (48) προσέβαλε, καὶ τῶν μὲν πλειόνων ἀπεκρούσθη, ἔστι δ' ἃς ἐχειρώσατο· καί τινας κατασκάψας τοὺς ἀλόντας ἀπέδοτο. Ἅπερ οἱ ἐν τῇ Ῥώμῃ πυθόμενοι ἠγανάκτησαν, καὶ τόν τε Κράσσον ὕστερον ἐζημίωσαν χρήμασι, καὶ τὰς ἁλωκυίας πόλεις ἠλευθέρωσαν, καὶ τοὺς πραθέντας ἐξ αὐτῶν καὶ ἐν τῇ Ἰταλίᾳ εὑρεθέντας τότε παρὰ τῶν ἐωνημένων αὐτοὺς ἐξεπρίαντο. Ταῦτα μὲν οὖν οὕτως ἔπραξαν οἱ Ῥωμαῖοι· ἐν δὲ τῷ πρὸς τὸν Περσέα πολέμῳ πολλὰ καὶ μεγάλα ἠτύχησαν, καὶ πολλαχόθι ἐπόνησε τὰ αὐτῶν, καὶ ὁ Περσεὺς τῆς Ἠπείρου καὶ τῆς Θεσσαλίας κατέσχε τὰ πλείονα. Τήν τε γὰρ ἄλλην δύναμιν πολλὴν συν-

Variæ lectiones et notæ.

(48) *Ταῖς ὑπὸ τοῦ Φιλίππου κατεχομέναις.* Sic mss. Reg. et Colbert. At Wolfius Περσέως indubie legendum ait.

ἐκρότησε, καὶ πρὸς τοὺς ἐλέφαντας τῶν Ῥωμαίων φάλαγγα ὁπλιτῶν ἠσκήκει, ὀξέσιν ἥλοις τὰς ἀσπίδας καὶ τὰ κράνη σιδηρώσας αὐτῶν. Ὅπως δὲ μήτε τοῖς ἵπποις φοβεροὶ εἶεν, εἰδώλα ἐλεφάντων σκευάσας, δεινὴν μὲν ὑπὸ χρίσματός τινος ὀσμὴν ἔχοντα, φοβερὰ δὲ καὶ ὀφθῆναι καὶ ἀκουσθῆναι ὄντα (βροντώδη γὰρ ἠφίει ἠχήν τινα ἐξ ἐπιτηδεύσεως), πρὸς ἐκεῖνα προσῆγεν αὐτοὺς συνεχῶς, μέχρις οὗ καὶ ἐθάρσησαν. Ὁ μὲν οὖν Περσεὺς μέγα ἐκ τούτων ἐκέκτητο φρόνημα, καὶ τὸν Ἀλέξανδρον τῇ δόξῃ, καὶ τῷ μεγέθει τῆς ἀρχῆς ὑπερίσειν ἐπήλπισεν. Οἱ δ' ἐν τῇ Ῥώμῃ ταῦτα μαθόντες τὸν Μάρκιον Φίλιππον ὑπατεύοντα σπουδῇ ἐξέπεμψαν, καὶ ὃς εἰς τὴν Θεσσαλίαν πρὸς τὸ στράτόπεδον ἀφικόμενος τούς τε Ῥωμαίους καὶ τοὺς συμμάχους ἐξήσκει, ὥστε δείσαντα τὸν Περσέα ἐν τῷ ἰδίῳ τῷ Μακεδονικῷ (49) καὶ πρὸς τοῖς Τέμπεσιν ἡσυχίαν ἄγειν, καὶ τὰ στενὰ τηρεῖν. Θαρσήσας δὲ διὰ ταῦτα ὁ Φίλιππος διὰ μέσων ὀρῶν ὑπερέβαλε, καί τινα τοῦ Περσέως κατέσχε. Προϊὼν δ' ἐπὶ τῆς Πύδνης (50) τῶν ἐπιτηδείων ἐσπάνισε, καὶ εἰς τὴν Θεσσαλίαν ἀνέστρεψε. Καὶ αὖθις ὁ Περσεὺς ἀνεθάρσησε καὶ ἃ κατέσχεν ὁ Φίλιππος ἀνεκτήσατο καὶ τῷ ναυτικῷ συχνὰ τοὺς Ῥωμαίους ἐλύπει, συμμάχους τε προσηγάγετο καὶ πάντη τοὺς Ῥωμαίους ἐκ τῆς Ἑλλάδος ἤλπισεν ἐκβαλεῖν. Τῇ δὲ πολλῇ καὶ ἀκαίρῳ φειδωλίᾳ, καὶ τῇ δι' αὐτὴν τῶν συμμάχων ὀλιγωρίᾳ ἀσθενὴς αὖθις ἐγένετο. Ὡς γὰρ τὰ τῶν Ῥωμαίων ὑπεδίδου, τὰ δ' ἐκείνου ἐπηύξετο, κατεφρόνησεν ὡς οὐδὲν ἔτι τῶν συμμάχων δεόμενος, καὶ οὐκ ἐδίδου χρήματα σφίσιν ἃ ἐπηγγείλατο. Τῶν μὲν οὖν ἀμβλυνθέντων τὸ πρόθυμον, τῶν δὲ καὶ τέλεον αὐτὸν ἐκλιπόντων, τοσοῦτον ἀπέγνω ὥστε καὶ σπονδῶν δεηθῆναι, καὶ κἂν ἔτυχε τούτων διὰ τοῦ Εὐμένους, εἰ μὴ καὶ Ῥόδιοι συνεπρέσβευσαν. Ὑπερηφάνως γὰρ οὗτοι τοῖς Ῥωμαίοις διαλεχθέντες, τυχεῖν αὐτὸν ἐκώλυσαν τῶν σπονδῶν.

venisset, Romanos et socios ita exercuit, ut Perseus territus, in suo regno Macedonico, et ad Tempe quietus, angustias tueretur. Aucta ex eo audacia Philippus, mediis montibus superatis, quasdam illius urbes cepit: et ad Pydnam progressus, ob commeatus penuriam in Thessaliam rediit. Unde Perseus resumpta fiducia, quæ Philippus occuparat, recepit, et classe Romanos crebris detrimentis affecit, ascitisque sociis, tota Græcia se Romanos ejecturum sperabat: sed nimia et importuna parcimonia, ex eaque sociorum neglectu, rursus ejus opes imminutæ sunt. Rebus enim Romanorum labescentibus, suis incrementis fretus, socios ita contempsit, quasi eorum opera nihil esset opus: nec promissam illis pecuniam dedit. Aliorum igitur alacritate imminuta, ab aliis plane destitutus, ita rebus suis diffidere cœpit, ut pacem peteret: eamque per Eumenem impetrasset, nisi Rhodii legatis adjuncti superba oratione Romanorum animos alienassent.

ΚΓ'. Ἐντεῦθεν ὁ κατ' αὐτοῦ πόλεμος Παύλῳ ἀντέθη τῷ Αἰμιλίῳ τὸ δεύτερον ὑπατεύοντι· ὃς σπουδῇ κομισθεὶς εἰς τὴν Θεσσαλίαν, καὶ τὰ τῶν στρατιωτῶν προκαταστησάμενος, βιασάμενος διὰ τῶν Τεμπῶν (ὀλίγοι γὰρ ἐφρούρουν αὐτὰ) ἐπὶ τὸν Περσέα ὥρμησεν. Ἐπεὶ δ' ἐκεῖνος τὸν Ἕλπιον ποταμὸν προσαπέφραξεν, ὄντα ἐν μέσῳ, προκαταλαβὼν δὲ καὶ πᾶν τὸ μεταξὺ τοῦ τε Ὀλύμπου καὶ τῆς θαλάσσης αἱμασιαῖς καὶ σταυρώμασι καὶ οἰκοδομήμασιν, ἄπορον ἀπειργάσατο. Ἐθάρρει δὲ καὶ τῇ ἀνυδρίᾳ τοῦ τόπου. Ἐπείρασε μὲν καὶ οὕτως ὁ ὕπατος διελθεῖν, καὶ τῆς ἀνυδρίας ἐπορίσατο (51) ἐπικούρημα. Διαμησάμενος γὰρ τὴν ἐν τῇ ὑπωρείᾳ τοῦ Ὀλύμπου ἄμμον ὕδωρ εὗρε δαψιλές τε καὶ πότιμον. Κἀν τούτῳ τῶν Ῥοδίων πρέσβεις ἀφίκοντο πρὸς αὐτὸν ἀπὸ τῆς αὐτῆς θρασύτητος, ἀφ' ἧς καὶ ἐς τὴν Ῥώμην πρὶν ἐπρεσβεύσαντο. Ὁ δὲ οὐδὲν εἰπὼν πλέον αὐτοῖς ἢ ὅτι μετ' ὀλίγας ἡμέρας ἀπόκρισιν δώσει, ἀπέπεμψεν αὐτούς. Ὡς δὲ προσβάλλων οὐδὲν ἐπέραινεν, ἔμαθε δὲ τὰ ὄρη ὄντα που πορίσιμα, μέρος τι τοῦ στρατοῦ ἐπὶ τὴν δυσπροσβατέραν αὐτῶν ὑπερβολὴν ἔπεμψε, καταλήψόμενον τὰ ταύτῃ ἐπικαιρα. Διὰ γὰρ τὸ δυσπρόσιτον καὶ ἐλαχίστην εἶχε φρουράν· αὐτὸς δὲ τῷ λοιπῷ τοῦ στρατεύματος προσέμιξε τῷ Περσεῖ, ἵνα μή τι ὑποτοπήσας φυλακὴν τῶν ὀρῶν ἀκριβεστέραν ποιήσαιτο. Καὶ μετὰ

XXIII. Inde bellum Persicum Paulo Æmilio iterum consuli est mandatum: qui propere in Thessaliam profectus, militari disciplina correcta, per Tempe quæ a paucis custodiebantur, vi patefacta via, contra Perseum duxit. Is vero cum Elpium amnem interfluentem munitionibus, et quidquid inter Olympum et mare interjacet, septis atque aggeribus occupasset, et siccitate loci quoque fretus esset: tamen sic etiam consul transitus periculo facto, sitis primum invenit remedium. Perfossis enim arenis in montis Olympi radicibus, affatim aquæ potabilis reperit. Interea Rhodiorum legati eadem audacia, qua prius Romæ usi fuerant, ad eum venerunt: quos ita dimisit, ut nihil aliud diceret, nisi se post paucos dies eis responsurum esse. Cum autem oppugnando nihil proficiens, montes alicubi esse pervios didicisset: partem exercitus ad cacumen accessu difficilius misit, ut loca opportuna occuparet. Nam ob arduum ascensum, minimum ibi præsidium collocatum erat. Reliqua copiarum parte cum Perseo dimicavit, ne quid suspicatus, montes accuratius tueretur. Post, verticibus occupatis, **458** noctu ad montes contendit: eosque partim aperto Marte, partim occulte superavit. Quo Perseus cognito, metuens ne a tergo circumveniretur, aut Pydna ab hoste oc-

Variæ lectiones et notæ.

(49) *Ἐν τῷ ἰδίῳ τῷ Μακεδονικῷ.* Sic Reg. et Colbert. ubi Wolfius: *Quid si, ἐν Δίῳ?*

(50) *Πύδνης.* In ms. Reg. Scholii vice additur, Πύδνα, τὸ νῦν Κίτρος.

(51) *Ἐπορίσατο.* Alter e Regiis et Colbert. ἐκμίσατο.

cuparetur (nam Romana classis accedebat), castello quod ad amnem erat deserto, Pydnam propere contendit, et ante urbem castra posuit. Eodem Paulus quoque venit. Non statim tamen sunt congressi, prælio in plures dies dilato : et quia lunæ defectum præcognorat, exercitum sub vesperam qua ille instaturat convocatum, edoctumque quid futurum esset, monuit, ne quid ea re turbaretur. Proinde Romani ex eo nihil adversi timuerunt. Macedones autem territi, Perseo sinistri aliquid portendi judicarunt. Sic utrisque affectis, fortuito casu postridie in pugnam non denuntiatam sunt impulsi, quæ bello finem imposuit. Nam cum jumentum Romanum in flumen, unde aquabantur, incidisset, idque sibi et Macedones et lixæ vindicarent : primum inter hos certatum est. Deinde cæteri etiam suis opitulaturi, alii post alios castris egressi, donec omnes utrinque confixerunt : pugna confusa illa quidem sed acri, cujus victoria penes Romanos fuit. Qui Macedones usque ad mare persecuti, multos ipsi occiderunt, multos classi accedenti trucidandos objecerunt : neque quisquam eorum evasisset, nisi noctis beneficio conservati essent. Pugna enim sub vesperam commissa est. Perseus Amphipolim profugus, ut et reliquias colligeret, et rem in integrum restitueret, cum nulli venirent præter Cretenses stipendiarios, et Pydnam, cæterasque urbes ad Romanos defecisse audiret : illinc digressus, omni pecunia, quam secum vehebat, navibus imposita, noctu in Samothraciam navigavit. Cum autem non multo post audivisset, Octavium classi præfectum accedere, et Paulum Amphipolim venisse : per litteras pacem ab eo petiit. In quibus quod se regem nominasset, ne responsum quidem tulit. Deinde cum sine tali aliquo titulo idem petiisset, Paulus pacificationis mentione admissa, non alias ei conditiones tulit, nisi ut semeptisum, et sua omnia Romanorum fidei permitteret : itaque inter eos non convenit. Post, Evandrum Cretensem **459** Romanis postulantibus, cujus multis in rebus fidelissima contra eos usus erat opera, non dedidit, veritus, ne arcana sua proderet : sed eo clam interfecto, rumorem sparsit, eum sibi ipsi manus attulisse. Tum igitur familiares, ejus perfidiam veriti (neque enim eos id latebat facinus) ab eo desciscere cœperunt. Quare veritus, ne Romanis dederetur, noctu fugam capessere instituit : ac clam ad Cotyn Thraciæ dynasten pervenisset, nisi Cretenses, rebus suis in naves impositis domum discedentes, cum reliquissent. Ipse vero ibi per dies aliquot cum Philippo filio latuit : sed cum cæteros liberos suos Octavium tenere didicisset, ultro e latebris prodiit. Amphipolim perductum Paulus non male tractavit : sed purpurea dextera ad mensam suam admisit, et in libera custodia asservatum honorifice habuit. Deinde per Epirum in Italiam est perductus. Plutarchus refert Æmilium, cum Perseus adduceretur, ei lacrymis op-

τοῦτο καταληφθέντων τῶν ἄκρων, νυκτὸς πρὸς τὰ ὄρη ὥρμησε· καὶ πῇ μὲν λαθὼν, πῇ δὲ βιασάμενος ὑπερέβαλεν αὐτά. Ὁ μαθὼν ὁ Περσεὺς, καὶ δείσας μὴ κατὰ νώτου αὐτῷ προσπέσῃ, ἢ καὶ τὴν Πύδναν προκατάσχῃ (καὶ γὰρ τὸ ναυτικὸν ἅμα τὸ τῶν Ῥωμαίων παρέπλει), τό τε ἔρυμα τῷ πρὸς τῷ ποταμῷ ἐξέλιπε, καὶ πρὸς τὴν Πύδναν ἐπείχθη· πρὸ τῆς πόλεως ἐστρατοπεδεύσατο. Καὶ ἦλθε μὲν καὶ ὁ Παῦλος ἐκεῖ. Οὐ μέντοι καὶ παραχρῆμα προσέμιξαν, ἀλλὰ καὶ διέτριψαν οὐκ ὀλίγας ἡμέρας. Προμαθὼν δὲ ὁ Παῦλος ὡς ἡ σελήνη ἐκλείψειν μέλλει, συνηθροίκει πρὸς ἑσπέραν τὸ στράτευμα, ὅτε τὴν ἔκλειψιν γενέσθαι ἐχρῆν, καὶ προεῖπε τὸ συμβησόμενον, καὶ μή τι διὰ τοῦτο ταραχθῆναι παρήνεσεν. Οἱ μὲν οὖν Ῥωμαῖοι, τὴν ἔκλειψιν θεασάμενοι, οὐδὲν κακὸν ἐξ αὐτῆς ὑπετόπησαν· οἱ δέ γε Μακεδόνες δέος ἔσχον ἐκ τούτου, καὶ ἐς τὸν Περσέα τὸ τέρας τείνειν ἐνόμισαν. Οὕτω δ' ἑκατέρων ἐχόντων, συμβάν τι κατὰ τύχην τῇ ὑστεραίᾳ συνέῤῥηξεν αὐτοὺς εἰς μάχην ἀκήρυκτον καὶ τέλος τῷ πολέμῳ ἐπέθηκεν. Ἐπεὶ γὰρ ὑποζύγιόν τι τῶν Ῥωμαίων εἰς τὸ ὕδωρ εἰσέπεσεν ἐξ οὗπερ ὑδρεύοντο, καὶ οἵ τε Μακεδόνες αὐτοῦ ἐπελάβοντο καὶ οἱ ὑδροφόροι ἀντείχοντο, τὸ μὲν πρῶτον οὗτοι καθ' ἑαυτοὺς ἐμαχέσαντο, ἔπειτα καὶ οἱ λοιποὶ ἐπικουροῦντες τοῖς οἰκείοις κατ' ὀλίγους ἐκ τῶν στρατοπέδων ἐξῆσαν, καὶ πάντες συνέμιξαν ἀπ' ἀμφοῖν. Καὶ μάχης ἀσυντάκτου μὲν, ὀξείας δὲ γενομένης, οἱ Ῥωμαῖοι ἐκράτησαν, καὶ καταδιώξαντες τοὺς Μακεδόνας μέχρι τῆς θαλάσσης, πολλοὺς μὲν αὐτοὶ ἐφόνευσαν, πολλοὺς δὲ τῷ ναυτικῷ προσπλεύσαντι ἀποκτεῖναι παρέδοσαν. Οὐδ' ἂν τις ἀπελείφθη αὐτῶν, εἰ μὴ νὺξ αὐτοῖς ἐβοήθησε. Περὶ δεί-λην γὰρ ὀψίαν ἡ μάχη ἐγένετο. Διαφυγὼν οὖν εἰς Ἀμφίπολιν ὁ Περσεὺς ὡς τούς τε περιλιπεῖς ἀναλη-ψόμενος, καὶ συστήσων αὖθις τὰ πράγματα, ἐπεὶ οὔτ' ἦλθόν τινες πρὸς αὐτὸν πλὴν μισθοφόρων Κρητῶν, καὶ τὴν Πύδναν ἄλλας τε πόλεις τὰ τῶν Ῥωμαίων ἠρῆσθαι ἔμαθε, κἀκεῖθεν μετέστη καὶ εἰς πλοῖα τὰ χρήματα ὅσα ἐπήγετο θέμενος, νυκτὸς ἐς Σαμοθράκην ἀπέπλευσε. Καὶ πυθόμενος οὐ πολλῷ ὕστερον τὸν Ὀκταούϊον, ὃς τοῦ ναυτικοῦ προῆστατο, προσπλέοντα, καὶ τὸν Παῦλον εἰς Ἀμφίπολιν παρόντα, ἐπέστειλεν αὐτῷ, συμβῆναι δεόμενος. Καὶ ἐπεὶ βασιλέα ἑαυτὸν ἐν τῇ ἐπιστολῇ ὠνόμασεν, οὐδ' ἀποκρίσεως ἔτυχεν. Ὕστερον δὲ ἄνευ τινὸς τοιαύτης προσρήσεως ἐπιστείλαντος, προσεδέξατο μὲν τὸν ὑπὲρ τῶν σπονδῶν λόγον· οὐκ ἄλλως μέντοι συμβήσεσθαι ἔφη εἰ μὴ καὶ ἑαυτὸν καὶ τὰ ἑαυτοῦ πάντα τοῖς Ῥωμαίοις ἐπιτρέψειε· καὶ διὰ ταῦτα οὐ συνέβησαν. Μετὰ τοῦτο δὲ ἐξαιτηθεὶς παρὰ τῶν Ῥωμαίων Εὐανδρόν τινα Κρῆτα πολλὰ κατ' αὐτὸν ὑπουργηκότα καὶ πιστότατον αὐτῷ, οὐκ ἐξέδωκε μὲν, φοβηθεὶς μὴ κατείπῃ ὅσα αὐτῷ συνῄδει, λάθρα δὲ αὐτὸν ἀποκτείνας ἑαυτὸν διαχειρίσασθαι ἐφήμισε. Τότε μὲν οὖν οἱ συνόντες αὐτῷ φοβηθέντες τὴν ἀπιστίαν αὐτοῦ (οὐ γὰρ ἠγνόησαν τὸ γινόμενον) μεθίστασθαι ἤρξαντο. Κἀκεῖνος, δείσας μὴ τοῖς Ῥωμαίοις παραδοθῇ, ἐκδρᾶναι νυκτὸς ἐπεχείρησε. Καὶ ἐλάθεν ἂν πρὸς Κότυν Θρᾳκα δυνάστην κομισθείς,

εἰ μὴ οἱ Κρῆτες αὐτὸν ἐγκατέλιπον. Ἐνθέμενοι γὰρ τὰ χρήματα εἰς τὰ πλοῖα οἴκαδε ἀπῆραν. Ὁ δὲ ἡμέρας μέν τινας αὐτοῦ μετὰ Φιλίππου ἑνὸς τῶν υἱέων κρυπτόμενος ἔλαθεν· ἐπεὶ δὲ τοὺς ἄλλους παῖδας καὶ τὴν θεραπείαν ἔγνω κατεσχηκότα τὸν Ὀκτασούϊον, εὑρέθη ἐθελοντής, καὶ ἀχθέντα εἰς τὴν Ἀμφίπολιν οὐδὲν ὁ Παῦλος ἐκάκωσεν, ἀλλὰ καὶ ἐδεξιώσατο καὶ ὁμόσιτον ἐποιήσατο καὶ ἐν ἀδέσμῳ φυλακῇ ἐτήρει καὶ ἐν θεραπείᾳ ἦγε. Μετὰ δὲ ταῦτα εἰς τὴν Ἰταλίαν διὰ τῆς Ἠπείρου ἀνεκομίσθη. Ὁ δὲ Πλούταρχος ἀχθῆναι λέγει τὸν Περσέα πρὸς τὸν Αἰμίλιον, καὶ τὸν δεδακρυμένον προσυπαντῆσαι αὐτῷ, ἐκεῖνον δ' ἐπὶ στόμα καταβαλεῖν ἑαυτὸν, καὶ γονάτων ὀρεξάμενον ἀφεῖναι φωνὰς ἀγενεῖς, καὶ τὸν Αἰμίλιον ἀλγοῦντι προσώπῳ προσιδόντα αὐτὸν εἰπεῖν· *Τί, ὦ ταλαίπωρε, ταῦτα πράττεις, ἀφ' ὧν δόξεις οὐκ ἀναξίως ἀτυχεῖν, οὐδὲ τοῦ νῦν, ἀλλὰ τοῦ πάλαι δαίμονος ἀνάξιος γεγονέναι; Τί δέ μου καταβάλλεις τὴν νίκην καὶ σμικρύνεις μου τὸ κατόρθωμα, ἀπιδεικνύμενος ἑαυτὸν οὐ γενναῖον, οὐδὲ πρέποντα Ῥωμαίοις ἀνταγωνιστήν; Ἀρετή τοι δυστυχοῦσι μεγάλην ἔχει μοῖραν καὶ παρὰ πολεμίοις. Δειλία δὲ Ῥωμαίοις κἂν εὐποτμῇ, πάντη ἀτιμότατον.*

A pletum obviam ivisse : illum vero in faciem prostratum, prehensis ejus genibus voces parum generosas edidisse. Æmilium autem tristi vultu eum intuentem dixisse : *Quid, o miser, ista facis : unde non præter meritum in calamitatem incidisse, neque præsenti, sed præterita fortuna indignus esse videaris? Quid meam victoriam deprimis, et res gestas attenuas, ignaviam præ te ferendo, teque adversarium Romanis indignum declarando? Virtus enim etiam in calamitate multum vel apud hostes momenti habet. Ignaviam vero, etiam secundis in rebus extremo contemptu Romani dignam judicant.*

ΚΔ'. Κατὰ δὲ τὸν αὐτὸν χρόνον καὶ Λούκιος Ἀνίκιος στρατηγὸς πεμφθεὶς ἐπὶ τὸν Γέντιον τοὺς προσμίξαντάς τε αὐτῷ ἐνίκησε καὶ τὸν Γέντιον φυγόντα ἐπιδιώξας, εἰς Σκοδρᾶν κατέκλεισεν, ὅπου ἦν αὐτῷ τὰ βασίλεια. Καὶ διακενὴς ἂν προσήδρευσεν αὐτῇ (ἐπὶ γὰρ ἀκρωνύχια ὄρους πεπόλισται, καὶ φάραγξι βαθείαις ποταμοὺς ῥοώδεις ἐχούσαις περιειλεῖται, τείχει τε ὀχυρῷ περιέζωσται), εἰ μὴ ὁ Γέντιος μέγα ἐπὶ τῇ δυνάμει ἐλπίσας, ἑκὼν εἰς μάχην ἐχώρησε. Κἀκ τούτου τήν τε ἀρχὴν αὐτοῦ πᾶσαν ὁ Ἀνίκιος προσηγάγετο, καὶ μέχρι τῆς Ἠπείρου προελθὼν πρὶν τὸν Παῦλον ἐλθεῖν κἀκείνην ταραττομένην ἡμέρωσεν. Οἱ δ' ἐν τῇ Ῥώμῃ ἔμαθον μὲν τὴν τοῦ Παύλου νίκην τετάρτῃ μετὰ τὴν μάχην ἡμέρᾳ ἔκ τινος φήμης, οὐ μέντοι καὶ ἀκριβῶς ἐπίστευον. Εἶτα γραμμάτων ὑπὲρ ταύτης κομισθέντων τοῦ Παύλου ὑπερήσθησαν, καὶ οὐχ ὡς τὸν Περσέα νενικηκότες καὶ τὴν Μακεδονίαν κτησάμενοι, ἀλλ' ὡς τὸν Φίλιππον ἐκεῖνον τὸν πάνυ καὶ αὐτὸν τὸν Ἀλέξανδρον μετὰ πάσης τῆς ἀρχῆς ἐκείνης ἣν ἔσχηκε νικήσαντες, ἐσεμνύνοντο. Ἐλθόντι δ' ἐς Ῥώμην τῷ Παύλῳ πολλὰ ἐψηφίσθη, καὶ ἡ πομπὴ τῶν νικητηρίων αὐτῷ λαμπροτάτη ἐγένετο. Ἔπεμψε μὲν γὰρ καὶ τἄλλα ὅσα ἐαλώκει πάντα, ἔπεμψε δὲ καὶ Βίθυν τὸν τοῦ Κότυος υἱὸν, τόν τε Περσέα καὶ τὴν γυναῖκα αὐτοῦ τούς τε παῖδας τρεῖς ὄντας ἐν τῷ τῶν ἁλιμαλώτων σχήματι. Δείσας δὲ διὰ τὴν τῆς εὐτυχίας ὑπερβολὴν μή τι νεμεσήσῃ αὐτοῖς τὸ δαιμόνιον, ηὔξατο καὶ οὗτος κατὰ τὸν Κάμιλλον, μή τι κακὸν τῇ πόλει ἐκ τούτων, ἀλλ' ἑαυτῷ εἴ τι δέοι γενήσεσθαι· καὶ δύο υἱεῖς, τὸν μὲν πρὸ τοῦ θριάμβου μικρὸν, τὸν δὲ ἐν αὐτῇ τῇ τῶν ἐπινικίων ἀπέβαλεν ἑορτῇ. Ἦν δὲ οὐ στρατηγῆσαι μόνον ἀγαθὸς, ἀλλὰ καὶ ὑπερόπτης χρημάτων. Τεκμήριον δὲ, δεύτερον τότε ὑπατεύσας καὶ λαφύρων ἀμυθήτων κρατήσας ἐν τοσαύτῃ πενίᾳ διεβίω, ὥστε χαλεπῶς τῇ γυναικὶ αὐτοῦ τὴν προῖκα τελευτήσαντος ἀποδοθῆναι. Τῶν δ' ἁλόντων τῷ πατρὶ μὲν ὁ Βίθυς προῖκα ἐδόθη. Περσεὺς δὲ εἰς Ἄλβαν σὺν τοῖς παισὶ καὶ τῇ θεραπείᾳ κατετέθη, κἀκεῖ μὲν ἕως ἤλπιζε τὴν βασιλείαν

XXIV. Eodem tempore L. Anicius prætor contra Gentium missus, hostes prælio fudit. Gentium profligatum persecutus, Scodræ, ubi ejus regia erat, obsedit. Idque frustra futurum erat, quoniam urbs in montis cacumine sita, et profundis vallibus quæ fluvios torrentes habent, cincta, muroque firmo munita est : nisi Gentius suis copiis fretus, ultro ad pugnam venisset. Unde factum, ut omne ejus imperium Anicius subegerit : et usque ad Epirum progressus, ante Pauli adventum illam etiam tumultuantem pacarit. Romani Pauli victoriam quarto post pugnam die ex rumore audiverunt, sed non plane **460** crediderunt. Deinde Pauli acceptis litteris maxima lætitia affecti, non quasi victo Perseo, subactaque Macedonia, sed tanquam Philippum illum regem præstantissimum, et ipsum Alexandrum cum toto illo imperio vicissent, ita sunt gloriati. Paulo Romam reverso multi honores sunt decreti, et triumphus splendidissimus, in quo præter alias manubias Bithym Cotys filium, Perseum et uxorem ejus cum tribus liberis, habitu captivorum duxit. Veritus autem ex immodica felicitate invidiam numinis, Camilli exemplo precatus est, si quid inde mali immineret, ut id incolumi republica in suum caput redundaret : itaque duos filios, alterum paulo ante triumphum, alterum in ipsa illa celebritate amisit. Fuit non tantum egregius imperator, sed etiam pecuniæ contemptor, quod ex eo apparet quod secundùm consul, et spoliis innumerabilibus potitus, in tanta paupertate vitam exegit, ut post ejus obitum uxori dos ægre posset reddi. Ex captivis Bithys patri gratis est redditus. Perseus cum liberis et ministris Albam missus est, ubi cum se regni recuperandi spe aliquandiu sustentasset, ea amissa, sibi ipsi manus attulit. Philippus ejus filius, et filia, non multo post obierunt. Solus filius natu minimus, Albanis magistratibus pro scriba inserviendo ad tempus vitam toleravit. Ad hunc modum Perseus a XX regibus se ortum ducere gloriatus, cre-

bro Philippum, crebrius Alexandrum in ore habens, et regnum amisit, et in hostium potestatem venit, et triumpho ductus est, non tam diademate ornatus quam catenis oneratus. Rhodii dudum superbe cum Romanis agere soliti, tum veniam delictorum petentes, eorumque societatem nuper spretam, admodum flagitantes, quod voluere tandem impetrarunt. Romani etiam Cretensibus irati, multis precibus denique mitigati sunt. Prusias item sponte in urbem profectus, curiæ limen osculatus, senatuque adorato, veniam et impunitatem est consecutus : Eumeni fratris Attali intercessio delictorum gratiam fecit. Tunc etiam Cappadociæ hic status fuit. Ariarathes rex germanum filium habuit Ariarathem : ante quem susceptum, uxor ejus longo tempore **461** sterilis, Oropbernem adoptarat : qui deinde nato legitimo, propter insidiarum suspicionem pulsus, post Ariarathis obitum contra fratrem insurrexit. Ariarathi opem tulit Eumenes, Oropherni Syriæ rex Demetrius. Ariarathes victus ad Romanos confugit, ab eisque una cum Oropherne reguare jussus, quia populi Romani amicus et socius appellatus erat, totum imperium sibi vindicavit. Atque Attalus Eumenis successor, Orophernem et Demetrium Cappadocia prorsus exegit.

A κομίσασθαι, ἀντεῖχεν. Ἐπεὶ δ' ἀπέγνω, ἑαυτὸν διεχειρίσατο. Καὶ ὁ Φίλιππος ὁ υἱὸς αὐτοῦ ἥ τε θυγάτηρ αὐτοῦ οὐκ εἰς μακρὰν ἀπέθανον, μόνος δ' ὁ νεώτατος τοῖς τῶν Ἀλβανῶν ἄρχουσιν ὑπογραμματεύων ἐπί τινα χρόνον διήρκεσεν. Οὕτως ὁ Περσεὺς ὁ δι' εἴκοσι βασιλέων αὐχῶν γεγονέναι, καὶ πολὺν μὲν τὸν Φίλιππον, πλείω δὲ θρυλλῶν τὸν Ἀλέξανδρον, καὶ τὴν βασιλείαν ἀπώλεσε, καὶ αἰχμάλωτος γέγονε, καὶ ἐν τοῖς ἐπινικίοις ἐπόμπευσε, δεσμὰ μετὰ τοῦ διαδήματος περικείμενος. Οἱ δέ γε Ῥόδιοι μετὰ φρονήματος πρώην τοῖς Ῥωμαίοις προσφερόμενοι, τότε μὴ μνησικακεῖν αὐτοῖς ἠξίουν καὶ σύμμαχοι πρόσθεν αὐτῶν καλεῖσθαι μὴ προσδεχόμενοι, τότε καὶ πάνυ τούτου τυχεῖν ἐσπούδαζον· καὶ ἔτυχον τῆς σπουδῆς, ἀλλ' ὀψέ. Καὶ τοῖς Κρησὶν ὠργίζοντο μὲν οἱ Ῥωμαῖοι, ἱκετείαις δὲ πολλαῖς χρησαμένοις ἀφῆκάν ποτε τὴν ὀργήν. Καὶ ὁ Προυσίας δὲ καὶ ὁ Εὐμένης, ὁ μὲν δι' ἑαυτοῦ εἰς τὴν πόλιν ἐλθὼν καὶ εἰς τὸ βουλευτήριον εἰσελθών, καὶ τὸν οὐδὸν φιλήσας, καὶ προσκυνήσας τοὺς βουλευτάς, ἠλεήθη τε καὶ ἠθιώωτο. Εὐμένης δὲ δι' Ἀττάλου τοῦ ἀδελφοῦ τὸ μή τι μνησικακεῖν αὐτῷ εἵληφε. Τότε δὲ καὶ τῆς Καππαδοκίας οὕτω διωρκήθη. Ἀριαράθης ὁ ταύτης κρατῶν παῖδα γνήσιον ἔσχεν Ἀριαράθην. Πρὶν δ' ἐσχηκέναι αὐτὸν, ἐπεὶ πολὺν χρόνον ἡ γυνὴ αὐτοῦ οὐκ ἐκύησε, παῖδα προσεποιήσατο, Ὀροφέρνην καλέσασα. Γεννηθέντος δ' ἔπειτα τοῦ γνησίου, φωραθεὶς ἐκεῖνος ἐξηλάθη, ὃς μετὰ τὸν Ἀριαράθου θάνατον, τῷ ἀδελφῷ δῆθεν ἐπανέστη. Καὶ συνεμάχουν Ἀριαράθῃ μὲν Εὐμένης, Ὀροφέρνῃ δὲ Δημήτριος ὁ τῶν Σύρων βασιλεύς. Ἡττηθεὶς δὲ Ἀριαράθης πρὸς τοὺς Ῥωμαίους κατέφυγε, καὶ κοινωνὸς τῷ Ὀροφέρνῃ τῆς βασιλείας ὑπ' αὐτῶν ἀποδέδεικτο. Ὅτι δὲ ὁ Ἀριαράθης τοῖς Ῥωμαίοις φίλος καὶ σύμμαχος προστήγόρευτο, πᾶσαν ἐκεῖνος τὴν ἀρχὴν ἐκ τούτου προσῳκειώσατο. Καὶ ὁ Ἄτταλος δὲ τὸν Εὐμένη θανόντα διαδεξάμενος, τόν τε Ὀροφέρνην καὶ Δημήτριον παντελῶς ἐκ τῆς Καππαδοκίας ἀπήλασεν.

XXV. Ægypti rex Ptolemæus moriens, duos filios et unam reliquit filiam. Fratribus autem inter se de regno contendentibus, Antiochus Magni Antiochi filius natu minorem pulsum suscepit, ut per ejus defendendi speciem, aditum in Ægyptum haberet : adductoque exercitu, maxima parte occupata, obsedit Alexandriam. Cum autem reliqui ad Romanos confugissent, Popilius ad Antiochum missus, eum Ægypto abstinere jussit. Fratres enim intellecto illius consilio, in gratiam redierant. Antiocho responsum differente, virga circumscripsit regem : ac priusquam eo circulo excederet, deliberare, ac responsum reddere jussit. Ea re territus Antiochus, obsidionem solvit. Exerpo metu liberati Ptolemæi, denuo et dissenserunt, et a Romanis reconciliati sunt : ut nata major Ægypto et Cypro, Cyrenis vero junior potiretur. Nam hæc quoque tum Ægyptiorum erant. Junior vero iniquc secum agi existimans, Romam profectus, Cyprum etiam impetravit. At senior denuo cum eo pactus, pro Cypro urbes quasdam et frumentum ei assignavit. Antiocho rege mortuo, Romani filio ejusdem nominis regnum confirmarunt, eique ob

C ΚΕ'. Ὁ δὲ τῆς Αἰγύπτου κρατῶν (52) Πτολεμαῖος ἐπὶ δυσὶν υἱέσι καὶ μιᾷ ἐξέλιπε θυγατρί. Ὡς δὲ πρὸς ἀλλήλους οἱ ἀδελφοὶ περὶ τῆς ἀρχῆς ἐστασίασαν, Ἀντίοχος ὁ τοῦ μεγάλου Ἀντιόχου υἱὸς τὸν νεώτατον ἐκπεσόντα ἐδέξατο, ἵνα προφάσει τοῦ αὐτῷ ἀμύνειν εἰς τὰ τῶν Αἰγυπτίων παρέλθοι. Καὶ στρατεύσας ἐπὶ τὴν Αἴγυπτον τῆς τε πλείονος χώρας ἐκράτησε, καὶ ἐπολιόρκει τὴν Ἀλεξάνδρειαν. Καταφυγόντων δὲ τῶν ἄλλων πρὸς τοὺς Ῥωμαίους, πεμφθεὶς πρὸς τὸν Ἀντίοχον ὁ Πωπίλιος, ἀποσχέσθαι αὐτὸν τῆς Αἰγύπτου ἐκέλευσεν. Οἱ γὰρ ἀδελφοὶ, συνέντες τὴν τοῦ Ἀντιόχου διάνοιαν, κατηλλάγησαν. Ὡς δ' ἐκεῖνος ὑπερέθετο τὴν ἀπόκρισιν, κύκλον ῥάβδῳ περιξ αὐτοῦ περιέγραψε, κἀνταῦθα αὐτὸν ἐστηκότα ἀπήτησε βουλεύσασθαί τε καὶ ἀποκρίνασθαι. Ἐντεῦθεν δείσας ὁ Ἀντίοχος τὴν πολιορκίαν κατέλυσεν. Ἀπαλλαγέντες δὲ τοῦ ἔξωθεν φόβου οἱ Πτολεμαῖοι (οὕτω γὰρ ἐκαλοῦντο ἀμφότεροι) αὖθις ἐστασίασαν, εἶτα συνηλλάγησαν αὖθις ὑπὸ τῶν Ῥωμαίων, ἐφ' ᾧ τὸν μὲν πρεσβύτερον τὴν Αἴγυπτον καὶ τὴν Κύπρον, τὰ δὲ περὶ τὴν Κυρήνην ἔχειν τὸν ἕτερον. Καὶ ταῦτα γὰρ τότε τῶν Αἰγυπτίων ἦν. Ἀγανακτῶν δ' ὁ νεώτερος διὰ τὴν ἐλάττωσιν, ἐς

Variæ lectiones et notæ.

(52) *Ὁ δὲ τῆς Αἰγύπτου κρατῶν.* Vide Henric. Valesium ad Diodori Siculi excerpta, p. 50.

τὴν Ῥώμην ἀφίκετο, καὶ εὗρατο παρ' αὐτῶν καὶ τὴν Κύπρον. Ὁ δὲ πρεσβύτερος συμβάσεις ἔθετο αὖθις πρὸς τὸν νεώτερον, πόλεις τέ τινας ἀντὶ τῆς Κύπρου δούς, καὶ χρήματα καὶ σῖτον ταξάμενος συντελεῖν. Τοῦ δ' Ἀντιόχου τελευτῶντος μετὰ τοῦτο, καὶ παιδὶ ὁμωνύμῳ τὴν βασιλείαν καταλιπόντος, ταύτην τε αὐτῷ ἐβεβαίωσαν, καὶ τρεῖς ἄνδρας ἐπιτρόπους δῆθεν (μικρὸς γὰρ ἦν) ἔπεμψαν, οἳ, παρὰ τὰς συνθήκας εὑρόντες ἐλέφαντας καὶ τριήρεις, τούς τε ἐλέφαντας σφαγῆναι πάντας ἐκέλευσαν, καὶ τἆλλα πρὸς τὸ τῇ Ῥώμῃ συμφέρον διῴκησαν. Διάπερ Λυσίας ὁ τοῦ βασιλέως τὴν ἡγεμονίαν ἐγκεχειρισμένος παρώξυνε τὸ πλῆθος, ἐκβαλεῖν τοὺς Ῥωμαίους, τὸν δὲ Γάϊον τὸν Ὀκτάβιον καὶ ἀποκτεῖναι. Καὶ τούτων γενομένων, ὁ μὲν πρέσβεις εὐθὺς εἰς τὴν Ῥώμην ἀπέστειλεν ὑπὲρ τῶν πεπραγμένων ἀπολογούμενος· Δημήτριος δὲ ὁ Σελεύκου υἱὸς τοῦ παιδὸς Ἀντιόχου ὁμηρεύων ἐν Ῥώμῃ κατὰ τὸν τοῦ πατρὸς θάνατον, καὶ ὑπὸ Ἀντιόχου τοῦ θείου τῆς βασιλείας ἐστερημένος, ὡς τὸν τοῦ Ἀντιόχου θάνατον ἔγνω, ᾔτει μὲν τὴν πατρῴαν ἀρχήν· οἱ δὲ οὔτε ταύτην αὐτῷ συνέπραξαν, οὔτ' ἀπᾶραι τῆς Ῥώμης ἐπέτρεψαν. Καὶ ὃς καὶ δυσχεραίνων ὅμως ἡσύχαζεν. Ἐπεὶ δὲ τὰ κατὰ τὸν Λυσίαν ἐγένετο, οὐκέτ' ἐμέλλησεν, ἀλλ' ἀπέδρα· καὶ ἐκ Λυκίας τῇ γερουσίᾳ ἐπέστειλε, μὴ ἐπὶ τὸν ἀνεψιὸν τὸν Ἀντίοχον (οὕτω γὰρ οἱ πάλαι τοὺς ἐξαδέλφους ἐκάλουν), ἀλλ' ἐπὶ τὸν Λυσίαν τὴν ὁρμὴν ἔχειν, ὥστε τῷ Ὀκταβίῳ τιμωρήσειν. Ἐς Τρίπολιν δὲ τῆς Συρίας ἐπειχθεὶς, καὶ ταύτην προσαγαγόμενος ὡς ὑπὸ Ῥωμαίων ἐπὶ τὴν βασιλείαν σταλείς (τὴν γὰρ ἀπόδρασιν αὐτοῦ οὐδεὶς ἐνενόει) καὶ Ἀπαμείας κρατήσας δύναμίν τε συναγαγών, ἐπὶ τὴν Ἀντιόχειαν ἦλασε, καὶ τό τε παιδίον καὶ τὸν Λυσίαν φιλικῶς ἀπαντήσαντας αὐτῷ (δεδιότες γὰρ τοὺς Ῥωμαίους οὐκ ἀντῆραν) διέφθειρε, καὶ τὴν βασιλείαν ἀνεκομίσατο, κἀν τῇ Ῥώμῃ στέφανον καὶ τοὺς τοῦ Ὀκταβίου αὐθέντας ἀπέστειλεν. Οἱ δὲ χαλεπαίνοντες αὐτῷ οὐδέτερον ἐδέξαντο. Μετὰ ταῦτα δ' ἐπὶ Δαλμάτας οἱ Ῥωμαῖοι ἐστράτευσαν. Τὸ δ' ἔθνος τοῦτο ἔστι μὲν Ἰλλυριῶν τῶν παρὰ τὸν Ἰόνιον κόλπον, ὧν τινας Ταυλαντίους ὠνόμαζον Ἕλληνες. Ἔχονται δὲ τοῦ Δυρραχίου ἐν μέρει. Αἴτιον δὲ τοῦ πολέμου, ὅτι τινὰς τῶν προσχώρων αὐτοῖς ἐν φιλίᾳ τοῖς Ῥωμαίοις ὄντας ἠδίκουν. Συμπρεσβευσαμένοις τε ὑπὲρ αὐτῶν τοῖς Ῥωμαίοις οὐδὲν μέτριον ἀπεκρίναντο, ἀλλὰ καὶ τοὺς τῶν ἄλλων πρέσβεις συλλαβόντες ἀπέκτειναν. Τούτους ὁ Σκιπίων ὁ Νασικᾶς ὑπέταξεν, ἐπ' αὐτοὺς στρατεύσας. Τάς τε γὰρ πόλεις αὐτῶν εἶλε καὶ τοὺς αἰχμαλώτους ἐπίπρασκε. Καὶ ἄλλα δὲ κατ' ἐκείνους συνέβη τοὺς χρόνους, οὐ μνήμης μέντοι οὐδ' ἱστορίας ἐπάξια.

ΚΖ'. Ἐντεῦθεν αὖθις ὁ πρὸς τοὺς Καρχηδονίους τὸ τρίτον ἀνερρίπιζετο πόλεμος. Οἱ μὲν γὰρ οὐκ ἔφερον ἡττούμενοι, ἀλλὰ καὶ συμμαχικὰ καὶ ναυτικὸν ἐπὶ τῇ τοῦ Νομαδικοῦ πολέμου παρασκευῇ παρὰ τὰς συνθήκας ἡτοίμαζον· οἱ δὲ Ῥωμαῖοι ὡς τὰ ἄλλα κατὰ γνώμην ἔθεντο, οὐχ ἡσύχασαν, ἀλλὰ πέμψαντες τὸν Σκιπίωνα τὸν Νασικᾶν, ταῦτά τε αὐτοῖς ἐνεκάλουν καὶ τὴν παρασκευὴν διαλῦσαι ἐκέλευον. Καὶ ἐπεὶ τὸν Μασινίσσαν ᾐτιῶντο ἐκεῖνοι, καὶ διὰ τὸν πρὸς ἐκεῖνον πόλεμον ἀπειρήκασι ποιῆσαι τὸ κελευόμενον, σύμβασίν τινα πρὸς τὸν Μασινίσσαν αὐτοῖς ἔπραξαν, καί τινος αὐτοῖς ἀποστῆναι χώρας αὐτὸν ἔπεισαν. Ὡς δ' οὐδὲν μᾶλλον εἰσήκουον, μικρὸν ἐπισχόντες Ῥωμαῖοι, ἐπεὶ τάχιστα νικηθέντας σφᾶς μεγάλῃ μάχῃ πρὸς τοῦ Μασινίσσου ἐπύ-

A teneram ætatem scilicet, tres curatores miserunt: qui cum præter pacta et conventa triremes et elephantos invenissent, belluas occidi jusserunt, ac cætera ex Romanorum utilitate administrarunt. Qua de causa Lysias, cui regis tutela commissa erat, populum concitavit, ut Romanos ejiceret, Caium vero Octavium occideret. His factis, statim legatos Romam misit, ut id facinus purgaret. Demetrius autem Seleuci filius Antiochi nepos, Romæ obses tempore **462** paterni obitus, ab Antiocho patruo regno spoliatus, cum ejus interitu cognito, paternum regnum repeteret, a senatu nec adjutus, nec Roma exire situs est. Quod quamvis ægre ferret, tamen quievit. Cæterum cum Lysias illa fecisset, nihil cunctatus Roma profugit: et ad senatum e Lycia scripsit, se non contra patruelem Antiochum, sed contra Lysiam proficisci et Octavii necem ulturum esse. Cum Tripolim Syriæ celeriter sibi adjunxisset, tanquam a senatu ad regnum occupandum missus (de fuga enim ejus nemo cogitabat) et Apamea potitus, comparatis copiis Antiochiam contendit, ibique puerum et Lysiam amicę obviam egressos (Romanorum enim metu armis abstinuerant) interfecit. Regno recuperato, coronam et Octavii percussores Romam misit: quorum neutrum Romani illi irati acceperunt. Post hæc Dalmatis bellum intulerunt, quæ gens Illyrica est in sinu Ionio: quorum quosdam Græci Taulantios nominant, ex parte Dyrrachii vicinos. Belli causa erat, quod in finitimos, Romanis amicos injurii, nec Romanorum legatis moderate respondissent, et aliorum legatos occidissent. Hos Scipio Nasica domuit: eorumque urbibus expugnatis, captivos vendidit. Iisdem temporibus alia quoque acciderunt, memoria et scriptione parum digna.

B

C

D

XXVI. Debinc tertium bellum punicum est conflatum. Carthaginienses enim humilem illam fortunam haud ferentes, socios et classem ad bellum Numidicum contra fœdus comparabant. Romani autem cæteris rebus ex sententia confectis, non quieverunt: sed per Nasicam Scipionem iis de rebus expostulantes, apparatum illum omitti jusserunt. Et quia de Masinissa querebantur, et propter bellum cum illo susceptum, imperata detrectabant: pactione inter illos facta, a Masinissa impetravit, ut quadam provincia eis cederet. Sed cum nihilo magis parerent. Romani paulisper cunctati, cum primum magno prælio a Masinissa victos esse audiverunt, bellum eis indixerunt. Carthaginienses vero ea clade afflicti et terri-

(nam ab aliis quoque finitimis premebantur) legatis Romam missis auxilia petiverunt, se **463** Romanis omnibus in rebus obsecuturos simulantes. Nam cum fœdus rupturi essent, facile quidvis promittebant. Ea de re concilio a senatu indicto, Scipio Nasica legatos Carthaginiensium admittendos, et pacem cum eis faciendam esse censuit. M. Cato contra, nec admittendos esse, nec belli decretum abrogandum. Verum senatus et preces legatorum admisit, et pacem eis est pollicitus, obsidibus petitis, quos L. Martius et M. Manilius in Sicilia acceptos Romam miserunt : ipsi festinanter in Africam appulerunt, castrisque positis, et magistratibus Carthaginiensium accersitis, non omnia simul quæ postulabant, exposuerunt, veriti ne iis præcognitis, rebus integris bellum capesserent. Ac primum frumentum petentibus datum, deinde triremes, postea machinæ, denique armis etiam acceptis (Carthaginenses enim clam alium magnum apparatum habebant) eos urbem diruere, et aliam in mediterraneo sine muris extruere, LXXX stadiis a mari dissitam jusserunt. Ad illud Carthaginienses in lacrymas soluti, tanquam urbe capta lamentati sunt : precatique consules, ne patriæ afferre manus cogerentur. Sed cum nihil proficerent, et aut imperata exsequi, aut bellum experiri juberentur, multi apud Romanos, ut jam victores, remanserunt. Cæteri in urbem regressi, quosdam ex magistratibus occiderunt, quod non principio bellum amplexi essent : et Romanis, quos intra mœnia repererant, interfectis, bellum aggressi, omnes servos manumiserunt, exsules revocarunt : et Asdrubale denuo imperatore creato, arma, triremes, machinas repararunt. Quasi enim bellum urgeret, et de excidio periclitarentur, ita omnia quibus erat opus, perexiguo tempore compararunt, nulli rei parcentes, adeo ut statuas quoque ob æris penuriam conflarent, et capillis mulierum ad funes conficiendos uterentur. Consules principio spe concepta, se eos ut inermes facile capturos, scalas duntaxat pararunt, quibus mœnia transcenderent : sed ea oppugnare adorti, cum hostes armatos et rebus ad propulsandam obsidionem necessariis instructos vidissent : machinas fabricare instituerunt, quibus non sine periculo **464** confectis (Asdrubal enim materiam comportantes ex insidiis vexabat) urbem sunt aggressi. Ac Manilius terra impetu facto, nihil urbi nocuit. Martius qua mare paludosum est, parte muri dejecta, non ingressus est. Carthaginienses enim eos qui penetrare conabantur, repulerunt : et noctu per ruinas eruptione facta, multis occisis, machinas plures cremarunt. Neque etiam Asdrubal cum equitibus eos late vagari in agris patiebatur, neque auxiliis Masinissa juvabat. Nam principio belli non accersitus, neque permissum ei pollicenti fuerat, ut solus Asdrubalem debellaret.

A θοντο, εὐθὺς αὐτοῖς τὸν πόλεμον ἐψηφίσαντο. Ὁ μαθόντες οἱ Καρχηδόνιοι, οὐκ εὖ ὑπὸ τῆς συμφορᾶς ἔχοντες, κατέδεισαν, καὶ πρέσβεις ἐς τὴν Ῥώμην διὰ συμμαχίαν ἐστάλκασι (καὶ ἄλλοι γὰρ τῶν προσχώρων αὐτοῖς ἐπετίθεντο) καὶ ἐς πᾶν τοῖς Ῥωμαίοις ὑπείξειν ἐπλάττοντο. Μὴ γὰρ ταῖς σπονδαῖς ἐμμένειν μέλλοντες, ῥᾷον ἅπαντα ἐπηγγέλλοντο. Τῆς δὲ γερουσίας βουλὴν περὶ τούτου συναγαγούσης, ὁ μὲν Σκιπίων ὁ Νασικᾶς δέξασθαι τὴν τῶν Καρχηδονίων πρεσβείαν καὶ σπονδὰς αὐτοῖς ποιήσασθαι συνεβούλευσεν· ὁ δὲ Κάτων ὁ Μάρκος μήτε ἀπειλήσασθαι τούτοις δεῖν εἶπε, μήτε λῦσαι τοῦ πολέμου τὸ ψήφισμα. Οἱ δέ γε βουλευταὶ τήν τε τῶν πρέσβεων ἱκετείαν ἐδέξαντο καὶ σπονδὰς αὐτοῖς ὑπέσχοντο παρασχεῖν, καὶ ἐπὶ τούτοις ὁμήρους ᾔτησαν· οὓς Λούκιος Μάρκιος καὶ Μάρκος Μανίλιος, εἰς τὴν Σικελίαν ἐλθόντες, ἐκεῖσε πεμφθέντας ἔλαβον, καὶ τοὺς μὲν εἰς τὴν Ῥώμην ἔπεμψαν, αὐτοὶ δὲ σπουδῇ τὴν Ἀφρικὴν κατειλήφασι. Καὶ στρατοπεδευσάμενοι τὰ τέλη τῶν Καρχηδονίων ἐκεῖ μετεπέμψαντο· καὶ ὡς ἀφίκοντο, οὐ πάντα ἅμα σφίσιν ὅσα ᾔτουν ἐξέφηναν. δείσαντες μή, ταῦτα προμαθόντες, ἀκεραίοις τοῖς πράγμασι σφῶν καταστῶσιν εἰς πόλεμον. Καὶ τὸ μὲν πρῶτον σῖτον ᾔτησαν καὶ ἔλαβον· εἶτα τὰς τριήρεις, καὶ ἐπὶ ταύταις τὰ μηχανήματα, εἶτα τὰ ὅπλα προσῄτησαν. Λαβόντες οὖν πάντα (οἱ γὰρ Καρχηδόνιοι πολλὴν ἑτέραν παρασκευὴν κεκρυμμένην εἶχον) τέλος ἐκέλευον αὐτοὺς κατασκάψαι μὲν τὴν πόλιν αὐτῶν, ἑτέραν δ' ἐν μεσογείῳ οἰκοδομῆσαι ἀτείχιστον, ὀγδοήκοντα σταδίους τῆς θαλάσσης διέχουσαν. Πρὸς τοῦτο δ' οἱ Καρχηδόνιοι ἐς δάκρυα κατηνέχθησαν, καὶ ὡς ἐαλωκότες ἀνωλοφύροντο καὶ ἐδέοντο τῶν ὑπάτων μὴ καταναγκάσαι σφᾶς γενέσθαι τῆς πατρίδος αὐτόχειρας. Ὡς δ' οὐδὲν ἦνυον, ἀλλ' ἢ πρᾶξαι τὸ προσταττόμενον ἐκελεύοντο ἢ ἀναρρῖψαι τὸν πόλεμον, συχνοὶ μὲν αὐτοῦ παρὰ τοῖς Ῥωμαίοις ὡς ἤδη κεκρατηκόσι κατέμειναν. Οἱ δὲ λοιποὶ ἀπαναχωρήσαντες τῶν τε σφετέρων ἀρχόντων ἐνίους ἀπέκτειναν, ὅτι μὴ κατ' ἀρχὰς τὸν πόλεμον εἷλοντο, καὶ τοὺς ἐντὸς τοῦ τείχους εὑρεθέντας Ῥωμαίους διέφθειραν, καὶ πρὸς τὸν πόλεμον ὥρμησαν. Διό τούς τε δούλους ἅπαντας ἠλευθέρωσαν, καὶ τοὺς φυγάδας κατήγαγον· καὶ τὸν Ἀσδρούβαν στρατηγὸν αὖθις εἵλοντο, καὶ ὅπλα καὶ μηχανὰς, τριήρεις τε ἡτοιμάσαντο. Ὡς γὰρ τοῦ πολέμου ἐπικειμένου, καὶ περὶ ἀνδραποδισμοῦ κινδυνεύοντες, ἐξ ἐλαχίστου πάνθ' ὅσων ἔχρῃζον κατεσκεύαζον. Ἐφείδοντο γὰρ οὐδενὸς, ἀλλὰ καὶ τοὺς ἀνδριάντας πρὸς τὴν χρείαν τοῦ χαλκοῦ συνεχώνευσαν, καὶ ἐς τὰς σχοίνους τῶν γυναικῶν ταῖς κόμαις ἐχρήσαντο. Οἱ δ' ὕπατοι τὸ μὲν πρῶτον αὐτοὺς ὡς ἀόπλους ταχέως αἱρήσειν ἐλπίσαντες, μόνας ἡτοιμάσαντο κλίμακας, ὡς δι' αὐτῶν εὐθὺς τοῦ τείχους ἐπιβησόμενοι· ἔπειτα προσβαλόντες καὶ ὡπλισμένους σφᾶς καὶ τὰ πρὸς πολιορκίαν ἔχοντας ἰδόντες, πρὸς μηχανῶν ἐργασίαν ἐτράποντο, καὶ αὐτὰς ἐπικινδύνως κατασκευάσαντες (ὁ γὰρ Ἀσδρούβας ὑλαγωγοῦντας ἐνεδρεύων ἐλύπει) προσέμισγον τῇ πόλει. Καὶ Μανίλιος μὲν ἐκ τῆς ἠπείρου αὐτῇ προσβαλὼν οὐδὲν αὐτοὺς ἔβλαψε· Μάρκιος δ' ἐκ θαλάσσης κατὰ τὸ λιμνῶδες προσπεσὼν κατέῤῥηξέ μέν τι τοῦ τείχους·

B

C

D

οὐ μέντοι καὶ εἰσῆλθεν. Οἱ γὰρ Καρχηδόνιοι τούς τε βιαζομένους εἰσελθεῖν ἐξεκρούσαντο. Καὶ νύκτωρ διὰ τῶν ἐρειπίων ἐξελθόντες ἀνθρώπους τε συχνοὺς ἔκτειναν καὶ μηχανήματα πλεῖστα κατέπρησαν. Ἀλλ' οὐδὲ ἐπὶ πολὺ τῆς χώρας παρὰ τοῦ Ἀσδρούβου καὶ τῶν ἱππέων εἴων τὸ σκεδάννυσθαι, οὔτε μὴν ὁ Μασινίσσας αὐτοῖς ἐπεκούρησεν. Οὐ γὰρ ἐν ἀρχῇ τοῦ πολέμου προσεκέκλητο, καὶ πρὸς τὸν Ἀσδρούβαν τότε διαπολεμήσειν ὑποσχομένῳ οὐκ ἐπέτρεψαν.

ΚΖ'. Οἱ δ' ὕπατοι διά τε τὰ συμβάντα καὶ ὅτι τὸ A ναυτικὸν αὐτῶν ἐκ τῆς ἐν τῇ λίμνῃ διατριβῆς ἐνόσησεν, ἔλυσαν τὴν πολιορκίαν. Καὶ Μάρκιος μὲν ἐπιχειρήσας κατὰ θάλασσάν τι πρᾶξαι ἢ τὴν παραλίαν κακῶσαι, ὡς οὐδὲν ἤνυεν, ἀπέπλευσεν οἴκαδε, καὶ ἀνθυποστρέψας Αἰγίμουρον ἐχειρώσατο. Μανίλιος δὲ ὥρμησε μὲν εἰς τὴν μεσόγειον· κακούμενος δ' ὑπὸ Ἱμίλκωνος τοῦ τῶν Καρχηδονίων ἱππάρχου, ὃν καὶ Φαβέαν (53) ἐκάλουν, πρὸς τὴν Καρχηδόνα ἐπανελήλυθε. Κἀκεῖ δὲ ἔξωθεν ὁ Ἀσδρούβας, ἔνδοθεν δ' ἐπεξιόντες οἱ ἐν τῇ πόλει, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν αὐτὸν ἐκάκουν. Καταφρονήσαντες οὖν οἱ Καρχηδόνιοι καὶ μέχρι τοῦ στρατοπέδου αὐτῶν ἐπῆλθον, καὶ συχνοὺς ἀποβαλόντες (ἄοπλοι γὰρ οἱ πλείους ἦσαν) εἰς τὸ τεῖχος αὖθις συνεκλείσθησαν. Ὁ δὲ Μανίλιος τῷ Ἀσδρούβᾳ συμμίξαι μάλιστα εἵλετο, καὶ εἰ ἐκεῖνον νικήσει ῥᾷον τοῖς λοιποῖς προσπολεμήσειν ἐνόμιζε, καί οἱ προσέμιξε. Πρὸς δέ τι φρούριον ἀναχωροῦντι ἐπακολουθήσας, ἔλαθεν εἴσω χώρας τραχείας καὶ στενοπόρου γενόμενος, καὶ δεινῶς ἐκακώθη. Καὶ παντὸς ἂν διεφθάρη, εἰ μὴ Σκιπίων ὁ τοῦ Ἀφρικανοῦ χρησιμώτατος αὐτῷ ἐγένετο, ἀνὴρ ἄριστος μὲν νοῆσαι καὶ προβουλεῦσαι τὰ κράτιστα, ἄριστος δὲ χειρουργῆσαι (καὶ γὰρ τῷ σώματι ἔρρωτο), ἐπιεικής τε καὶ μέτριος ἦν, δι' ἃ καὶ τὸν φθόνον ἐξέφυγεν. Ἴσος μὲν γὰρ τοῖς ὑποδεεστέροις, οὐκ ἀμείνων δὲ τῶν ὁμοτίμων (ἐχιλιάρχει γάρ) ἀσθενέστερος δὲ τῶν μειζόνων ἠξίου εἶναι. Ὁ οὖν Μανίλιος καὶ εἶπε τὰ περὶ αὐτοῦ, καὶ ἐπέστειλε τοῖς ἐν τῇ Ῥώμῃ, μή τι ἀποκρυψάμενος, καὶ τἆλλα C καὶ τὰ κατὰ Μασινίσσαν καὶ τὸν Φαβέαν, ἃ ἔσχον οὕτως. Θνήσκων ὁ Μασινίσσας ἠπόρει ὅπως περὶ τῆς βασιλείας διάθηται, διὰ τὸ τῶν υἱέων πλῆθος καὶ τὸ διάφορον τοῦ κατὰ τὰς μητέρας γένους αὐτῶν. Διὸ πρὸς συμβουλίαν τὸν Σκιπίωνα μετεπέμψατο, ὃν ὁ ὕπατος ἐστείλεν. Ἀλλ' ὁ Μασινίσσας πρὶν ἐλθεῖν τὸν Σκιπίωνα ἐκλείπων, τὸν μὲν δακτύλιον τῷ Μικίψᾳ τῷ υἱῷ ἔδωκε, τὰ δ' ἄλλα πάντα τὰ τῇ ἀρχῇ προσήκοντα τῷ Σκιπίωνι ἄρτι ἐλθόντι παρέσχεν καὶ ἐνετείλατο. Ὁ οὖν Σκιπίων, κατανοήσας τὰς προαιρέσεις τῶν υἱέων αὐτοῦ, οὐδενὶ μὲν αὐτῶν μόνῳ τὴν βασιλείαν ἀπένειμε· τριῶν δὲ τῶν ἐλλογιμωτάτων ὄντων, πρεσβυτάτου μὲν Μικίψου, νεωτάτου Γουλουσσου, μέσου δὲ Μαστανάβου (54), τούτοις τὰ πράγματα, μεμερισμένος μέντοι, κατένειμε. Τῷ μὲν γὰρ πρεσβυτάτῳ χρηματιστῇ τε ὄντι καὶ φιλοπλούτῳ τὴν διοίκησιν ἐνεχείρισε· τῷ δὲ μετ' αὐτὸν τὰς διαφορὰς κρίνειν ἐπέτρεψε, δικαστῇ ὄντι· τῷ δὲ Γουλουσσᾳ πολεμικῷ τυγχάνοντι τὰς δυνάμεις παρέδωκε. Τοῖς δ' ἀδελφοῖς αὐτῶν πολλοῖς οὖσι πόλεις D

XXVII. Consules igitur propter eventus illos, et classem ex statione in paludibus morbo laborantem, obsidionem solverunt. Ac Martius mari aliquid efficere aggressus, aut oram maritimam vexare, cum res non succederet, domum versus abiit, cursuque converso Ægimurum subegit. Manilius in mediterranea profectus, cum ab Himilcone, qui etiam Fabeas dicebatur, Carthaginiensis equitatus præfecto lacesseretur, Carthaginem rediit. Sed ibi quoque foris ab Asdrubale, intus eruptione civium noctu et interdiu fatigabatur. Itaque Carthaginienses per contemptum usque ad castra processerunt, ac multis amissis (nam plerique inermes erant) rursus in mœnia sunt conclusi. Manilius vero si Asdrubalem vicisset, cætera in B proclivi fore ratus, in primis operam dedit, ut cum eo congrederetur, factaque pugnandi copia, recedentem in castellum quoddam persecuturus, per imprudentiam in locum asperum et angustum delapsus, graviter impegit: ac cum toto exercitu periisset, ni Scipio Africani filius strenuam operam ei navasset, vir præsentis animi, optimique consilii, et manu promptissimus (erat enim robusto etiam corpore), æquitate autem modestiaque morum invidiam effugit. Nam cum tribunus militum esset, inferioribus par, paribus non melior, majoribus infirmior esse volebat. Manilius igitur de eo et locutus est, et Romam scripsit, nulla re dissimulata: atque inter cætera de Masinissa quoque, et Fabea, quæ ita se habebant. Massinissa moriturus, C quid de regno statueret, ob **465** filiorum multitudinem ex diversæ conditionis mulieribus susceptorum dubitans, Scipionem consilii capiendi causa accersivit. Quem cum misisset cos., Masinissa ante adventum ejus moribundus, Micipsæ filio annulum dederat: cætera vero omnia quæ ad regnum pertinebant, Scipioni, cum primum venisset, commendavit. Is vero animadversis filiorum ejus ingeniis, nulli uni regnum attribuit: sed cum tres ex iis præcipui essent, Micipsa natu maximus, Gulussa minimus, medius Mastanavus: inter eos rerum administrationem trifariam partitus, natu maximo avaro et pecuniæ amanti vectigalium tractatione mandata: proximo post eum disceptandi controversias munere assignato, Gulussæ homini bellicoso exercitus tradidit. Reliquis fratribus, qui multi erant, urbes quasdam et prædia divisit, Gulussam vero ad consulem perduxit. Sub veris initium Carthaginiensium fœdera tos aggressi, multos vi, multos pactione, Scipio

Variæ lectiones et notæ.

(53) *Φαβέαν.* Φαμέαν, mss. Reg. et Colbert.

(54) *Μαστανάβου.* Ita reposuimus ex Reg. et Colbert. quomodo appellatur ab Appiano Wollius Μαστανάμου ediderat: quem errorem viderat Henricus Valesius ad Polybii Excerpta.

præsertim, subegerunt. Ut vero Fabeas desperatis Carthaginiensium rebus ad Romanos inclinans, cum Scipione collocutus est : tum vero omnes armis in Asdrubalem conversis, cum per dies plures castellum oppugnassent, commeatu destituti, citra dedecus recesserunt. Nam durante adhuc obsidione, Fabeas hostilem in modum eos aggressus in ipsa pugna cum aliquot equitibus ad Romanos transiit: Inde Manilius Uticam profectus quievit. Scipio Fabea Romam perducto laudatus est : et is honos Fabeæ habitus, ut in consessum a senatu reciperetur.

τινὰς καὶ χώρας ἔνειμε. Καὶ τὸν Γουλούσσαν παραλαβὼν πρὸς τὸν ὕπατον ἦγαγεν. Ἀρχομένου δὲ τοῦ ἔαρος ἐπὶ τοὺς τῶν Καρχηδονίων συμμάχους ἐστράτευσαν, καὶ πολλοὺς μὲν αὐτῶν βίᾳ, πολλοὺς δὲ ὁμολογίᾳ, καὶ μάλιστα ὁ Σκιπίων, παρεστήσαντο. Ὡς δὲ Φαβέας ἀπαγνοὺς τὰ τῶν Καρχηδονίων πρὸς τοὺς Ῥωμαίους ἀπέκλινε, καὶ εἰς λόγους τῷ Σκιπίωνι ἦλθε· τότε καὶ ἐπὶ τὸν Ἀσδρούβαν ἅπαντες ὥρμησαν, καὶ προσέμιξαν μὲν τῷ φρουρίῳ συχναῖς ἡμέραις· ἐπιλιπόντων δὲ αὐτοὺς αὖθις τῶν ἀναγκαίων ἀνεχώρησαν εὐπρεπῶς. Προσέβαλε γὰρ αὐτοῖς τῷ ἔργῳ μεθ' ἱππέων τινῶν ῥᾳτομόλησε. Κἀντεῦθεν Μάνλιος μὲν εἰς τὴν Οὐτικὴν ἐλθὼν ἡσύχαζε, Σκιπίων δὲ τὸν Φαβέαν εἰς τὴν Ῥώμην ἀνήγαγε, καὶ αὐτός τε ἐπῃνεῖτο καὶ ὁ Φαβέας τετίμητο, ὥστε καὶ ἐν τῷ βουλευτηρίῳ συγκαθῆσθαι τῇ γερουσίᾳ.

XXVIII. Tum Prusias, homo senex et asperis moribus, veritus ne Bithyni se ejecto Nicomedem filium regem crearent, cum per causam quamdam Romam missum, ibi degere jussit. Sed cum etiam Romæ agentem per insidias occisum vellet: Bithyni quidam Nicomedem etiam in Bithyniam perductum, sene occiso, regem dixerunt. Hæc Romanos, quamvis molesta, non tamen ad bellum inferendum commoverunt. Andriscus vero quidam Adramyttenus, Perseo forma non dissimilis, ascito sibi Philippi nomine, ejusque filium sese dictitans, ad defectionem plurimos impulit. Nam primo adventu Macedoniam **466** turbare conatus, cum a nemine curaretur, in Syriam ad Demetrium se contulit, spe auxilii propter cognationem impetrandi, ab eoque comprehensus, et Romam missus, cum neque Persei filium esse constaret, et alioqui nihil insigne haberet, per contemptum dimissus, magnam factiosorum hominum manum coegit, multas urbes attraxit. Denique regio habitu sumpto, collectoque exercitu in Thraciam profectus : multis liberis populis, multis dynastis Romanum imperium ægre ferentibus ascitis, impressionem in Macedoniam fecit : eaque occupata, in Thessaliam transgressus, non pauca loca subegit. Romani Andrisco primum despecto, postea Scipionem Nasicam ad tumultum illum pacandum miserunt. Qui rebus illis in Græcia cognitis, ad Romanos scripsit omnia : et coacto a sociis exercitu rei gerendæ intentus, ad Macedoniam processit. Romani igitur P. Juventium cum exercitu contra eum miserunt. Quem Andriscus circa Macedoniam adortus interfecit : ac cæteros etiam trucidasset, nisi noctu discessissent. Post hæc in Thessalia passim grassatus, Thraces sibi adjunxit. Quamobrem Romani Quintum Cæcilium Metellum prætorem cum magnis copiis miserunt. Cui Macedoniam ingresso, Attalus classe auxilio venit. Andriscus igitur de ora maritima sollicitus, ulterius progredi non est ausus, sed paulum extra Pydnam productis copiis, equestri prælio victor, metu pedestris exercitus retro abiit. Ea tamen victoria elatus copiis bifariam divisis, partem ad vastandam Thessaliam misit, partem apud se retinuit. Proinde Metellus eorum paucitate contempta, in jugum descendit, ac victis iis qui primi ad manus

ΚΒ'. Τότε δὲ συνηνέχθη καὶ τὰ κατὰ τὸν Προυσίαν, ὃς γέρων ὢν καὶ τοὺς τρόπους τραχύς, ἐφοβήθη τοὺς Βιθυνούς, μὴ τῆς βασιλείας αὐτὸν ἐκβάλωσι, τὸν Νικομήδη τὸν υἱὸν ἀνθελόμενοι. Καί τινα πρόφασιν ἔπεμψεν εἰς τὴν Ῥώμην αὐτὸν, κἀκεῖ διάγειν ἐκέλευεν. Ὡς τε κἀν τῇ Ῥώμῃ διαιτωμένῳ τῷ υἱῷ ἐπεβούλευσε καὶ ἔσπευδε κτεῖναι αὐτὸν, Βιθυνοί τινες, εἰς Ῥώμην φοιτήσαντες, ἐξήγαγον λάθρᾳ τὸν Νικομήδη· καὶ ἐς τὴν Βιθυνίαν κομίσαντες, τὸν μὲν γέροντα ἐφόνευσαν, βασιλέα δ' ἐκεῖνον ἀπέδειξαν. Ταῦτα ἠνίασε μὲν τοὺς Ῥωμαίους, οὐ μὴν καὶ εἰς πόλεμον ἐξηρέθισε. Τὴν δὲ Μακεδονίαν Ἀνδρίσκος τις ἐξ Ἀτραμυττίου φύς, τῷ Περσεῖ δ' ἐμφερὴς τὸ εἶδος γενόμενος, καὶ παῖς εἶναι ἐκείνου πλαττόμενος, καὶ Φίλιππον ἑαυτὸν ὀνομάζων, ἐπὶ πλεῖστον ἀπέστησε. Τὸ μὲν γὰρ πρῶτον ἐς τὴν Μακεδονίαν ἐλθὼν, ταράττειν αὐτὴν ἐπειρᾶτο· ὡς δὲ οὐδεὶς προσεῖχεν αὐτῷ, πρὸς τὸν Δημήτριον εἰς τὴν Συρίαν ἐτράπετο, ὡς ἐξ ἐκείνου διὰ τὸ γένος βοηθείας τευξόμενος. Συλληφθεὶς δὲ παρ' ἐκείνου καὶ εἰς τὴν Ῥώμην πεμφθεὶς, ὅτι τε μὴ ὢν τοῦ Περσέως υἱὸς ἐλέγχθη, καὶ οὐδέ τι ἕτερον εἶχεν ἄξιον λόγου, κατεφρονήθη. Καὶ ἀφεθεὶς χειρά τε συνήγαγεν ἀνθρώπων νεωτεροποιῶν καὶ πόλεις πολλὰς ἐπηγάγετο, καὶ τέλος βασιλικὴν στολὴν περιθέμενος, καὶ δύναμιν συγκροτήσας, εἰς Θρᾴκην ἀφίκετο, καὶ συχνοὺς μὲν τῶν αὐτονόμων, συχνοὺς δὲ καὶ τῶν δυναστῶν τοῖς Ῥωμαίοις ἀχθομένοις παρελάβων, εἰς Μακεδονίαν ἐνέβαλε καὶ αὐτὴν κατέσχε· καὶ ἐπὶ τὴν Θεσσαλίαν ὁρμήσας οὐκ ὀλίγα ταύτης προσεποιήσατο. Οἱ δὲ Ῥωμαῖοι κατεφρόνουν μὲν πρότερον τοῦ Ἀνδρίσκου· εἶτα τὸν Σκιπίωνα τὸν Νασικᾶν ἔπεμψαν εἰρηνικῶς πως τὰ ἐκεῖ διοικήσοντα. Ὃς, εἰς τὴν Ἑλλάδα ἐλθὼν, καὶ μαθὼν τὰ γενόμενα, τοῖς μὲν Ῥωμαίοις δηλῶν ταῦτα ἐπέστειλε· δύναμιν δὲ παρὰ τῶν ἐκεῖ συμμάχων ἀθροίσας ἔργου εἶχετο, καὶ προῆλθε μέχρι Μακεδονίας. Οἱ δ' ἐν τῇ Ῥώμῃ γνόντες τὰ κατὰ τὸν Ἀνδρίσκον, στράτευμα ἔπεμψαν καὶ στρατηγὸν Πούπλιον Ἰουβέντιον. Ὃ περὶ Μακεδονίαν γενομένῳ συμβαλὼν ὁ Ἀνδρίσκος ἐκεῖνον μὲν ἀπέκτεινε, καὶ τοὺς ἄλλους πάντας ἂν κατειργάσατο, εἰ μὴ τῆς νυκτὸς ἀπεχώρησαν. Καὶ εἰς τὴν Θετταλίαν μετὰ ταῦτα εἰσέβαλε καὶ πλεῖστα αὐτῆς ἐκάκωσε, καὶ τὰ τῶν Θρᾳκῶν προστηταιρίσατο. Πάλιν οὖν διὰ

ταῦτα οἱ ἐν τῇ Ῥώμῃ Κύϊντον Καικίλιον Μέτελλον στρατηγὸν σὺν δυνάμει πολλῇ ἔστειλαν. Καὶ ὃς εἰς τὴν Μακεδονίαν ἦλθε, καὶ ὁ Ἄτταλος προσήμυνε ναυτικῷ. Διὸ δείσας ὁ Ἀνδρίσκος περὶ τῶν παραθαλασσίων, οὐκ ἐτόλμησε περαιτέρω προελθεῖν· ὀλίγον δὲ τῆς Πύδνης ἔξω προχωρήσας, ἱππομαχίᾳ μὲν ὑπερέσχε· φοβηθεὶς δὲ τὸ πεζὸν ἀνέστρεψε, καὶ ἐπαρθεὶς διχῇ τὸν στρατὸν διεῖλε, καὶ τοῖς μὲν αὐτὸς κατὰ χώραν προσήδρευε, τοὺς δὲ πορθῆσαι τὴν Θεσσαλίαν ἀπέστειλε. Καταφρονήσας οὖν ὁ Μέτελλος τῶν παρόντων συνέμιξε· καὶ τῶν πρῶτον αὐτῷ εἰς χεῖρας ἐλθόντων περιγενόμενος ῥᾷον καὶ τοὺς λοιποὺς παρεστήσατο· ἑτοίμως γὰρ ὡς ἐξήμαρτον αὐτῷ ὁμολόγησαν. Ὁ δὲ Ἀνδρίσκος εἰς τὴν Θρᾴκην ἀπέδρα, καὶ δύναμιν ἀθροίσας συνέβαλε τῷ Μετέλλῳ προϊόντι οὗ προεχώρει. Καὶ τῶν προμάχων αὐτοῦ τραπέντων τό τε συμμαχικὸν αὐτοῦ ἐσκεδάσθη καὶ αὐτὸς ὑπὸ Βύζου Θρᾳκὸς δυνάστου προδοθεὶς ἐδικαιώθη. Καὶ Ἀλέξανδρος δέ τις, Περσέως καὶ αὐτὸς λέγων εἶναι υἱὸς καὶ χεῖρα συναγαγών, κατέλαβε τὴν περὶ τὸν Μέστον καλούμενον ποταμὸν χώραν, ὃν ὁ Μέτελλος ἐπεδίωξεν ὑποφυγόντα μέχρι τῆς Δαρδανίας.

A venerant, facilius etiam cæteros ad officium reduxit, ingenue peccatum suum agnoscentes. Andriscus vero in Thraciam profugus, reparatis copiis cum Metello, progrediente qua res ferebat, conflixit: suisque propugnatoribus profligatis, sociisque dissipatis, a Byzo Thrace proditus, pœnas dedit. Sed et Alexander quidam Persei filium se professus, regionem Mesto flumini adjacentem occupavit: quem Metellus usque in Dardaniam est persecutus.

B ΚΘ'. Ἐπὶ δὲ τοὺς Καρχηδονίους οἱ Ῥωμαῖοι Πείσωνα τὸν ὕπατον ἔστειλαν, ὃς τῇ μὲν Καρχηδόνι καὶ τῷ Ἀσδρούβᾳ οὐ προσέμιξεν, ἐπὶ δὲ τὰς παραλίους πόλεις ἐτράπετο· καὶ τῆς μὲν Ἀσπίδος ἀπεκρούσθη, τὴν δὲ Νέαν πόλιν ἑλὼν, κατέσκαψεν· ἐπὶ δὲ Ἱππῶνα (55) πόλιν ὁρμήσας κατέτριψε τὸν καιρὸν μηδὲν περάνας. Οἱ δὲ Καρχηδόνιοι ἀνεθάρσησαν διὰ ταῦτα, καὶ ὅτι καί τινες αὐτοῖς προσεγένοντο σύμμαχοι. Μαθόντες οὖν ταῦτα οἱ Ῥωμαῖοι οἵ τε ἐν τῷ στρατοπέδῳ καὶ οἱ ἐν τῇ πόλει, ἐπὶ τὸν Σκιπίωνα ὥρμησαν καὶ ὕπατον ἐψηφίσαντο, καίτοι τῆς ἡλικίας μὴ ἐφιείσης αὐτῷ τὴν ἀρχήν· ἀλλὰ τά τε ἔργα αὐτοῦ καὶ ἡ ἀρετὴ τοῦ πατρὸς Παύλου, καὶ τοῦ πάππου Ἀφρικανοῦ ἐλπίδα παρεῖχον ἅπασι βεβαίαν καὶ τῶν πολεμίων δι' αὐτοῦ κρατήσειν καὶ τὴν Καρχηδόνα παντελῶς ἐξαιρήσειν. Ἐν ᾧ δ' ὁ Σκιπίων εἰς τὴν Λιβύην ἐκομίζετο, Μαγκῖνος παραπλέων τὴν Καρχηδόνα, χωρίον τι τοῦ τείχους αὐτῆς ἐντὸς ὄν, Μεγαλία ὀνομαζόμενον καὶ ἐπὶ πέτρας ἀποτόμου καθῆκον πρὸς θάλασσαν πολύ τε τῆς ἄλλης πόλεως ἀπηρτημένον καὶ μηδὲ πολλοὺς φρουροὺς ἔχον, ὡς τῇ φύσει ὂν ἐρυμνὸν κατανοήσας, κλίμακας ἐξαπιναίως προσθεὶς ἀπὸ τῶν νεῶν ἐπανέβη. Ἤδη δὲ ἀνελθόντος συνέδραμον μὲν τῶν Καρχηδονίων τινὲς, οὐ μέντοι καὶ ἐκκροῦσαι αὐτὸν ἠδυνήθησαν. Ὁ δὲ πέμψας πρὸς τὸν Πείσωνα τά τε γεγονότα ἐδήλωσε καὶ αὐτῷ ἐπαμῦναι ἠξίωσε. Πόῤῥω δ' ὢν ἐν τῇ μεσογείῳ, οὐδὲν αὐτῷ χρήσιμος ὁ Πείσων ἐγένετο· ὁ δὲ Σκιπίων ὑπ' αὐτὴν τὴν ἀγγελίαν νυκτὸς κατὰ τύχην ἐλθὼν, εὐθὺς ἐβοήθησεν. Εἷλον γὰρ ἂν τὸν Μαγκῖνον οἱ Καρχηδόνιοι ἢ καὶ διέφθειραν, εἰ μὴ παραπλεούσας εἶδον τὰς ναῦς τοῦ Σκιπίωνος. Τότε δ' ἠθύμησαν μὲν, οὐκ ἀπέστησαν δέ. Αἰχμαλώτους οὖν τινας ἔπεμψεν ὁ Σκιπίων, ἐροῦντας ὅτι πάρεστι. Καὶ τοῦτο γνόντες οὐχ ὑπέμειναν ἔτι, ἀλλ' ἀνεχώρησαν, καὶ τὸν Ἀσδρούβαν μετεπέμψαντο, καὶ ταφρεύμασι καὶ σταυρώμασι τὸ πρὸ τὸν οἰκιῶν διατείχισμα διεφύλαξαν. Ὁ μέντοι Σκιπίων τὰ μὲν Μεγαλία

467 XXIX. Contra Carthaginienses missus Piso consul, urbe et Asdrubale omissis, maritimas urbes invasit: et ab Aspide repulsus, Neapoli capta et eversa, in Hipponis obsidione tempus frustra trivit. Unde Carthaginienses, sociorum etiam auxiliis aucti, animos receperunt. Quo Romani, tam qui in castris quam in urbe erant, cognito, citra dubitationem Scipionem consulem crearunt. Nam quamvis ætas adhuc ei dignitati immatura erat, tamen et res ejus gestæ, et virtus patris Pauli, et avi Africani certam spem afferebant omnibus, ejus armis et hostes superatum iri, et Carthaginem perituram. Scipione in Africam navigante, Mancinus Carthaginis littus legens, castellum quoddam intra mœnia, nomine Megalia, in prærupta petra in mare prominens, et longe ab urbe remotum, cum non magno præsidio custodiri, ut quod situ ipso defenderetur, animadverteret: scalis subito ex navibus admotis ascendit. Quod cum jam teneret, etsi Carthaginienses aliquot concurrerunt, eum tamen expellere non potuerunt. At ille Pisoni quid egisset nuntiat, et auxilia sibi mitti petit. Sed Piso, qui procul in mediterraneis aberat, nihil opis ei tulit. Scipio vero sub ipsum nuntium forte fortuna noctu adventans, statim auxilium ei tulit, alioqui a Carthaginiensibus vel capiendo, vel occidendo. Nam cum naves Scipionis appellere vidissent, etsi animos desponderant, non tamen ab obsidione recesserunt, prius quam Scipio se adesse per captivos quosdam eis nuntiari jussit: accersitoque Asdrubale, fossis et aggeribus murum ædificiis obductum munierunt. Scipio Mancino Megalia tueri jusso ad Pisonem et copias abiit, ut cum eis bellum ugeret; sed celeriter cum expeditissimis cohortibus reversus, Mancinum ab acerrima Asdrubalis et urbe oppugnatione liberavit. Cum jam Piso quoque advenisset, eum extra mœnia ad portas quasdam manere jussit: alios milites ad aliam portam long

Variæ lectiones et notæ.

(55) Ἱππῶνα. Quam Ἱππακρίτας Polybius vocat. Vide Henr. Valesium ad Diodori Siculi Excerpta p. 45.

distantem, monitos quid facto opus esset, misit. Ipse optima copiarum parte assumpta, sub noctem mediam transfugis ducibus intra mœnia penetravit : et ad portam illam transgressus, vectibus resectis, **468** et introductis iis qui foris exspectabant, vigiles cecidit : propereque ad portas, ante quas Piso stationem habebat, accurrit, profligatis custodibus, qui medias partes tuebantur, et singulis in locis pauci erant. Ita Asdrubal simul et quid actum esset audivit, et Romanas copias pene universas intra urbem vidit : Carthaginienses cum aliquandiu restitissent, in Cothonem et Byrsam confugerunt. Deinde Asdrubal omnes Romanos captivos occidit, ut cives desperata venia hosti alacrius resisterent : multos etiam ex popularibus proditionis suspectos sustulit. Scipio etsi eos muris et aggeribus sepsit, non statim tamen expugnavit. Nam et mœnia firma erant, et multi in angusto conclusi spatio fortiter se defendebant, commeatu abunde instructi, Bithiæ subsidio : qui ex obversa urbi continente, observato fluctu, ventique impetu, onerarias eis naves in portum submittebat. Contra quod Scipio rem magnam et excogitavit et perfecit : aditu portus angusto, difficulter quidem, magnoque cum labore, sed tamen operarum multitudine tandem obstructo, quamvis Carthaginienses crebris dimicationibus id opus prohibere conarentur.

τὸν Μαγκῖνον φρουρεῖν κατέλιπεν· αὐτὸς δὲ πρὸς τὸν Πείσωνα καὶ πρὸς τὰς δυνάμεις ἀπῆρεν, ὡς ἂν μετ' αὐτῶν ἔργου ἔχηται. Καὶ ἐπανῆλθε ταχέως σὺν τῷ κουφοτάτῳ τῆς στρατιᾶς, καὶ κατέλαβε τὸν Ἀσδρούβαν εἰς τὴν Καρχηδόνα εἰσελθόντα καὶ δεινῶς τῷ Μαγκίνῳ ἐπιτιθέμενον. Καὶ ἐλθὼν ὁ Σκιπίων τὴν ἐπίθεσιν ἔλυσεν. Ἀφικομένου δὲ καὶ τοῦ Πείσωνος ἤδη, ἐκεῖνον μετὰ ἔξω τοῦ τείχους αὐλίσασθαι κατά τινας πύλας ἐκέλευσε. Καὶ στρατιώτας ἑτέρους πρὸς πυλίδα τινὰ πολὺ ἀφ' ἑαυτῶν ἀπέχουσαν περιέπεμψε, παραγγείλας αὐτοῖς ἅττα πράξειν ἐχρῆν. Αὐτὸς δέ, τὸ κράτιστον τοῦ στρατοῦ κατὰ μέσας νύκτας λαβών, ἔνδον τοῦ περιβόλου ἐγένετο, αὐτομόλοις χρησάμενος ἄγουσι, καὶ ὑπὸ τὴν πυλίδα παραδραμὼν καὶ τὸν μοχλὸν διακόψας, τούς τε ἔξωθεν ἐφεδρεύοντας εἰσήγαγε, καὶ τοὺς φύλακας ἔφθειρε. Καὶ πρὸς τὰς πύλας ἠπείχθη, καθ' ἃς ὁ Πείσων προσῆρευε, τοὺς φρουροὺς τοὺς τὰ μέσα φυλάττοντας ὀλίγους καθ' ἑκάστους ὄντας (56) τρέπων, ὥστε τὸν Ἀσδρούβαν ἅμα τε πυνθάνεσθαι τὰ γενόμενα, καὶ ὁρᾶν τὴν τῶν Ῥωμαίων δύναμιν μικροῦ πᾶσαν οὖσαν ἐντός. Καὶ χρόνον μέν τινα ἀντέσχον, ἔπειτα τὴν μὲν ἄλλην πόλιν ἐξέλιπον, εἰς δὲ τὸν Κώθωνα τήν τε Βύρσαν κατέφυγον. Εἶτα ὁ Ἀσδρούβας πάντας τοὺς τῶν Ῥωμαίων αἰχμαλώτους ἀπέκτεινεν, ὅπως, ἀπόγνωσιν συγγνώμης σχόντες οἱ Καρχηδόνιοι, προθυμότερον ἀντικαρτερήσωσι· πολλοὺς δὲ καὶ τῶν ἐπιχωρίων ὡς προδιδόντας ἐκου-

XXX. Tum vero Carthaginienses penuria commeatus graviter urgente, alii transfugerunt : alii qui obsidionem tolerabant, partim moriebantur, partim cadavera gustabant. Asdrubal igitur spe destitutus, legatis ad Scipionem de pace missis, impunitatem impetrasset, nisi cæteris etiam omnibus salutem et libertatem petiisset. Itaque frustratus, uxorem in arce conclusit, cum de ea et liberis suis caduceatorem ad Scipionem misisset : ceteraque instruxit, desperatione factus audacior. Atque ipse una cum aliis noctes diesque pugnabant, alias vincentes, alias succumbentes, et Romanorum machinis alias machinas opponebant. Ad hæc Bithias, cui munitum castellum erat, longe in continentem excurrendo, et Carthaginienses juvabat, et Romanis incommodabat. Quare Scipio divisis copiis, partem in obsidione reliquit, partem contra Bithiam misit, C. Lælio legato duce : ipse ultro citroque commeans, utrinque inspexit omnia. Castello capto, rursus **469** toto cum exer-

τοὺς διεχρήσατο. Καὶ ὁ Σκιπίων περιεσταύρωσε μὲν αὐτοὺς καὶ ἀπετείχισεν, οὐ μὴν καὶ ταχέως εἶλε. Τά τε γὰρ τείχη καρτερὰ ἦν καὶ οἱ ἐντὸς πολλοὶ ὄντες ἰσχυρῶς ἐν ὀλίγῳ χώρῳ ἠμύνοντο καὶ σίτου ἀφθόνως εἶχον. Ὁ γὰρ Βιθίας ὁλκάδας ἀπὸ τῆς ἀντικρυ τῆς πόλεως ἠπείρου κατὰ κῦμα καὶ ἄνεμον ὁτάκις σφοδρῶς ἔπνει, ἐς τὸν λιμένα αὐτοῖς εἰσέπεμπε, πρὸς ὅπερ ὁ Σκιπίων μέγα ἔργον καὶ ἐπενόησε καὶ ἐπετέλεσε. Τὸν γὰρ εἴσπλουν τοῦ λιμένος στενὸν ὄντα συνέχωσε, χαλεπῶς μὲν καὶ ἐπιπόνως, ὅμως μέντοι ὑπὸ πολυχειρίας τὸ ἔργον ἐξείργαστο. Εἴργειν μὲν γὰρ αὐτοὺς ἐπεχείρουν οἱ Καρχηδόνιοι, καὶ πολλαὶ μάχαι ἐν τούτῳ ἐγίνοντο, οὐ μέντοι καὶ κωλῦσαι τὸ χῶσαι ἠδυνήθησαν.

Λ'. Οἱ οὖν Καρχηδόνιοι τοῦ στόματος τοῦ λιμένος χωσθέντος, τῇ τοῦ σίτου σπάνει δεινῶς ἐπιέσθησαν· καὶ οἱ μὲν ηὐτομόλουν, οἱ δὲ ἐγκαρτεροῦντες ἔθνησκον, οἱ δὲ τῶν νεκρῶν ἐγεύοντο. Ὅθεν ἀθυμήσας Ἀσδρούβας πρέσβεις πρὸς τὸν Σκιπίωνα περὶ σπονδῶν ἔπεμψε· καὶ ἔτυχεν ἂν τῆς ἀδείας, εἰ μὴ καὶ τοῖς λοιποῖς ἅπασι καὶ τὴν σωτηρίαν καὶ τὴν ἐλευθερίαν πρᾶξαι ἠθέλησε. Διαμαρτὼν οὖν αὐτῆς εἰς τὴν ἀκρόπολιν τὴν γυναῖκα κατέκλεισεν, ἐπεὶ τῷ Σκιπίωνι ὑπὲρ αὐτῆς καὶ τῶν τέκνων διεκηρυκεύσατο. Καὶ τἄλλα διῴκει, τολμηρότερος γενόμενος διὰ τὴν ἀπόγνωσιν. Αὐτός τε οὖν καὶ ἄλλοι ἀπονοίᾳ κρατούμενοι, καὶ νυκτὸς καὶ ἡμέρας ἐμάχοντο. Καὶ τὰ μὲν ἡττῶντο, τὰ δ' ἐπεκράτουν, καὶ ἀντεμηχανῶντο πρὸς τὰς Ῥωμαϊκὰς μηχανάς. Καὶ ὁ Βιθίας δὲ φρούριόν τι ἐρυμνὸν ἔχων καὶ ἐπὶ πολλὰ τῆς ἠπείρου προϊὸν, τούς τε Καρχηδονίους ὠφέλει, καὶ τοὺς Ῥωμαίους ἐκάκου. Διὸ καὶ ὁ Σκιπίων τὸ στράτευμα διελὼν τὸ μὲν τῇ Καρχηδόνι προσεδρεύειν ἔταξε, τὸ δὲ ἐπὶ τὸν Βιθίαν ἔπεμψεν, ἐπιστήσας αὐτῷ τὸν

Variæ lectiones et notæ.

(56) *Ὀλίγους καθ' ἑκάστους ὄντας.* Sic mss. Wolfius legendum censebat, ὀλίγους ὄντας, καθ' ἑκάστους τρέπων.

ὑποστράτηγον τὸν Γάϊον Λαίλιον· καὶ αὐτὸς ἑκατέρωσε διεφοίτα ἄμφω ἐπισκοπῶν, καὶ ἦλω τὸ φρούριον. Εἶτ' αὖθις πάσῃ τῇ στρατιᾷ ἐπολιορκεῖτο ἡ Καρχηδών. Ἀπογνόντες οὖν οἱ Καρχηδόνιοι μηκέτι ἑκάτερον τεῖχος διασώσασθαι δύνασθαι, εἰς τὸν τῆς Βύρσης περίβολον ἄτε καὶ ἐρυμνότερον ἀνεσκευάσαντο, καὶ μετακομίσαντες ὅσα ἠδύναντο, κατέπρησαν. Νυκτὸς τὸ νεώριον, καὶ τῶν ἄλλων τὰ πλείω, ἵνα τῆς ἐξ αὐτῶν ὠφελείας τοὺς πολεμίους στερήσωσιν. Ὡς δ' ἔγνων τὸ ἔργον οἱ Ῥωμαῖοι, τὸν λιμένα κατέσχον, καὶ ἐπὶ τὴν Βύρσαν ὥρμησαν, καὶ κατασχόντες τὰς ἑκατέρωθεν αὐτῆς οἰκίας οἱ μὲν ἐπὶ τῶν τεγῶν αὐτῶν ἐπὶ τὰς ἀεὶ ἐχομένας ἐβάδιζον, οἱ δὲ τοὺς τοίχους διορύσσοντες, κάτωθεν διῆσαν, ἕως πρὸς αὐτὴν τὴν ἄκραν ἀφίκοντο. Ἐνταῦθα δὲ γενομένοις οὐκ ἔτι ἀντῆραν οἱ Καρχηδόνιοι, ἀλλ' ἐπεχηρυκεύσαντο, πλὴν τοῦ Ἀσδρούβου. Ἐκεῖνος δὲ μετὰ τῶν αὐτομόλων (ὁ γὰρ Σκιπίων οὐκ ἐσπείσατο αὐτοῖς) εἰς τὸ Ἀσκληπίειον ἀνειληλύθει μετὰ τῆς γυναικὸς καὶ τῶν παίδων, κἀντεῦθεν ἠμύνετο τοὺς προσβάλλοντας, μέχρις οὗ ἐμπρήσαντες τὸν νεὼν οἱ αὐτόμολοι ἐπὶ τὸ τέγος αὐτοῦ ἀνέβησαν, τὴν ἐσχάτην τοῦ πυρὸς ἀνάγκην ἀναμένοντες. Τότε γὰρ ἡσσηθεὶς πρὸς τὸν Σκιπίωνα ἦλθεν ἱκετηρίαν ἔχων. Ἰδοῦσα δὲ αὐτὸν ἡ γυνὴ ἀντιβολοῦντα ὀνομαστὶ ἀνεκάλεσεν, καὶ ἐξονειδίσασα ὅτι ἑαυτῷ τὴν σωτηρίαν πράξας οὐκ ἐπέτρεψεν ἐκείνῃ σπείσασθαι, τὰ τέκνα ἐνέβαλεν εἰς τὸ πῦρ, καὶ ἑαυτὴν προσεπέρριψεν. Ἑλὼν οὖν οὕτω τὴν Καρχηδόνα ὁ Σκιπίων, τῇ γερουσίᾳ ἐπέστειλε τάδε· *Καρχηδὼν ἑάλω· τί οὖν κελεύετε;* Ἀναγνωσθέντων οὖν τούτων βουλὴν ἔδοντο περὶ τοῦ τί δέον ποιεῖν. Καὶ ὁ μὲν Κάτων κατασκάψαι τὴν πόλιν καὶ τοὺς Καρχηδονίους ἐξαφανίσαι δεῖν ἐγνωμάτευσεν· ὁ δὲ Νασικᾶς φείσασθαι τῶν Καρχηδονίων καὶ ἔτι συνεβούλευε, κἀντεῦθεν εἰς ἀντιλογίαν πολλὴν προήχθη καὶ ἀμφισβήτησιν τὸ συνέδριον. Ἕως ἔφη τις, ὅτι, εἰ καὶ δι' οὐδὲν ἕτερον, ἀλλά γε ἑαυτῶν ἕνεκα φείσασθαι αὐτῶν ἀναγκαῖον νομίζοιτο ἄν, ἵν' ἀνταγωνιστὰς αὐτοὺς ἔχοντες, ἀρετὴν ἀσκῶσι, καὶ μὴ πρὸς ἡδονὰς καὶ τρυφὴν τράπωνται, τῶν δυναμένων αὐτοὺς καταναγκάζειν εἰς ἄσκησιν τῶν πολεμικῶν περιαιρεθέντων, καὶ χείρους ὑπ' ἀνασκησίας γένωνται, ἀξιοχρέους ἀντιπολέμους μὴ ἔχοντες. Ἐκ τούτων οὖν τῶν λόγων πάντες κατασκάψαι τὴν Καρχηδόνα ὡμογνωμόνησαν, μήποτε εἰρηνήσειν ἐκείνους πιστεύσαντες ἀκριβῶς· καὶ πᾶσα ἄρδην ἀνάστατος γέγονε, καὶ ἐπάρατον ἐψηφίσθη τὸ ἐπ' αὐτὴν κατοικῆσαί τινα. Καὶ τῶν ἀνδρῶν τῶν ἁλόντων οἱ μὲν πλείους εἰς τὸ δεσμωτήριον ἐνεβλήθησαν, κἀκεῖ διεφθάρησαν· ὀλίγοι δέ τινες, πλὴν τῶν πάνυ πρώτων ἐπράθησαν· οὗτοι γὰρ οἵ τε ὅμηροι, καὶ ὁ Ἀσδρούβας καὶ ὁ Βιθίας, ἄλλοι ἄλλῃ τῆς Ἰταλίας ἐν φρουραῖς ἀδέσμοις κατεβίωσαν. Ὁ δὲ Σκιπίων δόξης τε ἔτυχε καὶ τιμῆς, καὶ Ἀφρικανὸς οὐκ ἀπὸ τοῦ πάππου, ἀλλ' ἀπὸ τῶν οἰκείων ἐπεκέκλητο πράξεων.

A citu urbem obsedit. Carthaginienses igitur abjecta spe utriusque munitionis defendendæ, in Byrsam ut munitiorem contulere quæ potuerunt omnia, navali noctu incenso, et cæterarum partium plerisque, ne hostibus usui essent. Tum Romani, portu occupato, Byrsam adorti, ædibus quæ utrinque erant consecńsis, partim in ipsis tectis ad vicinas transibant: partim parietibus inferne perfossis, in ipsam arcem penetrabant. Quo cum venissent, Carthaginienses pugna omissa, pacem petierunt, præter Asdrubalem: qui cum transfugis (iis enim Scipio veniam negarat) et uxore atque liberis conscenso Æsculapii templo, se contra oppugnantes defendebat: donec transfugæ æde incensa, ejusque tecto conscenso, extremam ignis necessitatem exspectarunt. Tum demum supplex ad Scipionem accessit. Quem cum uxor deprecantem videret, eo nominatim vocato, exprobravit, quod privatæ saluti consulens, ipsi pacem impetrare non permisisset: ac primum liberos, deinde semetipsam in ignem conjecit. Carthagine ad hunc modum capta, Scipio senatui scripsit in hanc sententiam: *Carthago capta est: quid igitur jubetis?* Qua de re cum lectis his deliberaretur, Catone urbem evertendam et Carthaginienses delendos esse censente, Nasica vero adhuc eis parcendum esse asseverante, magna orta est dissensio. Quidam vero dixit: Si nulla alia de causa, propter ipsos Romanos saltem eis parci necesse esse, ut adversarios habentes, virtutem exercerent, neque ad luxum et delicias converterentur, sublatis iis a quibus ad rei bellicæ exercitationem cogerentur; neve per ignaviam deteriores fierent, paribus adversariis carentes. Tandem tamen una omnium sententia fuit, Carthaginem evertendam esse, eum credere non possent, eam urbem unquam sincere pacem servaturam. Itaque funditus eversa est, et ejus solum diris imprecationibus obstrictum, ne quis unquam in eo habitaret: Ex captivis plerique in carcere perierunt: pauci, principibus exceptis, venditi. Nam ii, et obsides, et Asdrubal et Bithias, alii in aliis Italiæ partibus vitam in liberis custodiis exegerunt. Scipio **470** gloriam et honorem adeptus, nomen Africani non jam ab avo hæreditarium, sed per se partum habuit.

ΛΑ'. Τότε δὲ καὶ ἡ Κόρινθος κατεσκάφη. Ἐπεὶ γὰρ τῶν Ἑλλήνων οἱ κορυφαιότατοι ὑπὸ τοῦ Παύλου Αἰμιλίου μετῳκίσθησαν εἰς τὴν Ἰταλίαν, οἱ λοιποὶ τὸ μὲν πρῶτον πρεσβείαις τοὺς ἄνδρας ἀπῄτουν· ὡς δ' οὐκ ἔτυχον, καί τινες ἐκείνων τὴν οἴκαδε ἀπογνόντες ἐπάνοδον ἑαυτοὺς διεχρήσαντο, χαλεπῶς διέκειντο, καὶ πένθος δημόσιον ἐποιήσαντο, τοῖς τε τὰ Ῥωμαίων φρονοῦσι παρὰ σφίσιν ὠργίζοντο, οὐ

XXXI. Tum Corinthus etiam est eversa. Nam cum Paulus Æmilius Græcorum principes in Italiam transtulisset: cæteri primum eos legationibus repetiverunt. Ea re non impetrata, cum quidam eorum domum reditionis spe sublata, ipsi sibi manus attulissent, graviter afflicti publicum luctum instituerunt, Romanorum apud se studiosis irati, nihil tamen hostile pr.e se tulerunt: donec

reliquis ex iis viris receptis, ii quibus injuriæ A factæ erant, et qui aliena tenebant, bellum susceperunt : Achæis dissensionis auctoribus, Lacedæmonios sibi causam malorum exstitisse conquerentibus, Romanis eos conciliare adnitentibus non paruerunt, sed Critolao duce creato, arma ceperunt. Itaque veritus Metellus, ne Macedoniam quoque invaderent (jam enim Thessaliam intrarant) prior obviam profectus, eos profligavit. Critolao cæso, Græci in duas partes sunt distracti, cum alii positis armis pacem expeterent, alii seditionem urgerent, Diæo summa rerum permissa. Quo Romani cognito, Mummium Metello successorem miserunt : qui cum belli administratione suscepta plagam ex insidiis cum parte exercitus accepisset, Diæo fugientes usque ad castra persecuto, vicissim egressus, eo profligato ad Achæorum vallum venit. Diæus vero majoribus copiis collectis, pugnare paratus, Romanos in castris se continentes contempsit, in convallem inter castra mediam progressus. Eo viso Mummius aliquot equites misit, qui hostes ex obliquo aggrederentur, a quibus cum turbati essent, phalange a fronte adducta multos occidit. Unde Diæus desperatis rebus sibi manus attulit, ex iis vero qui e pugna evaserant, Corinthii passim in agris sunt dispersi, cæteri domum refugerunt. Proinde Corinthii qui mœnia tuebantur, omnes periisse rati, urbem deseruerunt, qua Mummius viris vacua capta, et illos et cæteros Græcos citra laborem domuit : ac tum eis C signa, donaria templorum, statuas, picturas, et alia ornamenta ademit. Patre autem ejus cum aliis ad res post **471** victoriam componendas misso, quorumdam mœnia evertit : omnesque liberos et sui juris esse passus est, præter Corinthios, quos sub corona vendidit, agro eorum publicato, muris cæterisque omnibus ædificiis subversis : veritus, ne eam alii ob tantam amplitudinem occuparent. Ne quis vero Corinthiorum lateret, aut aliorum Græcorum pro Corinthio veniret : omnes qui aderant, priusquam quid agendum esset declararet, convocavit : iisque dissimulanter militibus circumclusis, tum aliorum libertatem, tum Corinthiorum servitutem pronuntiavit. Deinde quemque sibi proximum apprehendere jussit, ut plane discernerentur. Corintho sic eversa, Græcia initio statim et cædibus et pecuniarum exactionibus est vexata. Deinde tantam libertatem et felicitatem adepta, ut dicerent, ni mature capti essent, se incolumes esse non potuisse. Ac Carthaginis et Corinthi vetustissimarum urbium tum simul hic fuit exitus : longo autem tempore post, colonis Romanorum eo missis, reflorescentes ad pristinum statum redierunt.

μέντοι καὶ πολέμιόν τι ἐπεδείξαντο, μέχρις οὗ τοὺς περιλιπεῖς τῶν ἀνδρῶν ἐκείνων ἐκομίσαντο. Τότε δὲ διενεχθέντες ἀλλήλοις οἵ τ' ἠδικημένοι καὶ οἱ τὰ ἀλλότρια ἔχοντες ἐπολέμησαν. Ἤρξαντο δὲ τῆς διαφορᾶς οἱ Ἀχαιοὶ, τοῖς Λακεδαιμονίοις ἐγκαλοῦντες ὡς αἰτίοις τῶν συμβεβηκότων αὐτοῖς· καὶ τῶν Ῥωμαίων διαλλακτὰς αὐτοῖς στειλάντων, οὐκ ἐπείσθησαν, ἀλλὰ πρὸς πόλεμον ὥρμησαν Κριτόλαον προστησάμενοι. Δείσας οὖν ὁ Μέτελλος μὴ καὶ τῆς Μακεδονίας ἄψωνται (ἤδη γὰρ εἰς τὴν Θεσσαλίαν παρῆλθον), προαπήντησεν αὐτοῖς καὶ ἐτρέψατο. Καὶ τοῦ Κριτολάου πεσόντος διχῇ διῃρητο τὸ Ἑλληνικόν. Οἱ μὲν γὰρ πρὸς εἰρήνην ἀπέκλιναν καὶ τὰ ὅπλα κατέθεντο· οἱ δὲ καὶ ἔτι ἐστασίαζον τῷ Διαίῳ τὰ πράγματα ἐπιτρέψαντες. Ἃ μαθόντες οἱ ἐν τῇ Ῥώμῃ, ἐπ' αὐτοὺς τὸν Μόμμιον ἔπεμψαν, ὃς τὸν μὲν Μέτελλον ἀπήλλαξεν, αὐτὸς δὲ τοῦ πολέμου εἶχετο, καί τινα πληγὴν μέρει τῆς στρατιᾶς λαβὼν ἐξ ἐνέδρας, τοῦ Διαίου καταδιώξαντος μέχρι τοῦ σφῶν στρατοπέδου τοὺς φεύγοντας, ἀντεπεξῆλθε, καὶ τρεψάμενος αὐτὸν πρὸς τὸ τῶν Ἀχαιῶν ἦλθε χαράκωμα. Ἀθροίσας δὲ δύναμιν ὁ Δίαιος πλείονα συμβαλεῖν αὐτοῖς ἐπεχείρησεν. Ὡς δ' οὐκ ἀντεξώρμησαν οἱ Ῥωμαῖοι, κατεφρόνησεν αὐτῶν, καὶ εἰς τὸ μέσον τῶν στρατοπέδων κοῖλον ὃν προῆλθεν. Ἰδὼν οὖν τοῦθ' ὁ Μόμμιος τῶν ἱππέων τινὰς λάθρα ἔπεμψεν, ἵν' ἐκ πλαγίου αὐτοῖς ἐπιγένωνται. Καὶ ἐπεὶ ἐκεῖνοι προσβαλόντες αὐτοὺς συνετάραξαν, ἐπήγαγε τὴν φάλαγγα κατὰ πρόσωπον, καὶ πολλοὺς ἐφάνευσεν. Ἐκ δὲ τούτου Δίαιος μὲν ἀπαγνοὺς ἑαυτὸν ἀπέκτεινε. Τῶν δ' ἐκ τῆς μάχης περισωθέντων οἱ μὲν Κορίνθιοι κατὰ τὴν χώραν ἐσκεδάσθησαν, οἱ δ' ἄλλοι οἴκαδε ἔφυγον. Ὅθεν καὶ οἱ ἐν τῷ τείχει Κορίνθιοι πάντας ἀπολωλέναι νομίσαντες ἐξέλιπον τὴν πόλιν, καὶ κενὴν αὐτὴν ἀνδρῶν ὁ Μόμμιος ἔλαβε. Καὶ μετὰ ταῦτα κἀκείνους καὶ τοὺς ἄλλους Ἕλληνας ἀπόνως προσεποιήσατο. Καὶ τότε μὲν τὰ ὅπλα αὐτῶν καὶ ὅσα πρὸς τοῖς ἱεροῖς ἀνέκειντο, καὶ τοὺς ἀνδριάντας, τάς τε γραφὰς καὶ εἴ τι ἄλλο πρὸς κόσμον εἶχον, παρείλετο. Πεμφθέντων δὲ οἱ τοῦ τε πατρὸς (57) καὶ ἄλλων ἐπὶ καταστάσει τῶν ἀλόντων, τείχη τέ τινων περιεῖλε, καὶ ἐλευθέρους πάντας καὶ αὐτονόμους πλὴν τῶν Κορινθίων ἀφῆκε. Τῆς δὲ Κορίνθου τούς τε οἰκήτορας ἀπέδοτο καὶ τὴν χώραν ἐδημοσίωσε, τά τε τείχη καὶ τὰ ἄλλα οἰκοδομήματα πάντα κατέσκαψε, φοβηθεὶς μή καὶ αὖθίς τινες πρὸς αὐτὴν οἷα μεγίστην συστῶσιν. Ἵνα δὲ μήτε τις ἐκείνων λάθῃ, μήτε τῶν λοιπῶν τις Ἑλλήνων πραθῇ ὡς Κορίνθιος, συνεκάλεσε, πρὶν ἐκφῆναι τὸ πωλητέον, πάντας τοὺς παρόντας, καὶ αὐτοὺς ἀφανῶς πως τοῖς στρατιώταις ἐγκυκλωσάμενος ἐκήρυξε τήν τε τῶν ἄλλων ἐλευθερίαν καὶ τὴν τῶν Κορινθίων δουλωσιν. Ἔπειτα προσέταξε πᾶσι τῶν παρεστηκότων σφίσι λαβέσθαι, καὶ οὕτω σαφῆ τὴν διάκρισιν αὐτῶν ἐποιήσατο. Καὶ ἡ μὲν Κόρινθος οὕτως ἀνάστατος γέγονε, τὸ δ' ἄλλο Ἑλληνικὸν παραχρῆμα μὲν καὶ σφαγαῖς καὶ χρημάτων ἐκλογαῖς ἐκακώθη. Ἔπειτα ἔν τε ἀδείᾳ καὶ ἐν εὐδαιμονίᾳ τοσαύτῃ ἐγένετο ὥστε

Variæ lectiones et notæ.

(57) *Πατρὸς δέ.* Vide notata ab Henrico Valesio ad Excerpta Polybii, p. 52.

λέγειν ὅτι, εἰ μὴ θᾶττον ἐκλώκεισαν, οὐκ ἂν ἐτέσωντο. Ἡ μὲν οὖν Καρχηδὼν ἥ τε Κόρινθος αἱ ἀρχαῖαι ἐκεῖναι τοῦτο τέλος ἔσχον ἅμα. Χρόνῳ δὲ πολλῷ ὕστερον ἀποικίαν Ῥωμαίων λαβοῦσαι ἠνθησαν αὖθις καὶ εἰς τὴν παλαιὰν ἐπανῆλθον κατάστασιν.

Τὰ μὲν οὖν μέχρι τοῦδε πεπραγμένα Ῥωμαίοις (58), A βίβλων τυχὼν τῶν πάλαι ταῦτα ἱστορησάντων ἀρχαίων ἀνδρῶν, ἐκεῖθεν ἐξειληφα κατ' ἐπιτομὴν καὶ τῷ συγγράμματι τούτῳ ἐντέθεικα. Ἐπὶ δὲ τοῖς ἑξῆς ἃ τοῖς ὑπάτοις καὶ τοῖς δικτάτορσιν ἐπράχθη, μέχρις ἂν ταῖς ἀρχαῖς ταύταις τοῖς ἐν τῇ Ῥώμῃ διῳκεῖτο τὰ πράγματα, μή μέ τις αἰτιᾶτο ὡς ἢ καταφρονήσει ἢ ῥᾳθυμίᾳ ἢ ὄκνῳ ταῦτα παρελθόντα, καὶ ἀτελὲς οἷον εἰακότα τὸ σύγγραμμα. Οὐ γὰρ ῥᾳστώνῃ μοι τὰ λείποντα παρεώραται, οὐδ' ἡμιτελὲς ἐκὼν εὖ πόνημα καταλέλοιπα, ἀλλ' ἀπορίᾳ βίβλων αἵπερ αὐτὰ διεξίασι, καὶ ταῦτα πολλάκις ζητήσαντί μοι ταύτας, μὴ εὑρηκότι δ' ὅμως, οὐκ οἶδα εἴθ' ὅτι μὴ σώζοιντο, τοῦ χρόνου διεφθαρκότος αὐτάς, εἴθ' ὅτι μὴ φροντιστικώτερον τὴν τούτων ἴσως ζήτησιν ἐποιήσαντο, οἷς αὐτὴν ἀνεθέμην, αὐτὸς ὑπερόριος B ὢν καὶ πόρρω τοῦ ἄστεος ἐν νησίδι ἐνδιατώμενος. Ὅ.ι γοῦν μοι ταῖς βίβλοις ταύταις νῦν οὐκ ἐξεγένετο ἐντυχεῖν, ἠμέργος ἐντεῦθεν ὅσον ἐπὶ τοῖς τῶν ὑπάτων ἔργοις, ἀλλὰ μέντοι καὶ τοῖς τῶν δικτατόρων ἡ ἱστορία γεγένηται. Παρελθὼν οὖν αὐτὰ καὶ ἄκων, τὰ τῶν αὐτοκρατόρων συγγράψομαι, μικρά τινα προδιηγησάμενος, ἵν' ὅθεν εἰς αὐταρχίαν ἐξ ἀριστοκρατίας ἢ καὶ δημοκρατίας οἱ Ῥωμαῖοι μετηνέχθησαν, δῆλον εἴη τοῖς ἀναγνωσομένοις τὸ σύγγραμμα, ἅμα τε πρὸς τούτῳ καὶ ἀκολουθίας ἔχοιτο ἡ γραφή.

Hactenus res a Romanis gestas ex veteribus scriptoribus in compendium redactas, exposui. Quæ vero deinceps a consulibus et dictatoribus dum illa reipublicæ forma viguit, gesta sunt: ea nemo putet a me vel contemptu, vel negligentia, vel pigritia prætermissa esse. Nam quominus absolutum hoc opus ederetur, non per me stetit, sed penuria librorum, quibus ista continentur, voluntati meæ ad perfectionem historiæ contendenti obstitit. Quos cum sæpe quæsierim, reperire non potui, haud scio an vetustate amissos, an vero negligentius inquisitos ab iis quibus id negotii dedi, dum ipse extorris et procul ab urbe in parva insula vitam ago. Unde factum est, ut consulum et dictatorum historia minus absoluta esset. Iis igitur præter institutum meum omissis, imperatorum historias conscribam, re paulo altius repetita: ut et lectores, qua ratione Romanorum sive democratia sive aristocratia in monarchiam sit mutata, intelligant, et historia certo quodam ordine progrediatur.

LIBER DECIMUS.

Α'. Ἐξ ἀρχῆς μὲν οὖν, ὡς (59) ἱστόρηται, βασι- C λεῦσιν ἡ τῶν Ῥωμαίων ἀνεῖτο ἀρχὴ μέχρι τῆς τῶν Ταρκυνίων τυραννίδος καὶ καταλύσεως. Ἔκτοτε δὲ στρατηγοῖς καὶ δικτάτορσιν ὑπάτοις τε καὶ χιλιάρχοις, ἀλλὰ μὲν καὶ δημάρχοις ἡ τῶν κοινῶν διοίκησις ἀνετίθετο, καὶ τοιαύταις πολιτείαις τὰ Ῥωμαίων ἐθύνετο μέχρι Πομπηΐου Μάγνου καὶ Γαΐου Ἰουλίου τοῦ Καίσαρος. Υἱὸς δὲ ἦν ὁ Πομπήϊος Στράβωνος, ἑνὸς τῶν ἐπισήμων Ῥωμαίων, καὶ στρατηγίας ἠξιωμένου, τῷ Κίννᾳ τε ἀντιταταγμένου, τυραννικώτερον τῇ ἀρχῇ χρωμένῳ. Ἤδη γὰρ ἐνόσει Ῥωμαίοις τὰ πράγματα, καὶ ἐπὶ τυραννίδα οἱ σφῶν ἀπέκλινον ἄρχοντες, ἀλλ' οὐ νομίμως ἄρχειν ἐβούλοντο. Ὁ μὲν οὖν πατὴρ αὐτοῦ Στράβων διὰ φιλοχρηματίαν ὑπὸ Ῥωμαίων μεμίσητο· ὁ δὲ Πομπήϊος ἐφιλεῖτο διά τε πίστιν ἦθους, καὶ τὸ εὐέντευ- D

472 I. Romanum imperium, ut dictum est, initio reges tenuere, usque ad eversionem tyrannidis Tarquiniorum. Ab eo tempore administratio rerum penes prætores, dictatores, consules, tribunos consulari potestate, et tribunos plebis fuit, usque ad Pompeium Magnum et C. Julium Cæsarem. Pompeius porro filius fuit Strabonis, illustris Romani, virique prætorii, qui Cinnæ violentius imperanti restitit. Jam tum enim res Romana laborabat, magistratibus tyrannidem spectantibus, legitimaque imperia aspernantibus. Ut autem pater ejus propter sordes civibus invisus: sic Pompeius ob morum integritatem, affabilitatem, modestiam in victu, armorumque exercitationem usque adeo carus fuit, ut cum metu Cinnæ, apud quem delatus fuerat, clam castris excessisset, quia nusquam

Variæ lectiones et notæ.

(58) *Τὰ μὲν οὖν μέχρι τοῦδε πεπραγμένα Ῥωμαίοις.* Omissa est a Zonara, ut recte observat Wolfius, historia belli Lusitanici contra Viriatum gesti: item Numantinum, Asiaticum contra Aristonicum, præterea Allobrogicum, Thracicum: adhæc Jugurthinum in Africa, in Italia Gallicaque Cimbricum, Teutonicum, et Tigurinum. Omisit etiam descriptionem tumultuum intestinorum, qui ab istis temporibus Romam labefactaverunt, seditionem scilicet Tiberii Gracchi, ac post eam Caii fratris: deinde Apulei Saturnini, tum bellum Romanorum adversus socios qui defectionem per Italiam fecerant: bellum contra servos, et contra Spartacum; ac postremo Marii et Sullæ civilia bella, atque alia annis circiter LX gesta.

(59) *Ἐξ ἀρχῆς μὲν οὖν.* Addit cod. Reg. 605: ὡς ἐν τῇ προτέρᾳ βίβλῳ μοι προϊστόρηται, βασιλεῦσιν, etc. Alii, ὡς ἱστόρηται tantum præferunt, ut Wolfiana editio. Hic porro initium ducit pars altera Annalium Zonaræ, ut in Præfatione monuimus.

comparebat, rumore de cæde ejus sparso: Cinna impetum eorum quibus alioqui invisus erat, fugiens, a centurione quodam propter eam suspicionem occideretur. Post ejus cædem Carbo, importunior illo tyrannus, imperium suscepit. Cui cum Sylla resisteret, Pompeius quoque se adjunxit: nec id fecit prius, quam beneficio aliquo eum sibi devinxisset. Annum tum agebat tertium et vicesimum: collectisque copiis urbes circumiens, Carbonis studiosos ejiciebat. Dum autem ad Syllam proficiscitur, tribus Carbonis ducibus a quibus circumventus erat, profligatis, urbes in deditionem accepit: deinde Scipionis consulis exercitus, cum contra Pompeium duceretur, consalutatis ejus militibus, ad Pompeium defecit, ipse Scipio fugit. Post, complures equitum turmas a Carbone contra se missas, eo desperationis redegit, ut se ipsius fidei committerent. Eum igitur Sylla sic excepit, ut ex equo desiliret: et ab eo imperator salutatus, vicissim eum imperatorem salutaret. Fuerunt et reliqua primis illis officiis consentanea. Nam et accedenti Pompeio assurgebat, et alia ejus honori deferebat, quæ haud temere aliis præstare solebat. Postquam autem subacta Italia dictator dictus est, alios duces opibus et **473** magistratibus remuneratus, Pompeium arctiore sibi necessitudine devincturus, ei persuasit, ut dimissa uxore quam habebat, Æmiliam ipsius privignam, Metellæ uxoris ex Scauro marito priore filiam, duceret. Id conjugium tyrannicum fuit. Nam Æmilia viro elocata, alterum ferebat. Pompeium ita sibi conciliatum cum magnis copiis in Siciliam ablegavit, factionis Carbonis receptaculum. Quo cum venisset, adversariis insula ejectis, urbes vexatas humanitate singulari recreavit: Carbonem comprehensum occidit: milites in itineribus immodestos, sigillis eorum gladiis impressis, coercuit, quæ qui non conservarant, pœnas dabant.

II. Hæc dum in Sicilia gerit, litteris senatus et Syllæ in Africam navigare jubetur, et bellum gerere cum Domitio, a quo septem millia ad eum in Africam profectum transierunt. Pugna commissa, Domitius vincitur atque occiditur: urbes partim sponte, partim coactæ Pompeium recipiunt. Inde in Numidiam facta impressione, subactis obvils omnibus, totaque provincia diebus XL perdomita, litteras a Sylla accipit: quibus, cæteris dimissis, cum una legione successorem Uticæ exspectare jubetur. Quam rem ipso clam ægre ferente, exercitus aperte est indignatus: Pompeioque progredi volente, de Sylla parum commode sunt locuti, nec passi Pompeium se tyranno credere. Qui cum eos mitigare conaretur, manere et imperare jubebatur,

κτον καὶ τὸ σῶφρον τὸ περὶ δίαιταν καὶ τὴν ἐν ὅπλοις ἄσκησιν. Καὶ τοσοῦτον ἦν τὸ πρὸς αὐτὸν φίλτρον, ὡς δείσαντος αὐτοῦ τὸν Κίνναν ἐκ διαβολῆς καὶ τοῦ στρατοπέδου λάθρα διεκπεσόντος, ἐπεί τε μὴ ἦν ἐμφανὴς λόγου διαδοθέντος ὅτι ἀνῄρηται παρὰ Κίννα, ὥρμησαν κατ' αὐτοῦ οἱ μισοῦντες καὶ ἄλλως αὐτὸν, καὶ ἀνῃρέθη Κίννας φεύγων καταληφθεὶς ὑπό του τῶν λοχαγῶν. Οὕτω δὲ Κίννα φθαρέντος, Κάρβων τὰ πράγματα διεδέξατο, ἐμπληκτότερος ἐκείνου τύραννος. Τοῦ Σύλλα δ' ἀντικαθισταμένου τῷ Κάρβωνι, τούτῳ προσετέθη καὶ ὁ Πομπήϊος· οὐ πρότερον μέντοι προσῆλθε πρὶν ἄν τινος χάριτος πρὸς ἐκεῖνον κατήρξατο. Ἦν μὲν οὖν τότε εἴκοσι καὶ τρία γεγονὼς ἔτη, καὶ στρατιωτικὸν καταλέξας πιριῄσι τὰς πόλεις, τοὺς τὰ Κάρβωνος φρονοῦντας ἐξελαύνων αὐτῶν, καὶ πρὸς Σύλλαν ἀπιών. Ἐν δὲ τῷ ἀπιέναι τρεῖς αὐτὸν στρατηγοὶ τῶν προσκειμένων τῷ Κάρβωνι ἐκυκλώσαντο. Ὁ δὲ τούτους τρεψάμενος, τὰς πόλεις αὐτῷ προσχωρούσας ἐδέχετο. Εἶτ' αὖθις Σκιπίωνος τοῦ ὑπάτου ἐπιόντος αὐτῷ, τὸ Σκιπίωνος στρατιωτικὸν ἀσπασάμενον τοὺς τοῦ Πομπηΐου, αὐτῷ προσερρύησαν, ὁ δὲ Σκιπίων ἔφυγε. Καὶ Κάρβωνος δὲ ἱππέων ὅλας συχνὰς πέμψαντος κατ' αὐτοῦ, καὶ ταύτας ἐτρέψατο, ὡς δι' ἀπόγνωσιν σωτηρίας ἑαυτοὺς αὐτῷ ἐγχειρίσας. Οὕτω δὲ αὐτὸν ὁ Σύλλας ἐδέξατο ὡς ἀποπηδῆσαι τοῦ ἵππου, καὶ προσαγορευθεὶς ὑπὸ Πομπηΐου αὐτοκράτωρ καὶ αὐτὸς ἀντιπροσερεῖν αὐτοκράτορα τὸν Πομπήϊον, καὶ τἆλλα δὲ ταῖς πρώταις φιλοτροσύναις συνέβαινεν. Ὑπεξανίστατο γὰρ πρεσβύντι τῷ Πομπηΐῳ καὶ ἄλλα πρὸς τιμὴν ἐκείνου ἐποίει ἃ πρὸς ἄλλους οὐκ ὤπτο ῥᾳδίως ποιῶν. Ἐπεὶ δ' ἐκράτησε τῆς Ἰταλίας ὁ Σύλλας, καὶ δικτάτωρ ἀνηγορεύθη, τοὺς μὲν ἄλλους ἡγεμόνας καὶ στρατηγοὺς ἠμείβετο πλουτίζων, καὶ ἐπ' ἀρχὰς καθιστῶν· Πομπήϊον δὲ ἔσπευσεν οἰκειώσασθαι ἑαυτῷ, καὶ πείθει αὐτὸν τὴν γαμετὴν ἣν εἶχεν ἀποπεμψάμενον ἀγαγέσθαι τὴν ἑαυτοῦ πρόγονον Αἰμιλίαν, ἣν ἡ Μετέλλα ἢ τῷ Σύλλᾳ συνῴκει ἐκ Σκαύρου ἐγείνατο, τοῦ προτέρου ἀνδρός. Ἦν δὲ τὰ τοῦ γάμου τυραννικά. Ἀνδρὶ γὰρ ἡ Αἰμιλία ἐκδέδοτο καὶ ἐκύει. Οὕτω δ' ὁ Σύλλας οἰκειωσάμενος τὸν Πομπήϊον εἰς Σικελίαν ἀπέστειλε μετὰ βαρείας δυνάμεως. Ἦν γὰρ ἡ νῆσος τοῖς τοῦ Κάρβωνος ὁρμητήριον. Καὶ ἀπελθόντος ἐκεῖ Πομπηΐου οἱ μὲν ἐναντίοι τῆς νήσου ἐξέστησαν, αὐτὸς δὲ τὰς πόλεις ἀνελάμβανε τετυχωμένας, καὶ φιλανθρώπως ἐκέχρητο. Κατασχὼν δὲ καὶ τὸν Κάρβωνα ἀνεῖλεν. Ἀκούων μέντοι τοὺς στρατιώτας ἐν ταῖς ὁδοιπορίαις ἀτακτεῖν, σφραγῖδας ταῖς αὐτῶν μαχαίραις ἐπέβαλεν, ἣν ὁ μὴ φυλάξας ἐκολάζετο.

Β'. Ταῦτα δὲ πράττων ἐν Σικελίᾳ, ἐδέξατο γράμματα τῆς συγκλήτου καὶ Σύλλα κελεύοντα πλεῖν εἰς Λιβύην καὶ πολεμεῖν Δομετίῳ. Καὶ ὁ μὲν ἐξέπλει, ἑπτακισχίλιοι δὲ αὐτῷ τῶν ὑπὸ τὸν Δομέτιον προσεχώρησαν. Ἀντιτεταγμένου δὲ Δομετίου, συμβάλλουσι τὰ στρατεύματα, καὶ νικῶσιν οἱ Πομπηΐου, καὶ ὁ Δομέτιος κτείνεται· τῶν δὲ πόλεων αἱ μὲν εὐθὺς προσεχώρησαν, αἱ δὲ κατὰ κράτος ἑάλωσαν. Καὶ εἰς τὴν Νομαδικὴν ἐμβαλὼν, καὶ πάντων κρατήσας, οἷς ἐνέτυχε τεσσαράκοντα ταῖς πάσαις ἡμέραις γράμματα δέχεται Σύλλα, ἀφεῖναι μὲν τὴν ἄλλην στρατιὰν, αὐτὸν δὲ μεθ' ἑνὸς τάγματος περιμένειν εἰς Ἰτύκην τὸν διαδεξάμενον στρατηγόν. Ἐπὶ τούτοις αὐτὸς μὲν καθ' ἑαυτὸν ἦχθετο, ὁ δὲ στρατὸς εἰς τοὐμφανὲς ἠγανάκτει. Καὶ θέλοντος

προελθεῖν Πομπηΐου, τοῦ τε Σύλλα κακῶς ἐμνημόνευον, κἀκεῖνον οὐκ εἴων πιστεύειν τῷ τυράννῳ ἑαυτόν. Καὶ ὁ μὲν ἐπειρᾶτο πραΰνειν αὐτούς, οἱ δὲ μένειν αὐτὸν καὶ ἄρχειν ἐκέλευον, ἄχρις οὗ προσλιπαρούντων καὶ καταβοώντων, ὤμοσεν ἀναιρήσειν ἑαυτὸν εἰ βιάζοιντο· καὶ μόλις οὕτως ἐπαύσαντο. Πρῶτον μὲν οὖν ἠγγέλη τῷ Σύλλᾳ ἀφεστάναι Πομπήϊον. Εἶτα πυθόμενος τἀληθὲς, ἀπήντησεν αὐτῷ προϊόντι καὶ δεξιωσάμενος, Μάγνον προσεῖπε μεγάλῃ τῇ φωνῇ. Σημαίνει δὲ μέγαν ὁ Μάγνος. Θριαμβον δὲ Πομπηΐου αἰτοῦντος ὁ Σύλλας ἀντέλεγεν, ὡς ὑπάτῳ ἢ στρατηγῷ θριαμβεύειν νενόμισται, ἄλλῳ δὲ οὐδενί. Εἰ δὲ Πομπήϊος οὔπω γενειῶν ἀκριβῶς θριαμβεύσει, ᾧ βουλῆς διὰ τὴν ἡλικίαν οὐ μέτεστιν, ἐπίφθονος ἔσεται αὐτῷ ἡ τιμή. Ταῦτα τοῦ Σύλλα λέγοντος ὁ Πομπήϊος οὐχ ὑπέπτηξεν, ἀλλ' ἐννοεῖν ἔφη δεῖν ὅτι τὸν ἥλιον ἀνατέλλοντα πλείονες ἢ δυόμενον προσκυνοῦσι· δηλῶν ἐντεῦθεν ὡς αὐτῷ μὲν ἡ δύναμις αὔξεται, ἐκείνῳ δὲ μειοῦταί τε καὶ μαραίνεται. Πρὸς ταῦτα ὁ Σύλλας καταπλαγεὶς, Δὶς ἐφεξῆς θριαμβευσάτω, ἐβόησεν. Ὡς δὲ οἱ στρατιῶται ἐνοχλεῖν ἐβούλοντο καὶ θορυβεῖν, μὴ τυχόντες ἡλίκων προσεδόκησαν, ὁ Πομπήϊος ἀφήσειν ἔφη μᾶλλον τὸν θριαμβον ἢ κολακεύσειν τοὺς στρατιώτας. Πρὸς δ Σερουΐλιος ἀνὴρ ἐπιφανὴς καὶ ἀντιλέγων πρὶν πρὸς τὸν θριαμβον, *Νῦν*, ἔφη, *Πομπήϊος καὶ Μάγνος ἀληθῶς, καὶ ἄξιος θριαμβεῦσαι.* Σύλλας δὲ ἡνιᾶτο μὲν, ὁρῶν εἰς ὅσον πρόεισι δόξης καὶ δυνάμεως ὁ Πομπήϊος, αἰσχυνόμενος δὲ κωλύειν, ἡσυχίαν ἦγε. Λέπιδος μέντοι σπουδῇ Πομπηΐου ὑπατείας τυχών, εἰς τὴν Σύλλα δύναμιν ἐκείνου τελευτήσαντος ἑαυτὸν εἰσεπόλει. Καὶ εὐθὺς ἔνοπλος ἦν, τὰ τῶν στάσεων ὑπολείμματα ἀνακινῶν. Καὶ ὁ Πομπήϊος ἡγεμὼν στρατεύματος ἀπεδείχθη κατὰ Λεπίδου, ἤδη πολλὰ τῆς Ἰταλίας κεκινηκότος καὶ τὴν ἐντὸς Ἄλπεων Γαλατίαν διὰ Βρούτου κατέχοντος. Τῶν μὲν οὖν ἄλλων ῥᾳδίως ἐκράτησεν ὁ Πομπήϊος, ἀντικαθήμενος δὲ τῷ Βρούτῳ ἐχρόνισεν. Εἶτα ἑαυτὸν ὁ Βροῦτος αὐτῷ ἐνεχείρισεν, ἢ μεταβαλλόμενος ἢ προδοθείς. Καὶ ὁ μὲν ἀνῃρέθη, οὗπερ υἱὸς ἦν ὁ Καίσαρα ὕστερον διαχειρισάμενος Βροῦτος. Λέπιδος δὲ τῆς Ἰταλίας ἐκπεπτωκὼς, νόσῳ ἀπέθανεν. Ὁ μέντοι Σερτώριος τὴν Ἰβηρίαν ἔχων φοβερὸς ἦν. Καὶ πρὸς τοῦτον οὖν ὁ Πομπήϊος ἐστάλη, συμμαχήσων Ὀππίῳ Μετέλλῳ μαχομένῳ πρὸς τὸν Σερτώριον. Εἰς Ἰβηρίαν δὲ ἀφικόμενος, πρῶτον μὲν δυσὶ στρατηγοῖς ἀντικατέστη τοῦ Σερτωρίου, καὶ νικήσας ὑπὲρ μυρίους ἀπέκτεινεν· εἶτα καὶ αὐτῷ Σερτωρίῳ προσμίξας, ἀμφίδοξον ἔσχηκε τὸν ἀγῶνα. Ἐπελθόντος δὲ Πομπηΐῳ ὄντι ἱππότῃ ἀνδρὸς μεγάλου πεζοῦ, ὁ μὲν Πομπήϊος ὑπὸ ἐκείνου ἐπλήγη τὴν χεῖρα, ἐκεῖνος δὲ ὑπὸ Πομπηΐου αὐτὴν ἀπεκόπη. Ἐνωθεὶς δὲ τῷ Μετέλλῳ, ἐτίμησε τὸν ἄνδρα, καὶ ἐτιμήθη· ἀλλὰ τοῦ Σερτωρίου δολοφονηθέντος ὑπὸ τῶν φίλων, Περπέννας ὁ τῶν αὐτοῦ ἡγεμόνων κορυφαιότατος, ἐπεχείρησεν ἐκείνῳ ποιεῖν ὁμοίως, τὰς ἐκείνου δυνάμεις περιβαλόμενος. Ἀλλ' ὁ Πομπήϊος ἀντιταξάμενος αὐτῷ ἐκράτησε πάντων, καὶ διεφθάρησαν οἱ πλεῖστοι τῶν ἡγεμόνων ἐν τῇ μάχῃ· αὐτὸν δὲ

A cum obtestationibus et vociferationibus: ægreque destiterunt, cum jurasset se sibi ipsi manus allaturum, si cogerent. Principio Syllæ nuntiatum est, defecisse Pompeium. Deinde veritate cognita, obviam progressus, porrectaque dextera, magna voce Magnum eum cognominavit: sed triumphum petenti adversatus est, quod nemini præterquam consuli aut prætori triumphare liceret. Sin Pompeius pene imberbis, cui per ætatem in senatu venire non liceret, triumphasset, eum honorem invidiosum fore. Hæc Sylla dicente, Pompeius respondere non dubitavit, orientem solem plures adorare quam occidentem: quo dicto significare voluit, suam potentiam augeri, illius imminui et exolescere. Eo responso **474** Sylla obstupefactus: *Vel bis ordine*
B *triumphet*, exclamavit. Militibus autem obturbantibus et tumultuantibus, quod exspectatione sua minora accepissent, Pompeius se triumphum potius omissurum, quam militibus adulaturum esse affirmavit. Ad quod Servilius, vir illustris, qui ante triumpho ejus adversatus fuerat: *Nunc*, inquit, *Pompeius et vere magnus est, et triumpho dignus.* Sylla vero etsi crescenti Pompeii gloriæ et potentiæ invidebat, tamen pudore deterrebatur, quominus ei adversaretur. Lepidus vero Pompeii studio consulatum adeptus, cum post Syllæ obitum statim illius potentiam sibi vindicans, armatus seditionum scintillas excitaret, Pompeius dux contra eum missus est, cum ille magnam Italiæ partem jam commovisset, et Cisalpinam Galliam per
C Brutum occupasset. Ac cæteros quidem Pompeius facile superavit, sed dimicationem adversus Brutum paulo diutius distulit: donec tandem ipse vel sententia mutata, vel a suis proditus, deditione facta, sublatus est. Ejus Bruti filius is Brutus fuit, qui post Cæsarem interfecit. Lepidus Italia pulsus morbo periit. Sed cum Sertorius Hispaniis occupatis formidabilis esset, Pompeius Oppio Metello cum illo bellum gerenti auxilio missus, duobus Sertorii ducibus superatis, ultra x millia cecidit. Deinde cum Sertorio ipso ancipiti victoria dimicavit. A pedite ingentis corporis, ipse eques, manum ictus, illius manum amputavit. Castris cum Metello conjunctis, virum honoravit, et vicissim est
D honoratus. Sertorio ab amicis per dolum interfecto, Perpenna ducum ejus princeps, exemplo illius legionibus munitus, a Pompeio victus est, plerisque ducibus in acie cæsis: et ipse vivus in potestatem redactus, pœnas dedit. Moratus in Hispania, dum sopitis tumultibus res componeret, ac reductis in Italiam copiis, suspicionem et metum hominum, ne retentis legionibus principatum armis sibi vindicaret, abolevit, se post triumphum exercitum dimissurum professus. Unam rem in eo reprehendebant invidi, quod popularis auræ magis quam optimatum studiosus esset: idque verum erat. Neque enim quisquam majora et ardentiora populi Romani **475** studia habuit. Itaque et alter triumphus, et consulatus, et Crassus, illius

gratia adjutus, collega ei datus est. Cæterum in consulatu non consenserunt : ac major fuit Crassi in senatu, Pompei apud populum auctoritas. Consulatum quidem recusavit. Et quia nioris erat, ut Romani equites, cum legitimum tempus militassent. equo quisque suo in forum ad censores adducto, duces et imperatores recenserent sub quibus stipendia meruissent, et rationibus militiæ redditis, vel honore vel ignominia pro anteactæ vitæ ratione afficerentur : Pompeio etiam inter cæteros imperii insignibus ornato, equum manu ad censores adducente, populus cum admiratione tacuit ; Pompeius vero altero censore rógante : *An omnes expeditiones ex lege obiisset ?* magna voce *se obiisse* respondit, *easque omnes se ipso imperatore.* Tum populo acclamante, a censoribus in multitudinis gratiam honorifice domum est deductus.

A τὸν Περπένναν ἑαλωκότα ζωὸν ἀπέκτεινε. Καὶ πρὸς μείνας ἐκεῖ, καὶ καταστήσας τὰ πράγματα, καὶ κατασβέσας τὰς ταραχὰς, εἰς Ἰταλίαν ἀπῆγαγε τὸν στρατόν. Ἦν δὲ ὑποψία καὶ δέος, ὡς οὐ προήσεται τὸ στράτευμα, δι' ὅπλων δὲ βαδιεῖται μοναρχίας κατάρχων. Ὁ δὲ ταύτην ἀνεῖλε τὴν ὑπόνοιαν, ἀφήσειν τὸ στράτευμα φήσας, μετὰ τὸν θρίαμβον. Ἐν δ' ἔτι οἱ βασκαίνοντες αὐτὸν ἠτιῶντο, ὅτι τῷ δήμῳ μᾶλλον ἢ τῇ βουλῇ προσέκειμεν ἑαυτόν· ὅπερ ἦν ἀληθές. Οὐ γάρ ἐστι οὕτινος ἐμμανέστερον ὁ Ῥωμαίων ἠράσθη δῆμος. Ἐψηφίσθη γοῦν αὐτῷ ὑπατεία, καὶ δεύτερος θρίαμβος· συνυπατεύειν δὲ αὐτῷ καὶ ὁ Κράσσος ἐψηφίσθη αὐτοῦ σπουδάσαντος. Ἀλλ' ἀποδειχθέντες ὕπατοι διεφέροντο, καὶ ἐν μὲν τῇ βουλῇ ὁ Κράσσος ἴσχυε μᾶλλον, παρὰ δὲ τῷ δήμῳ ἐκράτει Πομπήϊος. Παρῃτήσατο δὲ καὶ τὴν στρατηγίαν (60). Καὶ ἔθους ὄντος τοῖς Ῥωμαίοις ἱππεύσιν ὅταν στρατεύσωνται τὸν νόμιμον χρόνον, ἄγειν τὸν ἵππον εἰς ἀγορὰν ἐπὶ τοὺς τιμητὰς, καταριθμεῖσθαί τε τῶν στρατηγῶν καὶ αὐτοκρατόρων ἕκαστον ὑφ' οἷς ἐστρατεύσαντο, καὶ εὐθύνας διδόναι τῆς στρατείας, καὶ οὕτως ἀφίεσθαι νεμομένης τιμῆς ἢ ἀτιμίας προσηκούσης τοῖς βίοις ἑκάστων· τότε προεκάθηντο μὲν οἱ τιμηταὶ, καὶ οἱ ἱππεῖς παρῄεσαν ἐξεταζόμενοι. Ὤχθη δὲ καὶ Πομπήϊος εἰς τὴν ἀγοράν, τὰ μὲν ἄλλα παράσημα τῆς ἀρχῆς ἔχων, αὐτὸς δ' ἄγων τὸν ἵππον διὰ χειρὸς, ἦν δὲ τοῦ δήμου θαῦμα καὶ σιωπή. Εἶτα ὁ εἷς τῶν τιμητῶν, *Πυνθάνομαί σου*, εἶπεν, *ὦ Πομπήϊε Μάγνε, εἰ πάσας ἐστράτευσαι τὰς κατὰ νόμων στρατείας ;* Ὁ δὲ μεγάλῃ φωνῇ, *Ἐστράτευμαι*, ἀπεκρίνατο, *καὶ πάσας ὑπ' ἐμαυτῷ αὐτοκράτορι.* Πρὸς τοῦτο ὁ δῆμος ἐξεκέκραγε, καὶ οἱ τιμηταὶ τοῖς πολίταις χαριζόμενοι, ἀναστάντες προέπεμπον αὐτὸν οἴκαδε.

III. Post anni exitum magistratu abeunti bellum Piraticum est mandatum. Piratæ porro ex Cilicia profecti, bello Mithridatico regiæ classi navarant operam. Deinde Romanis bellis civilibus inter se congressis, freti multitudine, paulatim mare incustoditum invaserunt, non nautas duntaxat aggredi, sed insulas et urbes maritimas etiam occupare soliti. Naves habuerunt amplius mille, urbes ceperunt ultra quadringentas, multa religiosissima sacra exciderunt, et Romanis ipsis insultarunt. Nam cum aliquis captus exclamabat, se Romanum esse, se territos præ metu femora ferire simulantes, ante eum provoluti, partim calceos ei circumligabant, partim togam induebant. Sic ludibrio habitum, demissa in medium pelagus scala, excedere, et lætum abire jusserunt; restitantem, impellendo demerserunt. Cum autem maria omnia mercatoribus intercIusa essent, et rerum in foro venalium penuria laboraretur, Pompeio duce delecto, Gabinius familiaris ejus legem tulit, qua illi non classis imperium, sed plane monarchia tribuebatur; concessa potestate maris quod intra columnas Herculanas est, et terræ continentis a quolibet mari ad quadringenta stadia ; et ut quindecim **476** legatos e senatu ad partes imperii tutandas sibi legeret, pecuniæ quantum vellet, ex ærario et vectigalibus sumeret, ac naves ducentas. Hæc plebs alacriter approbavit. Primores autem senatus immensam illam et infinitam potestatem metuentes, adversati

Γ'. Ἤδη δὲ τῆς ἀρχῆς περανθείσης, ἀπέθετο αὐτὴν ὁ Πομπήϊος, καὶ μετὰ ταῦτα πειρατικὸς αὐτῷ ἐνετέθη πόλεμος· ὥρμητο μὲν γὰρ ἡ πειρατικὴ δύναμις ἐκ Κιλικίας, ἐν τῷ Μιθριδατικῷ πολέμῳ ταῖς βασιλικαῖς ὑπηρεσίαις χρήσασα ἑαυτήν. Εἶτα Ῥωμαίων ἐν τοῖς ἐμφυλίοις πολέμοις συμπεσόντων ἀλλήλοις, ἀφύλακτος οὖσα ἡ θάλασσα, κατ' ὀλίγον αὐτοὺς ἐφειλκύσατο· καὶ δύναμιν σχόντες, οὐ τοῖς πλέουσιν ἐπετίθεντο μόνον, ἀλλὰ καὶ νήσους καὶ πόλεις παραλίους παρεσπῶντο. Ἐγένοντο δ' οὖν αἱ μὲν λῃστρικαὶ νῆες ὑπὲρ χιλίας, αἱ δὲ ἁλοῦσαι ὑπ' αὐτῶν πόλεις ὑπὲρ τετρακοσίας, πολλὰ δὲ καὶ τῶν ἀδάτων ἐξέκοψαν ἱερῶν, ἐνύβριζον δὲ καὶ τοῖς Ῥωμαίοις. Ὑπότε γάρ τις ἁλοὺς ἀνεβόησε Ῥωμαῖος εἶναι, ἐκπεπλῆχθαι προσποιούμενοι καὶ δεδιέναι, τούς τε μηροὺς ἐπαίοντο, καὶ προσέπιπτον αὐτῷ· καὶ οἱ μὲν ὑπέδουν αὐτὸν κάλτια, οἱ δὲ τρίβεννον περιέβαλον, οὕτω τε κατειρωνευσάμενοι τέλος ἐν μέσῳ πελάγει κλίμακα προβαλόντες, ἐκέλευον ἐκβαίνειν καὶ ἀπιέναι χαίροντα· εἰ δὲ μὴ βούλοιτο, ὠθοῦντες αὐτὸν κατέδυον. Πάσης δὲ θαλάσσης ἁπλώτου τοῖς ἐμπόροις οὔσης, σπάνις ἦν τῶν ἀναγκαίων ἐν τῇ ἀγορᾷ. Δόξαν δὲ τὸν Πομπήϊον ἐκπέμψαι κατὰ τῶν πειρατῶν, Γαβίνιος εἷς τῶν Πομπηΐου συνήθων ἔγραψε νόμον, οὐ ναυαρχίαν, ἀντικρυς δὲ μοναρχίαν αὐτῷ διδόντα. Ἐδίδου γὰρ ὁ νόμος αὐτῷ ἀρχὴν τῆς ἐντὸς θαλάσσης Ἡρακλείων στηλῶν, ἠπείρου δὲ πάσης ἀπὸ θαλάσσης ἐπὶ τετρακόσια στάδια, καὶ πεντεκαίδεκα πρεσβυ-

Variæ lectiones et notæ.

(60) *Παρῄτησε δὲ καὶ τὴν στρατηγίαν.* Wolfius *imperium* verterat ; reposuimus *consulatum*, ex iis quæ observavimus ad lib. VII, n. 16.

τὰς ἐκ τῆς βουλῆς ἑλέσθαι ἐπὶ τὰς κατὰ μέρος ἡγεμονίας· χρήματα δὲ λαμβάνειν ἐκ τῶν ταμείων καὶ τῶν τελῶν ὅσα βούλοιτο, καὶ ναῦς διακοσίας. Ταῦτα ὁ μὲν δῆμος προθύμως ἐδέξατο· οἱ δὲ τῆς συγκλήτου περιφανέστεροι φόβου ἄξιον ἐνόμιζον τὸ τῆς ἐξουσίας ἀπερίληπτον καὶ ἀόριστον, καὶ ἀντέλεγον πλὴν Καίσαρος· οὗτος δὲ συνηγόρει τῷ νόμῳ οὐ δι' τὸν Πομπήϊον, τὸν δῆμον δὲ θεραπεύων καὶ οἰκειούμενος ἑαυτῷ. Τέως μέντοι ἐκυρώθη τὸ ψήφισμα. Καὶ ὁ Πομπήϊος εἰς ἐκκλησίαν ἐλθὼν διπλάσια τὰ ἐψηφισμένα λαβεῖν διεπράξατο. Διελὼν οὖν τὰ πελάγη καὶ διαστήματα τῆς θαλάσσης εἰς μέρη τρισκαίδεκα, καὶ νεῶν ἀριθμὸν ἐφ' ἑκάστῳ καὶ ἄρχοντα τάξας, ἐκάθηρε τῶν λῃστηρίων τὸ Τυρρηνικὸν πέλαγος, τὸ Λιβυκὸν, τὸ περὶ Σαρδῶνα καὶ Κύρνον καὶ Σικελίαν ἡμέραις τεσσαράκοντα. Εἶτα παραπλέων τὰς πόλεις μετὰ σπουδῆς, οὐ παρῆλθε τὰς Ἀθήνας. Ἀναβὰς δὲ, καὶ θύσας καὶ προσαγορεύσας τὸν δῆμον, εὗρεν ἐπιγραφὰς εἰς αὐτὸν πεποιημένας, ὧν ἡ μὲν ἐντὸς τῆς πύλης ἔλεγεν· Ἐφ' ὅσον ὢν ἄνθρωπος οἶδας, ἐπὶ τοσοῦτον εἶ θεός· ἡ δ' ἐκτός· Προσεδοκῶμεν, προσεκυνοῦμεν, εἴδομεν, προπέμπομεν. Κατελύθη μὲν οὖν πειρατικὸς πόλεμος, καὶ τὰ πανταχοῦ τῆς θαλάσσης ἐξηρέθη λῃστήρια οὐκ ἐν πλείονι χρόνῳ μηνῶν τριῶν.

A sunt; præter Cæsarem, qui legem non in Pompeii gratiam, sed plebis sibi conciliandæ studio defendit. Decreto illo firmato, Pompeius in concione dupla omnia impetravit; divisoque pelago, et maris intervallis in partes tredecim descriptis, certis navibus et duce in parte qualibet collocatis, mare Tyrrhenum, Africanum, Sardoum, Corsicam, Siculum, intra dies quadraginta pacavit. Deinde cum urbes festinanter præterveheretur, Athenas non præteriit. Sed excensu in terram et re divina facta, populoque salutato, inscriptiones sui honoris causa factas invenit, unam intra portam his verbis: *Qualem te hominem esse agnoscis, eatenus deus es.* Alteram extra: *Exspectabamus, adorabamus, salutamus, deducimus.* Piraticum bellum confectum est, et latrocinia toto mari profligata non amplius trimestri spatio.

Δ'. Τούτων δὲ εἰς Ῥώμην ἀπαγγελθέντων, γράφει νόμον εἷς τῶν δημάρχων ὁ Μάλλιος, παραλαβόντα Πομπήϊον πᾶσαν τὴν χώραν ὅσης ὁ Λεύκολλος ἦρχε, προσλαβόντα δὲ καὶ Βιθυνίαν, πολεμεῖν Μιθριδάτῃ (61) καὶ Τιγράνῃ τοῖς βασιλεῦσιν, ἔχοντα καὶ τὴν ναυτικὴν δύναμιν καὶ τὸ κράτος τῆς θαλάσσης, ὡς ἤδη τοῦτο εἰλήφει· τοῦτο δὲ ἦν ὑφ' ἑνὶ συλλήβδην γενέσθαι τὴν Ῥωμαίων ἡγεμονίαν. Τὸ μὲν οὖν ψήφισμα ἐκυρώθη, φοβηθέντων τὸν δῆμον τῶν ἀριστοκρατικῶν, καὶ σιωπησάντων. Πομπήϊος δὲ δεξάμενος τὰ γράμματα λέγεται τὰς ὀφρῦς συναγαγεῖν, καὶ τὸν μηρὸν πατάξαι, ὡς δυσχεραίνων καὶ βαρυνόμενος τὴν ἀρχήν. Τὴν δ' εἰρωνείαν οὐδ' οἱ συνήθεις αὐτῷ ῥᾳδίως ἤνεγκαν. Τέως δὲ τὴν μεταξὺ Φοινίκης καὶ Βοσπόρου θάλασσαν ἐπὶ φρουρᾷ τῷ στόλῳ διαλαβών, αὐτὸς ἐβάδιζεν ἐπὶ Μιθριδάτην. Ἐκείνου δ' ἐκλιπόντος ὄρος δύσμαχον ὡς ἄνυδρον, ἐν ᾧ ἐστρατοπεδεύετο, ὁ Πομπήϊος κατέσχεν αὐτὸ, καὶ τῇ φύσει τῶν βλαστανόντων, καὶ ταῖς συγκλινίαις τῶν τόπων τεκμαιρόμενος ἔχειν πηγὰς τὸ χωρίον, ὀρύσσειν ἐκέλευσε φρέατα. Καὶ ταχὺ μεστὸν ἦν ὕδατος τὸ στρατόπεδον. Ἔπειτα περιστρατοπεδεύσας, ἐπετείχιζεν αὐτό. Ὁ δὲ, πέντε καὶ τεσσαράκοντα πολιορκηθεὶς ἡμέρας, ἔλαθεν ἀποδρὰς μετὰ τῆς ἐρρωμενεστέρας δυνάμεως, ἀποκτείνας τοὺς ἀχρήστους καὶ τοὺς νοσοῦντας. Καταλαβὼν δὲ αὐτὸν περὶ τὸν Εὐφράτην ὁ Πομπήϊος, ἵνα μὴ φθάσῃ περάσας τὸν ποταμὸν ἐκ μέσων νυκτῶν ἐπῆγε τὴν στρατιάν. Ἦν οὖν ἀνάγκη ὑπὲρ τοῦ χάρακος μάχεσθαι. Σελήνη δ' ἦν καταφερομένη, ὃ τοὺς βασιλικοὺς ἔσφηλε. Εἶχον μὲν γὰρ κατὰ νώτου τὴν σελήνην Ῥωμαῖοι· ἤδη δὲ περὶ δύσιν οὖσης, αἱ σκιαὶ τῶν σωμάτων πρόσθεν προῖοῦσαι πολὺ ὄγκησιν παρεῖχον τοῖς πολεμίοις ἐγγίζειν τοὺς

IV. His Romæ nuntiatis, Manlius tribunus plebis rogationem tulit, ut Pompeius Luculli provincia suscepta, et Bithynia adjuncta, bellum Mithridati et Tigrani regibus inferret, retenta classe et maris imperio. Quod non aliud erat, nisi Romanum principatum uni tradere. Tamen ea rogatio, optimatibus metu populi tacentibus et conniventibus, valuit. Pompeius vero litteris acceptis, fertur contractis superciliis percussoque femore præ se tulisse, quasi graviter molesteque ferret imperium; quam dissimulationem ne amicis quidem suis probavit. Inde mari intra Bosporum et Phœniciam præsidiis occupato, contra Mithridatem est profectus; qui eum montem inexpugnabilem ob aquæ penuriam deseruisset, eumdem Pompeius occupavit, conjectura tum ex stirpium natura, tum ex locorum flexibus capta, locum illum fontes habere. Cumque puteos effodi jussisset, tota castra celeriter aqua abundarunt. Deinde castris circumpositis, hosti fugam intercludere studuit. Sed ille dies XLV **477** obsessus, nihilominus cum firmissima parte exercitus elapsus est, inutilibus et ægrotis interfectis. Quem Pompeius circa Euphratem assecutus, timens ne flumen trajiceret, intempesta nocte eduxit exercitum. Ibi necesse erat pro vallo certare, lunaresque radii turbabant regios. Nam Romani lunam jamjam occiduam a tergo habebant; unde corporum umbræ longe antrorsum projectæ, opinionem hostibus afferebant, eos in propinquo esse. Telis igitur incassum emissis, attingebant neminem. Hoc Romani animadverso, clamore sublato accurrerunt, et ultra decem millia in fuga ceciderunt. Ipse Mithridates cum pluribus effugit. Pompeius vero in Armeniam impressionem fecit, a Tigrane juniore

Variæ lectiones et notæ.

(61) *Τηριδάτῃ*. Sic duo Regii et Colbert. At Μιθριδάτῃ legendum observat Wolfius.

accersitus, jam enim a patre defecerat. At rex Tigranes a Lucullo attritus, humanitate Pompeii audita, deditionem fecit, præsidio in regiam accepto. Ad Pompeium accedens, cidarim capiti detractam, ante pedes illius collocare, et humi procumbere voluit. Sed Pompeius prehensa dextera, eo juxta se, filio ejus ex altera parte collocato, dixit : Cætera Lucullo esse ascribenda, a quo ei adempta esset Syria, Phœnicia, Cilicia, Galatia, Sophene. Quæ vero ad suum usque adventum conservasset, ea habiturum, filium ejus in Sophene regnaturum esse. His Tigranes acquievit. Ejus vero filius iratus, cum ad cœnam vocaretur : *Nihil sibi opus esse istis Pompeii honoribus*, dixit : *se enim alium Romanum inventurum esse*. Quare in vinculis ad triumphum servatus est. Pompeius Afranio ad Armeniæ præsidium relicto, per gentes Caucasi montis accolas Mithridatem est persecutus, quarum maximæ sunt Albani et Iberes. Hi ad Moschicos montes et Pontum pertinentes, illi versus ortum et mare Caspium habitantes. Albani Pompeio petenti transitum dederant. Deinde cum non pauciores XL millibus convenissent, impetum in eum fecerunt; sed profligati sunt, atque ingens multitudo periit. Eorum vero regi pace quam per legatos petierat, data, contra Iberes est profectus, Albanis bellicosiores, qui neque Persis neque Medis cesserant, et Macedonum **478** quoque dominatum effugerant, Alexandro celeriter ex Hyrcania disgresso. Sed et his magno prælio superatis, multos occidit, multos cepit. Inde Colchidem invasit, et contra Albanos qui defecerant, per asperam et aridam viam aqua multis utribus allata, rediens, iis victis, ducem, regis ipsorum fratrem, ictum inferentem, gladio transfixit. In Albanorum exercitu Amazones fuisse perhibentur. Nam cum post prælium cadavera spoliarentur, Romani peltas Amazonicas et cothurnos, nullum tamen femineum corpus repererunt. Incolunt eæ mulieres eas Caucasi partes quæ ad mare Hyrcanum descendunt. In illarum Albanorumque medio habitant Gelæ et Ligyes, cum quibus quotannis circa flumen Thermodontem per duos menses coeunt. Inde disgressæ, vitam sine viris agunt. Cum pepererunt, mares circa patrum terram exponunt; puellas ipsæ educant. Mithridatis pellicibus ad se adductis, nullius consuetudine Pompeius usus est.

A Ῥωμαίους αὐτοῖς· καὶ τοὺς ὑσσοὺς ἀφέντες ἐφίκοντο οὐδενός· ὃ συνιδόντες Ῥωμαῖοι μετὰ κραυγῆς ἐπέδραμον καὶ φεύγοντας ἔκτεινον, ὡς πολὺ πλείους μυρίων ἀποθανεῖν. Αὐτὸς δὲ Μιθριδάτης μετὰ πλειόνων διέφυγε. Πομπήϊος δὲ εἰς Ἀρμενίαν ἐνέβαλε, τοῦ νέου Τιγράνου καλοῦντος αὐτόν. Ἤδη γὰρ ἀφειστήκει τοῦ πατρός. Ὁ δὲ βασιλεὺς Τιγράνης, ὑπὸ Λευκόλλου συντετριμμένος, ἥμερον δὲ πυνθανόμενος τὸν Πομπήϊον, ἑαυτόν τε παρέδωκε καὶ φρουρὰν ἐδέξατο περὶ τὰ βασίλεια. Προσιὼν δὲ τῷ Πομπηΐῳ τήν τε κίδαριν ἀφεῖλε τῆς κεφαλῆς καὶ ὥρμησε πρὸ ποδῶν αὐτὴν ἐκείνου θεῖναι καὶ καταβαλεῖν ἑαυτόν. Ἀλλ' ὁ Πομπήϊος, τῆς δεξιᾶς αὐτοῦ λαβόμενος, προσηγάγετο καὶ πλησίον ἱδρύσατο, τὸν δ' ἐκείνου υἱὸν ἐπὶ θάτερα, καὶ εἶπε· Τῶν μὲν ἄλλων δεῖν αἰτιᾶσθαι Λεύκολλον· ὑπ' ἐκείνου γὰρ ἀφῃρῆσθαι Συρίαν, Φοινίκην, Κιλικίαν, Γαλατίαν, Σωφήνην· ἃ δὲ ἄχρις αὐτοῦ διατετήρηται ἕξειν, Σωφήνης δὲ βασιλεύσειν τὸν υἱόν. Ἐπὶ τούτοις ὁ μὲν Τιγράνης ἠγάπησεν, ὁ δὲ υἱὸς ἐδυσφόρει. Καὶ κληθεὶς ἐπὶ δεῖπνον, *Οὐκ*, ἔφη, *Πομπηΐου δεῖσθαι τοιαῦτα τιμῶντος· καὶ γὰρ αὐτὸς ἄλλον εὑρήσειν Ῥωμαῖον*. Ἐκ τούτου δεθεὶς εἰς τὸν θρίαμβον ἐφυλάττετο. Καταλιπὼν δὲ Πομπήϊος φρουρὸν Ἀρμενίας Ἀφράνιον, αὐτὸς διὰ τῶν περιοικούντων τὸν Καύκασον ἐθνῶν ἐπὶ Μιθριδάτην ἐβάδιζε. Μέγιστα δὲ αὐτῶν εἰσιν ἔθνη Ἀλβανοί τε καὶ Ἴβηρες, οἱ μὲν ἐπὶ τὰ Μεσχικὰ ὄρη καὶ τὸν Πόντον καθήκοντες, Ἀλβανοὶ δ' ἐπὶ τὴν ἕω καὶ τὴν Κασπίαν θάλασσαν. Οὗτοι πρῶτον μὲν αἰτήσαντι Πομπηΐῳ δίοδον ἔδοσαν, εἶτα γενόμενοι τετρακισμυρίων οὐκ ἐλάττους, προσέβαλον αὐτῷ, καὶ τραπέντες ἐφθάρησαν παμπληθεῖς. Τῷ δὲ βασιλεῖ αὐτῶν πέμψαντι πρέσβεις, σπεισάμενος ἀπῆει ἐπὶ τοὺς Ἴβηρας μαχιμωτέρους ὄντας τῶν Ἀλβανῶν καὶ μήτε Μήδοις μήτε Πέρσαις ὑπείξαντας, διαφυγόντας δὲ καὶ τὴν τῶν Μακεδόνων δυναστείαν, Ἀλεξάνδρου ταχέως ἐκ τῆς Ὑρκανίας ἀπάραντος. Ἀλλὰ καὶ τούτους μεγάλῃ μάχῃ τρεψάμενος, πολλοὺς ἀνεῖλε καὶ πολλοὺς ἐζώγρησεν. Ἐντεῦθεν εἰς τὴν Κόλχον ἐνέβαλεν. Αὖθις δὲ Ἀλβανῶν ἀποστάντων, ἤλαυνεν ἐπ' αὐτοὺς δι' ἀνύδρου καὶ ἀργαλέας ὁδοῦ, ὕδωρ ἐν ἀσκοῖς πολλοῖς ἐπικομιζόμενος. Καὶ συμβαλὼν αὐτοῖς, ὑπὸ τοῦ ἀδελφοῦ τοῦ σφῶν βασιλέως στρατηγουμένοις, ἐνίκησε· καὶ αὐτὸν ἐπελθόντα οἱ καὶ βαλόντα ἐκ χειρὸς διελάσας ἀπέκτεινεν. Ὅτε καὶ Ἀμαζόνες λέγονται συμμαχῆσαι τοῖς Ἀλβανοῖς. Μετὰ γὰρ τὴν μάχην σκυλευομένων τῶν νεκρῶν, πέλταις Ἀμαζονικαῖς οἱ Ῥωμαῖοι καὶ κοθούρνοις ἐνέτυχον, σῶμα δὲ γυναικεῖον οὐδὲν εὑρέθη. Νέμονται δὲ αὗται τὰ καθήκοντα πρὸς Ὑρκανίαν θάλασσαν τοῦ Καυκάσου· μέσον δὲ τῶν Ἀλβανῶν καὶ αὐτῶν οἰκοῦσι Γέλλαι καὶ Λίγυες, οἷς ἔτους ἑκάστου περὶ τὸν Θερμώδοντα ποταμὸν εἰς ταυτὸν φοιτῶσαι ὁμιλοῦσιν ἐπὶ δύο μῆνας. Εἶτα καθ' ἑαυτὰς ἀπαλλαγεῖσαι βιοῦσι. Τεκοῦσαι δὲ τὰ μὲν ἄῤῥενα κομίσασαι περὶ τὴν τῶν πατέρων ἐκτίθενται γῆν, τὰ δέ γε θήλεα τρέφουσι. Τῶν δὲ τοῦ Μιθριδάτου παλλακῶν ἀναχθεισῶν πρὸς αὐτὸν, οὐδεμίαν ἔγνω Πομπήϊος.

V. Stratonice vero summa dignitate apud Mithridatem prædita, castello opulentissimo præfecta, multa munera Pompeio obtulit, et castellum ipsum tradidit. Is vero iis tantum quæ vel templis ornamento futura, vel triumpho splendorem allatura

Ε'. Στρατονίκη δὲ, ἥ καὶ μέγιστον παρὰ Μιθριδάτῃ ἔσχεν ἀξίωμα, καὶ τὸ πολυχρυσότατον τῶν φρουρίων ἐφύλαττε, δῶρά τε πολλὰ τῷ Πομπηΐῳ προσήγαγε καὶ τὸ φρούριον παρεδίδου. Ὁ δὲ τῶν προταχθέντων ὅσα κόσμον ἱεροῖς καὶ λαμπρότητα

τῷ θριάμβῳ παρεῖχον λαβὼν μόνα, τὰ λοιπὰ τὴν Στρατονίκην ἔχειν ἐκέλευσε. Καὶ τοῦ βασιλέως δὲ τῶν Ἰβήρων κλίνην, καὶ τράπεζαν, καὶ θρόνον, χρυσᾶ πάντα πέμψαντος αὐτῷ, καὶ ταῦτα τοῖς ταμίαις εἰς τὸ δημόσιον παραδέδωκεν. Ὡς δὲ τὸν Μιθριδάτην ἔωρα φεύγοντα χαλεπώτερον ἢ μαχόμενον, τοῦτον μὲν εἶπεν ἰσχυρότερον ἑαυτοῦ πολέμιον τὸν λιμὸν ἀπολείψειν, αὐτὸς δὲ προῆγε σὺν στρατιᾷ. Χειρωσάμενος δὲ δι' Ἀφρανίου τοὺς περὶ Ἀμανὸν Ἄραβας (62), καταβὰς εἰς Συρίαν, ταύτην μὲν ἐπαρχίαν καὶ κτῆμα Ῥωμαίων ἀπέφηνε· τὴν δὲ Ἰουδαίαν ὑπέταξε, καὶ τὸν βασιλέα αὐτῆς Ἀριστόβουλον συνέλαβεν, ὡς ἐν τοῖς Ἰουδαϊκοῖς ἤδη ἱστόρηται· μέγα δ' ἦν ὄνομα τῆς αὐτοῦ δυνάμεως, καὶ μεῖζον τῆς ἀρετῆς καὶ πραότητος. Ὁ δὲ τῶν περὶ τὴν Πέτραν Ἀράβων βασιλεὺς δείσας ἔγραψε Πομπηΐῳ πάντα πείθεσθαι. Ἤγγελη μέντοι αὐτῷ τεθνεὼς καὶ ὁ Μιθριδάτης, Φαρνάκου τοῦ υἱοῦ διαχρησαμένου αὐτόν. Εἰς Ἀμισὸν οὖν ἀφικομένῳ Πομπηΐῳ πολλὰ μὲν δῶρα παρὰ Φαρνάκου κεκόμιστο, πολλὰ δέ γε προσήνεκτο σώματα, καὶ αὐτὸς ὁ Μιθριδάτου νεκρός. Ἐπανιὼν δὲ λυπηρὰν τὴν ἐπάνοδον ἔσχηκε διὰ τὴν γυναῖκα Μουκίαν ἐξυβρίσασαν παρὰ τὴν ἀποδημίαν αὐτοῦ· καὶ πλησιάσας τῇ Ἰταλίᾳ ἔπεμψεν ἐκείνῃ τὴν ἄφεσιν. Εἰς δὲ τὴν Ῥώμην λόγοι περὶ αὐτοῦ ἐγίνοντο, καὶ θόρυβος ἦν ὡς τὸ στράτευμα τῇ πόλει ἐπάξοντός τε καὶ μοναρχήσαντος· ὁ δὲ τῆς Ἰταλίας τε ἅμα ἐπέβη, καὶ ἐκκλησιάσας τοὺς στρατιώτας ἐκέλευσεν ἕκαστον πρὸς τὰ οἰκεῖα τρέπεσθαι, καὶ αὖθις ἀθροισθῆναι διὰ τὸν θρίαμβον. Σκεδασθείσης δ' οὕτω τῆς στρατιᾶς, ἄνοπλον αἱ πόλεις ὁρῶσαι Πομπήϊον καὶ μετ' ὀλίγων ἀπιόντα, ὑφ' ἡδονῆς ἐχεόμεναι καὶ προπέμπουσαι, συγκατῆγον εἰς τὴν Ῥώμην μετὰ δυνάμεως πλείονος. Τοῦ δὲ νόμου μὴ συγχωροῦντος πρὸ τοῦ θριάμβου παρελθεῖν εἰς τὴν πόλιν, πέμψας ἠξίου τὴν βουλὴν ὑπερθέσθαι τὰς τῶν ὑπάτων ἀρχαιρεσίας· Κάτωνος δ' ἐναντιωθέντος οὐκ ἔτυχε· διὸ καὶ οἰκειώσασθαι τὸν ἄνδρα ἠθέλησε. Δυεῖν οὖν ἀδελφιδῶν οὐσῶν ἐκείνῳ, τὴν μὲν αὐτὸς ἐζήτει λαβεῖν, τὴν δὲ τῷ υἱῷ συνοικίσαι· παραιτουμένου δὲ τὴν ἀγχιστείαν τοῦ Κάτωνος, ὡς διαφθορὰν ἐσομένην αὐτῷ τοῦ τρόπου, ἡ ἀδελφὴ καὶ ἡ γυνὴ ἐχαλέπαινον. Ἀφρανίῳ δὲ Πομπηΐου ὑπατείαν μετιόντος, καὶ διὰ τοῦτο πρὸς τὰς φυλὰς ἀργύριον ἀναλίσκοντος, καὶ κακῶς ἐντεῦθεν ἀκούοντος ὡς ὤνιον τὴν ἀρχὴν ποιουμένου τοῖς μὴ ταύτης ἀξίοις, ὁ Κάτων ἔφη πρὸς τὰς γυναῖκας· *Τούτων τῶν ὀνειδῶν κοινωνητέον ἡμῖν, οἰκείοις γενομένοις πρὸς τὸν Πομπήϊον.* Τοῦ θριάμβου δὲ τῷ μεγέθει ἐν δυσὶ τελεσθέντος ἡμέραις, οὐκ ἐξήρκεσαν αὗται, ἀλλὰ τῶν παρεσκευασμένων πολλὰ τῆς θέας ἐξέπεσε· γράμμασι δὲ προηγουμένοις ἐδηλοῦτο τὰ γένη, καθ' ὧν ἐθριάμβευεν. Ἦν δὲ ταῦτα· Πόντος, Ἀρμενία, Παφλαγονία, Καππαδοκία, Μηδία, Κόλχοι, Ἴβηρες, Ἀλβανοί, Συρία, Κιλικία,

A erant, acceptis, reliqua Stratonicen habere jussit. Item lectum, mensam, solium, aurea omnia sibi a rege Iberum missa, quæstoribus dedit, in ærarium referenda. Ut Mithridatem fugiendo quam pugnando molestiorem esse vidit, se hostem illi famem, se ipso graviorem, relicturum esse minatus, cum exercitu progressus est; domitisque per Afranium Arabibus, qui ad Amanum habitant, Syriam populi Romani provinciam et possessionem fecit; Judæam subegit, Aristobulo rege comprehenso, ut jam in historia Judaica est expositum. Cum potentia Pompeii multum, virtus et clementia magis etiam celebrarentur, Arabiæ Petrææ rex territus, ei scripsit, se in ejus potestate fore. Nuntiato Mithridatis interitu, Aminsum profectus, a Pharnace parricida multa munera accepit, multos homines, et ipsum Mithridatis cadaver. Reditum ei **479** molestum fecit uxoris Mutiæ per ipsius absentiam adulterium; cui, cum Italiæ appropinquasset, libellum repudii misit. Romæ autem rumore et tumultu orto, quasi exercitum in urbem adducturus et regnum occupaturus esset; simulatque Italiam attigit, concione advocata, milites in sua quemque redire, atque iterum ad triumphum præsto esse jussit. Exercitu dimisso, civitates eum inermem cum paucis ire videntes, prælætitia effusæ, Romam cum majoribus copiis officii gratia perduxerunt. Lege autem non permittente, ut ante triumphum urbem ingrederetur, a senatu petiit ut comitia consularia differrentur; sed id Catone adversato non impetravit. Quare virum eum conciliare sibi studens, ex duabus illius neptibus alteram ipse ducere, alteram filio suo despondere voluit; qua affinitate Cato, ut quæ corrumpendæ suæ integritati esset, repudiata, et sororem et uxorem iratas habuit. Post Pompeio ob consulatum Afranio petendum pecunia per tribus distributa male audiente, ut qui dignitates indignis venales fecerat, Cato mulieribus dixit: *Ista probra nobis communia erunt, si affinitatem cum Pompeio contraxerimus.* Triumpho propter magnitudinem biduo peracto, tamen ex apparatis rebus, temporis exclusæ angustiis multæ spectari non potuerunt; et scriptura prælata significatum est, de quibus gentibus triumpharetur. Hæ autem fuerunt, Pontus, Armenia, Paphlagonia, Cappadocia, Media, Iberes, Albani, Syria, Cilicia, Mesopotamia, Phœnicia, Palæstina, Judæa, Arabia, piratæ terra marique debellati. Inter hæc castella mille, non pauciora capta, urbes pene nongentæ; naves piraticæ octingentæ, hostium regiæ undequadraginta. Adhæc in litteris referebatur, cum ex vectigalibus quinquies millies centena millia in ærarium redirent, se decies octies et quingenties centena millia adjecisse. In ærarium inferri signatæ pecuniæ et aurei atque argentei or-

B

C

D

Variæ lectiones et notæ.

(62) *Τοὺς περὶ Ἀμανὸν Ἄραβας.* Ita mss. Reg. et Colb. ubi Wolfius: *Quid si Ἴβηρας legendum: nam Arabas Amani incolas nullos scio.*

natus vicies mille talenta, præter ea quæ militibus donata essent. In triumpho ducti sunt, præter archipiratas, Tigranis Armenii filius, cum uxore et filiabus, ipsiusque regis Tigranis uxor Zosime, et 480 Judæorum rex Aristobulus, et cognati Mithridatis aliique plures. Illud autem in ejus gloria præcipuum fuit, quod tres triumphos duxit; primum ex Africa, alterum ex Europa, postremum ex Asia; tum annos XL natus, victoriis totum pene terrarum orbem complexus. Post, Roma finitimisque locis annonæ penuria laborantibus, in Sicilia, Sardinia, et Africa maxima frumenti copia coacta, cum gubernatores ob ventorum vehementiam solvere recusarent, primus navi conscensa, et ancoris revelli jussis, exclamavit: *Navigare necesse est, vivere non est necesse.* Hac audacia, secundaque fortuna usus, omnes mercatus frumento, navibus mare implevit. E re porro ejus fuisset, si tum vitam cum morte commutasset. Insecutum enim tempus ei successus invidiosos et casus exitiosos attulit. Nam cum se cum Cæsare conjunxisset, eumque sua auctoritate et potentia extulisset, ab illo eversus et conculcatus est. Ne autem bis eadem commemorentur, quæ de Pompeio restant, in Cæsaris historia (in eam enim incidunt) referentur.

Μεσοποταμία, τὰ περὶ Φοινίκην καὶ Παλαιστίνην· Ἰουδαία, Ἀραβία, τὸ πειρατικὸν ἅπαν ἐν γῇ καὶ θαλάττῃ καταπεπολεμημένον. Ἐν δὲ τούτοις φρούρια μὲν ἡλωκότα χιλίων οὐκ ἐλάττω, πόλεις δὲ οὐ πολὺ τῶν ἐννακοσίων ἀποδέουσαι, καὶ νῆες πειρατικαὶ ὀκτακόσιαι, κατοικίαι δὲ πόλεων (63) μιᾶς δέουσαι τεσσαράκοντα. Πρὸς δὲ τούτοις ἔφραζε διὰ τῶν γραμμάτων ὅτι πεντακισχίλιαι μὲν μυριάδες ἐκ τῶν τελῶν ὑπῆρχον, ἐκ δὲ ὧν αὐτὸς προσεκτήσατο μυρίας ὀκτακισχιλίας πεντακοσίας Ῥωμαῖοι λαμβάνουσιν. Ἀναφέρεται δὲ εἰς τὸ δημόσιον ταμεῖον ἐν νομίσματι καὶ κατασκευῇ ἀργυρίου καὶ χρυσίου δισμύρια τάλαντα πάρεξ τῶν τοῖς στρατιώταις νενεμημένων. Αἰχμάλωτοι δὲ ἐπομπεύθησαν ἄνευ τῶν ἀρχιπειρατῶν υἱὸς Τιγράνου τοῦ Ἀρμενίου μετὰ γυναικῶν καὶ θυγατέρων· αὐτοῦ τε Τιγράνου τοῦ βασιλέως γυνὴ Ζωσίμη, καὶ βασιλεὺς Ἰουδαίων Ἀριστόβουλος, καὶ συγγενεῖς Μιθριδάτου, ἄλλοι τε πλείους. Μέγιστον δὲ ὑπῆρχε πρὸς δόξαν αὐτῷ, ὅτι τρὶς τεθριαμβευκώς, τὸν μὲν πρῶτον ἐκ Λιβύης, τὸν δὲ δεύτερον ἐξ Εὐρώπης, τὸν δὲ τελευταῖον ἀπὸ τῆς Ἀσίας κατάγων, τρόπον τινὰ τὴν οἰκουμένην ἐδόκει τοῖς τρισὶν ἐπῆχθαι θριάμβοις· ἦν δὲ τότε ἐτῶν τεσσαράκοντα. Σιτοδείας δὲ μετὰ ταῦτα τὴν Ῥώμην καὶ τὰ περὶ αὐτὴν κατασχούσης, πλεύσας εἰς Σικελίαν, καὶ Σαρδὼ, καὶ Λιβύην ἤθροισε σῖτον· καὶ ἀνάγεσθαι μέλλων, τῶν κυβερνητῶν ὀκνούντων διὰ πνεύματα βίαια, πρῶτος αὐτὸς ἐμβὰς τὰς ἀγκύρας αἴρειν ἐκέλευσε, καὶ ἀνέβησε· *Πλεῖν ἀνάγκη, ζῆν δὲ οὐκ ἀνάγκη.* Τοιαύτῃ δὲ τόλμῃ χρώμενος καὶ ἀγαθῇ τύχῃ, ἐνέπλησε τὰ ἐμπόρια σίτου, πλοίων δέ γε τὴν θάλασσαν. Καὶ ὥνητο μὲν ἂν ἐνταῦθα τοῦ βίου παυσάμενος· ὁ δὲ ἐπέκεινα χρόνος αὐτῷ τὰς μὲν εὐτυχίας ἤνεγκεν ἐπιφθόνους, ἀνήκεστα δέ γε τὰ δυστυχήματα. Προστεθεὶς γὰρ Καίσαρι, καὶ διὰ τῆς οἰκείας δίξης τε καὶ δυνάμεως ἐξάρας αὐτὸν, ὑπ' ἐκείνου ἀνατέτραπτό τε καὶ καταβέβλητο. Ἵνα δὲ μὴ δὶς τὰ αὐτὰ ἱστορῆται, ἐν τοῖς περὶ Καίσαρος τὰ λοιπὰ τοῦ Πομπηΐου εἰρήσεται, τῇ περὶ ἐκείνου συνεμπίπτοντα ἱστορίᾳ.

VI. Fuit et Cæsar in re militari fortunatus, multaque bella prospere confecit. Cum autem cultu et observantia populi regnum affectaret, in eoque cum aliorum adversationes, tum magnas Pompeii opes sibi obstare cerneret, Romam ex Hispania rediit. In quam provinciam ante id tempus sibi decretam cum primum venisset, Lusitanis et Gallæcis domitis, usque ad exterius mare processit: easque gentes subegit, quæ ante Romanis non paruerunt. Ex provincia discessit gloria et opibus auctus, etiam militibus ditatis. Triumphaturus, cum ad consularia comitia venisset, et consulatum ambiret, in leges contrarias incidit. Moris enim erat, ut triumphaturi extra urbem manerent: qui vero consulatum ambirent, ipsi comitiis candidati interessent. Contempto igitur triumpho urbem ingressus, consulatum petiit. Crassum, virum in senatu potentissimum, sibique amicum, et Pompeium, inter sese dissidentes atque invicem adversantes, reconciliavit: eorumque tanquam satellitum opera consul factus, statim 481 leges tulit, quibus sibi popu-

Ϛ'. Εὐτυχὴς δὲ ὁ Καῖσαρ ἐν στρατηγίαις γενόμενος καὶ πολλοὺς κατωρθωκὼς πολέμους, μνηστευόμενος δ' ἑαυτῷ τὴν ἐκ τοῦ δήμου ῥοπὴν, αὐτὸν ἐθεράπευε· καὶ μοναρχίας ἐρῶν, ἐπεὶ ἐώρα τινὰς ἐναντιουμένους αὐτῷ, καὶ μάλιστα τὸν Πομπήϊον τότε μέγα δυνάμενον, τῇ Ῥώμῃ ἐξ Ἰβηρίας ἐπιδεδήμηκεν. Ἦν πρὸ τούτου λαχὼν, ὡς ταύτης ἐπέβη, ἐπὶ Λυσιτανοὺς καὶ Καλαίκους ἐστράτευσε· καὶ κρατήσας τούτων ἄχρι τῆς ἔξω προῆλθε θαλάσσης, τὰ μὴ πρὶν ὑπείκοντα Ῥωμαίοις ἔθνη καταστρεφόμενος. Καὶ ἀπηλλάγη τῆς ἐπαρχίας εὐδοκιμῶν, αὐτός τε πλούσιος γεγονὼς καὶ τοὺς στρατιώτας ὠφεληκώς. Θέλων δ' ἐπὶ τῇ νίκῃ θριαμβεῦσαι, πρὸς αὐτάς τε τὰς ὑπατικὰς ἀφιγμένος ἀρχαιρεσίας, καὶ μνώμενος ἑαυτῷ ὑπατείαν, ἐν ἀντινομίᾳ ἐγένετο. Τοὺς μὲν γὰρ θριαμβεύειν μέλλοντας ἔξω νενόμιστο διατρίβειν τῆς πόλεως, τοὺς δὲ μετιέναι θέλοντας ὑπατείαν δι' ἑαυτῶν τοῦτο πράττειν, τοῖς ἀρχαιρεσιάζουσιν ἐντυγχάνοντας. Καταφρονεῖ τοίνυν τοῦ θριάμβου, καὶ παρελθὼν εἰς τὴν πόλιν εἰς ὑπατείαν παρῄγγειλε. Τῶν δὲ μέγα δυναμένων ἐν τῇ βουλῇ καὶ ὁ Κράσσος ὢν, πρὸς ὃν ὁ Καῖσαρ ᾠκείωτο,

Variæ lectiones et notæ.

(63) *Κατοικίαι δὲ πόλεων.* Sic mss. codd. id est *urbium Coloniæ*, Wolfius πολεμίων legendum censebat.

ἀντιπολιτευόμενος τῷ Πομπηΐῳ ἐτύγχανε· τούτους ὁ Καῖσαρ ἐκ διαφορᾶς εἰς φιλίαν μετήνεγκε, καὶ ὑπ' ἀμφοῖν ὥσπερ δορυφορούμενος εἰς ὑπατείαν προήχθη, καὶ αὐτίκα νόμους εἰσῆγε, δι' ὧν ᾠκειοῦτο τὸν δῆμον. Ἔτι δὲ τὴν Πομπηΐου ἰσχὺν ὁ Καῖσαρ ἑαυτῷ προσάπτων, τὴν οἰκείαν θυγατέρα Ἰουλίαν αὐτῷ κατηγγύησε. Γήμας οὖν αὐτὴν ὁ Πομπήϊος, ὅπλων τὴν ἀγορὰν αὐτίκα ἐνέπλησε, καὶ τούς τε νόμους τῷ δήμῳ συνεπεκύρου, καὶ Καίσαρι τὴν ἐντὸς Ἄλπεων, καὶ τὴν ἐκτὸς ἅπασαν Κελτικήν, καὶ τὸ Ἰλλυρικὸν μετὰ ταγμάτων τεσσάρων εἰς πενταετίαν προσέθετο. Τῶν δ' ἀντειπόντων ἐκ τῆς βουλῆς πρὸς ταῦτα περιυβρισθέντων, ὀλίγοι παντάπασιν ὑπατεύοντι τῷ Καίσαρι συνῆσαν εἰς βουλήν. Εἰπόντος δέ τινος τῶν σφόδρα γερόντων ὡς φόβῳ τῶν ὅπλων καὶ τῶν στρατιωτῶν οὐ συνέρχονται, *Τί οὖν*, ἔφη ὁ Καῖσαρ, *οὐ καὶ σὺ ταῦτα δεδιὼς οἰκουρεῖς;* Ὁ δὲ, *Ὅτι με ποιεῖ μὴ φοβεῖσθαι τὸ γῆρας*, ἔφη· *βράχιστος γὰρ ὁ βίος ὃς ἔτι μοι λείπεται.* Τοὺς δὲ Κελτικοὺς πολέμους μαχόμενος, Ἑλβετίους μὲν καὶ Τιγυρηνοὺς κατεπολέμησε καὶ ὑπέταξε. Γερμανοῖς δὲ συμμίξαι μέλλων, ὁρῶν τοὺς ἡγεμόνας ἀποδειλιῶντας, καὶ μάλιστα ὅσοι τῶν ἐπιφανῶν ἦσαν καὶ νέων, ἐκέλευσεν ἀπιέναι καὶ μὴ κινδυνεύειν παρὰ γνώμην ἀνάνδρως καὶ μαλακῶς οὕτως ἔχοντας. Αὐτὸς δὲ ἔφη τὸ δέκατον τάγμα παραλαβὼν ἐπὶ τοὺς βαρβάρους πορεύεσθαι, μήτε κρείττοσι Κίμβρων μέλλων μάχεσθαι πολεμίοις, μήτε αὐτὸς Μαρίου χείρων ὢν στρατηγός. Ἐκ τούτου ὁρμῆς καὶ προθυμίας γενόμενοι πλήρεις ἅπαντες ἠκολούθουν, καὶ μαχεσάμενοι λαμπρῶς τοὺς ἐναντίους ἐτρέψαντο, ὥστε νεκρῶν μυριάδας ὀκτὼ γενέσθαι. Ὁ δὲ τούτων βασιλεὺς Ἀριοῦστος φθάσας μετ' ὀλίγων διεπέρασε τὸν Ῥῆνον. Ταῦτα διαπραξάμενος εἰς τὴν περὶ Πάδον Γαλατίαν κατέδη, ἔνθα διατρίβων ἐδημαγώγει πολλῶν ἀπὸ Ῥώμης πρὸς αὐτὸν ἀφικομένων, τοῖς ἀπὸ τῶν πολέμων χρήμασι τοὺς πολίτας χειρούμενος. Ἐκεῖθεν δὲ ἄλλοις ἔθνεσι ἐπελθὼν καὶ νικήσας περιφανῶς, αὖθις ἐν τοῖς περὶ Πάδον χωρίοις διαχειμάσων ὑπέστρεψε, τοὺς περὶ τὴν Ῥώμην εὔνους ἑαυτῷ τιθέμενος χρήμασιν, ἃ τοῖς τὰς ἀρχὰς ἑαυτοῖς μνωμένοις χορηγῶν ἐκεῖνος, τὸν δῆμον τούτοις διαφθείρειν ἐποίει, καὶ τοῖς τὰ χρήματα διδοῦσι ψηφίζεσθαι τὰς ἀρχάς. Οἱ δὲ πᾶν ὃ τὴν ἐκείνου δύναμιν αὔξειν ἔμελλεν ἔπραττον. Εἶτα καὶ ἕτερα Κελτικὰ νικήσας ἔθνη καὶ τὸν Ῥῆνον γεφυρώσας, στρατῷ διέβη. Ἐκεῖθεν δ' ἐπαναζεύξας, τὴν τῆς παιδὸς αὐτοῦ τελευτὴν, ἣ τῷ Πομπηΐῳ συνῴκει, μεμάθηκε· καὶ ὅτι τίκτουσα τέθνηκε, καὶ ὡς μετ' ὀλίγον καὶ τὸ τεχθὲν ἐπανῆλθε τῇ μητρί. Ὁ μὲν οὖν Καῖσαρ καὶ ὁ Πομπήϊος πένθος ἔσχον ἐπὶ τῇ συμφορᾷ, καὶ οἱ φίλοι δ' ἀμφοῖν βαρέως τὸ πάθος ἤνεγκαν, ὡς τοῦ συνδέσμου λελυμένου τῆς αὐτῶν οἰκειότητος.

Ζ'. Ἤδη δὲ μέγας ὁ Καῖσαρ γενόμενος, καὶ οἰκείαν δόξαν ἐπάρας ἐκ τῶν κατορθωμάτων, ἀνταγωνιστὴν Πομπηΐῳ ἑαυτὸν κατεστήσατο. Καὶ Κράσσου ἐν Πάρθοις ἀπολωλότος, ὃς ἔφορος αὐτῷ τε καὶ Πομπηΐῳ ἐλέλειπτο, καταλύειν ἐμελέτα Πομπήϊον, κἀκεῖνος αὖθις τὸν Καίσαρα. Τῆς δὲ πολιτείας τοσούσης, καὶ τῶν ἀρχὰς μετιόντων ὠνουμένων αὐτὰς, τοῦ δὲ δήμου ὑπὲρ τῶν δεδωκότων οὐ ψήφοις χρωμένων, ἀλλ' ὅπλοις, καὶ τῇ πόλεως ὡς ἀκυβερνήτου κακῶς φερομένης, τοῖς νουνεχεστέροις

A lum devinciret. Praterea ut Pompeii potentiam sibi adjungeret, Juliam ei filiam despondit. Qua ducta Pompeius, foro armatis impleto, et popularibus legibus confirmatis, Cæsari Galliam Cisalpinam et Transalpinam omnem, et Illyricum, et IV legiones in quinquennium decrevit. Cum autem senatoribus qui istis rebus adversati erant, contumeliose tractatis, paucissimi ad Cæsarem consulem in curiam convenirent; quodam natu admodum grandi dicente, senatum armorum et militum metu non frequentari, Cæsar: *Cur et tu*, inquit, *non eodem metu domi te contines?* Cui senex respondit: *Ætate se reddi audaciorem, cum sciat brevissimum sibi vitæ tempus superesse.* Dum in Galliis bellum gerit, Helvetios et Tigurinos devicit B atque subegit. Cum Germanis congressurus, cum duces trepidare videret, illustres in primis et adolescentes, eos abire jussit, atque abesse a prælio, quos præter opinionem suam adeo molles et effeminatos cerneret. Se vero cum decima legione Barbaros invasurum esse dixit, quod neque hostes fortiores Cimbris oppugnandi essent, neque ipse imperator Mario deterior. Hac oratione omnium animis ad alacritatem et audaciam excitatis, secuti milites victoriam illustrem ab hostibus reportarunt, LXXX millibus cæsis. Eorum rex Ariovistus, cum paucis Rheno trajecto, elapsus est. Iis rebus gestis in Circumpadana Gallia degens, populi studia est aucupatus: et multos ad se Roma profectos, hostili pecunia sibi obnoxios reddidit. C Inde ad alias gentes domandas profectus, illustribus victoriis partis, ad Padum in hiberna rediit, Romanos pecunia sibi concilians: quam iis suppeditabat, qui magistratus ambiebant, quo populus per eos corrumperetur, ut iis tantum qui numerarent, magistratus decerneret. Illi igitur nihil eorum omittebant, quibus ejus potentia augeretur. Deinde aliis Galliæ populis superatis, Rhenum ponte junctum cum exercitu transiit. Inde reversus, filiæ Pompeio nuptæ morte ex puerperio cognita, puero etiam paulo post defuncto, ipse et Pompeius in luctu fuerunt: nec 482 non utriusque amici casum cum graviter tulerunt, vinculo necessitudinis eorum dissoluto.

D VII. Cæsar jam magnus factus, et rebus gestis parta gloria evectus, adversari Pompeio instituit: et Crasso a Parthis interfecto, qui veluti pacis sequester inter eos fuerat, evertere Pompeium, Pompeius vicissim Cæsarem est conatus. Republica labefactata, cum magistratus per ambitum peterentur, et populus non suffragia, sed arma pro iis ferret, a quibus pecuniam accipiebat, et urbs veluti navis sine gubernatore periclitaretur: prudentioribus boni consulendum esse visum est, si civi-

tas ex tempestate ad regnum rediret, alioqui gravius allidenda. Nec enim spem salutis aliam restare : et medicum mitissimum adhibendum esse, qui morbo illi medicinam faceret : quibus verbis subobscure Pompeium intelligi volebant. Qui etsi verbis imperium se detractare simulabat, re ipsa tamen id agebat, ut dictator diceretur. Ne igitur dictaturam per vim invaderet, solus a senatu consul est designatus, desiderium ejus solitario imperio leniente. Ob hoc Cæsar et ipse per legatos consulatum petiit, aliis adversantibus, Pompeio vero tacente. Ut autem Cæsar largitionibus multos in suas partes traduxit, Pompeius eam conspirationem veritus, aperte per sese et amicos imperium Cæsari per decreta abrogavit : quibus ille neglectis petebat, ut et ipse et Pompeius simul armis positis privati esse juberentur. Siu sibi eriperetur imperium, illi vero confirmaretur : alterum tyrannum constitui. Fertur etiam quidam centurio a Cæsare missus, cum didicisset senatum imperium Cæsari non diutius dare, pulsato gladii capulo dixisse : *At hic dabit*. Deinde senatusconsultum factum est, nisi Cæsar intra certum diem imperio se abdicasset, hostem esse judicandum. Verum Antonio cæterisque Cæsaris studiosis postulantibus, ut et Cæsar et Pompeius simul magistratibus abirent, eam sententiam probarunt omnes. Sed cum Cæsar per litteras cæteris omnibus cedens, solam Cisalpinam provinciam et Illyricum atque duas sibi legiones reliuqui peteret : cætera quidem ei **483** concessit Pompeius, milites autem ademit. Senatus vero Antonium et factionem ejus senatu ejecit. Itaque servili habitu ex timore sumpto, conducticiis bigis Roma exierunt. Quæ res militum indignationem commovit, cum viros claros et principes contumeliis affectos cernerent. Cæsar vero variis rationibus animo agitatis, ac subinde mutatis consiliis, tandem vulgari illo dicto, *jacta est alea*, arma sumpsit : superatoque Rubicone flumine, Ariminum magnam Galliæ urbem occupavit. Fertur pridie ejus diei noctu in somnis sibi cum matre per fœdam incestamque imaginem coire visus esse. Arimino occupato, Roma tanquam turbine quodam fluctuum undis exagitata, pene semetipsam demersit. Nam et consules et maxima pars senatus fugerunt. Est et ipse Pompeius territus, et ab aliis aliunde turbatus, querentibus, eum Cæsaris opes contra sese et rempublicam auxisse : neque quisquam illum suis uti consiliis sivit. Quare urbe relicta, senatum sequi se jussit, et plerique eum secuti sunt, exsilium pro patria amplexi, propter Pompeium : Romam vero perinde ut castra Cæsaris fugientes. Eo tempore Labienus etiam Cæsaris amicus, cui strenuam in bellis operam navarat, eo relicto Pompeium est secutus. Tamen Cæsar ei et pecuniam et

A ἀγαπητὸν ἐδόκει εἰ πρὸς μοναρχίαν ἐκ τοσούτου κλύδωνος καὶ μή τι χεῖρον περισταίη τὸ τῆς Ῥώμης πολίτευμα, ὡς ἄλλως ἀνήκεστα σφίσιν εἶναι τὰ πράγματα· χρῆναι δὲ τοῦ πρωτάτου τῶν ἰατρῶν ἀνέχεσθαι τὸ πάθος τοῦτο φαρμακεύοντος, ὑποδηλοῦντες δὴ τὸν Πομπήϊον. Κἀκεῖνος μέντοι, εἰ καὶ λόγῳ παραιτεῖσθαι τὴν ἀρχὴν ὑπεκρίνετο, ἀλλ' οἷς ἐποίει ἔσπευδε δικτάτωρ ἀναδειχθήσεσθαι. Ἵνα γοῦν μὴ βιάσαιτο ψηφισθῆναι δικτάτωρ, ὕπατον αὐτὸν μόνον ἡ γερουσία προὐβάλετο τῇ μοναρχίᾳ παρηγορουμένῃ τούτου τὴν ἔφεσιν. Ἐκ τούτου πέμπων ὁ Καῖσαρ καὶ αὐτὸς ἐπὶ ὑπατείαν παρήγγελλεν. Ἐναντιουμένων δ' ἑτέρων, ἐσιώπα Πομπήϊος. Ὡς δὲ ὁ Καῖσαρ πολλοὺς τὰ αὐτοῦ φρονεῖν ἀνέπεισε χρήμασι, δείσας τὴν σύστασιν ὁ Πομπήϊος, ἀναφανδὸν δι' ἑαυτοῦ καὶ B τῶν φίλων ἐπραγματεύετο παυθῆναι τὸν Καίσαρα τῆς ἀρχῆς, ψηφιζόμενος ὢν ἐκεῖνος οὐδ' ὅλως ἐφρόντιζεν. Ἤξίου δὲ ὁ Καῖσαρ αὐτόν τε ἅμα καὶ τὸν Πομπήϊον καταθεμένους τὰ ὅπλα ἰδιωτεῦσαι καὶ ἄμφω. Εἰ δ' αὐτὸν μὲν ἀφαιροῦνται τὴν ἀρχήν, ἐκείνῳ δὲ βεβαιοῦσι, τὸν ἕτερον κατασκευάζουσι τύραννον. Λέγεται δέ τινα τῶν παρὰ Καίσαρος σταλέντων ταξιαρχῶν, μαθόντα μὴ διδόναι τὴν γερουσίαν τῆς ἀρχῆς χρόνον τῷ Καίσαρι, Ἀλλ' αὔτη, φάναι, *δώσει*, κρούσαντα τῇ χειρὶ τὴν τοῦ ξίφους λαβήν. Εἶτα γνώμη εἰσήνεκτο, εἰ μὴ ἐν ὡρισμένῃ ἡμέρᾳ Καῖσαρ τὰ ὅπλα κατάθηται, ἡγεῖσθαι τὸν ἄνδρα πολέμιον. Ἀντωνίου δὲ καὶ τῶν πραττόντων τὰ Καίσαρος ἀξιούντων καὶ Καίσαρα καὶ Πομπήϊον τὰς ἀρχὰς ἀποθέσθαι, τῇ γνώμῃ πάντες συνέθεντο. C Ἐπεὶ δὲ παρὰ Καίσαρος ἦκον ἐπιστολαὶ τῶν μὲν ἄλλων ἐξισταμένου, τὴν δ' ἐντὸς Ἄλπεων ἐπαρχίαν καὶ τὸ Ἰλλυρικὸν ἀξιοῦντος αὐτῷ δοθῆναι μετὰ δυοῖν ταγμάτων, τἄλλα μὲν ἐδόκει Πομπήϊος, τοὺς δέ γε στρατιώτας ἀφήρει. Οἱ δ' ὑπατεύοντες καὶ τῆς βουλῆς ἐξήλασαν τὸν Ἀντώνιον καὶ τοὺς σὺν αὐτῷ. Οἱ δὲ διὰ φόβον ἐν δουλικαῖς ἐσθῆσι μετημφιασμένοι, ἐπὶ ζευγῶν μισθίων τῆς Ῥώμης ἐξῆεσαν. Ὁ τοὺς στρατιώτας παρώξυνεν, ἄνδρας ἐλλογίμους (64) καὶ ἄρχοντας περιυβρισμένους ὁρῶντας. Καῖσαρ δὲ, πολλοὺς λογισμοὺς κινήσας καὶ διαφόρων γνωμῶν γεγονὼς, τέλος τοῦτο δὴ τὸ κοινὸν ὑπειπών, Ἐρρίφθω κύβος, ὥρμησε. Καὶ τὸν ποταμὸν Ῥουβίκωνα διέβη, καὶ τὸ Ἀρίμινον κατέσχε, μεγάλην πόλιν τῆς Κελτικῆς. Λέγεται δὲ τῇ πρὸ τῆς διαβάσεως νυκτὶ ὄναρ ἰδεῖν ἔκθεσμον. Ἐδόκει γὰρ αὐτὸς τῇ ἑαυτοῦ μητρὶ μίγνυσθαι τὴν ἄῤῥητον μίξιν. Ἐπεὶ δὲ τὸ Ἀρίμινον κατελήφθη, ὡς ὑπὸ πνευμάτων ἡ Ῥώμη πιμπλαμένη σάλου καὶ κλύδωνος, μικροῦ αὐτὴ ὑφ' ἑαυτῆς ἀνετέτραπτο. Οἵ τε γὰρ ὕπατοι καὶ οἱ πλείους τῶν βουλευτῶν ἔφευγον, καὶ αὐτὸν δὲ Πομπήϊον ἔκπληξις εἶχε, καὶ ἄλλως ἀλλαχόθεν τὸν ἄνδρα ἐτάραττον, αἰτιώμενοι ὡς καθ' ἑαυτοῦ καὶ τῆς πολιτείας φύξῃσαντα Καίσαρα· καὶ οὐδεὶς εἴα αὐτὸν τοῖς οἰκείοις χρήσασθαι λογισμοῖς. Διὸ καὶ τὴν πόλιν ἐξέλιπεν, ἕπεσθαι τὴν γερουσίαν κελεύσας. Εἵποντο

Variæ lectiones et notæ.

(64) *Ἐλλογίμους*. Ita mss. Wolfius ediderat ἐλλογισμούς, manifesto errore.

δ' οἱ πλείους τὴν μὲν φυγὴν ὡς πατρίδα αἱρούμενοι διὰ τὸν Πομπήϊον, τὴν δὲ Ῥώμην ὡς Καίσαρος στρατόπεδον φεύγοντες. Ὅτε καὶ Λαβιηνὸς ἀνὴρ τοῖς φίλοις Καίσαρος ἀριθμούμενος, καὶ συνηγωνισμένος ἐν πολέμοις αὐτῷ προθυμότατα, ἀφεὶς ἐκεῖνον ἀφίκετο πρὸς Πομπήϊον. Ὃ καὶ καταλιπόντι αὐτὸν ὁ Καῖσαρ τά τε χρήματα καὶ τὰς ἀποσκευὰς ἐξαπέστειλε. Δομίτιος δὲ κατέχων Κορφίνιον, ἐπιλθόντος αὐτῷ Καίσαρος, ἀπογνοὺς τὰ καθ' ἑαυτὸν, φάρμακον ἔπιεν ὡς θανούμενος. Εἶτα θαυμαστῇ φιλανθρωπίᾳ μαθὼν πρὸς τοὺς ἁλισκομένους τὸν Καίσαρα χρώμενον, ἑαυτὸν ἐθρήνει. Ὑπνωτικὸν δ' εἶναι τὸ φάρμακον καὶ οὐ θανάσιμον εἰπόντος τοῦ ἰατροῦ, ἀπῆει πρὸς Καίσαρα, καὶ λαβὼν δεξιὰν αὖθις διεξέπεσε πρὸς Πομπήϊον.

A sarcinas, quanquam desertori, misit. Domitius vero, qui Corfinium præsidiis tenebat, Cæsare adventante rebus desesperatis, venenum bibit, ut moriturus. Deinde cum Cæsarem mirabili clementia nti erga captos audivisset, semetipsum deploravit. Sed a medico edoctus, id pharmacum soporiferum esse, non lethiferum, Cæsarem adiit: acceptaque dextera, rursus ad Pompeium evasit.

Η'. Ταῦτα εἰς τὴν Ῥώμην ἀπαγγελλόμενα τοὺς ἀνθρώπους ἡδίους ἐποίει, καί τινες ἐπανέστρεφον. Πολὺς δὲ γεγονὼς ὁ Καῖσαρ ἤδη ἐπ' αὐτὸν ἐχώρει Πομπήϊον. Ὁ δὲ φυγὼν εἰς Βρεντέσιον ἐξέπλευσεν. Ἀπορῶν δὲ νηῶν ὁ Καῖσαρ εἰς τὴν Ῥώμην ἀνέστρεψε, καὶ πάσης τῆς Ἰταλίας ἀναιμωτὶ κύριος γέγονεν ἡμέραις ἑξήκοντα. Κύρων δὲ καὶ τὴν πόλιν καθεστῶσαν, καὶ τῶν ἀπὸ τῆς βουλῆς πολλοὺς ἐν αὐτῇ, τούτοις ἐπιεικῆ διελέχθη, ἀξιῶν αὐτοὺς πρὸς Πομπήϊον ἀποστέλλειν ἐπὶ συμβάσεσιν. Ἐπείσθη δ' οὐδείς. Τοῦ δὲ δημάρχου Μετέλλου κωλύοντος αὐτὸν ἐκ τῶν ἀποθέτων χρημάτων λαμβάνειν, καὶ νόμους προσφέροντος, ἔφη· *Μὴ τὸν αὐτὸν ὅπλων καὶ νόμων εἶναι καιρόν· Σὺ δὲ νῦν μὲν ἐκποδὼν ἄπιθι· παῤῥησίας γὰρ οὐ δεῖται πόλεμος. Ὅταν δὲ τὰ ὅπλα κατάθωμαι, τότε δημαγωγήσεις. Καὶ ταῦτα,* ἔφη, *λέγω, τῶν ἐμαυτοῦ δικαίων ὑφιέμενος. Ἐμὸς γὰρ εἶ καὶ σὺ καὶ πάντες ὅσους τῶν πρὸς ἐμὲ στασιασάντων συνέλαβον.* Μὴ φαινομένων δὲ τῶν κλειδῶν ἐκκόπτειν ἐκέλευεν. Αὖθις δὲ τοῦ Μετέλλου κωλύοντος, καί τινων ἐπαινούντων, ἠπείλησεν ἀποκτενεῖν αὐτὸν, εἰ μὴ παύσαιτο, εἰπών· *Μειράκιον, ἀγνοεῖς ὅτι δυσκολώτερόν ἐστι μι εἰπεῖν ἢ πρᾶξαι;* Ἐστράτευσε δ' εἰς Ἰβηρίαν, καὶ τὰς ἐκεῖ δυνάμεις, καὶ τὰς ἐπαρχίας ὑφ' ἑαυτὸν ποιησάμενος οὕτως ἐπὶ Πομπήϊον ἤλαυνεν. Αἱρεθεὶς δὲ δικτάτωρ ὑπὸ τῆς βουλῆς φυγάδας κατήγαγε καὶ ἄλλων ἥψατο πολιτευμάτων. Ἐν ἡμέραις δὲ ἕνδεκα τὴν μὲν μοναρχίαν ἀπεῖπάμενος, ὕπατον δὲ ἀναδείξας ἑαυτὸν καὶ Σερουίλιον Ἰσαυρικὸν, εἶχετο τῆς στρατείας. Καὶ διαβὰς τὸν Ἰόνιον Νώρικον καὶ Ἀπολλωνίαν αἱρεῖ. Ἐξ Ἀπολλωνίας δὲ κρύφα πάντων εἰς πλοῖον ἐμβὰς δωδεκάσκαλμον ἐν ἐσθῆτι θεράποντος ἀγαχθῆναι πρὸς τὸ Βρεντέσιον ἐβουλεύσατο, τοῦ πελάγους ὑπὸ τῶν πολεμίων περιεχομένου στόλοις μεγάλοις. Χειμῶνος δὲ ὄντος, ὁ πλοῦς ἄπορος ἐδόκει τῷ κυβερνήτῃ, καὶ μεταβαλεῖν ἐκέλευσε τοὺς ναύτας, ὡς ἀποστρέφων τὸ πλοῖον. Καὶ ὁ Καῖσαρ ἀναδείκνυσιν ἑαυτόν. Τοῦ δὲ κυβερνήτου πρὸς τὴν ὄψιν ἐκπεπληγμένου· *Τόλμα καὶ μὴ δέδιθι,* ἔφη· *Καίσαρα φέρεις, καὶ τὴν Καίσαρος τύχην συμπλέουσαν.* Κατέπλευσε δὲ καὶ Ἀντώνιος τὰς δυνάμεις ἄγων. Καὶ θαῤῥήσας Καῖσαρ προύκαλεῖτο Πομπήϊον. Ἀεὶ δέ τινες περὶ ταῖς ἐρύμασι Πομπηΐου μάχαι σποράδες ἐγίνοντο, καὶ περιῆν ὁ Καῖσαρ πάσαις, πλὴν μιᾶς, ἐν ᾗ τροπῆς γενομένης μεγάλης ἐκινδύνευσε μὲν ἀπολέσαι τὸ στρατόπεδον· καὶ

VIII. Hæc Romæ nuntiata cives nonnihil recrearunt, ut quidam in urbem redierint. Cæsar vero auctis viribus, jam contra ipsum Pompeium proficiscens, cum is Brundusii nave conscensa abiisset: quia naves ipse non habebat, Romam converso itinere, totius Italiæ dominatu citra sanguinem LX diebus est potitus. Cum autem et urbem tranquillam reperisset, et multos in ea senatores, humaniter cum eis egit, ut ad Pompeium legatos de pacificatione 484 mitterent. Sed nemo ei paruit. Metello tribuno prohibente, ne quid pecuniæ ex publicis thesauris efferret, et leges recitante, respondit: *Non idem legum et armorum esse tempus. Tu vero nunc,* inquit, *cedito. Bellum enim verborum contentionem non admittit. Ubi vero arma posuero tum tu tribunus eris: et hæc dico, de meo jure concedens. Nam et tu meus es, et ii omnes quos contra me tumultuatos cepi.* Cum autem claves non reperirentur, securibus ærarium aperiri jussit, et Metello cujus nonnulli constantiam laudabant, denuo obsistenti mortem comminatus, nisi obturbare desisteret: *Hoc,* inquit, *adolescens, mihi scito dictu quam facto esse difficilius.* Profectus in Hispaniam, et legionibus illis atque provinciis ascitis, Pompeii persequendi consilium cepit. Dictator a senatu dictus, exsules revocavit, et alia in republica egit. Sed dictatura intra dies XI deposita, se ipso et Servilio Isaurico suapte auctoritate consulibus designatis, expeditioni intentus, superato Ionio mari, Noricum et Apolloniam capito Apolloniæ clam omnibus navigio duodecim scalmorum ministri habitu conscenso, Brundusium trajicere statuit: quamvis mare magnis hostium classibus teneretur. Sed cum in tempestate gubernator navigari non posse crederet, et nautas mutare cursum ac reverti jussisset, se agnoscendum præbuit et gubernatori ad suum conspectum obstupefacto: *Bono,* inquit, *animo et securo esto, Cæsarem enim et Cæsaris fortunam vehis.* Appulit et Antonius cum copiis: quibus Cæsar fretus, Pompeium provocavit. Et cum crebro ante munitiones sparsim dimicaretur, semper superior evasit, una pugna excepta: in qua cum magnam plagam accepisset, parum abfuit quin castris exueretur, atque ipse etiam cæderetur. Nam vir quidam magnus et robustus fugiens, cum ab eo manu injecta manere, et ad hostes converti juberetur, plane perturbatus, ictum ei in-

tentavit, ac percussisset, nisi armiger ejus humerum illius amputasset. Cum autem Pompeius magno facinori colophone non adjecto, fugientibus in vallum compulsis recessisset, Cæsar dixit : *Eo die victoriam penes hostes fuisse, si virum habuissent, qui sciret* **485** *vincere.* Inde digressus, exercitum in Macedoniam contra Scipionem promovit. Ea res Pompeii exercitum et ducum animos vana spe inflavit, ut Cæsarem velut victum et fugientem persequi cuperent. A quo consilio Pompeius abhorrens, bellum ducere, et mora ipsa vires hostium attenuare consultius esse duxit : eamque sententiam soli Catoni probavit, civibus parcere cupienti, qui cum hostium circiter mille cæsos vidisset, obvoluta facie, illos deploravit. Cæteris vero omnibus pugnæ detrectationem vituperantibus, Pompeius vel invitus Cæsarem est persecutus. Ut vero ambo in Pharsalia castra posuerunt, in pristina sententia permansit, ob omina parum auspicata, et visum nocturnum, quo in theatro suo plausum dari sibi putabat. Ejus vero familiares audaces erant, spe victoriæ præcepta. Cæsar cum suos milites rogasset, utrum soli pugnare mallent, an reliquos exspectare, qui in propinquo essent : ab iis oratus est, ne exspectaret. Hostiis cæsis aruspex dixit, intra triduum pugnaturum cum hostibus. Et Cæsari, qualem pugnæ exitum prævideret, percontanti respondit : Magnam fore mutationem in contrarium : quod si in præsentia bene cum eo ageretur, deteriorem fortunam esse exspectandam ; sin male, meliorem.

IX. Pridie quam pugnatum est, a Cæsare excubias sub mediam noctem obeunte, conspecta est fax cœlestis ignis, quam supra sua castra delatam, resplendentem et flammantem in castra Pompeii cadere putavit. Diluculo cum speculatores narrarent, hostes ad pugnam descendere : lætitia exsultans prælium iniit, et Pompeii exercitum pepulit. Qui cum suos equites fuga dissipatos vidisset, non amplius idem fuit, neque se Pompeium Magnum esse meminit : sed attonito similis, mutus tabernaculum ingressus, eventum sedens exspectavit. Hostibus vero vallum invadentibus, habitu fugienti apto sumpto, se subduxit. Cæsar etiam castris potitus, captos in suas legiones inseruit, et multis claris viris impunitate concessa, e quorum numero Brutus quoque fuit, qui eum post occidit, Pompeium est **486** persecutus. Is vero navi oneraria conscensa Amphipolim, atque inde Mitylenem est profectus, ut filium et uxorem Corneliam Scipionis Metelli filiam, inde secum abduceret. Quæ cum virgo Publio Crassi filio nupta fuisset, eo a Parthis interfecto, Pompeio desponsa fuerat, puella et eleganti forma, et in litteris probe erudita, nec lidium, nec geometriæ ignara, et philoso-

A αὐτὸς δὲ παρὰ μικρον ἦλθεν ἀποθανεῖν. Φεύγοντι γὰρ ἀνδρὶ μεγάλῳ καὶ ῥωμαλέῳ τὴν χεῖρα ἐπιβαλὼν, μένειν ἐκέλευε καὶ στρέφεσθαι πρὸς τοὺς πολεμίους. Ὁ δὲ μεστὸς ὢν ταραχῆς ἐπῆρε τὴν χεῖρα ὡς πλήξων αὐτόν· καὶ ἔπληξεν ἄν, εἰ μὴ ὁ τοῦ Καίσαρος ὑπασπιστὴς τὸν ὦμον ἐκείνου φθάσας, ἀπέκοψεν. Οὕτω δ' ἀπέγνω τότε Καῖσαρ τὰ καθ' ἑαυτὸν, ὥστε τοῦ Πομπηΐου ἔργῳ μεγάλῳ μὴ ἐπιθέντος τέλος, ἀλλὰ καθείρξαντος τοὺς φεύγοντας εἰς τὸν χάρακα καὶ ἀναχωρήσαντος, εἶπεν ὁ Καῖσαρ· *Σήμερον ἡ νίκη παρὰ τοῖς πολεμίοις ἐγένετο ἄν, εἰ τὸν νικῶντα εἶχον.* Ἐκεῖθεν δὲ μεταστὰς, τὸν στρατὸν εἰς Μακεδονίαν προῆγεν ἐπὶ Σκιπίωνα. Τοῦτο τὴν Πομπηΐου στρατιὰν ἐπῆρε καὶ τοὺς περὶ αὐτὸν ἡγεμόνας, ὡς ἡττημένου καὶ φεύγοντος Καίσαρος διώκοντας ἔπεσθαι. Εὐλαβῶς δ' εἶχε πρὸς τοῦτο Πομπήϊος, καὶ ἠξίου τρίβειν καὶ μαραίνειν τὴν τῶν πολεμίων ἀκμήν. Τὴν δὲ γνώμην μόνος ἐπῄνει Κάτων φειδοῖ τῶν πολιτῶν. Ὃς γε καὶ τοὺς πεσόντας τῶν πολεμίων ὡς εἰς χιλίους ὄντας ἰδὼν, ἀπῆλθεν ἐγκαλυψάμενος καὶ καταδακρύσας. Οἱ δ' ἄλλοι πάντες ἐκάκιζον φυγομαχοῦντα Πομπήϊον· ἐντεῦθεν καὶ ἄκων εἰς μάχην ἐχώρει, διώκων τὸν Καίσαρα. Ὡς δὲ, εἰς τὴν Φαρσαλίαν ἐμβαλόντες, ἀμφότεροι ἐστρατοπεδεύσαντο, ὁ μὲν Πομπήϊος αὖθις τῆς πρώτην εἶχετο γνώμης, φασμάτων οὐκ αἰσίων αὐτῷ γενομένων, καὶ καθ' ὕπνον ὄψεώς τινος (ἐδόκει γὰρ ἑαυτὸν ὁρᾶν ἐν τῷ θεάτρῳ ὑπὸ Ῥωμαίων κροτούμενον)· οἱ δὲ περὶ αὐτὸν θρασεῖς ἦσαν, καὶ τὴν νίκην ταῖς ἐλπίσι προειληφότες. Ὁ δὲ Καῖσαρ ἠρώτα τοὺς οἰκείους στρατιώτας, εἰ καθ' ἑαυτοὺς αἱροῦνται μαχέσασθαι ἢ περιμένειν καὶ ἑτέρους ἤδη ἐγγὺς ὄντας· οἱ δὲ μὴ περιμένειν ἐδέοντο. Θύσαντι δὲ τῷ Καίσαρι ὁ μάντις ἐσήμαινε τριῶν ἡμερῶν πρὸς τοὺς πολεμίους κριθήσεσθαι. Ἐρομένου δὲ Καίσαρος περὶ τοῦ τέλους τί προορᾷ, Μεγάλην, εἶπεν, ἐπὶ τὰ ἐναντία δηλοῦσθαι μεταβολὴν καὶ μετάπτωσιν. Εἰ μὲν οὖν εὖ πράττεις ἐν τῷ παρόντι, τὴν χείρονα προσδόκα τύχην, εἰ δὲ κακῶς, τὴν ἀμείνονα.

Θ'. Τῇ δὲ πρὸ τῆς μάχης νυκτὶ τὰς φυλακὰς περιιόντος περὶ τὸ μεσονύκτιον Καίσαρος ὤφθη λαμπὰς οὐρανίου πυρὸς, ἣν τὸ αὐτοῦ ὑπερενεχθεῖσαν στρατόπεδον εἶδε, λαμπρὰν καὶ φλογώδη γενομένην, εἰς τὸ Πομπηΐου πεσεῖν. Ἤδη δὲ διαλαμψάσης ἡμέρας, οἱ σκοποὶ καταβαίνειν ἀπήγγελλον ἐπὶ μάχῃ τοὺς πολεμίους. Περιχαρὴς δὲ γενόμενος ὥρμησεν εἰς μάχην, καὶ συμβαλὼν τοῖς τοῦ Πομπηΐου τρέπεται τούτοις. Πομπήϊος δὲ κατιδὼν τοὺς ἱππεῖς φυγῇ σκεδασθέντας, οὐκέτι ἦν ὁ αὐτὸς, οὐδ' ἐμέμνητο Πομπήϊος ὢν Μάγνος, ἀλλ' ὡς ὑπὸ θεοῦ βλαπτόμενος ὤχετο, ἄφθογγος ἀπιὼν ἐπὶ σκηνὴν, καὶ καθήμενος ἐκαραδόκει τὸ μέλλον. Ὡς δὲ τοῦ χάρακος ἐπέβαινον οἱ πολέμιοι, φεύγοντι πρέπουσαν στολὴν ἐνδὺς, ἐξῆλθεν. Ὁ δὲ Καῖσαρ καὶ τοῦ χάρακος τῶν πολεμίων ἐκράτησε, καὶ τοὺς ἁλόντας ζωοὺς τοῖς ἑαυτοῦ κατέμιξε τάγμασι. Πολλοῖς δὲ καὶ τῶν ἐπιφανῶν ἄδειαν ἔδωκεν, ὧν καὶ ὁ Βροῦτος ἦν ὁ κτείνας αὐτὸν ὕστερον. Ἐδίωκε δὲ τὸν Πομπήϊον. Ὁ δὲ, πλοίου ἐπιβὰς φορτηγοῦ καὶ παραπλεύσας ἐπ' Ἀμφιπόλεως, εἰς Μιτυλήνην κατήχθη, βουλόμενος τὴν γυναῖκα Κορνηλίαν ἀναλαβεῖν, καὶ δὲ τὸν υἱόν. Ἣ ἦν θυγάτηρ Μετέλλου Σκιπίωνος, συνοικήσασα μὲν ἐκ παρθενίας Πουπλίῳ τῷ Κράσσου

πχιδι, ἐκείνου δὲ τεθνηκότος ἐν Πάρθοις, γαμηθεῖσα Πομπηίῳ· ἦν δὲ ἡ κόρη καὶ τὴν ὥραν διαπρεπής, οὐ μὴν ἀλλὰ καὶ περὶ γράμματα καλῶς ἤσκητο, καὶ περὶ λύραν καὶ περὶ γεωμετρίαν, καὶ λόγων φιλοσόφων εἴθιστο χρησίμως ἀκούειν, καὶ προσῆν τούτοις ἦθος περιεργίας καθαρόν. Ἀκούσασα τοίνυν ἥκειν Πομπήϊον μετὰ νηὸς μιᾶς καὶ αὐτῆς ἀλλοτρίας φεύγοντα, κατέπεσε χαμάζε καὶ ἀναυδος ἔκειτο. Μόλις δ' οὖν εἰς ἑαυτὴν ἐλθοῦσα ἐξέδραμεν ἐπὶ θάλασσαν. Ἀπαντήσαντος δὲ τοῦ Πομπηίου καὶ ἐναγκαλισαμένου, Ὁρῶ σε, εἶπεν, ἄνερ, οὐ τῆς σῆς τύχης ἔργον, ἀλλὰ τῆς ἐμῆς, ἐπὶ σκάφει προσερρυμμένον, τὸν πρὸ τῶν τῆς Κορνηλίας γάμων πεντακοσίαις ναυσὶ ταύτην πορθμεύσαντα τὴν θάλασσαν. Ὡς εὐτυχὴς ἂν ἦμην γυνή, πρὸ τοῦ Πούπλιον ἐν Πάρθοις ἀκοῦσαι τὸν παρθένιον ἄνδρα κείμενον, ἀποθανοῦσα σώφρων δὲ μετ' ἐκεῖνον, ὥσπερ ὥρμησα, τὸν ἑαυτῆς προσμένη βίον. Ἐσωζόμην δὲ, καὶ σοὶ, Πομπήϊε Μάγνε, γενήσεσθαι συμφορά. Ὁ δὲ πρὸς ταῦτα, Μίαν ἄρα, Κορνηλία, τύχην ἤδεις, ἔφη, τὴν ἀμείνονα (65), ἢ καὶ σὲ ἴσως ἐξηπάτησεν, ὅτι μοι πλέον τοῦ συνήθους παρέμεινεν. Ἀλλὰ καὶ ταῦτα δεῖ φέρειν ἀνθρώπους ὄντας, καὶ τῆς τύχης ἔτι πειρατέον. Οὐ γὰρ ἀνέλπιστον ἐκ τούτων εἰς ἐκεῖνα μεταπεσεῖν τὸν ἐξ ἐκείνων ἐν τούτοις γενόμενον. Ἀναλαβὼν οὖν τὴν γυναῖκα καὶ τοὺς φίλους ἐκομίζετο. Καὶ εἰς Ἀτταλείαν ἐλθὼν, πόλιν τῆς Παμφυλίας, εὗρε καὶ τριήρεις ἐκ Κιλικίας καὶ στρατιώτας, καὶ πολλοὶ τῶν συγκλητικῶν περὶ αὐτὸν συνελέγησαν. Πολλῶν δὲ γενόμενος λογισμῶν, ἐνίκησε τελευταῖον φεύγειν εἰς Αἴγυπτον. Καὶ μαθὼν Πτολεμαῖον διάγειν εἰς τὸ Πηλούσιον, ἐκεῖ κατηνέχθη. Πτολεμαίου δὲ ὄντος κομιδῇ νέου, διεῖπε τὰ πράγματα Ποθεινὸς ὁ εὐνοῦχος. Καὶ μαθὼν περὶ Πομπηίου ἤθροισε βουλὴν τῶν παρ' αὐτῷ δυναμένων μέγιστα. Καὶ οἱ μὲν ἀπελαύνειν Πομπήϊον συνεβούλευον, οἱ δὲ δέχεσθαι· ὁ δὲ Χῖος Θεόδοτος ὁ ῥήτωρ γνώμην εἰσήνεγκεν ἀνελεῖν αὐτὸν, ἐπειπὼν ὅτι *νεκρὸς οὐ δάκνει*. Ἐστάλησαν οὖν τινες τὸν ἄνδρα μεταχαλούμενοι. Ὡς δ' εἶδον οἱ μετ' αὐτοῦ οὐ βασιλικὴν οὐδὲ λαμπρὰν τὴν ὑποδοχὴν, ἀλλ' ἐπὶ μιᾶς ἁλιάδος προσπλέοντας ὀλίγους ἀνθρώπους, ὑπώπτευσαν τὴν ὀλιγωρίαν. Καὶ τῷ Πομπηίῳ παρῄνουν τὴν ναῦν εἰς πέλαγος ἀνακρούσασθαι. Πελαζούσης δὲ τῆς ἁλιάδος, μετελθεῖν ἠξίουν αὐτὸν εἰς αὐτὴν, Ἑλληνιστὶ ἀσπασάμενοι, τέναγος λέγοντες εἶναι πολὺ, καὶ βάθος οὐκ ἔχειν, οὐδὲ πλώϊμον εἶναι τριήρει τὴν θάλασσαν, ὑπόψαμμον οὖσαν. Ἀσπασάμενος οὖν τὴν Κορνηλίαν προαποθρηνοῦσαν αὐτοῦ τὸ τέλος, καὶ δύω ἑκατοντάρχους προσεμβῆναι κελεύσας, τῶν τε ἀπελευθέρων ἕνα Φίλιππον καὶ θεράποντα Σκύθην ὄνομα, στραφεὶς πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν, εἶπε Σοφοκλέους ἰαμβεῖα·

Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται.
Κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μολῇ (66).

A phicas disputationes utiliter audire solita : cum tantis dotibus etiam morum simplicitas conjungebatur. Quæ cum Pompeium navigio uno, eoque alieno fugientem adesse audisset, humi prolapsa, diu sine voce jacuit. Ægre refocillata, ad mare decurrit. Ubi cum eam Pompeius obviam progressus amplexus, esset : *Video te*, inquit, *mi vir, in unam navem conjectum, meæ, non tuæ fortunæ culpa, qui ante Corneliæ nuptias quingentis navibus hoc mare tenuisti. Quam fortunata fuissem mulier, si ante auditam Publii primi mariti in Parthis interitum, obiissem. Sapiens vero, si, ut instituera*m, *post illum necem mihi conscivissem. Verum incolumis mansi, Pompeii Magne, ut tibi etiam calamitati essem.* Ad hæc Pompeius : *Unam ergo fortunam, Cornelia, nosses meliorem, quæ te fortassis etiam seduxisset, si ea solito diutius me fovisset. Sed et hæc (homines enim sumus) nobis ferenda sunt, et fortuna adhuc periclitanda. Neque enim desperandum est, qui e felici miser factus sit, eum ex misero vicissim felicem fore.* Igitur uxore et amicis navi impositis, Attaliam Pamphyliæ urbem profectus, Cilicicas triremes et milites reperit : multi etiam senatores ibi ad eum convenerunt. In variis deliberationibus, cum tandem in Ægyptum confugere placuisset, Pelusium appulit, ubi Ptolemæum degere audierat ; qui quod immatura erat ætate, Photinus eunuchus regni procurator, adventu Pompeii cognito, concilium principum virorum convocavit. Quorum aliis eum repellendum, aliis recipiendum esse suadentibus, Theodotus Chius orator tollendum esse pronuntiavit : *Canem enim mortuum non mordere.* Itaque missi sunt, qui eum accerserent. Ut vero ejus familiares eum non regio apparatu aut splendido excipi, sed in una cymba homines paucos accedere **487** viderunt : contemptum illum suspectum habuerunt. Pompeiumque monuerunt, ut navem in mare converteret. Ubi cymba accesserat, qui ea vehebantur, eum salutarunt Græce, et in naviculam conscendere jusserunt : mare enim vadosum et arenosum triremem non capere. Salutata igitur Cornelia uxore, jam ejus exitium plangente, et duobus centurionibus, liberto Philippo, et servo cui Scythæ nomen erat, una conscendere jussis, ad uxorem et filium conversus, illis Sophoclis versibus recitatis :

Quisquis tyranni se committit ædibus,
Fit illi servus, liber etsi venerit ;

Variæ lectiones et notæ.

(65) *Μίαν ἄρα, Κορνηλία, τύχην ἤδεις τὴν ἀμείνονα.* Ambiguum est utrum verba hæc ἀποφαντικῶς καὶ ἀποθετικῶς accipienda sint, an vero ἐλεγκτικῶς κατ' ἐρώτημα. Priorem sensum secutus est Wolfius, qui, subdit ille, si cui displiceat, ita convertat : *Unam ergo fortunam, Cornelia, nosti meliorem, quæ te quoque fortasse decepit, quod me solito diutius fovit.*

(66) *Μολῇ*. Ita mss. omnes, quam vocem omiserat W.

cymbam ingressus est. Et cum a terra longe adhuc abesset, orationem quam in parvo libello Græce scripserat, ut eam apud regem haberet, legit. Ut ad terram appulerant, Cornelia et amici e triremi, quid futurum esset, solliciti speculabantur. Interea Pompeium, qui Philippi amici manum prehenderat, ut surgeret, Septimius primus a tergo trajicit: deinde Achillas, et cæteri. At ille toga facie obducta, tantum ingemuit: neque quidquam se indignum locutus, ex vulneribus mortuus est, anno ætatis undesexagesimo. Qui in navibus erant, cæde ejus visa, cum tanto ejulatu ut in terra exaudiretur, fugerunt. Cædis vero ministri capite amputato, truncum nudum e cymba in littus abjecerunt, ut spectaculo quibusvis esset. Quo dum populus satiaretur, Philippus ibi mansit. Deinde mari ablutum corpus, et sua tunicula involutum, parvæ cymbæ reliquiis cremavit: et sene quodam Romano, qui prima stipendia sub Pompeio adolescente meruerat, adjutore, sepelit. Cui Philippus, percontato, *quis esset, qui Pompeium Magnum sepelire institueret?* respondit, Se *libertum illius esse.* Tum senex: *Istud*, inquit, *decus non tui unius erit. Me quoque tam pii officii socium admittito, ut meis et ipse manibus tangam, et ornem Romanorum imperatorem maximum.* Hæ Pompeii fuerunt exsequiæ.

Ταῦτα φθεγξάμενος ἐνέβη. Καὶ συχνοῦ διαστήματος ὄντος ἐπὶ τὴν γῆν, ὁ Πομπήϊος ἔχων ἐν βιβλίῳ μικρῷ λόγον ὑπ' αὐτοῦ γεγραμμένον Ἑλληνικὸν, ᾧ παρεσκεύαστο χρήσασθαι πρὸς τὸν Πτολεμαῖον, ἀνεγίνωσκεν. Ὡς δὲ τῇ γῇ προσεπέλαζον, ἡ μὲν Κορνηλία μετὰ τῶν φίλων ἐκ τῆς τριήρους περιπαθὴς οὖσα τὸ μέλλον ἀπεσκόπει. Ἐν τούτῳ δὲ τὸν Πομπήϊον τῆς τοῦ φίλου Φιλίππου λαβόμενον χειρὸς ὡς ἐξαναστήσει, Σεπτίμιος ὄπισθεν τῷ ξίφει διελαύνει πρῶτος· εἶτα καὶ Ἀχιλλᾶς, καὶ ἕτεροι. Ὁ δὲ ταῖς χερσὶ τὴν τήβεννον ἐφελκυσάμενος κατὰ τοῦ προσώπου, μόνον στενάξας, μηδὲν δ' εἰπὼν ἀνάξιον ἑαυτοῦ, ἐνεκαρτέρησε ταῖς πληγαῖς, ἑξήκοντα ἐνὸς δέοντα βεβιωκὼς ἔτη. Οἱ δ' ἀπὸ τῶν νεῶν, ὡς ἐθεάσαντο τὴν σφαγὴν, θρῆνον ἐξάκουστον ἄχρι τῆς γῆς ἐκχέαντες ἔφυγον. Τοῦ δὲ Πομπηΐου τὴν μὲν κεφαλὴν ἀποτέμνουσι, τὸ δὲ ἄλλο σῶμα γυμνὸν ἐκβαλόντες ἀπὸ τῆς ἁλιάδος, τοῖς δεομένοις ἀπέλιπον τοιούτου θεάματος. Παρέμεινε δὲ αὐτῷ Φίλιππος ἕως ἐγένοντο μεστοὶ τῆς ὄψεως. Εἶτα περιλούσας τῇ θαλάσσῃ τὸ σῶμα καὶ χιτωνίῳ τινὶ τῶν ἑαυτοῦ περιστειλας, μικρᾶς ἁλιάδος εὑρὼν λείψανα, τούτοις αὐτὸ κατέκαυσε, καί τινος ἀνδρὸς Ῥωμαίου γηραιοῦ ἤδη, τὰς δὲ πρώτας στρατείας ἔτι νέῳ Πομπηΐῳ συστρατευσαμένου, συνεπιλαβομένου αὐτῷ. Ὃς ἐπιστὰς τῷ Φιλίππῳ εἶπεν· *Τίς ὢν, ὦ ἄνθρωπε, θάπτειν διαροῇ Μάγνον Πομπήϊον;* Ἐκείνου δὲ φήσαντος ὡς ἀπελεύθερος· *Ἀλλ' οὐ μόνῳ σοὶ, ἔφη, τοῦτο τὸ καλὸν ὑπάρξει, κἀμὲ δὲ εὐρήματος εὐσεβοῦς δέξαι κοινωνὸν, ἅψασθαι καὶ περιστεῖλαι ταῖς ἐμαῖς χερσὶ τὸν μέγιστον αὐτοκράτορα Ῥωμαίων.* Οὕτω μὲν ἐκηδεύθη Πομπήϊος.

X. Cæsar autem non multo post in Ægyptum cum venisset, eum a quo ei caput Pompeii afferebatur, tanquam parricidam est **488** aversatus: et annulo ejus accepto, illacrymavit: Achillam et Photinum interfecit. Ipse rex Ptolemæus prælio captus, et ad flumen sublatus est. Theodotus vero rhetor, tum quidem Cæsaris ultionem evasit, clam ex Ægypto elapsus, et in humili fortuna invisus omnibus. Sed post a M. Bruto Cæsaris percussore in Asia comprehensus, et omni suppliciorum genere excruciatus interiit. Quotquot autem Pompeii amici ab Ægypti tyranno capti fuerant, eos omnes Cæsar beneficiis sibi adjunxit: et ibi quoque bellum gessit, Cleopatra ex regione clam accersita, quæ a Photino eunucho et regno et urbe jam ejecta erat. Quæ cum solo Apollodoro Siculo comite parva cymba conscensa ad regiam appulisset, et involuta stragulo quam longa erat, et colligata ab eodem per fores ad Cæsarem perlata esset: tum illius commenti solertiam admiratus, tum suavitate morum et lepore ejus captus, eam ut regni esset particeps, cum fratre reconciliavit. Cum autem in convivio propter reconciliationem eam instituto, ab Achilla duce exercitus et Photino eunucho insidias sibi parari animadvertisset, Photinum interfecit: Achillas vero fuga elapsus, grave bellum ei intulit. Quo tempore cum Cæsar ignem classi injecisset, magna quoque illa Bibliotheca conflagravit. Commisso prælio, ab aggere in lem-

Γ'. Οὐ πολλῷ δ' ὕστερον Καῖσαρ, ἐλθὼν εἰς Αἴγυπτον, τὸν μὲν προσφέροντα τὴν κεφαλὴν Πομπηΐου ὡς παλαμναῖον ἀπεστράφη· τὴν δὲ σφραγῖδα τοῦ ἀνδρὸς δεξάμενος, ἐδάκρυσεν· Ἀχιλλᾶν δὲ καὶ Ποθεινὸν ἔκτεινεν. Αὐτὸς δὲ ὁ βασιλεὺς Πτολεμαῖος, μάχῃ ληφθεὶς, παρὰ τὸν ποταμὸν ἠφανίσθη. Θεόδοτος δὲ ὁ σοφιστὴς τὴν μὲν ἐκ Καίσαρος δίκην διέφυγεν, ὑπεξελθὼν Αἴγυπτον καὶ ταπεινὰ πράττων καὶ μισούμενος· Βρούτῳ δὲ Μάρκῳ τῷ Καίσαρα κτείναντι περιπεσὼν ἐν Ἀσίᾳ, καὶ πᾶσαν αἰκίαν ὑπ' αὐτοῦ αἰκισθεὶς, ἀπεκτάνθη. Ὅσοι δὲ τῶν Πομπηΐου φίλων ἐαλώκεσαν ὑπὸ τοῦ τῆς Αἰγύπτου κρατοῦντος, πάντας εὐηργέτησεν ὁ Καῖσαρ καὶ προσηγάγετο. Κἀκεῖ δὲ πόλεμον συνεστήσατο, καὶ κρύφα τὴν Κλεοπάτραν ἀπὸ τῆς χώρας μετεπέμπετο, ἐκβληθεῖσαν ἤδη τῆς βασιλείας τε καὶ τῆς πόλεως παρὰ τοῦ εὐνούχου Ποθεινοῦ. Ἥ, σὺν μόνῳ τῷ Σικελιώτῃ Ἀπολλοδώρῳ εἰς ἀκάτιον μικρὸν ἐμβᾶσα, τοῖς βασιλείοις προσέσχε, καὶ εἰς στρωματόδεσμον ἐνδῦσα, προτείνει μακρὰν ἑαυτήν. Ὁ δὲ Ἀπολλόδωρος, ἰμάντι συνδήσας τὸ στρωματόδεσμον, εἰσκομίζει διὰ θυρῶν πρὸς τὸν Καίσαρα. Καὶ διὰ τοῦτο τὸ τέχνημα λαμυρᾶς φανείσης, καὶ τῆς ἄλλης ὁμιλίας καὶ χάριτος αὐτῆς ἡττηθεὶς, διήλλαξε πρὸς τὸν ἀδελφὸν ὡς συμβασιλεύσουσαν. Ἑστιωμένων δ' ἐπὶ ταῖς διαλλαγαῖς, ἐπιβουλὴν φωράσας ὁ Καῖσαρ τυρευομένην ὑπ' Ἀχιλλᾶ τοῦ στρατηγοῦ καὶ Ποθεινοῦ τοῦ εὐνούχου, τὸν μὲν Ποθεινὸν ἀνεῖλεν· Ἀχιλλᾶς δὲ φυγὼν εἰς τὸ στρατόπεδον βαρὺν αὐτῷ περιέστησε πόλεμον. Ὅτε

πῦρ ἐμβαλόντος τῷ στόλῳ (67), καὶ ἡ μεγάλη βιβλιοθήκη ἐμπέπρηστο. Μάχης δὲ συνεστώσης, κατεπήδησε μὲν ἀπὸ τοῦ χώματος εἰς ἀκάτιον. Ἐπιπλεόντων δὲ πολλαχόθεν αὐτῷ τῶν Αἰγυπτίων, ῥίψας ἑαυτὸν εἰς τὴν θάλασσαν, ἀπενήξατο μόλις. Ὅτε λέγεται καὶ βιβλίδια κρατῶν πολλὰ μὴ προέσθαι νηχόμενος, ἀλλ' ἀνέχειν αὐτὰ ὑπὲρ τῆς θαλάσσης τῇ ἑτέρᾳ χειρὶ, καὶ ταῦτα βαλλόμενος. Τέλος δὲ, τοῦ βασιλέως πρὸς τοὺς πολεμίους ἀποχωρήσαντος, ἐπελθὼν καὶ συνάψας πόλεμον ἐνίκησε, πολλῶν πεσόντων καὶ τοῦ βασιλέως ἀφανοῦς γενομένου. Καταλιπὼν δὲ τὴν Κλεοπάτραν βασιλεύουσαν Αἰγύπτου, καὶ μικρὸν ὕστερον ἐξ αὐτοῦ τεκοῦσαν υἱὸν, ὃν Ἀλεξανδρεῖς Καισαρείωνα ἐκάλουν, ὥρμησεν ἐπὶ Συρίαν καὶ Φαρνάκῃ τῷ Μιθριδάτου παιδὶ πολεμήσας, αὐτὸν μὲν τοῦ Πόντου ἐξέβαλε, τὴν δὲ στρατιὰν ἅρδην ἀνεῖλε. Καὶ τῆς μάχης ταύτης τὸ τάχος καὶ τὴν ὀξύτητα δηλῶν τοῖς ἐν Ῥώμῃ, ἔγραψε τρεῖς λέξεις· *Ἦλθον, εἶδον, ἐνίκησα.* Ἐντεῦθεν εἰς Ἰταλίαν ἀπελθὼν εἰς Ῥώμην ἀνέβαινε, τοῦ μὲν ἐνιαυτοῦ καταστρέφοντος, εἰς ὃν ἥρητο δικτάτωρ τὸ δεύτερον, οὐδέποτε πρότερον τῆς ἀρχῆς ταύτης γενομένης ἐνιαυσίου· εἰς δὲ τὸ ἐπιὸν ἔτος ὕπατος ἀνεδείχθη. Τῶν δὲ περὶ Κάτωνα καὶ Σκιπίωνα μετὰ τὴν ἐν Φαρσάλῳ μάχην εἰς Λιβύην φυγόντων καὶ δυνάμεις ἠθροικότων ἀξιολόγους, ἐπ' αὐτοὺς ὁ Καῖσαρ ἐστράτευσε, καὶ μικρῷ μέρει μιᾶς ἡμέρας τριῶν στρατοπέδων ἐκράτησε· καὶ πεντακισμυρίους τῶν πολεμίων ἀνῃρηκὼς, οὐδὲ πεντήκοντα τῶν ἰδίων ἀπέβαλε. Τῶν δὲ πεφευγότων ἐκ τῆς μάχης ὁπατικῶν καὶ στρατηγικῶν ἀνδρῶν οἱ μὲν ἑαυτοὺς διέφθειραν ἁλισκόμενοι, συχνοὺς δὲ Καῖσαρ ἁλόντας ἀπέκτεινε. Κάτωνος δὲ ἑαυτὸν διεργασαμένου, δῆλος ἦν δηχθείς· οὗ δ' ἕνεκα λελύπητο ἄδηλον. Εἶπε δ' οὖν· *Ὦ Κάτων, φθονῶ τοῦ θανάτου· καὶ γάρ σύ μοι τῆς σωτηρίας ἐφθόνησας* (68). Ἀλλὰ γὰρ ἐπανελθὼν εἰς Ῥώμην ἀπὸ Λιβύης θριάμβους κατήγαγε, καὶ θέας ἐτέλεσε ναυμάχων καὶ μονομάχων ἀνδρῶν. Τιμήσεων δὲ γενομένων ἀντὶ τῶν προτέρων δυεῖν καὶ τριάκοντα μυριάδων αἱ πᾶσαι πεντεκαίδεκα περισωθεῖσαι εὑρέθησαν· τηλικαύτην φθορὰν τοῦ δήμου ὁ ἐμφύλιος εἰργάσατο πόλεμος. Εἶτα ὕπατος τὸ τέταρτον αἱρεθεὶς, εἰς Ἰβηρίαν ἐστράτευσεν ἐπὶ τοὺς Πομπηΐου υἱοὺς, νέους μὲν ὄντας ἔτι, τόλμαν δ' ἐπιδεικνυμένους ἀξιόχρεων πρὸς ἡγεμονίαν. Ὅτε καὶ εἰς κίνδυνον περιέστη, ὡς βοᾷν διὰ τῶν τάξεων περιθέων τῶν ἑαυτοῦ· *Εἰ μὴ αἰδοῦνται λαβόντας αὐτὸν ἐγχειρίσαι τοῖς παιδαρίοις;* Πρὸς δὲ τοὺς φίλους μετὰ τὴν μάχην εἶπεν, *Ὡς πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης, νῦν δὲ πρῶτον περὶ ψυχῆς.* Νικήσαντος δὲ Καίσαρος, ὁ μὲν νεώτερος τῶν Πομπηΐου υἱῶν ἀπέδρα· ἡνέχθη δ' αὐτῷ μεθ' ἡμέρας τοῦ πρεσβυτέρου ἡ κεφαλή. Τοῦτον ἔσχατον Καῖσαρ ἐπολέμησε πόλεμον.

A bum desiluit. Sed cum ab Ægyptiis navibus undique cingeretur, mari se commisit, et ægre enatavit. Fertur autem libellos multos manu inter natandum in sublime elatos, non abjecisse, quanquam telis peteretur. Tandem cum rex ad hostes abiisset, reversus, commisso prælio vicit, multis cæsis, ipsoque rege desiderato, ac Cleopatræ Ægypti regno relicto: quæ non multo post filium ei peperit, ab Ægyptiis Cæsarionem vocatum, inque Syriam contendit: et Pharnace Mithridatis filio Ponto ejecto, ejus vero exercitu prorsus deleto, ut belli confecti celeritatem demonstraret, tria verba Romam scripsit: *Veni, vidi, vici.* Inde in Italiam profectus, Romam ascendit sub anni exitum, quo secundum dictator creatus fuerat, cum ea potestas antea nunquam **489** annua fuisset. In sequentem annum consul est declaratus. Cum autem Cato et Scipio post Pharsalicam cladem in Africa justas copias coegissent, Cæsar contra eos profectus, exigua unius diei parte tres exercitus superavit: et L millibus hostium occisis, suorum non L amisit. Viri consulares et prætorii qui e pugna evaserant, cum caperentur, partim ipsi necem sibi conscierunt, partim captos Cæsar suppliciis affecit. Catonis necem, qui sibi ipse manus attulerat, palam ægre tulit: cur autem, incertum est. Illud quidem dixit: *Invideo tibi mortem istam, Cato, quoniam tu mihi salutem invidisti.* Ex Africa Romam reversus, triumphavit, et spectacula navalis pugnæ et gladiatorum edidit. Cum census ageretur, ci. millia civium, de CCCXX millibus quæ ante censa fuerant, sunt inventa. Tantam populi stragem bellum civile attulerat. Deinde quartum consul factus, in Hispaniam abiit contra Pompeii filios, adolescentes quidem illos adhuc, sed audacia principatu digna præditos: ubi in tantum periculum venit, ut per aciem discurrens, clamitaret: *An milites non puderet, se captum pueris in manus tradere?* Post pugnam autem amicis dixit: *Se de victoria sæpe, tum vero primum de vita certasse.* Cæsare victore, junior Pompeii filius fuga est elapsus: post dies aliquot, natu majoris caput Cæsari allatum.

Variæ lectiones et notæ.

(67) *Ὅτε πῦρ ἐμβαλόντος τῷ στόλῳ.* Incertum utrum Καίσαρος, an Ἀχιλλᾶ; sed Plutarchus scrupulum tollit in Vita Cæsaris, his verbis: Δεύτερον δὲ περικοπτόμενος τὸν στόλον, ἠναγκάσθη διὰ πυρὸς ἀπώσασθαι τὸν κίνδυνον. W.

(68) *Καὶ γὰρ σύ μοι ἐφθόνησας τῆς σωτηρίας.* Plerique, ait Wolfius, interpretantur, *Tu mihi salutem tuam invidisti.* Sed cum Plutarchus scribat, obscurum fuisse, cur Cæsar Catonis interitum doluerit, et ἐφθόνησάς μοι τῆς σωτηρίας, etiam intelligi possit, Catonem non dignitatem tantum, sed salutem etiam Cæsaris oppugnasse, (neque enim additur, τῆς σωτηρίας σου, et ἐμαυτοῦ æque subintelligi potest, ne sententia quidem repugnante) malui, subdit ille, particulam (*tuam*) omittere, ut in Latino etiam sermone ambigua esset sententia, utrum Cæsar clementiæ laudem ex conservatione Catonis captare, an vero suam in eo explere iracundiam voluerit, si eum in potestatem redegisset.

XI. Extremo hoc bello gesto Romam reversus A Cæsar, dictator perpetuus est creatus : quæ manifesta tyrannis fuit, præter monarchiæ summam potestatem successore quoque carens. Solus rerum potitus, multos qui arma contra tulerant, absolvit. Nonnullis magistratus et honores dedit : quorum e numero fuerunt Brutus et Cassius. Pompeii statuas dejectas restituit. Monitus ab amicis, ut satellites ad custodiam corporis adhiberet, recusavit : *Melius enim esse mortem semel oppetere*, dicens, *quam perpetuo formidare.* In majorum rerum studio et novæ gloriæ appetitione, in animo habuit Parthis inferre bellum, et per Hyrcaniam in Scythiam facere impressionem. Odium populi Romani cum aliis de causis, tum ob regni amorem vel **490** maxime suscepit. Unde familiares ejus rumorem in vulgus sparserunt, Sibyllinis libris contineri, Parthos non nisi rege duce a Romanis posse vinci. Et Alba Romam proficiscens, a quibusdam rex appellatus, cum ea re populum perturbatum vidisset, se non regem, sed Cæsarem esse dixit. Cæsaris autem nomen (ut quidam opinantur) habuit, quod matre mortua ex utero cæsus esset ; quod falsum est : matrem enim ad virilem usque ætatem babuisse scribitur. Aliquis autem ex majoribus ejus eo modo natus, cognomentum id in familiam propagavit. Cum aliquando consulibus et prætoribus ad se accedentibus, toto senatu comitante, non assurrexisset, non senatum tantum, sed populum etiam offendit : quasi per senatum totam C reinpublicam ludibrio haberet, ac plerique statim mœsti recesserunt. Ad has offensas etiam tribunorum plebis accessit contumelia. Nam cum in festo, in sella aurea triumphali habitu sederet, Antonius consul in forum irrupit, diadema lauro implexum Cæsari offerens. Ob eam rem plausus haud sane illustris datus est, a subornatis hominibus : sed cum id Cæsar recusasset, totius populi plausum tulit. Ita bis populi animos expertus, surrexit. Ad hæc regias facsias statuis ejus impositas tribuni plebis detraxerunt, et eos qui regem illum salutarant, in carcerem duxerunt : applaudente populo, et Brutos eos appellante. Ut enim supra est expositum, Brutus pulsis Tarquiniis monarchiæ potestatem ad populum transtulit. Quibus rebus Cæsar D irritatus, tribunos potestate privavit : et iis graviter increpitis, populum etiam per contumeliam Brutos appellavit. Ex eo populus ad M. Brutum spectavit, qui a vetere Bruto genus ducere putabatur : ab eoque solo vel primo pendebant, qui mutationem desiderabant. Quia vero ipsum alloqui non audebant, noctu litteras circa tribunal et sellam, in qua prætor jus dicebat, spargebant : in quibus scriptum erat, *Brute, dormis ?* et, *Non es Brutus ?* Incitabatur

ΙΑ'. Ἐπανελθὼν δ' εἰς Ῥώμην δικτάτωρ διὰ βίου ἐψηφίστο, ὃ τυραννὶς ἐτύγχανεν ἄντικρυς, τῷ ἀνυπευθύνῳ τῆς μοναρχίας προσλαβοῦσα τὸ ἀδιάδοχον. Οὕτω δὲ καταστὰς εἰς μοναρχίαν, πολλοὺς ἀφῆκε τῶν πεπολεμηκότων αὐτῷ. Ἐνίοις δὲ καὶ ἀρχὰς καὶ τιμὰς ἔδωκεν, ὧν ἦσαν καὶ Βροῦτος καὶ Κάσσιος. Καὶ τὰς Πομπηΐου δὲ στήλας καταβεβλημένας ἀνέστησεν. Ἀξιούντων δὲ τῶν φίλων δορυφορεῖσθαι αὐτὸν, παρητήσατο, *Βέλτιόν ἐστιν*, εἰπὼν, *ἅπαξ ἀποθνεῖν, ἢ ἀεὶ προσδοκᾶν.* Μειζόνων δ' ἐρῶν πραγμάτων καὶ καινοτέρας δόξης, γνώμην ἔσχε στρατεύειν ἐπὶ Πάρθους, καὶ δι' Ὑρκανίας εἰς τὴν Σκυθικὴν ἐμβαλεῖν. Μῖσος μέντοι τοῖς ἀνθρώποις κατ' αὐτοῦ καὶ ἕτερα ἐνεποίησαν, τὸ δέ γε μεῖζον ὁ τῆς βασιλείας ἔρως εἰργάσατο, δι' ὃν οἱ περὶ αὐτὸν καὶ λόγον πρὸς τὸν δῆμον ἐνέσπειραν, ὡς ἐκ γραμμάτων Σιβυλλείων φαίνοιτο, μὴ ἄλλως ἔσεσθαι τὰ Πάρθων Ῥωμαίοις ἁλώσιμα, εἰ μὴ βασιλεὺς αὐτοῖς συστρατεύσοιτο. Καὶ ἐκ τῆς Ἄλβης δὲ πρὸς Ῥώμην ἰόντα τὸν Καίσαρα ἐτόλμησάν τινες προσειπεῖν βασιλέα. Τοῦ δὲ δήμου θορυβηθέντος, ἐκεῖνος οὐ βασιλεὺς ἀλλὰ Καῖσαρ ἔφη καλεῖσθαι. Ἐλέγετο δὲ Καῖσαρ (ὥς τινες οἴονται) οἷα δὴ τάχα τῆς μητρὸς αὐτοῦ ἐν τῷ τίκτειν θανούσης, καὶ αὐτοῦ δι' ἀνατομῆς προαχθέντος εἰς φῶς. Οὐκ ἀληθὲς δὲ τοῦτό ἐστι. Τὴν γὰρ μητέρα αὐτοῦ ζῆν οἱ περὶ αὐτοῦ γεγράφασιν ἱστορήσαντες καὶ αὐτοῦ ἀνδρωθέντος. Τὸ δ' ἐξ ἀνατομῆς παρελθεῖν εἰς τὸν βίον οὐκ ἐπ' αὐτῷ γέγονεν, ἀλλ' ἐπί τινι τῶν προγόνων αὐτοῦ, καὶ ἐξ ἐκείνου τὴν κλῆσιν ἔσχον οἱ ἐκείνου ἀπόγονοι. Προσιόντων δέ ποτε τῶν ὑπάτων αὐτῷ καὶ τῶν στρατηγῶν καὶ τῆς βουλῆς ἁπάσης ἑπομένης, ὅτι μὴ ἐξανέστη καθήμενος, οὐ μόνον ἐλύπησε τὴν βουλὴν, ἀλλὰ καὶ τὸν δῆμον, ὡς ἐν τῇ βουλῇ προπηλακιζομένης τῆς πόλεως, καὶ μετὰ κατηφείας οἱ πλείους ἀπῆλθον εὐθύς. Ἐπιγίνεται δὲ τοῖς προσκρούσμασι τούτοις καὶ ὁ τῶν δημάρχων προπηλακισμός. Ἐτελεῖτο μὲν γὰρ τῇ πόλει ἑορτή· Καῖσαρ δ' ἐπὶ δίφρου χρυσέου καθήμενος, κόσμῳ κατεκοσμεῖτο θριαμβικῷ. Ἀντώνιος δὲ ὑπατεύων εἰς ἀγορὰν ἐνέβαλε, φέρων διάδημα στεφάνῳ δάφνης περιπεπλεγμένον, καὶ ἐδίδου τῷ Καίσαρι, καὶ γίνεται κρότος οὐ λαμπρὸς ἐκ παρασκευῆς. Ἀπωσαμένου δὲ τοῦ Καίσαρος, ἅπας ὁ δῆμος ἀνεκρότησε· καὶ τούτου δὶς γεγονότος, ἡ πεῖρα ἐξηλέγχετο (69), καὶ ὁ Καῖσαρ ἀνέστη. Ἐπεὶ δὲ καὶ ἀνδριάντες αὐτοῦ διαδήμασιν ὤφθησαν ἀναδεδεμένοι βασιλικοῖς, ἀπέσπασαν ταῦτα οἱ δήμαρχοι, καὶ τοὺς προσειπόντας αὐτὸν βασιλέα ἀπῆγον εἰς δεσμωτήριον. Καὶ ὁ δῆμος ἐπὶ τούτοις ἐκρότει, καὶ Βρούτους ἐκάλει τοὺς ἄνδρας. Βροῦτος γὰρ ἦν, ὡς ἱστόρηται ἄνωθι, ὁ καταλύσας Ταρκύνιον καὶ τὸ κράτος εἰς τὸ κοινὸν περιστήσας ἐκ μοναρχίας. Ἐπὶ τούτοις ὁ Καῖσαρ παροξυνθεὶς, τὴν μὲν ἀρχὴν τοὺς δημάρχους ἀφείλετο· ἐν δὲ τῷ κατηγορεῖν αὐ-

Variæ lectiones et notæ.

(69) *Καὶ τούτου δὶς γεγονότος ἡ πεῖρα ἐξηλέγχετο.* Converti, inquit Wolfius : *Ita bis populi animos expertus, surrexit.* Sed τὸ, τὴν πεῖραν ἐξηλέγχεσθαι, intelligi potest, vel animadversum esse, Cæsarem periclitari voluisse populum, utrum æquis animis regium ornatum laturus esset : vel, Cæsarem animadvertisse, conatum suum esse irritum, populo a regia pompa abhorrente.

τῶν ἅμα καὶ τὸν δῆμον ἐφυβρίζων, πολλάκις Βρού- A τους ἀπεκάλει τοὺς ἄνδρας. Ἐντεῦθεν πρὸς Μάρκον Βροῦτον τρέπονται οἱ πολλοί, ἐκ Βρούτου τοῦ πάλαι ὠικοῦντα τὸ γένος ἔλκειν, καὶ πρὸς μόνον ἐκεῖνον ἢ πρῶτον οἱ μεταβολῆς ἐφιέμενοι ἀποβλέποντες, αὐτῷ μὲν οὐκ ἐτόλμων προσομιλεῖν· νύκτωρ δὲ γράμματα περὶ τὸ βῆμα καὶ τὸν δίφρον ἔρριπτον, ἐφ' οὗ στρατηγῶν ἐχρημάτιζε, λέγοντα· *Καθεύδεις, ὦ Βροῦτε*; καὶ, *Οὐκεῖ Βροῦτος*; καὶ Κάσσιος δὲ παρώξυνεν αὐτόν. Καὶ τῷ Καίσαρι δὲ πολλὰ λέγεται σημεῖα γενέσθαι δηλοῦντα τὸν ὄλεθρον, ὧν ἓν καὶ τοῦτό ἐστι. Περιαύων (70) τῇ γυναικὶ, φωνὰς ἀσαφεῖς καὶ στεναγμοὺς ἀνάρθρους ἐκείνην ἀναπέμπουσαν ἤσθετο. Ἐδόκει δὲ κλαίειν ἐκεῖνον, ἐπὶ ταῖς ἀγκάλαις ἔχουσα κατεσφαγμένον· ἢ καὶ μεθ' ἡμέραν ἐδεῖτο τοῦ ἀνδρὸς μὴ προελθεῖν εἰς τὴν σύγκλητον. Ὡς δὲ καὶ θύσαντες οἱ μάντεις δυσιερεῖν ἔλεγον, ἔγνω πέμψας Ἀντώνιον ἀφεῖναι τὴν σύγκλητον. Βροῦτος μέντοι Ἀλβῖνος, πιστευόμενος μὲν ὑπὸ Καίσαρος, τοῖς δὲ περὶ Μάρκον Βροῦτον καὶ Κάσσιον μετέχων τῆς συνωμοσίας, τούς τε μάντεις ἐχλεύαζε, καὶ καθήπτετο Καίσαρος, ὡς διαβολὰς ἑαυτῷ προστρίβοντος καταφρονήσεως πρὸς τὴν σύγκλητον. Ἥκειν γὰρ αὐτὴν ἐκείνου κελεύσαντος, καὶ πάντας ἑτοίμους εἶναι ψηφίζεσθαι, ὥστε τῶν ἐκτὸς Ἰταλίας ἐπαρχιῶν ἀναγορεύεσθαι βασιλέα, καὶ τὴν ἄλλην ἐπιόντα γῆν τε καὶ θάλασσαν ἑαυτῷ περιτιθέναι διάδημα. Ταῦθ' ἅμα λέγων ὁ Βροῦτος, ἦγε τὸν Καίσαρα λαβόμενος τῆς χειρός. Οἰκέτης δέ τις ἀλλότριος ἐντυχεῖν αὐτῷ προθυμούμενος ἀπιόντι, μὴ δυνηθείς, παρέδωκεν ἑαυτὸν τῇ τοῦ Καίσαρος γυναικὶ φυλάττειν, εἰπὼν ἔχειν μεγάλα πράγματα ἐπανιόντι ἀπαγγεῖλαι τῷ Καίσαρι. Σοφιστής δέ τις Ἀρτεμίδωρος Κνίδιος, βιβλίον περὶ τῆς συνωμοσίας γράψας, καὶ ἐγγίσας αὐτῷ, Τοῦτο, ἔφη, Καῖσαρ, μόνος καὶ ταχέως ἀνάγνωθι· μεγάλα γάρ σοι καταγγελεῖ καὶ σοι διαφέροντα. Ὁ δεξάμενος ἐκεῖνος, ὥρμησε μὲν ἀναγνῶναι, μὴ μέντοι δυνηθεὶς ὑπὸ τῶν ἐντυγχανόντων, κατεῖχε τῇ χειρὶ, καὶ παρῆλθεν οὕτω πρὸς τὴν σύγκλητον. Ἡ δὲ ὀπεξανέστη. Τῶν δὲ περὶ Βροῦτον οἱ μὲν ἐξόπισθεν τοῦ δίφρου αὐτοῦ περιέστησαν, οἱ δὲ ἀπήντησαν ὡς περί τινος φυγάδος δεόμενοι. Τὸν δὲ Ἀντώνιον πιστὸν ὄντα Καίσαρι καὶ ῥωμαλέον ἔξω παρακατεῖχε Βροῦτος Ἀλβῖνος. Ὡς δὲ καθίσας ὁ Καῖσαρ διεκρούετο τὰς δεήσεις, ξίφει παρὰ τοῦ Κάσκα πρώτου πλήττεται τὸν αὐχένα, πληγὴν οὐ θανατηφόρον. Ὡς δὲ καὶ τῶν συνωμοτῶν ἕκαστος τὸ ξίφος ἐγύμνωσε, λέγεται πρὸς μὲν τοὺς λοιποὺς ἀπομάχεσθαι ἐνειλούμενος καὶ κεκραγώς· ὅτε δὲ καὶ Βροῦτον εἶδεν ἐσπασμένον τὸ ξίφος, ἑλκύσασθαι κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον, μηκέτι ἀπομαχόμενος. Εἴκοσι μέντοι καὶ τρία λαβὼν τραύματα, ἀνδριάντος ὄντος ἐκεῖ Πομπηίου, περὶ τὴν βάσιν εὐρέθη κείμενος, καὶ καθαιμάξας αὐτὸν, ὡς δοκεῖν αὐτὸν ἐφεστάναι τῷ φόνῳ τοῦ πολεμίου Πομπηΐου.

ΙΒ'. Ὁ μὲν οὖν Γάϊος Ἰούλιος Καῖσαρ οὕτως ὑπὸ φιλοτιμίας καὶ φιλαρχίας ἀπώλετο. Οἱ γὰρ θωπεύοντες αὐτὸν, τὸ φιλόπρωτον αὐτοῦ καὶ φιλόδοξον κατανοοῦντες, οὐκ ἐπαύοντο ἄλλα ἐπ' ἄλλοις αὐτῷ ψηφιζόμενοι· ἦσαν δὲ τοιαῦτα ἃ ἐψηφίζοντο· τὴν ἐπινίκιον στολὴν ἀεὶ φορεῖν, καὶ ἐπὶ τοῦ ἀρχικοῦ δίφρου καθέζεσθαι· τοῖς τε ῥαβδούχοις δαφνηφο-

idem etiam a Cassio. Sed Cæsari futura cædes pluribus prodigiis denuntiata esse fertur, e quibus etiam illud est. Uxorem accubantem voces **491** obscuras et confusas edere animadvertit. Ea vero sibi lamentari visa erat, et eum occisum in ulnis tenere : et mane oravit, ne in senatum veniret. Cum etiam augures sacra parum auspicata fuisse dicerent, abstinere curia statuit, et per Antonium senatum dimittere. Sed Brutus Albinus, cui Cæsar fidem habebat, conjurationis cum M. Bruto et Cassio particeps et augures deridebat. et Cæsarem reprehendebat, ut qui crimen contempti senatus in se admitteret : qui jam aderat ejus jussu. Paratos etiam esse omnes decernere, ut omnium extra Italiam provinciarum rex appellaretur, utque cum B nationes exteras peragraret, aut mare trajiceret, diadema gestaret. Hæc dicens Brutus, Cæsarem manu prehensum ducebat. Abeuntem, servus alienus ejus alloquendi cupidus, cum convenire non posset, se uxori ejus custodiendum tradidit, quod magnas res haberet reverso Cæsari nuntiandas. Artemidorus item rhetor Gnidius libellum de conjuratione a se scriptum ei porrexit et, Hunc, inquit, Cæsar, solus et celeriter legito ; res enim magnas tibi declarabit, quæque intersunt. Libellum acceptum Cæsar lecturus, cum a salutantibus impediretur, manu tenuit, itaque in senatum venit. Qui cum ei assurrexisset, Bruti conjurati partim a tergo sellam ejus circumsteterunt, partim ad eum accesserunt, tanquam exsuli cuidam veniam petituri. Antonium vero Cæsari fidelem et C robustum Brutus Albinus foris tenuit. Ubi consedit Cæsar, et intercessiones rejecit, primus Casca jugulum ei ferit ictu non lethifero. Ut autem omnes conjurati pugiones strinxerunt, contra cæteros se defendisse fertur veste convoluta, et vociferans : sed cum a Bruto etiam stricto ense peti se vidisset, toga capite obvoluto, non amplius restitisse. Ita tribus et viginti vulneribus confossus, ad basim statuæ Pompeii concidit, eamque cruentavit, ut ipse Pompeius cædi inimici astare videretur.

XII. Sic Cæsar ex ambitione et appetitione principatus interiit. Adulatores enim ejus ambitioni et gloriolæ studio inservientes, alios atque alios ei honores decernere **492** non destiterunt : qui hujusmodi fuerunt, ut triumphalem vestem perpetuo ferret, et in sella curuli sederet : ut fascibus laureatis perpetuo uteretur, et Pater patriæ ap-

Variæ lectiones et notæ.

(70) *Περιαύων*. Ita mss. Wolfius παριαύων ediderat.

pellaretur : ut ejus imago in nummis exsculpere- A tur, et natalis publice celebraretur : ut in Romanis fanis et omnibus urbibus ejus statuæ collocarentur. Pro ejus autem tribunali duas statuas collocarunt : alteram ob cives servatos, alteram ob urbem obsidione liberatam, corona civica et obsidionali ornatas. Et novam curiam ædificari jusserunt, quæ Juliana de ipsius nomine diceretur. Censoremque eum solum et perpetuum crearunt ; privilegia tribunorum ei dederunt ; si a quoquam dicto factove offensus esset, ut caput ejus sacrum esset ac piaculo obligatum. Quid autem sacrum esse significet, jam est a me expositum. Jam quia talibus eum rebus gaudere cernebant, auratam ei sellam concesserunt, et vestem qua olim reges usi fuerant, et custodiam ex equestri et senatorio B ordine, utque publice pro eo supplicationes fierent, et per ejus fortunam juraretur, et acta ejus rata essent, sanxerunt, et Quintilis mensis ab eo Julius appellaretur. Hæc et alia plura, ne singulis commemorandis lectorem obtundamus, ei decreverunt. Quibus rebus invidiam hominum, vel potius iram deorum suscepit, multosque in se provocavit, donec eum exitum quo repente concidit, est sortitus. Cum ita interfectus jaceret, omnes qui ibi aderant, turbati, et consilii percussorum ignari, quasi et ipsi periculo proximi fugerunt, et terrendis obviis urbem luctu impleverunt. Civitate sic affecta, percussores vim timentes, strictis et cruentis gladiis per forum in Capitolium accurrerunt, ibique diem et noctem exegerunt. At Lepidus eo C facinore in castris audito, urbe cum militibus occupata, pro concione in percussores est invectus. Antonius autem præ metu latitans, cum illius adventu cognito, et percussorum fuga in Capitolium, resumpta fiducia prodiisset, et senatu convocato sententias rogaret : Cicero omnibus auctor fuit, ut mutuis odiis abolitis, utrinque, si quid peccatum esset, condonarent, ne civile bellum **493** recrudesceret, et cives a civibus interirent : consentirent potius, ut populares et cives deceret. Adjecit etiam, acta Cæsaris, sive ad donationes, sive ad honores, sive ad magistratus pertinerent, rata esse oportere, nec exagitanda curiosius, aut rescindenda. His rationibus adducti, omnium injuD riarum oblivionem decreverunt. Percussores vero de Capitolio verba facientes, militibus promiserunt, se nulla Cæsaris acta rescissuros, neque cuiquam quidquam ab illo datum erepturos. Seditione hoc modo composita, non prius e Capitolio descenderunt, quam filium Lepidi et Antonii obsides accepissent. Deinde cum lecto Cæsaris testamento populus cognovisset, Octavium ab eo adoptatum esse, et reipublicæ munera, et viritim

ροῦσιν ἀεὶ κεχρῆσθαι, πατέρα τε αὐτὸν τῆς πατρίδος ὀνομάζεσθαι, καὶ ἐς τὸ νόμισμα ἐγχαράττεσθαι, δημοσίᾳ τε ἑορτάζειν αὐτοῦ τὰ γενέθλια· ἐν τοῖς ναοῖς τε τῆς Ῥώμης καὶ ἐν πάσαις ταῖς πόλεσιν ἀνδριάντας αὐτοῦ ἵστασθαι. Ἐπὶ δέ γε τοῦ βήματος δύο αὐτοῦ ἀνδριάντας ἱδρύσαντο, τὸν μὲν ὡς τοὺς πολίτας σεσωκότος, τὸν δ' ὡς ἐκ πολιορκίας ῥυσαμένου τὴν πόλιν. Ἐστεφάνωντο δὲ καὶ ἄμφω στεφάνοις τοῖς ἐπὶ τοιούτοις νενομισμένοις. Βουλευτήριόν τε καινὸν οἰκοδομηθῆναι ἐπέταξαν, ἵν' Ἰουλιανὸν ἐπὶ τῷ αὐτοῦ κληθείη ὀνόματι. Τιμητήν τε καὶ δικτάτορα βίου καὶ μόνον αὐτὸν ἐψηφίσαντο εἶναι· ἔχειν δὲ καὶ τὰ τῶν δημάρχων προνόμια· καὶ εἴ τις αὐτὸν ἔργῳ ἢ λόγῳ ὑβρίσειεν, ἱερὸν εἶναι ἐθέσπισαν, καὶ τῷ ἄγει ἐνέχεσθαι. Τί δὲ τὸ ἱερὸν εἶναι νενόμιστο, ἤδη μοι προαφήγηται. Χαίροντα δὲ τούτοις ὁρῶντες αὐτὸν, ἐπίχρυσόν τε δίφρον αὐτῷ ἔδοσαν, καὶ στολὴν ἣ πάλαι ἐχρῶντο οἱ βασιλεύσαντες, καὶ φρουρὰν ἐκ τῶν ἱππέων καὶ ἐκ τῶν βουλευτῶν, εὔχεσθαί τε δημοσίᾳ ὑπὲρ αὐτοῦ, καὶ τὴν τύχην αὐτοῦ ὀμνύναι (71), καὶ τὰ πραχθησόμενα παρ' αὐτοῦ κύρια τυγχάνειν ἐνομοθέτησαν, διά τε αὐτὸν Ἰούλιον (72) προσηγόρευσαν, καὶ ἄλλα πλείονα (ἵνα δὲ τὸ καθ' ἕκαστον ἀπαριθμοῦντες τὸν ἀκροατὴν μὴ ἀποκναίωμεν) αὐτῷ ἐψηφίσαντο. Ἐξ ὧν ἐπίφθονος ἔδοξεν ἢ μᾶλλον νεμεσητὸς, καὶ καθ' ἑαυτοῦ πολλοὺς διηρέθισε, μέχρις ἂν εἰς τὸ ἐπελθὸν αὐτῷ κατηντήκει τέλος. Καὶ ὁ μὲν οὕτω σφαγεὶς ἔκειτο. Οἱ δὲ ἐκεῖ παρόντες ἄνθρωποι ἅπαντες ἐταράττοντο, τὴν τῶν σφαγέων ἀγνοοῦντες διάνοιαν, καὶ ὡς αὐτίκα κινδυνεύσοντες ἔφευγον, καὶ τοὺς συναντῶντας ἐξέπληττον, καὶ θρήνων τὴν πόλιν ἐπλήρουν. Καὶ ἡ μὲν πόλις οὕτω διέκειτο, οἱ δὲ σφαγεῖς, δεδιότες μή τις σφίσιν ἐπίθηται, γυμνοῖς καὶ ἠμαγμένοις τοῖς ξίφεσι διὰ τῆς ἀγορᾶς διελθόντες ἀνέδραμον εἰς τὸ Καπιτώλιον, ἐκεῖ τε τὴν ἡμέραν καὶ τὴν νύκτα διήγαγον. Ὁ δὲ Λέπιδος, ἐν τῷ στρατοπέδῳ μαθὼν τὰ γεγενημένα, νυκτὸς σὺν τοῖς στρατιώταις κατέλιπε, καὶ κατὰ τῶν σφαγέων ἐδημηγόρει. Ἀντώνιος δὲ, τοῦ Καίσαρος ἀναιρεθέντος, φοβηθεὶς ἐκρύβη· τὸν δὲ Λέπιδον ἐλθόντα μαθὼν καὶ τοὺς φονεῖς εἰς τὸ Καπιτώλιον ὄντας, θαῤῥήσας ἐξῆλθε, καὶ τὴν γερουσίαν ἀθροίσας ὠμίλει αὐτῇ, καὶ γνώμας εἰσῆγε πρὸς τὰ γενόμενα. Ὁ δὲ Κικέρων δημηγορήσας ἔπεισε πάντας μὴ μνησικακεῖν ἀλλήλοις, ἀλλὰ κἂν τισιν ἡμάρτηταί τι, παρόψεσθαι τοῦτο, ἵνα μὴ ἐμφύλιος αὖθις γένηται πόλεμος καὶ τῶν πολιτῶν ὄλεθρος ὑπ' ἀλλήλων ὀλλυμένων, ὁμονοῆσαι δὲ ὁμοφύλους ὄντας καὶ συγγενεῖς. Καὶ προσέθετο δεῖν καὶ τὰ παρὰ τοῦ Καίσαρος πραχθέντα εἴτε ἐν δωρεαῖς ἢ τιμαῖς εἶεν ἢ ἐν ἀρχαῖς φυλάξαι, καὶ μή τι τούτων πολυπραγμονῆσαι ἢ ἀνατρέψαι. Πεισθέντες οὖν αὐτῷ μηδενὶ μνησικακεῖν ἐψηφίσαντο. Καὶ οἱ σφαγεῖς δὲ τοῖς στρατιώταις ὁμιλοῦντες ἐκ τοῦ Καπιτωλίου μηδὲν

Variæ lectiones et notæ.

(71) *Τὴν τύχην αὐτοῦ ὀμνύναι.* *Per fortunam* Cæsaris, Wollius vertit : melius forte *per genium*, de qua formula consulendus præ cæteris Joan. Bapt. Hauscnius in lib. *De jurejurando*, cap. 15.

(72) *Διά τε αὐτὸν Ἰούλιον.* Sic mss. Wollius legendum censet, διά τε αὐτὸν τὸν Κοϊντίλιον τὸν μῆνα Ἰούλιον προσηγόρευσαν. Atque ita vertit.

τῶν τῷ Καίσαρι πραχθέντων ἀκυρῶσαι ὑπέσχοντο, μήτ' ἀφαιρήσεσθαί τινα μηδὲν τῶν ἑκάστῳ δεδομένων· καὶ οὕτως ἐς καταλλαγὰς ἦκον. Οὐ πρότερον δὲ οἱ ἐν τῷ Καπιτωλίῳ κατέβησαν ἢ τόν τε τοῦ Λεπίδου παῖδα καὶ τὸν τοῦ Ἀντωνίου ὁμήρους λαβεῖν. Μετὰ ταῦτα τῆς διαθήκης τοῦ Καίσαρος ἀναγνωσθείσης μαθὼν ὁ δῆμος ὅτι υἱὸν πεποίηται τὸν Ὀκτάβιον, καὶ ὅτι τῇ τε πόλει δωρεὰς καὶ ἑκάστῳ δραχμὰς, ὡς μὲν Ὀκτάβιος γράφει, τριάκοντα, ὡς δ' ἕτεροι, πέντε καὶ ἑβδομήκοντα καταλέλοιπεν, ἐταράχθησαν. Καὶ ὁ Ἀντώνιος τὸν νεκρὸν εἰς τὴν ἀγορὰν προθέμενος ἡματωμένον, καὶ λόγον ἐπὶ τῷ κειμένῳ εἰπών, τὸ πλῆθος παρώξυνε πρὸς ὀργήν. Εἶπε γὰρ πολλὰ μὲν πρὸς ἔπαινον τοῦ ἀνδρὸς, καὶ πρὸς ἔλεον τοῦ πάθους τοὺς ἀκροατὰς ἐμβιβάζοντα. Εἶτα καὶ τὰ ψηφισθέντα αὐτῷ καταλέξας ὀνόματα, ἐπήγαγεν· Ἀλλ' οὗτος ὁ πατὴρ, οὗτος ὁ ἀρχιερεὺς, ὁ ἄσυλος, ὁ ἥρως, ὁ θεὸς τέθνηκεν, οἴμοι, οὐ νόσῳ βιασθείς, οὐδὲ γήρᾳ μαρανθείς, οὐδὲ ἔξω που ἐν πολέμῳ τρωθείς, οὐδὲ ἐκ δαιμονίου τινὸς αὐτομάτως ἁρπασθείς· ἀλλ' ἐνταῦθα τοῦ τείχους ἐντὸς ἐπιβουλευθείς· ὁ καὶ εἰς Βρεττανίαν ἀσφαλῶς στρατεύσας, ἐν τῇ πόλει ἐνεδρευθείς· ὁ τὸ πωμήριον αὐτῆς ἐπαυξήσας, ἐν τῷ βουλευτηρίῳ κατασφαγείς· ἄοπλος ὁ εὐπόλεμος, γυμνὸς ὁ εἰρηνοποιὸς, πρὸς τοῖς δικαστηρίοις ὁ δικαστὴς, πρὸς ταῖς ἀρχαῖς ὁ ἄρχων, ὑπὸ τῶν πολιτῶν, ἐν μηδενὶ τῶν πολεμίων, μηδ' εἰς τὴν θάλασσαν ἐκπεσόντα κτεῖναι δεδύνητο· ὑπὸ τῶν ἑταίρων, ὁ πολλάκις αὐτοὺς ἐλεήσας. Ποῦ δῆτά σοι, Καῖσαρ, ἡ φιλανθρωπία; ποῦ δ' ἡ ἀσυλία; ποῦ δ' οἱ νόμοι; Ἀλλὰ σὺ μέν, ὅπως μηδ' ὑπὸ τῶν ἐχθρῶν τις φονεύηται, πολλὰ ἐνομοθέτησας, σὲ δὲ οὕτως οἰκτρῶς ἀπέκτειναν οἱ φίλοι. Καὶ νῦν ἐν τῇ ἀγορᾷ πρόκεισαι ἐσφαγμένος, δι' ἧς πολλάκις ἐπόμπευσας ἐστεφανωμένος· καὶ ἐπὶ τοῦ βήματος ἔρριψαι κατατετρωμένος, ἀφ' οὗ πολλάκις ἐδημηγόρησας. Οἴμοι πολιῶν ἡματωμένων! ὦ στολῆς ἐσπαραγμένης, ἣν ἐπὶ τούτῳ μόνον, ὡς ἔοικεν, ἔλυθες, ἵνα ἐν ταύτῃ σφαγῇς! Ἐπὶ τούτοις ὁ δῆμος ἐξοργισθεὶς τοὺς μὲν σφαγεῖς ἐζήτει, τὸ δὲ σῶμα τοῦ Καίσαρος ἁρπάσαντες ἐν τῇ ἀγορᾷ ἔκαυσαν. Καὶ ἐπὶ τὰς τῶν φονέων οἰκίας ὥρμησαν, καὶ Ἕλβιον Κίνναν δημαρχοῦντα διεχείρισαντο, πλανηθέντες τῇ ὁμωνυμίᾳ· οὐ γὰρ οὗτος τῷ Καίσαρι ἐπεβούλευσεν, ὁ στρατηγὸς δὲ Κίννας Κορνήλιος. Βωμὸν δὲ ἔνθα κατέκαυσε τὸ σῶμα τοῦ Καίσαρος, ἤγειρε τὸ πλῆθος, ἵν' ἐπ' αὐτοῦ θύοιεν ὡς θεῷ τῷ Καίσαρι. Οἱ δ' ὕπατοι αὐτὸν ἀνέτρεψαν, καὶ νόμον εἰσήνεγκαν μηδένα αὖθις γενέσθαι δικτάτωρα, θάνατον θέντες τὸ ἐπιτίμιον, εἴ τις εἰσηγήσεται τοῦτο, καὶ εἴ τίς που δέξεται. Ἀντώνιος δὲ τότε πολλὰ ἐναυθεντῶν διεπράξατο, ἀρχάς τε διδοὺς καὶ χώρας, καὶ ἐλευθερίαν, καὶ ἀτέλειαν, καὶ φυγάδας κατάγων, ὡς τῆς δυναστείας τοῦ Καίσαρος τάχα διάδοχος, καὶ πολλὰ ἐκ τούτων ἠργυρολόγησε χρήματα.

vel tricenas, ut Octavius, vel octogenas quinas, ut alii tradunt, drachmas relictas, turbatus est. Cum autem Antonius cadavere ejus adhuc cruento in foro proposito, orationem ad defuncti laudes, et ad cædis commiserationem pertinentem habuisset, multitudo concitata est. Deinde recitatis honoribus qui ei decreti fuerant, subjecit : *Sed pater, pontifex, sacrosanctus, heros, deus mortuus est : hei mihi, non morbo, non senio exstinctus, non feris in bello vulneratus, nec fortuito aliquo casu raptus : sed hic intra mœnia per insidias cæsus est. Qui citra periculum in Britanniam penetravit, in urbe per dolum occubuit. Qui pomœrium civitatis promovit, intra curiam est trucidatus : inermis, vir bellicosus : nudus, vir pacificus : ad prætoria, prætor : apud magistratus, magistratu præditus : a civibus, quem nemo hostium vel in mari natantem accidere potuit : a familiaribus, quorum sæpe miserius fuit. Ubi tua est humanitas, Cæsar? ubi sacrosancta auctoritas? ubi leges? Tu quidem accurate providisti, ne quis ab inimicis cæderetur : te vero crudeliter amici occiderunt, et nunc in foro jaces interfectus. In suggesto jaces vulneribus confectus, unde multas conciones habuisti. Heu canos sanguine concretos : heu vestem laceratam, quam eo scilicet induisti, ut in ea jugulareris.* His verbis populus commotus, percussores quæritavit, raptum cadaver Cæsaris in foro cremavit, ad ædes percussorum tetendit, ac Helvium **494** Cinnam tribunum plebis per errorem nominis occidit. Neque enim is Cæsari fecerat insidias, sed Cornelius Cinna prætor. Quo in loco Cæsar crematus est, plebs aram erexit, in qua illi ut deo sacrificaret. Sed eam consules everterunt, lege lata, ne quis deinceps dictator crearetur. Qui autem dictaturam vel decrevisset, vel accepisset, ut capite plecteretur. Antonius tum pro auctoritate multa egit, dandis magistratibus, provinciis, libertate, immunitate, atque exsulibus revocandis, non secus ac si potentatus Cæsaris successor esset : iisque rebus magnam pecuniam coegit.

ΙΓ'. Ὀκτάβιος δὲ Γάϊος, ὃς καὶ Πίας (73) ὠνομαστο, ἀδελφῆς τοῦ Καίσαρος ἦν υἱὸς συνοικούσης Ὀκταβίῳ τῷ ἐκ Βελιτρῶν τῶν Οὐολουσκίδων (74), ἐτράφη δὲ παρὰ τῇ μητρὶ καταλειφθεὶς ὀρφανός. Αὐξηθεὶς δὲ διῆγε παρὰ τῷ Καίσαρι ἄπαιδι ὄντι. Διὸ καὶ ἔστεργε τὸν ἀδελφιδοῦν, καὶ μεγάλας εἶχεν ἐπ'

XIII. C. vero Octavius, qui et Pius, sororis Cæsaris filius, nuptæ Octavio Veliterno (sunt autem Velitræ Volscorum municipium) pupillus relictus, apud matrem educatus est. Cum adolevisset, apud Cæsarem egit orbum liberis : qui cum amavit, magna de eo spe concepta. Nam Accia mater ejus

Variæ lectiones et notæ.

(73) *Ὃς καὶ Πίας*. Ita alter e Regiis et Colberteus : alter Reg. Πίου; *Pius*.

(74) *Οὐολουσκίδων*. Sic mss. Reg. et Colbert. Wolfius, Οὐολισκίδων, ediderat.

pregnans somniavit intestina sua ferri ad cœlum, explicarique per omnem terrarum ambitum. Somniavit et pater Octavius eadem nocte, utero Acciæ jubar solis exortum. Qui cum ob uxoris puerperium serius in curiam venisset, P. Nigidius Figulus senator, qui astronomiæ peritissimus habebatur, comperta Octávii moræ causa, exclamavit : *Tu nobis dominum genuisti.* Cum puer ruri educaretur, aquila pane ex manibus ejus rapto subvolavit, ac delapsa rursus eumdem restituit. Deinde, cum adolescentulus in urbe degeret, somniavit Cicero se videre illum catenis aureis e cœlo ad Capitolium demitti, et a Jove flagris cædi. Catulus vero et ipse in somnis vidit, Jovem Romæ imagi- nem in sinum filii Octavii, pueri adhuc, demittere. His de causis eum Cæsar, in amplissima spe adoptatum, hæredem instituit, ac diligentissime in arte dicendi Græce Latineque eruiendum curavit. Exercuit et in re militari, et ad negotiorum reipublicæ atque imperii administrationem assuefecit. Hic igitur Octavius, Apolloniæ studiorum causa degens, interitu Cæsaris audito, Brundusium trajecit : cognitoque avunculi testamento et tumultu populi, Cæsaris nomen **495** sibi vindicavit : aditaque hæreditate, rebus gerendis animum intendit, annos octodecim natus. Eo urbem ingrediente, magnus circulus, et instar cœlestis arcus varius, orbem solis ambiit, futuri tumultus prænuntius. Tribunatum, quamvis ab Antonio prohiberetur, ambire non destitit : sed tribuno conciliato sibi, in forum perductus, pro concione promisit, se legata, patris testamento relicta, statim soluturum ; et aliorum emolumentorum plebi spem fecit. Cujus studia cum sibi adjunxisset, exorta stella quæ a septentrione versus occasum tendebat, quam alii cometam dicebant, ea portendentem, quæ solet id genus impressionum : alii Cæsari dedicabant, in stellarum numerum recepto scilicet : non dubitavit pridem Octavius, tum Cæsar, post etiam Augustus, æneam statuam Cæsaris, cum stella supra caput, in æde Veneris dedicare. Quod cum populi metu nemo prohiberet, etiam alia in Cæsaris honorem fecit. Antonius vero, qui cum contumeliis et injuriis agitabat. plebe ægre ferente, ac pene omnibus indignantibus, sibi metuens, cum eo collocutus est : et cum reconciliati viderentur, ex suspicione quadam inimicitiæ recruduerunt. Et quia Cæsaris opes crescere videbat, multitudinem largitionibus et obsequiis ad se allicere studuit : idque facile consecuturus videbatur, cum ipse consul, frater Lucius tribunus plebis, Caius

A αὐτῷ τὰς ἐλπίδας. Ἥ τε γὰρ μήτηρ αὐτοῦ Ἀττία, ἐγκυμονοῦσα αὐτόν, ἔδοξε κατ' ὄναρ τὰ σπλάγχνα αὐτῆς εἰς τὸν οὐρανὸν ἀναφέρεσθαι, καὶ ἐπὶ πᾶσαν ἐκτετάσθαι τὴν γῆν. Καὶ ὁ ἐκείνης ἀνὴρ κατὰ τὴν αὐτὴν νύκτα ἐδόκει ὁρᾷν ἥλιον ἐκ τῆς νηδύος αὐτῆς ἀνατέλλοντα. Ἄρτι δὲ τοῦ παιδὸς τεχθέντος, Νιγίδιος Φίκουλος (75) βουλευτὴς, διαγινώσκειν τὰς τῶν ἀστέρων κινήσεις ἄριστα πιστευόμενος, βραδύτερον εἰς τὸ συνέδριον τοῦ Ὀκταβίου ἀπηντηκότος, ἤρετο αὐτὸν τὴν αἰτίαν τῆς βραδύτητος. Ὡς δὲ διὰ τὸν τοῦ παιδὸς τόκον, ἐκεῖνος ἔφη, ἀνεβόησεν ὅτι *Δεσπότην ἡμῖν ἐγέννησας*. Τρεφομένου δὲ τοῦ παιδὸς ἐν ἀγρῷ, ἀετὸς, ἐκ τῶν χειρῶν αὐτοῦ ἐξαρπάσας ἄρτον, καὶ μετεωρισθεὶς, αὖθις ἀπέδωκεν αὐτὸν καταπτάς. Παιδίσκου τε αὐτοῦ ὄντος καὶ ἐν Ῥώμῃ διατρίβοντος, ἔδοξεν ὁ Κικέρων καθ' ὕπνους ὁρᾷν αὐτὸν ἁλύσεσι χρυσαῖς ἐκ τοῦ πόλου πρὸς τὸ Καπιτώλιον καθιεμένου καὶ παρὰ τοῦ Διὸς μαστιζόμενον (76). Κάτουλος δὲ καὶ αὐτὸς καθ' ὕπνους ἐδόκει τὸν Δία τῆς Ῥώμης εἰκόνα εἰς τὸν κόλπον τοῦ Ὀκταβίου παιδὸς ἔτι ὄντος ἐμβεβλῆκέναι. Ἐκ τούτων τοίνυν ὁ Καῖσαρ μεγάλα ἐπ' αὐτῷ ἐλπίσας εἰσεποιήσατό τε τὸν παῖδα, καὶ κληρονόμον κατέλιπε, καὶ ἐπιμελῶς ἐπαίδευε λόγοις ῥητορικοῖς, τῇ τε τῶν Λατίνων καὶ τῇ Ἑλληνίδι φωνῇ, καὶ ἤσκει πρός τε τὰς στρατείας καὶ πρὸς πραγμάτων διοίκησιν πολιτικῶν τε καὶ ἀρχικῶν. Οὗτος οὖν ὁ Ὀκτάβιος ὅτε ὁ Καῖσαρ ἐσῆγε, ἐν Ἀπολλωνίᾳ ἔτυχεν ὤν, ἐπὶ παιδείᾳ σταλείς. Ἔνθα μαθὼν τὸ συμβεβηκὸς ἐπεραιώθη πρὸς τὸ Βρεντέσιον. Καὶ τάς τε διαθήκας τοῦ Καίσαρος γνοὺς, καὶ ὡς ὁ δῆμος τετάραχται, τό τε ὄνομά τε τοῦ Καίσαρος ᾠκειώσατο καὶ τὸν κλῆρον ἐδέξατο, καὶ τῶν πραγμάτων εἴχετο, ἐκτωκαιδεκέτης ὤν. Εἰσιόντος δὲ αὐτοῦ εἰς τὴν Ῥώμην, Ἶρις πάντα τὸν ἥλιον ποικίλη καὶ πολλὴ περιέσχεν, ἢ προσεδόκησε τὴν μέλλουσαν ἔσεσθαι ταραχήν. Εἰσελθὼν δὲ, δημαρχῆσαι μὲν ἐπεχείρησεν (77), ἀλλ' ἐκωλύθη ὑπὸ τῶν περὶ τὸν Ἀντώνιον. Ὁ δ' οὐχ ἡσύχασεν, ἀλλὰ τὸν δήμαρχον ὑπελθὼν καὶ παρ' αὐτοῦ ἐς τὸν δῆμον εἰσαχθεὶς, ἐδημηγόρησε, καὶ τὴν καταλειφθεῖσαν ὑπὸ τοῦ Καίσαρος δωρεὰν εὐθὺς ἐκτίσειν ὑπέσχετο, ἄλλων τέ τινων αὐτοῖς ἐλπίδας ὑπέτεινε. Καὶ οὕτω τὸν δῆμον ἐφελκυσάμενος, ἐπεί τις ἀστὴρ τότε ἐφάνη ἐξ ἄρκτου πρὸς ἑσπέραν, ὃν οἱ μὲν κομήτην ἔλεγον, προσημαίνοντα οἷά που εἴωθεν, οἱ δὲ τῷ Καίσαρι αὐτὸν ἀνετίθεσαν, ὡς ἐς τὸ τῶν ἀστέρων ἀριθμὸν ἐγκατειλεγμένῳ, θαρσήσας ὁ πρώην μὲν Ὀκτάβιος, ἤδη δὲ Καῖσαρ κληθεὶς, μετὰ ταῦτα μέντοι καὶ Αὔγουστος, χάλκεον ἀνδριάντα τοῦ Καίσαρος, ἀστέρα φέροντα ὑπὲρ κεφαλῆς, εἰς τὸ Ἀφροδίσιον ἔστησεν. Ὡς δὲ παρ' οὐδενὸς τοῦτο κεκώλυτο, φόβῳ τοῦ δήμου, καὶ

Variæ lectiones et notæ.

(75) *Φίκουλος*. Duo Regii et Colbert. Φίβουλος.

(76) *Παρὰ τοῦ Διὸς μαστιζόμενον*. Sic ubi Wolfius : *Suetonius puerum facie liberali demissum cælo catena aurea, ad fores Capitolii constitisse, eique Jovem flagellum tradidisse ; hinc suspicor legendum non* μαστιζόμενον, *sed* μάστιγα ἐγχειριζόμενον, *nisi forte* μαστίζειν *idem significet.*

(77) *Δημαρχῆσαι μὲν ἐπεχείρησεν*. Ita mss. at Wolfius legendum censebat δημηγορῆσαι. Sequitur enim : εἰς τὸν δῆμον εἰσαχθεὶς ἐδημηγόρησέ τε, etc. Quare pro his verbis : *Tribunatum ambire non destitit*, vertendum, *urbem ingressus, concionem ad populum habere instituit : neque destitit, quamvis ab Antonio prohiberetur, sed tribuno sibi conciliato*, etc.

ἄλλα τινὰ εἰς τιμὴν τοῦ Καίσαρος διεπράξατο. Ἀντώνιος δὲ τὸν νέον Καίσαρα τοῦτον περιύβριζέ τε καὶ ἀδικῶν ἦν, δι' ἃ πατρὶ θροῦς πρὸς τοῦ πλήθους ἐγένετο, καὶ σφόδρα πάντες σχεδὸν ἠγανάκτησαν. Φοβηθεὶς οὖν ὁ Ἀντώνιος, εἰς λόγους ἦλθεν αὐτῷ, καὶ ἔδοξαν κατηλλάχθαι, ἀλλ' αὖθις ἐξ ὑποψίας τινὸς διηνέχθησαν. Ὁρῶν οὖν ὁ Ἀντώνιος τὸν Καίσαρα αὐξανόμενον, ἐπεχείρησεν εἰς ἑαυτὸν τὸν ὅμιλον ἐπισπάσασθαι, τινὰ αὐτοῖς χαριζόμενος. Ἠδύνατο γὰρ αὐτὸς ὑπατεύων, θατέρου τῶν ἀδελφῶν αὐτοῦ δημαρχοῦντος, τοῦ Λευκίου δηλαδή, τοῦ δέ γε λοιποῦ τοῦ Γαΐου στρατηγοῦντος. Τὰ δέ γε τῆς πόλεως ἐν ἀκαταστασίᾳ ἦσαν. Ἐδόκει δὲ ὁ Ἀντώνιος, ἅτε ὑπατεύων πλεονεκτεῖν. Ὁ δὲ Καῖσαρ ὑπὸ τοῦ πλήθους μάλιστα ἐσπουδάζετο, καὶ διὰ τὸν πατέρα καὶ διὰ τὰς ὑποσχέσεις ἃς ἐποιεῖτο· τὸ δὲ μεῖζον ὅτι πολὺ δυναμένῳ τῷ Ἀντωνίῳ ἤχθοντο, καὶ ταπεινῶσαι αὐτὸν ἐβούλοντο.

A vero prætor esset. In tanto rerum motu, et Antonii summa propter consulatum potentia, populus tamen Cæsari maxime studuit, cum propter patris memoriam, tum ob ipsius pollicitationes; sed ob illud in primis, ut Antonium, cujus vires ægre ferebant, premerent.

ΙΕ'. Ἀντωνίου δὲ εἰς τὸ Βρεντέσιον ἀπελθόντος πρὸς τοὺς ἐκ Μακεδονίας περαιωθέντας στρατιώτας, ὁ Καῖσαρ ἐκεῖ μὲν φίλους μετὰ χρημάτων, ἵνα σφᾶς ἀφετερίσωνται, προαπέστειλεν· αὐτὸς δὲ μέχρι Καμπανίας ἐλθών, πλῆθος συνέλεξεν ἐκ διαφόρων χωρῶν τῷ πατρὶ τιμωρεῖν λέγων, χρήματα τὰ μὲν δεδωκώς, τὰ δὲ ὑπισχνούμενος. Καὶ σὺν αὐτοῖς εἰς τὴν Ῥώμην ἠπείχθη, πρὶν ἐπανελθεῖν τὸν Ἀντώνιον. Καὶ τῷ δήμῳ ὁμιλήσας, ἐπαινῶν ἔτυχε καὶ αὖθις ἀπεδήμησε δύναμιν ἀθροίσων. Ἀντώνιον δὲ ἐν Βρεντεσίῳ οἱ στρατιῶται φιλοφρόνως ἐδέξαντο. Εἶτα πικρῶς αὐτοῖς προσφερομένου, ὡς καὶ πολλοὺς αὐτῶν ἀποκτεῖναι, ἐνεωτέρισαν, καὶ συχνοὶ μετέστησαν πρὸς τὸν Καίσαρα. Ἀντώνιος δὲ ἐκ τῆς Ῥώμης εἰς τὴν Γαλατίαν ἐξώρμησε, φοβηθεὶς μή αὐτή τι νεοχμώσῃ, καὶ ὁ Καῖσαρ δ' ἐπηκολούθησεν. Ἦρχε δὲ τότε τῆς Γαλατίας ὁ Βροῦτος ὁ Δέκιμος, εἷς τῶν συνομοσάντων κατὰ τοῦ Καίσαρος, καὶ ὃς μίσει τῷ πρὸς Ἀντώνιον οὐχ ὑπεῖξεν αὐτῷ. Τοῦτο μαθὼν ὁ Καῖσαρ, τὸν Βροῦτον προσηταιρίσατο· οὕπω γὰρ ἐώρα καιρὸν τοῦ τιμωρήσασθαι τοὺς φονεῖς τοῦ πατρός. Ἐν δὲ τῇ Ῥώμῃ ἡ σύγκλητος ἐβουλεύετο, θορυβουμένη διὰ τὸν πόλεμον. Καὶ πολλοὶ μὲν γνώμας ἄλλας εἰσήνεγκαν. Κικέρων δὲ πολέμιον δεῖν εἶπε ψηφίσασθαι τὸν Ἀντώνιον, τὸν Καίσαρα μέντοι καὶ τὸν Βροῦτον τὸν Δέκιμον αὐτῷ ἐναντιουμένους ἐπαινέσαι, ἐφ' οἷς ἰδιογνωμονήσαντες πεποιήκασι, καὶ ἐπικουρῆσαι αὐτοῖς, καὶ ἐξουσίαν νεῖμαι πρὸς τὸ μέλλον, καὶ τοὺς ὑπάτους ἅμα ἄμφω πρὸς τὸν πόλεμον πεπομφέναι, καὶ πολεμῆσαι αὐτῷ μηδὲ διατρίβειν καὶ μέλλειν. Ταῦτα τοῦ Κικέρωνος συμβουλεύσαντος, ὁ Καλήνος ὁ Κύϊντος ἐναντιούμενος αὐτῷ συνεβούλευε πέμψαι πρὸς ἅπαντα; τὴν βουλὴν κελεύουσαν ὁμοίως αὐτοῖς καταβέσθαι τὰ ὅπλα, καὶ ἐπ' αὐτῇ καὶ ἑαυτοὺς καὶ τοὺς στρατιώτας ποιήσασθαι. Καὶ πεισθέντας μὲν ἐπαινέσαι· εἰ δ' ἀπειθήσουσι πολεμῆσαι, τὸν πόλεμον δὲ τοῖς ὑπάτοις πιστεύσαι. Ὁ μὲν οὖν εἶπε ταῦτα· οἱ πράττοντες δὲ τὰ τοῦ Καίσαρος ἐπεκράτησαν. Καί τινες πρὸς τὸν Ἀντώνιον ἐκ τῆς βουλῆς ἀπεστάλησαν, κελεύουσης αὐτῷ τά τε στρατόπεδα καὶ τὴν Γαλατίαν ἀφεῖναι καὶ ἀπελθεῖν εἰς Μακεδονίαν, τοῖς αὐτῷ τε συστρατευομένοις προσταττούσης οἴκαδε ἀναχωρῆσαι ῥητῆς ἡμέρας ἐντός, ἢ γινώσκειν ὡς ἐν μοίρᾳ πολεμίων αὐτοῖς λογισθήσονται. Πρὸ δὲ τοῦ τὴν γνώμην τοῦ Ἀντωνίου μαθεῖν τὸν πρὸς αὐτὸν πόλεμον τοῖς ὑπάτοις καὶ τῷ Καίσαρι, ἀρχὴν αὐτῷ στρατηγοῦ δόντες,

XIV. Antonio Brundusium ad legiones Macedonicas profecto, Cæsar amicis eo cum pecunia præmissis, in Campaniam progressus, exercitum ex diversis provinciis coegit, patris necem ulturus, pecunia partim numerata, partim promissa: cum eoque ante reditum Antonii propere in urbem reversus, oratione ad populum habita laudatus est, atque iterum ad delectus habendos abiit. Antonium vero milites benigne Brundusii 496 acceperunt. Deinde cum ab eo, nonnullis interfectis, crudeliter tractarentur, tumultuati sunt, ac multi ad Cæsarem defecerunt. Antonius vero in Gallias properavit, veritus ne rebus novis studerent: eumque Cæsar secutus, D. Brutum conjurationis contra Cæsarem participem, qui ei provinciæ præerat, Antonii inimicum, sibi Cæsar conciliat. Nam tempus vindicandi patris nondum adesse cernebat. Romæ senatu deliberante, et propter bellum territo, alii alias sententias dixerunt: Cicero autem Antonium hostem judicandum, et Cæsarem ac D. Brutum privata auctoritate cum illo bellum gerentes, laudandos et adjuvandos esse censuit; data etiam in posterum auctoritate, et ambos consules sine ulla cunctatione ad bellum ei inferendum mittendos. Q. Calenus contra, legatos ad omnes mittendos esse, qui eos armis positis, senatui ipsos et legiones auctoritati senatus permittere juberent. Quod si auscultassent, laudandos esse; sin minus, bellum consulibus contra eos mandandum. Verum Cæsariana factione prævalente, quidam ex senatu ad Antonium missi, qui cum, exercitibus et Gallis omissis, in Macedoniam ire, ejus item milites intra statum diem domum redire juberent, alioqui hostium loco habendos esse. Et priusquam nosset animum Antonii senatus, bellum contra eum consulibus, Cæsari potestatem imperatoris mandavit. Quibus rebus Antonius cognitis, legatis senatus contumeliose tractatis, per suos legatos, causam quæ bello prætexebatur, in ipsos decreti auctores retorsit. Quamobrem denuo et ipse hostis judicatus est; et milites, ni illum reliquissent, alio die præfinito. Ille vero Mutinæ Decimum obsidens, nihil gessit memorabile. Decimus vero primum egregie se defendit. Deinde cum operibus undique cinctus esset, veritus Cæsar, ne caperetur, aut penuria commeatus deditionem faceret: cum Hirtio exercitum versus Mutinam duxit. Sed cum

στρατοπέδων συμπεσόντας ἀλλήλοις μάχεσθαι τότε, εἶξαι δὲ καὶ φύγειν τὸν κατὰ Βροῦτον. Συμβαλὼν οὖν τοῖς ἐναντίοις καὶ αὐτὸς ἡττήθη. Τό τε γὰρ ὁπλιτικὸν αὐτοῦ ἀγχώμαλα ἐπιπλεῖστον ἀγωνισάμενον ἐνέκλινε· καὶ τούτου καὶ τὸ ἱππικὸν καίτοι γενναίως μαχόμενον ἐνέδωκεν. Ἐνταῦθα καὶ Μάρκος ὁ Κάτωνος υἱὸς, ἐν τοῖς ἀρίστοις καὶ γενναιοτάτοις τῶν νέων ταττόμενος, οὐκ εἶξε καταπονούμενος οὐδὲ ἔφυγεν, ἀλλὰ χρώμενος τῇ χειρὶ καὶ φράζων ὅστις εἴη, καὶ πατρόθεν (84) ἑαυτὸν ὀνομάζων, ἔπεσεν ἐπὶ πολλοῖς τῶν πολεμίων νεκροῖς. Ἔπιπτον δὲ καὶ τῶν ἄλλων οἱ κράτιστοι τοῦ Βρούτου προκινδυνεύοντες. Λουκίλιος δέ τις ἀνὴρ ἀγαθὸς ὁρῶν βαρβάρους τινὰς ἱππέας ἐλαύνοντας ῥύδην ἐπὶ τὸν Βροῦτον, αὐτὸς ἔφη Βροῦτος εἶναι καὶ ἄγειν ἐδεῖτο ἐπὶ τὸν Ἀντώνιον, ὡς τάχα τὸν Καίσαρα δεδοικώς. Οἱ δὲ ἦγον τὸν ἄνδρα, ἀγγέλους προπέμψαντες. Ἐπεὶ δ' ἐγγὺς ἦσαν, ὁ μὲν Ἀντώνιος διηπόρει ὅπως χρὴ δέξασθαι τὸν Βροῦτον· ὁ δὲ Λουκίλιος προσαχθεὶς, *Μάρκον μὲν Βροῦτον*, εἶπεν, *Ἀντώνιε, οὐδεὶς ἥρηκεν, οὐδ' ἂν ἕλοι πολέμιος· μὴ τοσοῦτον κρατήσειεν ἡ τύχη τῆς ἀρετῆς. Εὑρεθήσεται δὲ ζῶν ἐκεῖνος ἢ που καὶ νεκρὸς κείμενος ἀξίως ἑαυτοῦ.* Θαυμάσας δὲ ὁ Ἀντώνιος, τοῖς αὐτὸν ἄγουσι στρατιώταις ἔφη· *Καλεπῶς, ὦ συστρατιῶται, φέρετε τὴν ἀπάτην ἴσως· ἀλλ' ἴστε κρείττονα τῆς ζητουμένης ἄγρας ἡρηκότες. Πολέμιον γὰρ ζητοῦντες, φίλον ἡμῖν κομίζετε.* Βροῦτος δὲ πρός τι χωρίον ὑλῶδες κατηντηκὼς, ἤδη σκότους ὄντος, ὀλίγων περὶ αὐτὸν ἡγεμόνων ὄντων, εἰς τὸν οὐρανὸν ἀναβλέψας ἀνεφθέγξατο·

Ζεῦ, μὴ λάθῃ σε τῶν δ' ὃς αἴτιος κακῶν.

Τοῦτον τὸν στίχον εἰπεῖν αὐτὸν ὁ Πλούταρχος ἀναγράφει.

Ὁ δέ γε Δίων ταῦθ' ἱστορεῖ τότε τὸν Βροῦτον εἰπεῖν·

Ὦ τλάμων (85) ἀρετὰ,
Ἄλλως ἄρ' ἦσθα λόγως·
Ἐγὼ δέ σε ὡς ἔργον ἤσκουν,
Σὺ δ' αὖ ἐδούλευες τύχῃ.

Εἰπόντος δέ τινος ὡς δεῖ φεύγειν· *Πάνυ μὲν οὖν*, ἔφη, *φευκτέον, ἀλλὰ διὰ τῶν χειρῶν, οὐ διὰ τῶν ποδῶν.* Καὶ τοῦτο εἰπὼν καὶ γυμνῷ τῷ ξίφει ἐπιπεσών, ἐτελεύτησε. Τὸν δὲ τούτου νεκρὸν Ἀντώνιος ἀνευρών, τῇ πολυτελεστάτῃ τῶν ἑαυτοῦ φοινικίδων περιέβαλε. Πορκία δὲ ἡ τοῦ Βρούτου γυνὴ, ἡ Κάτωνος ἦν θυγάτηρ, φυλαττομένη καὶ μὴ ἐωμένη ἑαυτὴν ἀνελεῖν, ἄνθρακας ἐκ τοῦ πυρὸς ἁρπάσασα καὶ καταπιοῦσα ἀπέθανε. Περὶ ἧς ἱστόρησε Πλούταρχος ὡς πρὸ τῆς τοῦ Καίσαρος τοῦ πρατέρου σφαγῆς ὁρῶσα τὸν ἄνδρα σύννουν, καὶ μεστὸν ταραχῆς ἀήθους, καί τι βούλευμα κατανοήσασα παρ' ἑαυτῷ βάλλοντα δυσεξέλικτον, οὐ πρότερον αὐτὸν περὶ τῶν

versus Brutum erat, cessisse ac fugisse. Cum adversariis congressus, et ipse succubuit. Nam legiones cum diutissime restitissent, cesserunt. Unde equitatus quoque fortiter dimicans inclinavit. Ibi et Marcus Catonis filius, inter optimos et fortissimos adolescentes collocatus, cum urgeretur, non cessit, neque fugit, sed manu rem gerens, patrio suo nomine edito, super magno hostium acervo concidit. Ex cæteris etiam optimi quique Brutum propugnantes ceciderunt. Lucilius vero vir fortis, conspectis barbaris equitibus, qui impetu in Brutum ferebantur, ipse Brutum se esse dixit: eosque rogavit ut ad Antonium **508** duceretur, quasi Cæsarem timeret: qui cum præmissis nuntiis, ab eis abductus, prope castra venisset, Antonius dubitabat, quo pacto Brutus excipiendus esset. Ille vero: *M. Brutum*, inquit, *Antoni, cepit nemo, neque capiet ullus hostis. Absit enim, ut tantum fortunæ in virtutem liceat. Verum ille aut vivens, aut etiam mortuus, ut ipso dignum est, invenietur.* Hanc orationem miratus Antonius, ductoribus illius ait: *Fortasse, commilitones, imposturam iniquis fertis animis. Sed scitote vos prædam ea quam quæritis meliorem cepisse. Nam cum hostem persequeremini, amicum nobis adduxistis.* Brutus vero, cum jam tenebris obortis ad locum quemdam saltuosum cum paucis tribunis pervenisset, oculis in cœlum sublatis:

O dii, ne patiatur vos tanti mali capit.

Hunc Euripidis versum, ut Plutarchus scribit, pronuntiavit.

Dion vero hæc eum verba protulisse refert:

O virtus misera,
In verbis sita inanibus,
Culta mihi vice numinis,
Iniquæ sortis serviia.

Cum quidam dixisset, fugiendum esse: *omninò fugiendum esse* respondit, *verum manibus, non pedibus.* Hoc dicto, stricto gladio incubuit. Antonius cadaver ejus inventum, pretiosissima purpura involvit. Porcia vero Bruti uxor, Catonis filia, cum ne se occideret custodiretur, prunis de foco devoratis interiit. De qua Plutarchus scribit, cum ante priorís Cæsaris cædem maritum tristem et perturbatiorem solito consilium aliquod inexplicabile animo agitare vidisset: non prius eum de arcanis percontatam esse, quam sui ipsius periculum fecisset: sumptoque cultello clam profundum vulnus intulisse femori, quod paulo post

Variæ lectiones et notæ.

(84) *Καὶ πατρόθεν.* Ita apud nostros in clamore militari copiarum duces nomen suum inclamare solitos docuimus in *Dissertat.* ad Joinvillam.

(85) *Ὦ τλάμων.* Hos versus paulo aliter citat Dion editus lib. XLXII extr.

Ὦ τλῆμον ἀρετή, λόγος ἄρ' ἦσθ', ἐγὼ δέ σε
Ὡς ἔργον ἤσκουν· σὺ δ' ἄρ' ἐδούλευες τύχῃ.

Vide Plutarchum, *De superstitione*, sub initium.

graves dolores, et periculosæ febres consecutæ sint. Brutoque sollicito, in summo dolore dixisse: *Ego tibi, Brute, data sum, non ut pellicis instar victum et lectum duntaxat communem tecum haberem, sed ut fortunæ secundæ adversæque socia tibi essem. Ac tu quidem talem te maritum præbes, de quo nihil queri possim. Ego vero quo pacto gratum animum declarabo, si neque occultum dolorem, neque sollicitudinem quæ fidem postulat, tecum una tulero? Equidem scio quam imbecilla sit natura* **509** *muliebris ad celanda arcana. Sed rectæ educationis et honestæ consuetudinis aliquæ vires sunt. Mihi vero contigit, ut et Catonis filia, et Bruti uxor essem: quibus rebus dudum minus freta, nunc me a labore invictam esse cognori.* His dictis, ei vulnus, causa illius exposita, ostendit. Is vero obstupefactus, deos precatus est, ut re bene gesta dignum Porcia maritum se præberet.

ἀῤῥήτων ἀνήρετο πρὶν ἢ λαβεῖν διάπειραν ἑαυτῆς. Λαβοῦσα γάρ, φασὶ, μαχαίριον, τομὴν βαθεῖαν λάθρα ἐπήνεγκε τῷ μηρῷ, ὡς μετὰ μικρὸν ὀδύνας ἐπιγενέσθαι νεανικὰς, καὶ φρικώδεις ἀναῤῥῖῆναι πυρετοὺς ἐκ τοῦ τραύματος. Ἀγωνιῶντος δὲ τοῦ Βρούτου, ἐν ἀκμῇ τῆς ἀλγηδόνος οὖσα ἔφη αὐτῷ· Ἐγὼ, Βροῦτε, οὐχ ὡς αἱ παλλακευόμεναι κοίτης μεθέξουσα καὶ τραπέζης μόνον ἐδόθην σοι, ἀλλὰ κοινωνὸς εἶναι καὶ ἀγαθῶν καὶ ἀντιμοίρων. Τὰ μὲν οὖν σὰ πάντα περὶ τὸν γάμον ἄμεμπτα· τῶν δὲ παρ' ἐμοῦ τίς ἀπόδειξις ἢ χάρις, εἰ μήτε πάθος ἀπόῤῥητον συνδιοίσω σοι, μήτε φρονήματα πίστεως δεομένην; Οἶδ' ὅτι γυναικεία φύσις ἀσθενὴς δοκεῖ λόγον ἐνεγκεῖν ἀπόῤῥητον· ἀλλ' ἔστι τις καὶ τροφῆς ἀγαθῆς καὶ ὁμιλίας χρηστῆς εἰς ἦθος ἰσχύς. Ἐμοὶ δὲ τὸ Κάτωνος εἶναι θυγατέρα καὶ τὸ Βρούτου γυναῖκα πρόσεστιν. Οἷς πρότερον μὲν ἧττον ἐπεποίθειν, νῦν δ' ἐμαυτὴν ἔγνωκα καὶ πρὸς πόνον ἀήττητον εἶναι. Ταῦτ' εἰποῦσα, δείκνυσιν αὐτῷ τὸ τραῦμα, καὶ διηγεῖται τὴν πεῖραν. Ὁ δ' ἐκπλαγεὶς ἐπηύξατο, δοῦναι τοὺς θεοὺς κατορθοῦντα τὴν πρᾶξιν ἄνδρα Πορκίας ἄξιον φανῆναι.

XXI. Bruto ad hunc modum defuncto, viri clari qui eum secuti fuerant, plerique statim semetipsos aut occiderunt, aut capti perierunt. Cæteri periculo tum fuga ad mare evitato, post ad Sextum se contulerunt. Cum Brutus et Cassius iisdem ensibus quibus Cæsarem trucidarant, periissent, Cæsar et Antonius statim diviserunt imperium: illi Hispania et Numidia attributa, huic Gallia et Africa: pacti inter sese, si Lepidus eam partitionem iniquo ferret animo, se illi Africa cessuros. Solas autem has provincias diviserunt, quod Sardiniam et Siciliam Sextus obtinebat: cæteræ, præter Italiam, adhuc in tumultu erant. Proinde Antonius in Asiam ad pacandos eos qui arma contra tulerant, et ad pecuniam exigendam, abiit. Cæsar in Italiam properavit, ut Lepidum, si quid movisset, coerceret, et cum Sexto bellum gereret. Sed ex morbo tardius progrediens, Romam venit, peractisque victoriæ solemnibus, rerum administrationem capessit. Lepidus enim præmetu et socordia quiescebat: Antonii vero uxor Fulvia, et L. Antonius consul., suscepta rerum cura, Cæsari adversabantur. Itaque is affinitate repudiata, filiam remisit Fulviæ: eaque de causa, et propter famem Romanos prementem, animo Cæsar æstuabat. Nam mare Siculum a Sexto tenebatur: sinus Ionius a Cn. Domitio, qui ex Cæsaris percussoribus unus, e pugna Philippica elapsus, classe comparata adversarios infestabat. Ob eam igitur famem et aliis de causis seditione orta inter plebem et milites, ad manus ventum est: utrinque aliquot vulnerati et cæsi, et complures ædes incensæ. His rebus territus Cæsar, cum Fulvia et Lucio consule in gratiam redire studuit. Sed reconciliatione per multos alios et milites frustra tentata, **510** senatores misit: eosque pactis, quæ cum Antonio fecerat, expositis controversiarum judices sumpsit. Qui cum nec ipsi quid-

ΚΑ'. Τῷ μὲν οὖν Βρούτῳ ὃν εἴρηται τρόπον ἐπέλιπε τὸ βιώσιμον. Τῶν δὲ μετ' αὐτοῦ γενομένων ἐπισήμων ἀνδρῶν οἱ μὲν πλείους ἑαυτοὺς αὐτίκα ἀπέκτειναν, ἢ ἁλόντες ἐφθάρησαν· οἱ δὲ λοιποὶ τότε διαφυγόντες ἐπὶ τὴν θάλασσαν, μετὰ τοῦτο τῷ Σέξτῳ προσέθεντο. Καὶ ὁ μὲν Βροῦτος καὶ ὁ Κάσσιος οὕτως ἀπώλοντο, τοῖς ξίφεσι σφαγέντες, οἷς τὸν Καίσαρα διεχρήσαντο. Καῖσαρ δὲ καὶ Ἀντώνιος αὐτίκα τὴν ἀρχὴν ἀνεδύσαντο, καὶ τῷ μὲν ἥ τε Ἰβηρία καὶ ἡ Νουμηδία προσεκεκλήρωτο, Ἀντωνίῳ δὲ ἥ τε Γαλατία τε καὶ ἡ Ἀφρικὴ, συνθεμένοις, εἰ ἐπὶ τούτοις ἀγαναχτήσει ὁ Λέπιδος, ἐκστῆναί οἱ τῆς Ἀφρικῆς. Ταῦτα δὲ μόνα ἐδίδαντο, ὅτι Σαρδὼ μὲν καὶ Σικελίαν Σέξτος κατεῖχε, τὰ δὲ ἔξω τῆς Ἰταλίας ἐν ταραχῇ ἦν. Καὶ ἐπὶ τούτοις Ἀντώνιος μὲν εἰς τὴν Ἀσίαν, καταστήσων τοὺς αὐτοῖς ἀντιπολεμήσαντας καὶ ἀργυρολογήσων ἀπῆει· Καῖσαρ δὲ εἰς τὴν Ἰταλίαν ὡρμήθη, τὸν Λέπιδον κωλύσων ἄν τι παρακινῇ, καὶ τῷ Σέξτῳ ἀντιταξόμενος. Νοσιῶν δὲ καὶ διὰ τοῦτο βραδύτερον ἰὼν εἰς τὴν Ῥώμην ἀφίκετο, καὶ τὰ νενομισμένα ἐπὶ τῇ νίκῃ τελέσας πρὸς τὴν τῶν πραγμάτων ἐτράπη διοίκησιν. Ὁ γὰρ Λέπιδος καὶ φόβῳ καὶ νωθείᾳ ἡσύχασεν· ἡ δὲ τοῦ Ἀντωνίου γυνὴ Φουλβία καὶ ὁ Λούκιος Ἀντώνιος ὑπατεύων τῶν πραγμάτων ἀντελαμβάνοντο καὶ τῷ Καίσαρι διηνέχθησαν, ὥστε τὸν Καίσαρα τὴν τῆς Φουλβίας θυγατέρα πέμψαι αὐτῇ, τὴν ἐκ τῆς ἐπιγαμίας συγγένειαν λύσαντα· καὶ διὰ ταῦτα οὖν, καὶ διὰ τὸν λιμὸν, ὃς τότε τοὺς Ῥωμαίους ἐπίεζεν, ὁ Καῖσαρ ἐν ἀμηχανίᾳ ἐγένετο. Ἡ μὲν γὰρ κατὰ Σικελίαν θάλασσα ὑπὸ τοῦ Σέξτου κατείχετο, ὁ δ' Ἰόνιος κόλπος ὑπὸ Δομιτίου Γναίου, ὃς τῶν μὲν σφαγέων τοῦ Καίσαρος ἦν, ἐκ δὲ τῆς ἐν Φιλίπποις μάχης διαφυγὼν ναυτικὸν συνεκρότησε, καὶ τοῦ τε κόλπου χρόνον τινὰ ἐκράτησε καὶ τοὺς ἐναντίους ἔφθειρε. Διὰ γοῦν τὸν λιμὸν τοῦτον, καὶ δι' αἰτίας ἑτέρας, καὶ ἐστασίασαν πρὸς ἀλλήλους ὅ τε δῆμος καὶ τὸ στρατιωτικὸν, καὶ εἰς μάχας ἡ στάσις περιέστη,

ὥστε καὶ τιτρώσκεσθαι καὶ θνήσκειν ἐξ ἀμφοτέρων, A quam impetrassent, rursus ad milites inclinavit. καὶ οἰκίας καταπρησθῆναι συχνάς. Ἐντεῦθεν δείσας ὁ Καῖσαρ, καταλλαγῆναι τῇ τε Φουλβίᾳ καὶ τῷ ὑπάτῳ τῷ Λουκίῳ ἠθέλησεν. Ἐπεὶ δὲ διὰ πολλῶν ἄλλων καὶ τῶν ἐστρατευμένων πρεσβευσάμενος πρὸς αὐτοὺς οὐδὲν ἤνυεν, βουλευτὰς ἔστειλε, τάς τε συνθήκας τὰς πρὸς τὸν Ἀντώνιον αὐτῷ γενομένας ἐκφήνας σφίσι, καὶ δικαστὰς τῶν διαφορῶν αὐτοὺς ποιήσας. Ὡς δ' οὐδὲν οὐδ' οὗτοι πρᾶξαι ἴσχυσαν, πρὸς τὸ στρατιωτικὸν αὖθις ἀπέκλινε. Καὶ εἰς τὴν Ῥώμην οἱ στρατιῶται, ὡς καὶ τῷ δήμῳ καὶ τῇ βουλῇ κοινωσόμενοί τι συνελθόντες, τούτων μὲν οὐκ ἐφρόντισαν· ἐς δὲ τὸ Καπιτώλιον ἀθροισθέντες, τάς τε συνθήκας ἃς ὁ Ἀντώνιος καὶ ὁ Καῖσαρ ἔθεντο ἀναγνωσθῆναι σφίσιν ἐκέλευσαν, καὶ ἐκείνας τε ἐπεκύρωσαν, καὶ περὶ ὧν διεφέροντο, ἑαυτοὺς ἐκάθισαν δικαστάς. Καὶ ἐπειδὴ ὁ μὲν Καῖσαρ ἕτοιμος δικασθῆναι κατὰ τὴν ὡρισμένην ἡμέραν ἐγένετο, ἡ Φουλβία δὲ καὶ ὁ ὕπατος οὐ παρῆν, ὡς ἀδικούντων ἐκείνων κατεψηφίσαντο, καὶ τὰ τοῦ Καίσαρος ἐπρέσβευσαν. Καὶ μάχη μεταξὺ αὐτῶν συγκεκρότητο, καθ' ἣν ὑπερέσχεν ὁ Καῖσαρ, ὥστε πολλοὺς τῶν τε βουλευτῶν καὶ τῶν ἱππέων φθαρῆναι, καὶ τὸν ὕπατον φλῶναι τὸν Λούκιον, ἀπολυθῆναι δέ. Ἡ δὲ Φουλβία μετὰ τῶν τέκνων ἀπέδρα πρὸς τὸν Ἀντώνιον. Καῖσαρ δὲ τά τε ἐν τῇ Ἰταλίᾳ κατεργασάμενος, καὶ τοῦ Ἰωνίου κόλπου ἠλευθερωμένου (ὁ γὰρ Δομίτιος ἀπογνοὺς ἀπέπλευσε πρὸς Ἀντώνιον) παρεσκευάζετο ὡς πρὸς τὸν Σέξτον ὁρμήσων. Διὰ δὲ τὴν δύναμιν αὐτοῦ, καὶ ὅτι τῷ Ἀντωνίῳ διὰ τῆς μητρὸς ἐκαινολογήσατο, ἔδεισε μὴ καὶ ἀμφοῖν ἅμα πολεμήσῃ· καὶ τὸν Σέξτον προτιμήσας, ἅτε τοῦ Ἀντωνίου πιστότερόν τε καὶ ἰσχυρότερον, τήν τε μητέρα Μουκίαν αὐτῷ ἔπεμψε, καὶ τὴν τοῦ πενθεροῦ αὐτοῦ Λευκίου Σκριβωνίου Λίβωνος ἀδελφὴν ἔγημεν, εἴ πως ἐκ τῆς εὐεργεσίας καὶ τῆς συγγενείας φίλον αὐτὸν ποιήσαιτο. Ὁ γὰρ Σέξτος τῆς ἀρχῆς ἧς εἶχεν, ὑπὸ Καίσαρος πρώην παραλυθείς, τοῦ δὲ ναυτικοῦ ἀντεχόμενος, ἔτε μὴ τοῦ φόνου τοῦ Καίσαρος ἐκείνου μετεσχηκώς, ἤλπιζε καὶ καταχθήσεσθαι πρὸς τῶν νέου Καίσαρος. Ὡς δ' ἔγνω καὶ ἐπ' αὐτῷ τὸν ἐκείνου φόνον ἐπικεχειρυγμένον, ἀπέγνω καὶ πρὸς πόλεμον ἡτοιμάζετο, ναυπηγῶν τριήρεις καὶ τοὺς αὐτομολοῦντας δεχόμενος καὶ τοὺς καταποντιστὰς προσεταιριζόμενος. Καὶ ἐν ὀλίγῳ ἐγένετο ἰσχυρὸς καὶ τῆς πρὸς τῇ Ἰταλίᾳ θαλάσσης ἐκράτησε. Προχωρούντων δ' αὐτῷ τῶν πραγμάτων, ἐς Σικελίαν ἔπλευσε, καὶ ταύτην κατέσχε, καὶ στρατιὰν ἐκεῖθεν πλείω, καὶ ναυτικὸν συνήγαγεν ἰσχυρότατον. Διὰ ταῦτά τε καὶ ἵνα μὴ τῷ Ἀντωνίῳ φιλιωθῇ, καταλλαγῆναί οἱ ὁ Καῖσαρ ἠμείρετο. Διαμαρτὼν δὲ τούτου, ἐκείνῳ μὲν Μάρκον Ἀγρίππαν πολεμήσοντα ἔπεμψεν, αὐτὸς δ' ἐς Γαλατίαν ἀπῆρε. Μαθὼν οὖν ὁ Σέξτος ταῦτα, ἐς τὴν Ἰταλίαν ἀνέπλευσε καὶ ἐνέμεινεν αὐτὴν ληΐζόμενος. Ὁ δὲ δὴ Καῖσαρ τὴν Γαλατίαν κατέσχε, τὸν μέντοι Λέπιδον ἐς τὴν Ἀφρικὴν ἔπεμψεν, ἵν' ὡς παρ' αὐτοῦ ταύτην λαβών, καὶ οὐχὶ παρὰ τοῦ Ἀντωνίου, αὐτῷ μόνῳ τὴν χάριν ὁμολογῇ.

Illi vero Romam ingressi, ut cum senatu populoque acturi aliquid, iis neglectis, in Capitolio convenerunt, et pactis quæ recitari sibi jusserant, confirmatis, semetipsos controversiarum judices constituerunt. Ac Cæsare ad diem statum causam dicere parato, Fulviam et consulem absentes ut injurios condemnarunt, Cæsaris causa probata. Inde pugna inter dissentientes orta, in qua multi senatores atque equites cæsi sunt : victoria penes Cæsarem fuit, Lucio consule capto, sed dimisso. Fulvia vero cum liberis ad Antonium profugit. Cæsar Italia subacta, et Ionio sinu liberato (nam Domitius, desperatis rebus, ad Antonium se contulerat), contra Sextum se parabat. Sed ejus potentiam metuens, et, quoniam is per matrem cum Antonio de pacificatione egerat, ne cum utroque pugnandum esset veritus, Sextum ut et potentiorem et fideliorem Antonio prætulit, missa ei matre Mœtia, et soceri ejus L. Scribonii Libonis filia ducta, eo beneficio et affinitate in amicitiam illius se insinuare studens. Sextus enim, adempto sibi pridem a Cæsare imperio quod tenuerat, classe nitebatur : et quia cædis Cæsaris particeps non fuerat, spem fovebat, fore ut ab adolescente Cæsare revocaretur. Ut vero cognovit se quoque ob cædem illius proscriptum esse, desperato reditu, triremibus ædificandis, et transfugis recipiendis ad bellum se parabat. Piratis etiam ascitis, exiguoque tempore magnis viribus nitens, Italico mari potitus, prospero fortunæ flatu Siciliam occupavit, ibique auctо exercitu classem firmissimam comparavit. His igitur de causis, et ne cum Antonio iniret amicitiam, cum eo redire in gratiam Cæsar desideravit. Sed impos voti factus, M. Agrippa contra illum misso, ipse in Gallias abiit. Quo Sextus cognito in Italiam appulit, ex eaque prædas egit. Cæsar Gallis potitus, Lepidum in Africam ablegavit, ut sibi uni, non etiam Antonio gratiam illam deberet.

ΚΒ'. Ἀντώνιος δὲ Μάρκος εἰς τὴν Ἀσίαν ἐλθών, τὰ μὲν αὐτὸς περιών, ἐς δέ τινα στέλλων ἑτέρους, τάς τε πόλεις ἠργυρολόγει καὶ τὰς δυναστείας ἐπέπρασκε. Τῆς δέ γε Κλεοπάτρας ἐν Κιλικίᾳ ὀφθείσης αὐτῷ, ἔρωτι τῆς γυναικὸς οὐκέτ' οὐδεμίαν φροντίδα τοῦ καλοῦ ἐποιήσατο, ἀλλὰ τῇ Αἰγυπτίᾳ ἐδούλευε, καὶ ἄλλα δὲ διὰ τοῦτο ἔπραξεν ἄτοπα καὶ τοὺς ἀδελφοὺς αὐτῆς ἀπέκτεινε, καὶ τέλος ἀπῆρεν εἰς Αἴγυπτον. Ὅθεν οἱ Πάρθοι, καὶ πρὶν κινούμενοι, B **511** XXII. M. vero Antonius in Asia partim ipse, partim per alios pecuniam a civitatibus exigebat, et præfecturas vendebat. Ut autem Cleopatra in Cilicia visa, mulieris amore captus est, omnis honestatis abjecta cura, Ægyptiæ serviit, in ejus gratiam præter alia indecora, fratribus illius occisis, denique in Ægyptum discessit. Unde factum est, ut Parthi, qui jam ante in motu erant, tum magis etiam Romanos vexarent, a Labieno

irritati. Qui cum a Bruto et Cassio Parthis auxilio missus esset, audito eorum interitu apud barbaros remansit, seque belli ducem professus et multas gentes ad defectionem impulsurum pollicitus, magnis copiis ab Orode Parthorum rege acceptis, cum ejus filio Pacoro est ablegatus, qui Syriam, Tyro excepta, subegit, et in Palæstinam impressionem fecit. Labienus vero Ciliciam occupavit, et urbes Asiæ mediterraneas. Enimvero Antonius, quamvis et hæc et cætera quæ in Italia gerebantur, audiret : tamen amore et ebrietate præpeditus, neque cives neque socios curabat, sed cum Cleopatra et Ægyptiis genio indulgebat, donec funditus everteretur. Ac vix tandem experrectus, Tyrum navigavit : sed ea per causam belli cum Sexto gerendi relicta, per continentem in Asiam usque profectus, in Græciam transiit. Ubi cum matre et uxore congressus, Cæsare hoste declarato, cum Sexto pacem fecit. Deinde in Italiam trajecit, ubi quasdam urbes occupavit, quasdam oppugnavit. Coegit et Cæsar suas copias. Bello inter eos orto, cum tota Italia, tum Roma turbata fuit. Interea Fulviæ morte Sicyone nuntiata, ambo armis positis in gratiam redierunt ; ac Cæsar Sardiniam, Dalmatiam, Hispaniam et Galliam est sortitus : Antonio cætera omnia, quæ ultra sinum Ionium in Europa et Asia Romanis patebant, obvenerunt. Libycas gentes Lepidus, Siciliam Sextus tenuit. Imperium sic de integro partiti, bellum cum Sexto communibus opibus gerendum decreverunt. Reconciliata gratia, se mutuo in castris Brundusinis conviviis exceperunt, Cæsar Romano et militari more sine lauticiis, Antonius **512** Asiano et Ægyptiaco luxu. Cum inter sese reconciliati viderentur, Cæsariani circumsteterunt Antonium, ab eo pecuniam in pugna Philippica promissam flagitantes : quam ut affatim afferret, in Asiam profectus esset. Sed cum nihil daret, male ab eis tractatus esset, nisi eos Cæsar amplissime pollicendo, compescuisset. Deinde bellum adversus Sextum gerendum susceperunt. Sed populus Romanus, cum ob illum mari dominantem, fame et multiplicibus tributis premeretur, indignabatur : neque se continere poterat, quin ut pacem cum eo facerent, postularet. Quo non impetrato, ad Sextum defecit, et magistratus lapidibus foro exegit : et Cæsaris atque Antonii statuis eversis, ad ipsos occidendos concitatus est. Quare vel inviti de pace cum Sexto agere sunt coacti. Ac primum per amicos cum eo tractarunt : deinde ipsi in colloquium convenerunt, et his conditionibus pacem fecerunt : servos transfugas libertate donandos, exsules (percussoribus exceptis) revocandos esse, et quibusdam eorum, tribunatus, prætoras, et sacerdotia statim tribuenda. Ipsum Sextum consulem designandum, et augurem creandum esse. De paternis opibus mille quingentas quinquaginta myriadas drachmarum restituendas esse : Siciliam, Sardiniam Achaiam, quinquennium tenendas,

τότε δὴ καὶ μᾶλλον τοῖς Ῥωμαίοις ἐπέθεντο, τοῦ Λαβιηνοῦ πρὸς τοῦτο σφᾶς ἐρεθίσαντος, ὃς τῷ Βρούτῳ μὲν καὶ τῷ Κασσίῳ συνεστρατεύετο · πεμφθεὶς δὲ παρ' ἐκείνων εἰς Πάρθους συμμαχίαν αἰτουμένων, ὡς τὴν ἐκείνων ἦτταν ἔγνω, κατέμεινε παρὰ τοῖς βαρβάροις, καὶ τότε τοῦ πολέμου ἡγεμὼν γενέσθαι ὑπέστχετο, καὶ πολλὰ μεταστήσειν τῶν ἐθνῶν ἐπηγγείλατο. Ὅθεν καὶ δύναμιν πολλὴν πρὸς τοῦ τῶν Πάρθων βασιλέως Ὀρώδου ἔλαβε, καὶ τῷ υἱῷ αὐτοῦ τῷ Πακόρῳ συναπεστάλη. Καὶ ὁ μὲν Πάκορος τὴν Συρίαν ἐχειρώσατο πλὴν Τύρου, καὶ εἰς Παλαιστίνην εἰσέβαλεν : ὁ δὲ Λαβιηνὸς τήν τε Κιλικίαν κατέσχε, καὶ τῆς Ἀσίας τὰς ἠπειρώτιδας πόλεις. Ἀντώνιος δὲ ἐπυνθάνετο μὲν καὶ ταῦτα, ὥσπερ δὴ καὶ τἄλλα τὰ τῇ Ἰταλίᾳ δρώμενα, ὑπὸ δὲ τοῦ ἔρωτος καὶ τῆς μέθης οὔτε τῶν πολιτῶν, οὔτε τῶν συμμάχων ἐφρόντιζε, τῇ Κλεοπάτρᾳ δὲ καὶ τοῖς Αἰγυπτίοις συνετρύφα, μέχρις οὗ παντελῶς κατελύθη. Ὀψὲ δ' οὖν ποτε ἐξαναστὰς, ἔπλευσεν εἰς Τύρον. Τὸν δὲ τοῦ Σέξτου προφασισάμενος πόλεμον, ἀπέλιπεν αὐτούς. Καὶ παρὰ τὴν ἤπειρον μέχρι τῆς Ἀσίας παρακομισθεὶς εἰς τὴν Ἑλλάδα διῆλθεν. Ἔνθα τῇ τε μητρὶ καὶ τῇ γυναικὶ ἐντυχών, τόν τε Καίσαρα πολέμιον ἐποιήσατο, καὶ τῷ Σέξτῳ ἐσπείσατο. Εἶτα εἰς τὴν Ἰταλίαν περαιωθεὶς, τινὰ μὲν ταύτης κατέσχε, τινὰ δ' ἐπολιόρκει· καὶ ὁ Καῖσαρ τὰ δυνάμεις συνήθροιζε. Συνερρωγότων οὖν αὐτῶν ἐς τὸν πόλεμον, ἥ τε ἄλλη Ἰταλία τετάραχτο, καὶ ἡ Ῥώμη δὲ μάλιστα. Ἐν τούτοις ἡ Φουλβία ἐν Σικυῶνι διάγουσα ἐτελεύτησεν. Ὡς δὲ τοῦτο ἠγγέλθη, τὰ ὅπλα κατέθεντο ἄμφω καὶ συνηλλάγησαν. Καὶ Καῖσαρ μὲν Σαρδώ τε καὶ Δελματίαν, τήν τε Ἰβηρίαν καὶ τὴν Γαλατίαν ἐκληρώσατο· Ἀντωνίῳ δὲ πάντα τὰ ἄλλα ὑπὲρ τὸν Ἰώνιον, τά τε ἐν τῇ Εὐρώπῃ καὶ τὰ ἐν τῇ Ἀσίᾳ Ῥωμαίοις ὄντα ἐπέλαχε. Τὰ δ' ἐν τῇ Λιβύῃ ἔθνη Λέπιδος, καὶ τὴν Σικελίαν ὁ Σέξτος εἶχον. Τὴν μὲν οὖν ἀρχὴν οὕτως αὖθις ἐδάσαντο, τὸν δὲ πρὸς τὸν Σέξτον πόλεμον ἐκοινώσαντο· καὶ ἐπὶ ταῖς καταλλαγαῖς εἰστίασαν ἀλλήλους ἐν τοῖς περὶ τὸ Βρεντέσιον στρατοπέδοις, Καῖσαρ μὲν Ῥωμαϊκῶς τε καὶ στρατιωτικῶς, Ἀντώνιος δὲ Ἀσιανῶς τε καὶ Αἰγυπτίως. Κατηλλαγμένων δ' αὐτῶν ὡς ἐδόκουν, περιστάντες τὸν Ἀντώνιον οἱ τότε συνόντες τῷ Καίσαρι, ἀπῄτουν παρ' αὐτοῦ τὰ χρήματα ἃ ἀπὸ τῆς μάχης τῆς ἐν Φιλίπποις ὑπέσχοντο σφίσι, δι' ἃ καὶ ἐς τὴν Ἀσίαν, ὅπως πλεῖστα ἀθροίσειεν ἔσταλτο. Κἂν ἐξειργάσαντό τι αὐτὸν μηδὲν διδόντα, εἰ μὴ σφᾶς ὁ Καῖσαρ κατέσχεν, ἐλπίσι μετεωρίσας αὐτούς. Καὶ μετὰ τοῦτο τοῦ πρὸς τὸν Σέξτον πολέμου ἥπτοντο. Λιμοῦ δὲ τοὺς ἐν τῇ Ῥώμῃ τοῦ Σέξτου θαλασσοκρατοῦντος πιέζοντος, τελῶν τε πολλῶν καὶ παντοίων ἐπιτασσομένων αὐτοῖς, δεινῶς ἠσχάλλον, καὶ οὐκέθ' ἡσύχαζον, ἀλλὰ παρεκάλουν σφᾶς σπείσασθαι τῷ Σέξτῳ. Ὡς δ' οὐκ ἔπειθον, πρὸς τὸν Σέξτον ἀπέκλιναν, καὶ τοὺς ἐν ταῖς ἀρχαῖς ὄντας λίθοις ἐξήλασαν ἐκ τῆς ἀγορᾶς, τάς τε τοῦ Καίσαρος καὶ τοῦ Ἀντωνίου εἰκόνας κατέβαλον, καὶ ἐπ' αὐτοὺς ὡς ἀποκτενοῦντες σφᾶς ὥρμησαν. Ὅθεν ἠναγκάσθησαν τῷ Σέξτῳ καὶ ἄκοντες ἐπικη-

ρυκεύσασθαι· καὶ πρῶτον μὲν διὰ τῶν ἑταίρων αὐτῷ διελέχθησαν, ἔπειτα καὶ αὐτοὶ ἐς λόγους ἦλθον, καὶ ἐσπείσαντο ἐπὶ συνθήκαις, ὥστε τοὺς αὐτομολήσαντας τῶν δούλων ἐλευθέρους εἶναι, καὶ τοὺς ἐκπεσόντας πλὴν τῶν σφαγέων κατελθεῖν, καί τισιν αὐτῶν δημαρχίας τε καὶ στρατηγίας, καὶ ἰερωσύνας εὐθὺς δοθῆναι. Αὐτὸν δὲ τὸν Σέξτον ὕπατόν τε αἱρεθῆναι καὶ οἰωνιστὴν ἀποδειχθῆναι; κἀκ τῆς πατρῴας οὐσίας χιλίας πενταχοσίας πεντήκοντα μυριάδας δραχμῶν κομίσασθαι, καὶ Σικελίας καὶ Σαρδοῦς τῆς τε Ἀχαΐας ἐπὶ πέντε ἔτη ἄρξαι, μὴ αὐτομόλους δεχόμενον, μὴ ναῦς ἐπικτώμενον, μή τινα ἐν τῇ Ἰταλίᾳ ἔχοντα φρούρια· ἀλλὰ τήν τε εἰρήνην τὴν ἐν τῇ θαλάσσῃ αὐτῇ πρυτανεύοντα, καὶ σῖτον τοῖς ἐν τῇ πόλει τακτὸν πέμποντα. Τὰς γοῦν συνθήκας ταύτας συγγραψάμενοι, καὶ τὰ γραμματεῖα ταῖς ἱερείαις ταῖς ἀειπαρθένοις παραθέμενοι, δεξιάς τε σφίσιν ἔδοσαν καὶ ἀλλήλους ἐφίλησαν· καὶ ἐπὶ τούτοις ἄπλετος ἠγέρθη βοὴ κἀκ τῆς ἠπείρου κἀκ τῶν νεῶν, ὥστε καὶ τὰ ὄρη συνηχῆσαι. Μετὰ ταῦτα μέντοι οἵ τε ἄλλοι ὑπεδέχοντο ἀλλήλους καὶ ἀνθειστίων, καὶ αὐτοὶ ἐκεῖνοι, πρότερος μὲν ὁ Σέξτος ἐν τῇ νηΐ, ἔπειτα καὶ ὁ Καῖσαρ ὅ τε Ἀντώνιος ἐν τῇ ἠπείρῳ. Δυνηθεὶς δὲ ὁ Σέξτος ἄμφω ἐν τῷ σκάφει σὺν ὀλίγοις ὄντας κτανεῖν, ὡς καὶ ὁ ἐξελεύθερος αὐτῷ Μηνᾶς συνεβούλευσε, Τεμεῖν, εἰπών, εἰ βούλοιτο τὸ πρυμνήσιον, καὶ ἀποπλεῦσαι, οὐκ ἠθέλησεν, ἀλλὰ καὶ τὴν θυγατέρα Μάρκῳ Μαρκέλλῳ τῷ τοῦ Καίσαρος ἀδελφιδῷ ἐνεγγύησε. Καὶ οὕτω μὲν ὁ πόλεμος ἀνεβίβλητο.

ΚΓ'. Ἐς τὴν Ἑλλάδα δὲ ὁ Ἀντώνιος ἀπὸ τῆς Ἰταλίας ἐπανελθὼν ἐπὶ πλεῖστον ἐν ταύτῃ διέτριψε, τάς τε ἐπιθυμίας ἀποπιμπλὰς, καὶ τὰς πόλεις κακῶν, ὡς ἀσθενέσταται τῷ Σέξτῳ παραδοθῶσι· καὶ ἄλλα δὲ πολλὰ ἐξεδιητήθη παρὰ τὰ πάτρια· καὶ Διόνυσον νέον ἑαυτὸν ἐκάλει καὶ παρὰ τῶν ἄλλων ὀνομάζεσθαι ἤθελε. Καὶ Ἀθηναίων διὰ ταῦτά τὴν Ἀθηνᾶν αὐτῷ κατεγγυωμένων, δέχεσθαί τε τὸν γάμον ἔφη, καὶ προῖκα μυριάδας ἑκατὸν ἐπράξατο παρ' αὐτῶν. Κἀκεῖνος μὲν περὶ ταῦτα εἶχε, τὸν δὲ Βεντίδιον τὸν Πούπλιον εἰς τὴν Ἀσίαν προέπεμψεν, ὃς τῷ Λαβιηνῷ συμμίξας μετά τε τῶν περὶ αὐτὸν Ῥωμαίων καὶ τῶν Πάρθων παραταξαμένῳ τρέπεται τούτους. Καὶ πολλοὶ μὲν τῶν Πάρθων παρὰ τῶν πολεμίων ἐσφάγησαν, πλείους δὲ ὑπ' ἀλλήλων ἐφθάρησαν ἐν τῇ φυγῇ συμπατούμενοι, οἵ τε περιλειφθέντες εἰς Κιλικίαν ἔφυγον. Ὁ Λαβιηνὸς δὲ αὖθις ἡτοιμάζετο ἥξειν ἐς χεῖρας αὐτῷ. Οἱ δὲ στρατιῶται ἀθυμοῦντες διὰ τὴν τῶν βαρβάρων φυγὴν, ἀποδρᾶναι νυκτὸς ἐπεχείρησαν. Καὶ τοῦτο ἐξ αὐτομόλου γνοὺς ὁ Βεντίδιος, πολλοὺς μὲν ἐν τῇ ἀποχωρήσει λοχήσας ἀπέκτεινε, τοὺς δὲ λοιποὺς εἰς ἑαυτὸν ἐπεσπάσατο· ἐκεῖνος δὲ τότε μὲν διέφυγεν, ὕστερον δὲ ὑπὸ τοῦ Δημητρίου ἁλώς, ὃς τοῦ προτέρου Καίσαρος ἐξελεύθερος ὤν, τότε παρὰ τοῦ Ἀντωνίου εἰς Κύπρον ἀπέσταλτο. Βεντίδιος δὲ τὴν Κιλικίαν ἐκομίσατο καὶ Σίλωνα μεθ' ἱππέων εἰς τὸν Ἀμανὸν προέπεμψεν (ὄρος δὲ τοῦτό ἐστιν ἐν μεθορίῳ κείμενον Συρίας καὶ Κιλικίας, κομιδῇ στενὴν ἔχον τὴν δίοδον), ἔνθα καὶ ἐκινδύνευσεν ἂν ὑπὸ τῶν παρὰ τοῦ Πακόρου τεταγμένων φυλάττειν αὐτὸ, εἰ μὴ κατὰ τύχην ὁ Βεντίδιος μαχομένῳ αὐτῷ ἐπιστὰς ἐβοήθησε. Καὶ οὕτω τήν τε Συρίαν πλὴν τῶν Ἀραδίων παρέλαβεν, εἶτα καὶ τὴν Παλαιστίνην κατέσχεν. Ἀππίου δὲ Κλαυδίου καὶ Γαΐου Νὸρβανοῦ ὑπατευόντων τὸ πλῆθος πρὸς τοὺς τελώνας βαρυγόμενον

A transfugas nullos suscipiendos, classi nullas naves adjungendas, nulla in Italia præsidia habenda: sed et mare pacandum, et certum frumenti numerum in urbem mittendum esse. Has conditiones tabulis inscriptas apud Vestales virgines deposuerunt, porrectisque dexteris inter se osculati sunt. Inde clamor ingens tam in continente quam in navibus est sublatus, ut montes resonarent. Postea cum alii convivia inter se agitavere, tum illi ipsi, ac primum Sextus in navi, postea Cæsar et Antonius in littore. Ubi cum utrumque Sextus cum paucis Menæ liberti suasu occidere potuisset, qui, si vellet, se rudentibus resectis navigaturum dicebat: noluit, sed filiam suam M. Marcello Cæsaris consobrino despondit.

XXIII. Eo bello dilato, Antonius ex Italia in Græciam reversus, **513** longissimo tempore ibi et genio indulsit, et civitates afflixit, ut quam infirmissimæ Sexto traderentur: et præter alia multa a patriis moribus abhorrentia, se Bacchum juniorem nominabat, et ab aliis appellari jubebat. Qua de causa cum ei Athenienses Minervam desponderent, accipere se conditionem illam dixit, et ab eis dotis nomine decies centena millia drachmarum exegit. His rebus occupatus, P. Ventidium in Asiam præmisit: qui Labieni Romanas et Parthicas copias acie vicit: ac Parthi multi ab hostibus cæsi sunt, plures a se invicem in fuga conculcati, reliqui in Ciliciam fugerunt. Labieno prælium redintegraturo, cum Ventidius milites ejus ob fugam barbarorum minus alacres, noctu aufugere velle ex transfuga cognovisset, multos in discessu per insidias exceptos occidit, cæteros ad se attraxit: ac tum quidem Labienus evasit, sed post a Demetrio Cæsaris patris liberto, quem tum Antonius in Cyprum miserat, captus est. Ventidius Cilicia recepta, Silonem cum equitibus ad Amanum præmisit, montem in confinio Ciliciæ et Syriæ situm, cujus perangusti sunt aditus. Ubi discrimen adiisset a Parthis quos Pacorus præsidii causa ibi reliquerat, nisi ei pugnanti Ventidius fortuito superventu opem tulisset. Sic etiam Syriam recepit, præter Aradios. Deinde Palæstina quoque potitus est. Appio Claudio et C. Norbano consulibus multitudo, publicanorum exactionibus onerata, per seditionem cum eis, ministris et militibus eorum, vectigalium exigendorum adjutoribus dimicavit. Cæsar Liviam, Livii Drusi filiam, qui post pugnam Philippicam sibi manus attulerat, Neroni nuptam, uxorem duxit. Quæ cum ex priore marito sextum jam mensem ferret uterum,

dubitans an rite nuptiæ fierent a pontificibus, hoc responsum tulit : Si conceptus ambiguus esset, eas fuisse differendas : sed cum de eo constet, nihil obstare quominus fiant. Quod haud scio an sic in libris suis scriptum inveneriut, an in Cæsaris gratiam sic pronuntiariut. Elocavit autem eam ipse maritus, tanquam pater. Jam Cæsaris materfamilias Cl. Drusum Neronem parit mulier, **514** quem Cæsar patri misit. Is longo tempore post moriens, et huic et Tiberio ipsum Cæsarem tutorem reliquit. Interea Cæsar et Sextus, qui non sponte, sed coacti inter sese pepigerant, rupto fœdere bellum gesserunt : ad quod ultro propensi, præbita occasione, facile inclinarunt. Menas enim Sexti libertus, in Sardinia agens, cum ob alia, tum ob habitos cum Cæsare sermones suspectus, cum a Sexto quasi ad reddendam gestæ provinciæ rationem accerseretur, legatis occisis, insulam, legiones, classem, semetipsum Cæsari tradidit, a quo magnis honoribus ornatus, aureos annulos accepit : quos olim Romæ nec libertis, nec liberis, nisi imperator permisisset, gestare licebat, sed senatoribus et equitibus duntaxat. Hunc igitur cum dedi sibi Sextus postulasset, Cæsar autem non dedisset, vicissim questus, illum et transfugas recipere, et triremes ædificare, et alia præter pacta et conventa facere : tum propter Menam, tum ob alia crimina, missis militibus Campaniam longe lateque vastavit. Quo Cæsar cognito, Lepidum et Antonium accersivit. Ac Lepidus quidem non statim obtemperavit : Antonius etsi e Græcia Brundusium venit, tamen priusquam cum Cæsare congrederetur, lupi in prætorium suum ingressu, qui milites aliquot ibi interfecerat, territus, per causam belli Parthici quo urgeretur, in Græciam rediit. Sextus factus alacrior, classe Italiam aggressus, multas clades et inferebat et accipiebat, in navalibus tamen pugnis superior : ut Cæsar navibus compluribus tam bello quam vi tempestatum amissis, desperata Sicilia, bene secum agi putaret, si oram maritimam tueretur. Quare Sextus elatior Italiam vexabat. Apollophane in Africam misso, Cæsar et navibus multis fabricatis, et remigibus a senatoribus, equitibus et plebeiis corrogatis, et militibus scriptis, et pecunia undique coacta, ordinanda Italia et Gallia occupatus, Agrippæ navalem instructionem exercendam et exornandam tradidit. Is et navibus et remigibus in unum conductis, illas refecit, hos ut in tabulatis remigarent exercuit. Quæ dum fierent, Romani et principum discordiis et prodigiis terrebantur, **515** eo potissimum, quod albam gallinam ramum lauri cum baccis ferentem, aquila correptam in Liviæ gremium dejecit : id quod signum haud exiguum videbatur. Enimvero Livia gallina curanda, et lauro plantanda, quæ radicibus actis crevit, utique Cæsaris potentiam gremio complectebatur, omnibus in rebus ejus domina futura.

ταῖς εἰσπράξεσιν ἐστασίασε, κἀκείνοις καὶ τοῖς ὑπηρέταις τοῖς τε στρατιώταις τοῖς συνεισπράττουσι σφίσι τὰ χρήματα ἐς χεῖρας ἦεσαν. Ὁ δὲ Καῖσαρ τὴν Λιβίαν ἔγημεν· ἦν δ' αὕτη θυγάτηρ μὲν Λιβίου Δρούσου, ὃς ἑαυτὸν μετὰ τὴν ἐν Μακεδονίᾳ ἧτταν διεχειρίσατο, γυνὴ δὲ τοῦ Νέρωνος, καὶ ἔγκυος ἦν ἐξ ἐκείνου μῆνα ἕκτον. Διατάζοντος δὲ διὰ τοῦτο τοῦ Καίσαρος ἀγαγέσθαι αὐτὴν ἐν γαστρὶ ἔχουσαν, οἱ ἱερεῖς οἱ ποντίφικες, εἰ μὴ ἀνόσιον εἴη τοῦτο, ἐρωτηθέντες, εἶπον ὡς εἰ μὲν ἐν ἀμφιβόλῳ τὸ κύημα ἦν, ὑπερτεθῆναι τὸν γάμον ἐχρῆν· ὁμολογουμένου δὲ αὐτοῦ, οὐδὲν κωλύει αὐτὸν γενέσθαι, τάχα μὲν οὕτως καὶ ἐν τοῖς πατρίοις τοῦτο εὑρόντες, εἰ δὲ καὶ μὴ εὗρον, οὕτως αὐτὸ εἰπόντες διὰ τὸν Καίσαρα. Ἐξέδωκε δὲ αὐτὴν αὐτὸς ὁ ἀνὴρ ὥσπερ τις πατήρ. Συνοικοῦσα δὲ ἤδη ἡ γυνὴ τῷ Καίσαρι, τίκτει Κλαύδιον Δρῦσον Νέρωνα, καὶ αὐτὸν ὁ Καῖσαρ τῷ πατρὶ ἔπεμψεν· ὃς τελευτῶν πολλῷ ὕστερον τούτῳ τε καὶ τῷ Τιβερίῳ ἐπίτροπον αὐτὸν τὸν Καίσαρα κατέλειπεν. Ἐν δὲ τούτῳ ὁ Καῖσάρ τε καὶ ὁ Σέξτος ἐπολέμησαν. Οὐ γὰρ ἐθέλονται ἀλλ' ἀναγκαστοὶ τὴν ὁμολογίαν πεποιημένοι, οὐδ' ἐνέμειναν ταύτῃ. Ἔμελλον μὲν γὰρ, εἰ καὶ μὴ σκῆψις αὐτοῖς ἐγίνετο, μαχέσασθαι. Τέως δ' οὖν καί τινες αὐτοῖς αἰτίαι λαβὰς τῆς μάχης ἔδοσαν. Μηνᾶς γὰρ ἐξελεύθερος ὢν τοῦ Σέξτου, καὶ ἐν τῇ Σαρδοῖ τῇ νήσῳ τυγχάνων ὑποπτεύθη δι' ἄλλα τε καὶ ὅτι τῷ Καίσαρι ἐκεκοινολόγητο, καὶ μεταπεμφθεὶς ὑπὸ Σέξτου ὡς λόγους δώσων περὶ ὧν διῳκήκει, τοὺς μὲν πεμφθέντας ἀπέκτεινε, τὴν δὲ νῆσον τῷ Καίσαρι, καὶ τὸ ναυτικὸν, καὶ τὸ λοιπὸν στράτευμα, καὶ ἑαυτὸν παρεδεδώκει. Ὁ δὲ αὐτὸν μεγάλως τετίμηκε· δακτυλίοις τε γὰρ χρυσοῖς ἐκόσμησε, καὶ τοῖς ἱππεῦσι συγκατηρίθμησε. Τὸ δὲ τῶν δακτυλίων τοιοῦτόν ἐστιν. Οὐδενὶ τῶν πάλαι Ῥωμαίων, οὐχ ὅτι τῶν ἀπελευθέρων, ἀλλ' οὐδὲ τῶν ἐλευθέρων, πλὴν τῶν βουλευτῶν καὶ ἱππέων, δακτυλίοις χρυσοῖς κεχρῆσθαι ἐξῆν, εἰ μὴ ὁ τὸ κράτος ἔχων τοῦτο ἐπέτρεψε. Τοῦτον οὖν τοῦ Σέξτου ἐκδοθῆναί οἱ αἰτήσαντος, ὁ Καῖσαρ οὐκ ἐξέδωκεν, ἀντεγκαλῶν τῷ Σέξτῳ τὸ τοὺς αὐτομόλους τε ὑποδέχεσθαι, καὶ ναυπηγεῖν τριήρεις παρὰ τὰ ὡμολογημένα, καὶ ἕτερα. Ὁ δὲ δὴ Σέξτος διά τε τὸν Μηνᾶν, καὶ δι' ἄλλα τὸν Καίσαρα αἰτιώμενος, πέμψας πόλλὰ τῆς Καμπανίας ἐπόρθησε. Καὶ ὁ Καῖσαρ τοῦτο μαθὼν τὸν Λέπιδον καὶ τὸν Ἀντώνιον μετεπέμψατο. Καὶ ὁ μὲν Λέπιδος οὐκ εὐθὺς ὑπήκουσεν· Ἀντώνιος δὲ ἦλθε μὲν ἐκ τῆς Ἑλλάδος εἰς τὸ Βρεντέσιον, πρὶν δὲ τῷ Καίσαρι συνελθεῖν, δείσας, ὅτι λύκος εἰς τὸ στρατήγιον αὐτοῦ εἰσῆλθε, καὶ στρατιώτας ἔφθειρεν, εἰς τὴν Ἑλλάδα πάλιν ἀνέστρεψε, προφασισάμενος τὰ τῶν Πάρθων ὡς κατεπείγοντα. Ὁ δὲ Σέξτος προθυμότερον ἥπτετο τῶν πραγμάτων, καὶ τῇ Ἰταλίᾳ ἐπέπλει, καὶ πολλὰ μὲν ἐκάκου, οὐ μείω δὲ καὶ ἀντέπαθε. Καὶ ναυμαχιῶν γεγονυιῶν οἱ τοῦ Σέξτου μᾶλλον ἐκράτουν, πολλῶν μὲν νηῶν τοῦ Καίσαρος καὶ ἐν ταῖς ναυμαχίαις φθαρεισῶν, πολλῶν δὲ καὶ ὑπὸ βιαίων πνευμάτων κινδυνευσασῶν, ὥστε τὸν Καίσαρα βουλόμενον εἰς Σικελίαν ἐμβαλεῖν, τοῦτο μὲν ἀπαγνῶναι, τῆς δὲ παραθαλαυ-

σίας ἠπείρου τὴν φυλακὴν ποιεῖσθαι ἀγαπητῶς. Ὁ Σέξτος δ' ἔτι μᾶλλον ἤρθη, καὶ αὐτὸς μὲν τὴν Ἰταλίαν ἐκάκου, εἰς δὲ τὴν Λιβύην τὸν Ἀπολλοφάνην ἀπέστειλε. Καῖσαρ μέντοι πλοῖά τε πολλὰ ἐναυπήγει, καὶ ἐρέτας παρά τε τῶν βουλευτῶν καὶ τῶν ἱππέων καὶ τῶν δημοτῶν συνέλεγεν. Ὁπλίτας τε κατελέγετο καὶ χρήματα πανταχόθεν συνήθροιζε· καὶ αὐτὸς μὲν τά τε ἐν τῇ Ἰταλίᾳ καὶ τῇ Γαλατίᾳ διέταττε, τῷ δὲ Ἀγρίππᾳ τὴν τοῦ ναυτικοῦ παρασκευὴν ἐγχειρίσας, ἐκπονῆσαι καὶ ἐξασκῆσαι τοῦτο ἐκέλευσε. Καὶ ὅς τάς τε ναῦς καὶ τοὺς ἐρέτα, ἠθροισε, καὶ τὰς μὲν κατέφραττε, τοὺς δ' ἐπ' ἰκρίων ἐρέττειν ἤσκει. Οἱ δ' ἐν τῇ Ῥώμῃ ἐταράττοντο μὲν καὶ ταῖς τῶν ἀρχόντων πρὸς ἀλλήλους στάσεσιν, ἔθραττον δὲ αὐτοὺς καὶ σημεῖα ἄλλα τε καὶ ὅτι λευκὴν ὄρνιν κλωνίον δάφνης ἐγκάρπου φέρουταν ἀετὸς ἁρπάσας εἰς τὸν κόλπον τῆς Λιβίας ἐνέβαλεν· ὃ οὐ μικρὸν σημεῖον ἐδόκει. Ἡ δὲ τῆς τε ὄρνιθος ἐπεμελήθη καὶ τὴν δάφνην ἐφύτευσε, καὶ ἡ μὲν ῥιζωθεῖσα ηὔξησεν, ἡ δὲ Λιβία ἐγκολπώσασθαι τὴν τοῦ Καίσαρος ἰσχὺν, καὶ ἐν πᾶσιν αὐτοῦ κρατήσειν ἔμελλεν.

ΚΔ'. Ἐν δὲ τούτῳ τῷ χρόνῳ ἦλθε μὲν ὁ Ἀντώνιος ἐκ τῆς Συρίας εἰς Ἰταλίαν, ὡς τῷ Καίσαρι διὰ τὰ συμβεβηκότα αὐτῷ τοῦ πρὸς τὸν Σέξτον μαθέξων πολέμου, οὐ μέντοι παρέμεινεν· ἀλλὰ ναῦς δοὺς αὐτῷ καὶ ἑτέρας πέμψειν ἐπαγγειλάμενος, στρατιώτας ἀντείληφεν. Αὐτὸς δὲ ὡς ἐπὶ Πάρθους στρατεύσων ἀπῆρε. Πρὶν δὲ ἀπιέναι αὐτὸν ἠτιάσαντο ἀλλήλους· εἶτα καὶ διηλλάγησαν, τῆς Ὀκταβίας τὰς διαλλαγὰς πραττούσης. Ἡ δὲ Ὀκταβία τοῦ Καίσαρος ἦν ἀδελφή, ἣ μετὰ θάνατον τῆς Φουλβίας τῷ Ἀντωνίῳ συνήφθη παρὰ τοῦ ἀδελφοῦ, τοῦ ἀνδρὸς αὐτῆς ᾧ συνῴκει πρότερον τελευτήσαντος. Καὶ ἐπειδὴ οὔπω παρῆκεν ὁ πένθιμος χρόνος, ψήφῳ τῆς συγκλήτου ἐλύθη τὸ ἐπιτίμιον. Καὶ τότε δὲ, ἵνα πλείων αὐτοῖς ἐκ συγγενείας σύνδεσμος γένοιτο, Ἀντύλῳ τῷ τοῦ Ἀντωνίου υἱῷ τὴν θυγατέρα ὁ Καῖσαρ τὴν ἑαυτοῦ κατηγγύησεν. Ἐπλάττοντο δὲ ταῦτα καὶ ὑπεκρίνοντο διὰ τὰ τότε σφίσιν ὑπάρχοντα πράγματα. Τὴν δὲ Σέξτον τῆς τε ἱερωσύνης ἔπαυσαν καὶ τῆς ὑπατείας, ἑαυτοῖς δὲ τὴν ἡγεμονίαν εἰς ἄλλην πενταετίαν ἐπέτρεψαν· ἡ γὰρ προτέρα ἐκμεμέτρητο ἤδη. Καὶ Ἀντώνιος μὲν εἰς Συρίαν ἠπείγετο, Καῖσαρ δὲ εἰς τὸν πρὸς Σέξτον πόλεμον ἡτοιμάζετο. Ὁ δὲ Μηνᾶς πρὸς τὸν Σέξτον αὖθις ἀπηυτομόλησεν, ἄπιστος ὤν, καὶ θεραπεύων ἀεὶ τὰ τοῦ κρείττονος. Καῖσαρ δ' ἐπιστάντος τοῦ ἔαρος ὥρμησε κατὰ τῆς Σικελίας, περισχεῖν ἐλπίσας τῷ στόλῳ αὐτήν, καὶ τῷ τε πλήθει τεθαρρηκὼς τῶν σκαφῶν καὶ τῷ μεγέθει, καὶ τοῖς πύργοις οὓς ἔφερον, ἵν' ἐξ αὐτῶν ὡς ἀπὸ τείχους ἐξ ὑπερδεξίων ἀνταγωνίζωνται. Ἀπιόντι δὲ χειμὼν συνέβη βαρύτατος καὶ πολλὰς ἔφθειρε τῶν νεῶν, καὶ ὁ Μηνᾶς ταῖς λοιπαῖς τεταραγμέναις ἐπενεχθείς, συχνὰς μὲν ἔκαυσε, τὰς δ' ἀνεδήσατο. Καὶ εἰ μὴ αὖθις τῷ Καίσαρι προσεχώρησε καὶ τὸ ναυτικὸν οὗ ἦρχε παρέδωκεν, εἰς κενὸν ἂν καὶ τότε τῷ Καίσαρι ὁ ἔπιπλους ἐγένετο. Ἀπομόλησε δ' ὁ Μηνᾶς πρὸς ἄπαν παρὰ τοῦ Σέξτου ὑποπτευόμενος· ἀλλ' οὐδ' ὁ Καῖσαρ ἔτι αὐτῷ ἐπίστευεν. Ἐπεὶ δὲ τὸν στόλον αὖθις ὁ Καῖσαρ ἀνεκτήσατο, εἰς τὴν ἤπειρον ἀνεκομίσθη, ὡς τὸ πεζὸν τοῦ στρατεύματος εἰς τὴν Σικελίαν, ὅτε καιρὸς, περαιώσων. Ὁ δὲ Σέξτος ἐν Μεσήνῃ τὸν αὐτοῦ διάπλουν ἐτήρει. Τῷ δ' Ἀγρίππᾳ εἰς Λιπάραν σὺν ναυσὶ καταλειφθέντι παρὰ τοῦ Καίσαρος, Δημόχαριν ἀνθορμίσαι ἐν Μύλαις ἐκέλευσε, καὶ διέτριψαν ἐκεῖσε χρόνον ὑπόσυχνον. Τέλος δὲ ὁ Ἀγρίππας σὺν ταῖς ἀρίσταις τῶν νεῶν ἐπὶ κατασκοπὴν τῶν ἐναντίων ἀπελήλυθε. Καὶ ὡς οὔτε πάντας κατεῖδεν,

XXIV. Interea temporis Antonius ex Syria in Italiam profectus, ut Cæsari parum feliciter cum Sexto belligeranti opem ferret, non permansit: sed navibus partim ei datis, partim promissis, milites vicissim accepit. Priusquam autem ad bellum Parthicum reverteretur, controversia inter eos orta, per Octaviam Cæsaris sororem composita est, quæ cum Antonio post Fulviæ obitum, luctu ob priorem maritum nondum finito, nupsisset: Senatusconsulto multa illa sublata est. Tum etiam, ut per affinitatem arctiore necessitudinis vinculo astringerentur, Antyllo Cæsar Antonii filio suam filiam despondit. Hæc temporum causa uterque fingebat, et simulabat omnia. Sexto autem et consulatum et auguratum eripuerunt, sibique principatum in aliud quinquennium vindicarunt, priore quinquennio jam elapso. Antonio in Syriam properante, Cæsar bello cum Sexto gerendo, ad quem Menas homo perfidus, semperque potentiores colere solitus, denuo transfugerat, intentus primo vere in Siciliam trajecit, et multitudine ac magnitudine navium fretus, turribus præsertim quas gerebant, unde tanquam de muro ex superiore loco pugnarent, spem conceperat insulæ classe occupandæ. Sed inter eundum gravissima tempestate complures naves amisit, et Menas in reliquas turbatas invectus, multas cremavit, nonnullas attraxit. Ac nisi rursus ad Cæsarem defecisset, et classem illi suam tradidisset: tum etiam irrita fuisset illius expeditio. Menæ transfugii causa fuit, qui in omnibus suspectum se esse videbat Sexto. Sed ne Cæsar quidem amplius ei fidem habuit, et classe recepta in continentem rediit, peditatum per occasionem transportaturus. Sextus vero ejus trajectum Messanæ observans, **516** Democharem in Mylis contra Agrippam, a Cæsare cum navibus Liparæ relictum, in procinctu esse jussit. Ubi cum diutius commorati essent, tandem Agrippa cum optimis navibus ad speculandam hostilem classem profectus, cum nec omnem conspexisset, et nemo contra iret, reversus, se ut postidie dimicaturus paravit. Idem et Demochari accidit, qui et ipse, ut in hostem pugnaturus, Sextum accersivit. Diluculo ambæ classes productæ, longissimo tempore æquo marte dimicarunt: tandem sub noctem Cæsariani vicerunt, sed victos non persecuti sunt. Cæsar, cum Sextus propter navalem pugnam Messana decessisset,

citra periculum Taurominium trajecit. Peracto prælio Sextus Messanam celeriter reversus, cognito Cæsaris trajectu, terra eum aggressus est : qui classis maxima parte amissa, propemodum ipse quoque periisset, sed tum terra evasit : ægreque ferens exercitum in insula circumventum esse, non prius recepit animum, quam piscis saltu e mari in terram facto, sponte ante pedes ejus concidit. Id enim vates interpretabantur, fore ut mari potiretur. Ejus vero exercitus cum et obsideretur, et alimenta non haberet, et opem ferret nemo, Cornificius dux ejus navibus e pugna reliquis exustis, ipse quoque ad Mylas abduxit copias, ac in itinere multas clades accepit, in flumi- num transitu potissimum, hostibus tergo inhærentibus : idque per triduum duravit. Extremo vero die cum Sextus etiam advenisset, undique vexati omnes periissent, nisi Pompeiani coacti essent retrocedere. Aggripa enim navali pugna victor, Siciliam ingressus, exercitui frumentum et auxilia misit : cujus adventum metuens Sextus, tanta festinatione recessit, ut impedimenta quædam et commeatum in munitione relinqueret, quo sustentati Cornificiani, ubi ad Agrippam pervenerunt, a Cæsare laudibus et muneribus recreati sunt.

A οὔτ' ἀναχθῆναί τις ἠθέλησεν, ἐπανῆλθε, καὶ παρεσκευάζετο ὡς πολεμήσων τῇ ἐπιούσῃ. Τὰ δ' αὐτὰ καὶ τῷ Δημοχάρει συμβέβηκε, καὶ ἡτοιμάζετο κἀκεῖνος, ὡς τοῖς πολεμίοις ἐπελευσόμενος, καὶ τὸν Σίξτον δὲ μετεπέμψατο. Ἡμέρα τε ἤδη ὑπέλαμπε, καὶ ἄμφω τὰ ναυτικὰ ἐπ' ἀλλήλοις ἔπλεον, καὶ τῆς ναυμαχίας ἀπήρξαντο, καὶ ἐπὶ πλεῖστον μὲν ἀγχωμάλως ἠγωνίσαντο. Ὀψὲ δ' οὖν ποτε καὶ πρὸς νύκτα ἤδη οἱ τοῦ Καίσαρος ἐκράτησαν, οὐ μέντοι καὶ ἐπεδίωξαν. Καῖσαρ δὲ, τοῦ Σέξτου ἐκ τῆς Μεσήνης διὰ τὴν ναυμαχίαν ἀπάραντος, ἀκινδύνως ἐπεραιώθη πρὸς Ταυρομένιον. Ἤδη δὲ τῆς ναυμαχίας παυθείσης σπουδῇ πρὸς τὴν Μεσήνην ὁ Σέξτος ἀφίκετο, καὶ μαθὼν περαιωθέντα τὸν Καίσαρα, προσέμιξεν αὐτῷ κατὰ γῆν. Καὶ ὁ Καῖσαρ τοῦ τε ναυτικοῦ τὸ πλεῖον B ἀπέβαλε καὶ αὐτὸς ὀλίγου προσδιεφθάρη· τέως δ' οὖν εἰς τὴν ἤπειρον διασέσωστο· ἦχθετο δὲ τοῦ στρατεύματος ἐν τῇ νήσῳ ἀπειλημμένου, καὶ οὐ πρὶν ἀνεθάρσησεν ἕως ἰχθὺς ἀναθορὼν ἐκ τῆς θαλάσσης αὐτόματος πρὸς τοὺς πόδας αὐτοῦ ἔπεσε. Τοῦτο γὰρ οἱ μάντεις δηλοῦν ἐξηγήσαντο, ὅτι δουλώσεται τὴν θάλασσαν. Ἡ δὲ τοῦ Καίσαρος στρατιὰ ἐπολιορκεῖτο, καὶ ἐπεὶ τὰ ἐπιτήδεια ἐπέλιπον σφᾶς, καὶ ὁ βοηθήσων οὐκ ἦν, ὁ ταύτης ἄρχων Κουρνοφίκιος τά τε σκάφη ὅσα ἐκ τῆς ναυμαχίας περισέσωστο ἔκαυσε καὶ αὐτὸς πρὸς τὰς Μύλας ἀπῆγε τὴν στρατιάν· καὶ πολλὰ ἐκακώθησαν παρὰ τῶν ἐναντίων ἑφεπομένων αὐτοῖς ἔν τε τῇ ἄλλῃ πορείᾳ καὶ μᾶλλον ἐν ταῖς τῶν ποταμῶν διαβάσεσι, καὶ ἐπὶ τρεῖς ἡμέρας ἔπασχον οὕτως. Τῇ δέ γε τελευταίᾳ πάντη αὐτοὺς ἐκάκωσαν προσγενομένου αὐτοῖς καὶ τοῦ Σέξτου. Καὶ πάντες ἂν διεφθάρησαν, εἰ μὴ σφῶν καὶ ἄκοντες ἀπέσχοντο οἱ πολέμιοι. Ὁ γὰρ Ἀγρίππας νικήσας τὴν ναυμαχίαν, ἐς Σικελίαν ἐπεραιώθη, καὶ σῖτόν τε τῷ στρατῷ καὶ βοήθειαν ἔπεμψε. Καὶ ὁ Σέξτος, αὐτὸν τὸν Ἀγρίππαν ἥξειν ἐκεῖ προσδοκήσας καὶ φοβηθείς, σπουδῇ ἀνεχώρησεν, ὥστε σκεύη τινὰ καὶ ἐπιτήδεια καταλεῖψαι ἐν τῷ ἐρύματι, ἐξ ὧν τραφέντες οἱ περὶ τὸν Κουρνοφίκιον πρὸς τὸν Ἀγρίππαν ἀφῆσαν· οὓς ὁ Καῖσαρ ἐπαίνοις καὶ δωρεαῖς ἀνεκτήσατο.

XXV. Post hæc cum Sextus in Siciliam venisset, ad Artemisium castra posuit : ubi cum inter se velitarentur, Gallus suas copias cum Sexto, Lepidus cum Cæsare conjunxit ; ac ille quidem Sextum confirmavit, hic autem cum Cæsare **517** contendit ; nam ex æquo cum eo administrare voluit omnia ; Cæsar vero eo pro legato in omnibus uti voluit : quare ad Sextum inclinavit, et clam cum eo verba contulit ; quo Cæsar animadverso, primo quoque tempore priusquam aliquid novaretur, decernere cum Sexto instituit. Cum prælium in mari commissum longissimo tempore, victoria neutram in partem inclinante duraret, utrique pedestres exercitus in procinctu terra stantes, eventum sollicitati speculabantur. Sexto tandem profligato, alteri pœanes canebant, alteri lamentabantur : ac Sexti pedites, quasi et ipsi una cum classe victi essent, Messanam tendebant. Cæsar vero victos qui in terram enatabant, excipiebat ; et naves quæ terræ allidebantur, incendebat. Interea Democharis sibi ipsi manus attulit : Apollodorus ad Cæsarem defecit. Idem præter alios et Gallus, et ejus equites omnes, et quidem pedites imitati sunt. Itaque Sextus, desperatis rebus filia cum aliis et pecunia et pretiosissimis quibusque rebus firmissimis navibus impositis, noctu abiit, perse-

C ΚΕ'. Μετὰ τοῦτο δ' ἐς Σικελίαν ἐλθόντι τῷ Καίσαρι περὶ τὸ Ἀρτεμίσιον ὁ Σέξτος ἀντεστρατοπεδεύσατο. Ἀντικαθημένων δ' ἀλλήλοις καὶ ἀκροβολιζομένων τῷ μὲν Σέξτῳ ὁ Γάλλος, τῷ δὲ Καίσαρι ὁ Λέπιδος σὺν ταῖς δυνάμεσι προσήνωντο. Καὶ ὁ μὲν Γάλλος ἐπέῤῥωσε τὸν Σέξτον, ὁ δὲ Λέπιδος διηνέχθη τῷ Καίσαρι, αὐτὸς μὲν ἐκ τοῦ ἴσου συνδιοικεῖν αὐτῷ τὰ πάντα βουλόμενος, ἐκείνου δὲ ὡς ὑποστρατήγῳ αὐτῷ χρωμένου ἐν ἅπασι. Διὸ καὶ πρὸς τὸν Σέξτον ἀπέκλινε, καὶ ἐκοινολογεῖτο δι' ἀπορῥήτων αὐτῷ. Ὃ ὑπονοήσας ὁ Καῖσαρ ἔσπευσε πρίν τι νεοχμωθῆναι διὰ μάχης τῷ Σέξτῳ χωρῆσαι. Καὶ ναυμαχίας τε κατὰ θάλασσαν συῤῥαγείσης, καὶ κατὰ γῆν τῶν πεζῶν ἀμφοῖν παρατεταγμένων ἐπὶ πολὺ τῆς ναυμαχίας γινομένης ἰσορῥόπου τε καὶ ἰσοπαλοῦς, τὰ πεζὰ καὶ ἄμφω στρατεύματα ἐθεῶντο καὶ ἠγωνίων. Ἐπεὶ δ' οἱ τοῦ Σέξτου ἐτράποντο, οἱ μὲν ἐπαιάνισαν, οἱ δ' ὠλοφύροντο. Καὶ οἱ μὲν τοῦ Σέξτου πεζοὶ πρὸς τὴν Μεσήνην ἐχώρουν, ἅτε καὶ αὐτοὶ συνηττηθέντες τῷ ναυτικῷ. Ὁ δὲ Καῖσαρ τοὺς ἐκπίπτοντας τῶν ἡττωμένων εἰς τὴν γῆν ἐξεδέχετο καὶ τῶν σκαφῶν ὅσα προσώκειλον ἐνεπίμπρα. Κἀν τούτῳ ὁ μὲν Δημόχαρις ἑαυτὸν ἀπέσφαξεν, ὁ δ' Ἀπολλόδωρος τῷ Καίσαρι προσεχώρησε. Τοῦτο δὲ ἄλλοι τε καὶ ὁ Γάλλος καὶ οἱ ἱππεῖς οἱ σὺν αὐτῷ πάντες καί τινες τῶν πεζῶν πεποιήκασιν. Ὁ Σέξ-

τος δ' ἐντεῦθεν ἀπογνοὺς καὶ τὴν θυγατέρα καὶ ἄλλους παραλαβὼν τά τε χρήματα καὶ τῶν ἄλλων τὰ τιμιώτερα εἰς τὰς ναῦς τὰς κρείττους τῶν σωθεισῶν ἐνθέμενος ἀπῆρε νυκτὸς, οὐδ' ἐπεδίωξέ τις αὐτὸν, ὅτι τε λάθρα ἐξέπλευσε καὶ ὁ Καῖσαρ ἐν μεγάλῃ γέγονε ταραχῇ. Ὁ γὰρ Λέπιδος τῇ Μεσήνῃ ἐπελθὼν καὶ εἰσδεχθεὶς εἰς αὐτὴν, τὰ μὲν ἐνεπίμπρα, τὰ δ' ἥρπαζεν. Εἶτα φοβηθεὶς ἐπελθόντα τὸν Καίσαρα ἐπὶ λόφον καρτερὸν στρατοπεδευσάμενος, πάντα τε ὅσα ἐλαττοῦσθαι ἐνόμιζεν ἐπενεκάλει αὐτῷ, καὶ ἀπῄτει ὅσα αὐτῷ κατὰ τὴν πρώτην συνωμοσίαν ἐδέδοτο, καὶ τῆς Σικελίας ἀντεποιεῖτο ὡς αὐτὴν καταστρεψάμενος, καὶ ταῦτα πέμπων τινὰς ὡμίλει τῷ Καίσαρι, ἔχων ἃς τ' ἐκ τῆς Λιβύης ἐπῆκτο δυνάμεις καὶ τοὺς ἐν τῇ Μεσήνῃ ἐγκαταλειφθέντας πάντας. Ὁ δὲ Καῖσαρ τοῖς ὅπλοις θαῤῥῶν εὐθὺς ἐπ' αὐτὸν μετ' ὀλίγων τινῶν ὥρμησε. Δόξας δὲ διὰ τὴν τῶν συνεπομένων ὀλιγανδρίαν εἰρηνικόν τι πράξειν, ἐς τὸ στρατόπεδον εἰσεδέχθη. Ὡς δ' οὐδὲν πρὸς τὴν καταλλαγὴν ἔλεγε, παρωξύνθησαν οἱ τοῦ Λεπίδου, καί τινας τῶν ἐκείνου ἀπέκτειναν, αὐτὸς δ' ἐσώθη βοηθείᾳ τυχών. Καὶ μετὰ τοῦτο αὖθις ἐπῆλθεν αὐτοῖς σὺν παντὶ τῷ στρατεύματι, καὶ ἐπολιόρκει κατακλείσας σφᾶς εἰς τὸ τάφρευμα. Φοβηθέντες οὖν τὴν ἅλωσιν ἀθρόοι μὲν αἰδούμενοι τὸν Λέπιδον οὐ μετέστησαν πρὸς τὸν Καίσαρα, κατ' ὀλίγους δὲ προσεχώρουν αὐτῷ. Καὶ οὕτω κἀκεῖνος ἐθελοντὴς δῆθεν ἐν ἐσθῆτι φαιᾷ ἱκέτης αὐτῷ προσελήλυθε. Καὶ ὁ μὲν τῆς ἐξουσίας τε παρελύθη καὶ ἐν τῇ Ἰταλίᾳ δίαιταν ἐπεποίητο ἔμφρουρον· τῶν δὲ τὰ τοῦ Σέξτου πραξάντων τινὰς μὲν ἐκόλασεν, ἑνίους δ' ἀφῆκε· καὶ τῶν πόλεων τὰς μὲν ἑκουσίως προσχωρησάσας αὐτῷ συγγνώμης ἠξίωσε, τὰς δ' ἀντιστάσας αὐτῷ ἐδικαίωσεν. Οἱ στρατιῶται δὲ ἐστασίασάν τε καὶ ἐθρασύνοντο, καὶ συλλεγόμενοι ᾔτουν ἕκαστος ὃ ἐπόθει. Τοῦ δὲ Καίσαρος ἐν ὀλιγωρίᾳ σφᾶς ποιουμένου, ὡς μή τινος πολεμίου παρόντος, ἐπηπείλουν. Ὡς δ' οὐδὲν ἦνυον, τῆς στρατείας ἀφεθῆναι ἠξίουν θυμῷ καὶ βοῇ. Λήψεσθαι γὰρ ἤλπισαν ἃ ἀπῄτουν διὰ τὴν ἀπειλὴν τῆς ἐγκαταλείψεως. Ὁ δὲ Καῖσαρ μὴ δεῖν νομίζων τὸν ἄρχοντα ἐξ ἀνάγκης τοῖς ὑπηκόοις ὑπείκειν, εὐλογά τε αὐτοὺς ἀξιοῦν ἔφη, καὶ δίῃκε πρῶτον μὲν τοὺς ἐπὶ τὸν Ἀντώνιον αὐτῷ συστρατεύσαντας· ὡς δὲ καὶ οἱ ἄλλοι ἐνέκειντο, καὶ τοὺς δέκατον ἔτος στρατευσαμένους διαφῆκεν, εἰπὼν ὡς οὐδενὶ ἔτ' αὐτῶν οὐδ' ἂν τὰ μάλιστα ἐθελήσωσι χρήσεται. Ὃ ἀκούσαντες οὐδὲν ἔτι ἐφθέγξαντο, ἀλλὰ προσέχειν αὐτῷ ἦρξαντο. Καὶ τότε μὲν τὰ ἐν τῇ Σικελίᾳ διῴκησε καὶ τὴν Λιβύην ἑκατέραν πέμψας ἀμαχεὶ παρεστήσατο, καὶ οἱ ἐν τῇ Ῥώμῃ πολλὰς αὐτῷ τιμὰς ἐψηφίσαντο. Σέξτος δὲ ἐκ τῆς Μεσήνης ἀναχθείς, ὑποτοπήσας δὲ διωχθῆναι ἢ καὶ προδοθῆναι ὑπὸ τῶν συνόντων, προεῖπε μὲν διὰ τοῦ πελάγους πλεύσειν· ἀποσβέσας δὲ τὸν πυρσὸν ὃν αἱ στρατηγίδες τριήρεις ὡς καὶ αἱ λοιπαὶ αὐταῖς ἐφέπωνται φαίνουσιν, εἰς Κεφαληνίαν κατέπλευσεν· ἔνθα καὶ οἱ λοιποὶ κατὰ τύχην ὑπὸ χειμῶνος εἰσπεσόντες αὖθις αὐτῷ συνεγένοντο. Συγκαλέσας οὖν αὐτοὺς, καὶ

A quente nemine, tum quod clam solverat, tum quod Cæsar pertimuerat. Lepidus enim Messanam aggressus, et mœnibus receptus, alia incendebat, alia rapiebat. Deinde Cæsaris adventu territus, castris in munitissimum tumulum translatis, cum eo de rebus omnibus in quibus in injuriam sibi fieri putabat, expostulavit, et ea omnia quæ in prima conjuratione sibi concessa essent flagitavit, et Siciliam quod eam subegisset sibi vindicavit. Quæ cum per legatos ageret, copiis quas ex Africa adduxerat munitus, et iis qui Messanæ relicti erant ascitis omnibus Cæsar armis fretus cum paucis ad eum ivit : et quia propter paucitatem comitantium de pace acturus putabatur, in castra est receptus. Sed cum nihil ad reconciliationem B loqueretur, Lepidi milites irritati, quosdam ex ejus comitatu occiderunt ; ipse protectus a quibusdam evasit. Deinde toto exercitu rursus adducto, eos in vallo obsedit : cujus expugnationem veriti, Lepidi verecundia universi ad Cæsarem non defecerunt, sed paulatim alii post alios ad eum transierunt. Demum et ipse Lepidus ultro scilicet **518** pulla veste supplex eum adiit : ademptaque potestate in Italia, sub custodia vivere jussus est. Eos qui a Sexto steterant, Cæsar partim supplicio affecit, partim dimisit. Urbibus quæ sponte deditionem fecerunt, veniam dedit : eas quæ restiterunt, multavit. Milites vero per seditionem et tumultum congressi, quod cuique visum est, postularunt. Cum autem a Cæsare negligerentur, quasi C nullus hostis superesset, minisque nihil proficerent, cum indignatione et clamoribus missionem flagitarunt, eo pacto se quæ peterent impetraturos sperantes. Cæsar non decere ratus, ut princeps necessitate coactus subditis cedere videretur, æquum eos postulare dixit. Ac primum eos dimisit, qui secum contra Antonium militarant : cæteris quoque urgentibus, eos etiam dimisit, qui annum decimum militarant, sequo ullo eorum, ut maxime vellent, usurum esse negavit. Quo audito, nihil amplius locuti, ei parere ceperunt. Postea Siciliæ rebus compositis, et utraque Libya per legatos citra pugnam recepta, Romani multos ei honores decreverunt. Sextus vero cum Messana solvisset, hostem insequi, aut a suis proditum iri se metuens, pelagus trajecturum esse dixit : ex- D stinctoque igni quo prætoriæ triremes sequentibus navibus prælucent, in Cephaleniam appulit, quo reliquæ quoque forte fortuna tempestate compulsæ ad eum redierunt. Iis igitur convocatis, imperatoria veste posita, cum alia dixit, tum illud : Si una manerent, se latere non posse : sin dispergerentur, facilius effugituros. Inde aliis alio digressis, ipse in Asiam trajecit, eo consilio ut ad Antonium se conferret. Sed cum Lesbi didicisset, illum contra Medos profectum esse, Cæsarem vero et Lepidum inter sese pugnare : spe concepta principatum Antonii obtinendi, habitum imperatorium resumpsit, et ita se paravit, quasi transmarinas

provincias occupaturus. Quo conatu Antonius cognito, cum ei et impunitatem et benevolentiam suam promisisset, si arma poneret : annuit ille quidem, sed nec ea quæ promiserat præstitit, et rebus gerendis æque ut prius intentus, per caduceatores Parthorum amicitiam petiit. **519** Sed cum Antonius M. Titium cum classe contra eum misisset, territus, per legatos ab Antonio veniam cravit. Qui cum pacem detrectasset, nisi naves ejus cæterasque copias accepisset : impedimentis gravioribus in naves conjectis, et ipsis navibus crematis, in mediterranea se contulit. Cæterum Antonianis persecutis, vivus in potestatem eorum venit. Eum Antonius ira percitus statim per litteras occidi, post mutata sententia, conservari jussit. Sed cum alter tabellarius priori antevertisset, is qui eum ceperat, litteras de eo occidendo posterius acceptas, seu vere posteriores esse ratus, seu veritatis ignorantia simulata, Sextum Pompeium necavit.

τὸ στρατηγικὸν ἀποδυσάμενος ἔνδυμα, ἄλλα τε εἶπε καὶ ὅτι ἀθρόοι μὲν ὄντες οὐ λήσουσι· σκεδασθέντες δὲ ῥᾴω ποιήσονται τὴν διάφευξιν. Κἀντεῦθεν ἄλλων ἄλλοσε ἀποχωρησάντων αὐτὸς ἐς τὴν Ἀσίαν ἐπεραιώθη, γνώμης ὢν ὁρμῆσαι πρὸς τὸν Ἀντώνιον. Ἐν Λέσβῳ δὲ μαθὼν ἐκεῖνον μὲν ἐς Μήδους στρατεῦσαι, πεπολεμῶσθαι δὲ τὸν Καίσαρα καὶ τὸν Λέπιδον, καὶ ἐλπίσας τὴν τοῦ Ἀντωνίου ἀρχὴν διαδέξασθαι, τό τε στρατηγικὸν ἀνέλαβε σχῆμα, καὶ παρεσκευάζετο ὡς καὶ τὴν περαίαν καταληψόμενος. Κἀντεῦθεν τοῦ Ἀντωνίου τὰ πραττόμενα ὑπ' αὐτοῦ γνόντος, ἄδειάν τε αὐτῷ καὶ εὔνοιαν, ἂν τὰ ὅπλα κατάθηται, ὑποσχομένου, κατένευσε μὲν, οὐκ ἐπείσθη δέ γε ὡς ἐπηγγέλατο, ἀλλὰ καὶ τῶν πραγμάτων ὃς πρώην εἶχετο, καὶ πρὸς τοὺς Πάρθους διεκηρυκεύσατο· ταῦτα μαθὼν ὁ Ἀντώνιος, τὸ ναυτικὸν μετὰ Μάρκου Τιτίου ἐπ' αὐτὸν ἔπεμψε, καὶ ὃς φαθηθεὶς διεπρεσβεύσατο πρὸς Ἀντώνιον. Ὁ, δ' ἐκεῖνος οὐκ ἔφη σπείσασθαι, εἰ μὴ τάς τε ναῦς καὶ τὴν λοιπὴν αὐτοῦ παραλήψοιτο δύναμιν, τὰ βαρύτερα τῶν σκευῶν εἰς τὰς ναῦς ἐμβαλὼν αὐτάς τε κατέκαυσε, καὶ εἰς τὴν μεσόγειον ὥρμησε, καὶ οἱ τοῦ Ἀντωνίου ἐπιδιώξαντες αὐτὸν κατέλαβον καὶ ἐζώγρησαν. Ὁ μαθὼν ὁ Ἀντώνιος εὐθὺς μὲν ὑπ' ὀργῆς ἐπέστειλε κτανθῆναι αὐτόν· ὕστερον δὲ μεταμεληθεὶς ἔγραψε σωθῆναι αὐτόν. Τοῦ οὖν δευτέρου γραμματοφόρου τὸν πρῶτον προφθάσαντος, ὕστερον τὰ περὶ τοῦ θανεῖν ὁ κατέχων αὐτὸν κομισάμενος, καὶ νομίσας ὄντως δεύτερα εἶναι, ἢ ἄγνοιαν τοῦ ὄντος ὑποκρινάμενος, τὸν Σέξτον τὸν Πομπήϊον ἐθανάτωσε. Καὶ τῷ μὲν τοιοῦτον τὸ τέλος ἐγένετο.

XXVI. Eo hunc exitum sortito, Antonius per Ventidium Parthos vicit. Nam et rex eorum Pacorus in bello cecidit ; et barbaris partim in prælio cæsis, partim fugatis, Ventidius Syriacas urbes recepit. Deinde Antiocho Comagenes regi arma intulit. Ubi Antonius ex improviso cum eo congressus, non modo successibus ejus gratulatus non est, sed etiam ex invidia magistratu ei abrogato, ipse cum Antiocho congressus, Samosata regem compulit. Sed cum obsidione nihil proficeret, pace facta, in Italiam est profectus. Orodes vero Parthorum rex grandis admodum natu, ob luctum Pacori abdicato imperio, Phraati e cæteris filiis natu maximo regnum tradidit : qui per summum scelus fratres dolo sustulit, ipsumque patrem ob cædem illorum indignantem, et ex cæteris optimos quosque trucidavit. Antonius legatis ad Parthos de pace missis, interim bello se paravit, ut eos ob spem transactionis imparatos aggrederetur. Sed cum Medum auxilio venire Partho didicisset, impedimentis et magna exercitus parte Stratiano relictis, ut sequeretur : ipse cum equitibus et expedito peditatu properavit, quasi Medos statim superaturus esset. Cæterum Parthus et Medus Stratianum subito adorti, cum omni exercitu cecidêrunt. Nam Antonius suppetias eis laturus serius venit, neque quidquam præter cadavera suorum invenit : nec multo post barbaros profligavit, sed non multum eis nocuit. Dumque regiam **520** Medorum obsidet, magis ipse obsidetur, exercitu penuria commeatus laborante : quem dum ex agris peteret, a Parthis ex insidiis erumpentibus male accipiebatur. Hoc Antonii statu Parthus per subornа-

Κϛ'. Ἀντώνιος δὲ διὰ τοῦ Βεντιδίου τοὺς Πάρθους ἐνίκησεν. Ὁ τε γὰρ βασιλεὺς ἐκείνων ὁ Πάκορος ἐν τῷ πολέμῳ ἔπεσε, καὶ οἱ βάρβαροι οἱ μὲν ἐκτάθησαν ἐν τῇ μάχῃ, οἱ δὲ ἔφυγον, καὶ τὰς τῆς Συρίας πόλεις ὁ Βεντίδιος ὑπηγάγετο. Εἶτα κατὰ τοῦ Ἀντιόχου τοῦ τῆς Κομαγηνῆς βασιλεύοντος ἐπεστράτευσεν. Ἐνταῦθα δὲ ὄντι ἀθρόον ὁ Ἀντώνιος ἐπιστὰς οὐ μόνον ἐπὶ τοῖς κατορθώμασιν οὐχ ἥσθη, ἀλλὰ καὶ ἐφθόνησε καὶ τῆς ἀρχῆς αὐτὸν ἔπαυσεν. Αὐτὸς δὲ τῷ Ἀντιόχῳ προσέβαλε, καὶ κατέκλεισεν αὐτὸν εἰς Σαμόσατα. Ὡς δ' οὐδὲν ἦνυε πολιορκῶν αὐτὸν, συνθήκας σπονδῶν ἐποιήσατο καὶ εἰς τὴν Ἰταλίαν ἀφώρμησεν. Ὑρώδης μέντοι ὁ Πάρθων βασιλεὺς ὑπέργηρως γεγονὼς καὶ τῷ τοῦ Πακόρου πένθει τὴν βασιλείαν ἀπαγορεύσας, Φραάτῃ τῷ πρεσβυτέρῳ τῶν λοιπῶν αὐτοῦ παίδων τὴν ἀρχὴν ἐνεχείρισεν. Ὁ δὲ, ἀνοσιώτατος γεγονὼς, τοὺς ἀδελφοὺς αὐτοῦ ἐδολοφόνησε, καὶ αὐτὸν τὸν πατέρα δυσανασχετοῦντα δι' ἐκείνους ἀπέκτεινε, καὶ τῶν ἄλλων τοὺς ἀρίστους διέφθειρεν. Ἀντώνιος δὲ πρόσθεν μὲν πρὸς τοὺς Πάρθους περὶ εἰρήνης ἐκπέμπεται, πρὸς δὲ τὸν πόλεμον ἡτοιμάζετο, ἵνα ἀπαρασκεύοις αὐτοῖς ἐντύχῃ διὰ τὴν ἐλπίδα τῆς συμβάσεως. Καὶ μαθὼν τὸν Μῆδον ἐπὶ συμμαχίαν τοῦ Πάρθου χωρήσαντα, τὰ μὲν σκευοφόρα καὶ πολὺ τῆς στρατιᾶς ὑπελείπετο μετὰ τοῦ Στρατιανοῦ ἵν' ἔποιντο· αὐτὸς δὲ σὺν τοῖς ἱππεῦσι καὶ τῶν πεζῶν τοῖς εὐζώνοις ἠπείγετο ὡς αὐτίκα τὰ τῶν Μήδων καταστρεψόμενος. Ὁ μέντοι Πάρθος καὶ ὁ Μῆδος τῷ Στρατιανῷ ἀπροσδοκήτως ἐπιπεσόντες καὶ τῇ μετ' αὐτοῦ στρατιᾷ, πάντας ἐφόνευσαν, τοῦ Ἀντωνίου σπεύσαντος μὲν βοηθῆσαι αὐτοῖς, πλὴν ὑστερίσαντος, καὶ μόνους τοὺς νεκροὺς εὑρηκότος. Ὃς οὐ

πολλῷ ὕστερον συμβαλὼν τοῖς βαρβάροις, ἐτρέψατο μὲν αὐτοὺς, οὐ μέντοι μέγα τι ἔβλαψε. Πολιορκῶν δὲ τὰ τοῦ Μήδου βασίλεια, ἐπολιορκεῖτο μᾶλλον αὐτὸς ἐπιλιπόντων τῇ αὐτοῦ στρατιᾷ τῶν ἐπιτηδείων, καὶ ἐπὶ συναγωγὴν αὐτῶν ἐξιόντων σφόδρα παρὰ τῶν βαρβάρων καμουμένων, ἐνεδρευόντων αὐτοῖς. Ἐν τούτοις ὄντος τοῦ Ἀντωνίου ὁ Φραάτης, ὑποβαλών τινας, ἔπεισε δι' ἐκείνων αὐτὸν ἐπικηρυκεύσασθαι συμβάσεων ἕνεκεν· καὶ ὁ Πάρθος τοὺς πεμφθέντας ἐξονειδίσας πολλὰ, μὴ ἄλλως σπείσασθαι εἶπεν εἰ μὴ αὐτίκα ἀποστρατοπεδεύσωνται. Καὶ ὁ Ἀντώνιος ἀπανέστη. Προσδεχομένου δ' αὐτοῦ τὰς σπονδὰς, οἱ Μῆδοι τάς τε πολιορκητικὰς κατέκαυσαν μηχανὰς, καὶ τὰ χώματα διεσκέδασαν. Οἱ δέ γε Πάρθοι πολλὰ καὶ δεινὰ αἰφνίδιον προσπεσόντες εἰργάσαντο. Ὡς οὖν ἔγνω ὅτι ἠπάτηται, ἐς τὴν Ἀρμενίαν ἀπελθεῖν ἐπεχείρησε. Καὶ διὰ χωρίων ἀπιὼν ἀγνώστων, πολλαῖς δυσχερείαις ἐνέτυχε. Καὶ κἂν ἀπώλοντο οἱ μετ' αὐτοῦ ξύμπαντες, εἰς ἐνέδραν ἐμπεσόντες, καὶ πυκνοῖς βαλλόμενοι τοῖς τοξεύμασιν, εἰ μὴ τὴν χελώνην ἐποίησαν συνασπίσαντες. Ἡ δὲ χελώνη γίνεται οὕτως· τὰ μὲν σκευοφόρα καὶ οἱ ψιλοὶ ἐν μέσῳ τοῦ στρατεύματος τέτακται, τῶν δ' ὁπλιτῶν οἱ μὲν ταῖς προμήκεσιν ἀσπίσι ταῖς κοίλαις χρώμενοι περὶ τὰ ἔσχατα τάσσονται καὶ τοὺς ἄλλους τὰ ὅπλα περιβεβλημένοι ἔξω τε βλέποντες περιέχουσιν· οἱ δὲ τὰς πλατείας ἀσπίδας φέροντες ἐν τῷ μέσῳ συσπειρῶνται, κἀκείνας ἄνω ἑαυτῶν τε καὶ τῶν λοιπῶν ὑπεραίρουσιν, ὥστε μηδὲν ἕτερον ἢ ἀσπίδας ὁρᾶσθαι διὰ πάσης τῆς φάλαγγος, καὶ ἐν σκέπῃ ἐκ τῶν βελῶν πάντας εἶναι αὐτοὺς ἐκ τῆς πυκνότητος τῆς συντάξεως. Οὕτω γάρ τοι πεπύκνωται, ὡς καὶ βαδίζειν τινὰς ἐπάνω αὐτῆς δύνασθαι. Τὸ μὲν οὖν σχῆμα τῆς τάξεως ταύτης τοιοῦτόν ἐστι, καὶ διὰ τοῦτο καὶ τὴν χελώνην ἔλαχε κλῆσιν διά τε τὸ ἰσχυρὸν αὐτῆς καὶ τὸ εὔσκεπές. Χρῶνται δὲ αὐτῇ διχῇ· ἢ γὰρ πρὸς φρούριόν τι προσμίσγοντες προσπορεύονται καὶ τειχομαχοῦσιν· ἢ ὑπὸ τοξοτῶν περιστοιχισθέντες ποτὲ κυπτάζουσιν οὕτω πάντες, ὡς δοκεῖν ὅτι κεκμήκασι· πελασάντων δὲ τῶν ἐναντίων ἐξαίφνης ἐγείρονται, κἀντεῦθεν σφᾶς ἐκπλήττουσι καὶ ταράττουσιν. Ὃ καὶ τότε συμβέβηκε. Πολλοῖς γὰρ, ὡς εἴρηται, βαλλόμενοι βέλεσι, τόν τε συνασπισμὸν τῆς χελώνης ἐποίησαν, καὶ τὰ γόνατα πρὸς τὴν γῆν ἤρεισαν τὰ εὐώνυμα· νομίσαντες οὖν αὐτοὺς οἱ βάρβαροι ὑπὸ τῶν τραυμάτων καταπεσεῖν, τὰ μὲν τόξα ἀπέθεντο, τὰ δὲ ξίφη σπασάμενοι ὡς συγκόψοντες ἐπῆλθον αὐτοῖς. Ἐξαναστάντες δὲ οἱ Ῥωμαῖοι καὶ αὐτοῖς προσπεσόντες, οἷα γυμνοὺς ὡπλισμένοι, ἀπροσδοκήτους παρεσκευασμένοι, τοξότας ὁπλῖται, βαρβάρους Ῥωμαῖοι κατέκοψαν. Ἀντώνιος μὲν οὖν ὑπὸ τῶν πολεμίων οὐκέτι δεινὸν οὐδὲν ἔπαθεν, ὑπὸ δὲ ψύχους τεταλαιπώρητο. Χειμὼν γὰρ ἦν, καὶ τῆς Ἀρμενίας τὰ πρόσορα, δι' ὧν ἐπορεύετο, κρυσταλλώδη ἀεί εἰσιν· ὅθεν συχνοὶ τῶν αὐτοῦ διεφθείροντο. Διὸ ὑπῆλθε τὸν Ἀρμένιον, καὶ ἐθώπευσε, καίτοι δι' ὀργῆς ἐκεῖνον ποιούμενος. Χρήματα δὲ τοῖς περιλειφθεῖσι διανείμας τῆς στρατιᾶς, ἀπῆρεν εἰς Αἴγυπτον πρὸς τὴν Κλεοπάτραν, δι' ἣν μεγάλως ὑπὸ τῶν ὁμογενῶν διεβέβλητο, ὅτι τε παῖδας ἐξ αὐτῆς ἔσχε καὶ ὅτι χώρας αὐτῇ πολλὰς ἐχαρίσατο. Οὕτως γὰρ τῷ ἔρωτι αὐτῆς καὶ ταῖς γοητείαις ἐδούλευσεν, ὡς καὶ τὴν γυναῖκα αὐτοῦ τὴν Ὀκταβίαν πρὸς αὐτὸν ἐκ Ῥώμης ἀφικνουμένην ἐπανελθεῖν κελεῦσαι, καὶ μὴ αὐτῷ προσελθεῖν.

A tos quosdam ei persuasit, ut pacem peteret: ac legatis post multa opprobria respondit se alia conditione pacem non facturum, nisi statim castra moverent. Antonio digresso, et pacis conditiones exspectante, obsidionalibus machinis crematis et aggeribus disjectis a Medis, Parthi repentina impressione facta Romanos graviter afflixerunt. Antonius igitur se deceptum esse videns, in Armeniam abire statuit: et per loca ignota iter faciens, in tantas difficultates incidit, ut exercitus ejus internecione deletus esset in insidias præcipitatus, ubi crebris sagittis obruebatur, nisi conglobati testudinem fecissent. Ea fit hoc modo. Impedimenta et velites in medium agmen compelluntur. Armati, qui oblongos et cavos clypeos gerunt, in extrema B acie collocati, et hosti obversi armis cæteros tegunt. Qui vero latis clypeis utuntur, in medio conglobati, eos supra semetipsos et cæteros sustinent, ut in tota phalange nihil præter clypeos cernatur, et omnes propter aciei densitatem a telis defendantur; quæ quidem ita condensata est, ut super ea ingredi possis. Acies igitur et ob hanc formam, et ob robur, et ob protectionem, testudinis nomen accepit. Eaque bifariam utuntur, sive castella et mœnia oppugnaturi, sive a sagittariis circumventi. Et aliquando ita se inclinant, ut fatigati esse videantur: sed hostem appropinquantem, subito exsurgendo percellunt et turbant. Id quod tum quoque accidit. Cum enim, ut dictum est, crebris C sagittis ferirentur, testudinem fecerunt, sinistro genu humi nitentes: unde barbari eos præ vulneribus concidisse rati, positis arcubus strictis gladiis ad eos occidendos irruerunt. Verum milites erecti impetu in illos facto, nudos clypeis tecti, inopinantes parati, sagittarios armati, Romani barbaros deleverunt. Hostili metu liberatus Antonius, a frigore est afflictus. Nam hiems erat, et Armeniæ montana semper congelata sunt: unde complures suorum **521** amittebat. Qua re Armenio fucum fecit, atque adulatus est, quamvis ei infensus esset: et reliquiis exercitus pecunia data, in Ægyptum ad Cleopatram abiit, ob quam a civibus pessime audiebat, quod et liberos ex ea suscepisset, et multas ei provincias donasset. Cujus amoribus et D præstigiis ita irretitus fuit, ut Octaviam uxorem Roma ad se venientem, in conspectum suum non admissam, domum redire juberet.

ΚΖ'. Ὁ δὲ Καῖσαρ ἦλθε μὲν εἰς τὴν Σικελίαν, χρονίσας δ' ἐν αὐτῇ διὰ τὸν χειμῶνα, καὶ μαθὼν ὥς τινα τῶν ἐθνῶν τῶν Ῥωμαίοις ὑποκειμένων διὰ τὴν

XXVII. Cæsar vero, cum, propter hiemem in Sicilia diutius moratus, quasdam Romanæ ditionis gentes per absentiam suam defecisse cognovisset:

reversus contra illas se paravit, atque alias per se, alias per alios ad officium reduxit et subegit. Deinde contra Pannonios est profectus. Hi juxta Dalmatiam ad ipsum Istrum incolentes, a Norico usque ad Europæam Mysiam pertinent : homines asperæ vitæ ut qui nec terram fertilem, nec aerem clementem habeant, non vinum, non oleum colant, sed hordeo et milio tam in potu quam cibo utantur. Habentur tamen bellicosissimi, et a Græcis nonnullis ignoratione veri Pæones appellantur. Pæones enim ad Rhodopen et ipsam Macedoniam habitant. Nos autem tum alii, tum ipsi sese Pannonios appellant : quos Cæsar crebris præliis tandem ad deditionem compulit. Antonius vero Armenii ulciscendi cupidus, omnem lapidem, ut proverbio dicitur, movit, donec in castra pellectum comprehendit, et in libera custodia ad ea castella circumduxit, ubi thesauri ejus repositi erant, quibus potiri studebat. Sed cum nihil proficeret (nam Armenii filiam ejus nata maximum, Artaxem, regem ejus loco fecerant) eum compedibus argenteis regii honoris causa vinxit, ac totam Armeniam subegit : Artaxes vero acie victus, ad Parthos confugit. Antonius legionibus in Armenia relictis, Armenium in Ægyptum cum uxore et liberis adduxit : prædaque donata Cleopatræ, Armeniam cum suis, aureis catenis vinctum, ad eam adduxit. Illi vero nec supplices mulieri facti sunt, neque eam adorarunt, sed suo nomine compellarunt. Post hæc Cleopatram reginam regum appellari jussit, et prioris **522** Cæsaris uxorem, filium ipsius germanum, Cæsaris filium nominavit : ut Cæsarem tanquam adoptivum et alienum criminaretur, eisque provincias assignavit. Suis vero ex Cleopatra filiis Ptolemæo et Alexandro, multa regna attribuit. Quæ dum ageret, ad senatum scripsit, se imperio abiturum, et summam rerum ipsi et populo restituturum : non quod ita sentiret, sed ut ea spe Cæsarem vel ab armis discedere cogerent, vel non obtemperantem odissent. Usque ad Araxem progressus, ut Parthos oppugnaturus, pactis cum Medo factis acquievit. Ita enim convenerat, ut Medus Antonio contra Cæsarem, Antonius Medo contra Parthos præsto esset : et milites inter se commutarunt. Ac Medus Armeniæ recens partæ nonnulla accepit, Antonius Jotapen Medi filiam, quam Alexandro filio desponderet. Post hæc in Ioniam et Græciam ad Cæsarianum bellum est profectus. Medus Romanorum auxiliis munitus, Parthos et Artaxen arma inferentes vicit. Sed cum Antonius suos milites revocasset, illius vero retinuisset, vicissim victus et captus est. Sic et Armenia et Media perierunt. Romani vero etsi libertatem amiserant, non tamen apertæ monarchiæ subjecti sunt, priusquam Sexto interfecto, et seditionis gentibus subactis, a Partho quoque

ἀποδημίαν αὐτοῦ ἐπαν'στησαν, ἐπανῆλθε καὶ ἐπ' ἐκείνους παρεσκευάζετο, καὶ τοὺς μὲν δι' αὐτοῦ, τοὺς δὲ δι' ἑτέρων προσηγάγετο καὶ ὑπέταξεν. Εἶτα καὶ ἐπὶ Παννονίους ἐστράτευσεν, οἳ νέμονται μὲν πρὸς τῇ Δαλματείᾳ παρ' αὐτὸν τὸν Ἴστρον ἀπὸ Νωρίκου μέχρι τῆς ἐν τῇ Εὐρώπῃ Μυσίας, κακοβίωτοι μὲν ὄντες, ἅτε μὴ γῆς μηδ' ἀέρων εὖ ἤκοντες, οὐκ οἶνον γεωργοῦντες, οὐκ ἔλαιον, τὰς δὲ κριθὰς καὶ τὰς κέγχρους ἐσθίοντες ὁμοίως καὶ πίνοντες· νομίζονται δ' οὖν ἀνδρειότατοι, οὓς καί τινες τῶν Ἑλλήνων Παίονας προσηγόρευσαν, τὸ ἀληθὲς ἀγνοήσαντες. Πρὸς γὰρ τῇ Ῥοδόπῃ καὶ πρὸς αὐτῇ τῇ Μακεδονίᾳ τὸ τῶν Παιόνων ἔθνος ἐστί. Τούτους δὲ Παννονίους καὶ οἱ ἄλλοι καλοῦσι, καὶ αὐτοὶ ἑαυτούς. Ἐπὶ τούτους ὁ Καῖσαρ τότε στρατεύτας, καὶ διὰ μάχης αὐτοῖς πολλάκις χωρήσας, ὁμολογίᾳ προσηγάγετο ὕστερον. Ἀντώνιος δὲ, τὸν Ἀρμένιον τιμωρήσασθαι μηχανώμενος, οὐκ ἐνέλιπε πάντα λίθον κινῶν, τὸ τῆς παροιμίας, ἕως αὐτὸν ὑπηγάγετο εἰς τὸ στρατόπεδον εἰσελθεῖν. Εἰσελθόντα δὲ κατέσχε καὶ ἐν ἀδέσμῳ εἶχε φρουρᾷ, καὶ περιῆγεν αὐτὸν κατὰ τὰ φρούρια ἔνθα ἐκείνῳ οἱ θησαυροὶ ἐναπέκειντο, σπεύδων αὐτοὺς λαβεῖν. Ὡς δ' οὐδὲν ἤνυεν (οἱ γὰρ Ἀρμένιοι τῶν παίδων αὐτοῦ τὸν πρεσβύτατον τὸν Ἀρτάξην βασιλέα ἀνθείλοντο) ἔδησεν αὐτὸν ἁλύσεσιν ἀργυραῖς (85), οἷονεὶ τιμὴν αὐτῷ ταύτην νέμων ὡς βασιλεῖ, καὶ πᾶσαν τὴν Ἀρμενίαν κατέσχε, τοῦ Ἀρτάξου πρὸς τοὺς Πάρθους ἀποχωρήσαντος, ἐπείπερ ἡττᾶτο μαχόμενος. Ἀντώνιος δὲ τὰ μὲν στρατεύματα εἰς Ἀρμενίαν κατέλιπεν, αὐτὸς δ' ἀνεκομίσθη πρὸς Αἴγυπτον, μετὰ τῆς γυναικὸς καὶ τῶν παίδων, ἄγων ἐκεῖ τὸν Ἀρμένιον, καὶ τήν τε λείαν τῇ Κλεοπάτρᾳ ἐχαρίσατο, καὶ τὸν Ἀρμένιον μετὰ τῶν οἰκείων περιβαλὼν χρυσέοις δεσμοῖς ἐκείνῃ προσήγαγεν. Οἱ δὲ οὐδ' ἱκέτευσαν αὐτήν, οὔτε μὴν προσεκύνησαν, ἀλλ' ὀνομαστὶ προσηγόρευσαν. Μετὰ τοῦτο τὴν Κλεοπάτραν Ἀντώνιος βασιλίδα βασιλέων καλεῖσθαι ἐκέλευσε, καὶ τοῦ προτέρου Καίσαρος αὐτὴν μὲν γυναῖκα ὠνόμαζε, τὸν δὲ υἱὸν αὐτῆς παῖδα ἐκείνου, ὡς ἀληθῶς, ἵνα τὸν Καίσαρα τὸν Ὀκτάβιον ὡς ποιητὸν ἐκείνου παῖδα καὶ μὴ γνήσιον διαβάλῃ, καὶ χώρας αὐτοῖς ἔνειμε. Τοῖς δ' οἰκείοις παισὶ τοῖς ἐκ τῆς Κλεοπάτρας, κεκλημένοις Πτολεμαίῳ καὶ Ἀλεξάνδρῳ, ἑτέρας πολλὰς προσεκλήρωκε. Ταῦτα δὲ πράττων, ἐπέστελλε τῇ βουλῇ ὅτι τῆς ἀρχῆς τε παύσεται καὶ τὰ πράγματα ἐπ' αὐτῇ καὶ τῷ δήμῳ ποιήσεται, οὐχ οὕτω φρονῶν, ἀλλ' ὅπως ταῖς παρ' αὐτοῦ ἐλπίσιν ἢ ἀναγκάσωσι παρόντα τὸν Καίσαρα καταθέσθαι τὰ ὅπλα, ἢ μισήσωσιν ἀπειθήσαντα. Ἄχρι δὲ τοῦ Ἀράξου ἐλθών, ὡς ἐπὶ τοὺς Πάρθους στρατεύων, ἠρκέσθη τῇ πρὸς τὸν Μῆδον ὁμολογίᾳ. Συμμαχήσειν γὰρ ἀλλήλοις συνέθεντο, ὁ μὲν κατὰ τῶν Πάρθων, ὁ δέ γε κατὰ τοῦ Καίσαρος, καὶ στρατιώτας ἀλλήλοις ἀντέδοσαν. Καὶ ὁ μὲν Μῆδος τῆς Ἀρμενίας τῆς

Variæ lectiones et notæ.

(85) *Ἔδησεν αὐτὸν ἁλύσεσιν ἀργυραῖς.* Alter cod. Wolfii : Ἔδησεν αὐτὸν ἁλύσεσι σιδηραῖς, ἢ ἀληθέστερον, ἀργυραῖς. Quæ quidem de perfida Antonii liberalitate interpretari licet.

νεοκτήτου ἐξ Ἀντωνίου εἰλήφει τινά· Ἀντώνιος δὲ τὴν θυγατέρα αὐτοῦ Ἰωτάπην, ὡς τῷ Ἀλεξάνδρῳ τῷ υἱῷ αὐτοῦ συνοικήσουσαν. Καὶ ἐπὶ τούτοις ἐς τὴν Ἰωνίαν καὶ ἐς τὴν Ἑλλάδα ἐπὶ τῷ πολέμῳ τοῦ Καίσαρος ὥρμησεν. Ὁ δέ γε Μῆδος συμμαχούμενος τοῖς Ῥωμαίοις, ἐπελθόντας αὐτῷ τοὺς Πάρθους καὶ τὸν Ἀρτάξην ἐνίκησε. Τοῦ δ' Ἀντωνίου τοὺς οἰκείους στρατιώτας μεταχαλεσαμένου, τοὺς δ' ἐκείνου κατεσχηκότος, ἀνθήττητο καὶ ἐάλω. Καὶ οὕτως ἡ Ἀρμενία μετὰ τῆς Μηδίας ἀπώλετο. Οἱ μέντοι Ῥωμαῖοι τὴν μὲν δημοκρατίαν ἀφῆρηντο, οὐ μὴν καὶ εἰς φανερὰν μοναρχίαν κατώλισθον, ἕως ὅ τε Σέξτος ἀπώλετο, καὶ τὰ ἐπαναστάντα ἔθνη δεδούλωτο, καὶ ὁ Πάρθος οὐδὲν παρεκίνει. Τότε γὰρ φανερῶς ἐπ' ἀλλήλους ὁ Ἀντώνιος καὶ ὁ Καῖσαρ ἐτράποντο, καὶ ὁ δῆμος ἀκριβῶς ἐδουλώθη. Αἰτίαι δὲ τοῦ πολέμου αἵδε σφίσιν ἐσκήπτοντο. Ἀντώνιος μὲν Καίσαρι ἐνεκάλει ὅτι τὴν τοῦ Λεπίδου χώραν καὶ τὴν δύναμιν, καὶ τὴν τοῦ Σέξτου ἐσφετερίσατο, καὶ τούτων ἀπῄτει τὰ ἡμίση, καὶ τῶν στρατιωτῶν οὓς ἐκ τῆς ἀνηκούστης αὐτῷ Ἰταλίας ἐστράτευσεν· ὁ δὲ Καῖσαρ ἐκείνῳ ὅτι τὴν Αἴγυπτον καὶ ἄλλα μὴ λαχὼν εἶχε, καὶ ὅτι τὸν Σέξτον ἀπέκτεινεν (αὐτὸς γὰρ ἐκὼν ἐκείνου φείσασθαι ἔλεγε), καὶ ὅτι τὸν Ἀρμένιον ἀπάτῃ συνειληφὼς ἔδησε, κἀκ τούτου Ῥωμαίοις κακοδοξίαν προσέτριψε, καὶ τὰ ἡμίση τῶν λαφύρων καὶ αὐτὸς ἀπῄτει, καὶ τὴν Κλεοπάτραν αὐτῷ καὶ τοὺς παῖδας τοὺς ἐξ αὐτῆς, καὶ τὰ δωρηθέντα σφίσι πρὸς πάντας ἐπέφερεν. Ἐν τοῖς μάλιστα δ' ἠτιᾶτο ὅτι τὸν Καισαρίωνα ἐς τὸ γένος εἰσῆγε τοῦ Καίσαρος.

A otium fuit. Tum vero Antonio et Cæsare manifeste inter se bellum gerentibus populus haud dubia servitute est oppressus. Belli autem causæ hæ prætendebantur. Antonius Cæsarem accusabat, quod Lepidi et Sexti provincias et copias sibi vindicasset, earumque semissem postulabat: nec non eorum militum, quos ex Italia ad illum pertinente, in exercitu haberet. Cæsar illum vicissim, quod Ægyptum privata auctoritate sibi vindicasset, et Sextum occidisset, cui ipse ultro pepercisset: et quod Armenio per fraudem capto et vincto, nomini Romano ignominiæ maculam aspersisset, ac manubiarum semissem et ipse postulavit. Cleopatram vero et susceptos ex ea liberos, et donationes eis factas, ante omnia ei objiciebat. Illud tamen in primis querebatur, quod Cæsarionem in familiam Cæsaris induceret.

ΚΗ'. Ταῦτ' οὖν ἐπενεκάλουν ἀλλήλοις, καὶ τέως οὐκ ἀναφανδὸν κατ' ἀλλήλων ὡπλίζοντο, ἕως Δομίτιος Γναῖος καὶ Σόσσιος Γάϊος τῆς τοῦ Ἀντωνίου μερίδος ὄντες ὑπάτευσαν. Τότε δὲ προδήλως ἐπολεμώθησαν. Ὁ γὰρ Σόσσιος πολλὰ μὲν ἐν τῇ νουμηνίᾳ ἐπῄνεσε τὸν Ἀντώνιον, πολλὰ δὲ κατεῖπε τοῦ Καίσαρος. Καὶ τότε μὲν ὁ Καῖσαρ τῆς πόλεως ἐξεχώρησεν, αἰτίαν ἄλλην πλασάμενος· μετὰ ταῦτα δ' ἐπανελθών, καὶ φρουρὰν ἑαυτῷ περιστήσας στρατιωτῶν, μέτρια μὲν ὑπὲρ ἑαυτοῦ διελέχθη· τοῦ δὲ Ἀντωνίου καὶ τοῦ Σοσσίου πολλὰ κατηγόρησε, καὶ ἀδικοῦντα τὸν Ἀντώνιον διὰ γραμμάτων ἐξελέγχειν ὑπέσχετο. Οἱ οὖν ὕπατοι μήτ' ἀντειπεῖν θαῤῥοῦντες, μήτε σιωπᾷν ὑπομένοντες, τῆς πόλεως ἐκχωρήσαντες, ἀπῆλθον πρὸς τὸν Ἀντώνιον, καὶ τῶν ἄλλων βουλευτῶν οὐκ ὀλίγοι αὐτοῖς συναπεληλύθασιν· καὶ αὖθις ἕτεροι, τὸν Ἀντώνιον λιπόντες, τῷ Καίσαρι προσεχώρησαν, ὅτι τήν τε τῆς Ὀκταβίας συνοίκησιν ἀπείπατο, καὶ ὅτι τῇ Κλεοπάτρᾳ ἤχθοντο. Ἐξ ὧν μαθὼν ὁ Καῖσαρ τά τε ἄλλα τοῦ Ἀντωνίου, καὶ τὰς διαθήκας αὐτοῦ, καὶ παρά τινι ἐτύγχανον, ἔλαβέ τε αὐτάς, καὶ δημοσίᾳ ἀνέγνω, πρᾶγμα ποιήσας παρανομώτατον. Τοσαύτην δὲ δι' ἃ τὰ γεγραμμένα ὀργὴν καὶ οἱ πάνυ ἐκείνῳ προσκείμενοι ἐνεδείξαντο, ὥστε τήν τε ὑπατείαν καὶ ἄλλην ἅπασαν ἐξουσίαν ἀφεῖλοντο, καὶ τοῖς συνοῦσιν αὐτῷ ἄδειαν καὶ ἔπαινους, ἐὰν ἐγκαταλίπωσιν αὐτόν, ἐψηφίσαντο· καὶ τῇ Κλεοπάτρᾳ πόλεμον ἐπήγγειλαν ἄντικρυς, ὃς μᾶλλον πρὸς τὸν Ἀντώνιον ἔτεινεν (ᾔδεσαν γὰρ αὐτὸν ὑπὲρ ἐκείνης πάντα ὑποίσοντα)· οὕτω γὰρ αὐτὴν ἐδουλώσατο ὥστε βασιλίς τε καὶ δέσποινα ὑπ' ἐκείνου καλεῖσθαι, στρατιώτας τε Ῥωμαίους ἐν τῷ δορυφορικῷ αὐτῆς ἔχειν, καὶ ταῖς ἀσπίσι πάντων τὸ ὄνομα αὐτῆς ἐπιγράφεσθαι. Καὶ εἰς τὴν ἀγορὰν δὲ μετ' αὐτοῦ

523 XXVIII. Dum ad hunc modum invicem expostulant, arma dissimulanter parabant, donec Gn. Domitius et C. Sossius Antonianæ factionis, consules sunt designati. Tum vero aperte hostes facti sunt. Cum enim Sossius Kalendis multa in Antonii laudem cum Cæsaris criminatione disseruisset: Cæsar per aliam causam urbe excessit. Deinde reversus, præsidio militum adhibito, modeste de seipso locutus. Sossium et Antonium acriter accusavit, seque Antonium litteris prolatis injuriarum convicturum esse affirmavit. Consules igitur, qui nec contradicere auderent, et tacere non possent, urbe relicta, non paucis senatoribus comitantibus, ad Antonium se contulerunt: ac vicissim alii Antonio relicto ad Cæsarem abierunt, infensi ob Octaviam repudiatam, et Cleopatræ odio. E quibus Cæsar cum aliis Antonii arcanis cognitis, tum quale et ubi testamentum ejus esset, id acceptum publice recitavit, facinus iniquissimum ausus, eaque recitatione etiam addictissimos Antonio sic commovit, ut et consulatum et omnem potestatem ei adimerent: et ejus familiaribus impunitatem et laudationes decernerent, si illum reliquissent: et Cleopatræ bellum aperte indicerent, quod ad Antonium potius spectabat, quem propter illam nihil non subiturum norant: cui ita serviebat, ut eam et reginam et dominam appellaret, et milites Romanos in custodia habere pateretur, quorum clypeis Cleopatræ nomen inscriptum erat. Præterea mulier una cum eo forum ingrediebatur, ludos una curabat, jus una dicebat, una equitabat. In urbibus lectica ferebatur, ipse pedes cum eunuchis sequebatur. Una et pingebatur, et fingebatur: ac ipse quidem Bacchus et Osiris, illa Isis et Luna vocabatur. Quam ob rem artibus illius

mente captus putabatur. Neque vero eum solum, sed et proceres ejus eo redegit imposturis suis, ut Romanis quisque se imperaturum speraret: et in Capitolio jus dicere, votum et jusjurandum maximum duceret. Antonius vero aliquando acinacem accingebat, et peregrina veste utebatur. Quod si illi, Romanorum consuli et duci, crimini dabatur peregrina vestis: nostri temporis **524** imperatores quis reprehensione eximat, qui a patrio vestitu recedunt, et non interdum, sed subinde barbarica veste utuntur? Hoc rerum statu Cæsar et Antonius ad bellum se parabant, uterque multis sociis munitus: ac multa vulgo jactabantur, et signa fiebant. Nam in sacrificio quodam simius fanum Cereris ingressus, conturbavit omnia. Multi pueri Romæ congregati, et in factionem Antonianam et Cæsarianam divisi, nemine jubente inter sese decertarunt: et qui Antonii nomen præferebant, victi sunt. Ejusdem statua marmorea sanguine manavit. Ignis fanum Cereris et Spei absumpsit. Acciderunt et alias hujus generis, quorum nihil eos terruit. Antonius enim festinavit, ut eos inopinantes in Italia opprimeret. Sed cum Corcyram appulisset, atque inde in Peloponnesum navigasset, Patris hibernavit, et milites passim distribuit: Cæsar vero Brundusio solvens, tempestate fatigatus recessit.

εἰσεφοίτα, καὶ τὰς πανηγύρεις συνδιετίθετο, τὰς δίκας τε συνεξήταζε, καὶ συνίππευε, καὶ ἐν ταῖς πόλεσιν ἐκείνη μὲν ἐν δίφρῳ ἐφέρετο, ὁ δ' Ἀντώνιος πεζῇ μετὰ τῶν εὐνούχων αὐτῆς ἠκολούθει· συνεγράφετό τε αὐτῇ, καὶ συνεπλάττετο, αὐτὸς Ὄσιρις καὶ Διόνυσος λεγόμενος, ἐκείνη δὲ Σελήνη καὶ Ἶσις. Ὅθεν ἔκφρων ὑπ' αὐτῆς ἐκ μαγγανείας ἔδοξε γεγονέναι. Καὶ οὐκ ἐκεῖνον μόνον, ἀλλὰ καὶ τοὺς παρ' αὐτῷ δυναμένους κατεγοήτευσε καὶ κατέδησεν, ὡς ἐλπίσαι καὶ τῶν Ῥωμαίων ἄρξειν, εὐχήν τε ποιεῖσθαι μεγίστην καὶ ὅρκον τὸ ἐν τῷ Καπιτωλίῳ δικάσαι. Ὁ δὲ Ἀντώνιος ἀκινάκην τε ἐνίοτε παρεζώννυτο, καὶ ἐσθῆτι ἐχρῆτο παρὰ τὰ πάτρια. Τούτῳ μὲν οὖν ὑπάτῳ ὄντι καὶ στρατηγῷ Ῥωμαίων εἰς αἰτίαμα ἐλογίσθη ἡ ἔξω τῶν πατρίων στολή· τοὺς δὲ νῦν βασιλεῖς Ῥωμαίων (85**) πῶς ἂν τις ἐξαιρήσαιτο μώμων καὶ αἰτιάσεως, μεταμφιεννυμένους παρὰ τὰ πάτρια, καὶ οὐκ ἐνίοτε, ἀεὶ δὲ κεχρημένους ἐσθῆτι βαρβαρικῇ; Οὕτω μὲν οὖν τῷ τε Καίσαρι καὶ τῷ Ἀντωνίῳ συνηνέχθη τὰ πράγματα. Οἱ δὲ παρεσκευάζοντο πρὸς τὸν πόλεμον, ἕκαστος πολλοὺς συμμάχους προσειληφώς· καὶ πολλὰ παρὰ τῶν ἀνθρώπων ἐθρυλλεῖτο, πολλὰ δὲ καὶ σημεῖα γεγόνασι. Πίθηκός τε γὰρ ἐς τὸ Δημήτριον ἐν ἱερουργίᾳ τινὶ εἰσελθών, πάντα τὰ ἔνδον συνέχεε. Καὶ παῖδες ἐν τῇ Ῥώμῃ πολλοὶ ἀθροισθέντες, κελεύσαντος μηδενός, συνέμιξαν ἀλλήλοις, οἱ μὲν ὡς Καισάρειοι, οἱ δὲ ὡς τοῦ Ἀντωνίου μαχόμενοι, καὶ ἡττήθησαν οἱ τὸ τοῦ Ἀντωνίου ὄνομα φέροντες. Εἰκών τε αὐτοῦ λιθίνη αἷμα ἀνῆκε, καὶ πῦρ τό τε Δημήτριον καὶ ναὸν ἕτερον Ἐλπίδος διέφθειρε, καὶ ἄλλα τοιαῦτα συνέβη. Οὐδὲν δὲ τούτων αὐτοὺς ἐφόβησεν· ἀλλ' ὁ μὲν Ἀντώνιος ὥρμησεν, ὡς ἐν τῇ Ἰταλίᾳ ἀδοκήτως αὐτοῖς τὸν πόλεμον ποιησόμενος. Ἐλθὼν δὲ εἰς Κέρκυραν κἀκεῖθεν εἰς τὴν Πελοπόνησον ἀναπλεύσας, αὐτὸς μὲν ἐν Πάτραις παρεχείμασε, τοὺς δὲ στρατιώτας πανταχόσε διέπεμψεν· ὁ δὲ Καῖσαρ ἀνήχθη μὲν ἐκ τοῦ Βρεντεσίου, χειμῶνι δὲ περιπεσὼν καὶ πονηθεὶς ἀνεχώρησεν.

XXIX. Vere incipiente Antonius se non commovit. Nam ejus classiarii ex diversis gentibus collecti, cum procul ab eo hibernarent: neque sese exercebant, et morbo ac transfugiis minuebantur. Agrippa quoque Methone impetu capta, navium onerariarum appulsus observando, et in aliis atque aliis Græciæ locis exscensus faciendo, admodum eum perturbabat. Cæsar vero omnes milites, omnes senatores, omnes equites, quorum aliqua erat auctoritas, Brundusii convenire jussit, alios, ut aliquid adjutarent, alios, ne seorsim rebus novis studerent: utque ostenderet se maximæ præstantissimæque partis Romanorum consensu niti. Cum iisque Ionio transmisso, et Corcyra, quam præsidiarii reliquerant, capta, in portu Glyce appulit, qui a dulcedine fluvii in eum influentis nomen habet: inde Actium navigavit.

Κθ'. Ἠργμένου δὲ ἔαρος ὁ μὲν Ἀντώνιος οὐδαμῇ ἐκινήθη. Σύμμικτοι γὰρ ἐκ πολλῶν ἐθνῶν ὄντες οἱ τριτριῆται αὐτοῦ καὶ πόρρω χειμάζοντες ἀπ' αὐτοῦ, οὔτ' ἐγυμνάζοντο, καὶ νόσῳ καὶ αὐτομολίαις ἠλάττωντο. Καὶ ὁ Ἀγρίππας τὴν Μεθώνην κατασχὼν ἐξ ἐφόδου, καὶ τὰς κατάρσεις τῶν ὁλκάδων ἐπιτηρῶν, καὶ ἀποβάσεις ἄλλοτε ἄλλῃ τῆς Ἑλλάδος ποιούμενος, ἰσχυρῶς αὐτὸν ἐθορύβει. Ὁ δὲ Καῖσαρ πάντας μὲν τοὺς στρατιώτας, πάντας δὲ τοὺς δυναμένους τι τῶν βουλευτῶν καὶ ἱππέων εἰς τὸ Βρεντέσιον συνήγαγε, τοὺς μὲν ὅπως αὐτῷ τι συμπράξωσι, τοὺς δ' ὅπως μὴ μονωθέντες τι νεοχμώσωσι· καὶ ἵν' ἐνδείξηται ὅτι τὸ πλεῖστον καὶ κρατιστεῦον τῶν Ῥωμαίων ὁμόγνωμον κέκτηται· καὶ σὺν αὐτοῖς τὸν Ἰόνιον διαβέβηκε, καὶ τὴν Κέρκυραν ἐκλειφθεῖσαν ὑπὸ τῶν φρουρούντων λαβών, εἰς τὸν λιμένα τὸν Γλυκὺν κατῆρε. Καλεῖται δὲ οὕτως ὅτι ἐκ τοῦ ποταμοῦ τοῦ

Variæ lectiones et notæ.

(85**) *Τοὺς δὲ νῦν βασιλεῖς Ῥωμαίων.* Hic porro carpit Zonaras Imperatores et Græcos sui ævi, qui dimisso patrio vestitu, barbarico seu extraneo uti amabant. Scribit Nicephorus Gregoras, lib. II Joannem Vatatzem imp. cum videret Romanas divitias in peregrinas et sumptuosas vestes, Sericas, Assyrias, Babylonias, atque Italicas, vario ac solerti artificio confectas effundi, edicto sanxisse, ne quis subditorum iis uteretur, sed iis contenti essent, quas Romanæ provinciæ præberent. Idem lib. XI extr. eum etiam morem invaluisse tradit sub Andronico Palæologo Juniore, ut omnes simul, et adolescentes et senes pileis uterentur, non minus in palatio quam in agris, iisque ad libitum multiformibus et peregrinis; cum Latinis alii, alii Mysiis et Triballicis, alii Syriis et Phœniciis uterentur, atque id denique in vestibus observasse, adeo ut prudentiores novitatem aliquam et imperii destructionem, sed et institutorum finem ac morum inde male ominarentur.

εἰς αὐτὸν ἐμβάλλοντος γλυκαίνεται. Κἀκεῖθεν εἰς τὸ Ἄκτιον ἔπλει. Ὡς δ' οὐδεὶς οὔτε ἀντέπλει, οὔτε ἐς λόγους ἦει αὐτῷ, ἢ πρὸς μάχην ἢ πρὸς ὁμολογίαν ἐκκαλουμένῳ τοὺς ἐναντίους, κατέλαβε τὸ χωρίον τοῦτο ἐν ᾧ νῦν ἐστιν ἡ Νικόπολις, κἀκ τούτου ἐφήδρευε τῷ Ἀκτίῳ κατά γῆν τε καὶ θάλασσαν. Τὸ δὲ Ἄκτιον οἱ τοῦ Ἀντωνίου προκατελάβοντο, καὶ πύργοις ὠχύρωσαν ἑκατέρωθεν. Ἐπεὶ δὲ τὴν τοῦ Καίσαρος ἄφιξιν ἐπύθετο ὁ Ἀντώνιος, ἠπείχθη μετὰ τῶν περὶ αὐτὸν εἰς τὸ Ἄκτιον· οὐκ εὐθὺς μέντοι καὶ ἠγωνίσατο, καίτοι τοῦ Καίσαρος παντὶ τόπῳ εἰς ἀγῶνα τοῦτον ἐνάγοντος· ἀκροβολισμοὶ δ' ἐπὶ πλείους ἡμέρας ἐχρήσατο, μέχρι συνήθροισε τὰ στρατεύματα. Ὁ δὲ Καῖσαρ εἰς τὴν Ἑλλάδα τήν τε Μακεδονίαν ἔπεμψε στρατιάν, ὅπως πρὸς ἐκεῖνα μενετέγκῃ καὶ ἄκοντα τὸν Ἀντώνιον. Καὶ ὁ Ἀγρίππας τῆς τε Λευκάδος καὶ τῶν ἐν ταύτῃ σκαφῶν αἰφνιδίως ἐπιπλεύσας ἐκράτησε, καὶ Πάτρας εἶλε καὶ τὴν Κόρινθον παρεστήσατο. Καὶ ὁ Τίτος ὁ Μάρκος, Ταῦρός τε ὁ Στατίλιος τὸ ἱππικὸν τοῦ Ἀντωνίου ἀθρόον ἐκβραμόντες συνέσχον, καὶ Φιλάδελφον βασιλέα Παφλαγονίας προσεποιήσαντο. Καὶ ὁ Δομίτιος ὁ Γναῖος καὶ ἄλλοι τῷ Καίσαρι προσεχώρησαν. Φοβηθεὶς οὖν ὁ Ἀντώνιος, μὴ ὅσοι ἐς τὴν Μακεδονίαν καὶ τὴν Θράκην ἐπέμφθησαν παρ' αὐτοῦ, τῷ Καίσαρι πρόσθωνται, ὥρμησε πρὸς αὐτούς. Κἀν τούτῳ ναυμαχία τις συνέστη, καὶ παρὰ μὲν τῇ πρώτῃ προσβολῇ ἐτρέψαντο οἱ τοῦ Ἀντωνίου τοὺς Καίσαρος ὀλίγους ὄντας. Τοῦ δὲ Ἀγρίππου, ᾧ πᾶν ἀνεῖτο τὸ τοῦ Καίσαρος ναυτικόν, κατὰ τύχην ἐπιδημήσαντος, οὐ μόνον οὐδὲν τῆς νίκης οἱ τοῦ Ἀντωνίου ἀπώναντο, ἀλλὰ καὶ ἀπώλοντο. Καὶ διὰ τοῦτο ἐπανελθὼν ὁ Ἀντώνιος ἱππομαχίᾳ τινὶ πρὸς τὴν τοῦ Καίσαρος προφυλακὴν ἡττήθη. Καὶ ἐπεὶ τὰ ἐπιτήδεια αὐτὸν ἤρξαντο ἐπιλείπειν, βουλὴν ἐποιήσατο πότερον κατὰ χώραν μείναντες διακινδυνεύσουσιν, ἢ μεταστάντες χρόνῳ τὸν πόλεμον διενέγκωσι. Καὶ ἄλλοι μὲν ἄλλα συνεβούλευσαν, ἡ δέ γε Κλεοπάτρα, τὰ ἐπικαιρότατα τῶν χωρίων φρουραῖς παραδοθῆναι, καὶ τοὺς λοιποὺς συναπᾶραι αὐτοῖς εἰς τὴν Αἴγυπτον συμβουλεύσασα, ἐνίκησε. Εἰς δὲ ταύτην ἦλθε τὴν γνώμην ὑπὸ σημείων θορυβηθεῖσα, καὶ ἐκ τῆς τοῦ στρατεύματος ἀθυμίας καὶ ἀῤῥωστίας δείσασα, καὶ τὸν Ἀντώνιον ἐξεφόβησεν. Οὐ μέντοι λάθρα, οὐδὲ μὴν φανερῶς ἐκπλεῦσαι ὡς φεύγοντες ἐβουλεύσαντο, ἵνα μὴ εἰς δέος τοὺς συμμάχους ἐμβάλωσιν· ἀλλ' ὡς ἐπὶ ναυμαχίαν παρασκευαζόμενοι, κάντεῦθεν τὰ ἄριστα τῶν σκαφῶν ἐκλεξάμενοι, ὅτι ἐκ τῆς φθορᾶς τε καὶ τῆς αὐτομολίας οἱ ἐρέται ἠλάττωντο, κατέπρησαν τὰ λοιπά, καὶ νύκτωρ πάντα τὰ τιμιώτατα λαθραίως ἐμβαλόντες αὐτοῖς, ἕτοιμα εἰς ἔκπλουν ἐποίησαν. Καὶ τοὺς στρατιώτας παρεθάῤῥυνε πρὸς τὴν ναυμαχίαν, διαλεχθεὶς αὐτοῖς ὁ Ἀντώνιος. Καὶ οὕτως πάντας μὲν τοὺς πρώτους τῶν συνόντων αὐτῷ εἰς τὰς ναῦς ἐνεβίβασεν, ἵνα μή τι νεωτερίσωσιν, ὡς ὁ Δέλλιος καὶ ἄλλοι τινὲς αὐτομολήσαντες· παμπληθεῖς δὲ καὶ τοξότας καὶ σφενδονήτας καὶ ὁπλίτας ἐνεβίβασε. Τριήρεις μὲν γὰρ ὀλίγας εἶχεν, αἱ δὲ λοιπαὶ τετρήρεις καὶ δεκήρεις ἦσαν αὐτῷ. Καῖσαρ

A Cum nemo contra classem educeret, neque quidquam vel ad pugnam vel ad deditionem hostes provocanti responderent: eum occupavit locum, in quo nunc est Nicopolis, ibique circa Actium terra marique stationes habuit. Nam ipsum Actium Antoniani præoccupatum turribus utrinque munierant. Antonius adventu Cæsaris cognito, cum suis Actium properavit: **525** sed non statim pugnavit, quamvis a Cæsare modis omnibus lacesseretur: tumultuariis tamen pugnis per dies complures certavit, donec conduxisset suos exercitus. At Cæsar in Græciam et Macedoniam misit copias, ut Antonium vel invitum illuc pertraheret. Agrippa subito accessu Leucade et navibus illius loci potitus est, Patras cepit, Corinthum ad deditionem B compulit. Titus Marcus et Taurus Statilius, equitatum Antonii subita excursione ceperunt, et Philadelphum Paphlagoniæ regem in suas partes traduxerunt. Cn. item Domitius et alii ad Cæsarem se contulerunt. Veritus igitur Antonius, ne ii quos in Macedoniam et Thraciam misisset, idem facerent, ad eos properavit. Interea conflictus quidam mari factus est: et Cæsariani, pauci numero, ab Antonianis principio pulsi. Sed fortuito Agrippæ superventu, qui toti Cæsarianæ classi præerat, factum est, ut illi non modo nullum victoriæ fructum caperent, sed etiam interirent. Qua de causa reversus Antonius, equestri certamine cum primis Cæsaris excubiis congressus, succubuit. Et quia com- C meatus penuria laborare incipiebat, concilio inducto deliberavit, an manendum, et martis alea periclitanda: an vero alio abeundum, et bellum ducendum esset. Aliis aliud censentibus, Cleopatræ sententia vicit, ut opportunissimis locis præsidia imponerentur, cæteri secum in Ægyptum navigarent. Id autem consilii cepit, tum quod prodigiis quibusdam terrebatur, tum quia exercitus desperationem et morbum timebat: Antonio quoque terrorem incussit. Sed quia neque clam, neque etiam aperte tanquam fugientes abire volebant, ne sociis terrorem inculerent, sed tanquam ad pugnam parati navibus optimis delectis, et quia morbo et transfugiis remigum imminutus erat numerus, reliquis crematis, et noctu pretiosissimis D quibusque rebus clam illatis, ad navigandum se instruxerunt. Antonius milites pro concione ad pugnam incitavit, atque ita primores omnes familiarium suorum in naves imposuit, ne quid novi molirentur: ut Dellius et alii transfugæ fecerant. Quam plurimos etiam funditores, sagittarios et armatos imposuit. Triremes **526** enim paucas habebat, cæteræ quadriremes et deciremes erant. Cæsar eorum instructione visa, contra se parabat: sed eorum consilio tum ex aliis, tum ex Dellio cognito, exercitum convocavit: quem dum ad pugnam cohortatur, ingenti imbri et turbine in classem Antonii illato, resumpta fiducia, eorum abitum observavit. Cumque Antoniani in procinctu starent, nec tamen prodirent, in animo habuit,

cos vel stantes aggredi, vel repellere. Sed quia neque prodibant, neque se convertebant, sed loco non mutato aciem condensabant, aliquantulum moratus est : deinde congressi pugnaverunt. Cum diu æquo marte et ancipiti victoria dimicaretur : Cleopatræ LX naves, signo ab ea dato, velis ad discessum elatis pelago se commiserunt. Antonius vero abeuntem Cleopatræ navem conspicatus, in quinqueremen transcendit : oblitusque rerum omnium, eam persequitur, quæ ipsum perdiderat, et amplius perditura erat. Illa vero agnitis navis insignibus, substitit. Ita in illius navem receptus, et solus in proram progressus, sedit tacitus. Triduoque sic exacto, cum Tænarum venisset, a familiarium mulierum cœtu ad concœnationem et ad concubitum ost invitatus. Ejus vero classis post discessum ipsius cum ad horam usque decimam restitisset, jussu Cæsaris igni injecta partim cremata est, partim capta. Dicuntur circiter CCC naves esse captæ.

A δὲ καθεώρα μὲν καὶ τὴν παρασκευὴν αὐτῶν καὶ ηὐτρεπίζετο· μαθὼν δὲ καὶ τὴν διάνοιαν σφῶν ἐξ ἄλλων τε κἀκ τοῦ Δελλίου, συνήγαγε τὸ στράτευμα, καὶ εἰς μάχην δι' ὧν εἴρηκε παρεκάλεσε. Κἀν τούτῳ ὑετοῦ γενομένου λαύρου, καὶ ζάλης πολλῆς εἰς τὸ τοῦ Ἀντωνίου ναυτικὸν ἐμπεσούσης, ἀνεθάρσησεν ὁ Καῖσαρ, καὶ τὸν ἔκπλουν αὐτῶν ἐπετήρει. Ὡς δὲ παρετάξαντο μὲν οἱ τοῦ Ἀντωνίου, οὐ μέντοι προῆεσαν, ὥρμησε μὲν ὡς καὶ ἑστῶσι σφίσι προσμίξων ἢ καὶ ἀναχωρῆσαι ποιήσων. Ὡς δ' οὔτ' ἐξώρμησαν, οὔτ' ἀνέστρεψαν, ἀλλὰ κατὰ χώραν ἔμενον τῇ συντάξει τε ἐπεπύκνωντο, ἀνέσχε χρόνον τινὰ, εἶτα συμπεσόντες ἐναυμάχουν. Ἀγχωμάλου δὲ τῆς ναυμαχίας οὔσης ἐπὶ πολὺ καὶ ἀκρίτου, αἱ Κλεοπάτρας ἑξήκοντα νῆες, συνθήματος παρ' αὐτῆς δοθέντος, εἰς ἀπόπλουν ἤρκασι τὰ ἱστία καὶ πρὸς τὸ πέλαγος ὥρμησαν. Ὁ δ' Ἀντώνιος, τὴν Κλεοπάτρας ναῦν ἰδὼν ἀποπλέουσαν, πάντων ἐπιλαθόμενος εἰς πεντήρη μεταβὰς ἐδίωκε τὴν ἀπολυλεκυῖαν αὐτὸν, καὶ ἔτι προσαπολέσουσαν. Ἐκείνη δὲ γνωρίσασα τὸ τῆς νεὼς σημεῖον, ἀνέσχε. Καὶ ἀναληφθεὶς εἰς τὴν ἐκείνης ναῦν, μόνος παρελθὼν ἐς πρῷραν ἐκάθητο σιωπῶν, καὶ τρεῖς μὲν ἡμέρας οὕτω διήγαγεν· ἐν δὲ Ταινάρῳ γενομένου; αἱ συνήθεις γυναῖκες καὶ συνήγαγον, καὶ συνδειπνεῖν καὶ συγκαθεύδειν ἀνέπεισαν. Τὸ δὲ τοῦ Ἀντωνίου ναυτικὸν μετὰ τὴν αὐτοῦ ὑποχώρησιν ἀντισχὸν μέχρις ὥρας δεκάτης, πυρὸς ἐπενεχθέντος τοῖς σκάφεσι κελεύσαντος Καίσαρος, τὸ μὲν κατεφλέχθη, τὸ δὲ ἑάλω. Λέγεται γὰρ περὶ τριακοσίας νῆας ἑαλωκέναι.

B

XXX. Hic navalis pugnæ fuit exitus, IV Nonas Septembris, ac tum Cæsar solus rerum omnium potiri cœpit, ut ab eo tempore imperium ejus numerari incipiat. In castrorum loco urbem Nicopolim a victoria nomine indito condidit, et statuas areas hominis et asini collocavit. Fertur enim nocturno tempore, pridie ejus diei quo navale prælium commissum est, tabernaculo ad naves contemplandas egressus, in hominem agasonem incidisse, qui rogatus quis esset? responderit, *sibi Fortunati esse nomen, asino Victorini.* Æ statuæ post Byzantium translatæ, in equestri theatro steterunt. Pedestres autem et equestres Antonii copiæ cum VII post illius fugam dies permansissent, denique ad victorem **527** transiverunt. Quidam vero, ex Romanis potissimum, ad Antonium, socii domum abierunt. Cæsar in Italiam properans, veritus ne quis in ea motus exsisteret, Brundusium cum venisset, non amplius est progressus : nam ibi eum et senatus et ordo equester, et plebis maxima pars convenerunt. Ubi rebus quibusdam ex sententia confectis, iterum in Græciam discessit, et navibus per isthmum Peloponnensem ob tempestatem traductis, celeriter in Asiam transiit. At Cleopatra Ægyptum occupare contendit, ne qui res novas molirentur metuens : quo cum venisset, undique pecuniam et copias coegit. Antonius in Libyam navigavit. Cum autem is quoque exercitus, quem ibi habebat, defecisset, sibi manus afferre voluit : sed ab amicis prohibitus, Alexandriam venit. Ibi ad pugnam se instruentes, tamen legatos de pacis conditionibus ad Cæsarem miserunt. Cleopatra vero, clam Antonio, familiaribus ejus pecuniis, ipsi Cæsari aureum sceptrum, ejusdem ma-

C

Λ'. Τοιοῦτον μὲν τῇ ναυμαχίᾳ τέλος ἐγένετο κατὰ τὴν δευτέραν τοῦ Σεπτεμβρίου μηνός. Καὶ τότε μόνῳ τῷ Καίσαρι τὸ κράτος ἅπαν περιελήλυθεν, ὡς ἐκ τούτου δὴ τοῦ καιροῦ τὴν αὐταῦ μοναρχίαν ψηφίζεσθαι. Πόλιν δ' ἐν τῷ τοῦ στρατοπέδου τόπῳ συνῴκισε, Νικόπολιν καλέσας αὐτήν. Ἔστησε δὲ καὶ στήλας χαλκᾶς ἀνθρώπου καὶ ὄνου. Λέγεται γὰρ νυκτὸς ἔτι οὔσης καθ' ἣν ἡμέραν ἡ ναυμαχία συνέστη, ἀπὸ τῆς σκηνῆς αὐτῷ προελθόντι, καὶ περιιόντι τὰς ναῦς ἄνθρωπος συναντῆσαι ὄνον ἐλαύνων. Πυθομένῳ δὲ τοὔνομα, εἰπεῖν· *Ἐμοὶ μὲν Εὔτυχος ὄνομα, τῷ δ' ὄνῳ Νίκων.* Αἱ στῆλαι δ' αὗται ὕστερον ἀνακομισθεῖσαι εἰς τὸ Βυζάντιον ἔστησαν ἐν τῷ τῆς ἱππηλασίας θεάτρῳ. Ἡ δὲ πεζή τε καὶ ἱππικὴ δύναμις τοῦ Ἀντωνίου μετὰ τὴν ἐκείνου φυγὴν ἡμέρας ἑπτὰ συμμείνασα, τέλος τῷ κρατήσαντι προσεχώρησαν. Τινὲς δὲ καὶ μάλιστα τῶν Ῥωμαίων ἀπῆλθον πρὸς τὸν Ἀντώνιον, οἱ δέ γε σύμμαχοι οἴκαδε. Ὁ μέντοι Καῖσαρ εἰς τὴν Ἰταλίαν ἠπείχθη, μή τι στασιάσωσι φοβηθείς. Ἐλθὼν δ' ἐς τὸ Βρεντέσιον, οὐκέτι πορρωτέρω προὐχώρησεν. Ἥ τε γὰρ γερουσία καὶ ἡ ἱππάς τοῦ τε δήμου τὸ πλεῖστον καὶ ἕτεροι συνῆλθον ἐκεῖ. Ἔνθα τὰ αὐτῷ δοκοῦντα καταπραξάμενος ἐς τὴν Ἑλλάδα αὖθις ἀπῆρε. Καὶ διὰ τοῦ ἰσθμοῦ τῆς Πελοποννήσου τὰς νεῦς διὰ τὸν χειμῶνα διαγαγὼν ταχέως εἰς τὴν Ἀσίαν ἀνεκομίσθη. Κλεοπάτρα δὲ, φυγοῦσα, καταλαβεῖν τὴν Αἴγυπτον ἔσπευσε, δεδοικυῖα μή τι νεωτερίσωσι. Καὶ γενομένη ἐν ταύτῃ, παντα-χόθεν συνέλεγε χρήματα ἠθροίζέ τε δυνάμεις. Ἀντώνιος δὲ εἰς Λιβύην ἀπέπλευσεν. Ἐπεὶ δὲ καὶ ὅπερ εἶχεν ἐκεῖ στράτευμα ἀπέστη αὐτοῦ, ὥρμησε μὲν ἑαυτὸν ἀνελεῖν· ὑπὸ δὲ τῶν φίλων κεκώλυτο, καὶ ἀνεκομίσθη εἰς Ἀλεξάνδρειαν. Καὶ παρεσκευάζοντο μὲν ὡς καὶ πολεμήσοντες· ἔστειλαν δέ τινας καὶ

D

πρὸς Καίσαρα λόγους ὑπὲρ εἰρήνης κομίζοντας, τοῖς δὲ συνοῦσιν αὐτῷ χρήματα· καὶ ἡ Κλεοπάτρα κρύφα τοῦ Ἀντωνίου σκῆπτρον αὐτῷ χρυσοῦν καὶ στέφανον ὅμοιον καὶ δίφρον βασίλειον ἔπεμψεν, ὡς καὶ τὴν ἀρχὴν αὐτῷ δι' αὐτῶν διδοῦσα. Ὁ δὲ τὰ μὲν δῶρα ἔλαβεν, οἰωνὸν αὑτὰ ποιησάμενος, ἀπεκρίνατο δὲ τῷ μὲν Ἀντωνίῳ οὐδέν, Κλεοπάτρᾳ δὲ ὅτι ἀποκτεινάσῃ τὸν Ἀντώνιον, ἢ ἐκβαλούσῃ ἄδειαν αὐτῇ δώσει, καὶ τὴν ἀρχὴν ἐάσει ἀπαρεγχείρητον. Ἐν τοσούτῳ δὲ τὰς ἐν τῷ Ἀραβικῷ κόλπῳ ναυπηγηθείσας τῇ Κλεοπάτρᾳ τριήρεις κατέκαυσαν οἱ Ἀράβιοι, καὶ τὰς ἐπικουρίας οἱ δῆμοι καὶ οἱ δυνάσται ξύμπαντες ἀπηρνήσαντο. Ἀντώνιος δὲ καὶ ἡ Κλεοπάτρα, ἀκούσαντες τὰ παρὰ τοῦ Καίσαρος αὐτοῖς ἐπεσταλμένα ἔπεμψαν αὖθις, ἡ μὲν χρήματα αὐτῷ πολλὰ δώσειν ὑπισχνουμένη, ὁ δὲ τῆς τε φιλίας καὶ τῆς συγγενείας αὐτὸν ἀναμιμνήσκων· καὶ ἑαυτὸν διαχειρίσασθαι ἐπηγγέλλετο, ἂν διὰ τοῦτο ἡ Κλεοπάτρα σωθῇ. Οὐδὲν μέντοι οὐδὲ τότε Ἀντωνίῳ ἀπεκρίθη· τῇ δὲ Κλεοπάτρᾳ πολλὰ καὶ τότε ἠπείλησε καὶ ὑπέσχετο. Φοβηθεὶς δὲ μὴ τὰ χρήματα παμπληθῆ ὄντα διαφθείρῃ ἡ Κλεοπάτρα, ἃ εἰς τὸ μνημεῖον, ὃ ἐν τοῖς βασιλείοις κατεσκεύασεν, ἤθροισε (καὶ γὰρ πάντα καταχαύσειν ἠπείλει μεθ' ἑαυτῆς, εἰ ὧν βούλοιτο διαμάρτῃ), Θύρσον οἰκεῖον ἔπεμψεν ἐξελεύθερον πολλὰ ἐροῦντα αὐτῇ φιλάνθρωπα, καὶ ὅτι ἔρωτα τρέφει ὁ Καῖσαρ αὐτῆς. Ὅθεν καὶ τὸ Πηλούσιον κατέσχεν ὁ Καῖσαρ, δυνάμει μὲν τὸ φαινόμενον, λάθρα δὲ προδοθὲν ὑπὸ Κλεοπάτρας. Ἐρᾶν γὰρ αὐτῆς ἐκεῖνον ἀκούσασα, καὶ τούτου ἐφιεμένη, εὐθὺς αὐτῷ προήκατο τὸ Πηλούσιον. Ὁ δ' οὖν Ἀντώνιος ἀπὼν, καὶ τὴν τοῦ Πηλουσίου κατάληψιν γνοὺς, ἐπανελθὼν πρὸ τῆς Ἀλεξανδρείας τῷ Καίσαρι προῦπτήντησε, καὶ συμβαλὼν τοῖς ἱππεῦσι κεκμηκόσιν ἐκ τῆς ὁδοιπορίας, ἐνίκησε. Κἀκ τούτου ἀναθαρσήσας, καὶ ὅτι τοξεύμασιν ἐς τὸ στρατόπεδον τοῦ Καίσαρος γραμμάτια ἔπεμψε, πολλὰ χρήματα τοῖς στρατιώταις ἐπαγγελλόμενος, προσέμιξε καὶ τῷ πεζῷ, καὶ ἡττήθη. Καὶ ὁ μὲν ἐλαττωθεὶς ἀπέκλινε πρὸς τὸ ναυτικὸν καὶ ὡς ναυμαχήσων παρεσκευάζετο ἢ πρὸς Ἰβηρίαν πλευσούμενος. Γνοῦσα δὲ τοῦτο ἡ Κλεοπάτρα τὰς μὲν ναῦς αὐτομολῆσαι ἐποίησεν, αὐτὴ δὲ εἰς τὸ ἠρίον εἰσέδυ αἰφνίδιον, ὡς τάχα τὸν Ἀντώνιον φοβουμένη ὑπειληφότα προδίδοσθαι παρ' αὐτῆς. Δύω δὲ ἦσαν ἐκεῖ σὺν αὐτῇ θεράπαιναι καὶ εὐνοῦχος εἷς. Εἰσελθοῦσα δὲ τὰς μὲν θύρας κατέκλεισεν ἀσφαλῶς, πρὸς δὲ τὸν Ἀντώνιον τοὺς ἀπαγγελοῦντας ἔπεμψεν ὅτι τέθνηκεν. Πιστεύσας δ' ἐκεῖνος, τινὶ τῶν παρόντων ἐπέτρεψεν ἀποκτεῖναι αὐτόν. Ὡς δ' ἐκεῖνος σπασάμενος τὸ ξίφος ἑαυτὸν κατειργάσατο, Εὖγε, εἶπεν, ὦ Ἔρως, (τοῦτο γὰρ ἦν ὄνομα τῷ ἀνθρώπῳ) ὅτι με τί χρὴ ποιεῖν διδάσκεις· καὶ πλήξας ἑαυτὸν διὰ τῆς κοιλίας εἰς τὴν κλίνην ἀφῆκεν. Ἦν δὲ οὐκ εὐθυθάνατος ἡ πληγή. Θορύβου δὲ γενομένου, ἤσθετο ἡ Κλεοπάτρα, καὶ τὰς μὲν θύρας οὐκ ἀνέῳξεν, ἄνωθεν δὲ προκύψασα (οὔπω γὰρ τὰ πρὸς τῇ ὀροφῇ ἐξείργαστο) καὶ μαθοῦσα τὸ γεγονὸς, κομίζειν αὐτὸν ἐς τὸν τάφον ἐκέλευσε. Γνοὺς δὲ κἀκεῖνος ἔτι ζῶσαν

A teriæ coronam, et sellam regiam misit, tanquam una cum his imperium etiam ei traderet. Cæsar muneribus boni ominis causa acceptis, Antonio nihil respondit: Cleopatræ nuntiari jussit, si Antonium vel occidisset, vel ejecisset, se impunitatem ei daturum, et regnum inviolatum relicturum. Interea ædificatas Cleopatræ in sinu Arabico naves, Arabes cremaverunt, auxilia populi dynastæque omnes negaverunt. Accepto Cæsaris responso, denuo legatos miserunt: Cleopatra magnam pecuniam pollicens, Antonius cognationis et amicitiæ eum commonefaciens, seque sibi manus allaturum affirmans, si suus interitus Cleopatræ salutem allaturus esset. Cæsar vero ne tum quidem Antonio quidquam respondit, Cleopatræ vero multa et comminatus et pollicitus est: et quia metuebat, ne mulier ingentem pecuniam, quam in monumentum in regia paratum intulerat, aboleret (minata enim erat, nisi votorum compos fieret, eam se una secum crematuram) Thyrsum libertum ad eam misit, qui præter alia humanitatis plena, illud etiam ei diceret, Cæsarem amore illius esse captum. Sic Pelusio potitus est, quasi urbem **528** vi expugnasset, cum revera prodita esset a Cleopatra. Nam cum se ab illo amari audisset, atque ejus desiderio teneretur, statim ei Pelusium dedidit. Antonius igitur absens, Pelusii occupatione cognita, in reditu ante Alexandriam equitatum Cæsaris itinere fatigatum vicit. Inde receptis animis, et eo fretus, quod litteras sagittis appensas in castra Cæsaris ejaculatus esset, quibus magnam pecuniam militibus pollicebatur: etiam pedites aggressus, et victus, spe in classem collata, ita se paravit, quasi aut mari pugnaturus, aut in Hispaniam abiturus. Eo Cleopatra cognito, curavit ut naves ad Cæsarem transirent, ipsa monumentum repente cum duabus ancillis et uno eunucho subiit, quasi Antonium timeret, qui se ab ipsa prodi putaret: et janua diligenter clausa, ad illum misit, qui ei nuntiarent ipsam esse mortuam. Quod cum crederet Antonius, se a quodam occidi jussit. Ut vero ille stricto gladio semetipsum interfecit: *Recte vero*, inquit, *Eros* (id enim homini erat nomen, quod Latinis Amorem sive Cupidinem significat) *quid sit agendum me doces*: illatoque in ventrem ictu, non statim lethifero, lectulo incubuit. Tumultu orto, Cleopatra fores non aperuit, sed superne prospectans (necdum enim tectum absolutum erat) eo facinore cognito, illum in monumentum inferri jussit: qui cum eam vivere cognovisset, ut ad eam portaretur, oravit. Cum allatus esset, catenis et funibus ab ea et ambabus ancillis attrahebatur. Quem ubi cruentatum et moribundum accepit, vestes suas scidit, et pectus manibus planxit, ac se laceravit. At ille vino postulato, haustoque, nonnulla cum muliere colloquitus, exspiravit. Cæsar, Antonii morte nuntiata, illacrymavit; et litteras ejus amicis recitans, seipsum

damnavit, quod illi æqua et justa postulanti, arroganter et superbe responsum negasset.

θεραπαινίδων ἀμφοῖν. Δεξαμένη δὲ αὐτὸν αἵματι περιεῤῥήξατο ἐπ' αὐτῷ, καὶ τὰ στέρνα ἔτυπτε· καὶ καὶ πιὼν καί τινα ὁμιλήσας τῇ Κλεοπάτρᾳ ἐξέλιπε. Καῖσαρ δὲ ἀγγελθέντος αὐτῷ τοῦ θανάτου τοῦ Ἀντωνίου, ἀπεδάκρυσε, καὶ τὰς ἐπιστολὰς ἐκείνου τοῖς φίλοις ἀναγινώσκων κατεγίνωσκεν ἑαυτοῦ, ὡς εὐγνώμονα αἰτοῦντος ἐκείνου καὶ δίκαια, αὐτοῦ δὲ φορτικῶς καὶ ὑπερηφάνως πρὸς τὰς ἀποκρίσεις διακειμένου.

XXXI. Proculeium autem ad Cleopatram capiendam, et in vita retinendam misit: quod magnæ sibi gloriæ fore putabat, si eam in triumpho duceret. Illa vero intra fores fortiter clausas stans, cum eo collocuta est. Cæsar cognito loco in quo esset, Gallum misit qui cum ea ageret. Quo de industria sermonem ad **529** fores trahente, Proculeius cum duobus ministris scala per fenestram clam scandit. Cum vero altera ex una inclusis mulieribus exclamasset: *Misera Cleopatra, viva caperis*, pugione quo accincta erat, se ferire instituit. Sed Proculeius celeriter accurrit, eamque continuit: ereptoque pugione, inquisivit ne quod venenum occultaret. Cæsar Epaphrodito liberto mandavit ut eam omni diligentia viventem asservaret, atque ipse urbem ingressus est. Antonio a Cleopatra magnifico et regio apparatu tumulato, cum febre laboraret (nam pectus ejus exulceratum erat et inflammatum) inedia sibi necem consciscere instituit. Quo Cæsar animadverso, minis et terrore de liberis injecto, eam veluti machinis admotis expugnavit, ut cibum et curationem admitteret, ac paulo post ipse ad eam alloquendam venit. Illa vero in tenui stragulo instar pauperculæ decumbens, exsiliit: et cum ad ejus genua provoluta, recumbere jussa esset, eum voce tremula et oculis fletu confectis assidentem perinde oravit, ac si vitæ cupidissima esset, postremo pecuniæ descriptionem ei obtulit. Cæsar eam vitæ cupidam esse ratus, gavisus est: ac se omni spe illam splendidius tractaturum pollicendo decepisse putans, ipse magis est deceptus. Cum enim illa cognovisset eum terra per Syriam iturum, ipsam vero post triduum Romam missurum: oravit, ut Antonio parentare liceret. Quo permisso, ad monumentum perlata, magno luctu edito, loculoque coronis et inferiis ornato, balneum sibi parari jussit. Dum lata accumbit, splendideque prandet: quidam ex agro vas plenum ficubus portans, a custodibus quid ferret rogatus, ostensis ficubus ingredi jussus est. Post prandium Cleopatra litteras obsignatas Cæsari misit, quibus orabat ut cum Antonio sepeliretur. Unde ille statim intellexit quid actum esset, ac rem explorari jussit. Qui missi erant, cum propere accurrissent, mortuam eam in aureo lecto regaliter ornatam invenerunt, altera ejus ancilla Irade ad pedes illius exspirante, altera Charmonio ex gravedine capitis jam labescente, et diadema Cleopatræ exornante. Cui cum quidam dixisset: *Pulchra vero ista sunt*, **530** *Charmonium?* illa: *Pulcherrima*, inquit, *et decora tot regibus oriundæ*.

A αὐτὴν, παρεκάλει κομισθῆναι ἐκεῖ, καὶ κομισθεὶς σειραῖς καὶ καλωδίοις ἀνείλκετο παρ' αὐτῆς καὶ τῶν πεφυρμένον καὶ δυσθανατοῦντα, τοὺς πέπλους πεκατεσπάραττε ταῖς χερσίν. Ὁ δὲ οἶνον πιεῖν ᾔτησε, Καῖσαρ δὲ ἀγγελθέντος αὐτῷ τοῦ θανάτου τοῦ Ἀντωνίου, ἀπεδάκρυσε, καὶ τὰς ἐπιστολὰς ἐκείνου τοῖς φίλοις ἀναγινώσκων κατεγίνωσκεν ἑαυτοῦ, ὡς εὐγνώμονα αἰτοῦντος ἐκείνου καὶ δίκαια, αὐτοῦ δὲ φορτικῶς καὶ ὑπερηφάνως πρὸς τὰς ἀποκρίσεις διακειμένου.

ΛΑ'. Εἰς δὲ τὴν Κλεοπάτραν ἔπεμψε τὸν Προκλήϊον, ζώσης αὐτῆς κρατῆσαι θέλων, μέγα πρὸς δόξαν ἡγούμενος διαγαγεῖν αὐτὴν εἰς τὸν θρίαμβον. Ἡ δὲ ἐντὸς θυρῶν κεκλεισμένων ἰσχυρῶς στᾶσα διελέχθη αὐτῷ. Ὡς δὲ καταμαθὼν τὸν τόπον ἀπήγγειλε Καίσαρι, Γάλλος μὲν ἐπέμφθη αὐτῇ ἐντευξόμενος, ὃς ἐμήκυνε πρὸς ταῖς θύραις τὸν λόγον ἐπί-
B τηδες, Προκλήϊος δὲ κλίμακι διὰ θυρίδος εἰσῆλθε λαθὼν μετὰ δύω ὑπηρετῶν. Τῆς δὲ μιᾶς τῶν αὐτῇ συγκαθειργμένων γυναικῶν ἀνακραγούσης, *Τάλαινα Κλεοπάτρα, ζωγρῇ*, ὥρμησε μὲν ἑαυτὴν πατάξαι (παρέζωστο γάρ τι ξιφίδιον) προσδραμὼν δὲ αὐτῇ ὁ Προκλήϊος, συνέσχεν αὐτὴν, καὶ ἀφείλετο τὸ ξιφίδιον, καὶ μή τι κρύπτῃ φάρμακον ἐξηρεύνησεν. Ἔπεμψε δὲ Καῖσαρ Ἐπαφρόδιτον ἀπελεύθερον, κελεύσας ζῶσαν τηρεῖν πάνυ ἐπιμελούμενον, αὐτὸς δὲ Καῖσαρ εἰσήλασεν εἰς τὴν πόλιν. Καὶ ὁ Ἀντώνιος παρὰ τῆς Κλεοπάτρας ἐτάφη πολυτελῶς καὶ βασιλικῶς. Πυρετῶν δὲ αὐτῇ γενομένων (ἐφλέγμηνε γὰρ αὐτῆς τὰ στέρνα καὶ ἥλκωτο) τροφῆς ἀπείχετο, ὡς ἐντεῦθεν λυθησομένη τοῦ ζῆν. Ὁ ὑπονοήσας ὁ Καῖσαρ ἀπει-
C λὰς αὐτῇ καὶ φόβους περὶ τῶν τέκνων προσέβαλεν, οἷς ἐκείνη καθάπερ μηχανήμασιν ὑπερείπετο, καὶ τροφήν τε καὶ θεραπείαν προσίετο. Ἧκε δὲ μετ' ὀλίγον καὶ ὁ Καῖσαρ αὐτῇ ἐντευξόμενος. Ἡ δὲ, λιτῶς ἐν στιβάδι κατακειμένη ὥσπερ μονοχίτων, ἀναπηδήσασα προσπίπτει αὐτῷ, ὑπότρομος τῇ φωνῇ, καὶ συντετηκυῖα ταῖς ὄψεσι. Κελεύσαντος δὲ τοῦ Καίσαρος ἀνακλιθῆναι καὶ αὐτοῦ παρακαθισαμένου, ἐδεῖτο αὐτοῦ ὡς μάλιστα τοῦ ζῆν περιεχομένη· τέλος δὲ τῶν χρημάτων ἀναγραφὴν αὐτῷ ἐνεχείρισεν. Ὁ δὲ φιλοψυχεῖν αὐτὴν οἰόμενος ἥδετο, καὶ εἰπὼν ὅτι πάσης ἐλπίδος αὐτῇ λαμπρότερον χρήσεται, ἠπατηκέναι μὲν αὐτὴν ᾤετο· μᾶλλον δ' αὐτὸς ἐξηπάτητο. Μαθοῦσα γὰρ ὡς ὁ Καῖσαρ μὲν πεζῇ διὰ Συρίας ἔγνωκεν ἀπιέναι, αὐτὴν δ' ἐς τὴν Ῥώμην στέλλει
amplius dubitantes, denuo Martis aleam experiri parati essent (nam et satellites multi, et alii non pauci aberant) eumque rogarent, ne semet-ipsum et ipsos destitueret: se enim omnes libenter pro eo morituros Otho, *multo æquius esse*, dixit, *unum pro omnibus, quam multos pro uno perire: neque se commissurum, ut ob unum virum populi Romani seditio oriretur, et tanta hominum multitudo interiret.* Iis dictis, in conclave ingressus, cum nonnulla ad suos, et ad Vitellium de suis scripsisset, litteris ad se contra illum scriptis crematis, ne cui periculum inde crearetur, singulos salutavit, et pecunia donavit. Interea militum tumultu orto, exiit: eoque sopito, non prius discessit, quam alios alio in loca tuta misisset. Ac ita demum, cum tranquilla essent omnia, seipsum interfecit. Milites cadaver ejus sepeliverunt, multi quoque super eo se jugularunt. Hic Othonis fuit exitus, cum annos XXXVII vixisset, dies XC imperasset, quo ætatem superiorem impie et scelerate actam obumbravit, et vitam omnium flagitiosissimam morte honestissima decoravit. Post ejus obitum, milites statim tumultuati sunt: et multis invicem cæsis, gratia reconciliata se ad victores contulerunt.

σαν σφίσι. Τῷ δὲ Ὄθωνι ἠγγειλε ταῦτα ἱππεὺς (5) καὶ ἀπιστούμενος, *Εἶθε*, ἔφη, *ταῦτα ψευδῆ. Καίσαρ, ἦν·* καὶ εἰπὼν, ἑαυτὸν διεχρήσατο. Πιστευσάντων δ' ἐκ τούτου πάντων, καὶ ἑτοίμως ἐχόντων ἀναμαχέσασθαι (οἵ τε γὰρ δορυφόροι συχνοὶ ἦσαν, καὶ ἕτεροι οὐκ ὀλίγοι παρῆσαν) καὶ ἱκετευόντων αὐτὸν μήθ' ἑαυτὸν μήτε σφᾶς προδοῦναι· Πάντες γὰρ (ἔλεγον) ὑπὲρ σοῦ ἡδέως ἀπαθανούμεθα· ὁ Ὄθων, *Πολὺ δικαιότερόν ἐστιν*, εἶπεν, *ἕνα ὑπὲρ πάντων ἢ πολλοὺς ὑπὲρ ἑνὸς ἀπολέσθαι, καὶ μὴ βούλεσθαι δι' ἕνα ἄνδρα τὸν δῆμον τῶν Ῥωμαίων στασιάζειν, καὶ τοσοῦτον ὄχλον ἀνθρώπων φθείρεσθαι.* Ταῦτ' εἰπὼν εἰς τὸ δωμάτιον ἀνεχώρησε, καί τινα τοῖς τε οἰκείοις καὶ τῷ Οὐιτελλίῳ ὑπὲρ αὐτῶν ἐπιστείλας, τά τε γράμματα ὅσα τινὲς αὐτῷ κατ' ἐκείνου ἐγεγράφεισαν, ἔκαυσεν, ὥστε μηδένα ἐξ αὐτῶν φωραθέντα κινδυνεῦσαι· καὶ καλῶν ἕνα ἕκαστον τῶν παρόντων, ἠσπάζετο αὐτούς, καὶ ἐδίδου σφίσι χρήματα. Κάν τούτῳ ταραχῆς γενομένης στρατιωτῶν, ἐξῆλθε, καὶ καταστήσας αὐτούς, οὐ πρότερον ἀνεχώρησε, πρὶν ἐς τὸ ἀσφαλὲς ἄλλους ἀλλαχοῦ πέμψαι. Καὶ οὕτως, ἐπεὶ μηδὲν ἔτι ταραχῶδες ἐγίνετο, ἑαυτὸν κατεχρήσατο· καὶ οἱ στρατιῶται τὸ σῶμα αὐτοῦ ἔθαψαν, καί τινες αὐτῷ ἐπέσφαξαν ἑαυτούς. Τοῦτο τὸ τέλος τῷ Ὄθωνι γέγονε, ζήσαντι μὲν ἑπτὰ καὶ τριάκοντα ἔτη, ἄρξαντι δὲ ἡμέρας ἐνενήκοντα. ἔθυν καὶ τὴν ἀσέβειαν καὶ τὴν πονηρίαν τοῦ βίου συνεσκίασε. Κάκιστα γὰρ ἀνθρώπων ζήσας, κάλλιστα ἀπέθανεν. Οἱ δὲ στρατιῶται εὐθὺς μὲν ἐταράχθησαν, καὶ ὑπ' ἀλλήλων πολλοὶ ἀνῃρέθησαν. Ἔπειτα ὠμονόησαν, καὶ προσεχωρήκεσαν τοῖς κεκρατηκόσιν.

XVI. Romani cognito Othonis interitu (nam, ut ante dictum est, urbe aberat) Vitellium imperatorem designarunt. Cui mors Othonis in Galliis versanti nuntiata est, ubi eum uxor cum filiolo sex annos nato convenit, quem pro suggesto Germanicum et Cæsarem designavit. Jam cum divinationibus deditus esset, nec sine iis vel minima susciperet, tum astronomos, post etiam ariolos pepulit, certo die præfinito, intra quem tota Italia excederent. Qui noctu vicissim schedis **574** propositis ei denuntiarunt, ut intra eum diem e vita excederet, quo excessit. Dum autem luxui et lasciviæ deditus, et a prima ætate in cauponis, foro aleatorio, saltationibus et aurigationibus versatus esset, et infinita in eas res pecuniæ insumpta, multum æris alieni fecisset, tum aucto luxu insolentius se gessit, majoresque sumptus fecit. Maximam diei partem, et noctu quoque, se citra ullam satietatem ingurgitando, et subinde quæ ingesserat, revomendo, ut solo cibariorum transitu ali videretur: quæ res efficiebat, ut perpetuam crapulam tolerare posset, cum ejus compotores pessime haberent. E quo numero cum quidam propter morbum per aliquot dies a sodalitate abfuisset, *se omnino periturum fuisse* dixit, *nisi ægrotasset.* Nec totum tempus imperii ejus quidquam aliud fuit, nisi ebrietas et comessationes. Quis autem singula commemoret? cum inter omnes constet, eum imperii sui tempore

ΙϚ'. Οἱ δ' ἐν τῇ Ῥώμῃ, τὸ πάθος μαθόντες τοῦ Ὄθωνος (ἀπεδήμει γὰρ τοῦ ἄστεως, ὡς προείρηται·) αὐτοκράτορα τὸν Οὐϊτέλλιον ἀνηγόρευον. Ὄντι δ' ἐν τῇ Γαλατίᾳ ὁ θάνατος ἠγγέλθη τοῦ Ὄθωνος. Ἦλθε δὲ πρὸς αὐτὸν καὶ ἡ γυνὴ καὶ τὸ παιδίον, ὃ καὶ ἐπὶ βήματος Γερμανικόν τε καὶ αὐτοκράτορα ἐπωνόμασεν, ἑξάετες ὄν. Φιλόμαντις δὲ ὑπάρχων, καὶ μηδὲ τὸ βραχὺ πράσσων ἄνευ αὐτῶν, τότε μὲν τοὺς ἀστρονόμους, ὕστερον δὲ καὶ τοὺς γόητας ἐξήλασε, προειπὼν σφίσιν ἐντὸς τῆσδε τῆς ἡμέρας ἐξ ἁπάσης ἐκχωρῆσαι τῆς Ἰταλίας. Κἀκεῖνοι νυκτὸς ἀντιπροθέντες προγράμματα, ἀντιπαρήγγειλαν αὐτῷ ἀπαλλαγῆναι τοῦ βίου ἐντὸς τῆς ἡμέρας ἐν ᾗ ἐτελεύτησεν. Ἦν δὲ τρυφῇ τε καὶ ἀσελγείᾳ προσκείμενος, καὶ ἀπ' ἀρχῆς τοιοῦτος ὢν οἷος περὶ τὰ καπηλεῖα καὶ τὰ κυβευτήρια, καὶ τοὺς ὀρχηστὰς, καὶ τοὺς ἁρματηλάτας ἐσπουδακέναι. Καὶ ἀμύθητα ἐς τὰ τοιαῦτα ἀνήλισκε, καὶ διὰ τοῦτο καὶ δανειστὰς πολλοὺς εἶχε. Τότε δὲ καὶ μᾶλλον ὕβριζε, καὶ τῆς τε ἡμέρας τὸ πλεῖστον τῆς τε νυκτὸς ἑδαπάνα ἁπλήστως ἐμφορούμενος, καὶ συνεχῶς ἐξεμῶν, ὡς μόνῃ τῇ παρόδῳ τῶν σιτίων τρέφεσθαι. Ἀφ' οὗπερ καὶ αὐταρκεῖν ἠδύνατο. Οἱ δὲ συνδειπνοῦντες αὐτῷ πάνν κακῶς ἀπηλλάσσοντο. Ὅθεν εἷς τις αὐτῶν, νοσήσας, καὶ διὰ τοῦτο ἡμέρας τινὰς τοῦ συσσιτίου ἀπολειφθείς, εἶπεν ὅτι *Εἰ μὴ ἐνόσησα, πάντως ἂν ἀπολώλειν.* Καὶ ἐγένετο ὁ χρόνος ὁ τῆς ἀρχῆς αὐτοῦ σύμπας οὐδὲν ἄλλο ἢ μέθαι καὶ κῶμοι. Καὶ τί ἂν

Variæ lectiones et notæ.

(5) Ἱππεύς. Dio seu Xiphilinus, ἱππεύς τις, ubi Sylburgius emendat ἱππικός τις.

τις καθ' ἕκαστον αὐτῶν καταλέγοι; ὅπότε πρὸς A bis millies, centies, quinquagies centena millia
πάντων ὁμολόγηται δύο μυριάδας μυριάδων καὶ drachmarum in cœnas insumpsisse. Sæpe etiam
χιλίας πανταχοσίας (6) ἐν τῷ τῆς ἀρχῆς αὐτοῦ χρόνῳ apud alios convivatus est: eodemque die alius ei
ἐς τὰ δεῖπνα αὐτὸν ἑστιᾶσθαι. Πολλάκις δὲ καὶ jentaculum, alius prandium, alius cœnam, alius
παρ' ἄλλοις εἱστιᾶτο, καὶ τῆς αὐτῆς ἡμέρας ἄλλοι bellaria post cœnam, ad leniendam crapulam præ-
μὲν ἐγκρατίσασθαι παρεῖχον αὐτῷ, ἄλλοι δὲ ἀριστῆ- buerunt. Inter hæc vitia virtutes ei non defuerunt.
σαι, ἕτεροι δὲ δεῖπνον, καὶ ἕτεροι μεταδόρπιά τινα Monetam enim sub Nerone, Galba, Othone percus-
πλησμονῆς παραμύθια. Οὕτω δὲ βιοὺς, οὐκ ἄμοιρος sam retinuit, imaginibus eorum nihil offensus: et
ἦν παντάπασι καὶ καλῶν ἔργων. Τό τε γὰρ ἐπὶ quæ aliquibus donata fuerant, omnia rata habuit,
Νέρωνος, καὶ τὸ ἐπὶ Γάλβου, τοῦ τε Ὄθωνος κοπὲν neque cuiquam quidquam eripuit. Neque ea quæ
νόμισμα ἐτήρησεν, οὐκ ἀγαναχτῶν ταῖς εἰκόσιν ex contributionibus debebantur exegit, neque cu-
αὐτῶν· καὶ ὅσα τισὶν ἐδεδώρητο, ἐφύλαξε, μηδένα jusquam bona publicavit: paucis duntaxat Otho-
μηδὲν ἀφελόμενος. Καὶ οὔτε τὰ ἐκ τῶν συντελειῶν nianæ factionis occisis, neque tamen eorum bona
ἀποφληθέντα ἀπῄτησεν, οὔτε οὐσίαν τινὸς ἐδήμευ- cognatis eripuit. Eorum item cognatis, qui prius
σεν, ὀλίγους μὲν πάνυ τῶν τὰ Ὄθωνος πραξάντων B occisi fuerant, ea restituit omnia, quæ adhuc in
ἀποκτείνας, μηδὲ τὰς ἐκείνων μέντοι οὐσίας τοὺς publico reperiebantur. Neque testamenta adversa-
προσήκοντας αὐτῶν ἀποστερήσας. Καὶ τοῖς οἰκείοις riorum, qui in bello ceciderant, reprehendit. Ve-
δὲ τῶν πρότερόν ποτε θανατωθέντων ἐδωρήσατο tuit ne senatores et equites in arena pugnarent,
πάντα ὅσα ἐν τῷ δημοσίῳ εὑρηντο. Ἀλλ' οὐδὲ τὰς aut in orchestra se spectandos præberent: atque ob
δ.κθήκας τῶν ἀντιπολεμησάντων αὐτῷ καὶ ἐν ταῖς hæc laudabatur. Nuntiato motu Judaico, in magno
μάχαις πεσόντων ἠτιάσατο· ἀπηγόρευσε δὲ καὶ τοῖς terrore fuit, cum ob alia prodigia, tum quod luna
βουλευταῖς, καὶ τοῖς ἱππεῦσι μονομαχεῖν ἢ ἐν ὀρχή- bis defecisse præter solitum videbatur, et quarto
σ:ρᾳ θέαν τινὰ παρασχεῖν. Καὶ διὰ ταῦτα ἐπῃνεῖτο. et septimo die obscurata. Simul etiam duo soles
Ἐπὶ τούτοις ἠγγέλθη αὐτῷ ἡ ἐν Ἰουδαίᾳ κατ' αὐ- visi, alter ab occasu, alter ab oriente: ille infir-
τοῦ ἐπανάστασις. Καὶ δεινῶς κατέδεισε δι' αὐτὴν mus et pallidus, **575** hic robustus. Motus illius
ἄλλων τε συμβάντων σημείων, κἀ:τῆς σελήνης παρὰ hæc ratio fuit. Vespasianus in Judæa degens, quo
τὸ καθεστηκὸς δὶς ἐκλελοιπέναι δοξάσης. Καὶ γὰρ τε- eum a Nerone propter Judæorum defectionem mis-
ταρταία καὶ ἑβδομαία ἐσκιάσθη· ἡλίους τε ἅμα τ:τε sum fuisse jam diximus, filium Titum ad Galbam
εἶδον ἔκ τε .τῶν ἀνατολῶν καὶ ἐκ τῶν δυσμῶν, τὸν salutandum misit. Tito autem reverso (nam in via
μὲν ἀσθενῆ καὶ ὠχρὸν, τὸν δ' ἐξ ἀνατολῶν ἰσχυρόν. C seditionem Othonis et Vitellii didicerat) et ipse
Ἐπράχθη δὲ τὰ τῆς ἐπαναστάσεως ὧδε. Οὐεσπασια- (ut Dion refert) regnum affectavit. Josepho vero
νὸς ἐν Ἰουδαίᾳ διατρίβων, (ὡς γὰρ ἤδη ἱστόρηται, auctore in excidio Judaico, milites ejus cum an-
παρὰ Νέρωνος ἦν ἐκεῖσε σταλεὶς διὰ τὴν τῶν Ἰου- disserent, a Gallis Europæis Galbam per seditionem
δαίων ἀποστασίαν) τῷ μὲν Γάλβᾳ αὐταρχήσαντι τὸν imperatorem esse creatum, a Germanicis legioni-
υἱὸν ἔπεμψε Τίτον προσεροῦντα αὐτόν· ἐπανελ- bus Vitellium, a Romanis Othonem: ipsi quoque
θόντος δὲ τοῦ Τίτου, ἐπεὶ καθ' ὁδὸν ἐμεμαθήκει τὴν suo duci imperium decreverunt, atque aliis alios
τοῦ Οὐϊτελλίου καὶ τοῦ Ὄθωνος ἐπανάστασιν, πρὸς concitantibus, Vespasianum imperatorem salutа-
μοναρχίαν καὶ αὐτὸς ὡρμήθη κατὰ τὸν Δίωνα. Ὡς runt, hortati ut periclitanti reipublicæ subveni-
δ' ὁ Ἰώσηπος ἐν τῇ τῆς ἁλώσεως ἱστορίᾳ φησὶν, οἱ ret. Refraganti tribuni institerunt: et milites
μετ' αὐτοῦ στρατιῶται, μαθόντες τοὺς μὲν ἐν τῇ strictis ensibus circumstantes, mortem sunt mi-
Εὐρώπῃ Γαλάτας στασιάσαντας Γάλβαν προχειρί- nati. Paret igitur, et primum ad Ægypti prætorem
σασθαι αὐτοκράτορα, τοὺς δ' ἐν Γερμανίᾳ στρατευο- scribit, quo loco res suæ sint: a quo statim salu-
μένους ἀνθελέσθαι τὸν Οὐϊτέλλιον, τοὺς δ' ἐν τῇ tatus est imperator. Deinde Mutianum Syriæ præ-
Ῥώμῃ προχειρίσασθαι Ὄθωνα, καὶ αὐτοὶ τὴν μον- torem in Italiam contra Vitellium mittit. Quo tem-
αρχίαν τῷ σφετέρῳ στρατηγῷ ἐψηφίσαντο, καὶ πα- D pore Josephum Hebræum, quem, vivente adhuc
ρακροτήσαντες ἀλλήλους, ἀνηχόρευσαν τὸν Οὐεσπα- Nerone, imperatorem se appellare ausum, capti-
σιανὸν αὐτοκράτορα, καὶ σώζειν τὴν τῶν Ῥωμαίων vum adhuc in vinculis tenebat, ob eam divinatio-
ἡγεμονίαν κινδυνεύουσαν παρεκάλουν. Ἀρνουμένου nem solvi jussit. Tito vero hortante, ut ei una
δ' ἐκείνου, οἱ μὲν ἡγεμόνες προσέκειντο, οἱ δὲ στρα- cum ferro etiam ignominia demeretur (quod fiebat,
τιῶται περιχυθέντες ξιφήρεις ἀναλτὶν ἠπείλουν cum vincula non solvebantur, sed dissecabantur:
αὐτόν. Πείθεται οὖν, κ.. πρῶτον τῷ τὴν ἀρχὴν τῆς atque in eos usurpabatur, qui per injuriam vinci
Αἰγύπτου ἰθύνοντι ἐπιστέλλει περὶ τῶν κατ' αὐτὸν, essent), approbante Vespasiano, quidam securi ca-
καὶ ὃς εὐθὺς ἀνηγόρευσεν αὐτὸν αὐτοκράτορα. tenam dissecuit. Josephus enim (ut ipse narrat),
Οὐεσπασιανὸς δὲ, τοῦτο μαθὼν, τὸν μὲν τῆς Συρίας cum in sacris Litteris oraculum reperisset, fore ut
ἡγούμενον Μουκιανὸν εἰς τὴν Ἰταλίαν ἐπὶ τὸν quidam ex Judæa orbi terrarum imperaret, id ora-

Variæ lectiones et notæ.

(6) *Δύω μυριάδας μυριάδων καὶ χιλίας πεντακοσίας.* Sic mss. Reg. et Colb. Wolf. legendum putabat δισχιλίας, ut ea summa conficitur, quam Tacitus ponit.

culum, ob Romanorum seditiones, et imperatorum frequentes mutationes, ad Vespasianum retulit, eique vaticinatus est imperium. Ejus oraculi meminit etiam Appianus historiæ Romanæ libro XXII. Rectius autem ac verissime id oraculum de Servatore humani generis, Domino Jesu Christo, intelligetur. Neque enim toti terrarum orbi Vespasianus imperavit : sed Romanis provinciis duntaxat, extra quas multa alia regna fuerunt. At Dominus toti orbi dominatus est, et dominatur, cui a Patre dictum est : *Petito a me, et dabo tibi gentes hæreditatem tuam, et possessionem tuam fines terræ* [1]. Vespasiano **576** Alexandriam profecto, Roma nuntii venerunt de cæde Vitellii : et ut ipse a senatu populoque Romano imperator declaratus, et filius Domitianus principatum in ejus adventum tenere jussus esset. Vitellius autem hoc modo periit. Vespasiani milites, cum prope Romam, atque in ipsam urbem venissent, nullo violentiæ genere abstinuerunt. Cum autem urbs vastaretur, Vitellius sibi metuens, induta pannosa tunicula, in obscuram domunculam, ubi canes alligati erant, se abdidit, noctu Tarracinas ad fratrem confugere cogitans. Milites vero eum repertum, illuvie et sanguine plenum (nam a canibus morsus fuerat), lacerata veste, manibus post tergum revinctis, et, laqueo collo injecto, partim colaphis cecidерunt, partim barbam evellerunt : omnes vero luxum ei opprobrarunt. Ob quæ verecundantem, et humum intuentem, cultellis sub mento pupugerunt, ut vel invitus vultum attolleret. Verum Gallus quidam, ejus misertus : *Ego tibi*, inquit, *quantum unus possum, opem feram*, eoque vulnerato, seipsum jugulavit. Sed Vitellius ex eo vulnere non mortuus, cum in carcerem traheretur, ex verberum et contumeliarum impatientia : *At ego* inquit, *vester imperator fui*. Quo dicto irritati milites, eo dissecto, caput amputatum per totam urbem circumtulerunt. Vixit annos LIV et dies LXXXIX ; imperavit annum unum, X diebus demptis.

Οὐϊτέλλιον ἔπεμψεν. Ὅτε καὶ τὸν Ἑβραῖον Ἰώσηπον ὃς αὐτὸν, ἔτι ζῶντος τοῦ Νέρωνος, αὐτοκράτορα προσειπεῖν ἐθάρρησε, δεσμώτην ὄντα ἔτι παρ' αὐτῷ, καὶ αἰχμάλωτον, καλέσας πρὸς ἑαυτὸν, εἶα προμαντευσάμενον αὐτῷ τὴν ἀρχὴν, λυθῆναι κελεύει. Τοῦ δὲ Τίτου τῷ πατρὶ Οὐεσπασιανῷ δίκαιον εἰπόντος εἶναι καὶ τὸ δνειδος ἐξ Ἰωσήπου ἀφαιρεθῆναι σὺν τῷ σιδήρῳ· τοῦτο δ' ἔσεσθαι, εἰ μὴ λυθῶσι τὰ δεσμὰ, ἀλλὰ διακοπῶσιν, ὃ ἐπὶ τῶν μὴ δεόντως δεθέντων πράττεται· συνευδοκεῖ καὶ ὁ Οὐεσπασιανὸς καὶ παρελθών τις διέκοψε πελέκει τὴν ἄλυσιν. Ὁ γὰρ Ἰώσηπος, ὡς αὐτὸς ἐκεῖνος ἱστόρησε, χρησμόν τινα ἐν γράμμασιν ἱεροῖς εὑρηκὼς δηλοῦντα ὡς ἄρξει τις ἀπὸ τῆς χώρας αὐτῶν τῆς οἰκουμένης διὰ τὰς ἐν τῇ Ῥώμῃ στάσεις καὶ τῶν ἐκεῖ βασιλέων τὰς συνεχεῖς ἀλλαγὰς, εἰς τὸν Οὐεσπασιανὸν τεῖνειν ὑπείληφε τὸν χρησμὸν, καὶ οἱ τὸ κράτος προεμαντεύσατο. Τούτου δὲ τοῦ χρησμοῦ μέμνηται καὶ Ἀππιανὸς ἐν τῷ εἰκοστῷ δευτέρῳ λόγῳ τῆς Ῥωμαϊκῆς ἱστορίας αὐτοῦ. Δικαιότερον δ' ἄν, ἢ ἀληθὲς μάλιστα νομισθείη, τὸ ἐπὶ τὸν Σωτῆρα τοῦ τῶν ἀνθρώπων γένους τὸν Κύριον Ἰησοῦν Χριστὸν τὸν χρησμὸν ἐκληφθῆναι. Οὐ γὰρ τῆς οἰκουμένης ἁπάσης Οὐεσπασιανὸς ἐβασίλευσε κατὰ τὸν χρησμὸν, ἀλλὰ τῆς ὑπὸ Ῥωμαίους μόνης· πολὺ δὲ τῆς οἰκουμένης ἦν ὁ τῆς Ῥωμαϊκῆς ἀρχῆς ἦν ἐκτός. Ὁ δὲ Κύριος συμπάσης τῆς οἰκουμένης ἐβασίλευσέ τε καὶ βασιλεύει, ᾧ παρὰ τοῦ Πατρὸς ἐρρήθη· *Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς*. Οὐεσπασιανὸς δὲ πρὸς Ἀλεξάνδρειαν ὥρμησεν, ἔνθα καὶ ἀπὸ τῆς Ῥώμης εὐαγγέλια ἦκεν αὐτῷ, ὡς Οὐϊτέλλιος μὲν ἀπεσφάγη, αὐτὸς δὲ αὐτοκράτωρ τῷ τε δήμῳ καὶ τῇ συγκλήτῳ ἀνηγορεύθη, καὶ ὁ υἱὸς αὐτοῦ Δομετιανὸς εἰς ἡγεμονίαν προήχθη μέχρι τῆς αὐτοῦ πρὸς τὴν Ῥώμην ἀφίξεως. Ὁ δὲ τοῦ Οὐϊτελλίου θάνατος τοῦτον τὸν τρόπον ἐγένετο. Ἤδη οἱ Οὐεσπασιάνειοι στρατιῶται πεπλησιακότες ἦσαν τῇ Ῥώμῃ, καὶ εἰς αὐτὴν ἐσβαλόντες οὐδὲν ὅ τι τῶν δεινῶν οὐκ ἐποίησαν. Τῆς δὲ πόλεως πορθουμένης ὁ Οὐϊτέλλιος φοβηθεὶς, χιτωνίσκον τε ῥακώδη περιβαλλόμενος, ἐς οἴκημα σκοτεινὸν, ἐν ᾧ κύνες ἐδέδεντο, κατεκρύφθη, διανοούμενος νυκτὸς ἐς τὴν Ταρακίνην πρὸς τὸν ἀδελφὸν ἀποδρᾶναι. Ἀναζητήσαντες δὲ οἱ στρατιῶται αὐτὸν συνέλαβον φορυτοῦ πεπλησμένον καὶ αἵματος (ὑπὸ γὰρ τῶν κυνῶν ἐλελύμαντο), καὶ τὴν ἐσθῆτα περιῤῥήξαντες αὐτοῦ, καὶ εἰς τοὐπίσω τὼ χεῖρε δεσμήσαντες, σχοινόν τε περιθέντες αὐτῷ περιαυχένιον, οἱ μὲν ἐῤῥάπιζον, οἱ δὲ τοῦ γενείου ἔτιλλον, πάντες δὲ ἔσχωπτον τά τε ἄλλα καὶ τὴν ἀσωτίαν αὐτοῦ. Διασχυνομένου δὲ ἐπὶ τούτοις, καὶ κάτω βλέποντος, οἱ στρατιῶται ξιφιδίοις αὐτὸν ὑπὸ τὸ γένειον ὑπεκέντουν, ἵνα καὶ ἄκων ἄνω βλέπῃ. Κελτὸς (7) δέ τις ἐλεήσας αὐτὸν, Ἐγώ σοι, ἔφη, *βοηθήσω ὡς μόνος* (8) *δύναμαι*. Καὶ ὁ μὲν ἐκεῖνον ἔτρωσε, καὶ ἑαυτὸν ἀπέσφαξεν. Οὐ μέντοι καὶ ὁ Οὐϊτέλλιος ἀπέθανεν ἐκ τοῦ τραύματος, ἀλλ' ἐσύρετο εἰς τὸ δεσμωτήριον. Περιαλγήσας δὲ οἷς τε ἔπασχε καὶ οἷς ἤκουεν· Ἀλλ' ἔγωγε, ἔφη, *αὐτοκράτωρ ὑμῶν ἐγενόμην*. Ὀργισθέντες οὖν οἱ στρατιῶται κατέκοψαν αὐτὸν, καὶ τὴν κεφαλὴν ἀποτεμόντες αὐτοῦ, κατὰ πᾶσαν τὴν πόλιν περιήγαγον, ζήσαντος ἔτη τέσσαρα καὶ πεντήκοντα, καὶ ἡμέρας ἐννέα καὶ ὀγδοήκοντα, μοναρχήσαντος δὲ ἐνιαυτὸν, δέκα ἡμερῶν ἐπιδέοντα.

XVII. His peractis, Mutianus advenit, unaque

ΙΖ'. Πεπραγμένων δὲ τούτων ὁ Μουκιανὸς ἐπῆλθε

[1] Psal. II, 8.

Variæ lectiones et notæ.

(7) *Κελτός*. Ita duo mss. Reg. et Colb. At interpres in altero ex iis quibus usus est, codice Κελεστό; legi monet, quasi esset nomen proprium non nationis, sed viri.

(8) *Ὡς μόνος*. Ita etiam Dio. Sylburgius legendum censet ὡς μόνως, *qua sola ratione possum*.

καὶ τῷ Δομετιανῷ συνδιῴκει. Αὐτοκράτωρ τε ὁ Οὐεσπασιανὸς καὶ πρὸς τῆς βουλῆς εὐφημήθη, καὶ Καίσαρες ὅ τε Τῖτος καὶ ὁ Δομετιανὸς ἐπεκλήθησαν. Ὁ δὲ Μουκιανὸς ἀδελφὸς παρὰ τοῦ Οὐεσπασιανοῦ ὠνομάζετο, καὶ ἐξουσίαν εἴληφε πάνθ' ὅσα ἐβούλετο πράττειν καὶ γράφειν, τὸ ὄνομα τοῦ αὐτοκράτορος μόνον ἐπιγραφόμενος, καὶ διὰ τοῦτο καὶ δακτύλιον πεμφθέντα οἱ ἐφόρει, ἵνα τὸ αὐτοκρατορικὸν σφράγισμα λαμβάνῃ τὰ συμβαινόμενα. Πολλοῖς γοῦν ἀρχάς τε καὶ ἐπιτροπείας αὐτὸς καὶ ὁ Δομετιανὸς ἔδοσαν, καὶ ἐπάρχους ἄλλους ἐπ' ἄλλοις καὶ ὑπάτους ἀπέδειξαν, ὡς αὐτοὶ αὐταρχοῦντες. Ὥστε τὸν Οὐεσπασιανὸν ἐπιστεῖλαι τῷ Δομετιανῷ ὅτι *Χάριν ἔχω σοι, τέκνον, ὅτι με ἐᾷς ἄρχειν, καὶ οὐδέπω με καταλέλιπας.* Ἐς δὲ τὴν Ἀλεξάνδρειαν ὁ Οὐεσπασιανὸς ἀφικόμενος χρήματα πολλὰ ἐκεῖθεν ἀργυρολόγησε, χρηματιζόμενος πάντοθεν, καὶ τέλη πολλὰ τὰ μὲν ἐκλελειμμένα ἀνενεώσατο, τὰ δὲ καὶ νομιζόμενα προσεπηύξησε, καινά τε προσέθετο ἕτερα. Τὸ δ' αὐτὸ τοῦτο καὶ ἐν τῇ ἄλλῃ ὑπηκόῳ, τῇ τε Ἰταλίᾳ καὶ αὐτῇ τῇ Ῥώμῃ μετὰ ταῦτα ἐποίησε. Τὴν μὲν οὖν Αἴγυπτον δι' ὀλίγου κατεστήσατο, καὶ σῖτον πολὺν εἰς τὴν Ῥώμην ἔπεμψεν ἀπ' αὐτῆς. Τὸν δὲ υἱὸν αὐτοῦ Τῖτον εἰς Ἱεροσόλυμα καταλελοιπὼς πορθῆσαι αὐτά, τὴν ἐκείνων ἀνέμενεν ἄλωσιν, ἵνα μετὰ τοῦ υἱέος ἐπανέλθῃ πρὸς τὴν Ῥώμην. Τριβομένου δὲ χρόνου ἐν τῇ πολιορκίᾳ, τὸν μὲν Τῖτον ἐν τῇ Παλαιστίνῃ κατέλιπεν· αὐτὸς δὲ ὁλκάδος ἐπιβάς, ἐς Λυκίαν ἔπλευσε, κἀκεῖθεν τὰ μὲν πεζῇ, τὰ δὲ πλεόμενος εἰς τὸ Βραντέσιον ἐκομίσθη. Ἐλθὼν δ' ἐς Ῥώμην καὶ τοῖς στρατιώταις καὶ τῷ δήμῳ παρέσχηκε δωρεάς, καὶ τὰ τεμένη καὶ τὰ δημόσια ἔργα τὰ πεπονηκότα ἀνελάμβανε, καὶ τὰ ἤδη ἐφθαρμένα ἐπανεσκεύαζε, καὶ συντελουμένοις αὐτοῖς οὐ τὸ ἑαυτοῦ ἐπέγραφεν ὄνομα, ἀλλὰ τὸ τῶν πρώτως δομησαμένων. Τάς τε οὐσίας τῶν ἐναντιωθέντων αὐτῷ, καὶ ἐν ταῖς μάχαις τε πεσόντων τοῖς παισὶν ἐκείνων ἢ τοῖς ἄλλοις οἰκείοις ἀφῆκε. Καὶ τὰ συμβόλαια τὰ τῷ δημοσίῳ προσήκοντα παρεδιέφθειρε. Μεγαλοπρεπῶς δὲ εἰς τὸ κοινὸν ἀναλίσκων, εὐτελέστατα διῃτᾶτο, καὶ οὐδὲν ἔξω τῶν ἀναγκαίων ἐδαπάνα. Ἦν δὲ οὔτε ἐξ εὐγενῶν οὔτε πλούσιος. Πάντας δὲ τοὺς προσιόντας αὐτῷ προσεδέχετο. Τοῖς δὲ φίλοις καὶ πρὸ τῆς ἕω καὶ ἐπὶ τῆς εὐνῆς κατακείμενος συνεγίνετο, καὶ αἱ θύραι τῶν βασιλείων ἠνεῳγμέναι διὰ πάσης τῆς ἡμέρας ἦσαν, καὶ φρουρὸς οὐκ ἦν ἐν αὐταῖς. Τό τε σύμπαν τῇ μὲν προνοίᾳ τῶν κοινῶν αὐτοκράτωρ νενόμιστο, εἰς τἄλλα δὲ πάντα κοινὸς καὶ ἰσοδίαιτος ἦν τοῖς λοιποῖς. Τῶν δ' Ἱεροσολύμων ἁλόντων, ὁ Τῖτος εἰς τὴν Ἰταλίαν ἐπανελθὼν τὰ ἐπινίκια αὐτός τε καὶ ὁ πατὴρ ἐφ' ἅρματος ἔπεμψαν· συνέπεμπε δὲ σφίσιν αὐτὰ καὶ ὁ Δομετιανὸς ὑπατεύων ἐπὶ κέλητος. Μετὰ τοῦτο διδασκάλους ἐν τῇ Ῥώμῃ καὶ τῆς Λατίνων καὶ τῆς Ἑλληνικῆς παιδείας κατέστησε, μισθὸν ἐκ τοῦ δημοσίου φέροντας. Κατηγορίαν δὲ ὁ Μουκιανὸς τῶν φιλοσόφων πολλὴν ποιησάμενος, ἔπεισε τὸν Οὐεσπασιανὸν ἐξελάσαι αὐτοὺς τῆς Ῥώμης, καὶ

A cum Domitiano rempublicam capessit. Vespasianus a senatu imperator salutatus : duo ejus filii, Cæsares cognominati sunt. Mutianus vero frater a Vespasiano vocabatur, accepta potestate quidvis et agendi et decernendi, tantum imperatoris nomine præscripto : eaque de causa missum sibi annulum gestabat, ut mandata imperatorio anulo signarentur. Igitur ipse et Domitianus magistratus et præfecturas multis dederunt, et alios atque alios præsides et consules designarunt, non secus ac si ipsi rerum potirentur. Unde Vespasianus Domitiano scripsit, *Se illi habere gratiam, quod se imperare pateretur, necdum imperio pepulisset.* Alexandriam autem cum venisset, magnam pecuniam coegit, nullo quæstu
B **577** prætermisso, vectigalibus quibusdam obsoletis restitutis, usitatis exaggeratis, et novis excogitatis. Quod deinde in aliis quoque provinciis, in Italia et Romæ fecit. Ægypto parvo tempore constituta, magnam inde frumenti copiam Romam misit. Filium Titum ad oppugnanda Hierosolyma reliquit, ut una cum eo in urbem reverteretur. Sed cum obsidio diu traheretur, sine illo nave oneraria in Lyciam venit. Inde partim terra, partim mari Brundusium appulit. Romam ingressus, militibus et populo munera dedit. Templa publicaque opera ruinosa refecit. Ædificia, quorum fundamenta jacta erant, perfecit, non suo, sed eorum qui inchoarant nominibus inscriptis. Bona adversariorum, qui in præliis ceciderant, eorum liberis aut cognatis reliquit,
C publicis etiam æris alieni tabulis abolitis. Publice magnificus, privatim tenuissime vivebat : neque ullos sumptus, nisi necessarios, faciebat, genere ortus neque nobili, neque locuplete. Ab omnibus adiri se patiebatur. Cum amicis ante auroram in lectulo recubans, colloquebatur. Palatii fores per totum diem patebant, sine ullo custode. Ut paucis absolvam, curatione reipublicæ princeps agnoscebatur ; comitate, victu, cultuque a cæteris nihil differebat. Hierosolymis expugnatis, cum Tito filio triumphum duxit : cui Domitianus quoque consul equo singulari interfuit. Postea magistros et Latinarum et Græcarum disciplinarum Romæ constituit, decretis ex ærario stipendiis. Sed Mutianus, philosophis acriter accusatis, effecit ut uno Musonio
D excepto, eosdem urbe pelleret. Avaritiæ crimen ex eo subiit, quod decreta sibi a quibusdam statua pretio CCC millium drachmarum, manu extenta : *Pecuniam mihi date*, inquit, *nam hæc illius est basis.* Tito filio ob institutum vectigal quoddam succensenti, aureos inde comparatos ostendit, *ac periculum facere jussit an olerent ?* Alcinus et Marcellus insidiatores ejus deprehensi sunt : ac Alcinus Titi jussu in palatio interfectus ; Marcellus judicio damnatus, novacula sibi gulam præcidit. Vespasianus ex febri decessit, vel, ut alii de Tito mentiuntur, veneno in convivio hausto. Objurgatus a medicis, quod in **578** morbo omnia munia obiret : *Imperatorem*, respondit, *stantem mori oportere.* Exsanc-

tus est anno ætatis nono et lx mense et die octavo, imperii anno decimo, vi dielus minus.

XVIII. Huic defuncto Titus successit : qui tempore imperii, neque crudeliter, neque libidinose quidquam fecit, sive ob mutatos mores, sive ob exiguum tempus quo imperavit. Nam rerum potitus, biennium duntaxat, menses v, et dies xxv vixit : vitæ autem ejus spatium fuit annorum xxxix, mensium v, dierum xxv. Quare cum longævitate Augusti comparatur, quod nec is adamatus esset, si pauciores annos vixisset ; nec hic, si plures. Quod ille principio propter bella et seditiones asperior, longo illo spatio beneficientia inclaruit : hic moderate gesto imperio, in ipso gloriæ fastigio decessit. Quod si diu vixisset, crimini dari forte potuisset, cum majori fortuna quam virtute usum fuisse. In principatu suo nullum senatorem occidit : privilegia a superioribus imperatoribus concessa, litteris publice propositis confirmavit. Pecuniam accurate conservavit, nec temere consumpsit, neque tamen quemquam ex avaritia supplicio affecit. Sub eo Pseudonero exstitit, homo Asianus, nomine Terentius Maximus, Neroni et facie et voce similis : nam ad citharam quoque canebat. Is comparata in Asia factione, et ad Euphratem progressus, manu longe majore facta, denique ad Artabanum Parthorum regem confugit. Qui Tito iratus, illum receptum Romam reducere instituit. Primo anno principatus Titi, sub autumnum subito ingens in Campania incendium exstitit. Vesuvius enim mons juxta Neapolim, copiosos ignis fontes continens, in medio duntaxat ardet, exteriora carent igni. Proinde cacumina in circuitu veterem altitudinem obtinent, medium vero igni consumptum, dum magis ac magis subsedit, concavum est redditum. Unde nocte flamma, interdiu fumus, alias major, alias minor erumpit : aliquando etiam subito dehiscens, cineres et saxa vi ventorum impulsa ejaculatur : et cum murmure resonat, ob spiracula non densa, sed rara et libera. Ac talis est Vesuvius. **579** Tum autem immani tumultu, quasi montes inter se colliderentur, subito exaudito,

ΙΗ'. Τούτου δὲ τελευτήσαντος, ὁ Τίτος τὴν ἀρχὴν διεδέξατο. Ὃς μοναρχήσας οὔτε φονικόν τι οὔτε ἐρωτικὸν ἔπραξεν, ἢ ὅτι μετεβάλετο· ἢ ὅτι ἐπὶ βραχύτατον, ὡς γε ἐς ἡγεμονίαν εἰπεῖν, ἐπεβίω. Δύο γὰρ ἔτη μετὰ τὴν αὐταρχίαν καὶ μῆνας δύο ἡμέρας τε εἴκοσιν ἔζησεν, ἐπ' ἐννέα καὶ τριάκοντα ἔτεσι, καὶ μησὶ πέντε, καὶ ἡμέραις πέντε καὶ εἴκοσι. Διὸ καὶ ἐξ ἴσου αὐτὸν ἄγουσι τῇ τοῦ Αὐγούστου πολυετίᾳ, ὅτι οὔτ' ἐκεῖνος ἐφιλήθη ἂν, εἰ ἐλάττω χρόνον ἐζήκει, οὔτ' ἂν οὗτος, εἰ πλείονα· ὁ μὲν ὅτι, τραχύτερος καταρχὰς διὰ τοὺς πολέμους καὶ τὰς στάσεις γενόμενος, ἠδυνήθη μετὰ ταῦτα εὐεργεσίαις ἐν τῷ πολυχρονίῳ λαμπρύνεσθαι· ὁ δ' ὅτι ἐπιεικῶς ἄρξας ἐν ἀκμῇ τῆς δόξης ἀπέθανε, τάχ' ἂν ἐλεγχθείς, εἰ γε ἐβίω ἐπὶ μακρόν, ὅτι εὐτυχίᾳ πλείονι ἐχρήσατο ἢ ἀρετῇ. Οὔτε δέ τινα τῶν βουλευτῶν ἐν τῇ αὐτοῦ ἡγεμονίᾳ ἀπέκτεινε, καὶ γράμματα ἐξεθήκε βεβαιοῦντα πάντα τὰ ὑπὸ τῶν πρότερον αὐτοκρατόρων δοθέντα (10) τισίν. Ἦν δὲ περὶ χρήματα ἀκριβής, καὶ οὐ μάτην ἀνήλισκεν· οὐδένα μέντοι μετὰ ταῦτα ἐκόλασέ ποτε. Ἐπὶ τούτου δὲ ὁ Ψευδονέρων ἐφάνη, ὃς Ἀσιανὸς ἦν, ἐκαλεῖτο δὲ Τερέντιος Μάξιμος, προσεοικὼς δὲ τῷ Νέρωνι καὶ τὸ εἶδος καὶ τὴν φωνήν· καὶ γὰρ καὶ ἐκιθαρῴδει. Ἔκ τε τῆς Ἀσίας τινὰς προσεποιήσατο, καὶ ἐπὶ τὸν Εὐφράτην προχωρῶν, πολλῷ πλείους ἀνηρτήσατο· καὶ τέλος πρὸς Ἀρτάβανον τὸν τῶν Πάρθων κατέφυγεν ἄρχοντα· ὃς καὶ ὀργῇ τὸν Τίτον ποιούμενος ἐδέξατο τοῦτον καὶ καταγαγεῖν εἰς Ῥώμην παρεσκευάζετο. Ἐν δὲ τῷ πρώτῳ τῆς ἡγεμονίας τοῦ Τίτου ἔτει πῦρ ἐν Καμπανίᾳ πολὺ κατὰ τὸ φοινόπωρον ἄθρόον ἐξήνθησε. Τὸ γὰρ ὄρος τὸ Βέσβιον (11), κατὰ Νέαν ὂν πόλιν, ἔχει πυρὸς ἀφθόνου πηγάς· μέσον δέ γε μόνον πεπύρωται, τὰ δ' ἔξω τούτου εἰσὶν ἄπυρα. Τῶν οὖν ἐν τῷ μέσῳ κεραυνουμένων καὶ τεφρουμένων αἱ μὲν περιξ κορυφαὶ τὸ ἀρχαῖον σώζουσιν ὕψος· τὸ δὲ μέσον (12), ἐπανηνθὲν τῷ πυρί, κοῖλον ἐκ τοῦ συνιζάνειν ἐγένετο. Καὶ ἀναβίβρωται ἐξ αὐτοῦ τῆς μὲν νυκτὸς φλόξ, τῆς δ' ἡμέρας καπνός, καὶ ποτὲ μὲν μᾶλλον, ἐνίοτε δ' ἐλάττων. Ἄλλοτε δὲ καὶ τέφραν

Variæ lectiones et notæ.

(9) *Ἡλίῳ τοῦ Μενεσθέως.* Vide Scaligeranum ad Eusebium, pag. 201, 2 edit.

(10) *Δοθέντα.* Xiphilinus, seu Dio, inde emendandus, qui βεβαιωθέντα habet, ex Sueton. *Beneficia a superioribus concessa principibus*, etc.

(11) *Ὄρος τὸ Βέστιον.* Ita Dioni appellatur : Constantino lib. II *De themat.* cap. 14. Οὐεσούβιος.

(12) *Τὸ δὲ μέσον.* Hic Wolfii versionem emendavimus ex sententia Sylburgii. Scripserat Wolfius, *medietate exusta et depressa.*

ἀναβάλλει, ὅταν ἀθρόον ὑφιζήσῃ. Καὶ λίθους ἀνα- A
πέμπει, ὅταν ὑπὸ πνεύματος ἀρθῇ, ἠχεῖ τε καὶ βοᾷ
συμπεπιλημένας, ἀλλ' ἀραιὰς καὶ ἐλευθέρας τὰς
ἀναπνοὰς ἔχον. Τοιοῦτον μέν ἐστι τὸ Βέσβιον. Τότε δὲ
κτύπος ἐξαίσιος ἐξαπίνης ὡς τῶν ὀρῶν συμπιπτόν-
των ἐξηκούσθη. Καὶ ἀνέθορον πρῶτον μὲν λίθοι
ὑπερμεγέθεις, ἔπειτα πῦρ πολὺ καὶ καπνὸς ἄπλετος,
ὡς καὶ τὸν ἥλιον συγκρυφθῆναι, καὶ σκότος ἐκ φωτὸς
γενέσθαι. Καὶ τέφρα δὲ ἀνεφυσήθη ἀμύθητος, ὡς
τῆς τε γῆς καὶ τῆς θαλάσσης καὶ τοῦ ἀέρος κατα-
σκεδασθῆναι παντὸς, καὶ τοὺς ἰχθύας τά τε ὄρνεα
διαφθαρῆναι, καὶ δύω πόλεις, τό τε Ἑρκουλάνεον
καὶ τοὺς Πομπηΐους, ἐν θεάτρῳ τοῦ δήμου αὐτῶν
καθημένου, καταχωσθῆναι. Τοσαύτη δ' ἦν ἡ τέφρα,
ὥστε τι αὐτῆς καὶ ἐς Ἀφρικὴν ἐλθεῖν καὶ εἰς Συ-
ρίαν καὶ εἰς τὴν Αἴγυπτον καὶ εἰς αὐτὴν τὴν Ῥώ- B
μην, ἐξ ἧς ὕστερον λοιμώδης νόσος ἐνέσκηψεν. Ὁ δ'
οὖν Τῖτος τοῖς Καμπανοῖς καὶ οἰκιστὰς ἔπεμψε, καὶ
χρήματα ἐδωρήσατο ἄλλα τε καὶ τὰ τῶν ἀκληρονο-
μήτων. Αὐτὸς δὲ οὐδὲν παρ' οὐδενὸς, καίτοι πολλῶν
διδόντων, ἐδέξατο. Πολλὰ δὲ τῶν δημοσίων ἔργων
ἀνέστησεν οἴκοθεν, καὶ ἀγῶνας ἐποίησε θαυμαστοὺς,
ἐν οἷς σφαιρία ξύλινα μικρὰ ἄνωθεν ἐῤῥίπτει, σύμ-
βολον ἔχοντα τὸ μὲν ἐδωδίμου τινὸς, τὸ δὲ ἐσθῆτος,
ἄλλο χρυσοῦ, ἵππων, ὑποζυγίων, βοσκημάτων, ἀν-
δραπόδων· ἃ οἱ ἁρπάζοντες πρὸς τοὺς δοτῆρας αὐ-
τῶν ἀπάγοντες τὸ ἐπιγεγραμμένον ἐλάμβανον. Τού-
του ἐστὶ καὶ ἡ ἀοίδιμος ἐκείνη φωνὴ εἰπόντος· *Σήμε-
μον οὐκ ἐβασίλευσα, ἐπεὶ οὐδένα εὐηργέτησα.*
Τούτου τῷ πρώτῳ ἔτει Λῖνος ὁ πρῶτος ἐπίσκοπος
τῆς Ῥωμαίων Ἐκκλησίας τελευτῶν Ἀνεγκλήτῳ (13) C
τὴν ἀρχιερωσύνην παρέδωκε. Τῷ δ' ἐπιγενομένῳ
ἔτει μετήλλαξεν ὁ Τῖτος, ὡς μὲν φήμη κρατεῖ, πρὸς
τοῦ ἀδελφοῦ ἐπιβουλευθεὶς, ὡς δ' ἔνιοι γράφουσι,
καὶ περιγενέσθαι δυνάμενον ἐς λάρνακα πλήρη
τάχα τινὸς περιψύξεως Ἀποψύχων δὲ εἰπεῖν λέγεται ὅτι
οὐ διεσάφησε. Τινὲς μὲν οὖν λέγουσιν ὅτι τὴν Δομετίαν
ὅτι τὸν Δομετιανὸν οὐκ ἀπέκτεινεν, ἐπιβουλεύοντά οἱ
καὶ τὴν Ῥωμαίων ἀρχὴν ἀνδρὶ τοιούτῳ ἐξέδωκεν.

primum ingentia saxa exsilierunt, deinde magnus ignis et fumus immensus, ut sol occultaretur, et lux in tenebras converteretur. Est et cineris vis ineffabilis effusa, quo in aere, terra et mari dissipato, pisces et volucres perierunt: et duo oppida Herculanum et Pompeii, populo in theatro considente, sunt oppressa. Tantum porro cineris fuit, ut aliquantum etiam in Africam, in Ægyptum et Syriam, ipsamque Romam perferretur: unde pestilentia consecuta est. Titus vero Campanis colonos misit, et pecunias donavit, eorum præsertim qui sine hæredibus decesserant: ipse a nemine quidquam, etsi multi offerrent, accepit. Multa publica ædificia de suo exstruxit: ludos mirabiles fecit, in quibus globulos ligneos dejiciebat, in quorum aliis esculenti aliquid, aliis vestis, aliis aurum, equi, jumenta, pecudes, mancipia inscripta erant, quæ qui rapuerant, cum ad dispensatores pertulissent, ea accipiebant, quæ inscripta erant. Hujus est etiam celebrata illa vox, cum dixit: *Hodie non imperavi, quia nemini benefeci.* Primo ejus anno Linus, primus Romanorum episcopus, moriens thronum Anacleto reliquit. Anno sequenti decessit Titus, vel insidiis fratris, vel ex morbo. A Domitiano certe quidem spirans adhuc, cum diutius forsitan vivere posset, in cistam nive plenam est conjectus, quasi morbus refrigerationem postularet. Moriturus *se unam quiddam peccasse* dixit, quod quale esset, non explicavit. Quidam id ad Domitiam fratris uxorem, quam duxerat, referunt; alii ad Domitianum, quem aperte sibi insidiantem, non peremisset: a quo et ipse interiit, et Romanum imperium tali viro tradidit.

ΙΘ'. Ἔτι γοῦν τοῦ Τίτου ἐμπνέοντος, εἰς τὴν D
Ῥώμην ἀφίππευσε καὶ εἰς τὸ στρατόπεδον εἰσελή-
λυθε καὶ τὴν ἐπίκλησιν καὶ τὴν ἐξουσίαν τοῦ αὐτο-
κράτορος ἔλαβεν. Ἦν δὲ θρασὺς καὶ ὀργίλος, καὶ
ἐπίβουλος, καὶ κρυφίνους· ἄνθρωπον δὲ ἐφίλησε μὲν
ἀληθῶς οὐδένα πλήν τινων γυναικῶν. Ἐπλάττετο δὲ
ἀγαπᾷν ὃν μάλιστα κτεῖναι ἤθελεν. Ἄπιστος γοῦν
καὶ πρὸς τοὺς χαριζομένους αὐτῷ καὶ ὑπηρετοῦν-
τας εἰς τὰ δεινότατα ἦν. Καὶ ὁπότε τινὲς αὐτῷ ἢ
πλεῖστα πορίσειαν χρήματα ἢ πολλοὺς συκοφαντή-
σειαν, τούτους ἐκτίννυεν, ἵν' ὑπ' αὐτῶν μόνων δοκῇ
προβαίνειν τὰ ἀδικήματα. Κάκιστος δὲ ὢν καὶ τοὺς
τοῦ πατρὸς καὶ τοῦ ἀδελφοῦ φίλους ἀτίμως εἶχε,
τοὺς δὲ καὶ διώλεσε. Καὶ τὴν γυναῖκα αὐτοῦ Δομε-
τίαν ὡς ἐπὶ μοιχείᾳ ἀπεπέμψατο, τὸν Πάριν τὸν ὀρ-

XIX. Is Tito adhuc spirante Romam equitavit: castraque ingressus, et cognomentum et potestatem imperatoris accepit: homo audax, iracundus, insidiator, occulti ingenii, mortalium neminem ex animo diligens, præter mulieres quasdam: summum erga eos quos maxime perditos cupiebat, amorem simulans: infidus iis qui ipsi gratificabantur, et in rebus **580** atrocissimis operam navabant. Nam qui maximam ei pecuniam procurabant, aut multos calumniabantur, eos occidebat, ut ab illis duntaxat injuriæ proficisci viderentur. Patris et fratris amicos, ut homo pessimus, partim ignominiose tractabat, partim occidebat. Uxorem Domitiam per causam adulterii repudiavit, Paride saltatore in media via illius causa occiso. Cum filia fratris Julia,

Variæ lectiones et notæ.

(13) Ἀνεγκλήτῳ. Ita etiam tres mss. quem nostri vulgo Anacletum vocant, quasi istius Pontificis Romani nomen affectatione quadam efferendum crediderit Zonaras. Sic porro scriptos Eusebii codices præferre monet Henr. Valesius ad lib. III, cap. 13.

tanquam uxore, haud dissimulanter rem habebat. Deinde a populo exoratus, in gratiam cum Domitia rediit, sed Juliæ consuetudine nihilo secius usus est. In Galliam profectus, et trans Rhenum, agros eorum cum quibus pax intercedebat, populatus, quasi re præclare gesta superbiebat, aucto militibus stipendio ob victoriam scilicet. Nam cum eis septoagenæ quinæ drachmæ solverentur, centenas dari jussit. Cujus largitionis cum pœnituisset, stipendiis non imminutis, sed numero militum contracto, utraque re reipublicæ multum incommodavit : quod nec satis erant qui eam defenderent, et magna stipendia accipiebant. Eos a quibus observabatur, et a quibus negligebatur, ex æquo oderat : alteros ut adulatores, alteros ut contemptores. Falsis victoriis jactandis consulatum in decennium, censuram per omnem ætatem accepit. Multi provinciales ob violentas exactiones defecerunt, ut Nasamones : qui et quæstores occiderunt, et Numidiæ prætorem Flaccum ita vicerunt, ut castris ejus potirentur in quibus cum præter alia cibaria, vini quoque copiam reperissent, inebriati obdormiverunt. Quo Flaccus cognito, eos aggressus internecione delevit, ac ne imbelli quidem ætati pepercit. Quo successu elatus Domitianus, ad senatum dixit se Nasamonibus vita interdixisse. Jam enim Deum se perhiberi volebat, et Deum ac Dominum nominari summopere lætabatur. Atque hæc non tantum dicebantur, sed etiam pingebantur. Cum in spectaculo magna pluvia et tempestas subito erupisset, neminem discedere aut alias vestes induere passus, ipse penulas subinde mutavit : unde multi læsa valetudine perierunt. Eos quos suppliciis affecit, nemo numerare queat : ac inter cæteros ob adulterii crimen multi locupletes **581** et viri et mulieres, quarum aliquas ipse constuprarat, pœnas dederunt. Sunt et aliis de causis multi et multati et interfecti. Nam mulier quædam quod se ante illius statuam exuisset, occisa est : alius, ut cum astrologis collocutus. Metium quemdam, quem rerum potiturum esse fama erat, relegatum occidit, per eam causam, quod orbem terrarum in cubiculi sui parietibus pictum haberet. Rhetorem quemdam, quod exercendi ingenii causa contra tyrannos declamasset, capite multavit. Multi ob philosophiæ studium perierunt, pulsis reliquis. Ad hunc modum grassanti insidiæ structæ sunt a Parthenio et Sigero cubiculi custodibus, et ab Entello qui a libellis erat reipublicæ, et a Stephano liberto. Earum insidiarum et Domitia uxor, et Norbanus præfectus, et collega Petronius consii fuerunt. Nam Domitia, quæ se invisam illi esse sciret, cædem metuebat, cæteris non amplius cum diligentibus. Fertur

χηστὴν ἐν μέσῃ τῇ ἑδῷ δι' αὐτὴν φονεύσας. Καὶ τῇ ἀδελφιδῇ Ἰουλίᾳ (14) συνῆν ἀπαρακαλύπτως, ὡς γαμετῇ. Εἶτα δεηθέντος τοῦ δήμου κατηλλάγη μὲν τῇ Δομιτίᾳ, ἐχρῆτο δ' οὐδὲν ἧττον τῇ Ἰουλίᾳ. Καὶ μετὰ ταῦτα εἰς Γαλατίαν ἐξορμήσας, καὶ λεηλατήσας τινὰ τῶν πέραν Ῥήνου τῶν ἐνσπόνδων, ὠγκοῦτο ὥς τι μέγα κατωρθωκώς, καὶ τοῖς στρατιώταις ἐπηύξησε τὴν μισθοφορὰν τάχα διὰ τὴν νίκην. Πέντε γὰρ καὶ ἑβδομήκοντα δραχμὰς ἑκάστου λαμβάνοντος, ἑκατὸν ἐκέλευσέ δίδοσθαι. Μεταμεληθεὶς δὲ τὴν μὲν ποσότητα οὐκ ἐμείωσε, τὸ δὲ πλῆθος τῶν στρατευομένων συνέστειλε. Καὶ ἑκατέρωθεν μεγάλα τὸ δημόσιον ἔβλαψε, μήθ' ἱκανοὺς τοὺς ἀμύνοντας αὐτῷ, καὶ τούτους μεγαλομίσθους ποιήσας. Καὶ τοῖς θεραπεύουσι δὲ καὶ τοῖς μὴ ἀμφοτέροις ὁμοίως ἦχθετο, τοῖς μὲν ὡς ὠπεύουσι, τοῖς δὲ ὡς καταφρονοῦσι. Νίκας δὲ ψευδεῖς προσποιούμενος, ὕπατος μὲν ἐπ' ἔτη δέκα, τιμητὴς δὲ διὰ βίου κεχειροτόνητο. Πολλοὶ δὲ τῶν ὑποτελῶν Ῥωμαίοις ἀφίσταντο, χρήματα βιαίως πρασσόμενοι, ὡς καὶ οἱ Νασαμῶνες. Τούς τε γὰρ τῶν χρημάτων πράκτορας ἔφθειραν, καὶ νῦν Νουμιδίας ἄρχοντα Φλάκκον ἐπελθόντα σφίσιν ἥττησαν οὕτως ὡς πορθῆσαι καὶ τὸ στρατόπεδον. Εὑρόντες δὲ ἐν αὐτῷ τἄλλα τε ἐπιτήδεια καὶ οἶνον, ἐμπλησθέντες ὕπνωσαν. Καὶ γνοὺς ὁ Φλάκκος τοῦτο ἐπέθετο αὐτοῖς καὶ πάντας ἀπώλεσε καὶ τοὺς ἀπομάχους (15) διέφθειρεν ἅπαντας. Ἐφ' ᾧ ὁ Δομετιανὸς ἐπαρθείς, εἶπε πρὸς τὴν βουλὴν ὅτι Νασαμῶνας (16) ἐκώλυσα εἶναι. Ἤδη γὰρ καὶ θεὸς ἠξίου νομίζεσθαι, καὶ δεσπότης καλούμενος, καὶ θεὸς ὑπερηγάλλετο. Ταῦτα οὐ μόνον ἐλέγετο, ἀλλὰ καὶ ἐγράφετο. Ἐν δὲ θέᾳ, ὑετοῦ πολλοῦ καὶ χειμῶνος σφοδροῦ ἐξαίφνης γενομένου, οὐδένα εἴασεν ἐκ τῆς θέας ἀπαλλαγῆναι, ἀλλ' αὐτὸς μανδύας ἀλλασσόμενος, ἐκείνοις οὐδὲν μεταμφιάσασθαι παρεχώρησε· κἀντεῦθεν πολλοὶ, νοσήσαντες, ἐτελεύτησαν. Τοὺς δ' ὑπ' αὐτοῦ κολασθέντας οὐκ ἄν τις ἐξαριθμήσασθαι δύναιτο, συχνοὶ δὲ καὶ ἄνδρες καὶ γυναῖκες τῶν πλουσίων ἐπὶ μοιχείᾳ ἐκολάσθησαν· ὧν ἔνιαι καὶ ὑπ' αὐτοῦ ἐμοιχεύθησαν. Καὶ ἄλλαις δ' αἰτίαις πολλοὶ καὶ ἐζημιώθησαν καὶ ἀπέθανον. Γυνή γάρ τις, ὅτι ἐναντίον εἰκόνος αὐτοῦ ἀπεδύσατο, ἐφονεύθη· καὶ ἕτερος ὡς ἀστρολόγοις ὡμιληκώς. Μέτιον δέ τινα, ὃν ἡ φήμη μοναρχῆσαι μέλλειν ἐκήρυττεν, ἐξορίσας ἐφόνευσεν, ἐγκαλέσας αὐτῷ ὅτι ἐν τοῖς τοῦ κοιτῶνος τοίχοις εἶχε γεγραμμένην τὴν οἰκουμένην. Καὶ σοφιστήν τινα, ὅτι ἀσκῶν μελέτην κατὰ τυράννων συνεγράψατο, θανάτῳ ἐκόλασε. Πολλοὶ δὲ καὶ ὡς φιλοσοφοῦντες διώλοντο, καὶ οἱ λοιποὶ ἐξηλάθησαν. Τοιαῦτα δὲ πράττων ἐπεβουλεύθη παρά τε Παρθενίου καὶ Σιγήρου τῶν προκοίτων αὐτοῦ, καὶ Ἐντέλλου τοῦ τὰ τῆς ἀρχῆς βιβλία διέποντος, καὶ Στεφάνου ἀπελευθέρου. Τὴν δ' ἐπιβουλὴν οὔτε ἡ γυνὴ αὐτοῦ Δομιτία ἠγνόησεν, οὔτε ὁ

Variæ lectiones et notæ.

(14) *Τῇ ἀδελφῇ Ἰουλίᾳ. Alter codex.* inquit Wolfius, *habet* ἀδελφιδῇ, *et sic legendum ex Suetonio constat.* Ita etiam legitur in Regiis et Colbertco.

(15) Ἀπομάχους. S c mss. Reg. et Colb. ἀπτομάχους, alter e Wolfianis, sed perperam, prætulit.

(16) *Νασαμῶνας.* Vide Scaligerum ad Eusebium, pag. 203, 2 edit.

ἔ αρχος Νορβανὸς, οὔτε ὁ συνάρχων Πετρώνιος. Ἡ τε γὰρ Δομιτία ὑπ' αὐτοῦ μισουμένη ἐδεδίει μὴ ἀποθάνῃ, καὶ οἱ ἄλλοι οὐχέτ' αὐτὸν ἐφίλουν. Λέγεται δὲ ὅτι πάντας ἅμα αὐτοὺς ὁ Δομετιανὸς ὑποπτεύων ἀποκτεῖναι ἐ ελέτα· καὶ τὰ ὀνόματα αὐτῶν ἀπογραψάμενος ἐν τῇ κλίνῃ ὑπέθετο ὑπὸ τὸ προσκεφάλαιον· καί τι παιδίον τὴν ἀπογραφὴν ἀφελόμενον ἔφερε, μὴ εἰδὸς τί φέρει. Ἐντυχοῦσα δὲ ἡ Δομιτία αὐτῷ, καὶ ἀναγνοῦσα τὰ γεγραμμένα, κἀκείνοις ἐμήνυσε, κἀκ τούτου συνετάχυναν τὴν ἐπιβουλήν. Καὶ πολλὰ δὲ σημεῖα ἐγένοντό οἱ οὐκ αἴσια. Ἀργῖνος δέ τις Πρόκλος, ἐν Γερμανίᾳ προειπὼν ὅτι κατὰ τήνδε τὴν ἡμέραν τελευτήσει ὁ Δομετιανὸς, ἐπέμφθη διὰ τοῦτο συσχεθεὶς εἰς τὴν Ῥώμην· καὶ ἐρωτηθεὶς παρ' αὐτοῦ ἔφη καὶ τότε οὕτω γενήσεσθαι. Καταδικασθεὶς δὲ θανεῖν, ἀνεβλήθη, ὅπως μετὰ τὴν ἡμέραν ἐν ᾗ ἔφη ἀποθανεῖσθαι μέλλειν τὸν Δομετιανὸν φονευθῇ· σφαγέντος δὲ τοῦ Δομετιανοῦ κατ' ἐκείνην, ἐσώθη. Ἕτερός δέ τις εἰπὼν αὐτῷ ὁπότε καὶ ὅπως φθαρήσεται, ἠρωτήθη ὁποίῳ καὶ αὐτὸς τρόπῳ θανεῖται· καὶ φήσας ὡς ὑπὸ κυνῶν ἀναλωθήσεται, ζῶν κατερρίθη καυθῆναι, καὶ τῷ πυρὶ προσερρίφη. Ὑετοῦ δὲ καταῤῥαγέντος πολλοῦ ἡ μὲν πυρὰ ἐσβέσθη, ἐκεῖνον δὲ ὀπίσω τὼ χεῖρε δεδεμένον, καὶ ἐπικείμενον αὐτῇ, κύνες εὑρόντες διεσπάραξαν. Τῷ δὲ Δομετιανῷ τὸ μεσημβρινὸν ἀναπαυομένῳ, τὸν Στέφανον ὡς τῶν ἄλλων ἐῤῥωμενέστερον εἰσέπεμψεν ὁ Παρθένιος. Καὶ ἐπλήγη μὲν ὁ Δομετιανὸς, οὐ μὴν καιρίαν, ἀλλὰ καταβληθεὶς ὑπ' αὐτοῦ ἔκειτο· εἶτ' αὖθις ὑπ' ἐκείνου καὶ ἑτέρων προκατειργάσθη. Καὶ ὁ μὲν οὕτω κατεσφάγη, καὶ ὁ Στέφανος δὲ προσαπώλετο, συνδραμόντων ἐπ' αὐτὸν τῶν οὐ μετεσχηκότων τῆς συνωμοσίας. Ἀπολλώνιος δὲ ὁ Τυανεὺς (φιλόσοφος δὲ οὗτος ἦν Πυθαγορικὸς, γόης δὲ μάλιστα) ἐν Ἐφέσῳ τότε διάγων, καὶ τῷ πλήθει διαλεγόμενος, κατὰ τὴν ὥραν καθ' ἣν ὁ Δομετιανὸς ἀνῃρεῖτο, ὡς ὕστερον ἐκ τῶν ἑκατέρωθεν γενομένων ἠκριβώθη, ἐπί τινα ὥραν ἐνεὸς ἔστη, εἶτα ἐξεβόησε· *Εὖγε, Στέφανε, καλῶς, Στέφανε, παῖε τὸν ἀλιτήριον· ἔπληξας, ἔτρωσας, ἀπέκτεινας.* Τοῦτο δὲ καὶ ὁ Φιλόστρατος, τὸν τοῦ Ἀπολλωνίου βίον συγγεγραφὼς, οὕτως ἀνέγραψεν. Ἔζησε δὲ Δομετιανὸς ἔτη πρὸς τέσσαρσι τεσσαράκοντα καὶ μῆνας δέκα καὶ ἡμέρας ἓξ καὶ εἴκοσιν· ἐμονάρχησε δ' ἐνιαυτοὺς πεντεκαίδεκα καὶ ἡμέρας πέντε. Τῷ δὲ τετάρτῳ ἔτει τῆς αὐτοῦ μοναρχίας ὁ τῆς Ἀλεξανδρέων Ἐκκλησίας πρῶτος μετὰ Μάρκον τὸν ἀπόστολον ἀρχιερεὺς γεγονὼς ἐτελεύτησε, καὶ Ἄβίλιος αὐτὸν διεδέξατο, δεύτερος ἐπίσκοπος Ἀλεξανδρείας γενόμενος. Τῷ δωδεκάτῳ δ' ἔτει τῆς ἡγεμονίας αὐτοῦ τελευτήσαντος Ἀνεγκλήτου, Κλήμης τὴν ἀρχιερωσύνην τῆς Ῥώμης παρέλαβε, τρίτος ταύτης χρηματίσας ἐπίσκοπος, κατὰ τὸν Εὐσέβιον. Οὗτος ὁ ἔχθιστος αὐτοκράτωρ μετὰ τὸν Νέρωνα αὖθις τὸν κατὰ τῶν Χριστιανῶν διωγμὸν ἀνεκίνησε τῆς ἐκείνου θεομαχίας διάδοχος γεγονὼς, ὃς καὶ τὸν ἀπόστολον καὶ εὐαγγελιστὴν Ἰωάννην ἐν Πάτμῳ τῇ νήσῳ διὰ τὸ κήρυγμα περιώρισε, καὶ τοὺς ἀπογόνους Δαβὶδ ἀναιρεῖσθαι προσέταξε. Ταῦθ'

A autem eos omnes olt suspicionem occidere in animo habuisse, eorumque nomina pugillaribus inscripta, sub cervigali suo posuisse. Eam descriptionem pusio quidam abstulit, quid ferret ignarus: qua Domitia forte fortuna lecta, et cæteris indicata, effecit, ut insidiæ maturarentur. Interitus ei multis signis est præmuntiatus. Nam Proclus quidam Larginus, quod in Germania prædixerat, certo die Domitianum obiturum esse: comprehensus, eaque de causa Romam missus, et ab ipso rogatus, idem affirmavit: et capitis damnatus, et asservatus, ut post eum diem quo Domitianum periturum esse dixerat, occideretur, eo die illo interfecto, evasit. Alius, qui ei tempus et modum interitus prædixerat, interrogatus ab eo, quo ipse B mortis genere obiturus esset? Respondit se a canibus esse lacerandum. Damnatus igitur ut vivus cremaretur, et in ignem conjectus est. Sed ingenti pluvia rogo exstincto, ille revinctis post tergum manibus a canibus est discerptus. Cæterum Parthenius Stephanum ut robustiorem contra Domitianum meridiantem misit, qui ictu, sed non lethali, prostrato incubuit, donec aliis adjuvantibus tyrannum plane confecit. Occiso Domitiano, Stephanus etiam **582** concursu eorum qui conjurationis expertes erant, periit. Apollonius vero Tyaneus, Pythagoricus philosophus, et magus insignis, tum Ephesi ad populum verba faciens ea hora qua Domitianus cædebatur (ut post ex iis C quæ utrobique acciderunt, certo compertum est), cum aliquandiu attonitus stetisset, tandem exclamavit: *Euge Stephane, recte, Stephane, feri sceleratum: percussisti, vulnerasti, occidisti.* Hoc Philostratus Lemnius in Apollonii Vita refert. Vixit Domitianus annos XLIV, menses XI, dies VI et XX. Imperavit annos XV et dies V. Quarto anno imperii ejus, Alexandrinæ Ecclesiæ primo post Marcum apostolum pontifici defuncto, Abilius successit, secundus Alexandriæ pontifex. Decimo anno principatus ejus defuncto Anacleto, Clemens pontificatum Romanum suscepit, tertius, Eusebio auctore, urbis episcopus. Hic odiosissimus imperator persecutionem Christianorum post Neronem redintegravit, illius in oppugnando Numine audaciam D imitatus: et Joannem apostolum, eundemque evangelistam, ob præconium in insulam Patmon relegavit, Davidisque posteros tolli jussit. Quam rem Eusebius Egesippi verbis ad hunc exponit modum: *Adhuc superstites erant nepotes Judæ, qui frater Domini secundum carnem dicitur, quos ut Davidis posteros quidam detulerunt. Eos Domitianus ad se adductos percunctatus est, an Davidici essent? Illis affirmantibus, interrogare perrexit, quot fundos possiderent, et quantum pecuniæ haberent? Cui illi responderunt, IX millia denariorum tantum se habere: eaque non in pecunia, sed in æstimatione fundorum, unde et ipsi labore suarum manuum victitarent, et tributa penderent, et manuum callos pro*

laboris argumento ostenderunt. Interrogati etiam de Christi regno, cujusmodi id esset? et ubi, et quando revelandum? id non esse mundanum, dixerunt, neque terrenum, sed cæleste, et in consummatione sæculorum revelandum. His auditis Domitianus, eos ob vilitatem contempsit, et liberos dimisit, et persecutionem edicto inhibuit. Ut autem pessimus fuit, ita vitam violenter abrupit : quod utinam ante susceptum imperium factum esset!

Α ἱστορῶν ὁ Εὐσέβιος (17) τὸν Ἡγήσιππον παράγει λέγοντα οὕτως· *Ἔτι δὲ περιῆσαν υἱωνοὶ Ἰούδα τοῦ κατὰ σάρκα λεγομένου ἀδελφοῦ τοῦ Κυρίου, οὓς τινες προσήγγειλαν ὡς ἐκ γένους ὄντας Δαβίδ. Τούτους πρὸς αὐτὸν ἀχθέντας ὁ Δομετιανὸς ἤρετο εἰ ἐκ Δαβίδ εἰσι, καὶ κατέδεντο. Προσεπήρετο οὖν πόσας κέκτηνται κτήσεις καὶ πόσων εὐποροῦσι χρημάτων· οἱ δ' ἔφασαν ἐννακισχίλια δηνάρια ὑπάρχειν αὐτοῖς μόνα, καὶ ταῦτα οὐκ ἐν ἀργυρίοις ἔχειν, ἀλλ' ἐν διατιμήσει γῆς ἧς αὐτοὺς τὰ διατρέφεσθαι, αὐτουργοῦντας, καὶ τοὺς φόρους εἰσφέρειν· καὶ τὴν τῶν χειρῶν δὲ τραχύτητα ἐπεδείκνυον τῆς αὐτουργίας μαρτύριον. Ἐρωτηθέντες δὲ καὶ περὶ τῆς τοῦ Χριστοῦ βασιλείας, ὁποία τις εἴη καὶ ποῦ καὶ πότε φανησομένη, οὐ κοσμικὴν αὐτὴν εἶναι οὐδ' ἐπίγειον ἀπεκρίναντο, ἀλλ' ἐπουράνιον, ἐπὶ συντελείᾳ τῶν αἰώνων φανησομένην. Ἐφ' οἷς ὡς εὐτελῶν αὐτῶν καταφρονήσας ὁ Δομετιανὸς ἐλευθέρους ἀφῆκε, καὶ τὸν διωγμὸν προστάγματι ἔπαυσεν. Ὁ μὲν οὖν κάκιστος γέγονὼς βιαίως ἀπέβριξε τὴν ζωὴν, ὡς εἴθε καὶ πρὸ τῆς μοναρχίας!*

XX. Qui autem Domitiano insidiabantur, id fa- Β **cinus non prius 583 aggressi, quam certum successorem nacti essent, principatum Nervæ optimo et nobilissimo viro detulerunt, qui ob prædictum ab astrologis imperium pene perisset. Domitianus enim omnium principum natalitiis diebus et horis indagatis : ea quoque de causa non paucos, qui potentes fore putabantur, sustulit, occidisset et hunc, nisi astrologus quidam illi hoc cupiens, cum intra paucos dies esse moriturum dixisset. Quod cum verum esse crederet, cæde ejus abstinuit, quem jam ab ipsa natura quasi capitis damnatum esse putabat. Nerva autem ob eam prædictionem facilius persuaderi sibi passus est, ut, Domitiano interfecto, statim susciperet imperium.** C **Cujus prima cura fuit, ut ab illo actos in exsilium, decreto revocaret, bonis etiam restitutis. Patres vero conscripti honores Domitiano decretos senatusconsulto abrogarunt. Tum etiam magnus apostolus Joannes e Patmico exsilio Ephesum rediisse fertur. Nerva et justitiæ amans, et alienus ab avaritia fuit. Nam cum Atticus, Herodis rhetoris pater (ut Philostratus in libro quem *De rhetorum vita* inscripsit, refert) domi suæ ingentem thesaurum reperisset, ne quid ex eo periculi sibi crearetur timens, Nervæ scripsit : *Thesaurus a me inventus est. Quid ergo jubes?* ei rescripsit Nerva : *Uiere invento.* Cum ille nondum securus denuo scripsisset : *At conditionem meam inventum superat;* respondit imperator : *Etiam abutere.* Hoc imperante, secundus Alexandrinus episcopus Abilius** D **diem suum obiit, et Cerdo ejus Ecclesiæ gubernationem suscepit. Antiochenæ Ecclesiæ Ignatius tum præfuit, vir Deo plenus, secundus et ipse ejus loci episcopus post Evodium. Similiter Hierosolymitanæ quoque fidelium Ecclesiæ Symeon præfuit, alter et hic a cognato Jacobo qui frater Domini dicitur, episcopatum sortitus. Hic imperator compositiones gladiatorum interdixit. Nihil egit nisi de sententia principum senatorum. Legem**

Κ'. Ἡ δ' ἡγεμονία εἰς Νερούαν μετῆνεκτο. ἄνδρα καὶ εὐγενέστατον καὶ ἐπιεικέστατον. Οἱ γὰρ τῷ Δομετιανῷ ἐπιβουλεύοντες οὐ πρότερον ἔργου ἥψαντο, πρὶν τὸν διαδεξόμενον τὴν αὐταρχίαν ἐβεβαιώσαντο. Ἦλθον οὖν ἐπὶ τὸν Νερούαν, ὃς ἀστρολόγων ὅτι μοναρχήσει φησάντων, μικροῦ διώλετο ἄν. Ὁ γὰρ Δομετιανὸς πάντων τῶν πρώτων τὰς τε ἡμέρας καὶ τὰς ὥρας ἐν αἷς ἐγεγένηντο διασκοπῶν, οὐκ ὀλίγους κἀκ τούτου τῶν ἐλπιζομένων ἔν τινι δυνάμει ἔσεσθαι προανήλισκε. Καὶ τοῦτον ἀπέκτεινεν ἄν, εἰ μή τις τῶν ἀστρολόγων αὐτῷ εὐνοῶν ἔφη ὅτι δι' ὀλίγων ἡμερῶν τελευτήσει· πιστεύσας γὰρ ὄντως τοῦτ' ἔσεσθαι, οὐκ ἠθέλησε κἀκεῖνον προαναιρεθῆναι, ὡς πάντως μετὰ μικρὸν τεθνηξόμενον. Διὰ ταῦτα γοῦν ῥᾷον ἔπεισαν αὐτὸν συνθέσθαι τῇ τῆς ἡγεμονίας καταδοχῇ· καὶ φθαρέντος τοῦ Δομετιανοῦ εὐθὺς αὐτὸς τὴν αὐταρχίαν ἐδέξατο, καὶ τοῖς ὑπ' ἐκείνου ἐξελαθεῖσι δόγματι ἐπανελθεῖν ἐφῆκε, καὶ τὰς οὐσίας ἀπολαβεῖν. Ἡ δέ γε σύγκλητος καθαιρεθῆναι τὰς Δομετιανοῦ τιμὰς ἐψηφίσατο. Τότε τοίνυν καὶ τὸν μέγαν ἀπόστολον Ἰωάννην ἀπὸ τῆς ἐν τῇ Πάτμῳ ὑπερορίας λόγος ἔχει ἐπανελθεῖν πρὸς τὴν Ἔφεσον. Ἦν δὲ ὁ Νερούας φιλεδίκαιος καὶ χρημάτων οὐχ ἥττητο. Ἐκείνου γὰρ μοναρχοῦντος, Ἀττικὸς ὁ τοῦ σοφιστοῦ Ἡρώδου πατήρ, ὡς ὁ Φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν ἀνεγράψατο, θησαυροῦ τι εὗρεν ἐπὶ τῆς οἰκίας χρῆμα ἀμύθητον. Καὶ φοβηθεὶς ἔγραψε τῷ Νερούᾳ ὡς *Θησαυρὸς ἐπὶ τῆς οἰκίας εὑρέθη μοι· τί οὖν κελεύεις περὶ αὐτοῦ.* Καὶ ὃς ἀντέγραψε· *Χρῶ τῷ εὑρήματι.* Ὁ δ' ἔτι εὐλαβηθεὶς ἔγραψεν αὖθις· *Ἀλλ' ὑπὲρ ἐμὲ τυγχάνει τὸ εὑρεθέν·* καὶ ὁ αὐτοκράτωρ πρὸς τοῦτο, *Καὶ καταχρῶ,* ἀντεπέστειλε. Τούτου βασιλεύοντος ὁ δεύτερος ἐπίσκοπος Ἀλεξανδρείας Ἄβιλιος μετήλλαξε τὴν ζωὴν, καὶ Κέρδων τῆς ἐκεῖ Ἐκκλησίας προέστη. Τῆς δ' ἐν Ἀντιοχείᾳ Ἐκκλησίας Ἰγνάτιος τότε ὁ Θεοφόρος προέστατο, δεύτερος καὶ οὗτος ἐπίσκοπος ἐκεῖ μετὰ Εὐόδιον γνωριζόμενος. Ὡσαύτως δὲ καὶ τῆς ἐν Ἱεροσολύμοις τῶν πιστῶν Ἐκκλησίας Συμεὼν

Variæ lectiones et notæ.

(17) *Εὐσέβιος.* Lib. III, cap. 20.

ἐξηγεῖτο, δεύτερος καὶ οὗτος μετὰ τὸν συγγενῆ A Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου λεγόμενον τὴν ἐπισκοπὴν λελογχώς. Παρὰ τούτου τοῦ αὐτοκράτορος αἱ μονομαχίαι καὶ ἡ τούτων θέα ἀπηγορεύθησαν. Ἔπραττε δὲ οὐδὲν γνώμης ἄτερ τῶν ἐξόχων τῶν τῆς βουλῆς. Οὗτος ἐνομοθέτησε καὶ τὸ μή τινα τὰ παιδογόνα μόρια παρὰ Ῥωμαίοις ἐκτέμνεσθαι, μήτε μὴν ἄγεσθαι πρὸς γάμον ἀδελφιδῆν (18). Φωράσας δὲ τὸν Καλπούρνιον Κράσσον καὶ ἄλλους ἐπιβουλεύοντάς οἱ, ἔν τινι θέᾳ πλησίον αὐτοῦ καθίσας αὐτοὺς μήπω γνόντας ὅτι πεφώρανται, ξίφη αὐτοῖς ἐνεχείρισεν, ἵνα τάχα ἴδοιεν αὐτὰ εἰ εὖ ἐξείργασταί τε καὶ τέθηκται· τῇ δ' ἀληθείᾳ, ἵνα γνοῖεν ὡς καταφρόνηταί οἱ ὁ θάνατος. Ἔλεγε δὲ ὅτι Οὕτως ἤρξα ὥστε δύνασθαι καὶ τὴν ἀρχὴν ἀποθέσθαι, καὶ ἀσφαλῶς ἰδιωτεῦσαι. Διὰ δὲ τρόπων χρηστότητα καὶ γήρας βαθὺ καταφρονούμενος, ἀναβὰς εἰς τὸ Καπιτώλιον ἐξεβόησεν· Ἀγαθῇ τύχῃ τῆς τε βουλῆς καὶ τοῦ δήμου Μάρκον Οὔλπιον Νερούαν Τραϊανὸν εἰσποιοῦμαι. Εἶτα καὶ Καίσαρα ἀνεῖπεν αὐτόν, καὶ αὐτοχείρως ἐπέστειλε τῷ ἀνδρὶ τῆς Γερμανίας ἄρχοντι τότε·

Τίσειαν Δανοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσιν. B

Ἄρξας οὖν Νερούας ἐφ' ἕνα ἐνιαυτὸν καὶ μηνῶν τετραετῆ, μετήλλαξε τὴν ζωὴν νοσήσας, καὶ αὐτοκράτορα τὸν Τραϊανὸν προβαλλόμενος.

ΚΑ'. Τραϊανὸς δὲ τὸ γένος εἶλκεν ἐξ Ἰβηρίας, δεύτερον ἔτος ἄγων ἐπὶ τεσσαρακοστῷ ἀπὸ γενέσεως ὅτε τῆς αὐταρχίας τετύχηκεν, ὥστ' ἐν ἀκμῇ αὐτὸν εἶναι καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ μήτε θράσους ὑπὸ νεότητος πίμπλασθαι, μήτ' ὑπὸ γήρους ἀμβλύνεσθαι. Ἐτίμα δὲ τοὺς ἀγαθούς, καὶ εὖ πρὸς πάντας διατιθέμενος, οὔτ' ἐδεδοίκει τινάς, οὔτε μὴν ἀπηχθάνετο, οὔτε προσεῖχε τοῖς διαβάλλουσιν, οὔτ' ἦν ὀξύρροπος πρὸς ὀργήν, τῶν τε χρημάτων τῶν ἀλλοτρίων ἴτα καὶ φόνων τῶν ἀδίκων ἀπείχετο· καίτοι μεγαλόψυχων καὶ μεγαλογνώμων γενόμενος, καὶ ἐν ὁδοῖς καὶ ἐν λιμέσι καὶ ἐν δημοσίοις οἰκοδομήμασιν ἐδαπάνα πολλά. Καὶ ἐπειδὴ τὸν ἐν τῇ Ῥώμῃ ἱππόδρομον φθαρέντα ἀνήγειρε μείζω τε καὶ περικαλλέστερον, ἐπέγραψεν αὐτῷ ὅτι ἐξαρκοῦντα τῷ τῶν Ῥωμαίων δήμῳ ἐποίησε. Καὶ μᾶλλον ἔχαιρε φιλούμενος ἢ τιμώμενος, καὶ ἀγαπητὸς ἤθελεν εἶναι τοῖς ὑπηκόοις, τοῖς πολεμίοις δὲ φοβερός. Γῆς μὲν οὖν ἐν λόγοις παιδείας οὐ μετέσχηκε, τὸ δ' ἔργον αὐτῆς καὶ ἠπίστατο καὶ εἰργάζετο. Οἴνου δ' ἡττώμενος νήφων ἦν· καὶ ἐπτοημένας περὶ μειραξια, οὐδένα ἐλύπησε. Φιλοπόλεμος δὲ γεγονὼς, καὶ πλεῖστα κατωρθωκὼς, οὐκ εἴα τοὺς στρατιώτας ὑπερφρονεῖν, οὕτως ἐγκρατῶς αὐτῶν ἦρχεν. Ἦν δ' αὐτῷ γυνὴ Πλωτίνα. Ἐστράτευσε μέντοι ἐπὶ Δάκας, ἢ Δακοὺς, κατὰ Ἴωνας, ὡς ὁ Ἀππιανὸς ἐν τῷ εἰκοστῷ τρίτῳ λόγῳ τῆς Ῥωμαϊκῆς Ἱστορίας φησὶ, μήτε χρήματα ἃ ἐπετείως ἐλάμβανον ἀπόνως αὐτοῖς ἀνεχόμενος, καὶ δίκας εἰσπράξασθαι τῶν πεπραγμένων αὐτοῖς ἰμειρόμενος. Πυθόμενος οὖν ὁ Δεκέβαλος, ὃς Δακῶν ἦρχε, τὴν τοῦ Τραϊανοῦ κατὰ τοῦ ἔθνους ὁρμὴν, ἔδεισεν, εἰδὼς τὸν ἄνδρα στρατηγικω-

Sentiat ob lacrymas nostras tua spicula Graius.

Obiit ex morbo : imperavit annum unum, et menses IV, Trajano imperatore designato.

XXI. Trajanus genus ex Hispania ducens, anno ætatis XLII imperio potitus est, in ipso animi corporisque vigore, et a juvenili audacia, et senili socordia alienus. Bonis honorem habebat : bene affectus erga omnes, neminem timebat, neminem oderat : delatores contemnebat, non proclivis erat ad iracundiam : aliena pecunia æque ac cædibus injustis abstinebat : quamvis magno animo, magnoque ingenio præditus, in vias, portus, operaque publica magnos sumptus faceret. Cum circum equestrem col- C lapsum instaurasset, majoremque et pulchriorem fecisset, inscripsit, se fecisse tantum, ut populus Romanus satis spatii haberet. Magis gavisus est se amari quam honorari : subditis charus, hostibus terribilis esse voluit. Quamvis disciplina litterarum eruditus non esset, rem ipsam tamen et novit et exercuit. Vini fuit avidior, sed citra ebrietatem : puerorum magnus amator, sed citra cujusquam molestiam. Cum vir bellicosus esset, et res magnas gessisset : ea disciplina milites continebat, ne eos efferri animis pateretur. Uxorem Plotinam habuit. Bello aggressus est Dacas, seu Dacos, secundum Ionas, ut Appianus ait XXIII Romanæ Historiæ libro : quod et annua tributa pendere recusabat, et eorum facta ulcisci cupiebat. Cujus adventum Decebalus gentis D ejus princeps timuit : non ignarus, Trajanum virum esse rei bellicæ peritissimum. Pugna commissa, Romani multos hostes occiderunt, **585** nec pauciores ex ipsis vulnerati sunt : quorum tanta multitudo fuit, ut eum fasciæ deessent, Trajanus ne suæ quidem vesti pepercerit. Cum summis cacuminibus magno labore occupatis, ipsi

Varia lectiones et notæ.

(18) Ἀδελφιδῆν. Vide Cujacium, lib. VIII, Observ. cap. 28

regiæ appropinquaret, Decebalus per legatos, A pollicitus, se arma, machinas et fabros traditurum, et quidquid præterea a se postularetur facturum : ipse ad imperatorem venit, eumque humi prostratus adoravit. Deinde Trajanus in Italiam reversus, legatos Decebali secum adduxit : qui in senatum introducti, positis armis, manibusque captivorum instar conjunctis, multis verbis supplicarunt, et pace impetrata, arma receperunt. Trajanus triumpho acto, Dacicus cognominatus est. Neque vero propter rei militaris studium cætera neglexit, sed multis in locis et sæpe jus pro tribunali dixit. Cum Decebalus pactis et conventis violatis, res novas moliri nuntiaretur, denuo contra illum duxit exercitum : qui quia viribus impar erat, dolo imperatorem vincere studebat. Quem B cum accessu esse facilem, et quemvis ad colloquium admittere sciret, transfugas subornavit, qui eum, si possent, occiderent. Sed unus eorum ob suspicionem comprehensus, in quæstionibus arcanum effatus est. Imperator autem ponte per Istrum facto, quod opus omnem admirationem et commemorationem superat, traductoque exercitu, vix ille quidem et cum periculo, sed vicit tamen Dacos. Decebalus præ desperatione seipsum interfecit : ex eoque gens Dacorum, eorumque provincia Romanis parere cœpit. Reperit et thesauros Decebali, quamvis difficilis eorum esset inventio. Barbarus enim fluvio, qui regiam prælabebatur, alio traducto, in alveo foveam prælatam excavarat, quam C magna auri, majore argenti, aliarumque rerum quibus humiditas non nocet, copia injecta, lapideis tabulis obstruxerat : aggestaque terra, fluvium in veterem alveum reduxerat. Multa etiam in speluncis abdiderat. Hæc nemine præsente nisi captivis faciebat ; quos, absoluto opere, et rebus occultatis, interficiendos curabat, ne arcanum proderent. Unus tamen familiaris ejus, gnarus ubi thesauri essent, indicium fecit. Cum Licinium **586** Suram, virum divitem, quem mutuo amabat, quidam ut insidiatorem criminati essent, invocatus cœnatum ad eum abiit, et, satellitibus ablegatis, Suræ medico oculos curandos, ejus tonsori barbam radendam præbuit. Deinde lavit et cœnavit. Postridie calumniatoribus dixit : *Si me occidere Sura voluisset, nihil ei obstitisset, quominus id heri fecisset.* D Cum præfectum prætorio designaret, eique ensem porrigeret, quo is accingi debebat : *Cape hunc*, inquit, *et si bene impero, pro me, sin male contra me illo utitor.* Instruxit etiam bibliothecas. Post, contra Parthos et Armenios duxit exercitum : quod Armenius diadema non a se, sed a Parthorum rege accepisset. Ea causa prætexebatur bello, cum tota res ab ambitione et gloriæ cupiditate proficisceretur. Armenia subacta, multa ei a senatu decreta

τατον. Καὶ πολέμου συῤῥαγέντος σφίσι, πολλοὺς μὲν τῶν πολεμίων ἀπέκτειναν οἱ Ῥωμαῖοι, οὐ μείους δὲ καὶ αὐτῶν ἐτραυματίσθησαν. Τοσοῦτοι δ' ἦσαν οἱ τραυματίαι, ὡς ἐπιλιπόντων τῶν ἐπιδέσμων μηδὲ τῆς ἑαυτοῦ ἐσθῆτος φείσασθαι τὸν Τραϊανόν. Ἐπεὶ δὲ τά τε ἄκρα δυσχερῶς μὲν, κατέλαβε δὲ, καὶ πέλας τῶν βασιλείων ἦλθεν αὐτῶν, πρέσβεις ὁ Δεκέβαλος πέπομφε, συντιθέμενος τά τε ὅπλα καὶ τὰ μηχανήματα καὶ τοὺς μηχανοποιοὺς παραδοῦναι, καὶ ἄπαν ἕτερον ὅ ἂν ἀπαιτοῖτο ποιῆσαι. Καὶ πρὸς τὸν αὐτοκράτορα ἐλθὼν, ἐς οὐδὰς κατακλιθεὶς αὐτῷ προσεκύνησεν. Εἶτα εἰς τὴν Ἰταλίαν ὁ Τραϊανὸς ἀναζεύξας, καὶ τοὺς τοῦ Δεκεβάλου πρέσβεις ἐπῆγετο. Οἵπερ, εἰσαχθέντες εἰς τὸ συνέδριον, τὰ ὅπλα ἀποθέμενοι, καὶ τὰς χεῖρας συνάψαντες ἐν αἰχμαλώτων σχήματι, πολλά τε εἶπον καὶ ἱκέτευσαν. Καὶ οὕτως σπονδῶν τυχόντες αὖθις τὰ ὅπλα ἀπέλαβον. Τραϊανὸς δὲ καὶ ἐθριάμβευσε, καὶ Δακικὸς ὠνομάσθη. Οὐχ ὡς ἀρήϊος δὲ τῶν ἄλλων ἠμέλει, ἢ ἧττον ἐδίκαζεν, ἀλλὰ καὶ πολλαχοῦ καὶ πολλάκις ἐπὶ βήματος ἔκρινεν. Ὡς δὲ ἀπηγγέλλετο ὁ Δεκέβαλος αὖθις νεωτερίζων, καὶ ταῖς συνθήκαις οὐκ ἐμμένων, αὐτὸς καὶ πάλιν πρὸς ἐκεῖνον ἐστράτευσε. Καὶ ὁ Δεκέβαλος, ἡττώμενος ἰσχύϊ, δόλῳ αὐτοῦ περιγενέσθαι διεμελέτησε. Καὶ εἰδὼς εὐπρόσιτον ὄντα Τραϊανὸν, καὶ τὸν βουλόμενον εἰς ὁμιλίαν δεχόμενον, ψευδαυτομόλους ἀπέστειλεν, ἵν' εἰ δυνηθείη αὐτὸν διαχρήσαιντο. Εἷς δ' ἐκείνων ὑποπτευθεὶς συνελήφθη, καὶ ἐτασθεὶς ἐξέφηνε τὸ ἀπόῤῥητον. Γεφυρώσας δὲ τὸν Ἴστρον ὁ αὐτοκράτωρ, καὶ ἔργον τοῦτο διαπραξάμενος, μήτε θαυμασθῆναι ἀξίως, μήτ' ἐξηγηθῆναι δυνάμενον, διὰ τῆς γεφύρας τε ταύτης τὸν ποταμὸν περαιωθεὶς, μόλις μὲν καὶ κινδυνωδῶς ἐκράτησε τῶν Δακῶν, ἐκράτησε δ' οὖν. Καὶ ὁ Δεκέβαλος, ἀπογνοὺς, διεχειρίσατο ἑαυτόν. Κἀντεῦθεν τὸ ἔθνος τὸ τῶν Δακῶν καὶ ἡ χώρα σφῶν Ῥωμαίοις ὑπήκοος γέγονε (19). Καὶ τοὺς θησαυροὺς δ' εὗρε τοὺς Δεκεβάλου, καίτοι δυσχεροῦς οὔσης τῆς τούτων εὑρέσεως. Ποταμὸν γὰρ ὃς τοῖς βασιλείοις αὐτοῦ παρέῤῥει, μετοχετεύσας ὁ βάρβαρος, τὴν γῆν ἐφ' ἧς διῆει τὸ ὕδωρ ὤρυξεν εἰς βάθος πολὺ, καὶ πλεῖστον μὲν χρυσὸν, πλείω δὲ ἄργυρον, καὶ ἄλλα τῶν τιμίων ὅσα μὴ πέφυκεν ἐξ ὑγρότητος φθείρεσθαι, καταθέμενος τῷ ὀρύγματι, πλαξί τε κατέστρωσε τὴν ἐκεῖ γῆν καὶ χοῦν ταύταις ἐπήνεγκε, καὶ οὕτως αὖθις τὸ ὕδωρ εἰς τὴν πρώην μετέστρεψε δίοδον, καὶ ἐς σπήλαιον δὲ πολλὰ ἐνεπέθετο. Ταῦτα δ' ἐποίει μή τινος ἄλλου παρόντος ἢ αἰχμαλώτων, οἳ περὶ ταῦτα ἐπόνουν· καὶ μετὰ τὴν κατάκρυψιν τοὺς αἰχμαλώτους ἐκτίννυεν, ἵνα μὴ ἔκφορα τὰ παρ' αὐτῶν γεγονότα ποιήσωσιν. Εἷς δέ τις ἑταῖρος τοῦ Δεκεβάλου, συνειδὼς τά τε θησαυρισμένα, ὑπέδειξεν αὐτά. Τὸν δὲ Λικίννιον Σοῦῤῥαν πλούσιον ἄνδρα φιλῶν, καὶ ὑπ' ἐκείνου φιλούμενος, δ ἀβαλόντων τινῶν τὸν ἄνθρωπον ὡς ἐπιβουλεύοντα

Variæ lectiones et notæ.

(19) *Ῥωμαίων ὑπήκοος γέγονε.* Addit Lactantius, in lib. *De mortibus persecutorum*, n 23. Trajanum *Dacis assidue rebellantibus censum pœnæ gratia victorem imposuisse.*

αὐτῷ, ἄκλητος πρὸς ἐκεῖνον ἐπὶ δεῖπνον ἀπῆλθε, καὶ τοὺς δορυφόρους ἀποπέμψας, τὸν ἰατρὸν τοῦ Σούρᾶ ἐκάλεσε, καὶ δι' ἐκείνου τοὺς ὀφθαλμούς, διὰ δὲ τοῦ κουρέως ἐκείνου τὴν ὑπήνην ἐξύρατο· εἶτα καὶ ἐλούσατο καὶ ἐδείπνησε. Καὶ τοῖς τὸν Σούρᾶν διαβάλλουσιν ἔφη τῇ ὑστεραίᾳ· *Εἰ ἤθελέ με Σούρᾶς ἀποκτεῖναι, οὐδὲν ἐκώλυε τὸν ἄνδρα χθὲς τοῦτο ποιῆσαι.* Ἔπαρχον μέν τοι τῶν δορυφόρων προχειριζόμενος, καὶ ὀρέγων αὐτῷ τὸ ξίφος ὃ παραζώννυσθαι αὐτὸν ἐχρῆν, *Λάβε τοῦτο*, ἔφη, *καὶ εἰ μὲν ἄρχω καλῶς, ὑπὲρ ἐμοῦ τούτῳ χρῆσαι, εἰ δὲ κακῶς, κατ' ἐμοῦ.* Ἐποίησε δὲ καὶ βιβλίων ἀποθήκας. Κἀι μετὰ ταῦτα κατὰ Πάρθων καὶ Ἀρμενίων ἐστράτευσεν, ὅτι τὸ διάδημα ὁ Ἀρμένιος οὐχ ὑπ' αὐτοῦ ἔλαβεν, ἀλλὰ παρὰ τοῦ Πάρθων βασιλέως. Ἦν δὲ σκῆψις τοῦτο, τὸ δ' ὅλον φιλοτιμία καὶ δόξης ἔρως. Ἐχειρώσατο οὖν τὴν Ἀρμενίαν· καὶ αὐτῷ ἡ βουλὴ πολλὰ ἐψηφίσατο, πρὸς δὲ τοῖς ἄλλοις καὶ Ὄπτιμον ἐπωνόμασεν, ἄριστον δὲ τοῦτο δηλοῖ ἐξελληνιζόμενον· εἶτα καὶ Παρθικὸν αὐτῷ ἐπίκλησιν ἔθετο. Ὁ δὲ μᾶλλον τῶν ἄλλων τῇ τοῦ Ὀπτίμου προσηγορίᾳ ἦν σεμνυνόμενος, ὅτι τοὺς τρόπους ὑπεδήλου αὐτοῦ.

A sunt : et præter cætera, Optimi, post etiam Parthici cognomentum tributum; sed Optimi appellatione, quod mores suos exprimeret, magis est delectatus.

ΚΒ'. Σεισμοῦ δὲ ἐπὶ τῆς αὐταρχίας αὐτοῦ σφοδροτάτου συμβάντος, καὶ ἄλλαι μὲν ἔπαθον πόλεις, μᾶλλον δὲ τῶν ἄλλων ἡ πρὸς τῷ Ὑρόντῃ πέπονθεν Ἀντιόχεια· ὅτε καὶ αὐτὸς ὁ Τραϊανός, ἐκεῖ διατρίβων, μικροῦ κεκινδύνευκεν ἄν. Ἐπλήγη δὲ τέως ἐκ τοῦ τῆς οἰκίας, ἐν ᾗ διῆγε, συμπτώματος. Ἀριθμοῦ δὲ κρεῖττον πλῆθος συγκέχωστο τοῖς συμπτώμασι. Καὶ οἱ μὲν συντριβόμενοι τῷ βάρει τῶν καταπιπτόντων ἀπώλλυντο· οἱ δὲ ἐν διακένοις τισὶ τυχαίως συμβαίνουσιν, οὕτω τῶν ὑλῶν συμπιπτουσῶν διασωζόμενοι, ἐξελθεῖν δ' ἐκεῖθεν οὐκ ἰσχύοντες, λιμῷ διεφθείροντο· ἐπεκράτει γὰρ ὁ κλόνος τῆς γῆς ἐφ' ἡμέρας πολλάς. Ἤδη δὲ παυσαμένης τῆς συμφορᾶς, ἐπέβη τις ἀναθαρσήσας τῶν ἐρειπίων, καὶ ἤκουσε βοώσης κάτωθεν γυναικός. Ἀνορύξαντες οὖν τὴν ἄνθρωπον ἀνεσώσαντο, καὶ παιδίον φέρουσαν ὑπομάζιον, ὃ τῷ γάλακτι ἔτρεφεν, ἀλλὰ μέντοι καὶ ἑαυτήν. Ἐκ τούτου καὶ τὰ λοιπὰ ἀνεχώννυον· ἀλλ' οὐχ' εὗρον ζῶντάς τινας πλὴν παιδίου ἑνός, τῷ λιμῷ δὲ φθαρέντας πολλούς. Ἔαρος δ' ἐπιστάντος, κατὰ τῶν Πάρθων αὖθις ἐχώρησεν ὁ Τραϊανός. Καὶ τῆς τε Ἀδιαβηνῆς ἁπάσης ἐκράτησεν, ἥ μέρος ἐστὶ Συρίας τῆς περὶ Νῖνον καὶ τῶν Γαυγαμήλων, καὶ τῶν Ἀρβήλων, παρ' οἷς Ἀλέξανδρος τὸν Δαρεῖον ἐνίκησε. Καὶ μέχρι τῆς Βαβυλῶνος προῆλθεν αὐτῆς. Ἐπεραιώθη δὲ καὶ τὸν Τίγριν, καὶ εἰς τὴν Κτησιφῶντα εἰσῆλθεν. Ἱμείρετο μέντοι καὶ τὴν Ἐρυθρὰν εἰσπλεῦσαι θάλασσαν, ἥ μοῖρα μὲν τοῦ Ὠκεανοῦ λέγεται, κέκληται δ' οὕτως ὑπό τινος ἐν αὐτῇ δυναστεύσαντος. Ἐνενόει δὲ καὶ Ἰνδοὺς, καὶ ἔλεγεν ὡς, *Εἰ ἔτι νέος ἦν, καὶ ἐπ' αὐτοὺς ἂν ἐπεραιώθην.* Ἐν ᾧ δὲ χρόνῳ ἐπὶ τὸν Ὠκεανὸν κατέπλει, καὶ αὖθις ἀνήγετο, ὅσα ἐάλωσαν πρότερον ἀποστασίαν ἐνόσησαν. Ὁ δὲ, δείσας μὴ καὶ οἱ Πάρθοι τὸ αὐτὸ δράσωσιν, ὁμογενῆ σφίσι βασιλέα προεχειρίσατο, αὐτὸς αὐτῷ τὸ διάδημα ἐπιθέμενος. Εἶτα καὶ τῶν Ἀράβων ἀφεστηκότων ὥρμησε κατ' αὐτῶν· καὶ μηδὲν ἀνύσας, ὀλίγου δεῖν ἐτρώθη ἄν, κἀκεῖθεν ἀπῆλθε νοσῶν. Καὶ οἱ κατὰ Κυρήνην δὲ Ἰουδαῖοι ἀπέστησαν, καὶ ἔκτεινον καὶ Ῥωμαίους καὶ Ἕλληνας· καὶ οἱ ἐν Αἰγύπτῳ καὶ οἱ ἐν Κύπρῳ οὐχ ἧττους ὁμοίως διέφθειραν. Κατεστρέψατο δὲ τούτους

B XXII. Maximo terræmotu sub ejus imperio cum aliæ urbes quassatæ sunt, tum præter cæteras Antiochia ad Orontem, ubi Trajanus quoque pene perisset, ruina ædificii in quo degebat ictus. In iis ruinis innumera multitudo periit. Alii gravitate molis oppressi : alii, qui fortuito ædificiorum casu in cavis locis inclusi perfringere non poterant, illa concussione per dies complures durante, fame perierunt. Tandem sedata calamitate, quidam ruinas conscendere ausus, mulierem infra vociferantem audivit : quam, remota materia eduxerunt. Ferebat autem illa puerum in ulnis : quem, ut et semetipsam, uberibus suis aluerat. Deinde ruinis etiam cæteris remotis, nullos viventes præter unum puerum reperierunt : qui autem fame perierant, multos. Sub vernum tempus Trajanus denuo contra Parthos profectus, tota Adiabene potitus est. Ea pars est Syriæ juxta Ninum et Gaugamela et Arbela, ubi Darium Alexander virit, et ad ipsam usque Babylonem progressus, Tigri trajecto, Ctesiphontem est ingressus. Cupiebat etiam Erythræum mare lustrare, quæ Oceani pars est, a rege ejus loci quodam nomen **587** adepta. Etiam Indos animo agitabat; dicobatque, *si junior esset, se illos quoque petiturum.* Dum vero ad Oceanum tendit, atque inde revertitur, ii quos dudum subegerat, ad defectionem spectabant. Veritus igitur, ne Parthi quoque idem facerent, regem eis suæ gentis præfecit, eique ipse diadema imposuit. Deinde Arabes etiam sub jugum reducturus, re infecta pene vulneratus esset, atque ægrotans inde dicessit. Defecerunt etiam Cyrenenses Judæi, et Romanis et Græcis trucidatis. Idem ex Ægyptiaci et Cyprii imitati sunt. Sed hos misso exercitu domuit. Hujus Judaicæ defectionis etiam Eusebius meminit, *Ecclesiasticæ Historiæ* libro IV. Cum in Mesopotamiam ire cuperet, morbo oppressus, cursum Italiam versus intendit, P. Ælio Adriano Syriacis legionibus præposito. Sed cum Selinuntem Ciliciæ urbem, quæ etiam Trajanopolis dicitur, venisset, vita functus est, ut ipse putabat, veneno hausto : ut alii dicunt, ob suppressum sanguinem, quem quotannis per alvum excernere solebat. Accessit apoplexia, consecuta resolutione cor-

poris ex parte. Verum aqua intercus omnino mortis ei causa fuit. Imperavit annos XIX cum semestri. Eo imperante Symeon Clopæ filius, secundus Hierosolymorum post sanctum Jacobum pontifex, martyrium subiit, post dierum complurium cruciatus, ad crucem damnatus, anno ætatis vicesimo et centesimo. Post eum Justus ex circumcisione tertius Hierosolymorum pontifex est delectus. Alios quoque multos tum pluribus in locis martyrium obiisse refert Eusebius. Deinde imperatorem cognita eorum qui occiderentur multitudine, qui nihil impium agerent, nisi quod matutino tempore Christum pro Deo ei hiarent, et tantum simulacris immolare recusarent, edixisse, ne inquirerentur Christiani, sed oblati punirentur, ita persecutionem factam esse leviorem. Tum etiam sanctus Ignatius alter Antiochiæ Cœlesyriæ pontifex, vinctus Romam missus est : ubi cum bestiis decertando, martyrium absolvit. Ei successit Heros in pontificatu. Tertio anno imperii Trajani, Clemente tertio Romano pontifice defuncto, post Ecclesiam fidelium novem **588** annis gubernatam, quartus in ejus locum suffectus est Evarestus : qui annis VIII sacerdotio functus, decessit Alexandro successore, qui Romanorum V fuit pontifex. Alexandrinus quoque episcopus ordine tertius, Cerdo, hac vita relicta Primum habuit successorem.

Τραϊανὸς, στράτευμα κατ' αὐτῶν πεπομφώς. Μέμνηται τῆς τῶν Ἰουδαίων ταύτης ἀποστασίας καὶ ὁ Εὐσέβιος (20) ἐν τῷ τετάρτῳ λόγῳ τῆς Ἐκκλησιαστικῆς Ἱστορίας. Ἐκείνῳ δ' ἦν πρὸς Μεσοποταμίαν τὸ ὅρμημα, τῇ δὲ νότῳ καταπονούμενος, ἤρξατο τοῦ πρὸς Ἰταλίαν πλοὸς, Πόπλιον Αἴλιον Ἀδριανὸν ἄρχειν ἐπιστήσας τῶν στρατευμάτων ἐν τῇ Συρίᾳ. Ἐλθὼν δ' εἰς Σελινοῦντα (21) τῆς Κιλικίας, ἣ καὶ Τραϊανούπολις κέκληται, τὸν βίον κατέλυσεν, ὡς μὲν ἐκεῖνος ᾠήθη, φαρμάκῳ διαφθαρείς, ὡς δέ τινες λέγουσι, δι' ἐπίσχεσιν αἵματος ἐτησίως αὐτῷ ἐκκαιτομένου διὰ γαστρός. Συνέβη δέ οἱ καὶ ἀποπληξίαν, ἧ πάρεσις τοῦ σώματος ἐκ μέρους ἐπηκολούθησεν. Ὕδερος δ' ἦν ὡς ἐπίπαν αὐτῷ τοῦ θανάτου τὸ αἴτιον. Ἦρξε δ' ἔτη ἐννεακαίδεκα πρὸς μησὶν ἕξ. Τούτου κρατοῦντος Συμεὼν ὁ τοῦ Κλοπᾶ, δεύτερος ἀρχιερεὺς γεγονὼς Ἱεροσολύμων μετὰ τὸν θεῖον Ἰάκωβον, ἐμαρτύρησεν, αἰκισθεὶς μὲν πρότερον ἐπὶ πλείσταις ἡμέραις, εἶτα σταυρὸν καταδικασθείς, ἐτῶν ὢν ἑκατόν τε καὶ εἴκοσι. Μεθ' ὃν τρίτος Ἱεροσολύμων ἀρχιερεὺς Ἰοῦστος ἐκ περιτομῆς καὶ αὐτὸς ἐχρημάτισε. Καὶ ἄλλους δὲ τότε πολλοὺς ἐν τόποις πλείοσι μαρτυρικοῦ τέλους ἀξιωθῆναι ἱστόρησεν ὁ Εὐσέβιος· εἶτα τὸ πλῆθος τῶν κτεινομένων μαθόντα τὸν αὐτοκράτορα, καὶ ὡς οὐδὲν ἀνόσιον πράττουσιν, ἀλλ' ἢ πρωΐθεν ἐξεγειρόμενοι τὸν Χριστὸν ὑμνοῦσιν ἴσα Θεῷ, μόνον δ' εἰδώλοις θύειν οὐ πείθοντες, θεσπίσαι μὴ ἐκζητεῖσθαι τοὺς κεκλημένους ἐκ τοῦ **Χριστοῦ**, ἐμπεσόντας δέ γε κολάζεσθαι. Καὶ οὕτως γενέσθαι τὸν διωγμὸν μετριώτερον. Τότε καὶ ὁ Θεοφόρος Ἰγνάτιος, δεύτερος τῆς κατὰ Κοίλην Συρίαν Ἀντιοχείας τοιγχάνων ἀρχιερεὺς, συλληφθεὶς, εἰς Ῥώμην ἐπέμφθη δέσμιος, ἔνθα θηρίοις παραβληθεὶς διήνυσε τὸ μαρτύριον. Καὶ μετ' αὐτὸν τὴν ἱεραρχίαν διεδέξατο Ἥρως. Τῷ τρίτῳ δ' ἔτει τῆς ἀρχιερωσύνης Τραϊανοῦ Κλήμεντος ἐκλελοιπότος, ὃς τρίτος ἦν ἐν Ῥώμῃ ἀρχιερεὺς, καὶ ἔτεσιν ἐννέα τὴν Ἐκκλησίαν ἔθνει τῶν πιστῶν, τέταρτος ἀντεισήχθη Εὐάρεστος· ὃς, ὄγδοον ἀρχιερατεύσας ἐνιαυτὸν, μετέθετο τὴν ζωὴν, ὑπ' Ἀλεξάνδρου διαδεχθεὶς, πέμπτου γεγονότος τῶν Ῥωμαίων ἀρχιερέως. Καὶ ὁ τῆς Ἀλεξανδρέων κατὰ τρίτην τάξιν ἐπίσκοπος γεγονὼς Κέρδων, μετανοίας τῶν ἐνθένδε, διάδοχον ἔσχηκε Πρίμον.

XXIII. Trajano sine liberis defuncto, Adrianum Plotina Trajani conjux ex amorum illecebris, et Tatianus ejus procurator, Cæsarem et imperatorem designarunt, Antiochiæ Syriæ, cui præerat, tum agentem, et Trajanum affinitate contingentem, ac illius a fratre nepti tum matrimonio junctum. Fuit ille filius Ælii Adriani, vir admodum eruditus: libros et versu et soluta oratione conscriptos reliquit : celerum tam immense ambitionis, ut omnia affectaret, seque nihil ignorare profiteretur. Itaque multos aliqua arte celebres dignitate privavit : multos perdidit, ut ipse in omnibus excellere videretur. Quare in eo nimia subtilitas, curiositas, et morum varietas reprehendebatur. Sed hæc vitia, providentia, diligentia, magnificentia, et dexteritas ingenii pensabant. Ad hæc nullum bellum

ΚΓ'. Ἄπαιδος δὲ Τραϊανοῦ τελευτήσαντος, Καίσαρά τε καὶ αὐτοκράτορα τὸν Ἀδριανὸν ἥ τε τοῦ Τραϊανοῦ σύζυγος Πλωτῖνα, ἐξ ἐρωτικῆς φιλίας, καὶ ὁ Τατιανὸς (22) ἐπίτροπος αὐτοῦ γεγονὼς ἀπέδειξαν, ἐν Ἀντιοχείᾳ τῆς Συρίας διάγοντα, ὅπου καὶ ἦρχεν αὐτῆς, προσγενῆ (23) τε ὄντα Τραϊανοῦ καὶ συνοικοῦντα ἐκείνου ἀδελφιδῇ. Ἦν δ' οὗτος υἱὸς Ἄφρου Ἀδριανοῦ, φιλολόγος ἀνὴρ, ὃς καὶ ποιήματά τινα πεζά τε καὶ ἐν ἔπεσι καταλέλοιπεν ἀπλήστως δέ γε πρὸς φιλοτιμίαν ἔχων πάντα τε ἐπετήδευσε, καὶ ἠῦχει μηδὲν ἀγνοεῖν. Ὅθεν καὶ τῶν ἔν τισιν εὐδοκιμούντων καθεῖλε συχνούς· καὶ οὐ μείους ἀπώλεσεν, ἵν' αὐτὸς κρατεῖν ἐν πᾶσι δοκῇ. Ἐκακίζετο μὲν οὖν διά τε ταῦτα καὶ τὸ πάνυ ἀκριβὲς, καὶ τὸ περίεργον, καὶ πολύτροπον. Ἀνελάμβανε δὲ ταῦτα, καὶ ἐθεράπευε τό τε προνοητι-

Variæ lectiones et notæ.

(20) *Εὐσέβιος*. Lib. IV.

(21) *Σελινοῦντα*. Vide Cujacium, lib. XXVII, Observ. cap. 3.

(22) *Τατιανός*. Corrupte apud Xiphilinum, Ἀτιλιανός. *Tatianus*, apud Vopiscum, tam etsi id nominis varie efferri in codd. mss. observet Casaubonus.

(23) *Προσγενῆ*. Adrianum consobrinum Trajani fuisse scribit Spartianus. Nescio cur hæc verba in sua versione omiserit interpres.

αὐτοῦ καὶ ἡ ἐπιμέλεια καὶ τὸ μεγαλοπρεπὲς καὶ ἡ ἐξιότης· καὶ τὸ μήτ' ἄρξαι πολέμου καὶ τοὺς ἠργμένους καταπαῦσαι· καὶ ὅτι οὐδενὸς ἀδίκως ἀφείλετο χρήματα, ἀλλὰ καὶ πολλοῖς παρέδωκε, μάλιστα αὐθορμήτως καὶ μηδ' αἰτουμένοις, καὶ πόλεσι συμμάχοισί τε καὶ ὑποφόροις πάσαις, ὡς εἰπεῖν, ἐπεκούρησε, ταῖς μὲν ὕδωρ καταγαγών, ταῖς δὲ λιμένας ᾠκοδομήσας, ταῖς δὲ πῖτον καὶ ἔργα καὶ χρήματα καὶ τιμὰς δούς (24)· τῷ τε δήμῳ τῶν Ῥωμαίων οὐ θωπευτικῶς, ἀλλ' ὑβριστῶς προσεφέρετο. Καί ποτέ τι αἰτοῦντι θρασύτερον, οὐκ ἔνευμεν, ἀλλ' εἰπεῖν ἐκέλευσε τῷ κήρυκι Διωπήσατε· ὡς δ' οὐδὲν εἰπόντος ἐκείνου, τὴν χεῖρα δὲ ἀνατείναντος, ἐσιώπησαν, οὐ μόνον κατὰ τοῦ κήρυκος οὐκ ἐξώργιστο, ὡς μὴ πεποιηκότος τὸ κελευσθέν, ἀλλὰ καὶ τιμῆς τὸν ἄνδρα ἠξίωσεν, ὅτι ὃ ἦν αὐτῷ βουλόμενον ἤνυσε, μὴ ἐκφήνας τὸ τραχὺ τοῦ κελεύσματος. Οὐ γὰρ ἠγανάκτει, εἴ τι καὶ παρὰ γνώμην αὐτοῦ πρός τινος ἐγίνετο, τὸ δ' ἀφεώρα πρὸς αὐτοῦ λισιτέλειαν. Παριόντος δ' αὐτοῦ ποτε γυνή τις ἐδέετο, καὶ εἰπόντος ὡς Οὐ σχολάζω, ἀνέκραξεν ἡ γυνή, Καὶ μὴ βασίλευε. Ὁ δὲ αὐτίκα τε ἐστράφη, καὶ προσέσχε τῇ δεομένῃ. Καὶ πάντα τὰ μεγάλα καὶ ἀναγκαῖα οὐκ ἰδίᾳ, ἀλλὰ μετὰ τῶν βουλευτῶν ἔπραττε. Καὶ μετὰ τῶν πρώτων ἐδίκαζεν ἀπὸ βήματος, ὥστε δημοσιεύεσθαι τὰ γινόμενα· καὶ τοῖς ὑπάτοις συνδικάζουσι (25) παρεγίνετο, ἀεί τε περὶ αὐτὸν τοὺς ἀρίστους εἶχε καὶ τοῖς ἀρίστοις συνεδείπνει. Καὶ ἦν αὐτῷ πάτρος λόγων παντοδαπῶν τὸ συσσίτιον. Τούς τε πάνυ νοσοῦντας τῶν φίλων ἐπεσκέπτετο, καὶ συνδιῃτᾶτο τῶν συνήθων τοῖς ἑορτάζουσιν. Ἐπεὶ δ' ἐς τὴν Τώμην ἦκε, χρεοκοπίαν ἐκήρυξε τοῖς ὀφλουσι (26) τῷ βασιλικῷ ταμείῳ καὶ τῷ δημοσίῳ τῷ τῶν Ῥωμαίων. Εἶτα εἰς ἄλλην ἐξ ἄλλης φοιτῶν ἐπαρχίαν, καὶ τὰς χώρας ἐπεσκέπτετο, καὶ τὰς πόλεις, καὶ μετεσκεύαζεν ἕκαστον πρὸς τὸ βέλτιον. Καὶ οὐ τὰ κοινὰ τῶν στρατοπέδων ἐφώρα δι' ἑαυτοῦ καὶ ἐξήταζε μόνον, ἀλλὰ καὶ τὰ τοῦ καθ' ἕκαστον. Καὶ ὅσους πρὸς τὸ ἀθρότερον εὗρισκεν ἐκδεδιῃτημένους, πρὸς τὸ στρατιωτικώτερον μετῆγε καὶ μετερρύθμιζε, καὶ ἐδίδαξεν ἅπερ ἔδει ποιεῖν. Καὶ τοὺς μὲν ἐτίμα, τοὺς δὲ ἐνουθέτει, καὶ διῃτᾶτο σκληρότερον, ἵν' ὁρῶν τὸ στρατιωτικὸν αὐτὸν, καὶ οὕτω διαιτᾶσθαι κἀκεῖνο ἐθίζοιτο. Ἐντεῦθεν τοὺς στρατιώτας τοιούτους ἐποίησεν, ὡς καὶ ἱππέων ἕλην σύν γε τοῖς ὅπλοις τὸν Ἴστρον εὐμαρῶς διανήξασθαι, καὶ τοὺς βαρβάρους ταῦθ' ὁρῶντας ἐκπλήττεσθαι, ὥστε καὶ χρᾶσθαι διαλλακτῇ τούτῳ τῷ αὐτοκράτορι, ἐφ' οἷς ἀλλήλοις ἐκπεπολέμωντο. Ἐσπούδαζε δὲ καὶ περὶ θήρας, ὡς ἐν ταύταις καί τινά οἱ μέλη κατεαγῆναι. Καὶ ἐν

A incipiebat, carpta sedabat, opes nemini per injuriam eripiebat, sed potius multis, ultro praesertim non rogatus donabat. Urbibus omnibus, sive sociis sive vectigalibus opem ferebat: aliis aqua introducenda, aliis portubus exstruendis, aliis frumento, operibus, pecunia, honoribus dandis. Adversus populum Romanum non submisse, sed pro auctoritate se gerebat: cui aliquid aliquando audacius postulanti non cessit, sed praeconem edicere jussit. *Tacite.* Qui cum nihil locutus, extenta tantum manu submisisset: non modo non succensuit homini, quasi dicto minus audiens fuisset, sed et honorem habuit, quod id effecisset, quod voluerat, dissimulata imperii asperitate. Neque enim aegre ferebat, si quid ab aliquo contra B suam sententiam fiebat, modo ad utilitatem suam spectaret. Praetereuns aliquando, cum mulieri interpellanti *sibi non esse otium* dixisset, atque illa exclamaret: *Ergo imperare noli*, statim conversus, eam audivit. Omnes res magnas et necessarias non **589** privato consilio, sed senatoribus adhibitis egit. Cum primoribus jus pro tribunali dixit, ut acta publicarentur. Consulibus in concilio adfuit. Semper optimates apud se habuit, et cum principibus atque optimis conversavit. Convivia ejus plena erant sermonum omnis generis. Amicos graviter aegrotantes invisebat, familiarium suorum festivitatibus interesse solebat. Romam ubi venit, quidquid fisco imperatorio et aerario Romano debebatur, abolevit. Provincias et urbes invisit, et omnia in melius provexit. Non exercitus duntaxat, C sed etiam singulorum militum negotia per se lustrabat atque excutiebat: et quos ad mollitiem declinasse videbat, quid agendum esset edoctos, ad militarem frugalitatem reducebat, alios honorabat, alios castigabat. Asperius et ipse vivebat, ut suo exemplo milites ad eamdem victus rationem assuefaceret. Eo pacto milites tales effecit, ut turma equitum Istrum in armis facile tranaret. Quo spectaculo attoniti barbari, ei arbitrium deferebant controversiarum, ob quas bella inter se gerebant. Fuit etiam venationi deditus, in qua membra aliquot fregit; et in Mysia urbem condidit, quam Adriani venationes appellavit. Cum in D Ægypto Pompeii Magni sepulcrum collapsum vidisset, defuncto ut heroi immolavit: et hoc versu pronuntiato,

διαλλαχτῇ τούτῳ τῷ αὐτοκράτορι, ἐφ' οἷς ἀλλήλοις ἐκπεπολέμωντο. Ἐσπούδαζε δὲ καὶ περὶ θήρας, ὡς ἐν ταύταις καί τινά οἱ μέλη κατεαγῆναι. Καὶ ἐν

Variæ lectiones et notæ.

(24) *Ταῖς δὲ σῖτον καὶ ἔργα, καὶ χρήματα, καὶ τιμὰς δούς.* Wollius ἔργα *munera* vertit: malim *opera*, ut publica intelligantur, quæ civitatum utilitati construenda curabat Trajanus.

(25) *Συνδικάζουσι.* Ita mss. codd. et recte, neque enim video cur vocem asterisco notarit interpres: quippe συνδικάζειν dicebantur duo consules, qui una judiciis præerant, quibus intererat Adrianus.

(26) *Τοῖς ὀφλουσι.* Spartianus. *Ad colligendam autem gratiam nihil prætermittens, infinitam pecuniam quæ fisco debebatur, privatis debitoribus . . . remisit.* Id porro tum actum innuit Zonaras, cum Romam venit, quod hausit ex Dione.

Μυσίᾳ πόλιν ὤχισεν Ἀδριανοῦ θήρας (27) καλέσας αὐτήν. Εἰς Αἴγυπτον δὲ ἀπιών, καὶ τῷ τάφῳ Πομπηΐου (28) Μάγνου διεφθαρμένῳ περιτυχὼν ἐνήγισε, καὶ τοῦτ' εἶπε τὸ ἔπος,

Templa cui superant, adeone carere sepulcro?

Α *Τῷ ναοῖς βρίθοντι πόση σπάνις ἔπλετο τύμβου.*

monumentum instauravit. Urbem in Palæstina pro eversis Hierosolymis conditam, Ælium Capitolinam nominavit: et quo in loco Dei templum olim fuerat, eo in loco post Jovis lucum condidit. Judæi vero cum suam metropolim a Græcis alienigenis incoli, et peregrinos in ea deos coli ferre non possent: dum Adrianus circa Ægyptum et Syriam versabatur, metu quiescebant. Sed cum inde discessisset, opportunis regionis locis occupatis, quo se in tutum reciperent, multa Romanis detrimenta et clam et aperte intulerunt. Nam et Judæi ex omnibus provinciis eo confluebant; et alienigenæ multi, spe lucri eis opitulabantur, Adrianus igitur duces clarissimos contra illos misit, quibus Severus Julius **590** præfuit: qui cum hostibus, ob multitudinem eorum, et desperationem, non decernendum esse ratus, prohibendo commeatu, obsidendo, et contra partes illorum pugnando, gentem eam tardius ille quidem, sed minori cum periculo attrivit et afflixit, ut paucissimi superessent. Nam castella eorum L firmissima sunt expugnata, pagi eorum DCCCC et LXXXV celeberrimi eversi, virorum D et LXXX millia in incursionibus et prœliis interfecta. Eorum vero multitudo, qui morbo, fame, incendio perierunt, nec inquisita, nec comperta est. Tota quidem Judæa fere vastata est. Quam calamitatem Deus prodigiis denuntiavit. Nam Salomonis sepulcrum nulla evidenti de causa dissiliit et concidit: lupi et hyænæ multas urbes C eorum cum ululatu intrarunt. Cæterum Romani quoque multi perierunt. Itaque Adrianus cum ad senatum scriberet, usitato exordio non est usus, quod erat hujusmodi: *Si vos liberique vestri valetis, bene est: ego et exercitus valemus.* Et hic belli Judaici fuit exitus.

Β Καὶ τὸ μνῆμα ἀνῳκοδόμησεν. Ἐν δὲ Παλαιστίνῃ πόλιν οἰκοδομήσας ἀντὶ τῆς κατασκαφείσης Ἱερουσαλήμ, Αἰλίαν Καπιτωλίναν ὠνόμασε· καὶ ἔνθα πρώην ὁ τοῦ Θεοῦ νεὼς ἵδρυτο, τῷ Διὶ τέμενος ἀνθιδρύσατο ἕτερον. Ἰουδαῖοι δὲ μὴ φέροντες τῆς σφῶν παραπολαύοντας μητροπόλεως ἄλλους ὁρᾶν (Ἕλληνες γὰρ ἐν αὐτῇ κατῳκίσθησαν) μηδὲ ξενικοὺς τιμᾶσθαι θεοὺς ἐκεῖ ἀνεχόμενοι, Ἕως μὲν Ἀδριανὸς παρά τε τῇ Αἰγύπτῳ καὶ τῇ Συρίᾳ διέτριβεν, ἡρέμουν διευλαβούμενοι· ἐπεὶ δ' ἐκεῖθεν ἀπῆλθε, τά τε τῆς χώρας ἐπίκαιρα κατελάμβανον, ἵν' ἔχοιεν αὐτὰ ὁρμητήρια, καὶ πολλὰ τοὺς Ῥωμαίους ἐκάκωσαν λάθρα τε καὶ ἀναφανδόν, τῶν τε ἁπανταχοῦ γῆς Ἰουδαίων συνιόντων ἐκεῖ, καὶ πολλῶν ἀλλοφύλων ἔρωτι κέρδους συνεπικουρούντων αὐτοῖς. Ὁ μέντοι Ἀδριανὸς τοὺς ἐπιφανεστάτους τῶν στρατηγῶν τοῖς Ἰουδαίοις ἐπήγαγεν, ὧν ἐπῆρχε Σευῆρος Ἰούλιος· ὃς κατὰ συστάδην συμβαλεῖν τοῖς ἐναντίοις οὐκ ἔκρινε σύμφορον, τὸ πλῆθος αὐτῶν καὶ τὴν ἀπόγνωσιν εὐλαβούμενος. Τροφῆς δὲ σφᾶς ἀπείργων καὶ κατακλείων, ἔστι δ' οὗ καὶ ὅπη παρῄκοι τοὺς στρατιώτας μοίραις αὐτῶν ἐπάγων, χρονιώτερον μὲν, ἀκινδυνώτερον δὲ τὸ ἔθνος αὐτῶν ἐνέτριψέ τε καὶ ἐξετρύχωσεν, ὡς κομιδῇ βραχίστους περιγενέσθαι. Φρούρια μὲν γὰρ αὐτῶν τὰ κρείττω πεντήκοντα κατεστράφησαν, κῶμαι δὲ πέντε καὶ ὀγδοήκοντα ἐπ' ἐννακοσίαις ὀνομαστόταται κατεσκάφησαν. Ἀνδρῶν δὲ μυριάδες ὀκτὼ καὶ πεντήκοντα ἐν ταῖς καταδρομαῖς καὶ ταῖς μάχαις ἐσφάγησαν. Τὸ δὲ πλῆθος τῶν λιμῷ καὶ νόσοις καὶ πυρὶ φθαρέντων ἀνιξερεύνητον τυγχάνον οὐκ ἔγνωσται, ὥστε πᾶσαν σχεδὸν τὴν Ἰουδαίαν ἐρημωθῆναι, ὃ καὶ πρὸ τοῦ πολέμου αὐτοῖς συμβόλοις τισὶ τὸ θεῖον ἐνέφηνε. Τό τε γὰρ μνημεῖον τοῦ Σολομῶντος ἐξ οὐδεμιᾶς δήλης αἰτίας διελύθη τε καὶ συνέπεσε· καὶ λύκοι καὶ ὕαιναι πλεῖσται εἰς τὰς πόλεις αὐτῶν εἰσέπιπτον ὠρυόμεναι. Πολλοὶ μέντοι καὶ Ῥωμαῖοι τότε ἀπώλοντο, ὥστε καὶ Ἀδριανὸς γράφων πρὸς τὴν βουλὴν οὐ τῷ συνήθει προοιμίῳ ἐχρήσατο. Τὸ δ' ἦν, *Εἰ καὶ αὐτοὶ καὶ οἱ παῖδες ὑμῶν ὑγιαίνετε, εὖ ἂν ἔχοι· καὶ ἐγὼ δὲ καὶ τὰ στρατεύματα ὑγιαίνομεν.* Ὁ μὲν δὴ πρὸς Ἰουδαίους πόλεμος οὕτως ἤνυστο.

XXIV. Albanicum vero bellum (Albani, Dione D auctore, Massagetæ sunt) a Pharasmane est commotum, qui Mediam admodum afflixit, Armeniam vero et Cappadociam attigit. Sed Albanis partim muneribus delinitis, partim metu aversis, maleficio abstinuit. Romam reversus Adrianus, populo servum aurigantem, ut in libertatem assereretur, flagitanti, restitit, his verbis: *Neque me alienum servum libertate donare, neque vos domino ejus vim afferre decet.* Cum ex profluvio sanguinis per nares

ΚΔ'. Ὁ δὲ πρὸς Ἀλβανοὺς (εἰσὶ δὲ Μασσαγέται κατὰ τὸν Δίωνα) ὑπὸ Φαρασμάνου κεκίνητο. Καὶ τὴν μὲν Μηδίαν λίαν ἐλύπησε (29), τῆς δ' Ἀρμενίας καὶ τῆς Καππαδοκίας ἥψατο μέν, τῶν δ' Ἀλβανῶν πῇ μὲν δώροις πεισθέντων, πῇ δὲ δεισάντων ἐκαύσατο. Ἐλθὼν δὲ εἰς τὴν Ῥώμην Ἀδριανὸς, αἰτοῦντι τῷ δήμῳ ἁρματηλάτην δοῦλον ἐλευθερίας τυχεῖν ἀντεῖπεν ὡς *Οὐ προσήκει οὔτ' ἐμοὶ ἀλλότριον ἐλευθερῶσαι δοῦλον, οὔθ' ὑμῖν τὸν δεσπότην αὐτοῦ τοῦτο ποιῆσαι βιάζεσθαι.* Νοσῇ·

Variæ lectiones et notæ.

(27) Ἀδριανοῦ θήρας. Spartianus: *Oppidum Adrianotheras in quodam loco, quod illic et feliciter esset venatus, et ursam occidisset aliquando, constituit.*

(28) *Πομπηΐου.* De Pompeii M. tumulo, vide Salmasium ad Spartian. in Adriano.

(29) *Καὶ τὴν μὲν Μηδίαν λίαν ἐλύπησε.* Incertum an hæc verba referantur ad Pharasmanum, an vero ad Adrianum, inquit Wolfius: sed, ni fallor, referuntur ad vocem πόλεμος.

σα; δὲ αἵματος αὐτῷ διὰ τῆς ῥινὸς κενουμένου καὶ ἀπογνωσθείς, Κόμοδον Λούκιον Καίσαρα Ῥωμαίοις ἀνεῖπε. Σευηριανὸν δὲ καὶ Φοῦσκον τὸν ἔγγονον ἀγαναχτοῦντας ἐπὶ τούτῳ ἐφόνευσεν. Ἦν δὲ Σευηριανὸς (30) ἐνενηκοντούτης. Ὃς ἀποσφαγῆναι μέλλων πῦρ ᾔτησε καὶ θυμιῶν ἔφη· *Ὑμεῖς, ὦ θεοί, ἴστε ὅτι οὐδὲν ἀδικῶ. Εὔχομαι δὲ τὸν Ἀδριανὸν ἐπιθυμῆσαι ἀποθανεῖν, μὴ δύνασθαι δέ.* Ὅθεν καὶ χρονίως νοσήσας Ἀδριανὸς ηὔξατο πολλάκις ἀποσβῆναι, ὥστε καὶ ἑαυτὸν ἐθελῆσαι διαχειρίσασθαι. Ὁ μέντοι Σευηριανὸς καὶ αὐτῷ τῷ Ἀδριανῷ ἄξιος τῆς αὐταρχίας νενόμιστο. Εἰπὼν γὰρ τοῖς φίλοις ποτέ, ἵνα δέκα ἄνδρας δοκίμους εἰς αὐταρχίαν ἐξονομάσωσι, μικρόν τι διαλιπὼν ἔφη ὡς Ἐννέα θέλω μαθεῖν· τὸν γὰρ ἕνα γινώσκω, τὸν Σευηριανόν. Ἦσαν δὲ καὶ Τούρβων καὶ Σίμιλις τῶν ἀρίστων ἐπιφανέστατοι. Καὶ ὁ μὲν Τούρβων οἷα στρατηγικώτατος, ἔπαρχος γεγονὼς, εἴτουν ἄρχων τοῦ δορυφορικοῦ, ὡς εἷς τῶν πολλῶν διεβίω, ὃς οὔποτε ἡμέρας οἴκοι ὤπτο, οὐδὲ νοσήσας, ἀλλὰ πρὸς τὸν βασιλέα διέτριβε. Καί ποτε νοσοῦντι ἀτρεμήσειν αὐτῷ τοῦ αὐτοκράτορος συμβουλεύοντος, εἰπεῖν ὅτι *Τὸν ἔπαρχον ἑστῶτα δεῖ τελευτᾶν.* Ὁ δὲ Σίμιλις ἡλικίᾳ καὶ τάξει πρεσβύτερος αὐτοῦ (31), καὶ ἑκατονταρχῶν ἐπὶ Τραϊανοῦ, καὶ κληθεὶς παρ' αὐτοῦ πρὸ τῶν ἐπάρχων, ἔφη αὐτῷ εἰσελθών· *Αἰσχρόν ἐστι, Καῖσαρ, τῶν ἐπάρχων ἑστώτων ἔξω, ἑκατοντάρχῃ σε ὁμιλεῖν.* Εἶτα καὶ τῆς τῶν δορυφόρων ἀρχῆς ἄκων ἀξιωθείς, ἔλαβε μὲν, ἐξέστη δ' ἑκών, καὶ ἐν ἀγρῷ διεβίω. Ἔνθα καὶ τέθνηκεν, ἐνιαυτοὺς ἐκεῖ διατρίψας ἑπτά, ἐπιγράψας τῷ μνήματι, ὅτι *Σίμιλις* (32) *ἐνταῦθα κεῖται, βιοὺς μὲν ἔτη τόσα* (32*), *ζήσας δ' ἑπτά.* Ἀδριανὸς δὲ φθόῃ τ' ἐλήφθη ἐκ πολλῆς τοῦ αἵματος ῥύσεως, καὶ ὑδέρῳ. Ὡς δὲ ὁ Καῖσαρ ὁ Λούκιος Κόμοδος αἷμα ἐμῶν ἐκ πλείονος ἐξαίφνης ἐξέλιπεν ἀθρόον πλείστου αἵματος ἐμεσθέντος, συνεκάλεσε τοὺς πρώτους τῶν βουλευτῶν, καὶ εἶπεν· *Τὸν Λούκιον τὸ δαιμόνιον ἀφείλετο ἡμῶν. Εὗρον δὲ αὐτοκράτορα ὑμῖν εὐγενῆ, πρᾶον, εὔεικτον, φρόνιμον, μήθ' ὑπὸ νεότητος προπετῆ, μήθ' ὑπὸ γήρως ἀμελές τι ποιήσοντα, τὸν Ἀντωνῖνον Ἀυρήλιον.* Καὶ ὁ μὲν οὕτως προεχειρίστο αὐτοκράτωρ. Φροντίζων δὲ καὶ περὶ τῶν μετὰ ταῦτα αὐταρχησόντων Ἀδριανὸς, ἐπεὶ ἄρρενος ὁ Ἀντωνῖνος ἡμοίρει γονῆς, τὸν Κόμόδου υἱὸν Κόμοδον αὐτῷ εἰσεποίησε, καὶ Μάρκον Ἄννινον Βῆρον (33) ὠνόμασεν, ὃς Κατίλιος ὠνόματο πρότερον Ἀννίνου Βήρου τρισυπατεύσαντος καὶ χιλιαρχήσαντος ἔγγονος ὤν. Ὑδέρῳ δὲ περιπεσὼν ὁ Ἀδριανὸς, μαγγα-

A sine spe salutis ægrotaret, Lucium Commodum Cæsarem Romanorum designavit : Severiano et Fusco nepote, qui id ægre ferebant, occisis. Erat autem Severianus annos xc natus. Qui cum occidendus esset, igni postulato, suffituque facto, dixit : *Vos, o dii immortales, nostis me insontem esse. Illud autem precor, ut Adrianus mori cupiat, nec possit.* Ac Adrianus diuturnitatem morbi pertæsus, sæpe mortem optavit sæpe manus sibi ipsi afferre voluit. Ac Severianum et ipse imperio dignum judicavit. Nam cum amicos aliquando sibi x viros imperio dignos nominare **591** jussisset, paulo post, se novem duntaxat nosse velle dixit : unum enim Severianum sibi notum esse. Fuerunt et Turbo et Si-

B milis inter optimos clarissimi. Ac Turbo, ut rei militaris peritissimus, cum præfectus prætorio factus esset, ut unus e populo vitam exegit : nec unquam ob perpetuam cum imperatore consuetudinem domi, licet ægrotans, interdiu visus est. A quo aliquando adversa valetudine admonitus, ut quieti se daret, respondit : *Præfectum prætorio stantem mori oportere.* Similis autem illo natu grandior, et ordine prior, cum sub Trajano centurio ante præfectos ab illo vocatus esset, ingressus dixit : *Turpe est, Cæsar, præfectis foris stantibus, te cum centurione colloqui.* Deinde prætorio præfectus, dignitatem illam et invitus accepit, et ultro ea repudiata, ruri vii annis exactis mortuus, sepulcro suo inscribi jussit : *Similis hic situs*

C *est, qui in vita fuit tot annis : vixit annos septem.* Adrianus vero ex vehementi sanguinis fluxu, et tabe et aqua intercute laborans, cum Cæsar L. Commodus longo tempore sanguinem vomere solitus, immodica egestione subito exstinctus esset, principibus senatoribus convocatis dixit : *Lucium nobis fortuna eripuit. Verum reperi vobis imperatorem nobilem, clementem, facilem, prudentem, qui neque præ adolescentia temere, neque præ senio quidquam segniter est facturus, Aurelium Antoninum.* Quo sic imperatore creato, quia is quoque filio carebat, de

D secuturis imperatoribus sollicitus, Commodum Commodi filium ei adoptandum dedit : qui cum ante Catilius diceretur, ab avo Annino Vero, ter consule et tribuno, M. Annini Veri nomen accepit. Adrianus vero, cum per magiam et præstigias quasdam aliquando noxios humores exhausisset, nec multo post aliis effluentibus in diès pejus haberet, mortem optavit : sed voti compos fieri non potuit, cum nemo ei ensem aut venenum præberet. Denique cum seipsum occidere non posset, omissa

Variæ lectiones et notæ.

(30) *Σευηριανός. Servianum sororis virum nonagesimum jam annum agentem, ne sibi supervivaret, mori coegit. Quasi* scilicet *affectatorem imperii*, uti narrat Spartianus.

(31) *Ἡλικίᾳ καὶ τάξει προσήκων αὐτοῦ.* Ita Reg. et Colb. Alter cod. apud Wolfium, τὸ καὶ τάξει prætulit, quod additamentum redundare existimat.

(32) *Σίμιλις.* Σίμιλος, Symeoni Logothetæ in Chron. ms. et Cedreno, qui Latinis *Similis.*

(32*) *Βιοὺς μὲν ἔτη τόσα.* Vide Gloss. med. Græcit. in τόσος.

(33) *Ἄννιον Βῆρον.* Ita etiam Xiphilinus, sed legendum Ἄννιον censet Sylburgius, quem consule, p. 992.

curiosiore victus ratione, cibis et potionibus ei morbo alienis utendo, mortem accersivit. Vixit annos LXII, menses V, dies XIX; imperavit annos XXI, mense uno dempto. Sub ejus principatu Alexander pontificatu urbis Romæ X annis 592 functus, in vitam senectutis expertem migravit: cui successit Xystus. Primus Alexandrinus, duodecimo episcopatus anno defunctus, Justum habuit successorem. Hierosolymitanos episcopos usque ad Judaicam sub Adriano defectionem fuisse XV omnes ex judaismo christianismum amplexos, commemorat Eusebius: quos non diu vixisse apparet. Eorum primus fuit Jacobus, qui frater Domini dicitur; alter Symeon, tertius Justus, quartus Zacchæus, quintus Tobias, sextus Benjamin, septimus Joannes, octavus Matthias, nonus Philippus, decimus Seneca, alter Justus undecimus, Levis duodecimus, Ephres decimus tertius, Josephus decimus quartus, Judas decimus quintus. Xysto post decennium defuncto, Romæ successit Telesphorus, ordine septimus. Alexandrinæ Ecclesiæ gubernationem Eumenes, numero sextus, est sortitus, Justo post annum undecimum defuncto. Hic imperator propter seditiones jam commemoratas, post insignem illum populi interitum, Judæis ingressu Hierosolymorum et totius provinciæ interdixit. Deinde cum urbs a gentilibus incoleretur, et de nomine Adriani Ælia vocaretur: primus ejus pontifex post circumcisos fuit Marcus. Tum etiam Saturninus, Antiochenus, Basilides Alexandrinus, et Carpocrates, diversarum sectarum auctores nascebantur: et Hegesippus apostolici præconii traditionem quinque libris conscripsisse fertur: et Justinus Philosophus, post etiam martyr, a Græcis disciplinis ad Dei cultum transiit. Is narrat, Heremnium Granianum Asiæ proconsulem scripsisse Adriano, non esse æquum, Christianos ob ullum facinus plecti: eum vero respondisse, neminem nisi criminis alicujus judicio damnatum, occidendum esse.

Ἀνίαις μέν τισι, καὶ γαστρίαις ἐκένου ποτὲ τὸ ὑγρόν· δι' ὀλίγου δ' αὖθις ἠθροίζετο ἕτερον, καὶ ὡς ἐπισθίδου πρὸς τὸ χεῖρον ἀεί, ἀποθανεῖν ἐπεθύμει, οὐκ ἠδύνατο δέ, μηδενὸς αὐτῷ διδόντος μὴ ξίφος, μὴ φάρμακον. Καὶ τέλος μὴ οἷός τε ὢν ἑαυτὸν διαχρήσασθαι, τῆς κατὰ τὴν δίαιταν ἀκριβείας μεθῆκε· καὶ μὴ προσήκουσιν ἐδωδίμοις καὶ ποτοῖς χρώμενος, κατέλυσε τὴν ζωήν, ζήσας ἔτη ὀγδοήκοντα, πρὸς μησὶ πέντε καὶ ἡμέραις ἐννεακαίδεκα· μοναρχήσας δὲ ἐπὶ εἴκοσι καὶ ἕνα ἐνιαυτὸν, μηνὸς ἑνὸς λείποντος. Ἐπὶ δὲ τῆς ἡγεμονίας αὐτοῦ Ἀλέξανδρος, ἀρχιστρατεύσας ἐν Ῥώμῃ δέκατον ἔτος, εἰς τὴν ἀγήρω μετέβη ζωήν. Ὃν διεδέξατο Ξύστος. Καὶ Πρῖμος δὲ, Ἀλεξανδρέων ἐπισκοπήσας δωδέκατον ἐνιαυτὸν, καὶ μεταλλάξας τὴν βιοτὴν, Ἰοῦστον ἔσχε διάδοχον. Τῶν δ' ἐν Ἱεροσολύμοις ἐπισκόπων τὸν ἀριθμὸν εἰς πεντεκαίδεκα περιστῆναι μέχρι τῆς κατὰ Ἀδριανὸν Ἰουδαίων ἀποστασίας, βραχυβίων, ὡς ἔοικε, γεγενότων, ὁ Εὐσέβιος ἱστορεῖ, πάντας δ' ἐξ Ἰουδαίων πιστεύσαντας εἶναι· ὧν πρῶτος ἦν Ἰάκωβος ὁ τοῦ Κυρίου λεγόμενος Ἀδελφὸς, καὶ δεύτερος Συμεών, καὶ τρίτος Ἰοῦστος, Ζακχαῖος τέταρτος, Τωβίας πέμπτος, ἕκτος Βενιαμὶν, ἕβδομος Ἰωάννης, ὄγδοος Ματθίας, ἔνατος Φίλιππος, δέκατος Σενεκᾶς, Ἰοῦστος ἄλλος ἑνδέκατος, Λευὶς δὲ δωδέκατος, Ἐφρὴς τρισκαιδέκατος, τεσσαρεσκαιδέκατος Ἰωσὴφ, καὶ Ἰούδας πεντεκαιδέκατος. Ξύστον δὲ μετὰ χρόνον δεκαετῆ τελευτήσαντα ἕβδομος ἐν Ῥώμῃ διεδέξατο Τελεσφόρος. Τῆς δὲ τῶν Ἀλεξανδρέων Ἐκκλησίας τὴν προστασίαν ἕκτος Εὐμενὴς ἐκληρώσατο, Ἰούστου μετὰ ἐνδέκατον διανύντος ἐνιαυτόν. Οὗτος οὖν ὁ αὐτοκράτωρ διὰ τὰς ἤδη ῥηθείσας στάσεις μετὰ τὸν πολὺν τῶν Ἰουδαίων ὄλεθρον καὶ ὄγμα ἐξέθετο κωλύον τὸ ἔθνος αὐτῶν ἐπιβαίνειν τῶν Ἱεροσολύμων, καὶ τῆς χώρας αὐτῶν ἀπάσης. Καὶ λοιπὸν ἐξ ἐθνῶν τῆς πόλεως οἰκισθείσης, καὶ Αἰλίας κληθείσης (34), ὡς ὁ Ἀδριανὸς ἐχρημάτιζε, πρῶτος ταύτης ἀρχιερεὺς μετὰ τοὺς ἐκ περιτομῆς κατέστη Μάρκος· τότε καὶ Σατορνῖνος Ἀντιοχεὺς, καὶ βασιλείδης Ἀλεξανδρεὺς, καὶ Καρποκράτης, αἱρέσεων διαφόρων πατέρες καὶ ἀρχηγοὶ ἐγνωρίζοντο. Καὶ Ἡγήσιππος δὲ τότε τὴν τοῦ ἀποστολικοῦ κηρύγματος παράδοσιν ἐν πέντε λόγοις συγγράψασθαι ἀναγράφεται. Καὶ Ἰουστῖνος ὁ Φιλόσοφος, ὃς μετέπειτα καὶ μάρτυς ἐγένετο, τότε πρὸς θεοσέβειαν ἐξ Ἑλληνικῶν σπουδασμάτων μετέθετο. Ὃς ἱστορεῖ Ἐρέννιον Γρανιανὸν τῆς Ἀσίας ἀνθυπατεύοντα ἐπιστεῖλαι Ἀδριανῷ μὴ δίκαιον εἶναι ἐπ' ἐγκλήματι μηδενὶ κολάζεσθαι τοὺς Χριστιανούς· καὶ τὸν θεσπίσαι, μηδένα, εἰ μὴ ἐγκλήματι ἐκ κατηγορίας ἄλῳ, κτείνεσθαι.

LIBER DUODECIMUS.

I. Antonino rerum potito, quem Adrianus adoptatum et Cæsarem et imperatorem designarat, senatus Adriano divinos honores, ob clarissimos viros interfectos, decernere noluit. Qua de causa An-

Α'. Αὐταρχήσαντος δὲ Ἀντωνίνου, ὃς εἰσποιηθεὶς παρὰ τοῦ Ἀδριανοῦ Καῖσάρ τε καὶ αὐτοκράτωρ ἐγένετο, ἡ γερουσία οὐκ ἤθελε τὰς ἡρωϊκὰς τιμὰς ψηφίσασθαι τῷ Ἀδριανῷ διὰ φόνους ἀνδρῶν ἐπι-

Variæ lectiones et notæ.

(34) *Καὶ τῆς Αἰλίας κληθείσης* Hæc verba in Græco textu amiserat vel interpres, vel typographus.

φανεστάτων, οὓς ἐκεῖνος εἰργάσατο. Διὸ καὶ διελέχθη αὐτοῖς ὁ Ἀντωνῖνος ἄλλα τε πλείω σὺν δάκρυσι, καὶ ὅτι *Οὐδὲ ἐγὼ ἄρα ἄρξω ὑμῶν. Πάντα γὰρ τὰ ὑπ' ἐκείνου γενόμενα, ὧν ἓν καὶ ἡ ἀναίρυσις ἡ ἐμὴ, ὡς ἐχθίστου τε καὶ κακίστου ἀθετηθήσεται.* Ταῦτα δ' ἡ γερουσία αἰδεσθεῖσα, οὐ μεῖον μέντοι καὶ τοὺς στρατιώτας εὐλαβηθεῖσα, τῷ κειμένῳ τὰς τιμὰς ἐψηφίσατο. Εὐσεβὴς δ' ἐπεκλήθη οὗτος ὁ Ἀντωνῖνος, ὅτι ἄρτι τῆς αὐταρχίας ἡμένου αὐτοῦ, πολλοὶ γεγόνασιν ὑπ' αἰτίασιν, καὶ τινὲς ἐξ ὀνόματος εἰς σφαγὰς ἐζητήθησαν· ὁ δὲ οὐδένα ἐκόλαζε, φάμενος ὡς *Οὐ δεῖ με ἐκ τοιούτων ἔργων τῆς προστασίας ὑμῶν ἄρξασθαι.* Γέγονε δὲ καὶ δι' ὅλης αὐτοῦ τῆς ἀρχῆς καὶ δίκαιος καὶ χρηστὸς, καὶ πᾶσι τοῖς ὑπηκόοις ἀνεπαχθὴς καὶ αὐτοῖς δὲ Χριστιανοῖς. Οὐ μόνον γὰρ οὐκ ἐκάκου αὐτοὺς, ἀλλὰ μέντοι καὶ αἰδοῦς ἠξίου. Λέγεται δὲ ζητητικὸς γενέσθαι, καὶ περὶ μικρῶν ἀκριβολογούμενος, ὅθεν αὐτὸν Κυμινοπρίστην ἐκάλουν οἱ σκώπτοντες. Οὐ μὲν διὰ τοῦτο ἐκ τῶν ὑπηκόων ἐχρημάτιζετο, ἀλλ' ἐν ἀπορίᾳ ποτὲ γεγονὼς ἀργυρίων (35), πολέμων ἐπικειμένων, οὔτε τέλος καινὸν ἐπενόησεν, οὔτ' αἰτῆσαί παρά του ἠνέσχετο χρήματα, ἀλλ' ἐν τῇ ἀγορᾷ πάντα τὰ ἐν τοῖς βασιλείοις κειμήλια θέμενος, καὶ εἴ τι πρὸς κόσμον ἦν τῇ αὐτοῦ γαμετῇ, ὠνεῖσθαι ταῦτα τὸν βουλόμενον προετρέπετο· ὅθεν ἀθροίσας ἀργύρια τοῖς στρατιώταις διέδωκε· καὶ νικήσας τὸν πόλεμον ἐκτήσατο πολυπλάσια· καὶ κήρυγμα ἔθετο τὸν βουλόμενον ἐκ τῶν ὠνησαμένων τὰ κτήματα τὰ βασιλικὰ ἀναδιδόναι τὸ ὠνηθὲν, καὶ λαμβάνειν τὸ τίμημα. Καί τινες μὲν τοῦτο ἐποίησαν, οἱ δὲ πλείους ἀνένευσαν, καὶ οὐδένα ἀναδοῦναι τὸ κτηθὲν αὐτῷ ἐβιάσατο. Τούτου λέγεται νομοθέτημα εἶναι, τὸ τῶν τέκνων ἀδιαθέτων τελευτώντων κληρονόμους ἀναφαίνεσθαι τοὺς γονεῖς, καὶ διατιθεμένοις τοῖς παισὶν ἐν ἀπαιδίᾳ ἀνάγκην εἶναι τὸ νόμιμον μέρος τοῖς γονεῦσι καταλιμπάνειν. Ἐπὶ τούτου κλόνος τῆς γῆς συνέβη φρικώδης περὶ τὴν Βιθυνίαν καὶ τὸν Ἑλλήσποντον, ἐξ οὗπερ πλείους πόλεις κατέπεσον, μάλιστα δ' ἡ Κύζικος ἔπαθεν· ὅτε καὶ ὁ ἐν αὐτῇ περιβόητος κατεπτώθη ναὸς (36), οὗ λέγονται τετραόργυιοι τὸ πάχος εἶναι οἱ κίονες, τὸ δ' ὕψος αἴρεσθαι μέχρι πεντήκοντα πήχεων, ἐκ λίθου συνεστῶτες ἑνὸς, εἴ τῳ ταῦτα μὴ ἄπιστα δόξαιεν· καὶ τἄλλα δὲ τοῦ ἔργου ἐκείνου θαυμάσια ξύμπαντα. Περὶ τούτου τοῦ αὐτοκράτορος ᾄδεται, ὅτι καὶ τὸ τῆς συγκλήτου κατέκαυσε ψήφισμα, ὃ κατ' ἐπιταγὴν τοῦ Ἰουλίου γέγονε Καίσαρος, ὀμνύοντος μηδενὶ ἐφεῖσθαι διαθήκην ποιεῖν, εἰ μὴ μέρος ὡρισμένον τῷ κοινῷ καταλείψει ταμείῳ. Ὅθεν νομίζεται καὶ μέχρι τοῦδε ταῖς διαθήκαις ἐγγράφεσθαι ὅτι *Καὶ τῷ βασιλικῷ ταμείῳ κατα-*

toninus alia plura cum lacrymis disseruit, et *se illis imperaturum esse negavit : sic enim omnia ejus acta, inter quæ et sua* **593** *designatio esset, ut hominis inimicissimi et pessimi, abrogatum iri.* Senatus igitur, cum ex verecundia Antonini, tum militum metu, honores defuncto decrevit. Pius autem hic Antoninus appellatus est, quod recens suscepto imperio, multis accusatis, nonnullis etiam nominatim ad eadem postulatis, de nullo pœnas sumpsit. Negavit enim *a talibus operibus imperium sibi esse auspicandum.* Et per omne tempus justus et clemens permansit, et subditis omnibus, atque adeo Christianis etiam minime gravis : quos adeo non male tractabat, ut etiam venerarctur. Fertur autem ad rem attentus fuisse, ac ne minima quidem neglexisse : qua de causa ut sordidus est derisus. Nec tamen a subditis pecuniam exegit : nam cum aliquando bellis urgentibus pecunia egeret, nec vectigal novum excogitavit, nec a quoquam postulare pecuniam voluit, sed omnibus regiæ ornamentis et uxoris suæ mundo muliebri in foro venum expositis, pecuniam coactam militibus dedit. Victis autem hostibus longe majore parta, per præconem edici jussit, qui imperatoria instrumenta restituere vellent, iis pretium redditum iri. Ac nonnulli id fecerunt : sed eorum qui recusarunt, qui plures fuere, neminem coegit. Hujus lex esse fertur, ut parentes liberorum, qui intestati decedant, hæredes sint : et qui testamento facto orbi decedant, necessario legitimam partem parentibus relinquant. Eo imperante, horribili terræmotu complures Bithyniæ et Hellesponti urbes conciderunt. Sed Cyzicus in primis est afflicta : in qua etiam celebre illud templum corruit, cujus columnæ ex unico saxo quatuor orgyas crassæ, in altitudinem L cubitorum assurrexisse perhibentur : quod si cui incredibile videbitur, is cætera etiam ejus operis omnia mirabilia fuisse cogitet. In hoc imperatore illud etiam celebratur, quod senatusconsultum Julii Cæsaris jussu factum cremavit, quo edicebatur, ne cui testamenti factio esset, nisi certam partem ærario legaret. Unde moris est ad hoc usque tempus inscribi testamentis, *Hoc imperatorio fisco relinquo.* Decessit Antoninus Pius senex, morte somno lenissimo . . absimili, anno imperii XXIV. Hujus primo **594** anno Telesphorus Romæ episcopus, undecimo anno ministerii sui, martyrii corona insignitus, ut Irenæus narrat, felicem exitum sortitus est, Hygino in Romanam sedem collocato, sub quo Valentinianus hæreticus exstitit, et Cerdo sectæ Marcionis auctor. Hygino post quartum pontificatus annum defuncto, Pius Romanæ Ecclesiæ Alexandrinæ Marcus est præfectus, post Eumenem

Variæ lectiones et notæ.

(35) *Ἐν ἀπορίᾳ ἀργυρίων.* Ita reposuimus ex codd. Reg. et Colb. cum Wolfius ἀργυρίου edidisset, qui ita ex ingenio emendavit, ut et infra pro ἀθροίσας ἀργύρια, ἀργύριον reponendum censet. Certe infra in Didio Juliano, ἀργύριον numero singulari pro *pecunia* usurpat Zonaras.

(36) *Ναός.* Eadem habet ex Dione Xiphilinus. De templo Cyziceno consulendus Leo Allatius ad Philonem, *De vii orbis miraculis.*

pontificatu annis XIII functum. Marco etiam post decennium mortuo, Celadius ministerium suscepit. Pio Romæ post annos XV episcopatus defuncto, successit Anicetus: quo tempore Justinus etiam martyr et philosophus, veræ doctrinæ assertor, floruit. Is et librum contra Marcionem edidit, et ad Antoninum Pium defensionem Christianorum scripsit, qua imperator impulsus, decreto ad civitates Asianas misso cavit, ne quis Christianos propter religionem supplicio afficeret: quod si quis eo nomine accusaretur, reum absolvendum, accusatorem multandum esse. Hæc sub Pio gesta sunt.

A λιμπάνω τόδε. Ἀπεβίω δὲ ὁ εὐσεβὴς Ἀντωνῖνος γηραιὸς, θανάτῳ ὕπνῳ ἐοικότι μαλακωτάτῳ, μοναρχήσας ἐνιαυτοὺς σὺν τέσσαρσιν εἴκοσι. Τούτου τῷ πρώτῳ ἔτει Τελεσφόρος ὁ Ῥώμης ἐπίσκοπος ἑνδέκατον ἔτος ἀνύσας ἐπὶ τῇ λειτουργίᾳ, καὶ μαρτυρίῳ ταινιωθεὶς (ὡς εἰρηναῖος ἱστόρησε) τέλος μακάριον εὕρατο, καὶ ἀντιδρύθη εἰς τὸν τῆς Ῥώμης θρόνον Ὑγῖνος. Ἐφ' οὗ Οὐαλεντινιανὸς αἱρεσιάρχης ἐγένετο, καὶ Κέρδων τῆς κατὰ Μαρκίωνα αἱρέσεως ἀρχηγός. Ὑγίνου δὲ μετὰ τὸ τέταρτον ἔτος τῆς Ῥώμης ἀρχιερατεῦσαι ἐκλιπόντος τὸν βίον, Πῖος τῆς Ῥωμαίων Ἐκκλησίας προέστη. Τῆς δ' Ἀλεξανδρέων Μάρκος ἡγήσατο μετὰ Εὐμένη τρισκαιδέκατον ἔτος ἀνύσαντα ἐν τῇ ἀρχιερωσύνῃ. Καὶ τοῦ Μάρκου μετὰ δεκαετίαν μεταχωρήσαντος πρὸς ἑτέραν ζωὴν, Κελαδίων τὴν λειτουργίαν παρέλαβε. Κἀν τῇ Ῥώμῃ τοῦ Πίου ἐκλελοιπότος πεντεκαιδεκάτῳ ἐνιαυτῷ τῆς ἐπισκοπῆς, ἀντικατέστη Ἀνίκητος. Ὅτε καὶ ὁ φιλόσοφος καὶ μάρτυς ἤκμαζεν Ἰουστῖνος, τοῦ ὀρθοῦ λόγου ὑπεραγωνιζόμενος, ὃς καὶ κατὰ Μαρκίωνος ἐξέθετο σύγγραμμα, καὶ πρὸς τὸν εὐσεβῆ Ἀντωνῖνον (37) ἀπολογίαν ὑπὲρ Χριστιανῶν συνεγράψατο. Ὅθεν ὁ αὐτοκράτωρ οὗτος ὁρμηθεὶς, δόγμα τῷ κοινῷ τῆς Ἀσίας ἐπέστειλε, μηδένα Χριστιανὸν διὰ τὴν θρησκείαν κολάζεσθαι· ἀλλὰ κἄν τις ὑπό του διὰ ταύτην κατηγοροῖτο, τὸν μὲν κατηγορούμενον ἀπολύεσθαι, τὸν δὲ κατήγορον δίκης ἔνοχον γίνεσθαι. Ταῦτα συνέβη ἐπὶ τοῦ Εὐσεβοῦς.

II. Post cujus vero obitum M. Aurelius Antoninus, a Pio, ut dictum est, adoptatus, imperio suscepto, statim L. Commodum Verum, L. Commodi filium, collegam sumpsit. Erat enim Marcus et imbecilli corpore, et disciplinis ita deditus, ut etiam imperatorem factum scholas frequentare non puderet. Cum Sexto igitur Bœotio philosophabatur, et Hermogeni rhetori operam dabat, sed Stoicis magis addictus erat: Lucius vero, utpote junior, et laborum tolerans, et ad rem militarem natus erat. Itaque Marcus ei, Lucia filia desponsa, bellum Parthicum mandavit, cum Vologesus multos Romanos sagittis confecisset, ac totum exercitum peremisset, seque Romanorum hostem declarasset, et Syriacas urbes magno cum terrore invaderet. Lucius igitur Antiochiam profectus, Cassio legiones dedit: qui Vologesum victum Seleuciam usque persecutus, urbem cremavit, et ejus regiam Ctesiphontem evertit. Quo successu Lucius elatus, socero et imperatori deinde struxit insidias: sed eæ priusquam ad rem conferrentur, veneno periit. Inde Cassius **595** universæ Asiæ procurator est designatus. Imperator vero cum Barbaris, qui circa Istrum incolunt, Jazygibus, Marcomannis, et alias aliis longo tempore in Pannonia bellum gessit. Galli Transrhenani usque ad Italiam sunt progressi: inter quorum cadavera, etiam muliebria corpora armata sunt inventa. In tantis autem bellis ea prudentia et gravitate imperavit, ut militibus neque ullo verbo adularetur, neque metu eorum

B Β'. Μετὰ δὲ τὴν τελευτὴν αὐτοῦ (38), Μάρκος Αὐρήλιος Ἀντωνῖνος εἰσποιητὸς αὐτῷ γεγονὼς, ὡς ἱστόρηται, τὴν αὐταρχίαν ἐδέξατο, καὶ αὐτίκα κοινωνὸν τοῦ κράτους πεποίηται Λούκιον Βῆρον Κόμοδον, Λουκίου τοῦ Κομόδου υἱόν. Ἦν μὲν γὰρ ὁ Μάρκος καὶ ἀσθενὴς τὸ σαρκίον· ἐσχόλασε δὲ καὶ λόγοις οὕτως, ὥστε καὶ αὐτοκράτωρ γενόμενος οὐκ ᾐδεῖτο ἐς διδασκάλου φοιτᾷν, ἀλλὰ καὶ Σέξτῳ συνεφιλοσόφει τῷ Βοιωτῷ, καὶ Ἑρμογένει τῷ ῥήτορι προσωμίλησε, μᾶλλον δ' ἀντεποιεῖτο τῶν Στοϊκῶν. Ὁ δέ γε Λούκιος νεώτερος ὢν, καὶ πρὸς πόνους ἔῤῥωτο, καὶ ἐπεφύκει πρὸς στρατιωτικῶν μεταχείρισιν. Ὅθεν τῇ θυγατρὶ Λουκίᾳ τοῦτον ὁ Μάρκος συνάψας, αὐτῷ τὸν πρὸς Πάρθους ἀνέθετο πόλεμον, τοῦ Οὐολογαίσου πολλοὺς Ῥωμαίων κατατοξεύσαντος, καὶ ὅλον τὸ στρατόπεδον διαφθείραντος, καὶ πολέμιον Ῥωμαίοις ἑαυτὸν ἀποφήναντος, καὶ φοβερὸν ἐπιόντα τῆς Συρίας ταῖς πόλεσιν. Εἰς γοῦν Ἀντιόχειαν ὁ Λούκιος γεγονὼς, Κασσίῳ τὰ στρατεύματα ἔνειμεν· ὡς τῷ Οὐολογαίσῳ συμβαλὼν, ἥττησέ τε καὶ μέχρι Σελευκείας ἐδίωξε, καὶ ταύτην ἐνέπρησε, καὶ τὰ βασίλεια αὐτοῦ τὰ ἐν Κτησιφῶντι κατέσκαψε· τῷ δὲ Λουκίῳ ταῦτα ὄγκον περιεποίει καὶ φρόνημα, ὥστε μετὰ ταῦτα καὶ ἐπιβουλεῦσαι τῷ κηδεστῇ τε καὶ αὐτοκράτορι· πρὶν δέ τι δράσαι, φαρμάκῳ διώλετο. Ἐντεῦθεν ὁ Κάσσιος τῆς Ἀσίας ἁπάσης ἐπίτροπος προκεχείριστο. Ὁ δ' αὐτοκράτωρ τοῖς περὶ τὸν Ἴστρον βαρβάροις Ἰάζυξί τε καὶ Μαρκομάννοις, καὶ ἄλλοτε ἄλλοις χρόνον συχνὸν ἐπολέμησε, τῇ Παιονίᾳ κεχρημένος

Variæ lectiones et notæ.

(37) *Καὶ πρὸς τὸν εὐσεβῆ Ἀντωνῖνον.* Sic etiam Eusebius, lib. IV, cap. 13, sed D. Marco reponendum contendit Valesius. Hunc consule.

(38) *Φιλοσόφου.* Ita in Zonaræ ms. marginibus, et in Capitolini libris veteribus scribitur, tametsi, inquit Casaubonus, *Philosophi* appellatio inter M. Antonini titulos nullibi occurrat, seu in veteribus inscriptionibus, seu in nummis, adeo ut recentiorum scriptorum inventum sit: licet philosophiæ potissimum studium impendisse tradant scriptores. Joannes Antiochenus: Ἐπῄνει δὲ τῶν φιλοσόφων τοὺς ἀπὸ τῆς στοᾶς, καὶ ἦν ἄρα ἐκείνων μιμητὴς, οὐ μόνον κατὰ τὴν τῶν διαιτημάτων ἐπιτήδευσιν, ἀλλὰ κατὰ τὴν τῶν μαθημάτων σύλληψιν.

ὁρμητηρίῳ. Καὶ εἴ ὑπὲρ τὸν Ῥῆνον Κελτοὶ (39) ἐως Ἰταλίας ἐπήλασαν, ὧν ἐν τοῖς νεκροῖς καὶ γυναικῶν σώματα ὡπλισμένα εὑρέθη. Οὕτω δὲ καὶ σωφρόνως καὶ ἐγκρατῶς ἦρχεν, ὥστε ἐν τηλικούτοις πολέμοις μήτε τι θωπευτικὸν πρὸς τοὺς στρατιώτας εἰπεῖν, μήτε τι φόβῳ ποιῆσαι. Ὅτε δὲ μὴ πολέμοις ἦν σχολάζων, ἐδίκαζε, καὶ τοῖς ῥήτορσι πρὸς ὕδωρ λέγουσι πλεῖον ἐγχεῖσθαι τὸ ὕδωρ ἐκέλευεν, ἵν' ἔχοι πάντοθεν τὸ δίκαιον ἀκριβοῦν. Ἦν δὲ καὶ φιλόπονος, ὡς καὶ νυκτὸς δικάζειν· καὶ οὐδὲν ἐν παρέργῳ οὔτ' ἐποίει, οὔτ' ἔγραφεν, οὔτ' ἔλεγε· μὴ δεῖν νομίζων τὸν αὐτοκράτορα ἐν παρέργῳ τι πράττειν, μηδὲ τοὐλάχιστον, καὶ ταῦτα σώματος τυχὼν ἀσθενοῦς. Μαρκομάννους μὲν οὖν καὶ Ἰάζυγας πολλοῖς καὶ μεγάλοις ἀγῶσι καὶ κινδύνοις ὁ αὐτοκράτωρ οὗτος ὑπέταξε. Πρὸς δὲ τοὺς Κουάδους, καὶ πόλεμος αὐτῷ βαρὺς συγκεκρότητο, καὶ νίκην παράδοξον αὐτῷ τὸ θεῖον παρέσχετο. Κύκλῳ γὰρ τῶν Κουάδων τοὺς Ῥωμαίους περισχόντων, συνασπίσαντες οἱ Ῥωμαῖοι καρτερῶς ἀντημύνοντο. Οἱ δὲ Βάρβαροι ἀπέσχοντο μὲν τοῦ μάχεσθαι, τὰ δὲ πέριξ ἀπέφραξαν, ὥστε μήποθεν αὐτοὺς ὑδρεύσασθαι δύνασθαι, οἰόμενοι ῥᾷον αὐτῶν περιγενέσθαι, μὴ οἵων τε ἐσομένων πρὸς δίψαν ἀντέχειν καὶ καύσωνα. Τῶν οὖν Ῥωμαίων καμάτῳ κακουμένων, καὶ καύματι καὶ δίψει καὶ τραύμασιν, νέφη ἀθρόον τὸν ἀέρα περιέσχον ἐκεῖνον, καὶ ὑσέ γε πλεῖστα, οὐχ ὡς ὁ Δίων (40) ἱστόρησεν, Αἰγυπτίου μάγου τὸν Ἑρμῆν ἐπικαλεσαμένου, καὶ γοητείαις δι' αὐτοῦ τὸν ὑετὸν δυνηθέντος ἐπαγαγεῖν, ἀλλὰ τοῦ θείου Χριστιανῶν παρακληθέντος ἐντεύξεσι, καὶ ῥυσαμένου τότε κἀκείνους παραδοξοποιΐᾳ καὶ ἅπαν τὸ στράτευμα. Ἦν γάρ τις ἐν τῇ τότε Ῥωμαϊκῇ στρατιᾷ λεγεών, οἱ πάντες ἦσαν Χριστιανοί. Ἀμηχανοῦντι δὲ τῷ αὐτοκράτορι καὶ διδοικότι περὶ παντὶ τῷ στρατεύματι, λόγος ἐστὶ φάναι τὸν ἔπαρχον τοῦ δορυφορικοῦ, ὡς οὐκ ἔστιν ὃ μὴ δύναται τὸ γένος τῶν καλουμένων Χριστιανῶν. Εἶναι δὲ παρὰ τῇ στρατιᾷ ἀνδρῶν τοιούτων τάγμα ὁλόκληρον. Τὸν δὲ ἀκούσαντα δεηθῆναι τούτων ἐπικαλέσασθαι τὸν οἰκεῖον Θεόν. Κἀκείνων εὐξαμένων, κεραυνῷ μὲν βληθῆναι τοὺς ἐναντίους, ὄμβρον δὲ Ῥωμαίοις καταῤῥαγῆναι. Οἷς ἐκπλαγέντα τὸν Μάρκον, τιμῆσαι μὲν τοὺς Χριστιανοὺς δόγματι, Κεραυνοβόλον (41) δ' ἐκεῖνο καλέσαι τὸ σύνταγμα. Καὶ ὅτι μὲν οὕτως ὁ λεγεὼν ἐκεῖνος ἐκλήθη, καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησι καὶ παρὰ τῷ Δίωνι ὡμολόγηται, τὴν δὲ αἰτίαν οὐ προστιθέασι. Μέμνηται δὲ τῆς παραδοξοποιΐας ταύτης ἐν τῇ *ἐκκλησιαστικῇ Ἱστορίᾳ* καὶ ὁ Εὐσέβιος. Ὅ γε μὴν Δίων φησὶν ὅτι, τοῦ ὄμβρου γενομένου, οἱ Ῥωμαῖοι περὶ τὸ πίνειν ἀσχοληθέντες ὀλίγου δεῖν ἀπολώλεισαν ἄν, τῶν Βαρβάρων ἐπιτιθεμένων αὐτοῖς, εἰ μὴ χάλαζα κατεῤῥάγη σφοδρὰ καὶ κεραυνοῖς ἐβάλλοντο οἱ πολέμιοι.

A quidquam faceret. Cum a bellis otium erat, jus dicebat: et oratoribus ad aquam verba facientibus plus infundi jubebat, ut ab omni parte æquitatem indagare posset. Adeo laboriosus, idque in tenui valetudine, ut noctu etiam pro tribunali sederet: atque obiter nihil neque diceret, neque scriberet, neque faceret. Neque enim decere putabat, ut imperator vel minimum perfunctoria opera administraret. Marcomannos et Jazygas multis magnis præliis et periculis subegit. Contra Quados gravissimo bello suscepto, admirabilem victoriam divinitus est adeptus. Qui cum Romanos undique circumdedissent, hi vero testudine facta fortiter se defenderent, Barbari, omissa pugna, circumjecta loca omnia obsepserunt, ne cubi aquari possent: rati B se eos siti et æstu afflictos facilius superaturos. Romanis autem labore, æstu, siti, vulneribus confectis: acre subitis nubibus densato vehementer pluit, non, ut Dion scribit, propter Ægyptii magi præstigias, Mercurium obtestati: sed Deo Christianorum precibus exorato, et ipsi et universus exercitus per miraculum sunt conservati. Nam cum in Romanis castris Christiana legio esset, prætorio præfectus imperatori æstuanti et de toto exercitu sollicito dixisse fertur, populum Christianorum nihil non posse, esse autem in exercitu integram ex eo hominum genere legionem. Quo ille audito, eos rogarit, ut suum Deum implorarent. Quo facto, fulmina in hostes sint illata, imber in Romanos. Quare obstupefactus Marcus, C Christianos decreto honoravit, et Fulminatricem legionem illam appellavit. Ac sic fuisse appellatam Dion et cæteri consentiunt, sed causam non addunt. Miraculi hujus etiam Eusebius **596** in *Ecclesiastica Historia* meminit. Cæterum Dion ait, imbre facto, Romanos bibendo occupatos, subita incursione Barbarorum pene periisse, nisi vehementi grandine et multis fulminibus hostes petiti essent.

ΙΓ'. Ὁ δὲ Κάσσιος ἐν τῇ Συρίᾳ διάγων ἐνεωτέρισεν, ὃς Σύρος ἦν, ἀνὴρ δὲ ἄριστος, καὶ οἷον ἄν τινες ἐξεῖν εὔξαιντο αὐτοκράτορα. Ἐκινήθη δὲ πρὸς ἀποστασίαν, ἀγγελίας αὐτῷ ψευδοῦς κομισθείσης, ὡς ὁ Μάρκος ἀπέθανεν. Ἅπαξ δὲ πρὸς τὸ ἔργον ὥρμησας, οὐκ ἀπέστη, μετ' ὀλίγων μαθὼν τὴν ἀγγελίαν εἶναι ψευδῆ. Ἡτοιμάζετο δὲ πολέμῳ

D III. At Cassius in Syria agens, novas res molitus est, homo Syrus, sed vir optimus, et qualis imperator exoptari queat. Est autem nuntio de Marci interitu ad defectionem impulsus, quem cum paulo post falsum esse comperisset, a re semel cœpta desistere noluit, ita se parans, ut qui imperium vi occupare vellet. Marco vero milites pro con-

Variæ lectiones et notæ.

(39) *Οἱ ὑπὲρ τὸν Ῥῆνον Κελτοί. Galli qui supra Rhenum incolunt*, ubi ὑπὲρ idem quod πέραν valere videtur: ut infra in Commodo, ὑπὲρ τὴν Δακίαν. Et in Æmiliano: αἱ ὑπὲρ τὰς Ἄλπεις δυνάμεις.

(40) *Δίων*. Ex Xiphilino.

(41) *Κεραυνοβόλον*. Ex Xiphilino. Legionis XII Fulminatricis non semel habetur mentio in veteribus inscriptionibus apud Gruterum.

rume ad rem strenue gerendam cohortato, et ad bellum se paranti, victoriæ plurimæ contra diversos Barbaros nuntiatæ sunt, et Cassii cædes : quem centurio quidam in itinere aggressus, subito vulneravit, non tamen lethaliter, sed cædem ejus decurio absolvit. Sic ille per tres menses et dies sex imperio somniato periit. Est et filius ejus alibi occisus. Imperator vero nullum qui cum eo defecerat, occidit : sed clementer tractavit omnes. Ad senatum etiam scripsit, neminem ex Cassii adjutoribus esse occidendum : *Absit enim*, inquit, *ne quisquam vestrum propter me, vel mea vel vestro suffragio perimatur. Quod nisi impetro, quamprimum moriar.* Adeo in rebus omnibus et pius et clemens fuit. Postea lex lata est, ne quis ei provinciæ præesset, e qua natus esset : propterea quod Cassius Syriæ prætor, in qua patriam habebat, regnum affectarat. Athenas profectus Marcus, civibus honorem habuit, et omnium disciplinarum magistros ordinavit, annuis stipendiis e publico decretis. Cum Romam venisset, omnibus qui ærario aut fisco debebant, æs alienum condonavit, civitatibus pecuniam dedit, et Smyrnam terræmotu afflictam instaurari jussit. Scythicis gentibus demo tumultuantibus, filio maturius quam statuerat, Crispina uxore data, expeditionem suscepit, pecunia ex ærario petita. Omnia enim senatus populique esse diecbat. Barbaris debellatis, decimum imperator est appellatus. Quod si vixisset diutius, loca illa omnia subegisset. Sed obiit, a medicis, ut aiunt, in Commodi gratiam confectus : **597** quem tamen jam moriturus militibus commendavit, ne ab eo interfici videretur. Tribuno tesseram postulanti : *Ad orientem* (inquit) *ito : ego enim jam occido.* Obiit annos LIX natus, diebus XXXVIII minus. Imperio annos XIX et dies XI optime præfuit. Nam cum natura vir bonus esset, doctrina longe melior evasit : neque tamen felicitas virtuti ejus respondit. Quo magis admirandus est, quod in asperrimis et difficillimis rebus et semetipsum et imperium conservavit. Eo imperante, sanctus Polycarpus Smyrnæus pontifex martyrii corona redimitus est : et eloquentia magnus, confessione major, Justinus certamen obiit, cujus multa scripta etiamnum exstant. Octavo anno imperii hujus M. Antonini Veri, Anicetus obit, Ecclesia Romana per annos XI gubernata. Ei successit Soter. Celadione post annos XIV vita functo, Alexandrinus episcopatus Agrippino est traditus. Cornelio Heronis successori, ordine quarto, successit quintus Eros : illi Theophilus sextus, qui scriptis contra Marcionem pugnavit. Ei successit Maximinus VII. Sotere Romanorum pontifice rebus terrenis exempto, in ejus throno collocatus est Eleutherus.

A τὴν ἐξουσίαν ἔξειν. Ὁ δὲ Μάρκος τοὺς στρατιώτας συγκαλεσάμενος, ἐδημηγόρησε, καὶ παρεθάρρυνε σφᾶς πρὸς τὸν πόλεμον. Παρασκευαζομένῳ δὲ νίκαι τε πλεῖσται κατὰ Βαρβάρων διαφόρων ἠγγέλθησαν, καὶ ἡ Κασσίου σφαγή, ὃν ἑκατόνταρχός τις βαδίζοντι προσελθών, ἔτρωσεν αἰφνίδιον, οὐ μέντοι καιρίως, προσκατειργάσατο δὲ τὸν φόνον ὕπαρχος· καὶ ὁ μὲν οὕτως ἀπώλετο, μῆνας τρεῖς καὶ ἡμέρας ἓξ τὴν ἀρχὴν ὀνειρώξας. Καὶ ὁ υἱὸς δὲ αὐτοῦ ἐφονεύθη τυγχάνων ἑτέρωθι. Ὁ δ' αὐτοκράτωρ οὐδένα τῶν ἐκείνῳ συναποστάντων διεχρήσατο· ἀλλ' ἐπιεικῶς ἐχρήσατο ξύμπασι. Καὶ τῇ βουλῇ δὲ ἐπέστειλε μηδένα τῶν Κασσίῳ συναραμένων τεθνάναι· *Μὴ γὰρ γένοιτο*, ἔφη, *μηδένα ὑμῶν δι' ἐμέ, μήτε τῇ ἐμῇ, μήτε τῇ ὑμετέρᾳ ψήφῳ σφαγῆναι. Ἂν δὲ μὴ τούτου τύχω, σπεύσω θανεῖν.* Οὕτω δὴ πάντων καὶ εὐσεβὴς ἐγένετο καὶ χρηστός. Ἐνομοθετήθη δὲ τότε μηδένα τοῦ ἔθνους ἄρχειν, ὅθεν ἐγένετο, ὅτι ὁ Κάσσιος ἐν τῇ Συρίᾳ ἡγεμονεύων, ὅπου καὶ ἡ πατρὶς αὐτοῦ ἦν, ἐνεόχμωσεν. Ἐλθὼν δ' εἰς Ἀθήνας ὁ Μάρκος, τιμάς τε τοῖς Ἀθηναίοις ἔνειμε, καὶ διδασκάλους ἐπὶ πάσης παιδείας ἔταξε, μισθὸν ἐτήσιον ἐκ τοῦ ταμείου κομιζομένους. Ἐς δὲ τὴν Ῥώμην ἐλθών, τοῖς ὀφλουσι τῷ βασιλικῷ ταμείῳ καὶ τῷ δημοσίῳ πᾶσιν ἀφῆκε τὰς ὀφειλάς, πόλεσί τε χρήματα δίδωκε, καὶ τὴν Σμύρναν ὑπὸ σεισμοῦ παθοῦσαν ἀνοικοδομηθῆναι προσέταξεν. Ὡς δ' αὖθις τὰ Σκυθικὰ κεκίνητο, γυναῖκα τῷ υἱῷ θᾶττον ἢ ἐβούλετο Κρισπίναν συνῴκισε, καὶ κατ' αὐτῶν ἐξεστράτευσε, καὶ χρήματα ἐκ τοῦ δημοσίου ᾔτησε. Πάντα γὰρ τῆς βουλῆς καὶ τοῦ δήμου ἔλεγεν εἶναι. Καταπολεμηθέντων δὲ τῶν Βαρβάρων, αὐτοκράτωρ προσηγορεύθη τὸ δέκατον (42). Καὶ εἰ ἔτι ἐζήκει, τὰ ἐκεῖ πάντα ὑπὸ Ῥωμαίους ἂν ἐποιήσατο· ἀλλὰ μετήλλαξε, τῶν ἰατρῶν αὐτὸν κατεργασαμένων, ὡς λέγεται, τῷ Κομόδῳ χαριζομένων. Ἄρτι δὲ θνήσκων τοῦτον τε τοῖς στρατιώταις παρακατέθετο, ἵνα μὴ δοκῇ ὑπ' αὐτοῦ θνήσκειν. Καὶ τῷ Χιλιάρχῳ τὸ σύνθημα αἰτοῦντι, *Πρὸς τὸν ἀνατέλλοντα*, εἶπεν, *ἄπιθι, ἐγὼ γὰρ δύομαι ἤδη.* Ἄριστα οὖν ἄρξας μετήλλαξε, ζήσας μὲν ἔτη πεντήκοντα καὶ ἐννέα, αὐταρχήσας δὲ ἔτη ἐννεακαίδεκα, καὶ ἡμέρας ἕνδεκα. Ἦν γὰρ καὶ φύσει ἀγαθὸς ἀνήρ, πλεῖστα δὲ καὶ ὑπὸ παιδείας βελτίων ἐγένετο. Οὐ μέντοι ἀξίως τῆς ἀρετῆς εὐδαιμόνησεν. Ἐντεῦθεν δὲ μᾶλλον θαυμάσειεν ἄν τις αὐτὸν, ὅτι καὶ ἀλλοκότοις καὶ ἐξαισίοις χρησάμενος πράγμασιν, αὐτός τε περιεγένετο, καὶ τὴν ἀρχὴν διεσώσατο. Τούτου κρατοῦντος, ὁ ἱερὸς Πολύκαρπος ὁ Σμύρνης ἀρχιερεὺς τὸν μαρτυρικὸν ἀνεδήσατο στέφανον· καὶ ὁ μέγας ἐπὶ λόγοις καὶ μείζων ἐν ὁμολογίᾳ Ἰουστῖνος ἐνήθλησεν, οὗ πολλὰ μέχρι τοῦδε συγγράμματα σώζονται. Τῷ δὲ ὀγδόῳ ἔτει τῆς Μάρκου Οὐήρου τοῦ Ἀντωνίνου τούτου ἀρχῆς Ἀνίκητος τελευτᾷ, ἔτη δέκα ἐπὶ ἑνὶ τῆς Ῥωμαίων Ἐκκλησίας προστάς. Καὶ τοῦτον Σωτὴρ διαδέχεται· καὶ

B

C

D

Variæ lectiones et notæ.

(42) Αὐτοκράτωρ τὸ δέκατον. Infra in Commodo : αὐτοκράτωρ τὸ ὄγδοον. Toties quippe imperatores acclamabantur, quoties hostes vicerant, aut certe expeditiones bellicas susceperant.

Κελαδίωνος μετὰ δέκα καὶ τέσσαρα ἔτη τὴν ζωὴν ἐκμετρήσαντος, Ἀγριππῖνος τὴν Ἀλεξανδρέων ἐπισκοπὴν ἐγκεχείριστο (43). Καὶ τῆς Ἀντιοχέων Ἐκκλησίας μετὰ Ἥρωνα Κορνηλίου προστάντος τετάρτου, πέμπτος Ἔρως αὐτὸν διεδέξατο. Κἀκεῖνον ἕκτος Θεόφιλος, ὃς καὶ κατὰ Μαρκίωνος ἐγγράψως ὠκλίσατο· ὃν ἕβδομος διεδέξατο Μάξιμίνος. Τοῦ Ῥωμαίων δὲ ἀρχιερατεύσαντος Σωτῆρος μεταστάντος τῶν γηΐνων, ἀντεισῆκτο Ἐλεύθερος.

Δ'. Κόμοδος δὲ ὁ υἱὸς Ἀντωνίνου Μάρκου, ἄρι- A στα παρὰ τοῦ πατρὸς τραφεὶς τε καὶ ἀναχθείς, οὐ κατὰ τὴν παιδείαν ἀποβεβήκει, ἣνπερ πεπαίδευτο, ἀλλ' ἄκακος μὲν ἦν καὶ πρὸς πανουργίαν ἀπόπειρος· δειλὸς δὲ ὤν, καὶ τοῖς συνοῦσι πειθόμενος δι' ἁπλότητα, τὰ ἤθη τε διεφθάρη καὶ εἰς ἀσέλγειαν καὶ μιαιφονίαν προήχθη, ἐννεακαιδεκάτης τυγχάνων ὅτε τῆς ἐξουσίας ἐκράτησεν. Ὅθεν τὰς συμβουλίας τῶν ἀριστῶν τῆς βουλῆς παρωσάμενος, οὓς ἐπιτρόπους ἐπέστησεν αὐτῷ ὁ πατὴρ, σπένδεται τοῖς Βαρβάροις, καὶ εἰς τὴν Ῥώμην ὑπονοστεῖ, οὔτε πονεῖν ἐθέλων, καὶ ἐρρᾳστωνευμένης ἐρῶν βιοτῆς. Ὅθεν καὶ πλειστάκις ἐπεβουλεύθη, καὶ συχνοὺς ἀπέκτεινεν (44) οὐκ ἄνδρας μόνον, ἀλλὰ καὶ γυναῖκας, καὶ σχεδὸν πάντας τοὺς τότε ἀνθήσαντας, ἀτερ Πομπηϊανοῦ, καὶ Περτίνακος, καὶ Βικτωρίνου, ὥστ' ἄπορον λογίζεσθαι τοῖς ταῦτα συγγραψαμένοις, ὅπως ἐκεῖνοι τὸν φόνον τότε διέφυγον. Εἰσελθόντι δὲ αὐτῷ εἰς τὸ θέατρον τὸ κυνηγετικὸν ἐπεβούλευσε Κλαύδιος Πομπηϊανός (45). Ξίφος γὰρ ἐν τῇ τῆς εἰσόδου ἀνατείνας στενοχωρίᾳ ἔφη· *Τοῦτό σοι πέπομφεν ἡ βουλή.* Ὧ κατηγγύητο μὲν ἡ θυγάτηρ Λουκίλλης, τῆς τοῦ Κομόδου ἐμαίμονος, συνεφθείρετο δὲ καὶ αὐτὴ ἡ Λουκίλλα οὔτ' ἐπιεικεστέρα οὔτε σωφρονεστέρα οὖσα τοῦ ἀδελφοῦ. Διὸ καὶ τὸν Πομπηϊανὸν ἀνέπεισεν ἐπιθέσθαι τῷ Κομόδῳ, καὶ ἐκεῖνον καὶ ἑαυτὴν προσαπώλεσεν. Ἀνεῖλε δὲ καὶ τὴν γυναῖκα Κρισπῖναν ὁ Κόμοδος, μοιχείαν ἐπεγκαλέσας αὐτῇ· καὶ εἴ τις ἕκαστον τῶν ὑπ' ἐκείνου κτανθέντων ἢ διὰ συκοφαντίας ψευδεῖς, ἢ δι' ὑποψίας εἰκαίας, ἢ διὰ πλοῦτον βαθὺν, ἢ διὰ γένους λαμπρότητα, ἢ διὰ παιδείας ὑπεροχὴν, ἢ δι' ἀρετῆς εὐδοκίμησιν ἀκριβώσασθαι τῇ συγγραφῇ βουληθῇ, ὄχλον ἂν παρέξει τοῖς ἐπιέναι τὸ σύγγραμμα μέλλουσιν. Ἐγένοντο δὲ καὶ πόλεμοι αὐταρχοῦντος αὐτοῦ, πρός τε τοὺς ὑπὲρ τὴν Δακνίαν Βαρβάρους καὶ μέγιστος ὁ Βρεττανικὸς, ἐφ' ὃν Μάρκιλλον Οὔλπιον ἔπεμψεν, ἄνδρα ἐγκρατῶς τε ζῶντα καὶ στρατιωτικῶς, ἀδωρότατόν τε καὶ φύσει ἀϋπνότατον, καὶ ἔτι μᾶλλον ἐξ ἐγκρατείας. Ἵνα γὰρ μηδὲ ἄρτου κορέννυται, πολυήμερόν τε καὶ παλαιότατον αὐτὸν ἤσθιεν, ὥστε μηδὲ δύνασθαί τι φαγεῖν τοῦ ἀναγκαίου πάνυ ἐπέκεινα. Οὗτος τοὺς ἐν Βρεττανίᾳ Βαρβάρους ἐκάκωσεν σφόδρα. Ὅθεν διὰ τὴν ἀρετὴν αὐτοῦ ὀλίγου ἀπέκτεινεν ἂν

IV. Commodus vero, M. Antonini filius, optime a patre educatus et institutus, disciplinæ qua eruditus erat non respondit. Sed cum simplex esset, ac minime callidus et timidus, paruit familiaribus suis: corruptisque moribus, ab iis ad luxum et cædes est impulsus, XIX annos natus cum imperio potiretur, principum senatorum, quos ei pater curatores dederat, consiliis repudiatis, pace facta cum Barbaris, tædio laborum et dissolutæ vitæ amore Romam revertitur. Quibus de causis crebris insidiis appetitus, plurimos non viros tantum, sed etiam mulieres, et fere omnes illius ætatis claros homines, Pompeiano, Pertinace et Victorino exceptis, interfecit, ut qui res illas scripserunt, dubitent, quo pacto illi cædem effugerint. Theatrum venatorium ingredienti insidiatus est Claudius Pompeianus, et in aditus angustiis stricto ense dixit: *Hunc tibi senatus misit.* Ei Pompeiano filia Lucillæ sororis Commodi nupta erat, sed et ipsa **598** Lucilla ejus consuetudine utebatur, fratre nihilo humanior aut modestior. Eaque de causa Pompeiano persuaso, ut Commodum aggrederetur, et ipsum et semetipsam perdidit. Sustulit et Crispinam uxorem Commodus ob adulterii crimen. Quod si quis eos omnes quos vel ob falsas criminationes, vel propter inanes suspiciones, vel propter magnas divitias, vel generis splendorem, vel eruditionem excellentem, vel gloriam virtutis interfecit, exquirere studeat, ne is magnam lectoribus molestiam pariet. Bella quoque sub ejus imperio gesta sunt adversus Barbaros qui supra Daciam incolunt, et Britannicum omnium maximum: ad quod Ulpium Marcellum misit, virum et continentis et militaris vitæ, abstinentissimum, nec tam natura quam ex sobrietate vigilantissimum. Nam ut neo pane satiaretur, eo minime recenti, sed ante multos dies cocto vescebatur: ut nihil ultra posset edere, quam summa necessitas postularet. Qui cum Britannos graviter afflixisset, parum abfuit quin ob virtutem a Commodo necaretur. Perennius vero prætorio præfectus, imperatore aurigationibus et luxui vacante, et rempublicam et rem militarem administrare cogebatur. Ac si quid militibus adversi accidebat, id illi iracunde imputabant. Qui igitur in Britannia

Variæ lectiones et notæ.

(43) *Τὴν Ἀλεξανδρέων ἐπισκοπὴν ἐγκεχείριστο.* Ita etiam alter ex Reg. cod. Wolfianus ἀρχὴν prætulit: sed hæc verba aliter habentur in altero Reg. et Colb.: Καὶ Κελαδίωνος μετὰ δέκα καὶ τέσσαρα ἔτη τὴν τῶν Ἀλεξανδρέων Ἐκκλησίαν Ἀγριππῖνος ἐγκεχείριστο.

(44) *Ἀπέκτεινεν.* Domesticas Commodi cædes diversi generis, quas separatim exposuerat Dio, unde sua hausit Zonaras, Xiphilinus in unam periodum congessit.

(45) *Κλαύδιος Πομπηϊανός.* Hunc Quintianum vocat Ammianus, lib. XIX de Commodo: *Adeo ut post intestina pericula multa et varia, alter in amphitheatrali cavea, cum adfuturus spectaculis introiret, a Quintiano senatore, illicitæ cupidinis homine, ad debilitatem pene pugione vulneraretur.* Ita etiam hunc vocat Herodianus. At Lampridius et Xiphilinus Pompeianum cum Zonara nominant. Vide Henr. Valesium ad Marcellin.

militabant, ob motam seditionem objurgati, mille quingentos sui ordinis in Italiam miserunt, quibus Romæ appropinquantibus Commodus obviam profectus : *Qua de causa venitis*, inquit, *commilitones ?* Qui cum respondissent, *eo se adesse, quod Perennius ei insidiaretur*, credidit ille, virumque illis dedidit : a quibus excruciatus interiit, cum magistratum modestissime et integerrime gessisset. Quo amoto, Cæsariani, quorum dux et auctor erat Cleander, nullo facinore abstinuerunt : impune omnia vendentes, et nihil non audentes, quod superbia et libido suasisset. Cleander vero a fortuna in altum sublatus, et donavit et vendidit senatorias dignitates, expeditiones, præfecturas, provincias, omnia denique. Ac nonnulli omnibus suis bonis ordinem senatorium redemerunt : ut de Julio Solone homine obscurissimo diceretur, eum bonis **599** ademptis in curiam relegatum esse. Consules in unum annum XXV designavit, quod nec ante nec post unquam factum est. Itaque pecunia undique colligenda magnas opes est adeptus, de quibus plurima Commodo et ejus concubinis donabat . Nihilosecius tamen in tanto fortunæ fastigio ignominiose periit. Nam cum annonæ penuria Romæ laboraretur, Dionysius Papyrius rei frumentariæ præfectus, eam magis coarctavit : ut Cleander, tanquam ob furta malorum auctor et invisus populo, facilius interiret. Ludis igitur Circensibus cum equi jam excursuri essent, multitudo puerorum in circum accurrit, quos magna quædam virgo torvo vultu ducebat, quæ dea postmodum credita est : ortoque a pueris clamore, populus etiam vociferans ad Commodum in suburbio agentem contendit, ac illi beneprecatus, Cleandro diras est imprecatus. Imperator vero satellites contra eos misit, qui cum nonnullis vulneratis, nonnullis occisis, populum repellere non possent : multitudine et robore militum fretus, ipse prodiit. Sed cum turbam appropinquantem vidisset, homo ignavissimus ita pertimuit, ut Cleandrum et filium ejus statim occidi juberet. Puer igitur limini illisus periit. Cleandri vero corpus Romani excarnificatum traxerunt, et caput ejus hastæ affixum circumtulerunt. Sunt et aliquot alii palatini proceres interfecti.

τὸν ἄνδρα ὁ Κόμοδος. Περέννιος δὲ ὁ τοῦ Δορυφορικοῦ ἄρχων, τοῦ Κομόδου ἁρματηλασίαις καὶ ἀσελγείαις ἐσχολακότος, ἠναγκάζετο τά τε στρατιωτικὰ, καὶ τὰ τοῦ κοινοῦ διοικεῖν. Εἴ τι γοῦν τοῖς στρατιώταις ἁπήντα που δυσχερὲς, ἐπ' ἐκεῖνον τοῦτο ἀνέφερον, καὶ ἐμηνίων αὐτῷ. Οἱ ἐν Βρεττανίᾳ τοίνυν στρατιῶται στασιάζοντες, καὶ διὰ τοῦτο ἐπιτιμηθέντες, χιλίους ἐπὶ πεντακοσίοις ἐξ ἑαυτῶν εἰς τὴν Ἰταλίαν ἔπεμψαν, οἷς τῇ Ῥώμῃ πλησιάσασιν ὁ Κόμοδος προϋπήντησε καὶ εἶπεν, *Ὦ συστρατιῶται, τί βουλόμενοι πάρεστε ;* οἱ δὲ, *Ἥκομεν*, ἔφασαν, *ἐπεί σοι ἐπιβουλεύει Περέννιος* · καὶ ὃς ἐπείσθη, καὶ τὸν ἄνδρα ἐξέδωκεν. Καὶ οἱ στρατιῶται αὐτὸν καὶ ἡκίσαντο καὶ κατέκοψαν, διαγαγόντα τὴν ἀρχὴν ἀδωρότατά τε καὶ σωφρονέστατα. Οὗπερ ἀπαλλάγοντες οἱ Κατσάρειοι, ὧν ὁ Κλέανδρος χρυσοφοριώτατος ἐτύγχανεν ὤν, ἅπαν ἕδρων χείριστον ἀδεῶς · πάντα γὰρ ἐπώλουν, καὶ ὕβριζον καὶ ἠσέλγαινον. Ὁ δὲ Κλέανδρος μέγα ὑπὸ τῆς τύχης ἀρθεὶς, καὶ ἐχαρίσατο, καὶ ἐπώλησε βουλείας (46), στρατείας, ἐπιτροπείας, ἡγεμονίας, καὶ ἁπλῶς ξύμπαντα, καί τινες πάντων ὧν εἶχον τὸ βουλευταὶ γενέσθαι ἐπρίαντο · ὥστε καὶ λεχθῆναι ἐπὶ Ἰουλίῳ Σόλωνι ἀφανεστάτῳ ἀνδρὶ, ὅτι τὴν οὐσίαν ἀφαιρεθεὶς, ἐξωρίσθη εἰς τὸ Συνέδριον. Καὶ ὑπάτους εἰ; ἕνα ἐνιαυτὸν εἴκοσι καὶ πέντε ἀπέδειξεν, ὃ μήτε πρότερον μήτε ποτὲ ὕστερον ἐγένετο. Πάντοθεν οὖν ἀργυρολογῶν ἐκτήσατο πάμπολλα, ἀφ' ὧν πλεῖστα τῷ τε Κομόδῳ ἐδίδου καὶ ταῖς αὐτοῦ παλλακαῖς · καίτοι ὣδ' οὕτως ὑπὸ τῆς τύχης ἀρθεὶς, ἀτίμως ἀπώλετο. Σιτοδείας γὰρ ἐν Ῥώμῃ συμβάσης, πλέον αὐτὴν Παπείριος Διονύσιος ἐπὶ τοῦ σίτου τεταγμένος ἐπέτεινεν, ὡς ἂν τὸν Κλέανδρον οἱ Ῥωμαῖοι μισήσωσί τε καὶ διαφθείρωσιν, ὡς αἴτιον τοῦ κακοῦ διὰ κλέμματα. Ἦγετο τοίνυν ἱπποδρομία · τῶν δ' ἵππων ἀγωνιεῖσθαι μελλόντων εἰσέδραμε παιδίων πλῆθος εἰς τὸν ἱππόδρομον · καὶ τῶν παρθένος τις ἡγεῖτο μεγάλη καὶ βλοσυρὰ, ἢ δαίμων ἐς ὕστερον ἐνομίσθη (47) · καὶ συνεβόησαν μὲν τὰ παιδία, καὶ ὁ δῆμος ἐκ τούτου ἐξέκραγε, καὶ ὥρμησε πρὸς τὸν Κόμοδον ἐν προαστείῳ ὄντα, ἐκείνου μὲν ὑπερευχόμενος, τοῦ Κλεάνδρου δὲ κατευχόμενος. Ὁ δὲ στρατιώτας ἔπεμψεν ἐπ' αὐτοὺς, οἳ καὶ ἔτρωσάν τινας καὶ ἀπέκτειναν, ἄνειρξαι δὲ τὸν δῆμον οὐκ ἴσχυσαν. Ἀλλὰ τῷ πλήθει θαρρῶν καὶ τῇ τῶν δορυφόρων ἰσχύϊ ἐκεῖνος ἠπείχθη. Πλησιαζόντων δὲ οὕτως ὁ Κόμοδος ἔδεισε, δειλότατος ὤν, ὡς αὐτίκα τόν τε Κλέανδρον καὶ τὸ παιδίον αὐτοῦ σφαγῆναι κελεῦσαι · τὸ μὲν οὖν παιδίον προσουδισθὲν διεφθάρη. Τὸ δὲ τοῦ Κλεάνδρου σῶμα λαβόντες οἱ Ῥωμαῖοι, ἔσυραν καὶ ἠκίσαντο. Καὶ ἡ κεφαλὴ αὐτοῦ ἐπὶ δόρατος περιενήνεκτο, καὶ τινας ἑτέρους τῶν παρὰ τῷ αὐτοκράτορι δυναμένων διέφθειραν.

V. Commodus vero ad cædes incitatus, viros illustres occidebat : et in omnes Romanos sævissimus, ea sibi tribui cogebat, quæ patri ejus ultro ex benevolentia delata fuerant. Igitur præter

Ε'. Κόμοδος δὲ ἐφόνα, καὶ τοὺς ἐπιφανεῖς ἄνδρας διεχειρίζετο, καὶ ἦν Ῥωμαίοις ἅπασι χαλεπώτατος, ἀναγκάζων αὐτῷ ἐξ ἀνάγκης ψηφίζεσθαι, ὅσα τῷ πατρὶ αὐτοῦ ἐκόντες δι' εὔνοιαν ἐψηφίζοντο· ἄλλα

Variæ lectiones et notæ.

(46) *Βουλείας*. *Senatum* vertit interpres : malim *senatorias dignitates*, atque ita reposui, quod et quæ mox sequuntur satis suadent, καί τινες πάντων ὧν εἶχον τὸ βουλευταὶ γενέσθαι ἐπρίαντο.

(47) *Ἡ δαίμων ἐς ὕστερον ἐνομίσθη*. Ita etiam Reg. et Colb. mss, ubi alter Wolfianus codex. ἢ δαίμων, ὡς ὕστερον ἐνομίσθη, *sive dea, ut postmodum est creditum.*

τε οὖν αὐτῷ πάμπολλα ἐψηφίσθησαν, καὶ χρυσοῦς ἀνδριὰς σταθμοῦ λιτρῶν χιλίων, καὶ τοὺς μῆνας ἅπαντας ἀπ' αὐτοῦ κεκλῆσθαι τεθέσπικε, καὶ κατηρίθμητο οὕτως· Ἀμαζόνιος (48), Ἀνίκητος, Εὐτυχής, Εὐσεβής, Λούκιος, Αἴλιος, Αὐρήλιος, Κόμοδος, Αὔγουστος, Ἡράκλειος, Ῥωμαῖος, Ὑπεραίρων. Πάντα γὰρ ταῦτα ἑαυτῷ ἐπέγραφε τὰ ὀνόματα, καὶ τῇ βουλῇ οὕτως ἐπέστελλεν· *Αὐτοκράτωρ Καῖσαρ Λούκιος Αἴλιος Αὐρήλιος, Κόμοδος, Αὔγουστος, εὐτυχής, εὐσεβής, ἀνίκητος, Ῥωμαῖος, Ἡρακλῆς, ἀρχιερεύς, δημαρχικῆς ἐξουσίας τὸ ὀκτωκαιδέκατον, αὐτοκράτωρ τὸ ἕβδομον, ὕπατος τὸ ἕβδομον, Πατὴρ πατρίδος, ὑπάτοις, στρατηγοῖς, δημαρχικοῖς, γερουσίᾳ Κομοδιανῇ εὐτυχεῖ, χαίρειν.* Καὶ πολλοὺς ἔστησαν αὐτῷ ἀνδριάντας ἐν Ἡρακλέους σχήματι, καὶ τὸν αἰῶνα τὸν κατ' αὐτὸν ἀπ' αὐτοῦ Χρυσοῦν ὀνομάζεσθαι καὶ γράφεσθαι ἐψηφίσθη. Ἐκαλεῖτο γὰρ πρὸς τοῖς ἄλλοις ὀνόμασι καὶ Χρυσοῦς καὶ Θεός. Πολλὰ δὲ δαπανῶντι ἐπέλιπε τὰ χρήματα, ὅθεν ἐγκλήματα καὶ ἀνδράσιν ἐπιφέρων καὶ γυναιξίν, οὓς μὲν ἐφόνευεν, οἷς δὲ τὴν σωτηρίαν τῆς αὐτῶν οὐσίας ἐπίπρασκεν. Ἡρματηλάτου δὲ οἶκοι (δημοσίᾳ γὰρ ᾔδειτο τοῦτο ποιῆσαι) καὶ ἐμονομάχει. οἶκοι μὲν μέχρι φόνου, ἐν δέ γε τῷ θεάτρῳ ἀσδήρου, καὶ αἵματος ἀνθρωπίνου χωρίς. Οἶκοι δὲ τινῶν τὰς τρίχας ξυρῶν τῶν μὲν τὰς ῥῖνας ἀπέτεμνε, τῶν δὲ τὰ ὦτα, ἐνίων δ' ἕτερόν τι· εἰσιὼν δ' ἐς τὸ θέατρον τῷ τοῦ Ἑρμοῦ ἐκέχρητο σχήματι, χρυσοῦν κηρύκιον μεταχειριζόμενος. Ἐφρόνει δὲ μέγα, καὶ ὅτι ἦν ἐπαρίστερος. Κάμνον δ' ἐν τῷ ἀγωνίζεσθαι ἔπινε, καὶ οἱ τῆς βουλῆς καὶ οἱ τῶν ἱππέων παρόντες, *Ζήσειας, ἐξεβόων, καὶ, Κύριος εἶ, καὶ, Πρῶτος εἶ, καὶ, Πάντων εὐτυχεστάτας νίκας νικήσεις, καὶ, Ἀμαζόνιε, νικᾷς,* κράζειν συνεχῶς ἐκελεύοντο. Τοὺς δὲ ποδῶν ἐστερημένους ἢ τούτους πεπηρωμένους ἐκ νόσου ἢ συμφορᾶς ἀθρόσας ποτὲ, καὶ δρακόντων εἶδη αὐτοῖς περιπλέξας περὶ τὰ γόνατα, οἷα γίγαντας, ὡς Ἡρακλῆς ῥοπάλῳ παίων ἀπέκτεινε. Μέλλων δ' αὖθις μονομαχῆσαι, ἐνετείλατο τοῖς ἱππεῦσι καὶ τῇ βουλῇ, ἐν τῇ στολῇ τῇ ἱππάδι καὶ τοῖς μανδύαις εἰς τὸ θέατρον εἰσελθεῖν· ὃ οὐκ εἴθιστο γίνεσθαι, εἰ μή τις αὐτοκράτωρ ἔτυχε τεθνηκώς. Καὶ τὸ κράνος δ' αὐτοῦ τῇ τελευταίᾳ τῶν ἀγώνων ἡμέρᾳ διὰ τῶν πυλῶν ἐξεκομίσθη, δι' ὧν οἱ τελευτῶντες ἐξεφέροντο. Καὶ ταῦτα τεκμήρια τοῦ μέλλειν ἤδη ἀπαλλαγήσεσθαι τῆς αὐτοῦ τυραννίδος ἅπασιν ἔδοξε, καὶ τοῦτο μετ' ὀλίγον ἐγένετο. Αἰμίλιος γὰρ Λαῖτος ὁ ἔπαρχος, καὶ πρόκοιτος ἔκλεκτος, τοῖς ὑπ' αὐτοῦ γινομένοις ἀχθόμενοι μὴ ταῦτα ποιεῖν παρῄνουν αὐτῷ. Ὁ δὲ ἠπείλει σφίσι, καὶ ἐμαίνετο· κἀκεῖνοι δείσαντες, ἐπεβούλευσαν αὐτῷ, δόντες ἐν βοείοις κρέασι φάρμακον. Μὴ ταχέως δὲ τῷ φαρμάκῳ κατεργασθέντα, ἀλλὰ καὶ ἐξημεκότα, ὑποτοπήσαντά τε τὸ γεγονὸς καὶ ἀπειλοῦντα, ἀπέπνιξαν αὐτὸν διά τινος Ναρκίσσου λουόμενον, ἔτη δώδεκα καὶ μῆνας ἐννέα,

alia plurima, statua aurea mille pondo librarum ei decreta est, et omnes menses de se nominari jussit, qui hoc ordine numerabantur: Amazonius, Invictus, Felix, Pius, Lucius, Ælius, Aurelius, Commodus, Augustus, Herculanus, Romanus, Excellens. Nam hæc sibi nomina omnia vindicabat. Itaque ad senatum scribebat: *Imperator Caesar Lucius Ælius, Aurelius, Commodus, Augustus, Felix, Pius, Invictus, Romanus, Hercules, Pontifex, tribuniliæ potestatis* XVIII, *imperator* VIII, *consul* VII, *pater patriæ: consulibus, prætoribus, tribunis, senatui Commodiano felici salutem.* **600** Multas ei quoque statuas Herculis habitu erexerunt. Est et decretum, ut ejus sæculum ab eo aureum sæculum diceretur. Nam præter alia nomina etiam Aureus et Deus vocabatur. Cum autem sumptibus immodicis fiscum exhausisset, viros et mulieres criminando, alios occidit, alios salutem suam omnibus bonis redimere passus est. Aurigabat domi: nam id in publico facere verebatur. Pugnabat domi usque ad cædes: in theatro vero, sine ferro et sanguine humano. Domi quoque capillis quorumdam radendis, aliis nasos præcidebat, aliis aures, aliis aliud membrum. Theatrum Mercurii habitu ingrediebatur, aureum caduceum manu versans. Magnæ sibi laudi ducebat, quod sæva esset. Certando fessus potabat, senatu et equestri ordine acclamantibus: *Vivas, dominus es, primus es, victoriis omnium faustissimis potieris.* Item, *Amazonie, vincis*, subinde clamare jubebantur. Aliquando pedibus mutilatos, aut ex morbo aliove casu claudos coegit, et draconum formis ad eorum genua annexis, miseros tanquam Hercules pro gigantibus clava occidit. Denuo cum gladiatoribus pugnaturus, equitibus et senatui mandavit ut habitu equestri et penulati theatrum ingrederentur, quod nonnisi mortuo imperatore fieri solebat: et galea ejus in extremo die ludorum per eam portam est elata, qua mortui efferebantur. Quæ omnibus liberationem ab ejus tyrannide brevi portendere videbantur, idque paulo post accidit. Nam Æmilius Lætus præfectus, et Electus cubicularius, cum eum factis illis offensi, monuissent ut desisteret: iracundiam et minas illius metuentes, in bubulis carnibus venenum ei præbuerunt. Quod cum, ut parum efficax, evomuisset: ac quid actum esset, suspicatus, minas spiraret: lavantem a Narcisso quodam occidendum curaverunt, annos XII, menses IX, dies XIV, rerum potitum; natum annos XXXI et menses IV. In quo germana Aureliorum familia imperare desiit. Primo anno ejus imperii, Juliano Alexandrinus episcopatus est traditus, Agrippino XII gubernationis anno defuncto. Tum quoque Clemens Contextor floruit, et Pantænus Philosophus arcanorum nostrorum se-

Variæ lectiones et notæ.

(48) Ἀμαζόνιος. Ex Dione hausit Zonaras, cujus mensium Commodianorum ordinem et significationem pluribus expendit Salmasius ad Lampridium, p. 119.

etator **601** et præco. De Hierosolymis supra narravimus, illam Ecclesiam post circumcisos a Marco esse gubernatam, urbe ab Adriano instaurata, et a gentilibus habitata. Ei successit Cassianus, huic Publius, Publio Julianus, Juliano Caius, Caio Symmachus, Symmacho alter Caius, Caio alter Julianus, Juliano Capito, Capitoni Valens, Valenti Dolichianus: post quos omnes Narcissus, tricesimus ab apostolis Hierosolymorum episcopus fuit. Decimo anno imperii Commodi Eleuthero, Romani episcopatus anno decimo tertio, defuncto, Victor cœtui fidelium præfuit. Juliano post decimum annum episcopatus Alexandrini mortuo, id munus Demetrio est commissum. In Antiochena Ecclesia Serapio post Maximinum Christianorum pastor fuit, octavus ab apostolis pontifex. Tunc Apollonius Philosophus inclyta doctrinæ fama, senatus Romani decreto condemnatus, per martyrium in æterna tabernacula migravit.

καὶ ἡμέρας τεσσαρεσκαίδεκα μοναρχήσαντα, βεβιωκότα δὲ τριάκοντα ἐνιαυτοὺς ἐφ' ἑνὶ, καὶ μῆνας τέσσαρας, εἰς ὃν ἡ οἰκία τῶν ὡς ἀληθῶς Αὐρηλίων τῆς αὐταρχίας Κομόδου Ἰουλιανὸς τὴν ἐπισκοπὴν Ἀλεξανδρείας ἐνεχειρίσθη, Ἀγριππίνου ἐπὶ δώδεκα ἔτη ταύτην οἰκονομήσαντος, καὶ μεταστάντος τῶν τῇδε. Τότε καὶ Κλήμης ὁ Στρωματεὺς ἐγνωρίζετο, καὶ Πανταῖνος ὁ φιλόσοφος σπουδαστής τε καὶ κῆρυξ τοῦ καθ' ἡμᾶς μυστηρίου. Ἀνωτέρω δὲ τῆς Ἱεροσολύμων Ἐκκλησίας ὁ λόγος ἱστόρησε Μάρκον μετὰ τοὺς ἐκ περιτομῆς καθηγήσασθαι τῆς πόλεως; παρὰ τοῦ αὐτοκράτορος ἀνοικοδομηθείσης Ἀδριανοῦ συνοικισθείσης τε ἐξ ἐθνῶν. Ὃν Κασσιανὸς διεδέξατο, καὶ τοῦτον Πούπλιος, καὶ Πούπλιον Ἰουλιανὸς, κἀκεῖνον Γαῖος, καὶ Γαΐον Σύμμαχος. Ὁ δ' ἐφ' ἑτέρῳ Γαΐῳ μετήλλαξε τὴν ζωήν. Εἶθ' ἕτερος Ἰουλιανὸς τὴν ἐπισκοπὴν διεδέξατο, καὶ τούτου διάδοχος Καπίτων ἐγένετο, καὶ Οὐάλης Καπίτωνος, Οὐάλεντος δὲ καὶ Δολιχιανὸς, καὶ ἐπὶ πᾶσι Νάρκισσος τριακοστὸς ἐπίσκοπος τῶν Ἱεροσολύμων ἀπὸ τῶν ἀποστόλων ἐγένετο. Δεκάτῳ δ' ἔτει τῆς Κομόδου ἀρχῆς Ἐλεύθερος ὁ τῶν Ῥωμαίων Ἐκκλησίας ἐπισκοπήσας ἐπ' ἔτη τρισκαίδεκα τῶν τῇδε μετέστη, καὶ Βίκτωρ τῶν ἐκεῖ προέστη πιστῶν. Καὶ Ἰουλιανοῦ ἐπὶ δέκατον ἔτος τὴν Ἀλεξανδρέων Ἐκκλησίαν ἰθύναντος, καὶ τὸ χρεὼν λειτουργήσαντος, Δημήτριος τὸ ἐπισκοπῆς ἐνεχειρίσθη λειτούργημα. Ἐν δὲ τῇ Ἀντιοχέων Ἐκκλησίᾳ μετὰ Μαξιμῖνον Σαραπίων ἐπεσκόπτει τοὺς χριστωνύμους, ὄγδοος ἀρχιερεὺς ἀπὸ τῶν ἀποστόλων γενόμενος. Τότε καὶ Ἀπωλλώνιος, ἀνὴρ ἐπὶ παιδείᾳ καὶ φιλοσοφίᾳ βεβοημένος, μαρτυρικῷ τέλει ἐν Ῥώμῃ δόγματι τῆς συγκλήτου πρὸς τὰς αἰωνίους μετέστη σκηνάς.

VI. Commodus, imperio ad hunc modum perdito, ut expositum est, ipse quoque periit. Electus vero et Lætus ad Pertinacem, ob virtutem et dignitatem viri, principatum detulerunt: qui, exploratæ Commodi morte, suscepto imperio in castra venit, militumque favore et Læti præsentia et magnis pollicitationibus conciliato, curiam ingressus, *se a legionibus appellatum esse imperatorem, sed propter ætatem et imbecillitatem et rerum difficultatem cedere imperio*, dixit. Cum vero a senatu quoque laudaretur et probaretur, imperator declaratus est: Commodus vero hostis judicatus, et a senatu populoque contumeliis affectus est. Ac revulsis ejus statuis, in animo habebant cadaver etiam per vicos raptare: sed cum id Pertinax jam sepultum esse dixisset, ea re omissa, Commodum nefarium, tyrannum, aurigam, gladiatorem, et pluribus aliis nominibus appellarunt. Pertinax Afer ex Alba Pompeia, patre haud nobili, natus, tribunus equitum fuit, aditu facilis, haud gravatim audiebat, et respondebat quæ videbantur. Potitus imperio, præter alios titulos etiam princeps senatus veteri more dictus est. Prava instituta, sua cura et providentia **602** correxit, atque in melius mutavit: per injuriam cæsos ignominia exemit. Cum autem pecuniæ tanta inopia in palatio esset, ut in fisco non amplius ccc. millia drachmarum invenirentur: ægre ex statuis, armis, domestico instrumento et deliciis Commodi tantum coegit, ut militi solveret quæ promiserat, et populo centenas drachmas distribueret. Ea enim omnia quibus Commodus ad delicias, compositiones gladiatorum, et auri-

ς'. Ὁ μὲν οὖν Κόμοδος τὰ τῆς ἀρχῆς διαφθείρας, ὡς εἴρηται, κἀκεῖνο διέφθαρτο. Οἱ δὲ περὶ τὸν Ἔκλεκτον καὶ τὸν Λαῖτον τὸν Περτίνακα εἰς τὴν αὐταρχίαν διὰ τὴν ἀρετὴν καὶ τὸ ἀξίωμα αὐτοῦ ἐπελέξαντο. Ὁ δὲ, ὅτι τέθνηκε Κόμοδος ἀκριβωσάμενος, ἐδέξατο τὴν ἀρχὴν, καὶ εἰσῆλθεν εἰς τὸ στρατόπεδον, καὶ τῇ τε παρουσίᾳ τοῦ Λαίτου καὶ ἀδραῖς ὑποσχέσεσι τοὺς στρατιώτας προσεποιήσατο. Εἶτα εἰς τὸ συνέδριον ἀφικόμενος, εἶπεν ὅτι *Ὠνόμασμαι ὑπὸ τῆς στρατιᾶς αὐτοκράτωρ, ἐξίσταμαι δὲ τῆς ἀρχῆς διά τε τὴν ἡλικίαν καὶ ἀῤῥωστίαν, καὶ τὴν τῶν πραγμάτων δυσχέρειαν.* Ὡς δὲ καὶ παρὰ τῆς βουλῆς καὶ ἐπῃνεῖτο καὶ ᾑρεῖτο, ὁ μὲν αὐτοκράτωρ ἀπεδείχθη, ὁ δὲ Κόμοδος ἐψηφίσθη πολέμιος. Καὶ ἡ βουλὴ καὶ ὁ δῆμος εἰς ἐκεῖνον ἐξύβριζον, καὶ τὰς εἰκόνας αὐτοῦ κατέσπων. Ἤθελον δὲ καὶ τὸ σῶμα αὐτοῦ διασῦραι καὶ διασπάσαι· εἰπόντος δὲ τοῦ Περτίνακος, ἤδη τῇ γῇ κεκρύφθαι αὐτὸ, τοῦ μὲν ἀπέσχοντο, ἀλιτήριον δὲ καὶ τύραννον ἀπεκάλουν αὐτὸν, καὶ ἁρματηλάτην, καὶ μονομάχον, καὶ πλείω ἕτερα. Λίβους δ' ἦν ὁ Περτίναξ ἐξ Ἄλβης Πομπείας, πατρὸς οὐκ εὐγενοῦς, ἐν τοῖς ἱππεῦσι χιλιαρχήσας. Ἦν δ' εὐπροσήγορος, ἥκουέ τε ἑτοίμως καὶ ἀπεκρίνατο ὅσα οἱ ἐδόκει. Οὕτω μὲν ὁ Περτίναξ τῆς ἀρχῆς ἐπελάβετο. Καὶ πρὸς ταῖς ἄλλαις ἐπικλήσεσι καὶ πρόκριτος τῆς γερουσίας κατὰ τὸ ἀρχαῖον ἐπωνομάσθη. Ὅσα γοῦν διέκειτο πλημμελῶς πρὸς τὸ κόσμον μετεσκεύαστο οἰκονομίᾳ καὶ προνοίᾳ τοῦ αὐτοκράτορος, καὶ ἡ ἀτιμία τῶν ἀδίκως πεφονευμένων ἐλύθη παρ' αὐτοῦ. Τοσαύτη δὲ χρημάτων ἔνδεια κατὰ τὸ βασίλειον ἦν, ὡς πέντε καὶ εἴκοσι μυριάδας δραχμῶν εὑρεθῆναι μόνας. Μόλις δ' οὖν ὁ Περτίναξ ἐξ ἀνδριάντων, καὶ ὅπλων, καὶ ἐπίπλων, καὶ τῶν

τοῦ Κομόδου παιδικῶν ἀθροίσας ἀργύριον, τοῖς τε δορυφόροις ἃ ὑπέσχετο ἔδωκε, καὶ τῷ δήμῳ κατ' ἑκατὸν δραχμάς. Ὅσοις γὰρ ὁ Κόμοδος ἐς τρυφὴν καὶ ἐς ὁπλομαχίαν καὶ ἁρματηλασίαν ἐχέχρητο, ξύμπαντα προὐτέθειτο εἰς τὸ πωλητήριον. Ὁ δὲ Λαῖτος εὐφήμει μὲν τὸν Περτίνακα, τὸν δὲ Κόμοδον ὕβριζε. Καί τινας Βαρβάρους χρύσιον παρ' ἐκείνου κομισαμένους ἐπ' εἰρήνῃ πολὺ, ἔτι τυγχάνοντας ἐν ὁδῷ μετεπέμψατο, καὶ τὸ χρυσίον ἀφείλετο, φράσαι τε τοῖς οἴκοι φήσας ὅτι *Περτίναξ ἄρχει* (ᾔδεσαν γὰρ τὸ ὄνομα τοῦ ἀνδρὸς ἐξ ὧν ἐπεπόνθεισαν), καὶ ἄλλα δὲ τοιαῦτα ἐπὶ διαβολῇ τοῦ Κομόδου ὁ Λαῖτος ἐποίησεν. Ἀλλ' οὐκ ἐπὶ μακρὸν οὗτος ἔμεινε πιστὸς τῷ Περτίνακι. Ὧν γὰρ ἐμέμνητο μὴ τυγχάνων, τοὺς στρατιώτας παρέθηξε κατ' αὐτοῦ. Οἱ δὲ ἁρπαγῶν εἰργόμενοι παρ' αὐτοῦ, ἐμίσουν αὐτὸν, καὶ ἐπεβούλευον σὺν τῷ Λαίτῳ. Διὰ τὸν ὕπατον Φάλκωνα γένει καὶ πλούτῳ λαμπρυνόμενον αὐτοκράτορα ποιῆσαι συνέθεντο· ὃ μαθὼν ὁ Περτίναξ ἐς θάλασσαν διατρίβων διὰ τὴν τοῦ σίτου παρασκευήν, εἰς τὴν πόλιν ἠπείχθη, καὶ εἰς τὴν βουλὴν παρελθὼν διελέχθη. Μελλόντων δὲ τῶν βουλευτῶν καταψηφιεῖσθαι τοῦ Φάλκωνος, ὁ Περτίναξ ἀναχραγὼν, *Μὴ γένοιτο*, ἔφη, *τινὰ βουλευτὴν ἐμοῦ ἄρχοντος μηδὲ δικαίως θανατωθῆναι!* Ὁ δὲ Λαῖτος τινὰς τῶν στρατιωτῶν ὡς ἐκείνου κελεύοντος ἔφθειρε· φοβηθέντες δὲ οἱ λοιποὶ ἐθορύβησαν. Διακόσιοι δὲ οἱ θρασύτεροι ἡρκότες τὰ ξίφη, πρὸς τὸ παλάτιον ὥρμησαν. Ὡς δ' ἐντὸς ἐγένοντο, ἡ γυνὴ αὐτῷ τὴν τούτων παρουσίαν ἐμηνύσεν· ὁ δὲ, καίτοι δυνάμενος ἀντιστῆναι καὶ διαφθεῖραι αὐτοὺς τῇ τε φυλακῇ τῇ νυκτερινῇ καὶ τοῖς ἱππεῦσιν, οὔτε τοῦτ' ἐποίησεν, οὔτε κρυβῆναι καὶ διαφυγεῖν ἠρετίσατο· ἀλλ' ἐλπίσας ἴσως καταπλήξειν αὐτοὺς ὀφθεὶς καὶ πείσειν διαλεχθεὶς, ἀπήντησε προσιοῦσιν. Οἱ δὲ τὸ μὲν πρῶτον σιδοῖ ὑπεστάλησαν, καὶ τοῖς κουλεοῖς τὰ ξίφη ἐνέθεντο. Ὡς δ' εἷς αὐτῶν προπηδήσας, Τοῦτό σοι, ἔφη, τὸ ξίφος δείξας, οἱ στρατιῶται πεπόμφασι, καὶ αὐτὸν ἔπληξε, καὶ οἱ ἄλλοι συνεκινήθησαν, καὶ κατέκοψαν αὐτόν τε τὸν αὐτοκράτορα, καὶ τὸν Ἔκλεκτον. Εἶτα τὴν τοῦ Περτίνακος κεφαλὴν δόρατι περιπείραντες περιῆγον, τῷ ἔργῳ ἐλλαμπρυνόμενοι. Ἔβιω δὲ ὁ ἀνὴρ ἔτη ἑπτὰ καὶ ἑξήκοντα δέοντα τεσσάρων μηνῶν, ἄρξας μόνας ἡμέρας ὀγδοήκοντα καὶ ἑπτά.

A gationes usus fuerat, Pertinax in foro vendidit. Lætus vero et Pertinacem laudabat, et Commodum proscindebat : et Barbaros aliquot ex via revocatos, qui magnam pecuniam a Commodo servandæ pacis ergo acceperant, erepto auro suis popularibus nuntiare jussit : *Pertinacem imperare*, cujus illi nomen suis cladibus didicerant. Hæc et alia traducendi Commodi causa Lætus fecit, sed Pertinaci fidem non diu servavit. Cum enim votorum non compos fieret, milites rapinis assuetos, et Pertinaci, quod iis prohiberentur, infensos, ad insidias ei faciendas impulit. Itaque Falconem consulem, virum et genere et opibus illustrem, imperatorem designare statuerunt. Quo Pertinax cognito, quod annonæ parandæ causa ad mare B agebat, propere in urbem profectus, et curiam ingressus, orationem habuit, senatuque Falconem damnaturo, exclamavit : *Absit ut me imperante ullus senator vel jure condemnetur.* Lætus vero militibus aliquot, quasi ab imperatore jussus, occisis, effecit ut cæteri sibi metuentes tumultuarentur, et cc audacissimi strictis ensibus ad palatium contenderent. Quos cum uxor adesse Pertinaci nuntiasset, ille quamvis resistere, eosque per nocturnas excubias et equites occidere posset, tamen nec hoc fecit, nec se occultare aut effugere voluit. Sed spe forsitan concepta, se conspectu suo illos territurum, et oratione sedaturum, accedentibus obviam ivit. Illi vero primum verecundia ducti, C gladios vaginis condiderunt. Deinde cum unus stricto gladio prosiluisset, eumque percussisset, eum gladium illi a militibus missum esse dicens : etiam cæteri concitati, et ipsum imperatorem et Electum occiderunt. Deinde Pertinacis caput hastæ affixum, **603** quasi re bene gesta, circumtulerunt. Vixit hic vir annos LXVII, quatuor mensibus demptis, dies non amplius LXXXVII imperavit.

Ζ'. Διαγγελθείσης δὲ τῆς σφαγῆς τοῦ Περτίνακος, Σουλπικιανὸς σταλεὶς εἰς τὸ στρατόπεδον παρ' ἐκείνου, ἵνα τὰ ἐκεῖ καταστήσηται, ἔμεινεν ἐν αὐτῷ, καὶ ἔπραττεν ὅπως ἂν αὐτοκράτωρ ἀποδειχθῇ. Κάν τούτῳ Ἰουλιανὸς ὁ Δίδιος χρηματιστής τε καὶ ἄπληστος, νεωτέρων ἀεὶ πραγμάτων ἐπιθυμῶν, καὶ πρὸς τοῦ Κομόδου διὰ τοῦτο εἰς Μεδιόλανα (49) τὴν ἑαυτοῦ πατρίδα ἐξελαθεὶς, μαθὼν τὴν τελευτὴν τοῦ Περτίνακος, σπεύσας εἰς τὸ στρατόπεδον παρεγένετο, καὶ πρὸς ταῖς πύλαις ἐκτὸς, ὁ μὲν ἔξωθεν, ὁ δὲ Σουλπίκιος (50) ἔσωθεν, τὴν Ῥώμην, καὶ τὴν τῶν Μεδιολάνων. Vide Scaliger. ad Eusebium, p. 233.

D VII. Nuntiata Pertinacis cæde, Sulpicianus ab illo in castra, tumultus sedandi causa, missus, ibi mansit : operamque dedit, ut imperator crearetur. Interea Didius Julianus, homo inexplebilis avaritiæ, novis rebus subinde studens, eaque de causa Mediolanum in patriam suam a Commodo relegatus, Pertinacis obitu cognito, festinanter in castra venit. Ibi ad portam, hoc extra, Sulpiciano intra stante, quibusdam Romam et imperium emendum esse affirmantibus, et utrique dicentibus : *Hic tantum dat, ille tantum; quantum tu*

Variæ lectiones et notæ.

(49) *Μεδιόλανα.* Ita infra semel ac iterum, et Symeon Logotheta in Chron. ms. Dio et Xiphilinus Μεδιόλανον, *Mediolanum*, apud Mariam Aventicensem. Balsamon ad can. 61 concilii Carthag. παρὰ

(50) *Σουλπίκιος.* Ita tres mss. qui mox, ut et Dioni, *Sulpicianus* nuncupatur.

aliis? Julianus tamen cum multam pecuniam promisisset, est prælatus, timentibus militibus, ne Sulpicianus Pertinacis soceri necem ulciscerctur. Julianus vero in castra receptus, et imperator salutatus, inde ad forum et curiam maximo satellitum comitatu contendit, ut per illos senatui populoque Romano terrorem inculeret, ac senatui dixit: *Vobis principe opus est: et ego præ cæteris omnibus sum principatu dignissimus.* Quamvis igitur et ob orationis insolentiam, et circumdatos curiæ milites, invisus esset: tamen ex metu a senatu etiam imperio confirmato in palatium ascendit. Postridie senatores eum convenerunt, ne suum in illum odium animadverteretur. Sed populus universus mœstitia haud dissimulata, imperatorem curiam ingressurum, quasi ex composito cum magnis clamoribus parricidam et raptorem imperii appellavit. Illo vero iram dissimulante, et pecuniam pollicente, indignati, quasi largitionibus corrumperentur, universi exclamarunt: *Non volumus, non accipimus.* Cum Julianus eos qui ista dicerent occidi jussisset, populus magis etiam conciliatus, mentione Pertinacis facta, Julianum derisit: et quamvis multi passim per urbem et vulnerarentur et occiderentur, tamen non cedebant: ac sumptis armis in curiam equestrem concursu facto, noctem et diem ibi sine cibo durarunt: reliquos milites inclamantes, Pescennium Nigrum in primis, et Syriacas ejus legiones. Deinde fame et vigiliis fatigati, **604** domum quisque se receperunt. Julianus vero ut imperium rapuerat, sic illiberaliter eo usus est, senatui et iis qui aliquid poterant assentando, ac partim donando, partim pollicendo. Quamvis autem nihil non ad cultum potentiorum faceret, tamen nemini fidem faciebat. Quæ dum Romæ aguntur, tres exercituum duces, Severus Pannoniæ, Niger Syriæ, Albinus Britanniæ, cognitis Juliani rebus, ad eum opprimendum properarunt. Cæterum Severus cæteris callidior, cum prospiceret, everso Juliano reliquos tres inter se de principatu dimicaturos esse, unum sibi conciliandum esse statuit. Sed quia Niger longius aberat, elatoque animo esse videbatur, propterea quod populus, ut dictum est, eum nominatim implorasset: ad Albinum inclinavit, eique clam scripsit, se eum Cæsarem facturum esse. Eo autem Severi collegam se fore sperante, eodemque loco manente, Romam contendit. Quo cognito, Julianus Severum a senatu hostem judicandum curavit, æque ad bellum paravit, palatio carceribus et robustis portis munito. Nam quia putabat milites Pertinacem non facile occisuros fuisse, si se in-

ταύτης ἀρχήν, ὠνητέον ἐκ τῶν στρατιωτῶν διαγγελλόντων τινῶν, καὶ λεγόντων ἑκατέρῳ ὅτι *Τόσον οὗτος, καὶ τόσον ἐκεῖνος δίδωσι, τί οὖν σὺ προστίθης;* ὅμως πολλῶν ὑπεσχημένων τοῖς στρατιώταις παρὰ τοῦ Ἰουλιανοῦ, ἐκεῖνον προετιμήσαντο (51), φοβηθέντες μάλιστα τὸν Σουλπικιανὸν, ὡς τιμωρήσοντα τῷ Περτίνακι, οἷα δὴ κηδεστῇ. Εἰσδεχθεὶς δὲ εἰς τὸ στρατόπεδον Ἰουλιανὸς, καὶ αὐτοκράτωρ ἀποδειχθεὶς, ἐκεῖθεν πρὸς τὴν ἀγορὰν ἐφοίτησε, καὶ τὸ βουλευτήριον, δορυφόρους παμπληθεῖς ἐπαγόμενος, ἵνα δι' ἐκείνων καὶ τὴν γερουσίαν καὶ τὸν δῆμον δεδίξηται. Καὶ εἶπε πρὸς τὴν Βουλὴν ὅτι *Καὶ ὑμεῖς ἄρχοντος δέεσθε, καὶ αὐτὸς, εἰ καί τις ἄλλος, ἀξιώτατός εἰμι ἡγεμονεῦσαι ὑμῶν.* Εἰ οὖν καὶ ἐμισεῖτο διὰ τὴν μεγαλαυχίαν, καὶ διὰ τοὺς τὸ βουλευτήριον κυκλωσαμένους ὁπλίτας, ἀλλὰ διά τὸ δέος καὶ τῆς βουλῆς τὴν αὐταρχίαν ἐβεβαιώσατο, καὶ ἀνῆλθεν εἰς τὸ παλάτιον. Τῇ δ' ὑστεραίᾳ, οἱ μὲν τῆς βουλῆς προσῆλθον αὐτῷ, ἵνα μὴ φωραθεῖεν ἀχθόμενοι ἐπ' αὐτῷ. Ὁ δὲ δῆμος φανερῶς ἐσκυθρώπαζε· καὶ ἐς τὸ συνέδριον ἐλθόντος τοῦ αὐτοκράτορος, ἐξέκραγον ὡς ἐκ συνθήματος ἅπαντες, πατροφόνον αὐτὸν καλοῦντες, καὶ ἁρπαγὰ τῆς ἀρχῆς. Ἐκείνου δὲ μὴ χαλεπαίνειν προσποιουμένου, καὶ ἀργύριόν τι σφίσιν ὑπισχνουμένου, ἠγανάκτησαν ὡς δεκαζόμενοι, καὶ ξύμπαντες ἐξεβόησαν· *Οὐ θέλομεν, οὐ λαμβάνομεν.* Ὁ δὲ Ἰουλιανὸς τοὺς ταῦτα λέγοντας ἐκέλευσε κτείνεσθαι, καὶ ὁ δῆμος ἔτι παρώξυντο, καὶ τοῦ τε Περτίνακος ἐμέμνηντο, καὶ ἐς τὸν Ἰουλιανὸν ἀπέκωπτον. Καὶ πολλοὶ πολλαχοῦ τῆς πόλεως τιτρωσκόμενοι καὶ κτεινόμενοι ἀντεῖχον, καὶ ὅπλα λαβόντες, συνέδραμον εἰς τὸν ἱππόδρομον, ἔνθα νύκτα τε καὶ ἡμέραν διήγαγον ἄσιτοι ἐπιβοώμενοι τοὺς λοιποὺς στρατιώτας καὶ μᾶλλον τὸν Νίγρον τὸν Πεσκέννιον, καὶ τοὺς μετ' αὐτοῦ ἐν τῇ Συρίᾳ ὄντας. Εἶτα τῷ λίμῳ καὶ τῇ ἀγρυπνίᾳ κακωθέντες, διελύθησαν καὶ ἡσύχαζον. Ἰουλιανὸς δὲ οὕτως τὴν ἀρχὴν ἁρπάσας, ἀνελευθέρως αὐτῇ ἐχρῆτο, θωπεύων τὴν βουλὴν καὶ τούς τι δυναμένους, καὶ τὰ μὲν χαριζόμενος, τὰ δ' ἐπαγγελλόμενος. Καὶ πάντα ἐπὶ θεραπείᾳ ἐποίει τῶν δυνατῶν, οὐ μέντοι καὶ ἐπιστεύετο· ταῦτα μὲν οὖν κατὰ τὴν Ῥώμην ἐπράττετο. Οἱ δὲ τῶν στρατοπέδων ἡγεμόνες τρεῖς ὄντες, ὅ τε Σευῆρος τῆς Παννονίας ἄρχων, τῆς Συρίας δ' ὁ Νίγρος, τῆς Βρεττανίας δὲ ὁ Ἀλβῖνος, εἰς καθαίρεσιν τοῦ Ἰουλιανοῦ τὰ περὶ αὐτοῦ μαθόντες κεκίνηντο. Τῶν ἄλλων δὲ ὁ Σευῆρος δεινότερος ὢν ἐλογίσατο ὡς, εἰ τὸν Ἰουλιανὸν καταλύσουσι, σφίσιν αὐτοῖς οἱ τρεῖς ἀμφισβητήσουσι περὶ τῆς ἀρχῆς. Ἔγνω τοίνυν τὸν ἕνα προσοικειώσασθαι. Ὅτι δὲ πορφυρέου αὐτοῦ ὁ Νίγρος ἐτύγχανεν ὢν καὶ μέγα φρονεῖν αὐτὸν εἰκα-

Variæ lectiones et notæ.

(51) Ὅμως πολλῶν ὑπεσχημένων τοῖς στρατιώταις παρὰ τοῦ Ἰουλιανοῦ ἐκεῖνον προετιμήσαντο. Quæ verba sic expressit interpres: *Julianus, quamvis ab altero magna pecunia promissa, est prælatus.* Imo horum sensus est, uti edi curavimus, multa pecunia a Juliano militibus promissa, eumdem prælatum, quod et diserte ait Dio, et ex eo Xiphilinus, a quo sua hausit Zonaras: qui scribit in hac imperii auctione, ducentis in singulos milites aureis a Sulpiciano promissis, alteros quinquaginta adjecisse Julianum.

ζεν ἐπιχεχλημένον ὑπὸ τοῦ δήμου, ὡς εἴρηται πρὸς τὸν Ἀλβῖνον ἀπέπεμψε, καὶ δι' ἀπορρήτων αὐτῷ ἔγραψε Καίσαρα ποιήσειν αὐτόν. Καὶ ὃς κατὰ χώραν ἔμεινεν, ὡς κοινωνήσει τῆς ἀρχῆς τῷ Σεπτιμίῳ Σεουήρῳ τεθαρρηκώς. Ὁ δὲ Σεουῆρος ἐπὶ τὴν Ῥώμην ἠπείγετο, καὶ ὁ Ἰουλιανὸς ταῦτα μαθὼν πολέμιόν τε ψηφίσασθαι τὸν Σεουῆρον τῇ βουλῇ παρεσκεύασε, καὶ πρὸς πόλεμον ἡτοιμάζετο, καὶ τὸ παλάτιον κιγκλίσι καὶ θύραις ἰσχυραῖς ἐκρατύνατο· ὅτι γὰρ ἐνόμιζε μὴ ἄν ποτε ῥᾳδίως τοὺς στρατιώτας κτανεῖν τὸν Περτίνακα, εἴγε δὴ συνεκέκλειστο, ᾤετο ὡς δυνήσεται καταχλεισθεὶς ἐν αὐτῷ περιγενέσθαι ἂν ἡττηθῇ. Ἐφίνευσε δὲ καὶ τὸν Λαῖτον, καὶ ἐπὶ τὸν Σεουῆρον καθῆκε συνοὺς ὡς τὸν ἄνδρα δολοφονήσοντας. Ἐπεὶ δ' ἐκεῖνος εἰς τὴν Ἰταλίαν εἰσέβαλε, καὶ τὴν Ῥάβενναν ᾠκειώσατο, καὶ οἱ πεμπόμενοι προσεχώρουν αὐτῷ, καὶ οἱ δορυφόροι διὰ τὴν παρουσίαν Σεουήρου ἐδειλαίνοντο, συγκαλέσας τοὺς τῆς βουλῆς, ἐκέλευσε κοινωνὸν αὐτῷ τῆς ἀρχῆς τὸν Σεουῆρον ψηφίσασθαι. Τοῦ δὲ Σεουήρου τοῖς στρατιώταις μηδὲν κακὸν πείσεσθαι γράψαντος, ἐκδοῦσι τοὺς σφαγεῖς τοῦ Περτίνακος πεισθέντες· ἐκείνους τε συνέλαβον, καὶ τῷ Σιλίῳ Μεσσάλᾳ ὑπατεύοντι ταῦτα ἐμήνυσαν. Ὁ δὲ τὴν βουλὴν ἀθροίσας εἰς τὸ Ἀθήναιον, οὕτω καλούμενον ὡς ἐν αὐτῷ τῶν παιδευομένων ποιουμένων τὴν ἄσκησιν, τὰ παρὰ τῶν στρατιωτῶν αὐτῇ ἐκοινώσατο. Καὶ ἡ βουλὴ τοῦ μὲν Ἰουλιανοῦ κατεψηφίσατο θάνατον, τὸν δὲ Σεουῆρον ἀνεῖπεν εὐθὺς αὐτοκράτορα. Κἀντεῦθεν ἐν τῷ παλατίῳ ὁ Ἰουλιανὸς ἐφονεύθη, εἰπών· *Τί γὰρ δεινὸν ἐποίησα, καὶ τίνα ἀπέκτεινα;* Ἔζησε δὲ ἔτη ἑξήκοντα πρὸς μησὶ τέσσαρσι, καὶ ἰσαρίθμοις ἡμέραις, ἄρξας ἡμέρας ἑξήκοντα.

A clusisset : se incolumem evasurum credebat, si victus intra claustra se contineret. Lætum quoque occidit, et complures emisit, qui Severum dolo occiderent : qui cum in Italiam irrupisset, et Ravennam occupasset, et qui contra eum mittebantur ad eum se conferrent, et satellites ob illius adventum trepidarent : convocato senatu, Severum collegam imperii decerni jussit. Sed cum is militibus impunitatem promisisset, si Pertinacis percussores dederent, obtemperarunt iisque comprehensis Silio Messalæ consuli rem indicarunt. Is vero senatu in ædem Minervæ convocato, quæ ab institutione adolescentiæ ita vocabatur : quæ a militibus accepisset, exposuit. Senatus igitur Juliano capitis damnato, Severum statim imperatorem dixit. Julianus vero cum occideretur : *Quid,* inquit, *mali feci? aut quem occidi?* Vixit annos LX menses IV et dies totidem : imperavit dies LX.

Η'. Σεουῆρος μέντοι τὴν αὐταρχίαν λαβὼν τοὺς μὲν αὐτόχειρας τοῦ Περτίνακος τῶν στρατιωτῶν θανάτῳ ἐδικαίωσε, τοὺς δ' ἄλλους ἀνειδίσας πικρότατα, τῶν τε ὅπλων ἀπεῖρξε, καὶ τοὺς ἵππους ἀφείλετο, καὶ τῆς Ῥώμης ἀπήλασε· καὶ οὕτως εἰς τὴν Ῥώμην εἰσῆλασε βαδίζων, καί οἱ ὁ στρατὸς ὁπλίτης παρείπετο, καὶ ἡ πόλις ἄνθεσί τε καὶ δάφναις ἅπασα ἐστεφάνωτο, καὶ οἱ ἄνθρωποι λευχειμονοῦντες εὐφήμουν αὐτὸν, καὶ ἀκοῦσαι αὐτοῦ καὶ θεάσασθαι λίαν ἐσφάδαζον. Εἰσελθὼν δὲ ἐνεανιεύσατο οἷα καὶ οἱ πρώην ἀγαθοὶ αὐτοκράτορες, ὡς οὐδένα τῶν βουλευτῶν ἀποκτενεῖ, καὶ ὤμοσε περὶ τούτου, καὶ ψηφίσματι κοινῷ τοῦτο κυρωθῆναι προσετετάχει. Ἀλλ' οὐκ εἰς μακρὰν τὸν νόμον τοῦτον παρέβη. Αὐτὸν γὰρ τὸν Ἰούλιον Σόλωνα, τὸν καὶ τὸ δόγμα τοῦτο, αὐτοῦ κελεύσαντος, συγγραψάμενον, οὐ πολλῷ ὕστερον ἔκτεινε, καὶ ἄλλους ἀνεῖλε πολλούς, καὶ τῇ βουλῇ οὐ καταθύμια ἔπραττε. Καὶ εἰθισμένου, τοὺς σωματοφύλακας, ἐκ τῆς Ἰταλίας εἶναι, καὶ ἄλλων ἐθνῶν ἐπιεικεστέρων τοῖς εἴδεσι, καὶ ἁπλουστέρων τοῖς ἤθεσι, ἐκεῖνος παρὰ τὸ ἔθος στρατιωτῶν τὴν πόλιν ἐνέπλησε καὶ ἰδεῖν ἀγριωτάτων, καὶ ἀκοῦσαι φοβερωτάτων, καὶ ὁμιλῆσαι ἀγροικοτάτων. Ἐγένετο δὲ αὐτῷ σημεῖά τινα τὴν ἡγεμονίαν προμαντευόμενα. Ἔδοξέ ποτε ὄναρ λύκαιναν θηλάζειν, ὡς περὶ Ῥωμύλου ἱστόρηται· καὶ ὕδωρ καθεύδοντος ὥσπερ ἐκ πηγῆς ἀνεδόθη, καὶ καθ' ὕπνους αὐτῷ ἡ τῶν Ῥωμαίων σύμπασα βουλὴ καὶ ὁ δῆμος προσῄει τε καὶ ἠσπάζετο. Καὶ αὖθις ἐδόκει ἐν τῇ ἀγορᾷ τῇ Ῥωμαίᾳ ἱππεύοντα τὸν Περτίνακα τοῦ ἵππου ἀπορριφθῆναι, αὐτὸς δὲ τούτου ἐκόντος ἐπιλαβέσθαι. Ἔφηβος δὲ ὢν ἐς τὸν βασιλικὸν δίφρον ἀγνοῶν, ἀλλ' οὐκ ἐκ προνοίας ὑπερεκάθισεν. Αὐ-

A ἐγένετο, καὶ τῶν καλούντων ἑαυτοὺς Καθαροὺς ἀρχηγὸς, ἀρνούμενος τοῖς ἐν τῷ διωγμῷ ὑποκύψασι, καὶ θυσίαν τοῖς εἰδώλοις προσαγαγοῦσιν, εἶτ' ἐπιστρέψουσι, καὶ ἐξομολογουμένοις, τὴν μετάνοιαν· καὶ προσπίπτοντας αὐτοὺς, καὶ θεραπείαν ζητοῦντας τοῦ σφάλματος ἐν μεταμελείᾳ καὶ συντριβῇ καρδίας, μὴ προσιέμενος. Καθ' οὗ καὶ σύνοδος ἐν Ῥώμῃ συνέστη, Κορνηλίου ταύτης προϊσταμένου. Ἐν ᾗ προσδέχεσθαι μὲν τοὺς ἐν τῷ καιρῷ τοῦ διωγμοῦ παραπεπτωκότας δεῖν, ἔδοξεν, ἐπιστρέφοντας, καὶ μετανοίας φαρμάκοις θεραπεύειν αὐτούς. Τὸν δὲ Νοβάτον τοῖς τῇ συνόδῳ δόξασι μὴ πειθόμενον, οἱ θεῖοι Πατέρες ἐκεῖνοι τῆς Ἐκκλησίας ἀπηλλοτρίωσαν, καὶ ἀπεκήρυξαν ὡς μισάδελφον. Μέμνηται δέ τινος ὁ Εὐσέβιος ἱστορίας ἐξ ἐπιστολῆς Διονυσίου τῆς Ἀλεξανδρέων Ἐκκλησίας ἐπισκοπήσαντος τοιαύτης. Φησὶ γὰρ ταῦτ' ἐπιστεῖλαι πρὸς ῥῆμα τὸν Διονύσιον· *Σαραπίων τις ἦν παρ' ἡμῖν πιστὸς γέρων, ἀμέμπτως μὲν βιοὺς, ἐν δὲ τῷ πειρασμῷ πεσών. Οὗτος πολλάκις ἐδεῖτο, καὶ οὐδεὶς προσεῖχεν αὐτῷ (καὶ γὰρ ἐτεθύκει)· νοσήσας δὲ τριῶν ἐξῆς ἡμερῶν ἄφωνος διετέλεσε καὶ ἀναίσθητος. Ἀνασφήλας δὲ τῇ τετάρτῃ βραχύ, προσεκαλέσατο τὸν θυγατριδοῦν, καὶ, Σπεῦσον, εἶπε, κάλεσόν μοι τῶν πρεσβυτέρων τινά. Καὶ πάλιν ἦν ἄφωνος. Ἔδραμεν ὁ παῖς ἐπὶ τὸν πρεσβύτερον, ὁ δὲ ἀρικέσθαι μὲν οὐκ ἠδυνήθη (καὶ γὰρ ἠσθένει), ἐντολῆς δὲ παρ' ἐμοῦ δεδομένης, τοὺς ἀπαλλαττομένους τοῦ βίου, εἰ δέοιντο, καὶ μάλιστα εἰ πρότερον ἱκετεύσαντες τύχοιεν, ἀφίεσθαι, ἵν' εὐέλπιδες ἀπαλλάττοιντο, βραχὺ τῆς Εὐχαριστίας δεδωκε τῷ παιδαρίῳ, ἀποβρέξαι κελεύσας, καὶ τῷ πρεσβύτῃ κατὰ τοῦ στόματος ἐπιστάξαι. Ἐπανῆκεν ὁ παῖς φέρων. Ἐγγὺς δὲ γενομένου, πρὶν εἰσελθεῖν, ἀνεγίγνω πάλιν ὁ Σαραπίων, Ἦκες, ἔφη, τέκνον; καὶ ὁ μὲν πρεσβύτερος ἐλθεῖν οὐκ ἠδυνήθη· σὺ δὲ ποίησον ταχέως τὸ προσταχθὲν, καὶ ἀπάλλαττέ με. Ἀπέβρεξεν ὁ παῖς, καὶ ἅμα τε ἐνέχεε τῷ στόματι τοῦ πρεσβύτου, καὶ μικρὸν ἐκεῖνος καταβροχθίσας εὐθέως ἀπέδωκε τὸ πνεῦμα· Ἆρ' οὐκ ἐναργῶς διετηρήθη, καὶ παρέμεινεν ἕως λυθῇ καὶ τῆς ἁμαρτίας λυθείσης ἐπὶ πολλοῖς οἷς ἔπραξε καλοῖς ὁμολογηθῆναι δυνηθῇ (69)· Ταῦτα ἡ τοῦ Διονυσίου διέξεισιν ἐπιστολή Δέκιος δὲ οὕτω διατεθεὶς εἰς τοὺς τὸν Χριστὸν σεβομένους, οὐδὲ δύω ὅλους ἐνιαυτοὺς ἐπὶ τῇ τῶν Ῥωμαίων ἀνύσας ἀρχῇ, αἴσχιστα δ' ἐφθάρη. Βαρβάρων γὰρ λῃζομένων τὸν Βόσπορον, ὁ Δέκιος αὐτοῖς συνεπλέκετο, καὶ πολλοὺς ἀνῄρει· τῶν δὲ στενοχωρηθέντων, καὶ αἰτουμένων ἀφεῖναι τὴν λείαν πᾶσαν, εἰ παραχωρηθείεν ἀναχωρῆσαι· ὁ Δέκιος οὐκ ἐνέδωκεν, ἀλλὰ Γάλλων ἕνα τῶν τῆς συγκλήτου τῇ διόδῳ τῶν Βαρβάρων ἐπέστησε, μὴ συγχωρῆσαι κελεύσας αὐτοῖς παρελθεῖν. Ὁ δὲ Γάλλος ὑπέθετο τοῖς Βαρβάροις, ἐπιβουλεύων Δεκίῳ, πλησίον τέλματος βαθέος ὄντος, ἐκεῖ παρατάξασθαι. Οὕτω δὲ παραταξαμένων τῶν Βαρβάρων, καὶ τὰ νῶτα τρεψάντων, ὁ Δέκιος ἐπεδίωκε· καὶ αὐτός τε σὺν τῷ υἱῷ, καὶ πλῆθος τῶν Ῥωμαίων, ἐνεπεπτώκει τῷ τέλματι, καὶ πάντες ἐκεῖσε ἀπώλοντο, ὡς μηδὲ τὰ σώματα (70) αὐτῶν εὑρεθῆναι, καταχωσθέντα τῇ ἰλύϊ τοῦ τέλματος.

B

C

XXI. Gallus rerum potitus (quem scriptores quidam etiam Volusianum vocant, ut binominem: aliis asserentibus, filium eumdemque **628** colle-

D ΚΑ'. Κρατεῖ οὖν ὁ Γάλλος, ὃν τινες μὲν τῶν συγγραφέων καὶ Βολουσιανὸν κεκλῆσθαί φασιν, ὡς διώνυμον· ἄλλοι δὲ τὸν Βολουσιανὸν υἱὸν αὐτοῦ εἶναι

Variæ lectiones et notæ.

(69) Ἐπὶ πολλοῖς οἷς ἔπραξε καλοῖς ὁμολογηθῆναι δυνηθῇ. Ita in mss. et in tribus codd. Wolfii: qui locum mendosum, aut certe obscurum scribit.

(70) Ὡς μηδὲ τὰ σώματα. Ita Victor in Epitome. Lactantius, *De mortibus persecut.* n. 1, de Decio: *Circumventus a Barbaris, et cum magna exercitus parte deletus, nec sepultura quidem potuit honorari, sed exutus ac nudus, ut hostem Dei oportebat, pabulum feris ac volucribus jacuit.*

γεγράφασι, καὶ συνάρχειν αὐτῷ. Κρατήσας τοίνυν τῆς τῶν Ῥωμαίων ὁ Γάλλος ἀρχῆς σπένδεται τοῖς Βαρβάροις ἐπὶ συνθήκαις τοῦ λαμβάνειν ἐκείνους παρὰ Ῥωμαίων δασμὸν ἐνιαύσιον καὶ μὴ τὰ Ῥωμαίων λῃΐζεσθαι· καὶ σπεισάμενος οὕτως ἐπανῆλθεν εἰς Ῥώμην, καὶ τὸν υἱὸν αὐτοῦ τὸν Βολουσιανὸν ἀνηγόρευσε Καίσαρα. Βαρὺς δὲ καὶ εἶτα γέγονε τοῖς Χριστιανοῖς, καὶ οὐχ ἧττονα Δεκίου διωγμὸν κατ' αὐτῶν ἐγείρας, καὶ πολλοὺς ἀνελών. Ἤρξατο δ' αὖθις ἐπὶ τούτου ἡ κίνησις τῶν Περσῶν, καὶ κατεσχέθη παρ' αὐτῶν ἡ Ἀρμενία, τοῦ ταύτης βασιλέως Τυριδάτου φυγόντος, τῶν δὲ παίδων ἐκείνου προσρυέντων τοῖς Πέρσαις. Καὶ Σκύθαι δὲ εἰς τὴν Ἰταλίαν εἰσέβαλον, πλῆθος ὄντες σχεδὸν ὑπερβαῖνον καὶ ἀριθμὸν, καὶ Μακεδονίαν, καὶ Θεσσαλίαν, καὶ Ἑλλάδα κατέδραμον. Λέγεται δὲ τούτων μοῖράν τινα διὰ Βοσπόρου παρελθοῦσαν, καὶ τὴν Μαιώτιδα λίμνην ὑπερβᾶσαν, ἐπὶ τὸν Εὔξεινον γενέσθαι Πόντον, καὶ χώρας πορθῆσαι πολλάς. Καὶ ἄλλα δὲ πολλὰ τῶν ἐθνῶν τότε κατὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ὡρμήκεσαν. Ἀλλὰ καὶ λοιμὸς τότε ταῖς χώραις ἐνέσκηψε, ἐξ Αἰθιοπίας ἀρξάμενος, καὶ πᾶσαν σχεδὸν ἐπινεμηθεὶς χώραν ἑῴαν τε καὶ ἑσπέριον, καὶ πολλὰς τῶν πόλεων τῶν οἰκητόρων ἐκένωσεν, ἐπὶ πεντεκαίδεκα διαρκέσας ἐνιαυτούς. Οἵ γε μὴν Σκύθαι τεταγμένα παρὰ Ῥωμαίων κατὰ συνθήκας λαμβάνοντες ἐπετείως, ἤκασι ταῦτα ληψόμενοι, καὶ ἧττονα λέγοντες εἶναι τῶν ὑπεσχημένων τὰ σφίσι διδόμενα, ἀπῆσαν ἀπειλούμενοι· Αἰμιλιανὸς δέ τις Λίβυς ἀνὴρ, ἄρχων τοῦ ἐν Μυσίᾳ στρατεύματος, τοῖς στρατιώταις δώσειν πάντα τὰ τοῖς Σκύθαις διδόμενα ἐπηγγείλατο, εἰ τοῖς Βαρβάροις συνάψειαν πόλεμον. Οἱ δὲ, ἀπροόπτως ἐπελθόντες τοῖς Σκύθαις, ἅτερ ὀλίγων ἀπέκτειναν ἅπαντας, καὶ λάφυρα ἐξ ἐκείνων πλεῖστα συνήγαγον, τὴν χώραν καταδραμόντες αὐτῶν. Ἐντεῦθεν ὁ Αἰμιλιανὸς ὑπερφρονήσας τῷ κατορθώματι, μέτεισι τοὺς ὑπ' αὐτὸν στρατιώτας, καὶ Ῥωμαίων αὐτὸν ἀναγορεύουσιν αὐτοκράτορα. Ὡς αὐτίκα τὰς δυνάμεις ἀγείρας, ἔσπευδε τὴν Ἰταλίαν καταλαβεῖν. Ὡς γοῦν εἰς γνῶσιν ἦλθον ταῦτα τῷ Γάλλῳ, κἀκεῖνος ἑτέρωθεν παρασκευασάμενος, τῷ Αἰμιλιανῷ ἀντιπαρετάξατο, καὶ συῤῥαγέντων ἀλλήλοις τῶν στρατευμάτων, ἥττητο οἱ τοῦ Γάλλου. Ἡττώμενοι δὲ ἐπέθεντο τῷ σφῶν αὐτοκράτορι· καὶ ἀνελόντες κἀκεῖνον, καὶ τὸν παῖδα αὐτοῦ, βασιλεύσαντας ἔτη δύο καὶ μῆνας ὀκτὼ, προστίθενται τῷ Αἰμιλιανῷ, καὶ αὐτοὶ τὴν βασιλείαν αὐτῷ ψηφισάμενοι.

Κβ'. Ἀναῤῥηθεὶς δὲ οὕτως αὐτοκράτωρ ὁ Αἰμιλιανὸς ἐπέστειλε τῇ συγκλήτῳ, ἐπαγγελλόμενος ὡς καὶ τὴν Θρᾴκην ἀπαλλάξει Βαρβάρων, καὶ κατὰ Περσῶν ἐκστρατεύσεται, καὶ πάντα πράξει καὶ ἀγωνίσεται ὡς στρατηγὸς αὐτῶν, τὴν βασιλείαν τῇ γερουσίᾳ καταλιπών. Ἀλλ' οὐδὲν τούτων ἔφθη πεπιηκὼς, Οὐαλεριανοῦ ἐπαναστάντος αὐτῷ· ὃς τῶν ὑπὲρ τὰς Ἄλπεις ἀρχων δυνάμεων, ἅτε κατὰ τὸν Αἰμιλιανὸν μαθὼν, καὶ αὐτὸς τυραννεῖ. Καὶ τὰς ὑπ' αὐτὸν δυνάμεις συναγαγὼν, πρὸς τὴν Ῥώμην ἠπείγετο. Οἱ γοῦν τῷ Αἰμιλιανῷ συστρατευόμενοι, οὐχ ἁξιομάχους ἑαυτοὺς ἐγνωκότες πρὸς τὴν τοῦ Οὐαλεριανοῦ στρατιὰν, μὴ δὲ φθείρειν καὶ φθείρεσθαι Ῥωμαίους ὑπ' ἀλλήλων ὅσιον κρίναντες καὶ πολέμους συγχροτεῖσθαι ὁμογενῶν, καὶ ἄλλως δὲ τὸν μὲν Αἰμιλιανὸν ἀνάξιον λογιζόμενοι βασιλείας, ὡς ἄδοξόν τε καὶ χαμερπῆ, τὸν Οὐαλεριανὸν δὲ οἰκειότερον

gam ejus, Volusianum appellatum esse), pactus cum Barbaris, ut annuo tributo accepto, Romanis provinciis abstinerent, Romam abiit, ac filium Volusianum Cæsarem declaravit. Fuit et hic Christianis gravis, non minore quam Decius persecutione inchoata, multisque interfectis. Sub hoc motus Persarum recruduit, qui Armeniam occuparunt, Tyridate rege fuga elapso, cujus filii se ad hostes contulerant. Scytharum quoque multitudo pene innumerabilis in Italiam impressionem fecit; iidemque Macedoniam, Thessaliam et Græciam incursarunt. Eorum quoque pars, Mæotide palude superata, per Bosporum, in Pontum Euxinum irripuisse fertur, ac multas vastasse provincias. Sunt et aliæ plures gentes contra ditiones Romanorum concitatæ. Pestis quoque tum provincias invasit: quæ ab Æthiopia orta, totumque pene Orientem et Occidentem pervagata, multas urbes civibus desolavit, duravitque per annos quindecim. Scythæ vero annuo tributo ex pacto a Romanis petito, pauciora sibi quam promissa essent, dari questi, minitabundi abierunt. Cæterum Æmilianus, homo Afer, Mysiis legionibus præfectus, militibus ea omnia promisit quæ Scythis penderentur, si cum illis pugnarent. Qui Barbaros ex improviso aggressi, paucis exceptis, omnes occiderunt: et opimis spoliis partis, regionem eorum incursarunt. Eo successu elatus Æmilianus, a suis legionibus impetravit, ut imperator salutaretur: coactisque in unum copiis, ad Italiam occupandam properavit. Quo Gallus cognito, et ipse contra se paravit: commissoque prælio victus, a suis militibus una cum filio occisus est, cum biennium et menses octo imperasset. Ejus vero milites et ipsi Æmiliano conjuncti, imperium confirmarunt.

XXII. Appellatus imperator Æmilianus senatui per litteras promisit, se Barbaros etiam Thracia pulsurum, et Persis bellum illaturum: omniaque facturum et dimicaturum, ut ducem eorum, imperio ipsis relicto. Sed priusquam horum aliquid faceret, Valerianus Transalpinarum legionum dux, rebus Æmiliani cognitis, et ipse regnum affectavit: conductisque in 629 unum suis copiis, Romam properavit. Quare ii qui sub Æmiliano stipendia merebant, quia se Valeriano impares esse norant, et Romanos mutuis perire cædibus, ac intestina bella conflari nefas putabant. Eodem accedebat, quod Æmilianum, ut inglorium et humilem, regno indignum judicabant: Valerianum vero ad principatum aptiorem, ut qui majori cum auctoritate res administraturus esset: Æmiliano nondum quatuor menses imperio potito, annos

vero quadraginta nato, interfecto, ad Valerianum transeunt, eique citra dimicationem Romanorum imperium tradunt. Flaviano sub Decio martyrii corona ornato, Cornelius Romanus pastor factus, munere suo per triennium præclare obito, decessit. Lucio in pontificatus solium evecto, et ante expletum in eo octavum annum mortuo, Stephanus est subrogatus. Hujus sanctio est, ne Christiani ab hæreticis ad Ecclesiam revertentes, rebaptizentur, sed precatione per manuum impositionem lustrentur : eaque de re epistola ejus ad Cyprianum martyrem exstat. Cum Stephanus post duos annos obdormisset, Xystus in pontificio Romæ solio consedit. Tum etiam Sabelliana hæresis Ptolemaide Pentapoleos urbe mota est. Atque hæc de Romanis pontificibus.

A ἡγούμενοι τῇ ἀρχῇ οἷα ὄῆτα καὶ τῶν πραγμάτων ἐπιλῃψόμενον ἀρχικώτερον, κτείνουσι τὸν Λιμιλιανὸν οὔπω τέσσαρας μῆνας ἡγεμονεύσαντα, ἄγοντα δὲ τῆς ἡλικίας ἐνιαυτὸν τεσσαρακοστόν· καὶ προσίασιν Οὐαλεριανῷ καὶ ἀμάχως αὐτῷ τὴν Ῥωμαίων ἀρχὴν ἐγχειρίζουσι. Φλαβιανοῦ δὲ ἐπὶ Δεκίου, ὡς εἴρηται, μαρτυρήσαντος, Κορνήλιος τὴν τῆς Ῥώμης ποιμαντικὴν διεδέξατο. Καὶ ἐπὶ τρισὶν ἐμπρήσας ταύτῃ ἐνιαυτοῖς τὴν ζωὴν ἐξεμέτρησε. Καὶ Λούκιος ἐπὶ τὸν τῆς ἀρχιερωσύνης ἀνήχθη θρόνον, ὃς οὐδ' ὄγδοον ἐκπλήσας ἐνιαυτὸν ἐν τῇ τῆς Ῥώμης ἐπισκοπῇ τελευτᾷ. Καὶ Στέφανος τὸ τῆς ποιμαντικῆς λειτούργημα διεδέξατο. Οὗπερ τυγχάνει διάταγμα, τοὺς ἐξ αἱρέσεων ἐπιστρέφοντας Χριστιανοὺς μὴ βαπτίζειν, ἀλλὰ τῇ διὰ χειρῶν ἐπιθέσεως εὐχῇ καθαίρειν αὐτούς, οὗ καὶ ἐπιστολὴ περὶ τούτου πρὸς Κυπριανὸν τὸν ἱερομάρτυρα ἀναγράφεται. Στεφάνου δὲ κοιμηθέντος μετὰ δύο ἐνιαυτούς, Ξύστος εἰς τὸν ἀρχιερατικὸν τῆς Ῥώμης θρόνον ἐκάθισε. Τότε καὶ ἡ κατὰ Σαβέλλιον κεκίνητο αἵρεσις ἐν Πτολεμαΐδι τῆς Πενταπόλεως. Ἄλλα τὰ μὲν κατὰ τοὺς τῆς Ῥώμης ἀρχιερεῖς ἔσχον οὕτως.

B

XXIII. Valerianus autem, cum Galieno filio rerum potitus, et ipse Christianos vehementissime persecutus est : ac multi diversis in locis martyres facti sunt, variis pro Christi fide certaminibus defuncti. Sub hoc quoque, propter exterarum gentium motus, male se res Romana habuit. Nam Scythæ Istrum transgressi, Thraciam demum populati, urbem illustrem Thessalonicam obsederunt illi quidem, sed non expugnarunt : ac terrorem tantum intulerunt omnibus, ut Athenienses sua C mœnia jam inde a Syllæ temporibus prostrata, instaurarent : Peloponnenses vero isthmum a mari ad mare ducto muro intercluderent. Persæ quoque Sapore rege Syriam incursarunt, et Edessam obsederunt : quos Valerianus prius non aggredi ausus, cum Edessenos milites eruptionibus faciendis multos Barbaros cædere, et plurimis potiri spoliis didicisset, recepto animo adortus est. Qui, ut longe plures, Romanos **630** circumdederunt, quibus maxima ex parte occisis, nonnullis etiam elapsis, Valerianus cum suis satellitibus ab hostibus captus, atque ad Saporem abductus est. Is vero cum imperatorem teneret, omnia se jam vicisse ratus, homo per se crudelis, multo deterior evasit. Nonnulli ad hunc modum a Persis D Valerianum esse captum tradunt. Sunt et qui eum ultro deditionem fecisse narrent, quod cum Edessæ ageret, milites fame laborantes, seditione mota, de interficiendo ipso cogitarint. Eum vero ne a suis occideretur, ad Saporem profugum, hosti se tradidisse, ac nihilo secius ipsas legiones : quæ quod ad ipsum attinet, sane periissent, milites tamen non perierunt, sed proditione cognita, paucis occisis, effugerunt. Enimvero imperator sive in acie captus, sive ultro profugus, ignominiose a Sapore tractabatur. Persæ vero sine ullo metu urbes adorti, Antiochiam ad Orontem, et

ΚΓ'. Οὐαλεριανὸς δὲ σὺν Γαλιήνῳ τῷ υἱῷ τῆς Ῥωμαίων ἡγεμονίας ὁραξάμενος, καὶ οὗτος σφοδρότατον ἐκίνησε κατὰ Χριστιανῶν διωγμόν, καὶ πολλοὶ κατὰ διαφόρους χώρας μάρτυρες γεγόνασιν, ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως πολυειδῶς ἐναθλήσαντες. Ἐθνῶν οὖν καὶ ἐπὶ τούτου γενομένης ἐπαναστάσεως, κακῶς εἶχον Ῥωμαίοις τὰ πράγματα. Οἵ τε γὰρ Σκύθαι τὸν Ἴστρον διαβάντες καὶ αὖθις τὴν Θρᾳκῴαν χώραν ἠνδραποδίσαντο, καὶ πόλιν περιφανῆ τὴν Θεσσαλονίκην ἐπολιόρκησαν μὲν, οὐ μέντοι καὶ εἷλον. Εἰς δέος δὲ τοσοῦτον ἅπαντας περιέστησαν, ὡς Ἀθηναίους (71) μὲν ἀνοικοδομῆσαι τὸ τεῖχος τῆς ἑαυτῶν πόλεως, καθῃρημένον ἐκ τῶν τοῦ Σύλλα χρόνων, Πελοποννησίους δὲ διατειχίσαι τὸν Ἰσθμὸν ἀπὸ θαλάσσης εἰς θάλασσαν. Ἀλλὰ μὲν καὶ Πέρται, Σαπώρου σφῶν βασιλεύοντος, τὴν Συρίαν κατέδραμον, καὶ τὴν Καππαδοκίαν ἐδῄωσαν, καὶ τὴν Ἔδεσσαν ἐπολιόρκουν. Οὐαλεριανὸς δὲ ὤκνει προσμίξαι τοῖς πολεμίοις. Μαθὼν δὲ ὡς οἱ ἐν Ἐδέσῃ στρατιῶται ἐξιόντες τῆς πόλεως καὶ συμπλεκόμενοι τοῖς Βαρβάροις πολλοὺς ἀναιροῦσι καὶ πλεῖστα σκύλα λαμβάνουσιν, ἀνεθάρσησε, καὶ ἀπελθὼν μετὰ τῆς συνούσης αὐτῷ στρατιᾶς συνεπλάκη τοῖς Πέρσαις. Οἱ δὲ πολυπλασίους ὄντες τοὺς Ῥωμαίους ἐκύκλωσαν, καὶ οἱ πλείους μὲν ἔπεσον, ἔνιοι δὲ καὶ διέφυγον. Οὐαλεριανὸς δὲ σὺν τοῖς περὶ αὐτὸν συνελήφθη τοῖς πολεμίοις, καὶ πρὸς τὸν Σαπώρην ἀπήχθη. Ὁ δὲ τοῦ βασιλέως κρατήσας, πάντων ἤδη κρατεῖν ὤετο, καὶ ὠμὸς ὢν πρὶν, πολλῷ χείρων εἰσέπειτα γέγονεν. Οἱ μὲν οὖν οὕτως αἰσχμάλωτον ἁλωκέναι τὸν Οὐαλεριανὸν τοῖς Πέρσαις ἱστόρησαν. Εἰσὶ δ' οἳ ἑκόντα φασὶ τὸν Οὐαλεριανὸν προσχωρῆσαι τοῖς Πέρσαις, ὅτι ἐν Ἐδέσῃ διάγοντος αὐτοῦ, λιμὸς ἐπῆκτο τοῖς στρατιώταις, κἀντεῦθεν εἰς στάσιν κεκίνηντο, καὶ ἀνελεῖν ἐζήτουν τὸν αὐτοκράτορα. Ὁ δὲ τὴν τῶν στρατιωτῶν δεδοικὼς ἐπανάστασιν πρὸς τὸν Σαπώρην κατέφυγεν, ἵνα μὴ ὑπὸ

Variæ lectiones et notæ

(71) Ὡς Ἀθηναίους. Vide Scaligerum ad Eusebium, p. 215.

τῶν οἰκείων ἀπόληται, τῷ πολεμίῳ προδεδωκώς ἑαυτόν. Ἀλλὰ μέντοι ὅσον τὸ ἐπ' αὐτῷ καὶ τὰ Ῥωμαίων στρατεύματα, οὐ μὴν οἱ στρατιῶται ἀπώλοντο, ἀλλὰ γνόντες τὴν προδοσίαν διέφυγον, ὀλίγων ἀναιρεθέντων. Εἶτε δὲ δορυάλωτος ἐλήφθη τοῖς Πέρσαις ὁ βασιλεύς, εἴθ' ἑκὼν ἑαυτὸν αὐτοῖς ἐνεχείρισεν, ἀτίμως ἦγετο παρὰ τοῦ Σαπώρου. Οἱ Πέρσαι δὲ, κατὰ πᾶσαν ἄδειαν ταῖς πόλεσιν ἐπιόντες, τήν τε πρὸς τῷ Ὀρόντῃ αἱροῦσιν (72) Ἀντιόχειαν καὶ τὴν περιφανεστέραν τῶν τῆς Κιλικίας πόλεων τὴν Ταρσὸν, καὶ τὴν ἐν Καππαδοκίᾳ Καισάρειαν. Καὶ πλῆθος αἰχμαλώτων συναγαγόντες, οὐδὲ τροφῆς αὐτοῖς μετεδίδουν, εἰ μὴ βραχίστης, ὥστ' ἀποζῆν· οὔτε μὲν ὕδατος μετέχειν εἰς κόρον εἶων αὐτοὺς, ἀλλ' ἅπαξ τῆς ἡμέρας οἱ τούτων φρουροὶ ἤλαυνον αὐτοὺς ἐφ' ὕδωρ, ὥσπερ βοσκήματα. Τὴν Καισάρειαν δὲ πολυάνθρωπον οὖσαν (περὶ τεσσαράκοντα γὰρ μυριάδας ἀνθρώπων ἐν αὐτῇ λέγεται κατοικεῖν) οὐ πρότερον εἷλον, γενναίως τῶν ἐν αὐτῇ τοῖς πολεμίοις ἀντικαθισταμένων, καὶ στρατηγουμένων ὑπό τινος Δημοσθένους, ἀνδρὸς καὶ ἀνδρείου καὶ συνετοῦ, πρινή τις δορυάλωτος κατασχεθεὶς ἰατρὸς, καὶ τὰς ἐπαγομένας αὐτῷ μὴ φέρων αἰκίας, ὑπέδειξέ τινα τόπον, ὅθεν νυκτὸς εἰσῆλθον οἱ Πέρσαι καὶ πάντας ἀνεῖλον. Ὁ δέ γε τούτων στρατηγὸς Δημοσθένης ὑπὸ πολλῶν κυκλωθεὶς Περσῶν κελευσθέντων ζωὸν αὐτὸν συλλαβεῖν, τὸν ἵππον ἀναβὰς καὶ γυμνὸν τὸ ξίφος ἤρκως, εἰσώθησεν ἑαυτὸν μέσον τῶν πολεμίων· καὶ πλείστους καταβαλὼν διεξέπεσε τῆς πόλεως, καὶ διαφυγεῖν ἴσχυσεν. Οὕτω δὲ τῶν πραγμάτων τοῖς Πέρσαις συνενεχθέντων, κατὰ πᾶσαν τὴν ὑποκειμένην Ῥωμαίοις Ἑῴαν διεσκεδάσθησαν χώραν, καὶ ἐπόρθουν αὐτὴν ἀδεῶς. Οἱ μέντοι Ῥωμαῖοι φυγόντες, ὡς εἴρηται, στρατηγὸν ἑαυτοῖς ἐπέστησαν Κάλλιστόν τινα, ὃς σκεδαννυμένους τοὺς Πέρσας ὁρῶν, καὶ ἀπερισκέπτως ἐπιόντας ταῖς χώραις, τῷ μή τινα οἴεσθαι αὐτοῖς ἀντιτάξασθαι, ἐπιτίθεται ἀθρόον αὐτοῖς, καὶ φόνον τῶν Βαρβάρων πλείστον εἰργάσατο, καὶ παλλακὰς εἷλε Σαπώρου σὺν πλούτῳ πολλῷ. Οἷς ἥσθεὶς περιαλγήσας οἴκαδε σπουδαίως ὑπέστρεψε, καὶ τὸν Οὐαλεριανὸν ἐπαγόμενος, ὅς καὶ ἐν Περσίδι κατέστρεψε τὴν ζωὴν, ὡς αἰχμάλωτος ὀνειδιζόμενός τε καὶ ἐμπαιζόμενος. Οὐ μόνος δ' ὁ Κάλλιστος ἠρίστευσε τότε κατὰ Περσῶν, ἀλλὰ καί τις Παλμυρηνὸς ἀνὴρ, κεκλημένος Ὀδέναθος συμμαχῶν Ῥωμαίοις πολλοὺς διέφθειρε τῶν Περσῶν, ἀναστρέφουσιν αὐτοῖς κατὰ τὴν Εὐφρατησίαν ἐπιθέμενος χώραν· ὃν Γαλιηνὸς τοῦ στρατηγήματος ἀμειβόμενος, τῆς Ἑῴας προεχειρίσατο στρατηγόν. Ἐν μέντοι τοῖς πεσοῦσιν ἐκ τοῦ Περσικοῦ στρατεύματος σκυλευομένοις λέγονται καὶ γυναῖκες εὑρεθῆναι κατ' ἄνδρας ἐσταλμέναι καὶ ὡπλισμέναι, ἀλλὰ καὶ ζῶσαι τοιαῦται κατασχεθῆναι ὑπὸ Ῥωμαίων. Ἐν δὲ τῇ ἐπαγόδῳ φάραγγι βαθείᾳ περιτυχὼν ὁ Σαπώρης, ἣν διελθεῖν τοῖς ὑποζυγίοις ἄπορον ἦ, αἰχμαλώτους ἐκέλευσεν ἀναιρεθῆναι, καὶ ῥιφῆναι κατὰ τῆς φάραγγος, ἵν' οὕτως τοῦ βάθους αὐτῆς πληρωθέντος διὰ τῶν νεκρῶν σωμάτων τὰ σφῶν διέλθωσιν ὑποζύγια. Καὶ οὕτω διελθεῖν ἱστορεῖται τὴν φάραγγα. Καὶ τὰ μὲν κατὰ τὸν Οὐαλεριανὸν ἐν τούτοις. Τῆς δὲ τῶν Ῥωμαίων Ἐκκλησίας κατῆγεῖτο Ξύστος· τῆς δὲ τῶν Ἀντιοχέων Δημήτριανὸς διαδεξάμενος Φλαβιανόν· τῆς δὲ τῶν Ἱεροσολύμων Ὑμέναιος, Μαζαβάνου θανόντος· τῆς δ' ἐν Ἀλεξανδρείᾳ προῖστατο Διονύσιος.

A clarissimam Ciliciæ civitatem Tarsum, et Cappadociæ Cæsarem ceperunt, nec captivorum multitudini cibi plus dederunt, quam quantum ad tuendam vitam satis esset : imo nec aquam affatim bibere siti sunt, sed a custodibus in die semel instar pecudum aquatum acti. Cæsaream vero Cappadociæ frequentissimam urbem (nam ad quadringenta hominum millia eam incoluisse traduntur), non prius hostes ceperunt, obsessis strenue se defendentibus, Demosthene, viro forti et cordato, duce : quam captivus quidam medicus, excarnificationum hostilium impatiens, locum eis quemdam demonstravit, per quem Persæ nocta ingressi, omnes interfecerunt. Civium vero dux Demosthenes, a multis Persis circumdatus, qui eum viventem capere jussi erant, conscenso equo, et stricto ense sublato, in medios hostes se immisit, et plurimis prostratis urbe elapsus effugit. Hoc rerum statu Persæ, omnes Romanas in Oriente provincias pervagati, sine ullo metu vastarunt. At Romani fuga; ut dictum est, elapsi, Callistum quemdam ducem crearunt, qui cum Persas palantes : ac omnis hostilis metus, expertes temere provincias incursare videret : aggressione repentina maximam Barbarorum cædem edidit, et Saporis concubinas cum magnis opibus cepit. Qua clade ille **631** dolens, festinanter domum abiit, abducto etiam Valeriano secum : qui in Persia vitam inter captivitatis opprobria et ludibria exegit. Neque vero Callistus duntaxat rem contra Persas tum bene gessit : sed et Odenatus Palmyrenus, Romanorum socius, multos occidit, redeuntes juxta Euphratem adortus, eaque de causa a Galieno imperatore, grati animi ergo, dux Orientis est creatus. Inter spoliandum cadavera Persarum, dicuntur etiam mulieres habitu et armis virorum ornatæ repertæ, et tales aliquot vivæ a Romanis captæ esse. Sapores vero cum in reditu in profundam vallem incidisset, per quam jumentis transitus non patebat, captivos interfici, et in vallem abjici jussisse : itaque complanata valle, per cadavera jumenta traduxisse fertur. Ac cum Valeriano sic actum est. Romanam autem Ecclesiam gubernavit Xystus : Antiochenam Demetrianus, Flaviani successor : Hierosolymitanam Mazabeno mortuo Hymenæus, Alexandrinam Dionysius.

B C D

Variæ lectiones et notæ.

(72) Ἀντιόχειαν, Id sub initium Galieni Marcellinus, lib. XXIII, capto scilicet Valeriano ; ante ipsam vero infelicem pugnam, accidisse scribit Trebellius Pollio in XXX Tyrannis.

XXIV. Post Valerianum, Galienus illius filius, A imperii Romani potitus est, a patre contra Persas abeunte in Occidente relictus, ut iis qui Italiæ male cogitarent, et Thraciam vastarent, resisteret : qui cum non amplius decem millia haberet, trecenta millia Alemannorum juxta Mediolanum vicit. Deinde Herulos etiam, gentem Scythicam, et Gothicam profligavit. Gessit et cum Francis bellum. Aureolus vero ex provincia Getica (sic enim Dacia quondam vocabatur) obscuro genere ortus (pastor enim fuit) cum a fortuna evehendus esset, militavit, atque industria consecutus est, ut equi imperatorii suæ fidei mandarentur. Quos quia præclare tractabat, charus habebatur imperatori. Deinde cum Mysiæ legiones Ingenuum per seditionem imperatorem dixissent, et Galienus B præter cæteros etiam Mauros (hos a Medis propagatos esse aiunt) contra eum ad Sirmium adduxisset : Aureolus magister equitum strenue dimicando, multis hostibus cæsis, reliquos, ipsumque Ingenuum rebus desperatis in fugam conjecit, in qua a suis satellitibus est occisus. Hoc domito, Posthumus contra imperatorem insurgit tali de causa. Galienus filium Galienum, **632** adolescentem solertem et formosum, quem imperii successorem destinabat, in urbe Agrippina reliquerat : ut Gallis, quos Scythæ premebant, opem ferret, Albano cuidam propter ætatem commissum. Posthumus vero ad custodiam Rheni fluminis relictus, ut Transrhenanos Barbaros Romanarum provinciarum incursione prohiberet : transitu eo- C rum non animadverso, in reditu præda onustos adortus, multis occisis, prædam omnem receptam inter milites statim divisit. Cum autem Albanus postularet ut ea ad se et Juniorem Galienum afferretur : milites ea repetita ad seditionem impulsos, ad Agrippinæ mœnia adduxit, Albanumque et Juniorem Galienum e civibus sibi deditos occidit. Galienus igitur bello contra Posthumum suscepto, primo congressu victus est. Deinde tyrannum in fugam conjectum, Aureolum persequi jubet : qui cum eum assequi posset, diutius persequi nolens, causatus est, se eum adipisci non posse. Quare Posthumum sic elapsum, et copias reparantem, Galienus denuo adortus, in quoddam Galliæ oppi- D dum compulsum obsedit : sagittaque in dorso ictus, ob vulneris dolorem obsidionem solvit. Sed aliud quoque bellum a Macrino est exortum : qui cum duos filios haberet, Macrianum et Quintum, regnum affectavit. Ac ipse quidem ob alterum pedem mutilatum, vestem imperatoriam non induit, sed filios induere jussit : atque ab Asianis cupide susceptus, cum ad breve tempus adversus Persas commoratus esset, contra Galienum se parabat :

ΚΔ'. Μετὰ δὲ τὸν Οὐαλεριανὸν Γαλιηνὸς ὁ ἐκείνου υἱὸς τῆς τῶν Ῥωμαίων ἡγεμονίας γέγονεν ἐγκρατής, ὃν ὁ πατὴρ, κατὰ Περσῶν στρατευόμενος, εἰς τὰ ἑσπέρια εἴασε τοῖς ἐν τῇ Ἰταλίᾳ ἐφεδρεύουσι καὶ τοῖς τὴν Θρᾴκην λῃζομένοις ἀντικαθίστασθαι. Ὃς Ἀλαμανοῖς περὶ τριάκοντα μυριάδας οὔσι περὶ τὰ Μεδιόλανα συμβαλὼν μετὰ μυρίων ἐνίκησεν. Εἶτα καὶ Αἰρούλοις (73), Σκυθικῷ γένει καὶ Γοτθικῷ, ἐπεξελθὼν ἐκράτησεν. Ἐπολέμησε δὲ καὶ Φράγγοις. Αὐρίολος δὲ ἐκ χώρας ὢν Γετικῆς, τῆς ὕστερον Δακίας ἐπικληθείσης, καὶ γένους ἀσήμου (ποιμὴν γὰρ ἐτύγχανε πρότερον) τῆς τύχης δὲ αὐτὸν εἰς μέγα βουληθείσης ἐπᾶραι, ἐστρατεύσατο· καὶ περιδέξιος γεγονὼς, τῶν βασιλικῶν ἵππων φροντιστὴς προεχειρίστο. Καὶ περὶ τούτου; εὐδοκιμῶν, κεχαρισμένος ἔδοξε τῷ κρατοῦντι. Τῶν δὲ ἐν τῇ Μυσίᾳ στρατιωτῶν στασιασάντων, καὶ Ἰγγενοῦον αὐτοκράτορα ἀνειπόντων, καὶ τοῦ Γαλιηνοῦ αὐτῷ ἀντιταξαμένου περὶ τὸ Σίρμιον, μετὰ τῶν ἄλλων καὶ Μαυρουσίους ἐπαγομένου, οἳ ἀπὸ Μήδων κατάγεσθαι λέγονται, ὁ Αὐρίολος ἱππαρχῶν γενναίως μετὰ τῶν Ἱππέων ἀγωνισάμενος, πολλοὺς τῶν τὰ Ἰγγενούου φρονούντων διώλεσε, καὶ τοὺς λοιποὺς ἐτρέψατο εἰς φυγήν, ὡς καὶ αὐτὸν τὸν Ἰγγενοῦον φεύγειν ἀπεγνωκότα καὶ ἐν τῷ φεύγειν ἀναιρεθῆναι παρὰ τῶν δορυφόρων αὐτοῦ. Αὖθις οὖν Ποστοῦμος (74) τῷ Γαλιηνῷ ἐπανίσταται. Παῖδα γὰρ ἔχων ὁ αὐτοκράτωρ οὗτος ὁμώνυμον, δεξιόν τε καὶ εὐπρόσωπον, ὃν καὶ τῆς βασιλείας εἶχε διάδοχον, ἐν Ἀγριππίνῃ τῇ πόλει κατέλιπε, τοῖς Γάλλοις ὑπὸ Σκυθῶν πορθουμένοις ἐπικουρήσαντα. ὯΙ καί τινα Ἀλβανὸν κεκλημένον ἐπέστησε διὰ τὴν νεότητα αὐτοῦ τοῦ υἱοῦ. Ποστοῦμος δὲ, εἰς φυλακὴν τοῦ Ῥήνου ποταμοῦ ἑαθείς, ὥστε κωλύειν τοῖς πέραν οἰκοῦσιν Βαρβάροις τὴν εἰς τὴν Ῥωμαΐδα χώραν διάβασιν, λαθοῦσί τισι, καὶ διαβᾶσι τὸν ποταμὸν, καὶ λείαν ἐπαγομένοις πολλὴν ἐν τῷ ἐπανιέναι ἐπέθετο, καὶ πολλοὺς μὲν ἀνεῖλε, τὴν δὲ λείαν ἀφείλετο ξύμπασαν, καὶ ταύτην αὖτίκα τοῖς στρατιώταις διένειμεν. Ὁ μαθὼν ὁ Ἀλβανὸς, πέμψας ἀποκομισθῆναι αὐτῷ καὶ τῷ νέῳ Γαλιηνῷ τὴν λείαν ἀπῄτει. Καὶ ὁ Ποστοῦμος, συγκαλέσας τοὺς στρατιώτας, εἰσέπραττεν ἐξ αὐτῶν τὰ τῆς λείας εἰς ἀποστασίαν αὐτοὺς παραχινῆσαι μηχανώμενος, ὃ καὶ γέγονε· καὶ μετ' αὐτῶν τῇ πόλει τῇ Ἀγριππίνῃ προσέβαλε, καὶ οἱ τῆς πόλεως τόν τε παῖδα τοῦ βασιλέως καὶ τὸν Ἀλβανὸν αὐτῷ ἐκδεδώκασιν, οὓς καὶ ἄμφω ἀπέκτεινε. Ταῦτα γνοὺς ὁ Γαλιηνὸς πρὸς τὸν Ποστοῦμον ἀπῄει, καὶ συμμίξας αὐτῷ πρότερον μὲν ἡττήθη, εἶτα καὶ ἐπεκράτησεν, ὡς καὶ τὸν Ποστοῦμον φεύγειν. Στέλλεται οὖν ὁ Αὐρίολος καταδιῶξαι αὐτόν. Ὁ δὲ, καίτοι δυνάμενος καταλαβεῖν αὐτὸν, οὐκ ἠθέλησεν ἐπιδιῶξαι ἐπὶ πολὺ, ἀλλ' ἐπανελθὼν εἶπε μὴ δυνηθῆναι αὐτὸν κατα-

Variæ lectiones et notæ.

(73) *Αἰρούλοις*. Ita mss. codd. ut *Æruli*, in Regio cod. Ammiani, ut monet Henr. Valesius, quos alii Ἐλούρους vocant. Lexicon ms. Ἐλοῦρος. Ἐλούρους δὲ ἔθνος, φιλόν.

(74) *Ποστοῦμος*. Ita Zosimo appellatur, Victori et Eutropio *Posthumus*, Trebellio, et in Numis. *Posthumius*.

λήψεσθαι. Ποστοῦμος δ' οὕτω διαφυγών, αὖθις A συνίστα στρατόν. Καὶ πάλιν ὁ Γαλιηνὸς ἤλαυνεν ἐπ' αὐτὸν, καὶ ἐν πόλει τινὶ τῆς Γαλλίας καταχλείσας ἐπολιόρκει τὸν τύραννον. Ἐν δὲ τῇ πολιορκίᾳ πλήττεται βέλει ὁ βασιλεὺς τὰ μετάφρενα, καὶ νοσήσας ἐκ τούτου, τὴν πολιορκίαν διέλυσε. Καὶ ἄλλος δὲ τῷ Γαλιηνῷ κεκίνητο πόλεμος παρὰ Μακρίνου (75), ὅς, δύο ἔχων υἱοὺς Μακριανὸν καὶ Κύϊντον, τυραννίδι ἐπιχεχείρηκε. Καὶ αὐτὸς μὲν, ὅτι θάτερον πεπήρωτο τῶν σκελῶν, οὐκ ἐνέδυ τὴν στολὴν τὴν βασίλειον, τοῖς δ' υἱοῖς αὐτὴν περιέβαλε, καὶ οἱ ἐν τῇ Ἀσίᾳ ἀσμένως αὐτὸν προσεδέξαντο. Ὁ δὲ ὀλίγα πρὸς Πέρσας ἐνδιατρίψας, ἐπὶ Γαλιηνὸν παρεσκευάζετο. Καὶ τοῖς Πίρσαις Βαλλίσταν ἀντικατέστησεν, ὃν αὐτὸς προεχειρίσατο ἵππαρχον, καὶ σὺν ταύτῳ τὸν υἱὸν αὐτοῦ καταλέλοιπε Κύϊντον. B Ἧμπει οὖν ὁ βασιλεὺς κατὰ Μακρίνου καὶ Μακριανοῦ τοῦ υἱοῦ αὐτοῦ τὸν Αὐρίολον, μετὰ καὶ στρατηγῶν ἑτέρων· καὶ προσμίξαντες αὐτοῖς, ἐκύκλωσαν σφᾶς, καί τινας ἀνεῖλον. Ἐφείδοντο γὰρ αὐτῶν ὡς ὁμογενῶν, καὶ ἤλπιζον προσρυῆναι αὐτοὺς τῷ βασιλεῖ· ἐκεῖνοι δ' οὐκ ἐνεδίδουν, ἐκ δέ τινος τυχαίου συμβάματος ἅπαντες τῷ βασιλεῖ προσεχώρησαν. Βαδίζοντες γὰρ οἱ περὶ τοὺς τυραννοῦντας ὀρθίας τὰς σημαίας ἀνεῖχον. Εἷς δὲ τῶν σημαίας φερόντων ἐν τῷ βαδίζειν συμποδισθεὶς πέπτωκε, καὶ ἡ σημαία ἐκείνου πεσόντος κατήνεκτο. Ἰδόντες οὖν οἱ λοιποὶ ὅσοι τὰς σημαίας ἔφερον, τὴν κλινθεῖσαν σημαίαν, καὶ ἀγνοήσαντες ὅπως ἐκείνη ἐκέκλιτο, ὑπέλαβον (76) ἑκόντα τὸν C ταύτην κατέχοντα ἐπικλῖναι αὐτὴν τῷ βασιλεῖ μεταθέμενον. Καὶ αὐτίκα κἀκεῖνοι πάσας κεκλίκασι, καὶ προσούδισαν, καὶ τὸν Γαλιηνὸν εὐφήμησαν, μόνων τῶν Παιόνων περιλειφθέντων τοῖς περὶ τὸν Μακρῖνον. Εἶτα κἀκείνων μεταθέσθαι βουλομένων, ὁ Μακρῖνος σὺν τῷ υἱῷ αὐτοῦ μὴ ἐκδοῦναι αὐτοὺς αὐτῶν ἐδεήθησαν, ἀλλ' ἀνελεῖν πρότερον σφᾶς καὶ οὕτω προσχωρῆσαι τῷ βασιλεῖ· ὃ πεποιηκότες οἱ Παίονες παρέδωκαν ἑαυτούς. Κύϊντός γε μὴν ὁ

Balista, quem magistrum equitum crearat, contra Persas relicto, adjuncto etiam Quinto filio. Quare imperator Aureolum cum aliis ducibus contra Macrinum et Macrianum misit : qui hoste circumvento nonnullos occiderunt (parcebant enim eis, ut popularibus suis) sperantes, eos ultro ad imperatorem transituros. Sed cum non cederent, fortuito accidit, ut omnes ad officium redirent. Nam dum tyrannorum milites erectis signis incedunt, quidam ex signiferis impeditus concidit : signoque una inclinato, reliqui signiferi causæ ignari, putantes illum ultro **633** se imperatori submisisse, humi prostrati omnes idem fecerunt, Galienum faustis ominibus prosequentes ; neque ulli, præter Pæones, apud Macrinum manserunt. Qui cum et ipsi transituri essent, Macrino et filio, ipsorum rogatu, ne in hostium potestatem venirent, interfectis, imperatori se dediderunt. Galienus vero contra Quintum, juniorem Macrini filium, qui totum pene Orientem subegerat, Odenatum Palamyrenorum ducem misit. Verum Macrini et Macriani clade Pannonica nuntiata, multæ urbes a Quinto et Balista defecerunt. Quos Odenatus Emesæ aggressus, vicit ; ac Balistam ipse occidit, Quintum cives. Qua de causa in rei fortiter gestæ præmium dux totius Orientis ab imperatore designatus, fidelem se erga Romanos præbuit : magnaque parta gloria, varias gentes : multis bellis devicit, contra Persas etiam re bene gesta. Sed tandem a fratris sui filio est occisus. Qui cum in venatione belluam surgentem prior emisso jaculo dejecisset, eaque de causa a patruo objurgatus, iterum ac tertio idem fecisset : Odenatus iratus, equum ei ademit, quæ magna ignominia habetur apud Barbaros : et hominem ea de causa minas spirantem, in vincula conjecit. Sed postea rogatu filii Odenati natu majoris solutus, stricto gladio ipsum Odenatum, et ejus filium liberatorem suum, in convivio interfecit, atque ipse etiam ab aliis est occisus.

νεώτερος τοῦ Μακρίνου υἱὸς ἐν τῇ Ἐμέσῃ ἦν σὺν Βαλλίστᾳ, πᾶσαν αὐτὴν σχεδὸν πεποιημένος ὑφ' ἑαυτόν. Ἐφ οὓς ὁ Γαλιηνὸς Ὠδέναθον ἔπεμψεν, ἡγεμονεύοντα τῶν Παλμυρηνῶν. Τῆς ἥττης δὲ τῶν Μακρίνων τῆς κατὰ Παιονίαν συμβάσης ἀγγελθείσης τῷ Κυΐντῳ καὶ τῷ Βαλλίστᾳ, πολλαὶ τῶν ὑπ' αὐτοὺς ἀπέστησαν πόλεων. Οἱ δ' ἐν Ἐμέσῃ διῆγον· ἔνθα γενόμενος ὁ Ὠδέναθος, καὶ συμβαλὼν αὐτοῖς νικᾷ· καὶ τὸν μὲν Βαλλίσταν αὐτὸς ἀναιρεῖ, τὸν δὲ Κύϊντον οἱ τῆς πόλεως. Ὠδέναθον δὲ τῆς ἀνδραγαθίας ὁ βασιλεὺς ἀμειβόμενος, πάσης Ἀνατολῆς αὐτὸν προεχειρίσατο στρατηγόν. Οὗτος ὁ Ὠδέναθος, μέγας γενόμενος, καὶ Ῥωμαίοις πιστὸς, καὶ ἐν πολλοῖς πολέμοις διαφόρων ἐθνῶν καὶ κατ' αὐτῶν τῶν Περσῶν ἱστεύσας, τελευταῖον ὑπὸ τοῦ ἰδίου ἀδελφοπαιδὸς ἀνῃρέθη. Ἐν γὰρ θήρᾳ τῷ θείῳ συνὼν ἐκεῖνος, ἐπεὶ θηρίον ἐξέθορε, προεπεχείρησε, καὶ τὸν θῆρα βαλὼν ἀνεῖλεν· ὁ δὲ Ὠδέναθος ἠγανάκτησε, καὶ ἠπείλησε τῷ ἀνεψιῷ. Ὁ δὲ οὐκ ἐπαύσατο, ἀλλὰ καὶ δὶς καὶ τρὶς τοῦτο ἐποίησε· ὀργισθεὶς ὁ Ὠδέναθος ἀφείλετο τὸν ἵππον αὐτοῦ· τοῦτο δὲ εἰς μεγάλην ὕβριν τοῖς Βαρβάροις λογίζεται. Ἀχθόμενος τοίνυν ὁ νεανίας, ἠπείλει τῷ θείῳ· ὁ δὲ διὰ τοῦτο τοῦτον ἐδέσμησεν. Εἶτα ὁ πρεσβύτερος τῶν Ὠδενάθου υἱῶν λυθῆναι τὸν δέσμιον τὸν πατέρα ἠτήσατο· κἀκεῖνος λυθεὶς, συμπαίζοντι τῷ Ὠδενάθῳ ἐπελθὼν μετὰ ξίφους, κἀκεῖνον ἀνεῖλε, καὶ τὸν ἐκείνου υἱὸν, ὃν' οὗπερ ἐλέλυτο. Ἀνῃρέθη δὲ κἀκεῖνος, τινῶν ἐπιθεμένων αὐτῷ.

Variæ lectiones et notæ.

(75) *Παρὰ Μακρίνου.* Quem, ut et filium, *Macrianum* appellat Trebellius Pollio.

(76) *Ὑπέλαβον.* Id enim signum erat defectionis et deditionis. Pacatus in Panegyr. ad Theodosium : *Aliquanto melius manus illa consuluit, quæ submissis precabunda vexillis petiit veniam necessitatis*, etc. Vide Lucanum, lib. VI ; Orosium, lib. VII, cap. 36 ; Ammianum, lib. XXVI, etc.

XXV. Deinde Aureolus toti equitatui præfectus, homo potens, contra Galienum insurrexit : et Mediolano occupato, se ad invadendum imperatorem paravit. Sed ab eo, multis suorum amissis, et vulnere accepto, Mediolanum compulsus, ubique obsessus est. Dum autem Galienus contra hostes excursiones facit, imperatrix, quam secum adduxerat, in periculo fuit. Nam cum hostes vallum a paucis admodum militibus custodiri animadvertissent, imperatoris tabernaculum invaserunt, imperatricis rapiendæ causa. Sed miles quidam gregarius, qui ante tabernaculum sedens, calceum pede detractum **634** consuebat : arrepto clypeo et pugione, in eos ferociter irruit, et uno atque altero percusso, cæteros illius audacia territos repulit, dum plurium concursu conjux imperatoris erepta est. Quo Mediolanum adhuc obsidente, Aurelianus cum equitibus ad Galienum venit : cujus occidendi consilium proceres cum Aureliano in tum, dum Mediolanum caperetur, differre habebant in animo. Sed cum id esse proditum intellexissent, maturatis insidiis, Galieno hostium adventum nuntiant, contra quos illi statim sub prandii tempus paucis comitantibus egredienti, occurrunt equites. Qui cum non procul ab eo distantes, nec ex equis descenderent, nec ullum alium honorem imperatori debitum haberent : comites suos rogat, quid illi sibi vellent? qui cum respondissent, eos imperium illi abrogaturos : statim laxatis habenis in fugam conversus, insidiatores equi celeritate effugisset, nisi is ad fossam quamdam territus substitisset, ubi persequentibus eum assecutis, a quodam hasta ictus, decidit equo : nec multo post ex sanguinis profluvio decessit. Imperavit solus, et cum patre, annos quindecim. Animo liberali fuit, atque omnibus gratificari studuit, neque quemquam voti impotem dimisit : ne adversariis quidem suis, aut iis qui tyrannos secuti fuerant, supplicio affectis. Ac alii sic periisse Galienum, alii ab Heracliano præfecto cæsum esse tradiunt. Nam cum Aureolus, qui Gallicis legionibus præerat, mota seditione cum exercitu in Italiam contenderet, Galienum contra eum abeuntem, dum noctu in tabernaculo dormit, ab Heracliano Aureoli conjurato excitatum esse. Qui cum ei et Claudio viro bellicosissimo, Aureolum jam cum magnis copiis adventare nuntiasset, Galienum subito nuntio perterritum, ac seminudum lecto exsilientem, armaque petentem, ab illo cæsum esse. Hujus temporibus Xystus, undecimo Romani episcopatus anno defunctus, Dionysium successorem habuit. Demetriano Antiocheno mortuo, Paulus Samosatenus successit qui de Christo humiliter docuit, cum hominem esse natura communi præditum, et non Deum. Contra **635** hunc aliarum Ecclesiarum pastores concilium indixerunt, cui etiam Gregorius Thaumaturgus, et frater ejus Athenodorus interfuerunt : eumque ni perperam de Christo sentientem, convictum,

ΚΕ'. Ἄλλη δὲ ἑτέρα κατὰ τοῦ Γαλιηνοῦ ἐπανάστασις γέγονεν, ἣν Αὐρίολος συνεστήσατο, πάσης ἄρχων τῆς ἵππου καὶ μέγα δυνάμενος· ὃς, τὴν πόλιν τὰ Μεδιόλανα κατασχών, ἡτοιμάζετο συμμίξαι τῷ βασιλεῖ. Ἐλθὼν δὲ κἀκεῖνος μετὰ δυνάμεως, καὶ τῷ τυραννοῦντι ἀντιταξάμενος, πολλοὺς τῶν αὐτῷ συνόντων διέφθειρεν. Ὅτε καὶ ὁ Αὐρίολος ἐτρώθη, καὶ εἰς Μεδιόλανα κατεκλείσθη, παρὰ τοῦ βασιλέως ἐκεῖσε πολιορκούμενος. Τοῦ δὲ Γαλιηνοῦ ἐπεκδρομὰς ποιουμένου κατά τινας τῶν πολεμίων, ἐν κινδύνῳ ποτὲ γέγονεν ἡ βασίλισσα· συνῆν γὰρ αὐτῷ. Ὡς γὰρ ὁ βασιλεὺς ἐπεξέδραμε μετὰ τῶν πλειόνων στρατιωτῶν, ὀλίγοι πάνυ περιελείφθησαν περὶ τὸ χαράκωμα. Ὅπερ οἱ πολέμιοι θεασάμενοι ἐπῆλθον τῇ τοῦ βασιλέως σκηνῇ, ἁρπάσαι διανοούμενοι τὴν βασίλισσαν. Εἷς δέ τι, τῶν τιμηθέντων στρατιωτῶν πρὸ τῆς σκηνῆς καθήμενος, καὶ τὸ οἰκεῖον ὑπόδημα τοῦ ποδὸς ἐκβαλὼν συνέῤῥαπτεν αὐτό. Ὡς οὖν εἶδε τοὺς πολεμίους ἐπερχομένους, ἁρπάσας ἀσπίδα καὶ ἐγχειρίδιον, περιθύμως ὥρμησε κατ' αὐτῶν, καὶ πλήξας ἕνα, καὶ δεύτερον, ἀνέκοψε τοὺς λοιποὺς, ἀποδεδειλιακότας πρὸς τὴν ἐκείνου ὁρμήν. Καὶ οὕτω πλειόνων συνδραμόντων στρατιωτῶν ἢ τοῦ βασιλέως διασέσωστο γαμετή. Ἔτι δὲ πολιορκοῦντος τοῦ βασιλέως τὰ Μεδιόλανα, Αὐρηλιανὸς σὺν ἵπποις προσῆλθεν αὐτῷ, μεθ' οὗ ἀνελεῖν αὐτὸν οἱ μεγιστᾶνες προεβουλεύσαντο· ὑπερετίθεντο δὲ τὸ σκέμμα, ἕως ἁλῷεν τὰ Μεδιόλανα. Μαθόντες δ' ἔγνωσθαι τὸ σφῶν διαβούλιον, ἐπιτάχυναν τὴν ἐπιβουλὴν καὶ στέλλουσί τινας πολεμίους ἐπιέναι τῷ Γαλιηνῷ ἀγγέλλοντας. Ὁ δὲ αὐτίκα ἐξώρμησε κατ' αὐτῶν, ὥρας ἤδη ἐφεστώσης ἀρίστου, καὶ ὀλίγων συνεφεπομένων αὐτῷ. Ἀπιόντι δὲ συναντῶσιν ἱππεῖς· ὧν οὐ πόῤῥω που ἀφεστώτων αὐτοῦ, καὶ μήτε τῶν ἵππων ἀποβάντων, μήτε τι ἕτερον ποιούντων ἃ πρὸς βασιλεῖς νενόμισται γίνεσθαι, ἤρετο τοὺς παρόντας ἐκεῖνος, Τί οὗτοι βούλονται; οἱ δὲ, Παῦσαί σε τῆς ἀρχῆς, ἀπεκρίθησαν. Καὶ ὃς αὐτίκα τὸν χαλινὸν τῷ ἵππῳ ἐνδοὺς, εἰς φυγὴν ἐτράπη. Καὶ κἂν διέφυγε τοὺς ἐπιβουλεύοντας τῇ ταχυτῆτι τοῦ ἵππου, εἰ μὴ ὕδατος ἐνέτυχεν ὀχετῷ. Παρελθεῖν γὰρ τοῦτον ὁ ἵππος ἀποδειλιακὼς, ἔστη· καὶ οὕτω κατέλαβον οἱ διώκοντες, καί τις κατ' αὐτοῦ τὸ δόρυ ἠκόντισεν. Ὁ δὲ πληγεὶς τοῦ ἵππου κατήνεκτο, καὶ ἐπὶ μικρὸν διαρκέσας, ἐκ τῆς τοῦ αἵματος ἐτελεύτησε ῥύσεως, βασιλεύσας ἐνιαυτοὺς πεντεκαίδεκα σὺν τοῖς τοῦ πατρός. Ἦν δὲ τὴν γνώμην φιλότιμος καὶ πᾶσι θέλων χαρίζεσθαι, καὶ οὐδεὶς αἰτούμενος αὐτὸν διημάρτανεν· οὔτε μὴν τοὺς ἐναντιωθέντας αὐτῷ, ἢ προστεθέντας τοῖς τυραννήσασιν, ἐτιμωρήσατο. Οἱ μὲν οὖν οὕτως ἱστόρησαν ἀναιρεθῆναι τὸν Γαλιηνόν· οἱ δὲ παρὰ Ἡρακλειανοῦ τοῦ ἐπάρχου σφαγῆναι τοῦτόν φασι. Τοῦ γὰρ Αὐριόλου ἐν Κελτοῖς στρατηγοῦντος, καὶ ἐπαναστάντος αὐτῷ ἥκοντός τε ἐπὶ Ἰταλίαν σὺν ταῖς δυνάμεσι, καὶ ὁ Γαλιηνὸς κατ' ἐκείνου ἐξώρμησε. Νυκτὸς δὲ πρόσεισιν αὐτῷ, ἐν τῇ σκηνῇ καθεύδοντι ὁ Ἡρακλειανὸς κεκοινωνηκὼς τῆς ἐπιβουλῆς καὶ Κλαυδίῳ, ἀνδρὶ στρατηγικωτάτῳ, ἀπαγγέλλων ὡς

Αὐρίολος ἤδη ἔπεισι μετὰ βαρείας δυνάμεως. Ὁ δὲ, A πρὸς τὸ τῆς ἀγγελίας αἰφνίδιον τεθορυβημένος, τῆς κλίνης ἀναθορὼν καὶ ἡμίγυμνος ἥτει τὰ ὅπλα. Καὶ ὁ Ἡρακλειανὸς πλήττει τοῦτον καιρίαν, καὶ ἀποκτίννυσιν. Ἐν τοῖς τούτου χρόνοις Ξύστος, ὁ τῆς Ῥωμαίων Ἐκκλησίας ἐπ' ἔτη προστὰς ἕνδεκα, τελευτᾷ, καὶ Διονύσιος αὐτὸν διαδέχεται. Ἀλλὰ καὶ τοῦ ἐν Ἀντιοχείᾳ τὴν τοῦ Χριστοῦ ποιμαίνοντος ποίμνην Δημητριανοῦ τὴν ζωὴν ἐκμετρήσαντος Παῦλος ὁ Σαμοσατεὺς παραλαμβάνει τὴν Ἐκκλησίαν, ὃς ταπεινὰ περὶ Χριστοῦ ἐδογμάτισεν, ὡς ἀνθρώπου κοινοῦ τὴν φύσιν γενομένου, καὶ οὐ Θεοῦ. Καθ' οὗ σύνοδον οἱ τῶν λοιπῶν Ἐκκλησιῶν ποιμένες συνηθροικότες, ἐν ᾗ παρῆν καὶ Γρηγόριος ὁ Θαυματουργὸς καὶ ὁ τούτου αὐτάδελφος Ἀθηνόδωρος, ἤλεγξαν αὐτὸν κακῶς περὶ Χριστοῦ φρονοῦντα, καὶ ἀπεκήρυξαν. Μὴ πειθομένου δ' ἐκείνου ἀποστῆναι τῆς Ἐκκλησίας, Αὐρηλιανὸς τότε κρατῶν, καὶ ἐντευξιν περὶ τούτου δεξάμενος παρὰ τῶν ὀρθοδόξων, διάταγμα ἔθετο, ἐκείνοις νεμηθῆναι τὴν Ἐκκλησίαν, οἷς ἂν οἱ κατὰ τὴν Ἰώμην καὶ τὴν Ἰταλίαν ἐπίσκοποι πρόσθοιντο. Ἐντεῦθεν ἀτίμως ἐξηλάθη τῆς Ἐκκλησίας ὁ Παῦλος, καὶ ἀντεισήχθη Δόμνος.

Kς'. Τοῦ μέντοι Γαλιηνοῦ ἀνηρημένου, Κλαύδιος B ἀνερρήθη Καῖσαρ. Καὶ ὁ Αὐρίολος, τὰ ὅπλα καταβαλόμενος, αὐτῷ ὑπετάγη· ὃς, αὖθις τυραννῆσαι ἐπιχειρῶν, ὑπὸ τῶν στρατιωτῶν διεφθάρη. Κλαύδιος δὲ (77), χρηστὸς τυγχάνων ἀνὴρ, καὶ δικαιοσύνῃ στοιχῶν, ἀπηγόρευσε πᾶσι ζητεῖν ἐκ βασιλέως ἀλλότρια πράγματα. Νενόμισται γὰρ τοὺς βασιλεῖς δύνασθαι δωρεῖσθαι καὶ τὰ ἀλλότρια, ὅθεν καὶ οἱ ἔτι κείμενοι νόμοι παρὰ τῇ πολιτείᾳ ἐσχήκασι τὴν ἀρχήν. Προσῆλθεν οὖν γυνή τις, ἧς χωρίον αὐτὸς πρὸ τῆς βασιλείας εἵλῆφει ἐκ βασιλικῆς δωρεᾶς, λέγουσα· *Κλαύδιος ὁ ἵππαρχος ἠδίκησέ με.* Ὁ δὲ, *Ὅπερ ὁ Κλαύδιος ἰδιώτης ὢν ἀφείλετο*, εἶπεν, *ἠνίκα μὴ τι αὐτῷ τῶν νόμων ἔμελε, τοῦτο βασιλεύσας ἀποκαθίστησιν.* Ἐν Ῥώμῃ δέ γε, ἡ σύγκλητος C μαθοῦσα τὴν τοῦ Γαλιηνοῦ ἀναίρεσιν, τὸν ἀδελφὸν ἐκείνου καὶ τὸν υἱὸν ἐθανάτωσαν. Τοῦ μέντοι Ποστούμου τυραννοῦντος ἔτι, καὶ Βαρβάρων διὰ τῆς Μαιώτιδος διαβάντων λίμνης εἰς Ἀσίαν τε καὶ Εὐρώπην καὶ λῃζομένων αὐτὰς, βουλῆς τε προτεθείσης τίνι πρότερον ἐπιχειρητέον πολέμῳ· ὁ Κλαύδιος ἔφη ὡς *Ὁ πρὸς τὸν τύραννον πόλεμος ἐμοὶ διαφέρει, ὁ δὲ πρὸς τοὺς Βαρβάρους τῇ πολιτείᾳ, καὶ χρὴ προτιμηθῆναι τὸν τῆς πολιτείας.* Οἱ Βάρβαροι δὲ πολλὰς μὲν κατέδραμον χώρας, τὴν δέ γε Θεσσαλονίκην ἐπολιόρκουν, ἣ πάλαι μὲν Ἰμαθία καλεῖσθαι λέγεται, Θεσσαλονίκη δὲ μετονομασθῆναι ἐκ τῆς Φιλίππου μὲν θυγατρὸς, Κασάνδρου δὲ γυναικὸς Θεσσαλονίκης. Ἀλλ' ἐκείνης μὲν τῆς πόλεως ἀπεκρούσθησαν· ἐπελθόντες δὲ ταῖς Ἀθήναις, D εἷλον αὐτὰς, καὶ συναγαγόντες πάντα τὰ ἐν τῇ πόλει βιβλία, καῦσαι ταῦτα ἠβούλοντο. Εἷς δέ τις

XXVI. Galieno interfecto, Claudius Cæsar est designatus, cui Aureolus armis positis se submisit : sed cum denuo regnum affectaret, a militibus occisus est. Claudius vero cum vir bonus justitiæque sectator esset, interdixit ne ultra cuiquam bona aliena ab imperatore peteret. Receptum id enim moribus erat imperatores etiam aliena donare, quandoquidem idem jus reipublicæ stanti per leges fuerat. Itaque mulier quædam, cujus prædium ipse ante imperium ex dono imperatoris acceperat, accessit, a Claudio magistro equitum injuriam sibi esse factam conquerens. Tum ille : *Quod*, inquit, *Claudius, dum privatus erat, nec leges curabat, abstulit, hoc factus imperator restituit.* Senatus Romanus, Galieni cæde cognita, fratrem illius et filium etiam occidit. Cum autem Posthumus adhuc tyrannidem obtineret, et Barbari Mæotide palude superata, Asiam Europamque vastarent, ac utrum bellum prius conficiendum esset, deliberaretur, Claudius dixit, *Bellum Posthumicum mea interest, Barbaricum reipublicæ, cujus in primis habenda est ratio.* Cæterum Barbari multas provincias incursantes, Thessalonicam, quæ, cum olim Emathia diceretur, a Philippi filia Cassandro nupta hoc nomen accepisse fertur, obsederunt : ab eaque repulsi, Athenas ceperunt. Ubi cum omnes libros in unum acervum congestos crematuri essent, unus ex cordatioribus populares suos a proposito revocavit : quod Græci, dum iis rebus occupati, rem militarem negligerent, facile superari possent. Enimvero Cleodemus, vir Atheniensis, fuga elapsus, coactaque

Variæ lectiones et notæ.

(77) *Κλαύδιος δέ.* Hæc de Claudii justitia, verbis Petri Fabri Sanjoriani, lib. II *Semestr.* cap. 23, reddidimus, cum horum sensum vix ceperit interpres, et quæ salebrosa agnovit Henric. Valesius ad Dionis Excerpta, p. 208. Ea vero de optimo quodam auctore sumpta existimat idem Faber, et vocem ἀλλότρια, sive *aliena*, hoc loco, intelligi non debere omnia quæ privatus quisque jure dominii pertinet. Nam quis, inquit, fando unquam audivit, ea vel peti solita esse, vel ab imperatore olim donari potuisse? nisi forte quod multo ante in Asia factitasse Antonium scribit Plutarchus, id imperatoribus usuvenerit : quod quidem Fabro non placet, qui pertinere edictum istud putat ad titulum *De petitionibus bonorum sublatis* : ita ut aliena intelligi debeant, ea scilicet quæ reorum quidem, sed indemnatorum adhuc et viventium bona sunt, itemque caduca seu vacantia : imo vero etiam damnatorum et proscriptorum bona, quæ tamen fisco nuntiata, nondum addita, seu incorporata sunt, cum hæc quoque aliena quodammodo esse videantur.

multitudine, navibus ex mari hostes adortus, tantam cædem edidit, ut reliqui etiam inde aufugerent. Claudius vero cum eos in variis provinciis dispersos, **636** partim navalibus, partim terrestribus prœliis superasset, multis etiam tempestatum vexationibus et fame consumptis, Sirmii ægrotans: cum primoribus exercitus convocatis, de imperatore creando dissereret, Aurelianum imperio dignum esse dixit. Sunt, qui cum statim imperatorem salutatum esse dicant. Alii asserunt, senatum, Claudii morte audita, Quintiliano fratri ejus, ob ipsius desiderium, detulisse imperium: qui ut homo simplex, et ad res gerendas parum idoneus, cum Aurelianum a militibus imperatorem salutatum esse audivisset, incisa manus vena ex profluvio sanguinis ultro necem sibi conciverit, per XVII duntaxat dies quasi somniato imperio. De spatio imperii Claudii, scriptores non consentiunt: quorum alii, eum unum annum, alii, ut et Eusebius, biennium imperasse ferunt. Hujus imperatoris Claudii ex filia nepos fuit Constans Chlorus, Magni Constantini pater.

τῶν συνετῶν παρ' αὐτοῖς δοκούντων ἀπεῖρξε τοὺς ὁμοφύλους τοῦ ἐγχειρήματος, φάμενος ὡς περὶ ταῦτα οἱ Ἕλληνες ἀσχολούμενοι πολεμικῶν ἀμελοῦσιν ἔργων, καὶ οὕτως εὐχείρωτοι γίνονται. Κλεόδημος (78) δὲ, Ἀθηναῖος ἀνὴρ, διαβράναι ἰσχύσας, καὶ πλῆθος συναγαγών, μετὰ πλοίων ἐκ θαλάσσης ἐπῆλθεν αὐτοῖς, καὶ πολλοὺς ἀνεῖλεν, ὡς καὶ τοὺς περιλειφθέντας ἐκεῖθεν φυγεῖν. Κλαύδιος δὲ κατὰ τούτων ὁρμήσας, ἐν πολλαῖς σκεδασθέντων χώραις, ποτὲ μὲν ναυμαχίαις ποτὲ δὲ κατὰ γῆν συνισταμέναις μάχαις ἐνίκησε. Καὶ χειμῶνες δὲ αὐτοὺς ἐκάκωσαν, καὶ λιμὸς ἐπίεσε καὶ διέφθειρεν. Ἐν δὲ τῷ Σιρμίῳ διατρίβων ὁ Κλαύδιος ἐνόσησε, καὶ συγκαλέσας τὸ λογιμώτερον τοῦ στρατεύματος περὶ βασιλέως διελέχθη αὐτοῖς, καὶ τὸν Αὐρηλιανὸν ἄξιον τῆς βασιλείας εἶπε τυγχάνειν. Εἰσὶ δ'. οἳ λέγουσιν ὅτι καὶ αὐτίκα βασιλέα ἀντεῖπεν αὐτόν. Ἔνιοι δὲ λέγουσι τὴν σύγκλητον ἐν Ῥώμῃ, μαθοῦσαν τοῦ Κλαυδίου τὸν θάνατον, Κυντιλιανὸν (79) τὸν ἀδελφὸν ἐκείνου, διὰ τὸν πρὸς Κλαύδιον πόθον ἀξιῶσαι τῆς βασιλείας, τὸ δὲ στρατιωτικὸν ἀναγορεῦσαι τὸν Αὐρηλιανόν. Ἀφελὴς δὲ ὢν ὁ Κυντιλιανὸς, καὶ πρὸς πραγμάτων ἀπαπεφυκὼς μεταχείρισιν, μαθὼν τὴν ἀνάρρησιν τοῦ Αὐρηλιανοῦ, ἑαυτὸν ἀνεῖλε, τεμὼν τὴν φλέβα τῆς οἰκείας χειρὸς, καὶ τῇ ἐκεῖθεν τοῦ αἵματος ἐκπορύξας ῥοῇ, ἑπταικαίδεκα μόνας ἡμέρας (80) ὀνειρώξας ὥσπερ τὴν αὐταρχίαν. Ἀλλ' οὐδὲ περὶ τοῦ χρόνου τῆς τοῦ Κλαυδίου ἀρχῆς ἀλλήλοις συμφωνοῦσιν οἱ συγγραφεῖς. Οἱ μὲν γὰρ ἐφ' ἕνα ἄρξαι τοῦτον ἱστοροῦσιν ἐνιαυτὸν, οἱ δὲ ἐπὶ δύο, ὧν ἐστι καὶ Εὐσέβιος. Τούτου τοῦ βασιλέως Κλαυδίου θυγατριδοῦς ἦν Κώνστας ὁ Χλωρὸς, ὁ τοῦ μεγάλου Κωνσταντίνου πατήρ.

XXVII. Aurelianus principatu Romanorum positus, magnates rogavit, quo pacto imperandum esset. Quorum unus ei respondit: *Si rempublicam rite administrare volueris, auro et ferro te munitum esse oportebit: ac ferro quidem contra hostes uti, tui vero observantes auro remunerari.* Atque is primus sui consilii tulisse fructum fertur, non multo post Aureliani ferrum expertus. Qui principio imperii Christianis clementem se præbuit: sed progressu temporis mutatus, persecutionem et ipse contra eos meditatus est. Verum cum jam decreta contra Christi cultores scriberentur, divina vindicta improbitatem ejus, vita adempta, coercuit. Sed nondum de ejus obitu, donec res sub eo gestas exposuerimus. Nam cum rei militaris peritissimus esset, multa bella prospere confecit. Palamyrenos subegit, eorumque reginam Zenobiam, Probo prætore capto. Ægypto potitam debellavit et subegit. Hanc alii Romam perductam viro claro nupsisse ferunt: alii in itinere præ animi ægritudine ob mutatam fortunam obiisse: defunctæ filiam unam uxorem duxisse Aurelianum, cæteras nobilibus Romanis despondisse. Hic Gallias etiam, plurimis annis a tyrannis occupatas, imperio Romano

ΚΖ'. Αὐρηλιανὸς δὲ, τῆς ἡγεμονίας ἐπιβεβηκὼς Ῥωμαίων, ἤρετο τοὺς ἐν τέλει ὅπως βασιλεύειν χρεών. Ὧν εἷς εἶπεν αὐτῷ ὡς *Ἐὰν βούλει βασιλεῦσαι καλῶς, χρυσῷ σε δεῖ καὶ σιδήρῳ περιφράξαι σεαυτὸν, κατὰ μὲν τῶν λυπούντων κεχρημένον σιδήρῳ, τοὺς δέ γε θεραπεύοντας χρυσῷ ἀμειβόμενον.* Ὃς πρῶτος, ὡς λέγεται, τῆς οἰκείας ταύτης ἀπώνατο συμβουλῆς, μετ' οὐ πολὺ τοῦ σιδήρου πειραθείς. Οὗτος ὁ αὐτοκράτωρ πρότερον μὲν τοῖς τὸν Χριστὸν σεβομένοις ἐπιεικῶς προσεφέρετο· προϊόντος δέ οἱ τοῦ χρόνου τῆς αὐταρχίας, ἠλλοίωτο, καὶ διωγμὸν ἐγεῖραι κατὰ τῶν πιστῶν καὶ αὐτὸς ἐβουλεύσατο, καὶ ἤδη καὶ διατάγματα συνεγράφετο. Ἀλλ' ἐπέσχεν ἡ θεία δίκη τὴν κατὰ τῶν σεβομένων Ἰησοῦν τὸν Χριστὸν ὁρμὴν τῆς κακίας αὐτοῦ, ὑποτεμοῦσα τὴν ἐκείνου ζωήν. Ἀλλὰ μήπω περὶ τοῦ τέλους αὐτοῦ, τὰ δ' ἐν τῇ αὐταρχίᾳ αὐτῷ πραχθέντα διηγητέον. Στρατηγικώτατος γὰρ ὢν πολλοὺς πολέμους ἐνίκησε. Τούς τε γὰρ Παλμυρηνοὺς ἐχειρώσατο, καὶ τὴν αὐτῶν βασίλισσαν Ζηνοβίαν κρατήσασαν καὶ Αἰγύπτου καὶ τὸν ἐκεῖ τότε στρατηγοῦντα Πρόβον ἑλοῦσαν αὐτὸς κατ' αὐτῆς στρατεύσας κατεπολέμησε καὶ ὑπέταξεν. Ἦν ἔνιοι μὲν εἰς Ῥώμην (81) ἀπαχθῆναί φασι

Variæ lectiones et notæ.

(78) *Κλεόδημος*. Sic tres mss. alter e Wolfianis, Κλεομήδης.

(79) *Κυντιλιανόν*. Quem *Quintillum* vocat Trebellius Pollio, ut et Vopiscus in Aureliano: Κύντιλλον, Zosimus, lib. I.

(80) *Ἑπτὰ καὶ δέκα ἡμέρας*. Ita etiam Pollio Victor paucis diebus imperium tenuisse Quintillum ait.

(81) *Ἦν ἔνιοι μὲν εἰς Ῥώμην*. Locum hunc Zonaræ expendit Scaliger ad Eusebium p. 239, II edit.

καὶ ὁ δῆμος συναφθῆναι τῶν ἐπιφανεστέρων ἑνί· οἱ δὲ καθ' ὁδὸν αὐτὴν θανεῖν λέγουσι, περιαλγήσασαν διὰ τὴν τῆς τύχης μεταβολήν· μίαν δὲ τῶν θυγατέρων αὐτῆς εἰς γυναῖκα λαβεῖν τὸν Αὐρηλιανὸν, τὰς δὲ λοιπὰς ἐπισήμους τῶν Ῥωμαίων συζεῦξαι. Οὗτος δὲ τὰς Γαλλίας ἐπὶ πλείστοις ἔτεσι παρά τινων τυραννούντων κατεχομένας, τῇ Ῥωμαίων ἡγεμονίᾳ αὖθις ἐπανεσώσατο, καὶ ἄρχοντας ταύταις ἐγκαταστήσας, αὐτὸς ἐπὶ Ῥώμην ἐπανελήλυθε, καὶ ἐθριάμβευσεν ἐπὶ ὀχήματος ἐλεφάντων τεσσάρων. Ἀλλὰ καὶ Γάλλους τότε κινηθέντας κατηγωνίσατο. Ἐπεὶ δὲ καὶ ἐπὶ Σκύθας τὴν στρατείαν ἔθετο, ἀνῃρέθη, γενόμενος κατὰ τὴν Θρᾳκῴαν Ἡράκλειαν. Ἔρως γάρ τις καλούμενος, καὶ τῶν ἔξωθεν φερομένων (82) ἀποκρίσεων ὢν μηνυτής, ὡς δέ τινες ἱστοροῦσιν, ὠτακουστὴς καὶ προσαγγέλλων τῷ βασιλεῖ τὰ παρά τινων περὶ αὐτοῦ λεγόμενα, ὀργισθέντος αὐτὸν τοῦ Αὐρηλιανοῦ, ἐπεβούλευσεν αὐτῷ. Καὶ μιμησάμενος τὰ ἐκείνου γράμματα, γραφήν τινα συνέταξεν ὀνόματα περιέχουσάν τινων δυνατῶν κελεύουσαν τὴν ἐπὶ θάνατον ἐκείνους ἀχθήσεσθαι· ἣν ἐκείνοις ὑποδείξας, παρέθηξε τοὺς ἄνδρας πρὸς φόνον τοῦ αὐτοκράτορος. Δείσαντες γὰρ ἐκεῖνοι περὶ τῇ σφετέρᾳ ζωῇ, ἐπιτίθενται τῷ Αὐρηλιανῷ, καὶ ἀναιροῦσιν αὐτὸν, ἓξ ἐνιαυτοὺς ἡνυκότα παρὰ τῇ βασιλείᾳ, μηνῶν ὀλίγων (83) ἐνδέοντας.

A recuperavit : et magistratibus ibi ordinatis Romam reversus, **637** quadrigis elephantorum triumpha vit. Gallos quoque, tum res novas molitos, devicit. Sed cum expeditionem contra Scythas suscepisset, juxta Thraciæ Heracleam est occisus. Nam Eros quidam a responsis externis, aut, ut alii tradunt, delator, imperatori ea quæ in eum dicerentur, referre solitus, insidias Aureliano, a quo per iracundiam objurgatus erat, comparavit : et manum ejus imitatus, litteras composuit, quibus potentes quidam viri capitis damnarentur, iisque ostensis, eosdem ad cædem imperatoris incitavit : qui vitæ suæ metuentes, Aurelianum sustulerunt, VI annis imperio potitum, paucis mensibus demptis.

ΚΗ'. Ὃν διεδέξατο Τάκιτος, πρεσβύτης ἀνήρ· πέντε γὰρ ἐτῶν εἶναι καὶ ἑβδομήκοντα ἀναγράφεται, ὅτε ἠρέθη εἰς μοναρχίαν. Τὸ στρατιωτικὸν (84) δὲ αὐτὸν ἀνηγόρευσε καὶ ἀπόντα (ἐν Καμπανίᾳ γὰρ τότε διέτριβεν), ἔνθα δεδεγμένος τὸ ψήφισμα, εἰς Ῥώμην εἰσήλασε μετὰ σχήματος ἰδιωτικοῦ, καὶ γνώμῃ τῆς συγκλήτου τε καὶ τοῦ δήμου τὴν στολὴν περιεβάλετο τὴν βασίλειον. Σκύθαι δὲ τὴν Μαιώτιδα λίμνην καὶ τὸν Φᾶσιν ποταμὸν περαιωθέντες, Πόντῳ καὶ Καππαδοκίᾳ ἐπῆλθον καὶ Γαλατίᾳ καὶ Κιλικίᾳ. Τούτοις ὁ Τάκιτος συμμίξας, καὶ ὁ Φλωριανὸς ὕπαρχος ὢν πολλοὺς ἀνεῖλον· οἱ δὲ λοιποὶ φυγῇ τὴν σωτηρίαν ἐπραγματεύσαντο. Μαξιμῖνον δέ τινα συγγενῆ ἑαυτοῦ ἡγεμόνα τῆς Συρίας προεχειρίσατο Τάκιτος. Ὁ δὲ κακῶς τῇ ἀρχῇ χρώμενος ἀνῃρέθη παρὰ στρατιωτῶν. Καὶ δείσαντες οἱ τοῦτον ἀνελόντες, ὡς οὐκ ἀτιμωρήτους αὐτοὺς ὁ αὐτοκράτωρ ἕβδομον μῆνα παρὰ τῇ βασιλείᾳ ἀνύσαντα, κατά δέ τινας μὴ ὅλους δύω ἐνιαυτούς.

B XXVIII. Ei successit Tacitus, homo senex, qui annos LXXV natus imperium suscepisse dicitur, et absens in Campania declaratus esse a militibus. Ubi decreto accepto, privato habitu Romam ingressus, de sententia senatus populique imperatoria insignia sumpsit. Cum autem Scythæ, Maeotide palude et Phaside amne superato, Pontum, Cappadociam, Galatiam et Ciliciam invasissent : Tacitus et Florianus præfectus multos occiderunt, reliqui fuga salutem quæsiverunt. Cum vero Maximinum quemdam, a Tacito cognato Syriæ ducem creatum, milites potestate abutentem occidissent, supplicium ejus facinoris metuentes, imperatorem quoque persecuti, nondum vel septimo mense, vel juxta quosdam necdum integro biennio in imperio exacto, trucidarunt.

τοῦ Κυρίου λαόν. Καὶ Ζώσιμος τῷ θρόνῳ τῆς Ῥωμαίων Ἐκκλησίας ἐνίδρυτο, θανόντος Ἰννοκεντίου. Ὃν δωδέκατον ἡνυκότα ἐνιαυτὸν Κελεστῖνος διεδέξατο, ἐπ' ἔτη τῇ ἀρχιερωσύνῃ δέκα ἐνδιαπρέψας. Τούτῳ Ξύστος διάδοχος γέγονεν, ὄγδοον ἐνιαυτὸν διαρκέσας. Εἶτα Λέων ἀντεισήχθη, τῶν ὀρθῶν δογμάτων ἀντιποιησάμενος, ἐπ' ἔτεσιν εἴκοσι πρὸς τοῖς τέσσαρσι. Καὶ ἐκλιπόντος τοῦ Λέοντος Ἴλαρίων εἰς τὸν θρόνον ἀνθίδρυτο, ἕκτον ἐκπλήσας ἐνιαυτόν. Ἀνθ' οὗπερ Σιμπλίκιος (97) κεχειροτόνητο, καὶ ἐπὶ ἐννεακαιδέκατον ἔτος τὸ τῆς ποιμαντικῆς καὶ οὗτος λειτούργημα διανύσας, ἐξέλιπε· καὶ ἀντεισῆκτο Φῆλιξ. Ἐννάτῳ δ' ἐνιαυτῷ καὶ οὗτος ἐκλελοιπὼς, Γελασίῳ τὴν τιμὴν καταλέλοιπε, πέντε ταύτης ἀπολαύσαντι ἔτη. Μεθ' ὃν Ἀναστάσιος ἐπελέγη. Μετὰ τέταρτον δὲ καὶ οὗτος ἐνιαυτὸν ὑπὸ Συμμάχου διεδέχθη. Οὗ δυοκαίδεκα ἐνιαυτοὺς ἐπὶ τῇ ἀρχιερωσύνῃ διαγαγόντος, Ὁρμίσδας ἐξείλεκτο. Δεκάτῳ δὲ καὶ οὗτος ἐνιαυτῷ τὸ λειτούργημα διανύσας, κατέλυσε τὴν ζωὴν, καὶ Ἰωάννην ὁ θρόνος τῆς Ῥωμαίων Ἐκκλησίας διεδέξατο ἐπὶ τριετίαν. Μεθ' ὃν Φῆλιξ τῶν ἐν Ῥώμῃ προέστη πιστῶν, τετραετίαν τῆς τιμῆς ἀπολαύσας. Εἶτα Βονιφάτιος ἐπὶ διετίαν τῆς προστασίας ἠξίωτο, καὶ ἐπὶ τούτῳ Ἀγαπητὸς (98) προχεχείριστο. Δύω δὲ καὶ οὗτος ἐνιαυτοὺς ποιμάνας τὸ ἐν Ῥώμῃ τοῦ ἀρχιποιμένος Χριστοῦ πολμνιον, ἀπέτισε τὸ χρεών, καὶ ἐχειροτονήθη Ῥώμης ἀρχιερεὺς Σιλβήριος. Ἕνα δὲ καὶ οὗτος ἀρχιερατεύσας ἐνιαυτὸν τὴν ζωὴν ἐξεμέτρησε. Καὶ τούτῳ διάδοχος Βιγίλιος γέγονεν. Ὀκτωκαιδέκατον δὲ τούτου ἔτος διηνυκότος ἐν τῇ ἀρχῇ, ἀνθηρέθη Πελάγιος. Ὃς, πέμπτον ἐνιαυτὸν τῇ λειτουργίᾳ ἐσχολακὼς, ἀπῆλθε, καὶ Ἰωάννην ἡ ἀρχιερατικὴ καθέδρα τῶν Ῥωμαίων ἐδέξατο ἐπὶ χρόνοις ὀκτὼ, καὶ μετὰ τοῦτον Γρηγόριον ἐπὶ πεντεκαίδεκα. Μεθ' ὃν οὐκέτι κατὰ συνέχειαν οἱ τῆς Ῥωμαίων Ἐκκλησίας προστάντες εὑρηνται. Ἐν Ἀντιοχείᾳ δὲ τῇ κατὰ Κοίλην Συρίαν τὸν Παυλῖνον ἔτη πέντε τῇ λειτουργίᾳ σχολάσαντα Εὐστάθιος διεδέξατο, καὶ τοῦ Εὐσταθίου ἐπ' ἔτη ποιμάναντος τοὺς πιστοὺς ὀκτωκαίδεκα, Εὐφρόνιος ἐλειτούργησεν ἔτος ὄγδοον. Μεθ' ὃν Φλάκιτος δωδέκατον ἡνυσεν ἔτος· εἶτα Στέφανος αἱρεσιώτης Ἀρείου παρεισεφθάρη τῇ Ἐκκλησίᾳ ἐπὶ τρίτον ἐνιαυτὸν, καὶ μετὰ τοῦτον εἰσῆκτο Λεόντιος. Ὄγδοον δὲ καὶ οὗτος ἔτος ἐπισκοπήσας, κατέλυσε τὴν ζωὴν, καὶ ἐπὶ τούτῳ προέστη τῆς Ἀντιοχέων Ἐκκλησίας Εὐδόξιος ἔτος δεύτερον, καὶ ἐπὶ τῷ Εὐδοξίῳ Ἀρριανὸς ἐπεσκόπησεν ἔτος τέταρτον. Καὶ μετὰ τοῦτον Μελέτιος, ἐνιαυτοὺς εἴκοσιν ἐπὶ πέντε. Μεθ' ὃν Φλαβιανὸς προέστη τῶν Χριστωνύμων ἐπ' ἔτεσιν εἴκοσι πρὸς τοῖς ἕξ. Εἶτα Θεόδοτος τὴν λειτουργίαν διεδέξατο, καὶ τετραετίαν ἤνυσε. Καὶ ἀντὶ τούτου Ἰωάννης εἰσήχθη, καὶ διήρκεσεν ἐπ' ἔτος ὀκτωκαιδέκατον. Ἀντὶ δὲ Ἰωάννου Δόμνος κεχειροτόνητο, ἐπιζήσας τῇ χειροτονίᾳ ὄγδοον ἔτος· καὶ ἀνθιδρύθη τῷ θρόνῳ τῆς Ἀντιοχέων Ἐκκλησίας Μάξιμος, ἐπ' ἐνιαυτοὺς ἐπιβεβηνας τῇ προστασίᾳ τέσσαρας. Ὃς ὑπὸ Μαρτυρίου διεδέχθη, ἔννατον καὶ τούτου τῇ ἀρχῇ διανύσαντος ἔτος. Ἰουλιανὸς δ' ἔπειτα εἰς τὴν ἀρχιερατικὴν ταύτην καθέδραν ἐκάθισεν ἐπὶ ἕκτον ἐνιαυτὸν, καὶ

Variæ lectiones et notæ.

(97) *Σιμπλίκιος*. Reg. Συμπλίκιος.

(98) *Ἀγαπητός*. Reg. Ἀγαπητικός. Melius alii.

οὗτος ἔσχε Πέτρον διάδοχον. Ὃν μετὰ τριετῆ χρόνον Στέφανος διεδέξατο, ἰσαρίθμους ἀρχιερατεύσας ἐνιαυτούς. Τῷ δὲ Στεφάνῳ Καλανδίων (99) ἐγένετο ἔφεδρος. Καὶ τούτῳ μετὰ τετραετίαν Πέτρος ἄλλος ἐφήδρευσε, τριετῆ χρόνον τὴν Ἐκκλησίαν κατεσχηκώς. Οὗ διάδοχος Παλλάδιος γέγονε, δεκαετίαν ἀνύσας ἐν τῇ ἀρχῇ. Εἶτα Φλαβιανὸς ᾑρέθη, ἐπὶ δέκα καὶ τρεῖς ἀρχιερατεύσας ἐνιαυτούς. Μεθ' ὃν Σευῆρος ἕβδομον λειτουργήσας ἐνιαυτὸν ἀφῆκεν Εὐφρασίῳ τὴν καθέδραν τὴν ἱεράν. Ὃν μετὰ πέμπτον ἔτος Ἐφραΐμιος διεδέξατο· ὀκτὼ δ' ἐπὶ δέκα χρόνους ἐπεβίω οὗτος τῷ λειτουργήματι.

LIBER DECIMUS TERTIUS.

α'. Οὕτω μὲν οὖν, ὡς εἴρηται, τῆς τοῦ πατρὸς βασιλείας ὁ μέγας Κωνσταντῖνος διάδοχος γέγονεν, ὁ ἐν βασιλεῦσιν ἀοίδιμος καὶ ἐν ὀρθοδόξοις ἐπισημότατος. Ὃς ἐκ τῆς μακαρίας Ἑλένης γεγένητο τῷ πατρὶ, περὶ ἧς διαφωνοῦσιν οἱ συγγραφεῖς, καὶ παρ' αὐτοῖς τὰ περὶ ταύτης οὐχ ὡμολόγηται. Οἱ μὲν γὰρ τῷ Κωνσταντίῳ νόμῳ γάμου φασὶν αὐτὴν συνοικεῖν, ἀποπεμφθῆναι δὲ, τοῦ Μαξιμιανοῦ Ἑρκουλίου, ὡς ἔμπροσθεν εἴρηται, τὴν οἰκείαν παῖδα τὴν Θεοδώραν τούτῳ κατεγγυήσαντος, καὶ ἀναδείξαντος Καίσαρα. Οἱ δὲ οὐ γαμετὴν νόμιμον αὐτὴν γενέσθαι τοῦ Κωνσταντίου ἱστόρησαν, ἀλλὰ πάρεργον ἐρωτικῶν ἐπιθυμιῶν, καὶ ἐξ ἐκείνου τοῦτον δὴ συλλαβέσθαι τὸν μέγαν Κωνσταντῖνον. Διαδεξάμενος δὲ τὴν βασιλείαν τὴν πατρικὴν ἦρχε τῆς Βρεταννίας τε καὶ τῶν Ἄλπεων, καὶ ἐπὶ ταύταις τῶν Γαλλιῶν, ἔτι τῇ τῶν Ἑλλήνων θρησκείᾳ προσκείμενος, καὶ τοῖς Χριστιανοῖς ἀντικείμενος, παρὰ Φαύστης τῆς γαμετῆς εἰς ζῆλον τῆς τῶν εἰδώλων τιμῆς ἐκκαλούμενος. Θυγάτηρ δ' ἦν ἡ Φαύστα τοῦ Μαξιμιανοῦ. Αὐτὸς γὰρ καὶ ὁ πατὴρ ἀδελφαῖς συνῴκουν δυσί. Τριῶν δ' ὄντων τῶν βασιλέων, αὐτοῦ τε Κωνσταντίνου καὶ Λικινίου καὶ Μαξεντίου, ὃς ἐν τῇ Ῥώμῃ καὶ ἐν τῇ Ἰταλίᾳ ἐκράτει ὁ Μαξέντιος οὗτος οὐχ ὡς βασιλεὺς, ἀλλ' ὡς τύραννος ἄντικρυς διῆγε, πλεῖστα δεινὰ καὶ ἄτοπα τοῖς ὑπ' αὐτοῦ τυραννουμένοις ἐπάγων, ὡς ἤδη μοι ἀναγέγραπται. Ἃ μὴ φέροντες οἱ ἐν τῇ Ῥώμῃ διαπέμπονται πρὸς τὸν Κωνσταντῖνον ἀπαλλάξαι σφᾶς τῆς τυραννίδος τοῦ Μαξεντίου δεόμενοι. Ἐντεῦθεν πρὸς καθαίρεσιν αὐτοῦ διανίσταται, καὶ στρατεύει, καὶ πρὸς τὴν Ῥώμην χωρεῖ. Ὁ δέ γε Μαξέντιος ἐπιπολὺ μὲν ἐντὸς καθῆστο τειχῶν, μὴ ἀντεπεξιὼν τοῖς πολιορκοῦσιν αὐτὸν, ὥστε καὶ διὰ τοῦτο σκώμματα κατ' αὐτοῦ ὑπό τινων πεποιῆσθαι. Ὀψὲ δέ ποτε ἀντιπαρετάξατο γοητείαις κεχρημένος, καὶ δι' ἀνατομῆς βρεφῶν μαντευόμενος, καὶ ἄλλα πράττων ἀθέμιτα, ἃ δέος ἐνεποίουν τῷ Κωνσταντίνῳ. Ἀγωνιῶντι γοῦν διὰ ταῦτα, τύπος αὐτῷ σταυρικὸς μεσούσης ἡμέρας δι' ἀστέρων (1) ἐφάνη κατ' οὐρανὸν, καὶ γραφὴ περὶ τὸν σταυρὸν (2) Ῥωμαϊκοῖς στοιχείοις, δι' ἀστέρων

A

B

C

1. Sic igitur, ut dictum est, Constantinus Magnus regni paterni successor exstitit, imperator perpetua memoria dignus, et inter orthodoxos illustrissimus. Eum ex beata Helena procreavit pater, de qua dissentiunt historici. Nam alii legitimo conjugio nuptam fuisse Constantio, ac dimissam, cum Maximianus Herculius, ut ante dictum est, filia Theodora desponsa, Cæsarem eum designasset. Alii non matremfamilias, sed concubinam, formæ gratia Constantio conciliatam, Constantinum ei peperisse tradiderunt. Qui suscepto paterno regno, Britanniæ, Alpibus et Galliis imperavit, gentilium adhuc religioni addictus, et Christianis infestus, Fausta uxore ad simulacrorum cultum eum provocante. Fuit autem Fausta Maximiani filia. Nam ipse et pater duas sorores in matrimonio habuerunt. Cum vero tres essent imperatores, Constantinus, Lucinius, et Maxentius: hic Romæ et in Italia rerum potiens, non regem agebat, sed plane pro tyranno se gerebat, importune **2** et crudeliter in eos grassando, quibus dominabatur: quemadmodum jam a me perscriptum est. Quæ Romani haud ferenda rati, legatos ad Constantinum missitant, ut Maxentii tyrannide se liberet, supplicantes. Iis precibus ad pellendum illum commotus, Romam versus cum exercitu proficiscitur. Maxentius vero, cum diu intra mœnia se contineret, nec in aciem contra eos, a quibus obsidebatur, descenderet, salibus a nonnullis incessebatur. Sed tandem educit exercitum, præstigiis quibusdam usus: et præter alia nefanda, ex infantium dissectione captatis auguriis. Quibus Constantino perterrito, et animo æstuanti, figura crucis circa meridiem stellis informata in cœlo apparuit: et scriptura circa crucem, Romanis litteris, et ipsa per stellas expressa, *In hoc vince*. Statim igitur cruce ex auro, ad formam quam viderat, facta, et exercitui suo præferri jussa, commisso prælio Maxentium vincit, majore copiarum illius parte cæsa, cæteris in fugam versis; inter quos et ipse Maxentius pontem Milvium transiturus, equo lapso, in Tiberim præcipitatus, submergitur. Et

Variæ lectiones et notæ

(99) *Καλανδίων*. Wolfius Καλαυδίων, perperam ediderat: ita enim a scriptoribus passim appellatur.

(1) *Δι' ἀστέρων*. V. p. 11, 2 edit.

(2) *Περὶ τὸν σταυρόν*. Id ex Eusebio tradit Zonaras; at Lactantius, in libro *De mortibus persecuter*, scribit *commonitum fuisse in quiete Constantinum, ut cœleste signum Dei notaret in scutis atque ita prælium committeret: fecisseque ut jussus erat, et transversam X litteram, summo capite circumflexo, Christum*

D

hic illius fuit exitus. Cujus tyrannide Romani liberati, portis apertis Constantinum splendide exceperunt, ut liberatorem urbis lætis acclamationibus celebrantes: decreta in foro statua, quam ille ita fieri jussit, ut formam crucis manu teneret: edictoque vetuit ne, ob religionem, ii qui Christum pro Deo colerent, plecterentur. Sic Italia, et ipsa Roma ejus imperio adjuncta, cum Licinio, cui soror ejus nupta erat, imperium tenuit. Is cum Maximini et filium et filiam occidisset, jam uterque alteri suspectus, sublato altero, se solum imperio potiturum putabat, nemine alio id sibi vendicaturo. Ac nonnulli sic potitum esse Licinium parte Galerii asserunt, socium ab illo ascitum, ut dictum est. Nonnulli, in Constantini gratiam, cum sororem ei despondisset, a militibus Cæsarem salutatum, et ab ipso contra Maximinum missum, eoque victo et profligato, regno illius donatum esse, ea conditione, ut ne Christianos violaret: qua ille neglecta, non minus, ac potius magis, quam decessores sui, in Christianos insanierit, nullo extremæ crudelitatis genere prætermisso. **3** Ad alias igitur dissensionis eorum causas etiam hanc accessisse. Proinde Constantinus, ducto contra Licinium exercitu, et sæpe commissa pugna, denique vincit. Sed propter sororem reconciliatus, imperium ei certis conditionibus restituit. At ille, cum, ut homo perfidus, pactis non stetisset, a Constantino denuo superatus, Byzantio et Chrysopoli captis, Nicomediam fugit. Tum soror Constantinum rogat ut marito reddat imperium; quo non impetrato, salutem illius a fratre exorat. Itaque Licinius plebeio habitu imperatorem adit, ac Thessalonicæ privatam vitam agere jubetur. Id factum accusabant milites, quod homini perfido, qui fœdera sæpius rupisset, parceretur. Quare imperator eam rem per litteras ad senatus judicium refert. A quo alii cum militibus, ipsorum arbitratu tractandum, esse deditum, ac Thessalonicæ, aut prope Serras, nescio quo euntem, interfectum: alii, nec dum ibi degeret, quievisse, sed tyrannidem affectasse tradunt, quo cognito imperator eum occidi jusserit. Ferunt Constantinum in prœliis cum illo et Maxentio commissis, vidisse armatum equitem, signum crucis pro vexillo ante aciem suam præferentem: ac rursus Adrianopoli, duos ei visos adolescentes, qui hostium phalanges cæderent. Item circa Byzantium noctu omnibus dormientibus, conspectum ab eo ignem, qui, fulguris instar, vallum exercitus sui collustra-

A καὶ αὐταῖς τυπουμένοις, καὶ φράζουσιν, Ἐν τούτῳ νίκα. Ἐκ χρυσοῦ τοίνυν αὐτίκα σχεδιάσας σταυρὸν ((3), κατὰ τὸν φανέντα τύπον αὐτῷ, καὶ τοῦτον κελεύσας τῆς στρατιᾶς αὐτοῦ προπορεύεσθαι τοῖς τοῦ Μαξεντίου συρρήγνυται καὶ ὑπερτερεῖ, ὡς τοὺς πλείστους τῶν ὑπ' ἐκείνου στρατευομένων ἀναιρεθῆναι, τοὺς δὲ λοιποὺς εἰς φυγὴν ἀπιδεῖν. Οἷς καὶ αὐτὸς ὁ Μαξέντιος συναποδιδράσκων, καὶ ἐν τῇ γεφύρᾳ γενόμενος τοῦ Τιβερίδος τῇ καλουμένῃ Μιλβίᾳ (4), σὺν τῷ ἵππῳ κατὰ τοῦ ποταμοῦ ἐξωλισθήσε καὶ ἀπώλετο. Καὶ ὁ μὲν οὕτω διέφθαρτο. Οἱ δέ γε Ῥωμαῖοι τῆς ἐκείνου τυραννίδος ἀπαλλαγέντες, τὰς πύλας τῆς Ῥώμης ἀναπετάσαντες εἰσεδέξαντο τὸν Κωνσταντῖνον λαμπρῶς καὶ ὡς ἐλευθερωτὴν αὐτὸν τῆς

B πόλεως εὐφήμουν καὶ ἀπεσέμνυνον, καὶ στήλην αὐτῷ ἐν τῇ τῆς Ῥώμης ἀγορᾷ στῆσαι κοινῶς ἐψηφίσαντο. Ὁ δὲ, τὸ τοῦ σταυροῦ σημεῖον ἐγκεχειρισμένην τὴν στήλην αὐτοῦ πλασθήσεσθαι διετάξατο· καὶ δόγμα δὲ μὴ κολάζεσθαι διὰ τὴν θρησκείαν τοὺς τὸν Χριστὸν σεβομένους ὡς Θεὸν ἐκπεφώνηκεν. Οὕτω δὲ καὶ τῆς Ἰταλίας καὶ τῆς Ῥώμης αὐτῆς προστεθείσης τῇ βασιλείᾳ αὐτοῦ, αὐτός τε καὶ Λικίνιος ὁ ἐπ' ἀδελφῇ γαμβρὸς αὐτοῦ κατελείφθησαν βασιλεῖς. Ὁ γὰρ Λικίνιος τόν τε τοῦ Μαξιμίνου υἱὸν καὶ τὴν θυγατέρα ἀπέκτεινε, καὶ λοιπὸν ἑκάτερος τούτων τὸν ἕτερον ὑπεβλέπετο· ᾤετο γὰρ ἕκαστος, τοῦ ἑνὸς ἐπιλείποντος, αὐτὸς μόνος ἔσεσθαι μόναρχος, μὴ ὄντος τοῦ ἀμφισβητήσοντος περὶ τῆς ἀρχῆς. Οἱ μὲν οὖν οὕτω τὸν Λικι-

C νιόν φασιν ἐγκρατῆ γενέσθαι τῆς Γαλλερίου μερίδος, κοινωνὸν παρ' ἐκείνου προσληφθέντα, ὡς εἴρηται· οἱ δὲ τῆς τοῦ Κωνσταντίνου ἀδελφῆς παρ' αὐτοῦ συζυγείσης αὐτῷ, λέγουσι τοὺς στρατιώτας τῷ Κωνσταντίνῳ χαριζομένους, Καίσαρα αὐτὸν ἀνειπεῖν, καὶ παρ' ἐκείνου σταλῆναι αὐτὸν τῷ Μαξιμίνῳ ἀντιπαραταξόμενον νενικηκότι· ὃ' ἐκεῖνον καὶ καταπροπωσαμένῳ, ἐκχωρῆσαι τῆς βασιλείας ἐκείνου, μὴ ἐνοχλεῖν Χριστιανοῖς ἐπισκήψαντα, μὴ μέντοι τὰς ἐντολὰς τηρῆσαι αὐτὸν, ἀλλὰ λυττῆσαι κατὰ Χριστιανῶν, οὐδὲν ἧττον τῶν πρὸ αὐτοῦ, εἰ μὴ καὶ μᾶλλον. Πᾶσαν γὰρ ὑπερβολὴν ὑπερελάσαι ὠμότητος· πρὸς ἄλλαις δ' αἰτίαις τῶν πρὸς ἀλλήλους διαφορῶν, καὶ ταύτην γενέσθαι. Κινήσας οὖν κατὰ Λικινίου τὴν στρατιὰν ὁ Κωνσταντῖνος, καὶ πολλάκις αὐτῷ συμ-

D βαλὼν, τέλος νικᾷ. Εἶτα σπένδεται τούτῳ διὰ τὴν ἀδελφὴν, καὶ τὴν ἀρχὴν αὐτὸν οὐκ ἀφείλετο, ἀλλ' ἐπὶ συνθήκαις αὖθις ταύτης αὐτῷ παρεχώρησεν· ὁ δὲ ἄπιστος ὤν, οὐκ ἐτήρησε τὰς συμβάσεις. Ὅθεν καὶ πάλιν ὁ Κωνσταντῖνος αὐτῷ ἐπολέμησε· καὶ

Variæ lectiones et notæ.

in scutis notasse. Sic enim legendus hic locus, ubi perperam *Christo* editio præfert. Atque exinde is mos obtinuit, ut in scutis militum prætorianorum Christi monogramma, uti hic describitur, effingeretur: quod ex musivo Justiniani Ravennensi, quod in *Familiis Byzantinis* damus, colligere est potissimum.

(3) *Σχεδιάσας σταυρόν*. Theophanes p. 11.

(4) *Μιλβία*. Βουλβία, ita quatuor mss. Regii, et Wolfiani; *Milvium* scriptores vulgo vocant; *Mulvium*, Lactantius in libro *De mortib. persecut.* n. 45. Chronicon Alexandrinum Μουλυβίου γέφυραν habet. Damascenus Studita, homil. 33: πλησίον εἰς ἄλλον γεφύριν ὅπου τὸ ὠνόμαζαν Φουλβίαν. Georgius Hamartolus in Chron. ms. in Constantino M. Ὁ δὲ δυσσεβὴς τύραννος θαρσήσας τοῖς σὺν δαίμοσι, καὶ γεφυρώσας τὸν παραῤῥέοντα ποταμὸν πο λαῖ; ναυσὶ, ἐξῆλθεν εἰς παράταξιν τοῦ πολέμου.

νικήσας, εἶλε τότε τὸ Βυζάντιον καὶ τὴν Χρυσόπολιν. Ὁ δέ γε Λικίνιος εἰς Νικομήδειαν ἔφυγε, καὶ ἡ ἀδελφὴ τοῦ Κωνσταντίνου προσελθοῦσα τῷ ἀδελφῷ ἐδέετο ὑπὲρ τοῦ ἀνδρὸς τηρηθῆναι αὐτῷ τὴν ἀρχήν. Ὡς δὲ πρὸς τοῦτο οὐκ ἔσχηκε τὸν ἀδελφὸν καταγνεύοντα, περὶ τῆς ἐκείνου σωτηρίας προσῆγε τὴν δέησιν· καὶ ἔπεισε τὸν ὁμαίμονα. Πρόσειται τοίνυν αὐτῷ ὁ Λικίνιος ἐν σχήματι ἰδιωτικῷ, καὶ εἰς Θεσσαλονίκην διατρίβειν ἰδιωτεύων κελεύεται. Καὶ ὁ μὲν ἐκεῖσε διῆγεν. Οἱ δέ γε στρατιῶται ἠτιῶντο σώζεσθαι τὸν Λικίνιον, ἄπιστον φανέντα πολλάκις, καὶ παραβάτην τῶν συνθηκῶν· διὸ καὶ τῇ συγκλήτῳ διὰ γραμμάτων τοῦ βασιλέως ἡ περὶ τούτου ἀνετέθη βουλή. Τινὲς μὲν οὖν τοῖς στρατιώταις ἐκδοθῆναι παρὰ τῆς γερουσίας ἱστόρησαν, ὅ σφίσι δοκεῖ ἐπὶ τῷ Λικινίῳ διαπράξασθαι, κἀκείνους ἐν Θεσσαλονίκῃ αὐτὸν ἀναιρῆσαι, ἢ πλησίον Σερρῶν (5), ἀπιόντα ποι. Ἄλλοι δὲ οὐδὲ ἐν Θεσσαλονίκῃ αὐτόν φασι διατρίβοντα ἠρεμῆσαι, τυραννίδα δὲ μελετᾶν· καὶ τοῦτο γνόντα τὸν βασιλέα Κωνσταντῖνον στεῖλαι τοὺς αὐτὸν ἀναιρήσοντας. Λέγεται δὲ ἐν ταῖς πρὸς αὐτὸν μάχαις, ἢ ταῖς πρὸς Μαξέντιον, θεάσασθαί τινα τὸν Κωνσταντῖνον ἱππότην, καὶ ὡπλισμένον, τὸν τοῦ σταυροῦ τύπον ἀντὶ σημαίας ἐπιφερόμενον, καὶ τῆς αὐτοῦ προπαρευόμενον παρατάξεως. Καὶ αὖθις δύο ὤφθησαν αὐτῷ νεανίαι ἐν Ἀδριανοῦ πόλει τὰς τῶν ἐναντίων συγχόπτοντες φάλαγγας. Καὶ περὶ τὸ Βυζάντιον δὲ, νυκτὸς καθευδόντων ἁπάντων, φῶς ὤφθη αὐτῷ περιαστράψαν τὸν τοῦ οἰκείου στρατεύματος χάρακα. Ἐκ τούτων οὖν εἰς ἔννοιαν ἐνήγετο τοῦ θεόθεν αὐτῷ τὰς εὐτυχίας καὶ τὰς νίκας προστίνεσθαι.

rel. Quibus ostentis in eam sententiam adducebatur, ut crederet, successus illos rerum et victorias sibi divinitus offerri.

Β'. Οὕτω δὲ μοναρχήσας ὁ Κωνσταντῖνος καὶ Φλάβιος ὠνομάσθη. Καὶ οὕτω πως ἐχρημάτιζε Φλάβιος Κωνσταντῖνος καὶ ἐν Ῥώμῃ διῆγε, τῆς μὲν τῶν εἰδώλων θρησκείας οὐκ ἀποστὰς, τὰ περὶ Χριστοῦ δὲ μυούμενος, καὶ ἤδη παραδεχόμενος. Σώματος (6) δὲ τυχὼν νοσεροῦ, καὶ πλεῖστα φύοντος ἐκ κακοχυμίας καὶ ὕλης μοχθηρᾶς ἐξανθήματα, ὡς λύβη ταῦτα παρὰ τῶν ἰατρῶν, καὶ λέπρα δὲ παρεικάζεσθαι, καὶ τὴν τούτου θεραπείαν ἀπαγορεύεσθαι· εὗρε τοὺς ἱερεῖς τοῦ ἐν τῷ Καπιτολίῳ Διὸς οὐκ ἄλλως λέγοντας τεύξεσθαι θεραπείας αὐτὸν, εἰ μὴ ἐν παίδων νηπίων ἀτμίζοντι ἔτι λούσαιτο αἵματι. Αὐτίκα τοίνυν ἐκ πάσης τῆς ὑπ' ἐκεῖνον χώρας συνῆκτο τὰ νήπια, καὶ ἡμέρα ὥριστο τῆς τούτων σφαγῆς. Καὶ ὁ βασιλεὺς ἀπῆει τότε, τῷ αἵματι τῶν παίδων λουσόμενος εἰς τὸ Καπιτώλιον. Αἱ δὲ τούτων μητέρες πρυτόντος αὐτοῦ γοεραῖς ἠφίουν φωνὰς, καὶ ὠλόλυζον. Ἣν ἀκούσας ἐκεῖνος ἤρετο τί τοῦ θρήνου τὸ αἴτιον, καὶ μαθὼν τὰς μητέρας θρηνεῖν τῶν βρεφῶν, ὥσπερ ἐκ μέθης ἀνενεγκών, *Τὸ μὲν τῆς πράξεως*, εἶπεν, *ἀνόσιον, πρόδηλον· ἄδηλον δέ γε τὸ ἀποτέλεσμα· εἰ δὲ καὶ τοῦτο ἦν ἀναμφίβολον, κρεῖσσον πάσχειν ἐμὲ ταῖς νόσοις ταλαιπωρούμενον, ἢ τοσούτων βρεφῶν καταψηφισῆσθαι ἀπώλειαν, καὶ ῥομφαίᾳ λύπης τὰς τῶν μητέρων αὐτῶν διελάσαι ψυχάς.* Καὶ ταῦτα εἰπὼν ἐπανῆλθεν, ἀποδοθῆναι ταῖς μητράσι προστάξας τὰ νήπια, καὶ χρήματα δὲ δοθῆναι αὐταῖς, ἵν' ἀντίρροπον ἔξουσιν ἢ καὶ διπλασίονα τὴν χαρὰν, ὅτι τε ζῶντα τὰ ἔκγονα ἀπειλήφασι, καὶ ὅτι ἐπὶ τούτοις καὶ χρήματα προσειλήφασι. Ταῦτα δὲ διαπραξαμένῳ, νυκτὸς αὐτῷ ἐδοξάτην

II. Sic solus rerum potitus Constantinus, etiam Flavii sibi prænomen ascivit, et Romæ vitam egit: nondum quidem simulacrorum deserto cultu, sed Christianæ religionis mysteria paulatim admittens atque addiscens. Cum autem corpore esset morbido, quod e corruptione humorum plurimis scatebat pustulis, adeo ut curatione desperata, lepræ a medicis loco illa compararetur: Capitolini Jovis sacerdotes responderunt, eum pristinam valetudinem non aliter recuperaturum, quam si in sanguine infantium adhuc vaporante lavisset. Statim igitur ex omni imperio collectis infantibus, cædis die constituta, imperator dum in Capitolium, sanguine puerorum loturus ascendit, matres illorum lugubribus & vocibus ejulantes audit, quæ sit fletus causa rogat: eaque cognita, velut ab ebrietate experrrectus: *Facinoris*, inquit, *impietas est evidens, eventus incertus. Qui si vel exploratissimus esset, præstaret tamen me conflictari morbi molestiis, quam tot infantibus ad necem damnatis, gladio doloris matrum animos diverberare.* His dictis recessit, et matribus suos reddi liberos jussit: addita pecunia, ut lætitia dolorem non tantum æquaret, sed duplo etiam vinceret: non filiis tantum restitutis, sed pecunia quoque data. His peractis, noctu ei astare visi sunt duo viri, qui se Petrum et Paulum esse, Christi apostolos, profitentes, dicerent: Si et corporis et animi sanitatem consequi vellet, Silvestrum episcopum esse accersendum, qui et luem corporis depulsurus esset, et vitam interitus expertem communicaturus. Experrectus imperator, episcopum reverenter accersi jubet, atque ad sanctum Sil-

Variæ lectiones et notæ.

(5) *Σερρῶν*. Ita quatuor mss. codd. Regii; Wolfius *Σαρρῶν*. De Serris urbe Macedoniæ, dixi ad Villharduinum.

(6) *Σώματος*. Hæc et sequentia, ut et fictitiam Silvestri et Zambres de Christo Concertationem, et de tauro suscitato narratiunculam, quam habent etiam Cedrenus, et Georgius Hamartolus in Chronico ms. Symeon Logotheta in Chron. ms; ex Vitæ S. Silvestri consarcinatore a Combefisio edito hausit Zonaras: sive ille Eusebius sit Cæsariensis, ut existimat Ratrammus monachus Corbeiensis, in lib. *Contra Græcos opposita*, cap. 3, sive alius recentior, quod omnino reor. Habetur etiam ista Silvestri disputatio cum Judæis in IV codicibus Regiis.

vestrum : *Dic mihi*, inquit, *episcope, an deos colatis, qui Petrus et Paulus nominantur.* Respondet ille : *Unus a nobis Deus agnoscitur : Petrus autem et Paulus sunt ejus famuli et ministri.* Tum imperator, narrato ei somnio, arcanis nostræ religionis instruitur, baptizatur, et e sanctissimo illo balneo sanus et integer ascendit ; Christianis securitatem per præcones denuntiat ; templa eorum aperiri, et nova condi permittit ; ac vicissim, fanis fictitiorum deorum clausis, impune Christianismum quosvis amplecti sinit. Nam se vim quidem facturum esse nemini : qui vero ultro ad Christum se contulissent, eos se laudare profitebatur. Sic ille fidem Christianam suscepit, evangelico præconio invalescente, et Christiani nominis hominibus adempto metu. Cæterum Judæi matrem imperatoris aggressi, deceptum eum esse asserunt, et pio facto facinus impium adjunxisse, simulacrorum destructionem, rem piam, fidem in Christum, impiam nominantes. Solum enim eum verum esse Deum, quem ipsi colerent : Jesum autem, nefarii illi, hominem maleficum, et præstigiatorem vocitabant. Mater hæc ad imperatorem refert. Is decrevit, ut Judæi qui ista asserant, se et delectis e senatu quibusdam audientibus, cum Silvestro episcopo Romano et Christianis disputent, quo cognoscat, quidnam a Judæis afferatur. 5 Disputatum est, victoria ad Silvestrum inclinare visa. Tum Judæi Silvestrum disserendi acumine superiorem esse dicentes, signorum ostentationem postulabant. Atque adeo quidam ex iis impostor, nomine Zambres, bovem afferri jubebat, in quo sui Dei potentiam se demonstraturum asserebat. Adducitur bos, accedit Zambres, insusurrat ei aliquid in aurem : ille, magno et lamentabili mugitu edito, cum tremore et vertigine circumactus, concidit mortuus. Ea re gloriabantur Judæi, Dei sui nomen non cepisse aures illius dicentes. *Quid vero*, inquit Silvester, *qui id bestiæ dicit in aurem, verba sua non audit ? cur et ipse non moritur?* Ibi Zambres : *Jam nihil*, inquit, *opus est argutiis, et probabilitate verborum, sed factis, episcope. Si ergo taurum istum a te neci datum*, Silvester ait, *ipse Christi nomine in vitam revocabo : non majus quiddam præstitisse, et magnam demonstrasse Christi potentiam videbor?* Assentitur ille, et per salutem imperatoris statim jurat, si taurum revixisse videret, se confessurum Christum esse Deum. Silvester autem, oculis in cœlum defixis et Domino invocato, prope taurum astat, sublataque voce clamat : *Si Deus verus est, quem ego annuntio Christum, Surge, taure, ac pedibus tuis insistito.* Statim taurus sese commovens, exsilit. Qui aderant, magnum esse Silvestri Deum, exclamare : Judæi, miraculo perculsi, ad pedes viri sancti accidere, petere ut placaret sibi Deum, et baptismum impertiretur. Inclyta vero imperatoris mater, nondum instituta, erudiri

ἄνδρε παρεστάναι διττώ, Πέτρος εἶναι, καὶ Παῦλος λέγοντες οἱ ἀπόστολοι τοῦ Χριστοῦ, καὶ, Εἰ σωματικῆς τε καὶ ψυχικῆς, ἔλεγον, ὑγιείας βούλει τυχεῖν, τὸν ἐπίσκοπον μετακάλεσαι Σίλβεστρον, κἀκεῖνός σοι καὶ τὴν λύμην ἀκέσεται τῆς σαρκὸς, καὶ ζωῆς ἀνωλέθρου καταξιώσει σε. Ἐπὶ τούτοις ὁ βασιλεὺς τοῦ ὕπνου ἀνενεγκών, στέλλει τοὺς μεταπεμψομένους σὺν αἰδοῖ τὸν ἐπίσκοπον. Καὶ παραγενομένῳ τῷ ἱερῷ Σιλβέστρῳ, *Εἰπέ μοι*, ἔφη, *ἐπίσκοπε, θρησκεύονται παρ' ὑμῖν θεοὶ Πέτρος καὶ Παῦλος δρομαῖζόμενοι ;* Ὁ δὲ, *Εἷς ἡμῖν θεὸς γινώσκεται*, ἀπεκρίνατο, *Πέτρος δὲ καὶ Παῦλος θεράποντες ἐκείνου καὶ ὑπηρέται εἰσίν.* Ἐξῆς οὖν ὁ βασιλεὺς διηγεῖται αὐτῷ τὸ ἐνύπνιον, καὶ τὸ καθ' ἡμᾶς παρ' αὐτοῦ μυεῖται μυστήριον, καὶ βαπτίζεται. Καὶ ἄνεισιν ἐκ τῆς παναγοῦς κολυμβήθρας ὑγιὴς ὅλος, καὶ αὐτίκα ἀδειάν τε κηρύττει Χριστιανοῖς, καὶ τοὺς ναοὺς σφίσιν ἀναπετάννυσι, καὶ νέους ἐφίησιν ἀνεγείρεσθαι. Κλείει δὲ τοὔμπαλιν τὰ τεμένη τῶν ψευδωνύμων θεῶν, ἀδεῶς τε προσιέναι θεσπίζει τοὺς θεσπιζομένους τῇ πίστει τῇ τοῦ Χριστοῦ. Διάζεσθαι μὲν γὰρ οὐδένα ἔλεγε βούλεσθαι· τοὺς δ' ἐκόντας τῷ Χριστῷ προστιθεμένους ἀποδέχεσθαι. Ὁ μὲν οὖν οὕτω τῇ πίστει τοῦ Χριστοῦ προσελήλυθε· τὸ κήρυγμα δ' ἐπλατύνετο, καὶ παῤῥησία τοῖς Χριστωνύμοις ἐδέδοτο. Προσίασιν οὖν τῇ τοῦ βασιλέως μητρὶ Ἰουδαῖοι, ἠπατῆσθαι λέγοντες τὸν βασιλέα, καὶ ἔργῳ θεοφιλεῖ ἔργον ἀναμίξαι θεομισές. Θεοφιλὲς μὲν, τὴν τῶν εἰδώλων καθαίρεσιν ὀνομάζοντες· θεομισὲς δὲ, τὴν πίστιν τὴν εἰς Χριστόν· μόνον γὰρ εἶναι Θεὸν ἀληθῆ τὸν παρ' αὐτῶν θρησκευόμενον· τὸν Ἰησοῦν δὲ ἄνθρωπον οἱ ἀλιτήριοι κακοῦργον ἀπεκάλουν καὶ γόητα. Ἀναφέρει ταῦτα ἡ μήτηρ τῷ βασιλεῖ καὶ υἱῷ· ὁ δὲ διαλεχθῆναι δεῖν ἔκρινεν ἐπ' ἀκροάσει αὐτοῦ καὶ τῶν τῆς γερουσίας λογάδων, τοὺς ταῦτα λέγοντας Ἰουδαίους, τῷ Ῥώμης ἐπισκόπῳ Σιλβέστρῳ καὶ τοῖς περὶ αὐτόν· ἵν' οὕτω γνοίη, τίνα τὰ τῶν Ἰουδαίων εἰσὶν εἰσαγόμενα. Γέγονεν ἡ διάλεξις. Ἔδοξαν οἱ λόγοι τοῦ ἱεροῦ Σιλβέστρου ἐπικρατέστεροι. Ἐκ διαλεκτικῆς δυνάμεως ὑπερτερεῖν οἱ Ἰουδαῖοι τὸν Σίλβεστρον ἔλεγον, σημείων ἐζήτουν ἐπίδειξιν. Μᾶλλον δέ τις παρ' αὐτοῖς γόης ἀνὴρ Ζαμβρῆς καλούμενος βοῦν ἐνεχθῆναι ἠξίου, διὰ τούτου λέγων μέλλειν ἐνδείξασθαι τὴν δύναμιν τοῦ οἰκείου Θεοῦ. Προσηνέχθη ὁ βοῦς, πεπλησίακεν αὐτῷ ὁ Ζαμβρῆς, ὑπεψιθύρισέ τι αὐτῷ εἰς τὸ οὖς. Κἀκεῖνος μέγα τι καὶ γοερὸν μυκησάμενος, καὶ τρόμῳ συνδεθεὶς καταπέπτωκε καὶ νενέκρωτο. Ἠύχουν ἐπὶ τούτῳ οἱ Ἰουδαῖοι, τὸ τοῦ ἑτέρου Θεοῦ ὄνομα μὴ στέγειν λέγοντες τὸν ἀκούοντα. *Τί δέ*, φησὶν ὁ Σίλβεστρος, *ὁ λέγων τοῦτο τῷ ζώῳ (7) πρὸς τὸ νῦς οὐκ ἀκούει τοῦ λεγομένου ; πῶς οὖν οὐ θρήσκει κἀκεῖνος ;* Καὶ ὁ Ζαμβρῆς· *Οὐ λόγων*, ἔφη, *στροφῆς τε καὶ πιθανότητος ἄρτι χρεία, ἀλλ' ἔργων, ἐπίσκεπε. Εἰ οὖν τὸν παρὰ σοῦ νεκρωθέντα τοῦτον ταῦρον,*

Variæ lectiones et notæ.

(7) *Ὁ λέγων τοῦτο τῷ ζώῳ.* Sic in uno e mss. Regiis, in alio τούτῳ.

ὁ Σίλβεστρος εἶπε, *ζωώσω αὐτὸς τῇ τοῦ Χριστοῦ ἐπικλήσει, οὐκ ἄν τι μεῖζον δόξω ποιεῖν, καὶ μεγάλην ἀποδείξω τὴν δύναμιν τοῦ Χριστοῦ;* Κἀκεῖνος κατέθετο· καὶ κατὰ τῆς σωτηρίας τοῦ βασιλέως (8) εὐθὺς ἐξωμόσατο, εἰ τὸν ταῦρον ἴδοι ἀναβιώσαντα, τὸν Χριστὸν ὁμολογῆσαι Θεόν. Καὶ ὁ Σίλβεστρος εἰς οὐρανὸν ἀτενίσας, καὶ τὸν Κύριον ἐπικαλεσάμενος, ἔστη τοῦ ταύρου ἐγγὺς, καὶ τὴν φωνὴν ἐπάρας, ἐβόησεν· *Εἰ Θεὸς ἀληθής ἐστιν, ὃν ἐγὼ κηρύττω Χριστὸν, ἔγειραι, ταῦρε, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου.* Αὐτίκα γοῦν κινηθεὶς ὁ ταῦρος ἀνέθορε. Καὶ οἱ παρόντες, Μέγας ὁ τοῦ Σιλβέστρου Θεὸς, ἐξεβόησαν. Οἱ Ἰουδαῖοι δὲ καταπλαγέντες τῷ θαύματι τοῖς ποσὶ τοῦ ἁγίου προσ-
ἔπιπτον καὶ ἱκέτευον ἱλεώσασθαι αὐτοῖς τὸν Θεὸν, καὶ τοῦ Θεοῦ σφᾶς ἀξιῶσαι βαπτίσματος· καὶ ἡ ἀοίδιμος δὲ τοῦ βασιλέως μήτηρ ἀμύητος οὖσα ἠξίου μυηθῆναι καὶ βαπτισθῆναι· τυχοῦσα τοίνυν τοῦ ἐφετοῦ, καὶ τὸν ἀληθῆ ἐπιγνοῦσα Θεὸν, τοὺς τόπους οὓς οἱ ὡραῖοι πόδες Χριστοῦ, ὡς εἰρήνην εὐαγγελισαμένου, διώδευσαν, θεάσασθαι ἐπεθύμησε. Καὶ συμπαραλαβοῦσα τὸν θεσπέσιον Σίλβεστρον εἰς Ἱεροσόλυμα παραγέγονε· καὶ τὸ τοῦ Κυρίου προσκυνήσασα μνῆμα καὶ τὸν θεῖον εὑρηκυῖα σταυρὸν ἐν ᾧ προσεπάγη σωματικῶς ὁ Θεὸς ἡμῶν, ναούς τε δομησαμένη πολυτελεῖς, πρὸς τὸν υἱὸν καὶ βασιλέα ἐπανελήλυθεν. Υἱοὺς δ' ἐκ Φαύστης τῆς τοῦ Μαξιμιανοῦ θυγατρὸς ὁ βασιλεὺς ἐγείνατο τρεῖς (9), Κωνσταντῖνον καὶ Κωνστάντιον καὶ Κώνστα. Καὶ θυγατέρα Ἑλένην, ἣ τῷ Ἰουλιανῷ συνῴκησεν ὕστερον. Εἶχε δὲ καὶ ἐκ παλλακῆς υἱὸν ἕτερον Κρίσπον καλούμενον, τῶν ἄλλων αὐτοῦ υἱέων πρεσβύτερον, ὃς καὶ παρὰ τῷ πρὸς Λικίνιον πολέμῳ πολλάκις ἠρίστευσε. Τούτῳ ἡ μητρυιὰ Φαύστα ἐπιμανεῖσα ἐρωτικῶς, ἐπεὶ μὴ εὐπειθοῦς ἐκείνου ἐτύγχανε, κατεῖπε πρὸς τὸν πατέρα ὡς ἐρῶντος αὐτῆς καὶ βιάσασθαι πολλάκις ἐπιχειρήσαντος. Διὸ καὶ θάνατον ὁ Κρίσπος παρὰ τοῦ πατρὸς κατεκρίθη, πεισθέντος τῇ γαμετῇ. Ὡς δ' ἔγνω μετέπειτα ὁ αὐτοκράτωρ τὸ ἀληθὲς, καὶ τὴν γυναῖκα ἐκόλασε, διὰ δὲ τὸ ταύτης ἀκόλαστον (10), καὶ τὸν φόνον τὸν τοῦ παιδός· εἰσαχθεῖσα γὰρ ἐν λουτρῷ ἡ Φαύστα σφοδρῶς ἐκκαυθέντι ἐκεῖ τὴν ζωὴν βιαίως ἀπέρρηξε. Σαρματῶν δὲ καὶ Γότθων (11) κατὰ τῆς Ῥωμαίοις ὑπηκόου κεκινημένων, καὶ τὴν Θρᾴκῴαν μοῖραν λῃζομένων, διανίσταται κατ' αὐτῶν Κωνσταντῖνος ὁ μέγιστος· καὶ τὴν Θρᾴκην καταλαβὼν τοῖς Βαρβάροις συρρήγνυται, καὶ κατ' αὐτῶν ἵστησι λαμπρότατον τρόπαιον.

se et baptizari flagitare : ac voti compos facta, vero Deo agnito, loca quæ formosi Christi pedes, quippe pacem annuntiare soliti, perambulassent, spectare cupere. Ascito igitur D. Silvestro comite, Hierosolyma proficiscitur : et sepulcro Domini adorato, et sancta cruce inventa, cui Deus noster corpore suo affixus fuerat, et templis magno sumptu exstructis, ad filium revertitur. Suscepit imperator e Fausta, filia Maximiani, tres filios, Constantinum, Constantium et Constantem : ac filiam Helenam, quæ Juliano postea nupsit. Habuit et e concubina filium natu maximum Crispum, qui Liciniano bello multa fortiter fecerat. Eum Fausta noverca, insano amore correpta, cum 6 ad concubitum pellicere nequivisset, apud patrem detulit, ut a quo adamaretur, sua pudicitia sæpe sollicitata. Ob id crimen, capitis Crispum damnat pater, conjugi obsecutus. Sed deinde veritate cognita, de ipsa quoque, cum ob impudicitiam, tum propter filii cædem, pœnas sumit. Nam in balneum vehementer calefactum introducta, æstu præfocatur. Cum autem Sarmatæ et Gothi provincias Romanas invasissent, et Thraciæ partes vastarent, Constantinus Maximus contra eos insurgit : ac Thracia occupata, commissoque prælio victis Barbaris, splendidissimum triumphum consequitur.

Γ'. Κατὰ δὲ θεῖον χρησμὸν βουληθεὶς ἀνεγεῖραι πόλιν, ὡς ἂν αὐτὴν ἐπὶ τῷ οἰκείῳ καλέσῃ ὀνόματι, πρότερον μὲν ἐν Σαρδικῇ κτίσαι ταύτην προέθετο· εἶτα ἐν Σιγαίῳ (τὸ δὲ τῆς Τρωάδος ἐστὶν ἀκρωτήριον), ἔνθα καὶ θεμελίους αὐτὸν καταβαλέσθαι φασί. Καὶ αὖθις ἐν Χαλκηδόνι τὴν πόλιν ἦρξατο ἀνιστᾷν. Λέγεται δὲ καθῖπτασθαι ἀετοὺς, καὶ τὰ τῶν οἰκοδόμων ἁρπάζειν σπαρτία· τὸν μεταξὺ δὲ διιπταμένους πορθμὸν, ῥίπτειν αὐτὰ κατὰ τὸ Βυζάντιον. Τοῦτο γοῦν πολλάκις γενόμενον ἀπήγ-

III. Urbem porro ex oraculo de suo nomine conditurus, primum in Sardica exstruere in animo habuit, deinde in Sigæo promontorio Troadis, ubi etiam fundamenta jecisse fertur. Denique Chalcedone opere inchoato, aquilas devolasse memorant, fabrorumque funiculos raptos, freto superato, juxta Byzantium dejecisse. Quod sæpius factum, ei imperatori nuntiatum, cum non temere esse, sed a numine portendi aliquid videretur : ipse Byzantium se confert, locum contemplatur, pro-

Variæ lectiones et notæ.

(8) *Κατὰ τῆς σωτηρίας τοῦ βασιλέως.* In Vita S. Basilii Jun. n. 4 : Νὴ τὴν ὑγείαν τοῦ βασιλέως. De hac juramenti formula vide quæ adnotavimus ad Cinnamum, p. 483.

(9) *Υἱοὺς δὲ ἐκ Φαύστης ἐγείνατο τρεῖς.* Tres palmarum surculos a terra surgentes, in nummo Constantini, tres illius filios denotare apposite collegit Tristanus, Artemidoro, lib. I, cap. 79, qui principum liberos per ramos palmarum designari scripsit, quod etiam Achmes tradit, cap. 256.

(10) *Διά τε τὸ ταύτης ἀκόλαστον.* De cæde Crispi et Faustæ, vide quæ commentatur Jacobus Gottofredus ad Philostorgium, lib. II, cap. 4.

(11) *Γότθων.* Victoriam a Constantino M. ex Gothis relatam narrant Zosimus lib. II, p. 680; auctor Vitæ Constantini, lib. I, cap. 8; et anonymus Valesianus, p. 474, 476, qui hanc ad annum 323 referunt; ad hanc etiam spectant *Ludi Gothici* in Kalendario Hervagiano et Bucheriano prid. Non. et 5 Id. Febr. quo quidem mense confectum hoc bellum inde arguitur.

bat, mutat consilium, fabros Chalcedone illuc transfert, urbem studiose condit, a se Constantinopolim vocat, et Matri Dei consecrat. Urbe ad XI mensis Maii absoluta, natalem ejus seu dedicationem celebrat, anno ab orbe condito quinquies millesimo octingentesimo tricesimo octavo : cum, ut quidam tradidere, Valentem, mathematicorum ejus ætatis principem, natalitium urbis thema constituere jussit, ut cognosceret, quot annos duratura esset. Respondet ille, sexcentos nonaginta sex, qui cum jam olim sint elapsi, nimirum aut falsa putanda est Valentis prædictio, et ars erroris haud exspers : aut illi anni intelligendi erunt, quibus instituta reipublicæ ac status conservabantur, dum suus erat honos senatui, dum cives sub legitima imperii potestate florebant, non autem manifesta tyrannis dominorum publica sibi pro privatis vindicabat, et ad suas voluptates conferebat, easque parum interdum honestas, publica quibusvis donando, nec pastorum instar subditos tractando, lana supervacua detondenda, et lacte parce bibendo ; sed prædonum 7 instar oves mactando, et carnes devorando, aut ipsas medullas exsugendo.

A γέλη τῷ βασιλεῖ, καὶ οὐκ ἐδόκει τυχαίως γίνεσθαι τὸ γινόμενον, ἀλλά τι διὰ τούτου τὸ θεῖον παραδηλοῦν. Ἐφίσταται γοῦν αὐτὸς τῷ Βυζαντίῳ ὁ αὐτοκράτωρ, τὸν τόπον κατασκοπῶν, ἀρέσκεται, μετατίθησι τὸν σκοπὸν, μετάγει τοὺς τεχνίτας ἐκ Χαλκηδόνος ἐκεῖ, τὴν πόλιν φιλοτίμως οἰκοδομεῖ, Κωνσταντινούπολιν αὐτὴν ἐπὶ τῷ ὀνόματι τῷ οἰκείῳ καλεῖ, καὶ ἀνατίθησιν αὐτὴν τῇ Παρθένῳ καὶ Θεομήτορι. Ἤδη δὲ ἀπαρτισθείσης τῆς πόλεως, κατὰ τὴν ἑνδεκάτην τοῦ Μαΐου μηνὸς, τελεῖ τὰ ταύτης γενέθλια ἢ ἐγκαίνια, ἔτους ἑνισταμένου πεντακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ ὀγδόου. Ὅτε, ὥς τινες ἱστορήκασι, τὸν ἀστρονόμον καλέσας Οὐάλεντα (12), τῶν τότε περὶ τὴν τέχνην ταύτην ἐσχολακότων τὸν ἀκριβέστερον, ἐκέλευσεν ἐπὶ τῷ γενεθλίῳ τῆς πόλεως συντάξαι θεμάτιον, ἵν' ὁπόσους μέλλει διαμεῖναι αὕτη γνοίη ἐνιαυτούς. Ὁ δὲ εἰς ἑξακοσίους καὶ ἐνενήκοντα πρὸς τοῖς ἓξ ἐνιαυτοὺς διαρκέσαι αὐτὴν ἀπεφοίβασεν· οἵπερ ἤδη καὶ παρερρύηκεσαν πρὸ πολλοῦ. Ἡ γοῦν ἐψευσμένην ὑποληπτέον τὴν τοῦ Οὐάλεντος πρόρρησιν, καὶ διημαρτημένην τὴν τέχνην, ἢ ἐκεῖνα νομιστέον (13) ἐκεῖνον εἰπεῖν τὰ ἔτη, ἐν οἷς τὰ τῆς πολιτείας

B

Variæ lectiones et notæ

(12) *Οὐάλεντα.* Is Vectius Valens nuncupatur, cujus laudantur περὶ ἐπεμβάσεως τῶν ἀστέρων libri, præterea ejusdem Ἀνθολογία γενεθλιακή. Vide nostram Constantinopolim. Huc porro spectant, quæ scribit Zonaras, seu, ut alii volunt, Michael Glycas in Antapologetico ms. ad scriptum Manuelis Comneni imp. ad quemdam monachum missum, a quo reprehensus fuerat ob nimium circa astrologicas et mathematicas disciplinas studium : Περιέχει δὲ τὸ διαληφθὲν γράμμα, ὅτι τὰ τῶν ἀστέρων σχήματα σημεῖά εἰσιν ἀποβάσεων, οὐ μὴν καὶ ἐξ ἀνάγκης ἀποτελεσμάτων τινῶν ποιητικά. Καὶ τηνικαῦτα διαπορούμενοι λέγομεν, εἰ κατά γε τὴν τοῦ γράμματος περίληψιν οὕτως εἶχε καὶ τὰ τοῦ πράγματος· τίνος ἕνεκεν ὁ Οὐάλης ἐκεῖνος ἐπὶ μέσου παρ' ἁγίου μεγάλου μὲν, ὥς φασι, παρακληθεὶς Κωνσταντίνου, τεσσαρεσκαιδέκατον δὲ καρτερῆσαι ἔτος ἐπὶ τῇ καταβολῇ τῶν θεμελίων τῆς βασιλίδος ταύτης τῶν πόλεων; εὔδηλον γὰρ ὡς εἰ τοσούτων ἐνιαυτῶν ἐκεῖνος ἐκαρτέρει παράτασιν. Ὡς τε μεῖναι τὴν πόλιν διόλου τοῖς πολεμίοις ἀχείρωτον· τῇ πίστει τε προκόπτειν αὐτὴν, καὶ τοῖς λοιποῖς καθεξῆς καιρὸν ἂν ἐκαρτέρει λοιπὸν τῷ σκοπῷ αὐτοῦ συντελέσοντα, εἰ καὶ τὸ γράμμα προδήλως τοῦτο λέγον οὐ βούλεται. Ἄδικοι γὰρ ἐντεῦθεν οἱ ἀστέρες, ἵνα μὴ λέγω τὸν ποιητὴν αὐτῶν, ὡμολόγηνται, τοὺς μὲν τῶν ἀνθρώπων μοιχοὺς, τοὺς δὲ φονέας ἐξ ἀνάγκης ἀποτελοῦντες, καὶ εἰ δεῖ τ' ἀληθὲς εἰπεῖν, ἐπὶ μέσου τὸν Οὐάλεντα παράγειν ὅλως οὐκ ἔπρεπε· τὰ γὰρ τῆς ἀστρολογίας ἐντεῦθεν διεψευσμένα καὶ μᾶλλον ἐλέγχεται· ὁ γὰρ Οὐάλης οὗτος ἀκριβέστατος καὶ ταῦτα ὢν ἀστρολόγος, εἰς ἑξηκοσίους πρὸς τοῖς ἐνενήκοντα ἓξ ἐνιαυτοὺς διαμεῖναι τὴν πόλιν ταύτην ἐφοίβασε, καὶ οὕτω διημαρτημένην τὴν τέχνην ἐξ ἀποτελέσματος ἔδειξεν· εἰ δὲ τὸν διαλειφθέντα Οὐάλεντα καρτερῆσαι μὲν ἔτος τεσσαρεσκαιδέκατον εἴποι τις, χάριν δὲ ὅμως τοῦ καιρὸν εὑρεῖν ἀγαθά τινα τῇ πόλει μηνύοντα, δεξώμεθα τὴν παραγραφὴν αὐτοῦ, ἀλλ' εὐθὺς ἀπορήσωμεν, οὕτω λέγοντες, τί δέοι, καὶ ἀπερισκέπτως τὰ τῆς πόλεως κατεβλήθη θεμέλια, οὐκ ἂν οὕτω τὰ κατ' αὐτὴν ἔχειν ἔμελλεν ὅπως ἄρα καὶ σήμερον ἔχειν. Παρακαλοῦμεν μὴ ἐᾶσῃς ἡμᾶς ἀμηχανίᾳ καὶ περὶ τούτου κυμαίνεσθαι· εἰ γὰρ οὕτω κατὰ τὴν πόλιν ἔχειν ἔμελλε, καὶ μάτην ἐκείνος τοσοῦτον ἐκαρτέρει καιρὸν, ἢ οὐχ οὕτως; Καὶ τί χρὴ πολλὰ λέγειν; φαίνεται γὰρ ἐντεῦθεν ὡς οὐ παρασημαντικοὶ μόνον εἰσὶν οἱ ἀστέρες, ἀλλὰ καὶ ἀποτελεσμάτων ἐξ ἀνάγκης ποιητικοί· εἰ γὰρ τοῦτο ἦν, οὐκ ἂν τοῦ τεχνίτου ἐκείνου τὸ γράμμα ὑπεραπολογούμενον, διά γε, καθ' ἑκάστην ἀπροσδοκήτως τῇ πόλει συμπίπτοντα, σεισμοὺς δηλαδὴ, ἐμπρησμοὺς καὶ ὅσα τοιαῦτα κατὰ λέξιν οὐτωσὶ διηγόρευσεν· οὐ γὰρ ἠδύνατο τὰ πάντα μείζω τε καὶ ἐλάχιστα συμπεριλαβεῖν· ἐκεῖνος ἔφθασε μείζω τε καὶ ἐλάχιστα, καὶ αὐτὸς τὸ περὶ Θεοῦ λέγων Δαβιδικὸν οὕτω ῥητὸν, Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ἔμεινεν ἐξ ἀνάγκης ἄπρακτος, ἐξ ἀνάγκης ἐνταυθοῖ, ἅτε καὶ αὐτὸν ἀποτρεπούσης τὸν κλόνον τῆς γῆς, ἀκριβοῦς τοῦ ἐπιστήμονος σκέψεως. Ἄλλως τε εἰ κατὰ τὴν συμπεσοῦσαν ὥραν ἐπὶ τῇ καταβολῇ τῶν θεμελίων τῆς πόλεως, αὐξαίνει τε τὴν πίστιν ἐπάναγκες αὐτὴν τὴν πόλιν διαμεῖναι τοῖς πολεμίοις ἀχείρωτον· οὗ μὲν οὖν χάρις . . . . κατοικοῦσιν αὐτὴν εὐσεβοῦσιν ἐπὶ τοσοῦτον καὶ τῇ κατὰ Χριστὸν ἀγάπῃ καθεκάστην πλατύνονται· μάτην δὲ καὶ τῇ παναμώμῳ τοῦ Θεοῦ Λόγου Μητρὶ τὰς ἐντεύξεις ποιούμεν, καὶ φύλακα ταύτην ἐπιγραφόμεθα, εἴγε τὴν σωτηρίαν ἡμῶν ὁ Οὐάλης ἐπραγματεύσατο· ἔκτοτε ταῖς τῶν ἀστέρων παρασημειώσεσι. Μὴ οὖν ἐάσῃς ἡμᾶς ἐπὶ τοσοῦτον διαπορεῖσθαι, καὶ λογισμοῖς διαταράττεσθαι, etc.

C

D

(13) *Ἢ ἐκεῖνα νομιστέον.* Sic etiam imperatorum Constantinopolitanorum suæ ætatis tyrannidem perstringit Aretas in Apocalypsin, cap. LII : Λείπεται οὖν ἑτέρῳ ὑπονοεῖν Βαβυλῶνα εἰκότι λόγῳ· καὶ τίς αὕτη; οὐκ ἄλλη, ἢ ἡ Κωνσταντίνου, ἐν ᾗ πάλαι δικαιοσύνη ἐκοσμήθη, νῦν δὲ ἐν αὐτῇ φονεύεται ἐκ παραλλήλου ἀμίλλης, τῶν πολιτικῶν τοῖς ἐκκλησιαστικοῖς ἐξισωθῆναι σπευδόντων, μᾶλλον δὲ οὐκ ἰσωθῆναι, εἰ μή τις ἐξ αὐτῶν ἄρῃ τὸ ἀριστεῖον, εἰς μείζονα θείου θυμοῦ ἄναψιν. Εἰ cap. LIV : Μητέρα δὲ τῶν πορνῶν καλῶν, ἣν ἂν βούλῃ πάλιν, εἴτε τὴν παλαιὰν Ῥώμην, εἴτε τὴν νέαν, εἴτε τὸν καιρὸν τῆς ἐπιδημίας τοῦ Ἀντιχρίστου, οὐκ ἂν ἁμάρτῃς τοῦ ἀληθοῦς, διότι ἀμφότεραι τὸ κράτος ἀνεδέξαντο τῶν ἄλλων πόλεων.

ἐτηρεῖτο ἔθη, καὶ ἡ κατάστασις, καὶ ἡ γερουσία τετίμητο, καὶ οἱ ταύτης ἤνθουν πολῖται, καὶ ἔννομος ἦν ἐπιστασία, τὸ κράτος δὴ τὸ βασίλειον· ἀλλ' οὐκ ἄντικρυς τυραννίς, ἴδια τὰ κοινὰ τῶν κρατούντων λογιζομένων, καὶ εἰς οἰκείας ἀπολαύσεις χρωμένων αὐτοῖς· καὶ τούτων ἐνίας οὐκ εὐαγεῖς, καὶ δωρουμένων οἷς βούλονται τὰ δημόσια, καὶ οὐ ποιμένων τρόπον τοῖς ὑπηκόοις προσφερομένων, κειρόντων τὸ περιττὸν τῆς τριχός, καὶ πεφεισμένως ἐμφορουμένων τοῦ γάλακτος, ἀλλὰ δίχηλα κατιθυόντων τὰ πρόβατα, καὶ τῶν σαρκῶν ἐμφορουμένων, ἢ καὶ αὐτοὺς ἐκμυζόντων τοὺς μυελούς. Ἡ μὲν οὖν πόλις οὕτω παρὰ τοῦ εὐσεβοῦς ἐκείνου βασιλέως ἀνῳκοδόμητο, κατὰ τὸ πάλαι Βυζάντιον. Τὸ δὲ Βυζάντιον πόλις καὶ πρώην ἐτύγχανεν, οὐ τῶν ἀνωνύμων ἢ τῶν ἀσήμων, ἀλλὰ καὶ πλήθεσι πολιτῶν εὐθηνουμένη, καὶ πλούτῳ, καὶ ἀνδρῶν γενναιότητι, καὶ τειχῶν ἐρυμνότητι, καὶ τοσοῦτον, ὡς ἐπὶ τρεῖς ἐνιαυτοὺς ἐπὶ Σεβήρου, τοῦ ἐν Ῥώμῃ τῇ παλαιᾷ βασιλεύσαντος, παρὰ Ῥωμαίων πολιορκεῖσθαι, καὶ πολλὰ παρὰ τῶν πολιορκουμένων ὑποστῆναι αὐτούς, ὡς ἐν τοῖς περὶ Σευήρου μοι προϊστόρηται. Περὶ δὲ τῆς τῶν Βυζαντίων δυνάμεως, καὶ τῆς τῶν τειχῶν ὀχυρότητος, ταῦτα ὁ Δίων (14) ἐν τοῖς περὶ Σευήρου φησί· *Τεῖχη δὲ τὸ Βυζάντιον καρτερώτατα εἶχεν· ὅ τε γὰρ θώραξ* (15) *αὐτῶν λίθοις τετραπέδοις παχέσι συνῳκοδόμητο, πλαξὶ χαλκαῖς συνδουμένοις, καὶ τὰ ἐντὸς αὐτῶν καὶ χώμασι καὶ οἰκοδομήμασιν ὠχύρωντο, ὥστε καὶ ἓν τεῖχος παχὺ τὸ πᾶν εἶναι δοκεῖν. Πύργοι τε πολλοὶ καὶ μεγάλοι ἔξω τε ἐκκείμενοι, καὶ θυρίδας πρὸς ἐπαλλήλους ἔχοντες ἦσαν. Καὶ τὰ μὲν πρὸς τὴν ἤπειρον τεῖχη ἐς μέγα ὕψος ἦρτο. Τὰ δὲ πρὸς θάλασσαν ἧττον ὑψοῦτο, οἵ τε λιμένες ἐντὸς τείχους ἀμφότεροι κλειστοὶ ἀλύσεσιν ἦσαν, καὶ αἱ χηλαὶ αὐτῶν πύργους ἐφ' ἑκάτερα πολὺ προέχοντας ἔφερον. Πλοῖα δ' ἦσαν τοῖς Βυζαντίοις πεντακόσια· τὰ μὲν πλεῖστα, μονήρη· ἔστι δ' ἃ καὶ δίκροτα, καὶ τισὶν αὐτῶν καὶ ἐκ τῆς πρῴρας καὶ ἐκ τῆς πρύμνης πηδάλια ἥσκητο, καὶ κυβερνήτας· ναύτας τε διπλοῦς εἶχον, ὅπως καὶ ἐπιπλέωσι καὶ ἀναχωρῶσι μὴ ἀναστρεφόμενοι, καὶ τοὺς ἐναντίους ἔν τε τῷ πρόσπλῳ καὶ τῷ ἀπόπλῳ αὐτῶν σφάλωσι.* Πρὸς τούτοις ἐπάγει ὁ Δίων, ὡς ἑπτὰ ἀπὸ τῶν Θρᾳκίων πυλῶν πύργοι καθεστηκότες πρὸς τὴν θάλασσαν ἦσαν· τούτων δ' εἰ μέν τις ἄλλῳ τῳ προσέμιξεν, ἥσυχος ἦν. Εἰ δὲ δή τῷ πρώτῳ τι ἐνεβόησεν, ἢ καὶ λίθον προσέρριψεν, αὐτός τε ἐλάλει ἔκ τινος μηχανῆς καὶ τῷ δευτέρῳ τὸ αὐτὸ παρεδίδου ποιεῖν· καὶ οὕτω διὰ πάντων ὁμοίως ἐχώρει, οὐδὲ ἐπετάραττον ἀλλήλους, ἀλλ' ἐν τῷ μέρει πάντες παρὰ τοῦ πρὸ αὐτοῦ ἕτερος τήν τε φωνὴν καὶ τὴν ἠχὴν διεδέχοντο. Τοιαύτη μὲν οὖν τοῦ Βυζαντίου πάλαι ἡ πόλις ἐτύγ-

A Sic urbs a pio illo imperatore in veteris Byzantii solo condita est. Byzantium autem prius etiam urbs fuit haud obscura, neque ignobilis, sed et frequentia civium florens, et opibus, et viris fortibus, et mœnibus permunitis, adeo ut sub Severo, qui vetere Roma imperabat, per triennium a Romanis obsideretur, ac multa tolerarent cives, sicut supra in Severo narravimus. Dion item de Byzantiorum potentia, et murorum firmitate, in Severo ad hunc scribit modum: *Byzantium mœnia habuit robustissima: nam eorum lorica lapidibus quadratis crassis constructa erat, et laminis ferreis colligata: interiora et aggeribus et ædificiis munita erant, ut omnia unus crassus murus esse viderentur. Inerant*

B *et multæ magnæ turres foras prominentes, et crebris fenestris adornatæ. Pars continenti obversa, ad magnum exsurgebat altitudinem: quæ mare spectabat, humilior erat, et portus uterque intra mœnia catenis claudi poterat, eorumque brachia utrinque turres multum eminentes sustinebant. Navigia vero habebant Byzantii quingenta, pleraque solitaria: quasdam etiam biremes, quarum nonnullæ et in prora et in puppi gubernaculis et gubernatoribus exornatæ erant, et duplis nautis, ut et accedere et recedere possent, navibus non conversis, et hostes tam in recessu quam accessu vexarent.* Adjicit Dion, VII turres a Thracia porta ad mare pertinuisse, quarum si quis aliam attigisset, tacita fuerit: sin in primam aliquid inclamasset, aut lapidem conje-

C cisset, eam per machinam quamdam resonuisse, et eumdem sonum proximæ tradidisse, donec omnes pervasisset: neque tamen aliam ab alia turbatam, sed per vices ab omnibus vocem et sonum exceptum. Ac talis olim Byzantina urbs fuit: sed inclytus Constantinus eam in immensum auxit, templa inædificavit, et multis rebus adornavit: denique teretem illam columnam porphyreticam, Roma, ut ferunt, allatam in foro lapideis tabellis instrato, unde a Græcis Placoton nominatur, erexit: juxtaque simulacrum æneum, tum artificio mirabili antiquæ manus pene viventis instar expressum, tum magnitudine insigni spectabile dedicavit. Eam statuam Apollinis esse ferunt, Ilio § Phrygiæ translatam. Sed divinus imperator ille, suum illi nomen indidit, clavis quibusdam capiti insertis, qui

D corpus Domini salutiferæ cruci affixerant. Ea ad nostram quoque ætatem permansit integra, columnæ insistens: sed sub Alexio Comneno vehementis venti impetu dejecta concidit: nec ipsa solum communita est, sed multos etiam, qui casu illic erant, contrivit. Palladium item Troja in forum Placotum transtulit. Ita Constantinus Magnus cum aliis multis urbem adornavit, tum Byzantium, quod prius Thraciæ Heracleæ episcopatus erat, a Severo Perinthiis post captivitatem subje-

Variæ lectiones et notæ.

(14) *Δίων.* Cujus verba expendimus in Byzantii descriptione

(15) *Θώραξ.* Murorum loricæ, vulgo *Cortina*, atque sic emendavimus, ubi Wolfius *frons* verterat.

ctum, ut in Severo expositum est, in patriarchatus dignitatem restituit : Romæ veteri ob ætatis prærogativam, et imperium inde huc translatum, principatu relicto. Erat eo tempore Byzantii episcopus Metrophanes, vir sanctissimus, filius Domitii (frater is fuit Probi imperatoris) qui ob Christianæ religionis professionem, Roma Byzantium profectus, in episcopatus apicem evectus est. Post quem Probus alter, filius hujus, pontificium thronum conscendit : ei Metrophanes, frater successit.

A χανεν · ὁ δὲ ἀοίδιμος Κωνσταντῖνος πολλαπλασίαν αὐτὴν ἐξεργάσατο. Καὶ ναοὶ δὲ παρ' αὐτοῦ ἐν αὐτῇ καθιδρύθησαν, καὶ πολλὰ πρὸς κόσμον ταύτης γεγόνασιν. Ἐπὶ πᾶσι δὲ καὶ ὁ κυκλοτερὴς κίων ὁ πορφυροῦς, ὃν ἐκ Ῥώμης (ὡς λόγος) κομισθέντα κατὰ τὴν ἀγορὰν ἔστησεν, ἢ κατέστρωται λιθίναις πλαξὶν (16), ἀφ' ὧν καὶ Πλακωτὸν παρωνόμασται, καὶ ἐπ' αὐτοῦ χάλκεον ἐνίδρυσεν ἄγαλμα, θαῦμα ἰδέσθαι, διά τε τὴν τέχνην διά τε τὸ μέγεθος. Τὸ μὲν γὰρ πελώριον ἦν, ἡ δὲ ἀκρίβειαν ἐξείκνυ χειρὸς ἀρχαίας μικροῦ πλαττούσης καὶ ἔμπνοα · λέγεται δὲ καὶ Ἀπόλλωνος εἶναι στήλην τὸ ἄγαλμα (17), καὶ μετενεχθῆναι ἀπὸ τῆς ἐν τῇ Φρυγίᾳ πόλεως τοῦ Ἰλίου (18). Ὁ δὲ θειότατος αὐτοκράτωρ ἐκεῖνος εἰς οἰκεῖον ὄνομα τὸ ἄγαλμα ἔστησε (19), τῇ κεφαλῇ τούτου τινὰς τῶν ἡλίων ἐναρμοσάμενος, οἳ τὸ σῶμα τοῦ Κυρίου προσεπαττάλευσαν τῷ σωτηρίῳ σταυρῷ, ὃ καὶ μέχρις ἡμῶν διήρκεσεν ἐπὶ τοῦ κίονος ἑστηκός. Πέπτωκε δὲ βασιλεύοντος Ἀλεξίου τοῦ Κομνηνοῦ, ἀνέμου πνεύσαντος βιαίου τε καὶ σφοδροῦ · κἀκεῖνό τε συντέτριπτο, καὶ πολλοὺς τῶν ἐκεῖ παρατυχόντων συνέτριψε. Καὶ τὸ Παλλάδιον δὲ ἀπὸ τῆς Τροίας μετήνεγκε, καὶ ἐν τῇ Πλακωτῇ καὶ τοῦτο ἔστησεν ἀγορᾷ. Ἄλλοις τε σὺν, ὡς εἴρηται, πολλοῖς τὴν πόλιν ὁ μέγας Κωνσταντῖνος ἐκόσμησε, καὶ πρότερον ἐπισκοπὴν ὂν τὸ Βυζάντιον τῆς Θρᾳκικῆς Ἡρακλείας, ὡς ὑπὸ Σευήρου τοῖς Περινθίοις ὑποτεθὲν μετὰ τὴν ἅλωσιν, ὡς ἐν τοῖς περὶ Σευήρου ἱστόρηται, εἰς τιμὴν ἀνήγαγε πατριαρχικὴν (20), τῇ πρεσβυτέρᾳ Ῥώμῃ τὰ πρεσβεῖα τηρήσας, διὰ τὴν πρεσβυγένειαν, καὶ τὸ ἐκεῖθεν τὴν βασιλείαν ἐνταῦθα μετενεχθῆναι. Ἦν δὲ τότε τοῦ Βυζαντίου ἐπίσκοπος Μητροφάνης ὁ ἱερώτατος, υἱὸς Δομετίου, ἀδελφοῦ Πρόβου τοῦ βασιλέως γενόμενος, ὥσπερ δὴ Δομέτιος ἐξ ἀπιστίας εἰς πίστιν μετενεχθείς, καὶ διὰ τοῦτο τὴν Ῥώμην λιπὼν εἰς Βυζάντιον παρεγένετο, καὶ εἰς τὴν τῆς ἐπισκοπῆς ἀνηνέχθη περιωπήν. Μεθ' ὃν Πρόβου υἱὸς αὐτοῦ ἕτερος εἰς τὸν ἀρχιερατικὸν τοῦτον ἱδρύεται θρόνον, ὃν Μητροφάνης (21) ὁ ἀδελφὸς διεδέξατο.

IV. Sub hoc imperatore Arius Alexandrinæ Ecclesiæ sacerdos, celebrabatur, qui Dei Filium et Verbum creaturam dicere non dubitavit : et alterius esse naturæ, nec Patri coæternum. Nec ipse tamen auctor hujus sectæ exstitit, sed Origenes, qui præter plurimas alias perversas opiniones, etiam unigenitum Dei Filium, conditum esse, et a natura paterna diversum, affirmavit : nec videre posse Patrem, quemadmodum nec ipse videri possit a

B Δ'. Ἐπὶ τούτου τοῦ αὐτοκράτορος καὶ ὁ Ἄρειος τῆς ἐν Ἀλεξανδρείᾳ Ἐκκλησίας ἱερεύς, ἐγνωρίζετο, κτίσμα τολμήσας εἰπεῖν τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Λόγον, καὶ οὐσίας ἑτέρας, καὶ οὐ συναΐδιον τῷ Πατρὶ, οὐκ αὐτὸς γεννήτωρ τῆς αἱρέσεως γεγονώς. Πρῶτος μὲν γὰρ Ὠριγένης πρὸς ἄλλαις πλείσταις δόξαις διεφθαρμέναις, καὶ τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ κτιστὸν καὶ ἀλλότριον εἶναι τῆς οὐσίας τῆς πατρικῆς εἰσηγήσατο. Καὶ μὴ δυνάμενον ὁρᾶν τὸν

Variæ lectiones et notæ.

(16) *Ἢ κατέστρωται λιθίναις πλαξίν.* Unde φόρον πλακώματος vocat Nicephorus Presbyter in Vita nondum edita S. Andreæ propter Christum Sali. Vide quæ annotamus in nostra *Constantinopoli*, lib. I, de hoc Foro Constantini.

(17) *Ἀπόλλωνος ἄγαλμα.* Multa perinde ibidem observamus de hac statua, ubi et quædam attigimus de clavis Dominicis in eam immissis, non modo in caput, sed et in equi frenum : de quibus ita Nicephorus Presbyter in Vita nondum edita S. Andreæ propter Christum Sali : Περιπατοῦντος τοῦ ὁσίου ἐν τῷ δημοσίῳ φόρῳ πλησίον τοῦ κίονος, ὃν ἐν μακαρίᾳ μνήμῃ βασιλεὺς Κωνσταντῖνος ὁ ἐν ἁγίοις ἔστησεν, ἐν ᾧ, φασὶ καὶ τοὺς τιμίους ἥλους τοὺς ἐν τῷ ζωοποιῷ τοῦ Κυρίου σώματι ἐμπαρέντας ἐν τῷ ἐπάνω τούτου ἑσταμένῳ ἀνδριάντι ἔθετο, πρὸς δόξαν τοῦ Θεοῦ, σκέπην τε καὶ φυλακτήριον τῆς βασιλίδος τῶν πόλεων. Et Menæa ad 6 Martii :

> Τῇ αὐτῇ ἡμέρᾳ, ἡ εὕρεσις τῶν ἁγίων ἥλων
> Φανέντες ἦλοι βασιλέως τοῦ μὲν κράτους,
> Ἄγαλμα κεῖνται τοῦ χαλινοῦ δὲ κράτους.

Vide Teophanem p. 21.

(18) *Τοῦ Ἰλίου.* Sic mss. omnes : at Lambecius, seu Holstenius ad Codinum, *De Orig. CP.* n. 46, legendum contendit πόλεως τοῦ Ἡλίου, seu Heliopoleos, ex Julii Pollucis Chronico : Καὶ ἐπάνω τοῦ κίονος ἵστησεν ἑαυτοῦ ἀνδριάντα, ἔχοντα ἐν τῇ κεφαλῇ ἀκτῖνας ζ', ὅπερ χαλκούργημα ἤγαγεν ἐκ τῆς Ἰλίου, πόλεως οὔσης τῆς Φρυγίας.

(19) *Εἰς οἰκεῖον ὄνομα τὸ ἄγαλμα ἔστησε.* De porphyretica columna, et statua ei imposita, pluribus egimus in Notis ad Alexiadem, p. 382, et in *Constantinopoli Christ.* lib. I, sect. 24, n. 6. Illud duntaxat hic addere licet, anonymum, *De Inventione S. Crucis*, apud Gretzerum, scribere a Romanis hanc statuam confectam et erectam ob cives liberatos a tyrannide Maximiani, hincque postmodum ab ipso Constantino translatam Constantinopolim. Ita ille, ubi de clavis Dominicis : Τοὺς δὲ ἑτέρους δύο ἐν τῇ στήλῃ ἔθετο, ἣν οἱ Ῥωμαῖοι ὑπὲρ τῆς ἀπὸ Μαξιμιανοῦ τοῦ τυράννου ἐλευθερίας τῷ Κωνσταντίνῳ ἐποίησαν· καὶ γὰρ ἦν ταύτην ἀγαγοῦσα ἐν Κωνσταντινουπόλει, καὶ ἐν τῷ μεγάλῳ κίονι τοῦ φόρου ἱδρύσασα.

(20) *Εἰς τιμὴν ἀνήγαγε πατριαρχικήν.* Falsum quod ait patriarchatum Constantinopolitanum a Constantino M. erectum : hinc Metrophanem Byzantinum episcopum infra patriarcham vocat, ut et Josephus Ægyptius, *De concilio Ephesino*, p. 685, et Damascenus Studita homil. 33. Vide nostram *Constantinopolim*.

(21) *Μητροφάνης.* Consule, si libet, Acta SS. Metrophanis et Alexandri edita a Gretsero, S. Nicephorum in *Chronogr.* p. 413, 1 ed. Synaxaria et Menæa ad IV Junii, qua illius Synaxin celebrant Græci.

Πατέρα, καὶ αὐτὸν δὲ τὸν Υἱὸν ἀόρατον τυγχάνειν εἰσῆγε τῷ Πνεύματι, ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ ἐξερευγόμενος ταυτὶ τὰ ἀπόφημα, ἀλλ' ἦσαν ἐν μόνοις γράμμασι κείμενα, σεσίγηντό τε καὶ οὔπω δεδημοσίευτο· ὁ Ἄρειος δὲ εἰς προῦπτον ταῦτα προήνεγκε, καὶ ἐπὶ τῶν δωμάτων (22) ἐκήρυξε, καὶ πολλοὺς εἰς ἀσέβειαν ὑπεσκέλισε, θορύβων τε καὶ σχημάτων τὰς Ἐκκλησίας ἐνέπλησεν. Ὁ γνοὺς ὁ εὐσεβέστατος βασιλεὺς ἐκεῖνος ἐν Νικαίᾳ τῇ Βιθυνῶν συνελθεῖν τοὺς τῶν ἐπαρχιῶν ἐπισκόπους ἐκέλευσε, καὶ ἀθροισθέντων τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων Πατέρων, ἐν οἷς ἦσαν καὶ ἱερεῖς τινες καὶ διάκονοι, ἀλλὰ μέντοι καὶ μοναχοί. Ὅτε καὶ ὁ μέγας Ἀθανάσιος ἐκεῖ παρῆν τῷ τῶν διακόνων ἔτι κατειλεγμένος ὢν τάγματι. Καὶ αὐτὸς ὁ Χριστιανικώτατος βασιλεὺς ἀφίκετο πρὸς τὴν Νίκαιαν, καὶ συγκαθίσας τοῖς ἱεροῖς Πατράσιν ἐκείνοις, ἐπέτρεψέ ζητῆσαι τὰ παρὰ τοῦ Ἀρείου λεγόμενα, καὶ διαγνῶναι εἴ τι τῆς ὀρθῆς ἐκκλίνουσι δόξης. Οἱ δὲ καὶ ζητήσαντες, καὶ ἀκριβῶς ἐξετάσαντες τὸν μὲν Υἱὸν ὁμοούσιον καὶ ὁμότιμον καὶ συναΐδιον ἐδογμάτισαν τῷ Πατρί. Τὸν Ἄρειον δὲ καὶ τοὺς ὁμόφρονας ἐκείνῳ τῆς τῶν ὀρθοδόξων ὁμηγύρεως ἐξεκήρυξαν. Ἦν δὲ τότε τῶν τὰ Ἀρείου πρεσβευόντων, καὶ ὁ Παμφίλου Εὐσέβιος (23), τῆς ἐν Παλαιστίνῃ Καισαρείας τυγχάνων ἐπίσκοπος, ὃς μετέπειτα λέγεται ἀποστῆναι τῆς τοῦ Ἀρείου δόξης καὶ ὁμογνωμονῆσαι τοῖς συναΐδιον τὸν Υἱὸν καὶ ὁμοούσιον τῷ Πατρὶ δογματίζουσι, καὶ δεχθῆναι παρὰ τῶν ἁγίων Πατέρων εἰς κοινωνίαν. Μᾶλλον μέντοι ἐν τῷ πρακτικῷ τῆς πρώτης συνόδου καὶ ὑπερμαχῶν εὕρηται τῶν πιστῶν. Οὕτω μὲν οὖν ταῦθ' ἱστορούμενα παρά τινων εὕρηται. Ἀμφίβολα δ' ἐκεῖνος αὐτὰ δι' ὧν ἐν τῇ ἐκκλησιαστικῇ Ἱστορίᾳ εὕρηται συγγραψάμενος, τίθησι. Πολλαχοῦ γὰρ ἐν τῷ εἰρημένῳ συγγράμματι ἀρειανίζων καταλαμβάνεται, αὐτίκα περί που τὴν ἀρχὴν τοῦ βιβλίου τὸν Δαβὶδ εἰσάγων λέγοντα· *Αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. Φησὶ τὸν μὲν Πατέρα καὶ ποιητὴν ὡς ποιητὴν καὶ παντεμόνα νομίζεσθαι βασιλικῷ προστάττοντα νεύματι. Τὸν δὲ*

A Spiritu, quæ deliramenta ex improbo cordis sui thesauro eructat. Verum ea in solis chartis jacebant, tecta silentio, necdum vulgata : sed Arius in conspectum protulit, et in ædibus prædicavit, multis ad impietatem pertractis, et Ecclesiis tumultu ac dissensionibus impletis. Qua re cognita religiosissimus imperator provinciarum episcopos Nicææ Bithyniæ urbe convenire jussit. Congressis igitur CCCXVIII sanctis Patribus, inter quos et sacerdotes nonnulli fuere, et diaconi atque etiam monachi : quin et Magnus Athanasius, adhuc in classe diaconorum constitutus illic aderat : ipse etiam Christianissimus imperator **9** Nicæam venit, et sanctis Patribus assedit, et inquirere jussit, quid diceret Arius, ac dijudicare, nunquid a recta sententia aberraret. Illi cum inquisivissent, et accurate rem excussissent, Filium ejusdem cum Patre naturæ, dignitatis et æternitatis esse decreverunt. Arium vero cum sectatoribus e cœtu orthodoxorum publico præconio ejecerunt. Arii sectam tum amplexabatur etiam Eusebius Pamphili Cæsareæ Palæstinæ episcopus qui post descivisse dicitur ab Ariana opinione ac consensisse cum iis qui Filium Patri coæternum, ejusdemque naturæ esse docent, ac a sanctis Patribus ad communionem receptum. In actis autem primi Concilii, etiam acriter defendisse fideles traditur. Hæc sic a nonnullis exposita reperiuntur, quæ ipse in ecclesiastica sua Historia magis ambigua facit. In quo scripto sæpe Ario favere deprehenditur, ac statim in libri principio, Davidem citans : *Ipse dixit, et facta sunt : ipse mandavit, et creata sunt* [1], ait, *Patrem et factorem, pro conditore ac duce universi haberi, qui regio nutu imperet. Sed secundum ab eo divinum Verbum patria exsequi jussa.* Post nonnulla item dicit : *Huic, ut Patris potentiæ et sapientiæ, secundas partes regni et imperii in omnes esse creditas.* Et paulo post iterum : *Ac esse naturam quamdam, quæ ante mundum vixerit et substiterit, ac Deo et Patri universi in rerum factarum opificio ministrarit, et Solomon sub persona*

[1] Psal. CXLVIII, 5.

Variæ lectiones et notæ.

(22) *Ἐπὶ τῶν δωμάτων.* Hesychius : δώματα, οἶκοι, οἰκήματα, etc. Ita *doma* usurpant aliquando Scriptores infimæ latinitatis, Petrus Damiani, l. v. epist. 11 ; liber *Mirac. S. Mauri*, cap. x ; *Historia translat. S. Sebastiani*, n. 18 ; *Vita S. Aldegundis*, cap. 5, etc. Est etiam *doma*, *tectum*, *vel atrium quod non tegitur*, Papiæ *Gloss. Gr. Lat.* δῶμα, *tectum*. Atque hac notione in Orientalibus provinciis usurpari observat non semel S. Hieronymus, in quibus *domata* dicuntur, *quæ Romæ solaria vel mæniana vocant, id est plana tecta, quæ transversis trabibus sustentantur*. Hoc vero Zonaræ loco δώματα pro ipsis ædibus privatis accipi debere censuerim : *tecta* vertit Interpres.

(23) *Ὁ Παμφίλου Εὐσέβιος.* De Eusebio, et illius Arianismo, præter Theophanem et aliquot e vetustioribus, agunt in primis Baronius, Scaliger ad Eusebii *Chronicon*, p. 431 ; Jacobus Gothofredus ad Philostorgium, lib. I, cap. 11 ; Henricus Valesius ejusdem Eusebii *Historiæ ecclesiasticæ* editor et alii. Quæ porro ut id probet Zonaras affert ex eodem Eusebio, desumpta sunt ex lib. I, cap. 4, ubi βεβαιωτερεύοντα θεῖον λόγον etiam scribi in melioribus codicibus observat Valesius, ubi alii Θεοῦ, vel Θεὸν habent. Ex his porro Eusebii verbis non videre se quid reprehendat Zonaras scribit idem Valesius ad cap. 3, quo probet Ariani dogmatis illum sectatorem fuisse. Hunc consule, si libet. Photius epist. 144 : Εὐσέβιος ὁ τοῦ Παμφίλου, εἴτε ἔοῦλος, εἴτε συνήθης, ὅτι μὲν Ἀρειανισμῷ ἔλλω, βοῶσι μὲν αὐτοῦ τὰ βιβλία, etc. Georgius Hamartolus in Chronico ms. Περὶ τοῦ Παμφίλου Εὐσεβίου, ὅτι ἐν πολλοῖς αὐτοῦ συγγράμμασιν δείκνυται Ἀρειανὸς γνήσιος, εἰ δὲ καὶ ἐπαινεῖται παρά τινων ἐκκλησιαστικῶν ἀνδρῶν ὡς πολυμαθὴς καὶ πεπυσμένος, καθάπερ καὶ Ὠριγένης καὶ ἄλλοι πολλοὶ τῶν ἔξω τῆς Ἐκκλησίας ὄντων.

sapientiæ Dei ait : Dominus condidit me principium viarum suarum, etc. Deinde post alia plura infert : *Et super hæc omnia, sicut Dei Verbum, quod ante fuit, et ante sæcula omnia factum est, venerabilem honorem a Deo Patre adeptum, adorari tanquam Deum.* Hæc et alia demonstrant, Eusebium Ariana dogmata probasse. Nisi quis dicat, id opus ante conversionem ab eo fuisse conscriptum. Illud igitur sanctum concilium dogma de eadem natura et æternitate Filii statuit, et divinum fidei Symbolum statim edidit, de Patris et Filii divinitate disserendo, non ultra illud progressum : *Cujus regni non erit finis.* Atque in illo deslit : *Et in Spiritum sanctum.* Nam theologia de Spiritu sancto, post in secundo concilio contra Macedonium congregato, ea quæstione agitata, adjecta est. At imperator **10** per apostolis, Patrum concordia delectatus, dextram eis porrexit, et quorumdam qui ob Christi confessionem notas in corporibus suis gerebant, mutilata illa membra et partes deosculatus est, eosque ob mutilationes illas beatos pronuntiavit. Libellos contra quosdam episcopos oblatos, neque legit, neque examinari passus est, sed in conspectu omnium igni absumpsit, cum his verbis : *Etiamsi ipse episcopum aliquem delinquentem viderem, purpura mea eum tegerem.* Inde sanctos Patres in urbem regiam a se conditam traduxit, ut eam faustis comprecationibus prosequerentur, et secundum patriarcham deligerent, sanctum Alexandrum. Nam inclytus Metrophanes obierat. Iis peractis, ad suam quemque parœciam dimisit, honoribus et donis magnificis affectos. Imperatoris mater sancta Helena grandis natu (nam octogesimum ætatis annum attigisse perhibetur) in cœlestes mansiones discessit : quam filius in æde sanctorum Apostolorum regaliter condidit. Suscepta contra Persas expeditione, triremibus Soteropolim defertur, quæ nunc Pythia vocatur : et natura calidis illius loci aquis usus, ubi etiam toxicum, a fratribus patre duntaxat eodem natis temperatum, hausisse fertur. Unde Nicomediam profectus, diuturnitate morbi exstinctus est, annos quinque et sexaginta natus, cum duo et triginta imperasset. Ei filius Constantius, Antiochia profectus (nam ibi Persis repugnabat) cum adhuc viventem invenisset, magnifice parentavit, et in sanctorum Apostolorum æde, peculiari tamen porticu ad id ædificata, sepelit. Memoratur autem inclytus hic imperator pecuniam et citra delectum insumpsisse, et minori cum delectu comparasse : ita ut ejus in largiendo studium magnificentiæ non tribuatur, sed contra : verum temperandum est calamo, ne quam divino illi viro labem aspergam. Enimvero profanus ille Julianus, in libro de Cæsaribus, quasi per derisum impensarum imperatoris religiosissimi, fingit Mercurium cum eo colloquentem, quærere, *quænam sit boni regis nota?* Cui ille respondeat, *Imperatori et habenda et insumenda esse multa.* Fertur nec a studiis doctrinarum fuisse alienus,

A τούτου δευτερεύοντα θεῖον λόγον, ταῖς πατρικαῖς ὑπουργοῦντα ἐπιταγαῖς. Καὶ μετά τινα λέγει· *Τοῦτον ὡσανεὶ τοῦ Πατρὸς ὑπάρχοντα δύναμιν καὶ σοφίαν, καὶ τὰ δευτερεῖα τῆς κατὰ πάντων βασιλείας καὶ ἀρχῆς ἐμπεπιστευμένον.* Καὶ αὖθις μετ' ὀλίγα· *Καὶ ὅτι ἐστὶν οὐσία τις προκόσμιος ζῶσα καὶ ὑφεστῶσα, ἡ τῷ Θεῷ καὶ Πατρὶ τῶν ὅλων εἰς τὴν τῶν γενητῶν δημιουργίαν ὑπηρετησαμένη, καὶ ὁ Σολομῶν λέγει προσώπῳ· τῆς τοῦ Θεοῦ σοφίας· Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, καὶ ἑξῆς.* Καὶ μεθ' ἕτερα πλείονα φάσκει· *Καὶ ἐπὶ πᾶσι τούτοις, οἷα Θεοῦ Λόγον προόντα καὶ πρὸ αἰώνων ἁπάντων οὐσιωμένον, τὴν σεβάσμιον τιμὴν παρὰ τοῦ Πατρὸς εἰληφότα, προσκυνεῖσθαι ὡς ἂν Θεόν.* Ταῦτα καὶ ἕτερα δὲ τοῖς ἀρειανίζουσι δόγμασι δεικνύουσιν ὁμόφρονα τὸν Εὐσέβιον, εἰ μή τις φαίη, πρὸ τῆς ἐπιστροφῆς αὐτῷ πονηθῆναι τούτων τὴν συγγραφήν. Ἡ μὲν οὖν ἁγία σύνοδος τὸ ὁμοούσιον καὶ συναΐδιον ἐπὶ τοῦ Υἱοῦ δογματίσασα, καὶ τὸ θεῖον αὐτίκα τῆς πίστεως ἐξέθετο σύμβολον περὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ θεολογήσασα ἐν αὐτῷ. Καὶ μέχρι τοῦ· *Οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον*, τὸ τούτου τέλος ποιησαμένη. Ἡ γὰρ περὶ τοῦ ἁγίου Πνεύματος θεολογία μετέπειτα προσετέθη ἐν τῇ δευτέρᾳ συνόδῳ τῆς περὶ τούτου γενομένης ζητήσεως, ἣ κατὰ Μακεδονίου συνῆκτο. Ὁ δ' ἰσαπόστολος αὐτοκράτωρ ἐπὶ τῇ τῶν Πατέρων ὁμονοίᾳ ἡσθεὶς ἐδέξιοῦτο αὐτούς. Καί τινων τῶν ὑπὲρ τῆς τοῦ Σωτῆρος ὁμολογίας φερόντων τὰ στίγματα ἐν τοῖς σώμασιν, κατηπάζετο τὰ πεπηρωμένα τούτων μέλη καὶ μόρια, καὶ αὐτοὺς διὰ τὰς πηρώσεις αὐτῶν ἐμακάριζε. Δοθέντων δὲ λιβέλλων αὐτῷ κατά τινων ἐπισκόπων, οὔτ' ἀνέγνω τούτους, οὔτ' εἰς ζήτησιν ἤνεγκεν· ἀλλ' ἐνώπιον ἁπάντων πυρὶ αὐτοὺς ἀπετέφρωσεν εἰπών, ὅτι *Κἂν αὐτόπτης ἐγενόμην ἁρχιερέως τινὸς ἁμαρτάνοντος, τῇ πορφυρίδι μου ἂν αὐτὸν συνεκάλυψα.* Ἐκεῖθεν εἰς τὸ παρ' αὐτοῦ κτισθὲν βασίλειον ἄστυ τοὺς θείους ἐκείνους μεταγαγὼν Πατέρας, καὶ τῆς ἐξ αὐτῶν εὐλογίας ἀξιώσας αὐτό, καὶ χειροτονηθῆναι παρασκευάσας ἐν αὐτῷ δεύτερον πατριάρχην, τὸν ἱερὸν Ἀλέξανδρον (ὁ γὰρ ἀοίδιμος Μητροφάνης μετήλλαξε τὴν ζωήν), ἀφῆκεν ἕκαστον εἰς τὴν οἰκείαν ἀπελθεῖν παροικίαν, τιμαῖς τε καὶ δωρεαῖς μεγαλοπρεπῶς αὐτοὺς φιλοφρονησάμενος. Ἡ δὲ τοῦ βασιλέως μήτηρ ἡ μακαρία Ἑλένη εἰς γῆρας βαθὺ καταντήσασα (ὀγδοήκοντα γὰρ λέγεται ζῆσαι ἐνιαυτοὺς) πρὸς τὰς οὐρανίους ἀπῆρε μονάς, ἣν ὁ υἱὸς ἐν τῷ τῶν ἁγίων ἀποστόλων ναῷ βασιλικῶς ἐθησαύρισεν. Ἐκεῖνος δὲ κατὰ Περσῶν ἐκστρατεύων τριήρεσι κομίζεται εἰς τὴν Σωτηρόπολιν, ἣ νῦν ὀνομάζεται Πύθια· καὶ τοῖς ἐκεῖσε χρησάμενος αὐτομάτοις θερμοῖς ὕδασιν, ἔνθα καὶ φάρμακόν τι πιεῖν δηλητήριον λέγεται παρὰ τῶν ἑτεροθαλῶν αὐτῷ κερασθὲν ἀδελφῶν, εἰς Νικομήδειαν παραγίνεται· ὅπου καὶ τετελεύτηκε, νοσήσας ἐφ' ἱκανὸν, ἐτῶν γεγονὼς πέντε πρὸς τοῖς ἑξήκοντα, βασιλεύσας δ' ἐκ τούτων τριάκοντα πρὸς δυσὶν, ἐνδεόντων δύο μηνῶν. Ὃν ὁ υἱὸς Κωνστάντιος ἐξ Ἀντιοχείας παραγενόμενος (ἐκεῖ γὰρ ἦν τοῖς Πέρσαις

ἀντιμαχόμενος) ἔτι ζῶντα εὑρὼν (24), ἐκήδευσε μεγαλοπρεπῶς, καὶ ἐν τῷ τῶν Ἁγίων Ἀποστόλων κατέθετο ἱερῷ, ἐν ἰδιαζούσῃ μέντοι στοᾷ, ἣν ἐπὶ τῇ ταφῇ τοῦ πατρὸς αὐτὸς ᾠκοδόμησεν. Ἱστόρηται δὲ ὁ ἀοίδιμος αὐτοκράτωρ ἐκεῖνος ἀφειδῶς τε τὰ χρήματα ἀναλίσκειν, καὶ ταῦτα πορίζειν ἑαυτῷ ἀφειδέστερον. Ὡς μὴ μεγαλοπρέπειαν κρίνεσθαι τὸ περὶ τὰς δαπάνας φιλότιμον, ἄντικρυς δέ· ἀλλὰ μή τι φαῦλον ἐρῷ περὶ τοῦ θείου ἐκείνου ἀνδρός. Ὅθεν καὶ ὁ βάθηλος Ἰουλιανὸς ἐν τῷ περὶ τῶν Καισάρων λόγῳ αὐτοῦ, ἀποσκώπτων ὥσπερ εἰς τὸν εὐσεβέστατον τουτονὶ βασιλέα διὰ τὸ πολυδάπανον, πλάττεται τὸν Ἑρμῆν διαλεγόμενόν οἱ, καὶ τί ἂν εἴη γνώρισμα βασιλέως ἀγαθοῦ πυνθανόμενον· κἀκεῖνον πρὸς τὸ ἐρώτημα λέγοντα, πολλὰ κεκτῆσθαι χρῆναι τὸν αὐτοκράτορα, καὶ ἀναλίσκειν πολλά. Λέγεται δὲ μηδὲ λόγων ἀνομίλητος εἶναι, ἀλλὰ καὶ περὶ τούτους ἐσπουδακέναι, οὗ τι μεῖον τῶν ὅπλων. Κἀντεῦθεν αὐτῷ τὴν γλῶτταν γενέσθαι πρὸς διάλεξιν εὔθικτον, καί τινας ἴυγγας προσεῖναι αὐτῇ, κατακηλούσας τὰς τῶν ἀκροατῶν ἀκοάς. Ἀναγέγραπται δὲ καὶ μισοπόνηρος εἶναι, καὶ εἰωθὼς λέγειν μηδενὸς τῶν ἁπάντων τῆς τῶν κοινῶν πραγμάτων καταστάσεως ἕνεκεν τὸν κρατοῦντα φείδεσθαι δεῖν, μηδ' αὐτῶν τῶν οἰκείων μελῶν. Τοῖς δὲ μεταβαλλομένοις ἐκ πονηρίας φιλανθρώπως διατιθέμενος ἔλεγεν ὅτι τὸ νοσοῦν μέλος ἀποκοπτέον καὶ σεσηπὸς, ἵνα μὴ καὶ τοῖς ὑγιαίνουσι λυμανεῖται· οὐ μέντοι τὸ ὑγιείας ἤδη τυχὸν, ἢ καὶ ὑγιαζόμενον.

A sed his quoque non minorem impendisse operam, quam armis ; itaque **11** et in disserendo acutum exstitisse, ac nescio quam veluti magicam orationis illius vim aures hominum demulsisse. Scribitur et osor improborum fuisse : ac dicere solitus, imperatorem neminí omnium, ne suis quidem propriis membris, parcere debere, publicæ tranquillitatis conservandæ causa : et humanus erga eos, qui a malitia discederent. Membrum enim ægrum ac putridum resecandum, ne sana etiam inficeret ; non autem id quod vel in integrum esset restitutum, vel certe consanesceret.

Ε'. Καὶ ὁ μὲν τρισόλβιος (25) βασιλεὺς ἐκεῖνος περὶ τὰς αἰωνίους μετετέθη σκηνάς. Ἡ δὲ τῶν Ῥωμαίων ἡγεμονία (26) εἰς τοὺς τρεῖς ἐκείνου παῖδας μεμέριστο ξύμπασα· ὡς μέν τινες συνεγράψαντο, παρὰ τοῦ πατρὸς σφίσι διανεμηθεῖσα, ὡς δ' ἕτεροι, καθ' ἑαυτοὺς ταύτην αὐτῶν διελομένων, μετὰ τὴν ἀποβίωσιν τοῦ πατρός. Οὕτω δ' ἱστόρηται προβῆναι παρὰ σφίσιν ἡ διανέμησις· τῷ μὲν Κώνσταντι προσκληρωθῆναι τὴν Ἰταλίαν, καὶ τὴν Ῥώμην αὐτὴν, τήν τε Ἀφρικὴν καὶ Σικελίαν, καὶ τὰς λοιπὰς τῶν νήσων, ἀλλὰ μέντοι καὶ τὸ Ἰλλυρικὸν, καὶ τὴν Μακεδονίαν, καὶ σὺν τῇ Ἀχαΐᾳ τὴν Πελοπόννησον· τῷ δὲ Κωνσταντίνῳ τὰς Κοττίας Ἄλπεις σὺν ταῖς Γαλλίαις προσνεμηθῆναι (Κόττιαι δὲ (27) ὠνομάσθησαν ἀπὸ Κοττίου βασιλέως τῶν τόπων τούτων γενομένου), καὶ τὸ Πυρηναῖον κλίμα, μέχρι τῶν Μαύρων τῶν τῷ πορθμῷ διωρισμένων τῷ τοῦ Ὠκεανοῦ· τῷ Κωνσταντίῳ δὲ λάχος (28) γενέσθαι, ὅσα κατὰ τὴν ἑῴαν μοῖραν ἦσαν Ῥωμαίοις ὑπήκοα,

B V. Imperatore illo beatissimo in æterna tabernacula translato, imperium Romanorum inter tres illius filios est divisum, vel ab ipso, ut quidam scribunt : vel, eo defuncto, ex ipsorum consensu, ad hunc modum. Constanti attributam esse Italiam, et Romam ipsam, Africam, Siciliam, cum reliquis insulis, atque etiam Illyricum, Macedoniam, et cum Achaia Peloponesum. Constantino Alpes Cottias, quæ nomen habere dicuntur a Cottio illius loci quondam rege, cum Galliis, et tractum Pyrenæi usque ad Mauritaniam, Oceani angusto freto, diremptam ab Hispaniis. Constantio ea obvenisse, quæ in orientali parte Romanæ ditionis erant, et Thraciam cum urbe paterna. Post hanc regnorum partitionem, Constantius in Orientem se contulit, ad Persarum arma reprimenda. Nam eorum dux Sapores, audita Constantini Magni morte, Romanas provincias continentibus populationibus et direptionibus infestabat. Interea

Variæ lectiones et notæ.

(24) *Ἔτι ζῶντα εὑρών.* Solus Zonaras Constantium Cæsarem, qui tunc erat Antiochiæ, vivente adhuc patre supervenisse scribit, eoque mortuo funus magnificentissimum duxisse, ut observat Henricus Valesius ad lib. IV Eusebii *De Vita Constantini*, cap. 70.

(25) *Καὶ ὁ μὲν τρισόλβιος.* Scribit Henricus Valesius in Notis ad lib. XVI Marcellini, in Constantini filiorum Historia solito diligentiorem fuisse Zonaram : quod viri doctissimi judicium hic apponendum duxi.

(26) *Ἡ δὲ τῶν Ῥωμαίων ἡγεμονία.* Partitionem imperii Constantiniani inter illius filios ita prosequitur Scriptor Vitæ S. Artemii MS.: Ἄρτι τοῦ μεγάλου Κωνσταντίνου τὸν βίον ἀπολιπόντος, εἰς τρεῖς ἀρχὰς ἡ τῶν Ῥωμαίων ἐξουσία διεμερίσθη, τῶν υἱῶν αὐτοῦ Κωνσταντίνου, Κωνσταντίου τε καὶ Κώνσταντος ταύτας διελομένων· καὶ τῷ μὲν πρώτῳ Κωνσταντίνῳ αἱ ἄνω Γαλλίαι καὶ τὰ ἑπέκεινα Ἄλπεων, αἵ τε Βρεττανικαὶ νῆσοι, καὶ ἕως τοῦ ἑσπερίου Ὠκεανοῦ χλῆρος ἐδόθησαν. Τῷ δὲ Κώνσταντι ὡς ὑστάτῳ αἱ κάτω Γαλλίαι, ἦγουν αἱ Ἰταλίαι, καὶ αὐτὴ ἡ Ῥώμη. Ὁ δὲ Κωνστάντιος ὁ δεύτερος τῶν Κωνσταντίνου υἱῶν, ὃς ἦν ἐπὶ τῶν τῆς ἑῴας τότε πραγμάτων πρὸς τοὺς Πέρσας ἀγωνιζόμενος, τὸ τῆς ἀνατολῆς ἆσπάζεται μέρος, καὶ τὸ Βυζάντιον μετονομασθὲν εἰς Κωνσταντινούπολιν καὶ Νέαν Ῥώμην, ποιεῖται βασίλειον, καὶ τὰ ἀπὸ τοῦ Ἰλλυρικοῦ μέχρι τῆς Προποντίδος ὁπόσα ὑπήκοα Ῥωμαίοις, τήν τε Συρίαν καὶ Μεσοποταμίαν, καὶ Αἴγυπτον, καὶ τὰς νήσους ἁπάσας τῇ αὐτοῦ βασιλείᾳ καὶ πολιτείᾳ ὑποτελῆ καθίστησι. Vide Constantinum, lib. II *De Themat.* cap. 9 et alios passim scriptores.

(27) *Κόττιαι δέ.* De Alpibus Cottiis, et rege Cottio, illiusque regno multa habent Simlerus in Comment. de Alpibus ; Cluverius, lib. I *Italiæ antiq.* cap. 12 et 32, et alii passim.

(28) *Τῷ Κωνσταντίῳ δὲ λάχος.* Eunapius, in *Ædesio*, p. 44 : Διαδεξάμενος δὲ ὁ Κωνστάντιος τὴν βασιλείαν, καὶ κληρωθείς, ἴσα γε ἐκληρώθη, ταῦτα δὲ ἦν τὰ ἐξ Ἰλλυριῶν εἰς τὴν Νισίαν καθήκοντα.

Constantinus cum Constante ob partitionem provinciarum expostulat, petens, ut aut parte regni sibi cedat, aut partitio de integro instituatur. Cum autem ille priore divisione niteretur, et quæ obvenerant tueretur, neque fratri vel minimum concederet: Constantinus, armis arreptis, provincias Constantis invadit. Qui tum in Dacia agens, motu illo cognito, duces cum exercitu contra eum mittit, ipse mox cum majoribus copiis secuturus. Qui missi erant, cum parum a Constantino abessent, insidias locant: pugnaque inita, fugam simulant. Quos, dum Constantini milites persequuntur, qui in insidiis collocati fuerant, a tergo invadunt. Sic fugientibus **12** etiam conversis, in medio duorum exercituum intercepti, magna ex parte cadunt, ipso etiam Constantino interfecto. Nam equo vulnerato, et ex vulnere efferato, sella excussus, multis vulneribus conficitur: neque voti compos factus, et quia injuriæ fuerat auctor, præter jacturam sui imperii vita etiam privatus. Sic occidentali regno ad unum Constantem devoluto, is etiam nefandis amoribus implicatus, et perversam vitæ rationem secutus, insidiis Magnentii miserabiliter periit: quem Magnentium e militum seditione, strictis jam gladiis in necem ejus ruentium, eripuerat. Dum hæc geruntur, Constantius in Oriente, cum Persarum rege Sapore pugnat, filio Narsei, verum ex ignobili muliere procreato. Nam is e principe uxore tres filios susceperat, Adanarsem, Hormisdam, et tertium quemdam. Defuncto Narseo, Adanarses natu maximus in imperio succedit. Sed ex nimia crudelitate et inhumanitate odio Persarum suscepto, regno excidit. Cujus atrocis ingenii specimen quoddam est proferendum. Aliquando patri ejus tentorium Babylone allatum est, e variis illius loci pellibus confectum. Quod modo extensum, dum Narses contemplatur, rogat Adanarsem puerum adhuc, ut placeat? Tum ille: *Ubi*, inquit, *regno potitus fuero, pulchrius tentorium ex humanis pellibus conficiam*. Sic ab ipsa infantia immanitatem suam declarabat. Eo igitur pulso, Sapori regnum est delatum: qui statim fratrem alterum oculis privat, Hormisdam vinctum in custodia tenet. Cæterum mater, et uxor illius, custodibus pecunia delinitis, ad visendum cum admissæ, limam illi dederunt, qua ferrea vincula dissecaret: et quid deinceps faciendum esset, monuerunt, paratis equis et fugæ comitibus.

καὶ πρὸς τούτοις τὴν Θράκην σὺν τῇ πόλει τῇ πατρικῇ (29). Οὕτω δὲ τοῦ μερισμοῦ τῆς ἀρχῆς προβάντος, ὁ μὲν Κωνστάντιος εἰς τὴν ἑῴαν ἐχώρησεν, ἐκστρατεύων κατὰ Περσῶν (30). Ὁ γὰρ τούτων ἡγεμονεύων Σαπώρης (31) τὸν θάνατον τοῦ μεγάλου γνοὺς Κωνσταντίνου, κατὰ τῶν ὑπὸ Ῥωμαίους τελούντων ἐπιὼν καὶ λῃζόμενος οὐκ ἐπαύετο. Ὁ δὲ Κωνσταντῖνος τῷ Κώνσταντι ἐπεφύετο, τὴν διανέμησιν τῶν χωρῶν αἰτιώμενος· καὶ ἢ παραχωρῆσαι μέρους αὐτῷ τῆς ἀρχῆς ἀπαιτῶν, ἢ ἀναδάσασθαι τὰς βασιλείας ἄμφω ζητῶν. Ὡς δ' ἐκεῖνος τῆς ἤδη γεγονυίας διανεμήσεως εἶχετο, καὶ τῶν αὐτῷ προσκληρωθέντων ἀντείχετο, καὶ οὐδὲ τοῦ βραχίστου παρεχώρει τῷ ἀδελφῷ, ὅπλα κατ' αὐτοῦ ἦρεν ὁ Κωνσταντῖνος καὶ ἐπῆλθε τῷ λάχει τοῦ Κώνσταντος. Ὁ δὲ ἐν Δακίᾳ ἀποδημῶν, καὶ τὴν κίνησιν τοῦ Κωνσταντίνου μαθών, στράτευμα κατ' αὐτοῦ πέμπει καὶ στρατηγούς, καὶ αὐτὸς ὅσον ἤδη μετὰ πλείονος στρατοῦ ἐπιστῆναι ἐπαγγειλάμενος. Οἱ γοῦν πεμφθέντες ἐγγὺς τοῦ Κωνσταντίνου γενόμενοι λόχους καθίζουσι· καὶ συμβαλόντες αὐτῷ φεύγειν ὑπεκρίνοντο. Τῶν δὲ τοῦ Κωνσταντίνου διωκόντων αὐτούς, ἐξόπισθεν αὐτῶν οἱ λοχῶντες αὐτοὺς γενόμενοι, κατὰ νώτων αὐτοῖς ἐπιτίθενται. Καὶ οἱ φεύγοντες ἐπιστραφέντες, μέσον περιέσχον αὐτούς. Καὶ πολὺ τῆς τοῦ Κωνσταντίνου διέφθαρτο στρατιᾶς, κἀκεῖνος αὐτός. Τοῦ γὰρ ἵππου τρωθέντος αὐτοῦ καὶ διὰ τὸ τραῦμα σφαδάζοντος καὶ ἀνασκιρτῶντος, ἐκπέπτωκε τῆς ἕδρας ὁ Κωνσταντῖνος καὶ ἀνῃρέθη, πολλὰ δεξάμενος τραύματα, οὔτε τυχὼν τῆς ἐφέσεως, καὶ ὅτι ἀδίκων ἦρξε, καὶ τὴν οἰκείαν τῆς ἀρχῆς μοῖραν ἀποβαλών, καὶ αὐτὴν προσζημιωθεὶς τὴν ζωήν. Καὶ γέγονεν ἡ τῆς ἑσπερίου λήξεως ἐπικράτεια ὑφ' ἑνὶ μὲν Κώνσταντι (32) βασιλεῖ. Εἶτα κἀκεῖνος εἰς ἀλλοκότους ἐκκυλισθεὶς ἔρωτας καὶ ἐκδεδιητημένην ζωὴν ὑπὸ Μαγνεντίου ἐπεβουλεύθη, καὶ ἀθλίως ἀπώλετο, Μαγνεντίου, ὃν ἐκεῖνος ἐκ στάσεως στρατιωτικῆς περιέσωσε κινδυνεύοντα, ἤδη τῶν στρατιωτῶν κατ' ἐκείνου τὰ ξίφη ἠρκότων, καὶ διαχειρίσασθαι αὐτὸν ὡρμηκότων. Ὁ Κωνστάντιος δὲ περὶ τὴν ἑῴαν διατριβὼν τοῖς Πέρσαις ἐμάχετο, Σαπώρου (33) τοῦ ἔθνους, ὡς εἴρηται, βασιλεύοντος· ὃς Ναρσῇ μὲν ἦν υἱός, οὐ μέντοι ἐξ ἐπισήμου γυναικός. Ἐκ γὰρ τῆς πρωτευούσης τῶν αὐτοῦ γυναικῶν τρεῖς ἐγένοντο τῷ Ναρσῇ παῖδες, Ἀδανάρσης καὶ Ὁρμίσδας καὶ τρίτος ἕτερος. Τελευτήσαντος δὲ Ναρσοῦ, ὁ πρεσβύτερος τῶν τριῶν τούτων Ἀδανάρσης τῆς ἀρχῆς διάδοχος γέγονεν. Ὠμὸς δὲ λίαν

Variæ lectiones et notæ.

(29) *Καὶ πρὸς τούτοις τὴν Θράκην σὺν τῇ πόλει τῇ πατρικῇ*. Errasse Victorem, qui Thraciam Constanti postremo ex Constantini filiis obvenisse scribit, pridem observatum ab aliis.

(30) *Κατὰ Περσῶν*. Qui Antiochiam circumsederant et ceperant, ut est apud Eunapium in *Ædesio*.

(31) *Ὁ Σαπώρης*. De hac Saporis expeditione, et Nisibi a Persis obsessa, agunt Philostorgius, l. III, c. 24; Ammianus, *Chron. Alexand.* p. 672, 674, 676; Theophanes p. 28, 32, et alii passim.

(32) *Ὑφ' ἑνὶ Κώνσταντι*. Res gestas a Constante scripsit Eustochius Cappadox Sophista, ut est apud Eudociam Augustam in Ioniis mss. ἔγραψε τὰ κατὰ Κώνσταντα τὸν βασιλέα, etc. ubi apud Suidam perperam omissa vox τά.

(33) *Σαπώρου*. Vide Zosimum lib. II, ubi et de Hormisdæ ad Constantium fuga, de qua etiam Ammianus, lib. XVI, p. 71. Narsei vero mentio est apud Eutropium, Theophanem, et alios. De Hormisda agimus pluribus in Constantinopoli.

τυγχάνων καὶ ἀπηνῆς, κἀντεῦθεν μισούμενος ὑπὸ τῶν Περσῶν τῆς βασιλείας ἐκπέπτωκεν. Εἰρήσθω δέ τι καὶ τῆς ἐκείνου γνωμικῆς ὠμότητος γνώρισμα. Σκηνή ποτε τῷ πατρὶ αὐτοῦ διεκόμισθη ἐκ Βαβυλῶνος, δέρμασιν ἐγχωρίοις (34) ποικιλώτερον εἰργασμένη. Ταύτην οὖν ἐκταθεῖσαν ἅρτι θεώμενος ὁ Ναρσῆς ἠρώτησε τὸν Ἀδανάρσην (34'), παιδίον ἔτι τυγχάνοντα, εἰ ἀρέσκει αὐτῷ ἡ σκηνή; Ὁ δὲ ἀπεκρίνατο· *Εἰ κρατήσει τῆς βασιλείας, κρείττω ταύτης ποιήσειν ἐξ ἀνθρώπων δορᾶς.* Οὕτω νηπιόθεν ἐνέφαινε τὴν ὠμότητα. Τούτου τοίνυν οὕτω τῆς βασιλείας ἐκπεπτωκότος, Σαπώρης εἰς τὴν ἀρχὴν ἀντεισῆκτο. Καὶ ὃς εὐθὺς τὸν μὲν ἕτερον τῶν ἀδελφῶν ἐξετύφλωσε· τὸν Ὁρμίσδαν δὲ δεσμήσας ἔμφρουρον εἶχεν. Ἡ δέ γε μήτηρ ἐκείνου καὶ ἡ γυνὴ χρήμασι δεξιωσάμεναι τοὺς φρουροὺς, εἰς ἐπίσκεψιν ἐκείνου παρεχωρήθησαν εἰσελθεῖν. Καὶ εἰσελθοῦσαι ῥίνην (33) αὐτῷ παρέσχον, ἵνα ταύτῃ τὰ σιδήρεα διακόψῃ δεσμὰ, ὑποθέμεναι καὶ ὅσα δέοι μετὰ ταῦτα ποιεῖν, ἵππους τε αὐτῷ καὶ τοὺς συναποδράσοντας ἑτοιμάσασαι. Εἶτα τοῖς φρουροῖς ἡ ἐκείνου σύνευνος δεῖπνον παρέθετο δαψιλές· οἱ δὲ καὶ βρωμάτων ἐμφορηθέντες, καὶ τοῦ ἀκράτου σπάσαντες ἀκρατέστερον, ἐλήφθησαν ὕπνῳ βαρεῖ. Ὁ δ' Ὁρμίσδας κοιμωμένων ἐκείνων, καὶ τὰ δεσμὰ τῇ ῥίνῃ διέκοψε, καὶ τῆς φρουρᾶς ἐξελθὼν ᾤχετο, καὶ πρὸς τοὺς Ῥωμαίους ἀπέδρα, καὶ ὑπεδέχθη φιλοτιμότατα. Ὁ δὲ Σαπώρης ἐῴκει τῇ φυγῇ ἐκείνου ἐφήδεσθαι, οἷα τὸν ἐξ ἐκείνου ἀποσκευασάμενον φόβον, οὐ μόνον ἐκδοθῆναί οἱ τὸν φυγάδα οὐκ ἐξεζήτησεν, ἀλλὰ καὶ τὴν γυναῖκα αὐτοῦ ἐντίμως ἐξέπεμψεν. Ἦν δὲ ὁ Ὁρμίσδας καὶ πολὺς τὴν ἰσχὺν, καὶ ἀκοντιστὴς περιδέξιος· ὡς ἐν τῷ πάλλειν κατά τινος τὸ ἀκόντιον λέγειν ὅπου βαλεῖ τὸν πολέμιον. Οὗτος τοίνυν τῷ Κωνσταντίῳ κατὰ τῶν ὁμοφύλων συνεστρατεύετο, ἄρχειν ταχθεὶς ἱππέων ἴλης πολλῆς. Ὁ βασιλεὺς δὲ Κωνστάντιος πολλάκις τοῖς Πέρσαις συμβαλὼν τὴν ἥττονα μοῖραν εἶχε, καὶ πολλοὺς τῶν οἰκείων ἀπέβαλε, καὶ τῶν Περσῶν δὲ πλείστοι πεπτώκασι, καὶ αὐτὸς ὁ Σαπώρης ἐτέτρωτο.

Ϛ'. Οὕτω μέντοι τῶν ἐπὶ Πέρσας πολέμων συνεχθέντων τῷ βασιλεῖ Κωνσταντίῳ, μαθὼν ταῦτα Μαγνέντιος ὃς ἐκ πατρὸς μὲν γεγένητο Βρεττανοῦ, ἐν τοῖς προτίκτορσι δ' ἐστρατεύετο, εἶτα καὶ κόμης ὠνομάσθη ταγμάτων δύο Ῥωμαϊκῶν, τυραννῆσαί τε καὶ πρώην ἐπιθυμῶν, τότε μᾶλλον ἔθετο τῷ σκοπῷ, ὅτι ἀτυχοῦντα περὶ τὸν Περσικὸν πόλεμον ἤκουε τὸν Κωνστάντιον. Καὶ εὐκαιρίαν ἔκρινε τηνικαῦτα τοῦ ἐπιχειρηκέναι τῇ τυραννίδι· καὶ πλασάμενος τὰ ἑαυτοῦ ἑορτάζειν γενέθλια ἐν Αὐγουσταλίῳ τῇ πόλει (36) συνεκάλεσε τοὺς ἐξόχους τῆς πόλεως, τοῦ συμποσίου αὐτῷ συμμεθέξοντας, τοὺς μὲν καὶ συνίστορας αὐτῷ τοῦ σκοποῦ, τοὺς δὲ καὶ ἀμετόχους τοῦ σκέμματος. Καὶ παρέτεινε τὸν πότον ἕως ἑσπέρας. Ἐξαναστὰς δὲ τοῦ συμποσίου, αἴφνης εἰς τὸν κοιτῶνα εἰσέβραμε, καὶ πρόεισιν ἐκεῖθεν μετὰ βραχὺ ἐν σχήματι βασιλείας σὺν δορυφόροις πολλοῖς, ὃ τοὺς μὴ συνειδότας αὐτῷ τὴν πρᾶξιν ἐτάραξεν. Ἐκεῖνος δὲ διαλεχθεὶς τοῖς παρ-

Deinde uxor ejus custodibus opiparam cœnam apponit. Illi et epulis distenti, et mero obruti, in profundum somnum delabuntur. Quibus dormientibus, Hormisdas et vincula rumpit, et castello elapsus, a Romanis honorificentissime suscipitur. At Sapor fuga ejus lætari se ostendebat, ut metu ab eo imminente liberatus. Nam exsulem non modo dedi sibi non postulavit, sed uxorem etiam honorifice ad eum misit. Erat autem Hormisdas, et magni **13** roboris, et jaculator adeo peritus, ut dum jaculum vibrabat, prædiceret, qua parte hostem percussurus esset. Ilic igitur Constantio contra populares suos naval operam, multis equitum turmis præfectus. Verum Constantius imperator, sæpe cum Persis congressus, inferior recedebat, multis suorum amissis : ceciderunt etiam Persarum plurimi, Sapore ipso vulnerato.

VI. Cognitis autem adversis Persico bello Constantii rebus, Magnentius, patre Britanno natus, qui primum inter protectores militarat, deinde comes duarum Romanarum legionum appellatus fuerat, cum jampridem regni occupandi cupiditate æstuaret, tunc magis etiam consilium suum urgebat, cum Persico bello rem male gerere Constantium audiret, opportunitatem optata perficiendi dari sibi ratus. Itaque per speciem natalis sui celebrandi Augustoduni, primores civitatis ad epulas invitat, quosdam consilii sui conscios, nonnullos ignorantes, quid animi haberet : productoque usque ad vesperam convivio, surgit, et propere cubiculum ingressus, paulo post habitu regio cum multis satellitibus progreditur. Ea res ignaros quid moliretur consternavit : sed oratione ad eos qui aderant habita, alios verbis, alios vi in suas partes traducit; iisque comitantibus regiam ingreditur, pecuniam dilargitur, portis urbis cu-

Variæ lectiones et notæ.

(34) *Ἐκ Βαβυλῶνος, δέρμασιν ἐγχωρίοις.* De pellibus Babylonicis dixi ad Joinvillam, dissertat. I, p. 132, 134.

(34') *Ἠρώτησε τὸν Ἀδαράσην.* At Zosimus, lib. II, hanc crudelitatis indicem vocem Hormisdæ videtur tribuere, scribens (et ex eo Suidas in Μαρσύας), cum forte in convivio supervenienti sibi optimates non assurrexissent, minatum Hormisdam se eis Marsyæ supplicium irrogaturum : hujusque vocis memores proceres, mortuo Narseo, Saporem in regnum substituisse, a quo mox Hormisda in vincula conjectus, postea uxoris industria liberatus, ad Constantinum transfugit.

(33) *Ῥίνην.* Linam pisci immissam, ut est apud Zosimum, lib. II, et Suidam : Διὰ τῆς τοῦ ἰχθύος μηχανῆς ῥίνην εἰσενεγκοῦσα.

(36) *Ἐν Αὐγουσταλίῳ τῇ πόλει.* Ita editio Wolfiana : at codd. Regii, ἐν Αὐγουστόλῳ, et Αὐγουστούλῳ præferunt : qua voce *Augustodunum* in Æduis innuitur, ubi purpuram induit Magnentius, uti habent Eusebius et Aurelius Victor.

stodes adhibet : mandat, ut ingredi patiantur omnes, exire neminem, ne facinus suum publicetur. Statim mittit qui Constantem tollant, rei ignarum. Erat ille venatione tum occupatus, cujus insano studio tenebatur. Idque cum articulari morbo perpetuo vexaretur, quem immoderatis sibi voluptatibus vitæque intemperantia conciliarat : aut etiam per speciem venationis in silvas sese abdebat, cum pueris et adolescentulis, quos ob formam conquisitos in deliciis habere dicebatur : qui exquisitum in modum culti, avidos ejus oculos turpi libidinis flamma incendebant. Ea quoque de causa silvas magis frequentabat, ut modestorum virorum consuetudinem evitaret. Milites a Magnentio missi, cum ad Rhodanum fluvium venissent, Constantem a venatu dormientem occidunt, interfectis etiam satellitibus, quos paucos circum se habebat. **14** Alii rem aliter narrant : eum seditionem contra se motam cognovisse et a suis destitutum, depositis imperii insignibus in sacellum quoddam confugisse, et inde extractum occisumque esse regni anno decimo septimo, ætatis tricesimo expleto. Ferunt patrem ejus jussisse astrologos, infantis recens editi thema natalitium constituere, qui præter cætera illi prædicta, illud etiam adjecerint, eum in sinu aviæ interfectum iri. Id, illa mortua, etsi Constans elusit, nihilominus est eventu comprobatum, non frustrata astrologorum prædictione, quamvis obliqua. Nam in oppidulo cui de imperatricis nomine factum erat nomen Helenæ, interfectus est, qui ut vitam petulantem egerat, ita miserabilem ejus exitum est sortitus. Magnentius autem, cum usurpato imperio feliciter successisset, eorum qui magistratus gerebant celeberrimum quemque e medio tollere studuit, missis ad eos sub nomine Constantis litteris, quibus illos ad se accerseret, eorumque plurimos in itinere per insidias interfecit, ne conjuratis quidem suis parcens. Illo hæc ad tyrannidem suam stabiliendam agitante, Constantius morte fratris audita, anceps animi erat, utrum Persis Romanas provincias vastantibus resisteret, an ea re in præsentia omissa, novitium tyrannum invaderet : tum fratris necem ulturus, tum occidentis imperium sibi vendicaturus.

οὖσι, τοὺς μὲν ἔπεισε συνθέσθαι αὐτῷ, ἑνίους δέ γε καὶ ἐβιάσατο. Καὶ συμπαραλαβὼν αὐτοὺς εὐθὺς εἰς τὰ βασίλεια ἔπεισι, καὶ διανομὰς χρημάτων ποιεῖτο. Ταῖς τε πύλαις τῆς πόλεως ἐπέστησε φύλακα· ἐνταλθέντας τοῖς μὲν εἰσιοῦσι τὴν εἴσοδον συγχωρεῖν, ἐξιέναι δὲ μηδένα παραχωρεῖν, ἵνα μὴ τέως τὸ τολμηθὲν κηρυχθῇ. Καὶ αὐτίκα στέλλει τοὺς τὸν Κώνσταντα ἀναιρήσοντας, πρινὴ γνοίη τὸ τόλμημα. Ὁ δὲ περὶ θήραν ἠσχόλητο. Καὶ γὰρ ἐμεμήνει περὶ τὰ κυνηγέσια, καὶ ταῦτα ἀρθρίτιδι προσπαλαίων διηνεκεῖ, ἣν ἐξ ἡδονῶν ἀμετρίας ἐνόσησεν ἀκολάστους βιούς· ἦ καὶ ἐν προσχήματι θήρας, εἰς ὕλας ἐγκατεδύετο μετὰ τῶν περὶ αὐτῶν μειρακίσκων καὶ νεανίσκων, οἳ ἐκείνῳ διὰ κάλλος συνελέγοντο καὶ ᾠκείωντο, ἐκαλλωπίζοντό τε περὶ ἐργότερον, καὶ λίχνοις ἦσαν ὀφθαλμοῖς ἀκολασίας ἐμπύρευμα, κἀκείνῳ ἐτύγχανον, ὡς λέγεται, παιδικά. Ἀλλὰ καὶ ἐπὶ πλέον ταῖς ὕλαις διέτριβεν, ἐκκλίνων τὴν μετὰ κοσμίων ἀνδρῶν συνδιαγωγήν. Παρὰ τὸν Ῥοδανὸν τοίνυν ποταμὸν οἱ παρὰ Μαγνεντίου σταλέντες γενόμενοι, μετὰ τὴν θήραν ὑπνώττοντα τὸν Κώνσταντα διεχρήσαντο· καὶ τοὺς ἐκείνῳ δὲ συνόντας ὀλίγους ὄντας ἀπέκτειναν (37). Οἱ δὲ μὴ οὕτω φασὶ γενέσθαι τὴν ἐκείνου ἀναίρεσιν· γνῶναι δ' ἐκεῖνον τὴν κατ' αὐτοῦ ἐπανάστατιν, καὶ μονωθέντα (καταλιπόντων αὐτὸν τῶν περὶ αὐτὸν) ναῷ προσφυγεῖν, κἀκεῖ τὰ τῆς βασιλείας παράσημα ἀπεκδύσασθαι, κἀκεῖθεν ἐκβληθέντα ἀναιρεθῆναι, ἐπταακαίδεκα ἔτη ἀνύοντα παρὰ τῇ ἀρχῇ· τῆς δ' ἡλικίας ἤδη παρεληλυθότα τριακοστόν. Λέγεται δὲ ἄρτι γεννηθέντος αὐτοῦ, ἐπιτρέψαι τοῖς ἀστρολόγοις τὸν πατέρα αὐτοῦ ἐπὶ τῷ τούτου γενεθλίῳ ποιῆσαι θεμάτιον. Κἀκείνους πρὸς ἄλλοις οἷς περὶ αὐτοῦ προειρήκασι καὶ τοῦτο εἰπεῖν ὡς ἐν ταῖς ἀγκάλαις τῆς αὐτοῦ μάμμης ἀναιρεθήσεται. Ὁ θανούσης ἐκείνης, καὶ διέπαιζεν ὁ Κώνστας· τὸ δ' εἰς ἔργον ἀποβεβήκει, καὶ ἡ τῶν ἀστρολόγων οὐ διήμαρτε πρόῤῥησις, κἂν ὑπῆρχε λοξή. Ἐν γὰρ πολίχνῃ Ἑλένῃ καλουμένῃ εἰς ὄνομα τῆς βασιλίσσης ἐκείνης ὁ Κώνστας ἀνῄρητο· ὁ μὲν οὖν οὕτω βεβιωκὼς ἀσιλγῶς, οὕτως οἰκτρῶς ἐστέρητο τῆς ζωῆς. Ὁ δὲ Μαγνέντιος κατὰ ῥοῦν αὐτῷ τῶν τῆς τυραννίδος χωρησάντων πραγμάτων, ἐσπούδασε τῶν τὰς ἀρχὰς ἐχόντων τοὺς λογιμωτέρους ἐκ μέσου ποιήσασθαι. Καὶ πλασάμενος γραφὰς πρὸς αὐτοὺς ὡς ἐκ δῆθεν πρὸς ἑαυτὸν, καθ' ὁδὸν λοχήσας, πλείστους ἀπέκτεινε, μηδὲ τῶν οἰκείων συνομοτῶν φειδόμενος, ἀλλὰ καὶ τούτους διαφθείρων. Καὶ ὁ μὲν ἐν τοιούτοις ἦν, ἑαυτῷ κρατύνων τὴν τυραννίδα. Τῷ δὲ Κωνσταντίῳ τὸν θάνατον πυθομένῳ τοῦ ἀδελφοῦ, ἐμερίζετο ἡ διάνοια ἐννοουμένῳ πότερον ἂν προτιμήσαιτο, τὸ Πέρσαις ἀντικαθίστασθαι κείρουσι τὰ Ῥωμαίοις ὑπήκοα, ἢ τούτων, κατά γε τὸ παρὸν, ἀμελῆσαι, καὶ χωρῆσαι κατὰ τοῦ τυραννήσαντος, ἵνα καὶ τὸν τοῦ συγγόνου τίσηται φόνον, καὶ ἑαυτῷ προσποιήσηται τὰ ἑσπέρια.

τῷ Κώνσταντος σταλείσας αὐτοῖς, μεταχαλουμένου

Variæ lectiones et notæ

(37) Ἀπέκτειναν. Nescio an ab hoc Constante imperatore ædificatæ fuerint ædes illæ magnificæ Constantinopoli, quæ τὰ Κώνστα appellabantur, et quarum meminit Scriptor ineditus Vitæ S. Stephani Junioris : Ἦν δὲ οὗτος οἰκῶν πρὸς τὸ τῆς βασιλικῆς δημοσίους λεωφόρου πρανές, ἐν ᾧ ἵδρυται καὶ ἐπιλέγεται τὸ Σταυρίον, ἐξ οὗ πρὸς τὸ κάτοντες μέρος εἰσὶν εὐμεγέθεις οἰκίαι προσαγορευόμεναι τὰ Κώνστα. Monasterii τῶν Κώνστα, in conciliis mentionem fieri observavimus in nostra *Constantinopoli* lib. IV, sect. 6, n. 26.

Ζ'. Ταῦτα τοῦ Κωνσταντίου σκοποῦντος καὶ διαμέλλοντος, ὁ Σαπώρης, ἐπεὶ κἀκείνῳ πρὸς γνῶσιν ἦλθε τὰ συμβεβηκότα περὶ τὸν Κώνσταντα, ἐπιτίθεται τῷ καιρῷ, καὶ σὺν βαρεῖ στρατεύματι κατὰ τῶν ὑποκειμένων Ῥωμαίοις ἔπεισι χωρῶν τε καὶ πόλεων, καὶ πολλὴν μὲν ἐληΐσατο χώραν, ἀλλὰ μέντοι καὶ φρούρια εἷλε, καὶ τέλος ἐπολιόρκει τὴν Νίσιβιν (38), ἣ πάλαι μὲν τῇ τῶν Ἀρμενίων διέφερε βασιλείᾳ, ἐπὶ δὲ Μιθριδάτου ὃς Τιγράνου τοῦ τῶν Ἀρμενίων τότε κρατοῦντος ἦν γαμβρὸς, καὶ ἐξ ἐκείνου τὴν πόλιν εἵληφει, ὑπὸ Ῥωμαίων ἐάλω πολιορκίᾳ. Ἐν ταύτῃ γοῦν ὁ Σαπώρης ἐλθὼν πᾶσαν ἐκίνησε μηχανὴν, ἵν' αὐτῷ ἡ πόλις ἁλῷ, κρισύς τε γὰρ προσῆγε τοῖς τείχεσι, καὶ διώρυχας ὑπογαίους πεποίητο, ἀλλὰ πρὸς πάντα γενναίως ἀντικαθίσταντο οἱ πολιορκούμενοι, καὶ τὸν ποταμὸν δὲ, ὃς διὰ μέσης ἔρρει τῆς πόλεως, μετωχέτευεν, ἵνα δίψει πιεζόμενοι οἱ τῆς πόλεως προδῶεν αὐτῷ τὴν πόλιν. Τοῖς δὲ ἀφθονία ἦν ὑδάτων καὶ ἐκ φρεάτων καὶ ἐκ πηγῶν. Ὡς δ' εἰς οὐδὲν αὐτῷ κατήντων ἀνύσιμον αἱ ἐπίνοιαι, ἕτερόν τι αὐτῷ μεμηχάνητο. Ἀναδραμὼν τὸν ποταμὸν, ὡς εἴρηται, διὰ τῆς πόλεως ἔρρει, καὶ πρὸς φάραγγας γεγονὼς, ἔνθα ὁ χῶρος δι' οὗ διῆει, ἐστένωτο, ἀπέῤῥαξε τὸν τόπον καὶ ἐπέσχε τὸ ῥεῦμα αὐτοῦ. Τοῦ δ' ὕδατος πλημμυρήσαντος, ἀθρόον τὰ φραγνύντα τὴν τοῦ ὕδατος δίοδον ἐξελὼν ἀφῆκε τὸ ῥεῦμα κατὰ τῆς πόλεως· τὸ δὲ πολύν τε σεσωρευμένον καὶ σὺν βίᾳ σφοδρᾷ τῷ τείχει προσπεσὸν μέρος ἐκείνου κατέῤῥαξεν. Οὐκ εὐθὺς δὲ ὁ βάρβαρος εἰσέδυ τὴν πόλιν, ἀλλ' ὡς ἤδη ἡλωθείσης αὐτῆς (ἐπεὶ καὶ πρὸς ἑσπέραν ἦν ὁ καιρὸς) εἰσαύριον παραλήψεσθαι τὴν πόλιν, μή τινος ἀντιβαίνοντος, ὑπερέθετο. Οἱ δ' ἐν τῇ πόλει πρὸς μὲν τὸ ῥῆγμα τοῦ τείχους ἐθαρυβήθησαν. Ὡς δ' εἶδον τοὺς Πέρσας ὑπερβεβηκότας τὴν εἴσοδον, ἄϋπνοι τὴν νύκτα διατελέσαντες πολυχειρίᾳ τὸν τόπον ὠχύρωσαν, τεῖχος ἐντὸς ἀνεγείραντες ἕτερον, ὅπερ ἔωθεν ὁ Σαπώρης ἰδὼν ἀμελείᾳ οἰκείᾳ τὸ ἀτύχημα ἐπεγράφετο, ἀλλ' οὐδ' οὕτω τῆς πολιορκίας ἀφίστατο. Πολλὰ δὲ καὶ ἕτερα κατὰ τῆς πόλεως ἐπινοησάμενος, καὶ πλείστους τῶν οἰκείων ἀποβαλὼν (ὑπὲρ γὰρ τὰς εἴκοσι χιλιάδας κινδυνεῦσαι λέγεται (39) τοῦ Περσικοῦ στρατεύματος πολιορκουμένης Νισίβεως) μετ' αἰσχύνης ἀνεχώρησεν. Ἤδη γὰρ καὶ Μασαγέται τῇ Περσίδι ἐπήλθοσαν, καὶ αὐτῇ ἐλυμαίνοντο. Κωνστάντιος δὲ ὁ βασιλεὺς τὴν μὲν Νίσιβιν κατωχύρωσε, καὶ τοὺς πολίτας αὐτῇ, ἀνεκτήσατο. Αὐτὸς δὲ ἀναχωχῆς ἤδη τῇ ἑῴᾳ γενομένης ἐκ τῶν Περσῶν πρὸς τὰ ἑσπέρια ὥρμησε. Καὶ οἱ ἀγγέλλεται Βετρανίων (40) κοινοπραγήσας τῷ Μαγνεντίῳ. Τῶν γὰρ παρ'

VII. Sed Constantio hac deliberatione suspenso, Sapor, qui et ipse Constantis casum cognoverat, occasionem urget, et cum ingenti exercitu provincias et urbes Romanorum invadit, longe lateque prædas agens, castellis etiam captis, denique Nisibin obsidet. Ea quondam ad Armeniæ regnum pertinuit, sed sub Mithridate Tigranis regis Armeniorum genero, qui tum illam dotalem tenebat, a Romanis capta fuit. Hanc igitur Sapor aggressus, omnes ad expugnandum machinas adhibuit, admotis ad muros arietibus, actisque cuniculis. Sed qui obsidebantur, fortiter ad omnia resistebant. Cumque fluvio, qui mediam urbem perfluit, alio derivato, ut oppidani siti coacti sese dederent, ex puteis et fontibus abunde illis aqua suppetente, nihil profecisset, ad aliud convertitur. Regressus enim versus caput ejusdem amnis, qua in convallibus angusto alveo defluebat : loco illo obsepto, cursum inhibuit, et aquam stagnantem, remotis aggeribus confestim versus urbem emisit : quæ quia plurima collecta fuerat, magno impetu partem muri dejecit. Barbarus vero cum urbem non statim intraret, tum quia dici serum erat, tum quod jam expugnatam, postridie citra dimicationem se accepturum putabat : oppidani etsi ad ruinam muri consternati, tamen ut Persas differre ingressum viderunt, noctem illam egere insomnem, et operarum multitudine novo exstructo muro locum illum muniverunt. Quo Sapor mane conspecto, casum eum suæ negligentiæ ascribens, nihilo secius oppugnationem urget, multis aliis rationibus tentatis. Cum autem suorum plurimos amisisset (nam ad viginti millia Persarum ad Nisibin cecidisse dicuntur), cum dedecore discedit, quod Massagetæ facta impressione Persiam vastarent. Constantius imperator, Nisibi munita, et civibus recreatis, Orienti a Persis jam induciis datis, versus Occidentem progreditur, cum ei nuntiatur Vetranio colludere cum Magnentio. Erat is Illyricarum legionum dux, cognitoque Magnentii motu, et cæde Constantis, tyranno haud cesserat, sed et ipse alibi tyrannidem occuparat : etsi per litteras se tyranno resistere profitebatur, ipsumque Constantium ad illum propere opprimendum evocabat. Vetranio igitur et Magnentius certis conditionibus reconciliati, ambo communiter legatos ad Constantium mittunt, petentes, ut armis positis principem honorem obtineret. Hæc legati, imperatorem circa Thraciæ Heracleam adepti renuntiant, qui ob illa sollicitus, noctu somnium hujusmodi vidit.

Variæ lectiones et notæ.

(38) *Νίσιβιν*. Vide Marcellinum, lib. XVIII, p. 128, 1 edit. qui ex Zonara illustratur.

(39) *Χιλιάδας κινδυνεῦσαι λέγεται*. Κινδυνεύειν pro πεσεῖν hic ponitur, ut alibi sæpe, ut observat W.

(40) *Βετρανίων*. Ita emendavimus, cum Wolfius hic et infra Βρετανίων edidisset : sic enim tres mss. Regii præferunt, quomodo etiam habent Zosimus, Joannes Antiochenus, *Chronicon Alexandrinum*, nummi veteres, et scriptores Latini. Eutropius vero *Veteranionem*, Philostorgius Οὐετερανίωνα, vocant : qua ultima nomenclatura quemdam memorat Ammianus sub eadem fere tempora, qui Zosimo, lib. III, p. 72, Βρετανίων nuncupatur. Βρετανίων habet codex recentior Zonaræ, ut et Theophanes. Βριτανίων Athanasius, in Epist. ad

Patrem astare sibi putabat, qui filium Constantem manu tenens, ita sibi diceret: *Constanti, en fratrem tuum Constantem, multis regibus oriundum, qui a tyranno cæsus est. Ejus necem te ulcisci oportebit, neque connivere ad imperii dilacerationem et eversionem reipublicæ. Quare ad tyrannidem evertendam propera, neque inultum fratrem esse patere.* Constantius e somno experrectus, legatos in custodiam dat, ipse statim, nihil cunctatus, Sardicam pervenit. Vetranio improviso **16** imperatoris adventu territus, Constantio ut domino procedit obviam, relictis prioribus consiliis, et pactis quæ cum Magnentio inierat rejectis. Eum Constantius sincere admisit, etiam mensæ suæ adhibitum. Nam regni insignibus depositis, Vetranio plebeio habitu pedes imperatoris amplexus fuerat. Is vero hominem amplexus patrem nominavit, porrectaque manu seume fulciens, cœnæ adhibuit, assignata ei Prusa urbe Bithyniæ in qua habitaret, et prædiis unde viveret attributis. Ibi ille sex annis vitam molliter actam finiit. Ac Vetranionis hujusmodi fuit exitus.

Ἰλλυρικοῖς ἄρχων οὗτος στρατευμάτων τυγχάνων καὶ μαθὼν τοῦ Μαγνεντίου τὴν ἐπανάστασιν καὶ τὸν φόνον τοῦ Κώνσταντος, οὐχ ὑπεῖξε τῷ τυραννήσαντι, ἀλλὰ καὶ αὐτὸς ἑτέρωθεν τυραννίδι ἐπιχειρηκε. Τῷ Κωνσταντίῳ δ' ἐπιστέλλων ἔλεγε τῷ τυράννῳ ἀντικαθίστασθαι, καὶ αὐτὸν ἀφικέσθαι εἰς τὴν ἐκείνου κατάλυσιν κατήπειγεν (41). Ἐπὶ συνθήκαις οὖν ὁ Βετρανίων καὶ ὁ Μαγνέντιος ἀλλήλοις σπεισάμενοι πρέσβεις ἄμφω κοινῶς πρὸς τὸν Κωνστάντιον στέλλουσιν, ἀξιοῦντες αὐτὸν καταθέσθαι τὰ ὅπλα, καὶ τὴν πρώτην ἔχειν τιμήν. Περὶ γοῦν τὴν τῆς Θράκης, Ἡράκλειαν ἐντυχόντες οἱ πρέσβεις τῷ αὐτοκράτορι τὰ μεμηνυμένα οἱ ἀπήγγειλαν. Ὁ δὲ ἐν φροντίδι διὰ ταῦτα γενόμενος, νυκτὸς ἐπιγενομένης, ὁρᾷ τοιοῦτον ὄναρ. Ἐδόκει τὸν πατέρα αὐτοῦ αὐτῷ παρεστάναι, τὸν υἱὸν αὐτοῦ τὸν Κώνσταντα κατέχοντα τῇ χειρὶ καὶ λέγειν αὐτῷ· *Κώνστα ντιε, ἰδοὺ Κώνστας ὁ σὸς ἀδελφὸς, πολλῶν δὲ βασιλέων ἀπόγονος, ὡς ἐκ τυράννου διώλετο. Χρή σε τοίνυν τούτῳ τε τιμωρῆσαι καὶ τὴν ἀρχὴν μὴ παρόψεσθαι διακοπτομένην μήτε τὴν πολιτείαν ἀνατρεπομένην. Σπεῦσαι δὲ τὴν τυραννίδα καθελεῖν, καὶ μὴ περιιδεῖν τὸν ἀδελφὸν ἀνεκδίκητον.* Ἐπὶ τούτοις διυπνισθεὶς ὁ Κωνστάντιος τοὺς μὲν πρέσβεις κατέσχε, καὶ φρουρᾷ παραδέδωκε. Αὐτὸς δ' αὐτίκα μηδὲν μελλήσας εἰς Σαρδικὴν παραγίνεται, καὶ ὁ Βετρανίων τὴν ἀνέλπιστον ἐπιδημίαν πτήξας τοῦ Κωνσταντίου, ὡς δεσπότῃ αὐτῷ προϋπηντήκει, τάς τε προτέρας καταλείψας βουλὰς, καὶ ἀθετήσας τὰς συνθήκας τὰς πρὸς Μαγνέντιον. Καὶ ὁ Κωνστάντιος δὲ αὐτὸν γνησίως προσήκατο καὶ ὁμοδίαιτον ἐποιήσατο. Τὰ γὰρ τῆς βασιλείας ἀποδυσάμενος ὁ Βετρανίων γνωρίσματα ἐν ἰδιώτου στολῇ τῶν τοῦ βασιλέως ποδῶν ἐπελάβετο. Ὁ δὲ περιεπτύξατό τε τὸν Βετρανίωνα, καὶ πατέρα ὠνόμασε. Καὶ χεῖρα ὀρέγων αὐτῷ καὶ ὑποστηρίζων πρεσβύτην ὄντα σύνδειπνον ἐποιήσατο, εἶτα ἡ Προῦσα αὐτῷ (πόλις δ' αὕτη τῶν Βιθυνῶν) εἰς κατοικίαν ἀφώριστο, καὶ χωρία πρὸς χορηγίαν τῶν ἐνιαυτοὺς, τὴν ζωὴν ἐξεμέτρησε. Καὶ τὰ μὲν περὶ Βετρανίωνα εἰς τοιοῦτον κατηντήκασι τέλος.

VIII. Constantius autem imperator, contra Magnentium profectus est. Is Mediolani degens, fratrem Decentium, quem Cæsarem nominarat, ad Galliarum defensionem misit. Interea Sapor opportunitatem nactus, Orientem vastat, et magna præda parta, multisque captis domum revertitur. Sic imperator curis hostilibus utrinque circumventus, Gallum patruelem suum, et nomine Cæsaris dignatus, et Constantia sorore in matrimonium data, in Orientem ablegat. Ita Gallus Cæsar salutatus, una cum uxore Orientem petit. Constantius bellum contra Magnentium parat. Ne vero pugnis intestinis et mutuis cædibus Romani polluerentur, tyrannum ad pactiones provocandum esse censet. Missis igitur ad eum viris illustribus, litteris etiam exaratis, veniam illi pollicetur, si ab armis discesserit, et Gallias concedit, ut ejus regni finibus se contineat. Verum ille nihil modicum animo agitans, non accepit

η'. Ὁ αὐτοκράτωρ Κωνστάντιος πρὸς Μαγνέντιον ὥρμητο. Ὁ δὲ ἐν Μεδιολάνῳ διῆγε, τὸν ἀδελφὸν Δεκέντιον ἀνειπὼν Καίσαρα, καὶ στείλας αὐτὸν τὰς Γαλλίας φυλάξοντα. Ἐν τούτοις δ' αὖθις ὁ Σαπώρης (42) ἀδείας δραξάμενος τὰ περὶ ἕω ἐπόρθησε, καὶ λείαν λαβών. Καὶ ὁρυαλώτους πολλοὺς ἐπανέζευξεν. Οὕτω δὲ ἑκατέρωθεν ὁ βασιλεὺς περιστοιχιζόμενος ταῖς ἐκ τῶν πολεμίων φροντίσι, Γάλλον τὸν οἰκεῖον ἐξάδελφον τιμήσας τῇ ἀξίᾳ τοῦ Καίσαρος (43) καὶ τὴν ἑαυτοῦ ἀδελφὴν Κωνσταντίαν κατεγγυήσας αὐτῷ, εἰς τὴν ἑῴαν ἐξέπεμψε, τὰς ἐφόδους τὰς Περσικὰς ἀνακόπτοντα. Ὁ μὲν οὖν Γάλλος Καῖσαρ τοῦτον τὸν τρόπον ἀναῤῥηθεὶς ἐπὶ τὴν ἑῴαν ἀπῆει, καὶ τὴν σύζυγον ἐπαγόμενος. Ὁ δέ γε Κωνστάντιος εἰς τὸν κατὰ Μαγνεντίου ἐχώρησε πόλεμον. Ἵνα δὲ μὴ μάχαις ἐμφυλίοις καὶ σφαγαῖς ἀλλήλων οἱ Ῥωμαῖοι μιαίνοιντο, δεῖν ἔκρινε νεῖς συμβάσεις τὸν τύραννον προκαλέσασθαι. Στέλλει τοίνυν πρὸς αὐτὸν ἄνδρας τῶν ἐπιφανῶν, καὶ γράμματα

Variæ lectiones et notæ.

solit. De hoc Vetranione multa congesserunt Scaliger ad Eusebium, Gothofredus ad Philostorgium, Santamantius in Comment. Hist. et alii passim.

(41) *Κατήπειγεν.* Al. ἐπέσπευδεν.

(42) *Σαπώρης.* Qui *Saporinus* dicitur Lucifero Calaritano, lib. I pro S. Athanasio: *Ergo quia Saporinus, Persarum rex, nunc contra te gerit prælium.* etc. Constantium alloquitur.

(43) *Τιμήσας τῇ ἀξίᾳ Καίσαρος.* Constantii præterea indito nomine, ut scribunt Victor, Socrates, *Chronicon Alexandrinum*, et Theophanes: seu *Junioris Constantii*, uti Ammonius episcopus, qui ea ætate vixit, ut ipsemet testatur, in lib. *De vita et conversatione SS. Pachomii et Theo.ari*, n. 1.

δ' ἐγχαράττει αὐτῷ, συγγνώμην αὐτῷ διδοὺς ἐπὶ τῷ τολμήματι, εἰ τῶν ὅπλων ἀπόσχοιτο, καὶ παραχωρῶν αὐτῷ τῶν Γαλλιῶν, ἵνα τούτων ἄρχῃ καὶ τούτοις περιορίζηται. Ὁ δὲ οὐδέν τι φρονῶν μέτριον, οὐ προσήκατο τὰ παρὰ τοῦ Κωνσταντίου ἀπραγμόνως αὐτῷ παρεχόμενα, ἀλλὰ τὸν πόλεμον εἵλετο, καὶ μᾶλλον σὺν τάχει πρὸς τοῦτον ἐχώρησεν, ὅτι Σίλβανὸς (44), εἷς τῶν αὐτοῦ ταξιάρχων, μετὰ πλήθους ὁπλιτῶν, ἐκεῖνον λιπών, Κωνσταντίῳ προσῆλθε τῷ αὐτοκράτορι. Ἤδη δὲ πλησιασάντων ἀλλήλοις, καὶ ἀντιστρατοπεδευσαμένων, ὅ τε Κωνστάντιος τοὺς οἰκείους στρατιώτας λόγοις διήγειρεν εἰς ἀλκήν, καὶ ὁ Μαγνέντιος τοὺς ἑαυτοῦ παρεκάλει ἄνδρας φανῆναι πιστούς τε καὶ ἀγαθούς, πολλὰ σφίσιν ἐπαγγειλάμενος. Ἀντιπαραταξάμενοι δὲ, τὸ μὲν πλεῖστον τῆς ἡμέρας ἀπρακτοῦντες διήγαγον, μηδενὸς τῷ ἀντιπαρατεταγμένῳ μέρει ἐπεξιόντος. Ὁ δὲ Μαγνέντιος καὶ γοητείαις ἐχρήσατο. Γυνή γάρ τις μάγος παρθένον αὐτῷ σφαγιάσαι ὑπέθετο, καὶ οἴνῳ τὸ ταύτης αἷμα προσμίξαι καὶ δοῦναι τοῖς στρατιώταις αὐτὸ ἀπογεύσασθαι, ἐπὶ τούτοις ἐκείνης ἐπῳδάς τινας εἰπούσης, καὶ δαιμόνων ἐπικαλουμένης ἐπικουρίαν. Ἅρτι δὲ τῆς ἡμέρας κλινούσης, συνερράγησαν ἀλλήλοις τὰ στρατεύματα, καὶ πολλὰς τῆς μάχης σχούσης μεταβολάς, τέλος ἡ νίκη τῷ Κωνσταντίῳ ἐπεμειδίασε, καὶ μέχρι βαθείας νυκτὸς οἱ τοῦ Μαγνεντίου συνεκόπτοντο καὶ ἀπώλλυντο· οὕτω δὲ τῆς τοῦ πολέμου ῥοπῆς τῷ τυράννῳ συνενεχθείσης εἰς φυγὴν ἐκεῖνος ἀπεῖδεν. Ἵνα δὲ μὴ τοῖς βασιλικοῖς παρασήμοις φεύγων γνωρίζοιτο, ἀποτίθεται ταῦτα καὶ ἰδιωτικὴν ἀναλαμβάνει στολήν. Καὶ τῷ βασιλείῳ ἵππῳ τὰ παράσημα ἐπιθέμενος, ἄνετον ἀφῆκε τρέχειν αὐτὸν, ἵνα νομίζοιτο πρὸς τῶν ὁρώντων τὸν ἵππον θέοντα τοῦ ἐπιβάτου χωρὶς, ἀνῃρημένος αὐτὸς, καὶ μὴ καταδιώκοιτο πρός τινων· ὁ μὲν οὖν οὕτω διέδρα. Ἔωθεν δὲ ὁ Κωνστάντιος ἐπί τινας ἀναβὰς λόφους, καὶ τὴν παρακειμένην πεδιάδα, ἀλλὰ μὴν καὶ τὸν παραῤῥέοντα ποταμὸν νεκρῶν ἰδὼν γέμοντα, εἰς φανερὰ κατήνεκτο δάκρυα, οὐ μᾶλλον διὰ τὴν νίκην ἡδόμενος, ὅσον διὰ τὸν τῶν πεσόντων δακνόμενος ὄλεθρον. Λέγεται γὰρ (45) ἐκ μὲν τῶν ἐκείνου, περὶ τριάκοντα πεσεῖν χιλιάδες, ἁπασῶν ἀριθμουμένων εἰς ὀγδοήκοντα. Ἐκ δὲ τῶν Μαγνεντίου τριάκοντα καὶ ἓξ οὐσῶν χιλιάδων, διαφθαρῆναι τὰς εἴκοσι πρὸς ταῖς τέσσαρσιν. Αὐτίκα τοίνυν τοὺς μὲν ἀνῃρημένους τῶν πεσόντων ταφῆς ἀξιωθῆναι πάντας ἐκέλευσε, μὴ διακρινομένων τῶν οἰκείων ἢ τῶν πολεμίων. Τοὺς δ' ἔτι ἐμπνέοντας, ἐπιμελείας τυχεῖν καὶ ἰατρικῆς θεραπείας. Διῳδὰς δὲ, ὡς εἴρηται, ὁ Μαγνέντιος τούς τε περισωθέντας ἐκ τῶν οἰκείων ἠθροίζε καὶ ἄλλους συνέλεγε· καὶ αὖθις ἐπαναλαμβάνειν ἑαυτὸν ἐπειρᾶτο. Ἔστειλε δὲ καὶ πρὸς τὸν

A ca quæ per alium a Constantio acciperе potuisset. Sed bellum pati prælatum, eo celerius aggressus est, quod Silvanus quidam ex tribunis illius, ab ipso ad imperatorem cum multis militibus defecerat. Cum prope ventum esset, castris utrinque positis, et Constantius suos milites ad rem fortiter gerendam cohortatur, et Magnentius suos item, ut se viros fortes et fides præberent, multa pollicitus. Jam instructis ordinibus maximam diei partem ignavam transegere, neutris alteros aggressis. Magnentius etiam præstigiis usus est. Nam saga quædam cum monuit, ut virginem immolaret, ejusque sanguinem vino mistum militibus gustandum præberet, **17** ipsa interim

B carmina quædam recitante, et dæmonum opem implorante. Sed die jam inclinante, exercitibus congressis, cum diu ancipiti marte pugnatum esset, victoria tandem penes Constantium fuit, Magnentianis in multam noctem cæsis et profligatis. Tyrannus vero, hac plaga accepta, fugam arripit, et ne agnoscatur, plebeiam vestem sumit, et equum suum regiis insignibus impositis, solutum dimittit, ut qui sessore vacuum currentem viderent, ipsum interfectum existimantes, non persequerentur. Sic ille effugit. Mane Constantium, cum tumulo quodam conscenso subjectam planitiem et præterfluentem amnem cadaveribus plena vidisset, in manifestas erupisse lacrymas ferunt, non tam victoria lætatum, quam ob cæ-

C sorum interitum mœstum. Nam cum ad octoginta millia haberet, ad triginta millia cecidisse: de Magnentii triginta sex millibus, quatuoret viginti periisse. Cæsos omnes statim sine discrimine, sive hostes sive amici essent, sepeliri jussit, adhuc spirantes diligenter haberi et curari a medicis. Magnentius, ut dictum est, elapsus, reliquias suorum conquirendo, et alios asciscendo, vires recolligere satagebat, misso ad Constantium senatorii ordinis legato, quem ille nomine legati, ad sua exploranda venisse, ratus, non admisit. At Magnentius rursus episcopis missis veniam impetrare studet, ut pro milite imperatori navaret operam. Ad eam legationem nihil respondit Con-

D stantius, sed legatis re infecta dimissis, moto exercitu pergit, multis qui sub Magnentio militarant ad eum confluentibus, ac semetipsos et castella fidei illius committentibus. At Magnentius venia desperata, se ad bellum parat, et in Gallis copias colligit. Ut autem sollicitum redderet imperatorem, et a sese alio advertere!: familiarium suorum quemdam mittit Antiochiam, qui Gallum tollat. Is quo minus suspectus esset, in anus cujusdam tugurio juxta Orontem fluvium divertit,

Variæ lectiones et notæ.

(44) Σιλβανός. Chronicon Eusebii: *Silvanus in Gallia res novas molitus vicesimo octavo extinctus est die.* De Silvano agunt Victor Schotti, Ammianus, l. xv, Hieronym. in Chron., Theophan. etc.

(45) Λέγεται γαρ μεν. Euseb. Chron. *Magnentius Mursæ victus, in quo prælio Romanæ vires conciderunt.*

qui, ut quidam tradunt, olim Ophites dictus, post de nomine filii Cambysis regis Persarum, in eo submersi, sic cognominatus est. Insidiis jam Gallo comparatis, et multis legionariis sibi conciliatis, vesperi cum quibusdam rei consciis in vetulæ tugurio concœnans, liberius de suis **18** consiliis colloquebatur, contempta anicula, ut minime curiosa, et ob senium ne intellectura quidem quid diceretur. At illa, ut apparet, acriore prædita ingenio, vel audire se illa dissimulat, sed memoriæ diligenter mandat omnia : cumque hospes, vino gravis, jam obdormisset, clam egressa tugurio, urbem intrat, et omnia Cæsari nuntiat, a quo missi quidam insidiatorem comprehendunt, qui quæstionibus adhibitis, omnem fabulam recenset. Sic Gallus, evitatis insidiis, de illo et consciis supplicium sumit.

Κωνστάντιον συγκλητικόν τινα πρεσβεύσαντα, ἂν ὁ Κωνστάντιος; οἰηθεὶς τῷ τῆς πρεσβείας ὀνόματι κατασκοπήσοντα ἥκειν, καὶ τὰ κατ' αὐτὸν περιεργασόμενον, περιώρησεν. Ὁ δὲ Μαγνέντιος ἐπισκόποις αὖθις εἰς πρεσβείαν ἐχρήσατο, συγγνωμονηθῆναι ζητῶν ἵν' ἐν στρατιώτου μοίρᾳ τῷ βασιλεῖ συστρατεύσοιτο. Ἀλλ' οὐδὲν πρὸς τὴν πρεσβείαν ταύτην ἀνταπεκρίνατο ὁ Κωνστάντιος. Ἀφῆκε δὲ τοὺς πρέσβεις ἀπράκτους ἐπανελθεῖν. Κἀκεῖνος ἀπῆρε κινήσας τὸ στράτευμα, καὶ πολλοὶ τῶν ὑπὸ Μαγνέντιον αὐτῷ προσῆσαν, ἑαυτούς τε καὶ τὰ φρούρια ἐγχειρίζοντες. Μαγνέντιος δὲ ἀπογνοὺς τὸ τοῦ συγγνώμης τυχεῖν πρὸς πόλεμον ἡτοιμάζατο, καὶ ἐν Γαλλίαις διάγων πλήθη συνήθροιζεν. Ἵνα δὲ φροντίσι περιβάλῃ τὸν αὐτοκράτορα, καὶ ἐξ ἑαυτοῦ ἀντιπερισπάσῃ πρὸς ἕτερα, ἐπεμψέ τινα τῶν ἑαυτοῦ οἰκείων εἰς Ἀντιόχειαν, ἀναιρήσοντα Γάλλον. Καὶ ὁ πεμφθείς, διὰ τὸ ἀνύποπτον, εἰς καλύβην τινὸς κατέλυσε γραὸς, παρὰ τῷ Ὀρβόντῃ ποταμῷ πεπηγμένην, ἃς Ὀφίτης πρώην καλούμενος, ὥς τινες ἱστοροῦσιν, Ὀρβόντης ἐπεκλήθη μετέπειτα, τοῦ υἱοῦ Καμβύσου τοῦ Περσῶν βασιλέως εἰς αὐτὸν ἐμπεσόντος, καλουμένου Ὀρβόντου. Ἤδη γοῦν ὁ παρὰ τοῦ Μαγνεντίου σταλεὶς τὴν κατὰ τοῦ Γάλλου ἐξαρτύσας ἐπιβουλὴν, καὶ πολλοὺς τῶν ἐκεῖ προσποιησάμενος ὁπλιτῶν, ἑσπέρας παρὰ τῇ τῆς γραὸς (46) καλύβῃ τῶν συνιστόρων τισὶ συνδειπνῶν, ἀδείστερον αὐτοῖς ὁμίλει περὶ ὧν ἐβουλεύοντο, καταφρονῶν τῆς γραὸς ὡς ἀπράγμονος, καὶ μηδὲ συνιείσης διὰ τὸ γῆρας τῶν λεγομένων. Ἡ δὲ φύσεως, ὡς ἔοικεν, ἐντρεχεστέρας τυγχάνουσα, εἶχεν μὲν μηδ' ἀκούειν τῶν λεγομένων· πάντα δὲ συνετήρει καθ' ἑαυτήν. Καὶ ἐπεὶ ὁ ξένος αὐτῆς οἰνωθεὶς ὕπνωσεν, ἐκείνη λάθρα τῆς καλύβης ὑπεξελθοῦσα παρὰ τὴν πόλιν ἀφίκετο. Καὶ πάντα καταγγέλλει τῷ Καίσαρι. Παρ' οὗ σταλέντες τινὲς, συνέσχον αὐτοῦ τὸν ἐπίβουλον, ὃς ἐν ἀνάγκῃ καταστὰς, τὸ ἄπαν δράμα ἐξέφηνε. Καὶ οὕτω τὴν ἐπιβουλὴν ὁ Γάλλος διέφυγεν, ἐκεῖνον κολάσας καὶ τοὺς ἐκείνου συνίστορας.

IX. His ita gestis, Magnentius denuo ad pugnam paratus, commissoque prælio a Constantio victus, fugit. Sed milites fugæ illius socii, cum nullam salutis spem reliquam viderent, supervacaneum arbitrati pro homine desperato pericula adire, eum imperatori tradere decreverunt. Itaque diversorium ejus circumstantes, hominem satellitium ritu custodiunt, ne clam elabatur. Magnentius sententia illorum cognita, in angustias redactus inevitabiles, per desperationem, ut fertur, furiosi hominis facinora edidit, interfectis, quos circa se habuerat, cognatis et amicis omnibus. Desiderio etiam fratri multis vulneribus inflictis, nullo tamen ex eis lethali, denique seipsum sustulit, ne a satellitibus Constantio imperatori traditus pœna diuturniore afficeretur. Decentius Cæsar ab illo appellatus, cum in Gallis ad opem fratre ferendam se pararet, illius interitu cognito, spe abjecta, vitam laqueo finit. Desiderius autem ex vulneribus a fratre Magnentio acceptis recuperata valetudine, ultro se Constantio dedit. Sic Magnentii tyrannide eversa, quæcunque ille occuparat, ea etiam in Constantii potestatem venerunt, ut paterno imperio integro solus potiretur. Ex eo pacatus fuit Occidens, sed Orientales partes subturbatæ. Nam Gallus rebus secundis elatus,

Θ'. Τούτων οὕτω συμβεβηκότων, ὁ Μαγνέντιος αὖθις πρὸς μάχην ἠτρέπιστο, καὶ συμβαλὼν τοῖς τοῦ Κωνσταντίου ἥττᾶται καὶ φεύγει. Οἱ γοῦν αὐτῷ συμφυγόντες στρατιῶται, ἐπεὶ μηδαμόθεν ἐώρων αὐτοῖς σωτηρίας ἐλπίδα περιλιπῆ, μάταιον κρίναντες κινδυνεύειν ὑπὲρ ἀπεγνωσμένου ἀνδρὸς, ἐκδοῦναι αὐτὸν τῷ βασιλεῖ ἐβουλεύσαντο. Καὶ περιστάντες τὴν οἰκίαν ἔνθα κατήγετο, ἐν σχήματι φρουρῶν ἐφρούρουν αὐτὸν, ἵνα μὴ λάθῃ σφᾶς ἐκφυγών. Ὡς δ' ἔγνω τὴν αὐτῶν διάνοιαν ὁ Μαγνέντιος, καὶ ἐν ἀφύκτοις ἔγνω ἑαυτὸν περιειλημμένον, ἐξ ἀπονοίας, μεμηνότος ἔργον, ὡς λόγος, εἰργάσατο, τοὺς μεθ' ἑαυτοῦ πάντας συγγενεῖς καὶ φίλους ἀνῃρηκώς, εἶτα καὶ Δισιδερίῳ τῷ ἀδελφῷ πολλὰς πληγὰς διὰ ξίφους ἐπήνεγκεν, οὐ μέντοι τις αὐτῶν θανάσιμος ἦν. Καὶ ταῦτα πράξας καὶ ἑαυτὸν ἀνεῖλεν, ἵνα μὴ παραδοθῇ πρὸς τῶν αὐτὸν φυλασσόντων Κωνσταντίῳ τῷ αὐτοκράτορι, καὶ χρονιώτερον κολασθῇ. Καὶ Δεκέντιος δὲ ὁ ἀδελφὸς αὐτοῦ, ὃν προεχειρίσατο Καίσαρα, ἐν Γαλλίαις ὢν, καὶ πρὸς τὸν ἀδελφὸν ἑτοιμαζόμενος ἀφίξεσθαι σύμμαχος, ὡς τὸν ἐκείνου ἐπύθετο θάνατον, ἀπογνοὺς ἀγχόνῃ ἐχρήσατο. Ὁ δὲ παρὰ τοῦ Μαγνεντίου πληγὰς δεξάμενος ἐκείνου ὁμαίμων ὁ Δισιδέριος, τὸν θάνατον ἐκφυγὼν καὶ ἀναῤῥωσθεὶς ἀπὸ τῶν πληγῶν, τῷ Κωνσταντίῳ προσῆλθεν ἑκουσίως. Οὕτω δὲ τῆς τοῦ Μαγνεντίου τυραννίδος διαλυ-

Variæ lectiones et notæ.

(46) *Τῆς γραὸς.* Id etiam attigit Ammianus, lib. XIV : *Accenderat super his incitatum propositum ad nocendum aliqua mulier vilis, quæ ad palatium, ut poposcerat, introrumpere, insidias ei latenter obtendi prodiderat ab militibus obscurissimis.*

θεισης, ὅσα ἐκεῖνος κατεῖχε, καὶ ταῦτα ὑπὸ τὸν Κωνστάντιον γέγονε, καὶ ὁλοκλήρου τῆς πατρικῆς ἀρχῆς μόνος γέγονεν ἐγκρατής. Τὰ μὲν οὖν ἑσπέρια εἰρήνην ἦγον ἐντεῦθεν· τὰ δὲ τῆς ἑῴας ἐταράττετο μοίρας. Ὁ Γάλλος γὰρ (47) τῷ εὐτυχήματι ἐπαρθείς, ἐπεὶ ἐν Ἀντιοχείᾳ ἐγένετο, βαρὺς τοῖς ὑπ' αὐτὸν προσεφέρετο, κακουμένοις πολυειδῶς πρὸς αὐτοῦ, ἔχοντος καὶ τὴν ὁμόζυγον πρὸς τοῦτο αὐτὸν ἐρεθίζουσαν. Δείσας οὖν ὁ Κωνστάντιος μὴ κινηθεῖεν εἰς ἀποστασίαν οἱ ὑπ' ἐκείνου κακούμενοι, καὶ ἐμφυλίου πολέμου δεήσῃ αὐτῷ, Δομετιανὸν (48), ἄνδρα ἐπιφανῆ τε καὶ γηραιὸν, ἔπαρχον τῶν πραιτωρίων προχειρισάμενος εἰς Ἀντιόχειαν ἔστειλεν, ἐντειλάμενος τῷ ἀνδρὶ ἐν ἀπορρήτοις εὐφυῶς πως τὸν Γάλλον ὑπελθεῖν, καὶ πεῖσαι ἀφίξεσθαι πρὸς αὐτόν. Ὁ δὲ εἰς Ἀντιόχειαν παραγεγονὼς, καὶ πάνυ ἀδεξίως τὸ πρᾶγμα μετεχειρίσατο, ἀναφανδὸν ἐπιτάξας τῷ Καίσαρι πορεύεσθαι πρὸς τὸν αὐτοκράτορα, καὶ ἀπειλήσας εἰ μὴ πείθοιτο, τὰς σιτήσεις τῶν ὑπ' αὐτὸν ἐπισχεῖν. Τούτοις εἰς θυμὸν ἐκεῖνος παροξυνθεὶς, καὶ ἄλλως εὐκίνητος ὢν πρὸς ὀργὴν, κατέσχε τὸν ἔπαρχον καὶ φρουροὺς αὐτῷ στρατιώτας ἐπέστησε. Μοντίου δὲ τοῦ κοιαίστορος αἰτιωμένου τὴν πρᾶξιν, καὶ εἰς σαφῆ τυραννίδα ταύτην ἀνάγεσθαι λέγοντος, ἔτι χαλεπήνας ὁ Καίσαρ, ἀλλὰ καὶ πρὸς τῆς γυναικὸς εἰς ὀργὴν ἐξαχθεὶς ὡς καταφρονούμενος, καὶ

cum Antiochiam venisset, subditos suos aspere tractabat, ac multifariam vexabat quam ad rem a conjuge etiam exstimulabatur. Veritus igitur Constantius ne, populo ex malorum impatientia deficiente, bello civili conflictandum esset, Domitianum, senem illustrem, prætorio præfectum, misit Antiochiam, cum arcano mandato, ut Gallo arte persuaderet, ut ad se veniret. Sed ille, **19** profectus Antiochiam, rem sine ullo tractavit ingenio, aperte jusso Cæsare ad imperatorem proficisci, comminatus, ni pareret, se commeatus eorum qui illi parerent, detenturum. His ille, alioqui pronus in iram, commotus, præfectum detinet, et militibus custodiendum tradit. Eam rem Montio quæstore culpante, et manifestæ tyrannidis esse asserente, Cæsar denuo iratus, et magis etiam ab uxore inflammatus, quasi contemneretur: et quæstorem in vincula conjicit, et ambos militibus tradit, qui utrumque per forum tractum et excruciatum, denique in flumen conjectum suffocarunt. His Constantius cognitis, misit, qui Gallum ad sese pertraherent. At ille præmisit uxorem, fratrem placaturam, quæ in itinere ex morbo decessit. Cujus obitu cognito Constantius, Gallum statim dignitate privatum relegat; post etiam percussores contra illum mittit,

Variæ lectiones et notæ.

(47) *Ὁ Γάλλος γαρ.* Totam hanc Galli historiam sic persequitur scriptor Vitæ S. Artemii, inedita (*): Ὁ δὲ Γάλλος τὴν τοῦ Καίσαρος ἀμφιασμένος ἀλουργίδα, καὶ ἤδη τῶν πρώτων τῆς βασιλείας ἀρξάμενος ἐπιβαίνειν βαθμῶν, οὐκ ἔμενεν ἐπὶ τῆς αὐτῆς γνώμης καὶ πίστεως ἧς πρὸς Κωνστάντιον ἐποιήσατο, βασιλικώτερον τῶν πραγμάτων ἁπτόμενος, καὶ μετὰ πολλοῦ τοῦ θράσους καὶ τῆς ἀλαζωνείας διαταττόμενος. Τοὺς γὰρ ἄρχοντας, οὓς σὺν αὐτῷ ἐπέπομφε Κωνστάντιος, τῶν βασιλικῶν τε καὶ πολιτικῶν πραγμάτων ὄντας διαιτητάς, τὸν δὲ τῶν πραιτωρίων ὕπαρχον Δομετιανὸν (ὁ γὰρ Θαλάσσιος ἐτεθνήκει) καὶ τὸν ἐπὶ τοῦ κοιαίστωρος Μόντιον, διὰ τὸ μὴ πειθαρχεῖν αὐτοὺς, καὶ ὑπουργεῖν ταῖς παραλόγοις αὐτοῦ καὶ ἀκαθέκτοις ὁρμαῖς, σχοινίοις τοῖς στρατιώταις τῶν ποδῶν αὐτῶν ἐξάψασθαι παρακελευσάμενος, ἐπὶ τῆς ἀγορᾶς συρῆναι προσέταξε, καὶ ἀμφοτέρους ἀπέκτεινεν, ἄνδρας ἐν ἀξιώμασι διαπερέψαντας, καὶ παντὸς κέρδους καὶ λήμματος εὑρεθέντας ὑψηλοτέρους, οὓς ὁ τῆς πόλεως περιστείλας ἐπίσκοπος ἔθαψεν, αἰδεσθεὶς τὸ τῆς αὐτῶν ἀρετῆς ὑπέρβλητον. Ὁ δὲ Κωνστάντιος ἐπειδὴ τάχιστα ἐπύθετο τὸ συμβὰν, μετάπεμπτον ὡς ἑαυτὸν ἐποιεῖτο τὸν Γάλλον. Ὁ δὲ εἰδὼς μὲν ὡς οὐκ ἐπ' ἀγαθῷ τυγχάνει καλούμενος, ἐννοῶν δὲ πάλιν ὡς εἰ μὴ βούλοιτο ὑπακούειν, πόλεμον ἀνάγκη ποιεῖν, ὅπλα πρὸς Κωνστάντιον ἐκ τοῦ εὐθέως ἀράμενον, αἱρεῖται μᾶλλον τὰ τῆς εἰρήνης· καὶ τὴν γυναῖκα προαποστείλας ὡς τὸν Κωνστάντιον ἐκμειλίξασθαι, καὶ αὐτὸς ἀπῄει αὐτόμολος εἰς τὸν κίνδυνον. Ἡ μὲν οὖν Κωνσταντίνα πρυτέραις ἐξώρμησε, προεντυχεῖν τῷ ἀδελφῷ, καὶ δεηθῆναι τούτου ὑπὲρ τοῦ ἀνδρὸς προθυμουμένη, τοῦ μή τι εἰς αὐτὸν βουλεύσασθαι ἀνήκιστον. Πολλῇ δὲ προθυμίᾳ περὶ τὴν ὁδοιπορίαν χρωμένη, εἰς νόσον ἐνέπεσε μεταξὺ πορευομένη, καὶ Βιθυνίας ἐπιβᾶσα, ἐν σταθμῷ τινι ταύτης Γαλλικάνῳ λεγομένῳ ἀπέθανεν. Ὁ δὲ Γάλλος καὶ τοῦτο παρὰ δόξαν αὐτῷ συμβὰν, μεγάλην συμφορὰν ποιησάμενος, ὅμως ἤειτο πρόσω, τῶν δεδογμένων οὐκ ἐξιστάμενος. Ἐπειδὴ εἰς Νωρικοὺς ἀφίκετο πόλιν αὐτῶν Πυταβιῶνα καλουμένην, ἐνταῦθα δὴ ἀπὸ Μεδιολάνου καταπέμπεται στρατηγὸς Βαρματίων, ἐκεῖ τοῦ Κωνσταντίου τοῦ τηνικαῦτα τυγχάνοντος, ὃς τὸν Γάλλον ἀφαιρεῖται τῆς ἀλουργίδος, καὶ εἰς ἰδιώτην μετασκευάσας, ἐξόριστον αὐτὸν εἰς τινα νῆσον τῆς Δαλματίας κατέστησε. Τοῦ Γάλλου δὲ εἰς τὴν νῆσον ἀφιγμένου, Εὐσέβιος ὁ εὐνοῦχος, ὁ τὴν τοῦ πραιποσίτου τότε τιμὴν ἔχων, καὶ οἱ σὺν αὐτῷ πείθουσι Κωνστάντιον ὡς τάχιστα Γάλλον ποιήσασθαι ἐκποδών. Ὁ δὲ πεισθεὶς πέμπει τοὺς ἀποκτενοῦντας αὐτόν. Καὶ ἤδη τούτων ἀφικνουμένων, πάλιν ὁ Κωνστάντιος εἰς ἔλεον μετεβλήθη, καὶ πέμπει διὰ τάχεων γράμματα τὸν Γάλλον τοῦ πάθους ἀνακαλούμενος· ὁ δὲ Εὐσέβιος, καὶ οἱ σὺν αὐτῷ, πείθουσι τὸν πεμφθέντα μαγιστριανὸν, μὴ πρότερον ἐπιστῆναι δείκνυντα τὸ γράμμα πρὶν ἂν πύθοιτο τὸν Γάλλον ἀνῃρημένον. Γένετο ταῦτα, καὶ ὁ Γάλλος ἐτεθνήκει· ὁ δὲ Κωνστάντιος περὶ τοῖς πράγμασι δείσας μὴ οὐχ οἷός τε ἦν μόνος ἁπάσης εἶναι τῆς ἀρχῆς ἐγκρατὴς, ἄλλως τε καὶ τῶν Γαλατῶν ὀξύτατα δὴ καὶ ὁπότε προθυμηθεῖεν εἰς τὰς τυραννίδας ἐγειρομένων, διά τε σώματος ἰσχὺν, καὶ κουφότητα φρονημάτων, μετεμέλετο ἤδη τὸν Γάλλον ὑπεξελών, καὶ λογιζόμενος τὸ συγγενὲς τοῦ ὀθνείου καὶ ἀλλογενοῦς ἀσφαλέστερον εἶναι μακρῷ πρὸς κοινωνίαν τῆς βασιλείας, Ἰουλιανὸν τὸν ἀδελφὸν τοῦ Γάλλου ἐκ τῆς Ἰωνίας μεταπεμψάμενος, ἐν τῇ Μεδιολάνων Καίσαρα ἀναδείκνυσι, καὶ τὴν ἀδελφὴν αὐτῷ τὴν ἑαυτοῦ Ἑλένην εἰς γάμον ἐκδούς· καὶ τὰ πιστὰ πρὸς αὐτὸν ποιησάμενος, τοῦτον μὲν ἐξέπεμψεν εἰς τὰς Γαλλίας, φύλακα τῆς ἐκείσε βασιλείας ἐσόμενον.

(48) *Δομετιανόν.* De Domitiano et Montio missis ad Gallum Cæsarem, agunt Ammianus, lib. XIV; Philostorgius, lib. III, cap. 38; lib. IV. cap. 1, et alii scriptores.

(*) Edidit card. Angelo Mai. Vide *Patrologiæ* tom. XCVI, col. 1263 B.

a suis ineitatus, cujus rei cum pœnituisset, per alios cædem ejus averti jubet. Iis Galli inimici, ac potius Eusebius eunuchus, qui præpositi magistratum curabat, homo apud Constantium gratiosus, persuasit, ne Galli percussoribus pœnitentiam imperatoris indicarent prius, quam hominem cæsum esse cognovissent. Sic ille interfectus est. Cum autem Transrhenani Barbari Gallias infestarent, Silvanus, vir rei militaris peritissimus, et optimus imperator, ad eorum impetum retundendum mittitur. Sed imperator, calumniis adductus (quibus sane pronas solebat aures præbere) atrocia contra illum clam machinatur. Quo ille intellecto, ad defectionem impulsus, Cæsaris habitum sibi usurpat. Verum brevis ille motus fuit. Nam Ursicinus a Constantio missus, quosdam milites ejus pecunia corrupit, quorum opera sublato Silvano, defectio sopita est. Constantium ab Occidente Byzantium reversurum, legati Persarum a Sapore missi circa Sirmium conveniunt, qui Mesopotamiam et Armeniam Persis restitui postulabant, ut ad quos ea proviniæ a multis sæculis pertinerent: quo tandem desinerent bella gerere cum Romanis. Sin minus, imperatori significabant, regem marte judice causam illam disceptaturum. Ad ea rescripsit Constantius, mirari se, oblitum illum esse, quod Persæ Macedonibus servierint, quibus per **20** Romanos subactis, illorum etiam servi Romanæ ditionis facti sint. His Sapor inflammatus bellum parat, Nisibin confestim obsidet, eaque, cum nihil proficeret, relicta, alias urbes tentat; ab illis etiam repulsus; Amidam tandem capit.

ὑπὸ δεσμοῖς ἐποιήσατο τὸν κοιαίστορα, καὶ τοῖς στρατιώταις καὶ ἄμφω παρέδωκεν. Οἱ δὲ ἄμφω τῷ ἀνδρὶ συνδήσαντες, ἔσυραν διὰ τῆς ἀγορᾶς καὶ ἠκίσαντο· καὶ τέλος ἐνέβαλον εἰς τὸν ποταμὸν καὶ διέφθειραν. Ταῦτα μαθὼν ὁ Κωνστάντιος ἔπεμψε τοὺς ἕλξοντας τὸν Γάλλον εἰς ἑαυτόν. Ὁ δὲ τὴν γυναῖκα πρὸ ἔπεμψεν ἐξευμενισομένην τὸν ἀδελφόν· ἣν ὁδοιποροῦσαν ἔτι τὸ τέλος ἐκ νόσου κατέλαβε τῆς ζωῆς. Γνοὺς οὖν τὸν τῆς ἀδελφῆς ὁ Κωνστάντιος θάνατον, αὐτίκα στείλας, γυμνοῖ τὸν Γάλλον τοῦ ἀξιώματος, καὶ ὑπερόριον τίθησιν. Εἶτα στέλλει καὶ τοὺς αὐτὸν ἀναιρήσοντας, παρὰ τῶν περὶ αὐτὸν εἰς τοῦτο ἐρεθισθείς. Μεταμεληθεὶς δ' αὖθις, ἑτέρους στέλλει τοὺς εἴρξοντας τὴν ἀναίρεσιν· οὓς ἀνέπεισαν οἱ τῷ Γάλλῳ ἐχθραίνοντες, καὶ μᾶλλον ὁ εὐνοῦχος Εὐσέβιος τὴν τοῦ πραιποσίτου διέπων ἀρχὴν (49), καὶ μεγάλα παρὰ τῷ Κωνσταντίῳ δυνάμενος, μὴ πρότερον ἀπαγγεῖλαι τοῖς τὸν Γάλλον ἐνταλθεῖσι κτανεῖν τὴν βασιλικὴν μεταμέλειαν, πρὶν ἢ ἂν γνοῖεν ἀνῃρημένον τὸν ἄνθρωπον. Ὁ μὲν οὖν ἀνῄρητο. Τῶν πέραν δὲ τοῦ Ῥήνου Βαρβάρων ταῖς Γαλλίαις ἐπικειμένων, ἐκπέμπεται Σιλβανὸς ἀνακόψων αὐτῶν τὰς ὁρμάς· ἀνὴρ στρατηγικώτατος καὶ ἄριστος τὰ πολέμια. Διαβολαῖς δὲ κατ' αὐτοῦ πιστεύσας ὁ βασιλεὺς (εἶχε γὰρ ἐπικλινεῖς τὰς ἀκοὰς πρὸς διαβολὰς) ἐθυσσοδόμευε δεινὰ κατὰ τοῦ ἀνδρός. Ὁ γνοὺς ἐκεῖνος πρὸς ἀποστασίαν ἀπέκλινε, καὶ σχῆμα Καίσαρος ἑαυτῷ περιέθετο· οὐκ ἐπὶ μακρὸν δὲ τῇ ἀποστασίᾳ ἐχρήσατο. Σταλεὶς γὰρ Οὐρσικῖνος ἐκεῖ καὶ χρήμασι τῶν ἐκείνου στρατιωτῶν τινας ὑποφθείρας, δι' ἐκείνων ἀνεῖλε τὸν Σιλβανὸν, καὶ τὴν ἀποστασίαν κατέπαυσε. Τῷ μέντοι Κωνσταντίῳ ἀναζεύγνυντι ἀπὸ τῶν Ἑσπερίων, καὶ ἐπανιόντι πρὸς τὸ Βυζάντιον, ἐκ τῶν Περσῶν πρέσβεις περὶ τὸ Σίρμιον συνηντήκασιν, ἐσταλμένοι παρὰ Σαπώρου, ἀπαιτοῦντος ἀποδοθῆναι Πέρσαις τὴν Μεσοποταμίαν καὶ Ἀρμενίαν, ἵν' οὕτω παύσαιντο Ῥωμαίοις μαχόμενοι. Ταύτας γὰρ τὰς χώρας ἀνέκαθεν ἐκ προγόνων αὐταῖς διαφέρειν. Εἰ δ' οὐ πείθοιτο, δηλοῦντος τῷ αὐτοκράτορι, ὑπὸ τῷ Ἄρει δικαστῇ ποιήσασθαι τὴν τῆς ὑποθέσεως ζήτησιν. Πρὸς ταῦτα ἀνταπέστειλεν αὐτῷ ὁ Κωνστάντιος, θαυμάζειν εἰ ἐπελάθετο ὅτι Πέρσαι Μακεδόσιν ἐδούλευσαν, καὶ ὅτι Μακεδόνων Ῥωμαίοις ὑποταγέντων, καὶ οἱ ἐκείνοις δουλεύοντες, ὑπήκοοι Ῥωμαίοις ἐγένοντο. Τούτοις ὁ Σαπώρης παροξυνθεὶς πρὸς πόλεμον ἀπείθει. Καὶ αὖθις εἰς πολιορκίαν κατέστη Νισίβεως. Ὡς δ' οὐδὲν ἐπέραινε κατ' αὐτῆς, ἀπέστη, καὶ ἑτέρων ἀπεπειράτο. Ὡς δὲ κἀκείνων ἀπεκρούσθη, εἰς Ἀμιδαν κατηντήκει καὶ ταύτης ἐκράτησε.

Variæ lectiones et notæ.

(49) *Εὐσέβιος τὴν τοῦ πραιποσίτου διέπων ἀρχήν.* Eusebii eunuchi, qui sub Constantio præpositus fuit sacri cubiculi, cædis Galli Cæsaris auctoris, meminerunt passim scriptores, Ammianus Marcellinus, lib. XIV, XV, XVI, XVIII; Sozomenus, lib. II, c. 1; lib. V, c. 3; Philostorgius, lib. IV, cap. 1; Palladius, in *Hist. Lausiaca*; S. Athanasius, *Ad solitar. vitam agent.*; Julianus, Libanius, etc. Dignitas vero præpositi sacri cubiculi spectavit fere semper eunuchos, uti fuit Eusebius, qui Zonaræ infra πρωτεύων τῶν βασιλικῶν εὐνούχων dicitur; ita Rhodanus ἀρχιευνοῦχος appellatur in *Chronico Alexandrino*, p. 709: Καὶ τὸν πραιπόσιτον τοῦ παλατίου αὐτοῦ, Ῥοδανὸν ὀνόματι, ἄνδρα δυνατὸν καὶ εὔπορον, καὶ διοικοῦντα τὸ παλάτιον, ὡς πρῶτον ὄντα ἀρχιευνοῦχον. *Præpositum palatii ipsius Rhodanum, virum potentem et divitem, qui palatium regebat, et princeps erat eunuchorum.* Præter Eusebium sub Constantio, et Rhodanum sub Valentiniano, præpositi alii memorantur, Urbicius et Liberius sub Constantino M. apud Codinum, *De orig.*; Eutherius sub Constantio, apud Ammianum, lib. XVI et XX; Antiochus, Amantius et Chrysaphius, sub Theodosio Juniore, apud Zonaram, et apud Victorem Tununensem, et Macrobius, in L. un. Cod. Th. de præpos. sacri cubic.; Heraclius sub Valentiniano Juniore, apud eumdem Victorem, Calligonus sub eodem Augusto, apud S. Ambros. ep. 33; Amantius sub Anastasio Dicoro et Justino, apud Marcellinum comitem, Tununensem, auctorem *Chronici Alexandrini*, etc.; Eutropius sub Theodosio M. in l. 17. Cod. Th. de pœnis; apud Socratem lib. VI, cap. 5, et alios. Et Chrysoretus, in Synodico adversus Tragœdiam Irenæi, cap. 203, Sed de præpositi dignitate multa congessit Jacobus Gottofredus ad tit. Cod. Theod. de præpositis sacri cubiculi.

Ι'. Κωνστάντιος δὲ μὴ οἷός τε ὢν τὴν ὅλην διευθύνειν μόνος ἀρχὴν τοσαύτην οὖσαν, ὡς ἐξ ἄκρων σχεδὸν περάτων τῆς γῆς εἰς ἄκρα πέρατα καταντᾷν, ἐξ Ἀθηνῶν τὸν τοῦ Γάλλου ὁμαίμονα τὸν Ἰουλιανὸν μεταπαλεσάμενος, Καίσαρά τε ἀνεῖπε, καὶ Ἑλένην αὐτῷ τὴν οἰκείαν συνῴκισεν ἀδελφήν. Λέγεται δὲ τῇ μητρὶ αὐτοῦ κυούσῃ αὐτὸν ἐνύπνιον γενέσθαι καὶ δόξαι τὸν Ἀχιλλέα τεκεῖν. Ἡ δὲ διυπνισθεῖσα καὶ τὸ ὄναρ διηγουμένη τῷ ἀνδρὶ, ἔτεκε τοῦτον μητ' ὠδίνων σχεδὸν ἐπ' αὐτῷ πειραθεῖσα, καὶ τεκοῦσα πρινὴ γνοίη, ὡς μέλλει τίκτειν. Ἐντεῦθεν ἐπ' αὐτῷ μεγάλας ἐσχηκότες ἐλπίδας οἱ τούτου γονεῖς, Εὐσεβίῳ (50) τῷ Νικομηδείας αὐτὸν παραδεδώκασι παρ' αὐτοῦ μυηθησόμενον τὴν θείαν Γραφήν. Καίσαρα δὲ τοῦτον ἀναγορεύσας ὁ αὐτοκράτωρ Κωνστάντιος, εἰς Γαλλίας ἐξέπεμψε μετ' ὀλίγων πάνυ στρατιωτῶν, ὡς ὑπόνοιαν ἐντεῦθεν ἐγγίνεσθαι, ὅτι οὐ κοινωνὸν τῆς ἀρχῆς τὸν Ἰουλιανὸν ὁ Κωνστάντιος εἵλετο, ἀλλ' εἰς ἐπιβουλῆς αὐτῷ πρόφασιν τὸ σχῆμα περιέβαλε τὸ τοῦ Καίσαρος, ἵν' ὑπὸ τῶν πολεμίων διαφθαρῇ, μὴ ἔχων δύναμιν πρὸς τὸν κατ' ἐκείνων πόλεμον ἀξιόχρεων. Ὁ δὲ ἀπελθὼν καὶ ἀγαθῇ τύχῃ (51) χρησάμενος συμβάλλει τοῖς πολεμίοις, καὶ ἀνελπίστως νικᾷ. Καὶ αὖθις ἑαυτοὺς ἀναπτησαμένων τῶν πολεμίων, προσμίγνυται αὐτοῖς, καὶ τρόπαιον ἵστησι, πολλῶν μὲν ἀναιρεθέντων, πολλῶν δ' ἀπολομένων ἐν τῷ παραῤῥέοντι ποταμῷ, καὶ ζωγρηθέντων οὐκ ἐλαττόνων. Ὅτε καὶ ἕνδεκά φασι χιλιάδας αἰχμαλώτων Ῥωμαίων, τῶν τῆς αἰχμαλωσίας ἀπολυθῆναι δεσμῶν, ἡττηθέντων τῶν πολεμίων. Εἶτα καὶ Ἀλαμαννοῖς πολεμήσας, καὶ κατὰ τούτων ηὐτύχησε, καὶ δεηθέντων αὐτῶν, τῷ ἔθνει ἐσπείσατο, λύσαντι τῆς δουλείας τοὺς παρ' αὐτοῖς ὄντας δορυαλώτους Ῥωμαίους. Τούτοις οὖν ὁ Καῖσαρ Ἰουλιανὸς ἐπαρθεὶς καὶ ὑπερφρονήσας, ὡς δ' ἔνιοι συνεγράψαντο, ὅτι καὶ δεδιὼς τὸν Κωνστάντιον βασκαίνοντά οἱ διὰ τὰ εὐτυχήματα, μὴ κατὰ τὸν ἀδελφὸν Γάλλον καὶ αὐτὸν ὑπεξαγάγῃ τοῦ ζῆν, εἰς ἀποστασίαν ἀπεῖδε, καί τινας τῶν ὑπ' αὐτὸν ταξιαρχῶν ὑπελθὼν δι' ἐκείνων τὸ στρατιωτικὸν παρεκίνησε, καὶ συστὰν ἀνεῖπεν αὐτὸν Αὔγουστον. Εἶτα ξιφήρεις ἐπιστάντες αὐτῷ, ὡς δῆθεν μὴ προσιεμένῳ τὴν τῆς βασιλείας ἀνάῤῥησιν, ἠπείλουν διαχειρίσασθαι αὐτὸν, εἰ μὴ πείθοιτο. Οὕτω δὲ τάχα καὶ ἄκων τῇ τοῦ στρατιωτικοῦ πλήθους ὑπείξας ὁρμῇ, προσήκατο τὴν ἀρχήν. Ζητουμένου δὲ διαδήματος (52) ἵν' αὐτίκα τούτῳ ταινιωθείη, ἐκεῖνος μὲν μὴ ἔχειν ἐξώμνυτο. Τινῶν δὲ κόσμον αἰτούντων γυναικεῖόν τινα, ἵν' ἐκ τούτων σχεδιασθείη διάδημα, παρῃτήσατο τοῦτο ὁ Ἰουλιανὸς, ὡς ἀπαίσιον οἰωνόν. Ἐπεὶ δὲ χρύσεόν τις τῶν ταξιαρχῶν ἐφόρει στρεπτὸν (53),

X. Constantius autem cum tantum imperium, quod ab extremis terræ finibus, fere in extremos, protendebatur, solus gubernare non posset, Galli fratrem Julianum Athenis accersitum, Cæsarem appellat, sorore Helena in matrimonium data. Ferunt matrem ejus uterum ferentem, in somnis sibi visam esse Achillem parere. Experrecta, dum somnium marito narrat, illum parit, pene sine doloribus, fœtu edito priusquam se pariturum sensisset. Hinc magna de illo spe concepta parentes, puerum Eusebio Nicomediæ episcopo in sacra Scriptura erudiendum tradiderunt. Sed Constantius imperator eum jam Cæsarem, cum paucis omnino militibus in Gallias ablegavit, ut inde suspicio nasceretur, Julianum non delectum esse imperii collegam, sed ad dissimulandas insidias, habitu Cæsareo ornatum esse, ut paribus tanto bello copiis non instructus, ab hostibus cæderetur. Cæterum Julianus, secunda fortuna usus, hostes præter spem vincit, eosdemque recuperatis viribus rebellantes, denuo fundit, ac tropæum erigit, multis cæsis, multis item in amne præter fluente submersis, captis haud paucioribus. Eo prælio victis hostibus, undecim millia Romanorum soluta vinculis captivitatis feruntur. Post hæc contra Alemannos etiam re bene gesta, genti, petentibus illis, pacem dedit, captivis receptis. His Cæsar Julianus ad superbiam elatus, aut, ut quidam auctores sunt, Constantium successibus suis invidentem veritus, ne, fratris Galli exemplo, vita privaretur, defectionem molitur, conciliatis sibi tribunis aliquot, a quibus milites concitati, per conspirationem cum Augustum salutant, et strictis gladiis, imperii titulum repudiantem scilicet, circumstantes, occisuros minantur, nisi obtemperet. Sic igitur, invitus forsitan, ad impetum multitudinis evitandum, accipit imperium. Cum autem diadema quæreretur, quo confestim coronari posset, atque ille sibi nullum esse juraret : quibusdam ornamenta muliebria petentibus, 21 ut inde conficeretur, recusante Juliano, ut mali ominis, tribuni cujusdam torquem aureum, gemmis ornatum, capiti illius accommodant. Tum ille Pentadium magistrum imperatoriarum legionum cum aliis ad Constantium mittit, additis litteris, quibus se purgabat, quod imperii titulum non sponte admisisset, sed a militibus coactus, qui non sub Cæsare, sed sub imperatore militare vellent, quo digna suis laboribus operæ pretia flagitare possint. Petere, ut imperii communionem ex usu reipublicæ futuram æquo animo pateretur : polliceri, se cursores equos

Variæ lectiones et notæ.

(50) *Εὐσεβίῳ.* Huc spectant quæ habet Eunapius in Maximo : Καὶ ψιλωθέντος τοῦ γένους, (Constantini M.) Ἰουλιανὸς περιελείφθη μόνος, δι' ἡλικίαν περιφρονηθείς, καὶ πραότητα· εὐνοῦχοι δὲ ὅμως αὐτὸν ἀμφεπόλευον βασιλικοὶ, καὶ παραφυλακαί τινες ἦσαν, ὅπως εἴη Χριστιανὸς βεβαιός.

(51) *Καὶ ἀγαθῇ τύχῃ.* Juliani felicitatem prædicat etiam Ammianus, p. 293 : *Felicitas ita eminuit, ut ipsis quodammodo cervicibus fortunæ aliquandiu bonæ gubernatricis evectus, victoriosis cursibus difficultates superaret immensas.*

(52) *Ζητουμένου δὲ διαδήματος.* Ita Marcellinus, lib. xx, p. 160, 1 edit. præter Julian. in Epist. ad Athen. et Libanium in Orat. funebri.

(53) *Χρύσεον στρεπτόν.* Certe torquis ille aureus, λίθους ἔχων χρυσοδέτους, potuit diadema,

do more ex Hispania, et delectos e Galliis viros, A quotannis ei missurum. His litteris, se non imperatorem scripsit, sed Cæsarem, ne eas, inscriptione offensus Constantius, abjiceret. Quas cum accepisset, præ iracundia nihil respondit, sed expeditione Persica militibus denuntiata, Leonam quæstorem ad Julianum misit, cum eo per litteras expostulans, quod suam sententiam non exspectasset : illi quam sibi turpius esse, quod Augusti titulum non ab eo cujus esset auctoritas, sed a confuso militum tumultu accepisset : suadere, ut abstineret, eo quod non rite consecutus esset, et ad pristinum habitum a se traditum reverteretur. Quæstori porro mandavit, ut eos qui illic promoti magistratus erant, potestate privaret, ipsumque præfectum prætorio ; alios vero quos ipse nominaverat, in eorum locum subrogaret. Quæstor Juliano mandata imperatoris nuntiat, quæ erant : *Meminisse eum oportere, quantum Constantio deberet, non tantum quod Cæsarem appellasset, sed etiam, quod puerili ætate parentibus orbatum apud se aluisset.* Ille vero Quæstori : *Quis*, inquit, *ea ætate mihi orbitatis auctor exstitit? nonne parentum meorum interfector? An ignorat istis commemorandis, se refricare cicatricem, et vulnus reddere atrocius?* Lectisque litteris, ad consilium imperatorii habitus deponendi, Cæsareique resumendi, quæstori ait, *se id facturum, sed de consilio legionum.* Tum quæstor veritus, ne re cum exercitu communicata, ipse a militari turba discerperetur, Julianum orat, ne id B faceret, mandataque exsequendi spe abjecta, cum tyranni litteris, quibus imperatorem, ut qui familiam suam multis injuriis onerasset, impudenter proscindebat, **22** additis minis, se ultorem eorum fore, qui contra jus et fas occisi essent, discedit. C

λίθου; ἔχοντα χρυσοδέτους, τοῦτον λαβόντες, τῇ ἐκείνου προσήρμοσαν κεφαλῇ. Ὁ δὲ Πεντάδιον τὸν μάγιστρον τῶν βασιλικῶν τάξεων σὺν ἑτέροις ἀπέστειλε πρὸς Κωνστάντιον, ἐπιστείλας αὐτῷ καὶ ἀπολογούμενος, ὡς οὐχ ἑκὼν προήχθη πρὸς τὴν τῆς βασιλείας ἀνάρρησιν, βιασθεὶς δ' ὑπὸ τῶν στρατιωτῶν, μὴ βουλομένων στρατεύεσθαι ὑπὸ Καίσαρι, ἀλλ' ὑπὸ βασιλεῖ, ἵν' ἔχοιεν ἐξ αὐτοῦ ἀξίας τῶν πόνων τὰς ἀμοιβὰς ἀπαιτεῖν· καὶ ἀξιῶν δέξασθαι τὴν τῆς ἀρχῆς κοινωνίαν, εἰς ὠφέλειαν ἐσομένην τῇ πολιτείᾳ ἐπαγγελλόμενός τε καὶ τοὺς ἀμιλλητηρίους ἵππους ἐξ Ἰσπανίας(54), ὡς ἔθος, καὶ τοὺς ἐπιλέκτους ἄνδρας ἐκ τῶν Γαλλιῶν ἐτησίως στέλλειν αὐτῷ. Ταῦτ' ἐπιστείλας, οὐ βασιλέα ἑαυτὸν ἐν τῇ ἐπιγραφῇ προσεγράψατο, ἀλλὰ Καίσαρα, ἵνα μὴ τῇ ἐπιγραφῇ προσοχθίσας ὁ Κωνστάντιος, τὴν ἐπιστολὴν ἀποπέμψηται. Ταύτης τῷ βασιλεῖ Κωνσταντίῳ κομισθείσης κατὰ τὴν ἐν Καππαδοκίᾳ Καισάρειαν διατρίβοντι, ἐκεῖνος οὐδὲν ὑπ' ὀργῆς ἀπεκρίνατο. Ἀλλὰ τὴν μὲν στρατείαν κατὰ Περσῶν τοῖς στρατιώταις ἐκήρυξε, πρὸς δὲ τὸν Ἰουλιανὸν Λεωνᾶν τὸν κοιαίστορα ἔστειλεν, ἐπιστείλας αὐτῷ καὶ αἰτιώμενος ὅτι μὴ ἀνέμεινε τὴν γνώμην αὐτοῦ, καὶ εἰς ὕβριν ἐκείνου μᾶλλον ἢ ἑαυτοῦ ἀνάγων τὸ μὴ κρίσει τοῦ τὴν ἐξουσίαν ἔχοντος, ἀλλ' ἀτάκτῳ θορύβῳ στρατιωτῶν δέξασθαι αὐτὸν τὴν τοῦ Αὐγούστου κλῆσιν· καὶ συμβουλεύων ἀποσχέσθαι τοῦ μὴ προσηκόντως γενομένου, καὶ εἰς τὸ πρότερον ἐπανελθεῖν σχῆμα, ὃ παρ' αὐτοῦ εἴληφε. Τῷ μέντοι κοιαίστορι (55) ἐπέτρεψε καὶ τοὺς τὰς ἀρχὰς ἐκεῖσε ἀνύοντας, παραλύσαι τῆς ἐξουσίας, καὶ αὐτὸν τὸν τῶν πραιτορίων ἔπαρχον, ἑτέρους τε εἰς ταύτας ἐγκαταστῆσαι, οὓς ἐκεῖνος εἰς ἑκάστην ὠνόμασεν. Ἀπελθὼν οὖν ὁ κοιαίστωρ πρὸς τὸν Ἰουλιανὸν, τοὺς λόγους αὐτῷ τοῦ Κωνσταντίου ἀπήγγειλεν. Οἷδ' ἦσαν ὅτι Ἔδει σε *μεμνῆσθαι ὅσων ὀφειλέτης μοι εἶ, οὐ μόνον ὅτι Καίσαρα ἀπηγόρευσα, ἀλλ' ὅτι καὶ ὀρφανὸν ἐν παιδικῇ γενόμενον ἡλικίᾳ ἀνεθρεψάμην, αὐτὸς προσλαβόμενος.* Ὁ δ' ὑπολαβὼν τῷ κοιαίστορι ἔφη· *Τίς δέ μοι, ὦ βέλτιστε, ἐν τοιαύτῃ ἡλικίᾳ τὴν ὀρφανίαν ἐπήγαγεν; ἢ οὐχὶ τῶν ἐμῶν γονέων μενος; Ἐπελθὼν δὲ καὶ τὸ πρὸς αὐτὸν ἐπιστόλιον ὁ Ἰουλιανὸς, πρὸς τὴν συμβουλὴν τοῦ ἀποθέσθαι τὸ βασίλειον σχῆμα, καὶ αὖθις ἑλέσθαι τὸ Καίσαρος· ἔφη πρὸς τὸν κοιαίστορα, ὅτι Ποιήσω τοῦτο, ἀλλὰ γνώμῃ τῶν στρατευμάτων.* Ὁ δέ γε κοιαίστωρ φοβηθείς, ὡς εἰ τοῖς στρατιώταις τοῦτο ἐκφήνειεν ὁ Ἰουλιανὸς παρὼν, αὐτὸς διασπασθήσεται πρὸς αὐτῶν, ἐδέετο μήτι τούτων τῷ στρατιωτικῷ κοινώσασθαι ὄχλῳ. Ἀπογνοὺς μέντοι δυνήσεσθαί τι τῶν αὐτῷ προστεταγμένων ἀνύσαι ὑπέστρεψε μετὰ γραμμάτων (56) τοῦ τυραννήσαντος, ἀναιδῶς ὑποβλέποντων τὸν αὐτοκράτορα, καὶ ἐπιπλήττοντων, ὡς πλεῖστα ἐξαμαρτόντα κατὰ τοῦ γένους αὐτοῦ, καὶ ἀπειλούντων, αὐτὸν γενήσεσθαι τιμωρὸν τῶν ἀδίκως παθόντων. Καὶ ὁ μὲν ἀπῆει πρὸς τὸν Κωνστάντιον.

Variæ lectiones et notæ.

quo ejusce ævi utebantur Augusti, recte effingere : primus autem, uti scribit Zonaras, Constantinus Magnus margaritis et lapillis diadema exornavit. Vide Dissertat. XXIV, ad Joinvillam, p. 290.

(54) Ἵππους ἐξ Ἰσπανίας. Julianus ipse in hac epistola ad Constantium, apud Ammianum, l. XX, p. 168 : *Equos præbebo curules Hispanos, et miscendos gentilibus atque scuturiis adolescentes lectos quosdam*, etc. Equos Hispanos curules commendant Vegetius, lib. IV *Artis veterin.* c. 6 ; lex 1 Cod. Theod. de equis curulib., Symmachus, Claudianus, et alii.

(55) Τῷ μὲν κοιαίστορι. Marcellinus, lib. XX, p. 170, de Leona : *Utque id facile formido intentatorum efficiens, velut magnis viribus fretus, in locum Florentii præfectum prætorio Nebridium, tum quæstorem ejusdem Cæsaris, promoverat*, etc. Et lib. XXI, initio, de Juliano : *Parvi igitur habitis, quæ per Leonam Constantius scripserat, nulloque arbitrio ejus promotorum suscepto, præter Nebridium*, etc.

(56) Μετὰ γραμμάτων. Has minaces litteras antea a Juliano missas scribit Marcellinus, lib. XX, p. 169, 1 edit. tametsi longe probabilior Zonaras sententia.

ΙΑ'. Ὁ τύραννος δὲ πολλοὺς εἰδὼς ἐν τοῖς αὐτῷ A συνοῦσι τὰ Κωνσταντίου φρονοῦντας, πάντας ἐκεῖθεν ἐξήλασεν. Αὐτὸς δὲ πρὸς ἐμφύλιον ἡτοιμάζετο πόλεμον. Ἐν τούτοις (57) καὶ ἡ αὐτοῦ γυνὴ τελευτᾷ, ὡς μέν τινές φασι, τίκτουσα παρ' αὐτῷ, ὡς δ' ἕτεροι, ἤδη ἐκβεβλημένη. Ἐκεῖνος δὲ τοὺς στρατιώτας συναγαγὼν ἐπὶ τὸν ἐμφύλιον ἐτρέθιζε πόλεμον, καὶ συνεβούλευε δεῖν αὐτοὺς κατὰ τοῦ Κωνσταντίου χωρῆσαι, καὶ μὴ μένειν ἐκεῖνον κατ' αὐτῶν ἐπελθεῖν. Ἤδη δὲ τὴν εἰς Χριστὸν ἐξομοσάμενος πίστιν, ηὐλαβεῖτο διὰ τοῦτο τοὺς στρατιώτας, εἰδὼς σχεδὸν ξύμπαντας Χριστιανοὺς ὄντας. Διὸ συσκιάζων τὴν ἑαυτοῦ κακίαν ἕκαστον ἐκέλευε θρησκεύειν ὡς βούλοιτο. Αὐτὸς δὲ τῆς γενεθλίου τοῦ Σωτῆρος (58) ἡμέρας ἐφεστηκυίας, εἰσῆλθεν εἰς τὸν ναὸν, καὶ προσκυνήσας, ἵν' ὁμόδοξος τοῖς στρατιώταις δοκῇ, ἀπῆλθεν. Ἐπέστησε δὲ καὶ ταῖς ἀρχαῖς οὓς ἐκεῖνος ἐβούλετο· καὶ οὕτως ἦει πρὸς τὸν ἐμφύλιον πόλεμον. Ἔλεγε δὲ μὴ κατὰ Κωνσταντίου χωρεῖν, ἀλλ' ἐθέλειν εἰς ἓν συνελθεῖν τὰ ἑῷα στρατεύματα καὶ τὰ ἑσπέρια, ἵν' ὁμοῦ γενόμενα τὸν αὐτῶν ἐκλέξωνται βασιλεύσοντα. Ἤυχει δὲ καὶ προεγνωκέναι τὴν ἡμέραν καθ' ἣν τεθνήξεται ὁ Κωνστάντιος· ἐν ὀνείρῳ αὐτὴν μυηθείς, δι' ἐπῶν ταῦτα φραζόντων·

Ζεὺς ὅταν (59) *εἰς πλατὺ τέρμα μολὴ κλυτοῦ Ὑδροχόοιο,*
Παρθενικῆς δὲ Κρόνος μοίρης βαίνῃ ἐπὶ πέμπτης
Εἰκοστῆς, βασιλεὺς Κωνστάντιος Ἀσίδος αἴης
Τέρμα βίου στυγερὸν καὶ ἐπώδυνον ἕξει.

Τέθνηκε δὲ ὁ Κωνστάντιος τὰ μὲν τῶν Περσῶν λι- C πών· ἐπεὶ καὶ ὁ ἐκείνων βασιλεὺς ἐπ' οἶκου ἀνεχώρησε· κατὰ δὲ τοῦ τυραννήσαντος ἐπιών. Φρονίσι δὲ πολλαῖς συνεχόμενος, κἀντεῦθεν συλληφθεὶς πυρετῷ, χολὴν τε ἀναγαγὼν μέλαιναν ἐτελεύτησεν ἐν Μόψου κρήνῃ (60) (κεῖται δὲ αὕτη κατὰ τὴν τοῦ Ταύρου ὑπώρειαν), ἐπὶ τρισὶν, ὡς λέγεται, μεμφόμενος ἑαυτῷ, τῷ φόνῳ τῶν συγγενῶν· (οὐ γὰρ τὸν Γάλλον μόνον ἀπέκτεινεν, ὡς εἴρηται ἤδη, ἀλλὰ καὶ τοὺς ἀδελφοὺς ταῦ οἰκείου πατρὸς) τῇ ἀναῤῥήσει τοῦ Ἰουλιανοῦ, καὶ τῇ καινοτομίᾳ τῆς πίστεως. Ἦν δὲ ὁ αὐτοκράτωρ οὗτος εὐμενὴς μὲν τοῖς ὑπηκόοις, δικαιοσύνῃ δὲ περὶ τὰς κρίσεις στοιχῶν. Περὶ τὴν δίαιταν ἐγκρατής, καὶ ἐν ταῖς τῶν ἡγεμονιῶν, καὶ ταῖς τῶν ἀξιωμάτων διανομαῖς, τοῦ προσήκοντος στοχαζόμενος, μηδένα τῇ γερουσίᾳ συντάσσων, ὃς παιδείας μετεῖληχεν, οὐδὲ ἤσκητο πρὸς τὸ λέγειν, καὶ ἤδει γράφειν ἐμμέτρως τε καὶ πεζῶς. Περὶ δὲ τὴν πίστιν ὑπῆρχεν οὐκ εὐαγής· οὐ γὰρ τῇ πατρικῇ εὐσεβείᾳ ἐστοίχησεν, ἀλλὰ προσέθετο τοῖς Ἀρειανίζουσι (61), σπουδῇ τοῦ τῶν βασιλικῶν εὐ- D

XI. Tyrannus, cum se multos Constantii studiosos, secum habere sciret, iis pulsis omnibus, ad civile bellum sese parat. Interea et uxor ejus moritur, ut quidam aiunt, adhuc mater familias, vel ut alii, jam repudiata. Convocatos igitur milites ad bellum intestinum concitat, suadens ut Constantii adventu non exspectato, ipsi illum invaderent. Cum vero jampridem christianam ejurasset fidem, verebatur ob id milites, quos fere omnes christianos esse norat. Tegendæ suæ nequitiæ causa, liberum cuique facit, quamvis religionem colere, Natalique Salvatoris die, in templo adorat, ut consentire cum militibus videatur. Et mandatis magistratibus iis quos ipse probabat, ad bellum civile proficiscens, se Constantium invasurum negat, B sed illud velle, ut orientales exercitus cum occidentalibus congressi, imperatorem sibi deligerent. Gloriabatur etiam se diem obitus Constantii somnio cognovisse, his versibus :

Jupiter Augustos ubi fines intrat Aquarii
Virgineoque sinu vicesima quinta recepit
Portio Fulciferum, Constantius Induperator
Regnum Asiæ tristi superatus morte relinquet.

Mortuus autem est Constantius, relicto bello Persico, cum hostis etiam domum rediisset, tyrannum aggressurus. Sed curis multis æstuans, febri corripitur, ac multa atra bile rejecta, ad Mopsi fontem (locus est ad Tauri radices) obit, trium, ut aiunt, se pœnitere professus, cædis propinquorum : nec enim Gallum duntaxat, ut diximus, sed et patruos suos occiderat : collati in Julianum tituli, et mutatæ fidei. Fuit enim clemens erga subditos, æquitatis in judicando servans, in victu temperans, in mandandis imperiis et magistratibus decori observans, neque in senatum quemquam admisit nisi eruditum, et in dicendi facultate ita exercitatum, ut solutam ligatamque scriberet orationem. Cæterum in religione non fuit purus putus, neque patris secutus est pietatem, sed Arianis studuit, Eusebii cubiculariorum principis impulsu, **23** et D. Alexandrum, post Metrophanem Novæ Romæ patriarcham electum, in societatem recipere Arium, atque illo abnuente, concilium indici jussit. Hujus dies cum instaret, Alexander vesperi

Variæ lectiones et notæ.

(57) *Ἐν τούτοις.* Hæc paulo intricatiora in versione immutavimus : scripserat enim Wolfius : *Interea et uxor ejus moritur, sive, ut quidam aiunt, adhuc matérfamilias ejus, sive ut alii, jam repudiata.* Ἐκβεβλημένη, *expulsa e palatio*, interpretatus est Henricus Valesius. Decessit vero Helena postquam Julianus ab exercitu creatus erat Augustus, ut testatur ipse Julianus in Epist. ad Athen.

(58) *Τῆς Γενεθλίου τοῦ Σωτῆρος.* Ammianus, l. xxi, ait Julianum solemniter in Ecclesiam progressum *feriarum die, quem celebrantes mense Januario Christiani Epiphania dictitant.* Vide Valesium ad hunc locum, et utrumque nostrum Glossarium.

(59) *Ζεὺς ὅταν.* Eosdem versus recitat etiam Zosimus, apud quem ita secundus legitur : Παρθενικῆς δὲ Κρόνος μοίρῃ βαίνῃ ἐπὶ πέντε εἰκοστῇ.

(60) *Ἐν Μόψου κρήνῃ.* Vide Scaligerum ad Euseb.

(61) *Προσέθετο τοῖς Ἀρειανίζουσι.* Hinc Eusebius in *Chronico*, quibus consentiunt historici, *impietatem Arianam, Constantii imperatoris fultam præsidio, carceribus et variis afflictionum modis*

ædem ingressus, pronus humi stratus, deprecatur Deum, ne lupum (Arium intelligens) in mandram suam ingredi pateretur, aut se prius e vita tolleret. Hæc ingenti cum dolore et lacrymis precabatur. Mane, concilio primum inchoando, Arius elato animo prodit. Sed inter eundum, ventre convulso, secedit ad alvum exonerandum et urinam reddendam, ibique effusis una intestinis misere perit. Alexander autem patriarcha annis III et XX sacerdotio functus, vitam cum morte commutavit : in cujus locum ab orthodoxis suffectus est Paulus confessor. Sed Constantius Antiochia reversus, cum sede Constantinopolitana pellit, suffecto in ejus locum Eusebio Nicomediæ episcopo, Arianæ factionis. At sanctus Paulus cum se Romam contulisset, a papa Julio Constantinopolitanæ sedi restitutus, denuo fugatur a Constantio, et relegatus, ab Arianis occiditur. Eusebio mortuo Macedonius, cui ab oppugnando Spiritu Pneumatomachi cognomen erat, ab Arianis in Novæ Romæ sedem introducitur, qui per superbiam sacrosanctum D. Constantini corpus e Sanctorum Apostolorum templo in sancti martyris Acacii ædem sacram intulit. Quo facto irritatus Constantius, cum in patriam urbem rediisset, Macedonium, qui unum annum in patriarchatu egerat, throno avulsum relegat, Eudoxio Arianarum partium in eumdem collocato, quem ille per decennium tenuit, et patris corpus in æde reposuit. Idem Constantius etiam sanctorum apostolorum Andreæ et Lucæ sacrosancta corpora, per Alexandriæ tum ducem, post illustrem Christi martyrem, Artemium, in patriam urbem translata, in Sanctorum Apostolorum æde intra sacrarium condidit. Uxorem habuit Eusebiam, forma celebrem illam quidem, sed ob maritum calamitosam, cum natura tum morbis mollem, et ad venerem segniorem. Unde paulatim contabescens, ante Constantium decessit, nullo unquam fetu edito, et ut quidam dicunt, uteri doloribus alienata mente delecit. Constantius et equitandi **24** et jaculandi peritus fuisse memoratur, et in litteris ita eruditus, ut etiam versus componeret.

Α νούχων πρωτευόντος Εὐσεβίου, ὅθεν καὶ τὸν θεῖον Ἀλέξανδρον, ὃς μετὰ τὸν ἱερὸν Μητροφάνην πατριάρχης τῆς Νέας Ῥώμης κεχειροτόνητο, ἠνάγκαζεν εἰς κοινωνίαν τὸν Ἄρειον δέξασθαι, ὁ δὲ οὐ κατένευε· διὸ καὶ σύνοδον ὁ βασιλεὺς συγκροτηθῆναι προστέταξεν. Ὥριστο οὖν τῇ συνόλῳ ἡμέρα· καὶ ὁ Ἀλέξανδρος κατὰ τὴν ἑσπέραν ἐκείνην εἰς τὸ θυσιαστήριον εἰσελθών, καὶ πρηνὴς καταβαλὼν ἑαυτόν, ἐδέετο τοῦ Θεοῦ μὴ παραχωρῆσαι τὸν λύκον, τὸν Ἄρειον δηλαδή, εἰς τὴν ποίμνην αὐτοῦ εἰσελθεῖν, Ἢ ἐμὲ πρότερον τῆς ζωῆς ἀπόλυσον, ἔλεγε. Ταῦτα περιπαθῶς ἐντιβόλει σὺν δάκρυσιν. Ἔωθεν οὖν ἅρτι τῆς συνόδου συνισταμένης, καὶ ὁ Ἄρειος ἅπτει μέγα φρονῶν. Καὶ ἀπιὼν νύττεται τὴν γαστέρα πρὸς ἔκχρισιν κοιλίας καὶ κύστεως. Παρεκκλίνας τε τῆς ὁδοῦ, κεκάθικεν ἀποσκυβαλίσασθαι τὸ περίττευμα· συνεξερρύη δὲ τῇ κόπρῳ καὶ τὰ ἔγκατα τοῦ δειλαίου, βιαίως ἀπορρήξαντος τὴν ζωήν. Ὁ μέντοι πατριάρχης Ἀλέξανδρος, εἴκοσι πρὸς τοῖς τρισὶν ἀρχιερατεύσας ἐνιαυτούς, μετήλλαξε τὴν ζωὴν, καὶ ἀντεισήχθη παρὰ τῶν ὀρθοδόξων εἰς τὸν θρόνον τῆς Κωνσταντινουπόλεως Παῦλος (62) ὁ Ὁμολογητής. Ἐπανελθὼν δ' ὁ Κωνστάντιος ἐξ Ἀντιοχείας μεθίστησι τοῦ θρόνου αὐτὸν, καὶ ἀντικαθίστησι τὸν Νικομηδείας Εὐσέβιον, αἱρεσιώτην Ἀρείου τυγχάνοντα. Ὁ δὲ ἅγιος Παῦλος τῷ πάπᾳ τῆς Ῥώμης προσελθὼν Ἰουλίῳ, καὶ ὑπ' αὐτοῦ εἰς τὸν θρόνον ἀποκαταστὰς Κωνσταντινουπόλεως, καὶ αὖθις ὑπὸ Κωνσταντίου διώκεται· καὶ ἀταλεὶς ὑπερόριος, ὑπὸ Ἀρειανῶν ἀναιρεῖται. Τοῦ δ' Εὐσεβίου θανόντος, ὁ Πνευματομάχος παρὰ τῶν Ἀρειανῶν εἰς τὸν τῆς Νέας Ῥώμης θρόνον ἀνάγεται Μακεδόνιος (63), ὃς ὑπερφρονήσας μετήνεγκε τὸ ἱερώτατον σῶμα τοῦ ἐν ἁγίοις Κωνσταντίνου ἐκ τοῦ τῶν Ἁγίων Ἀποστόλων ναοῦ εἰς τὸ τοῦ ἁγίου μάρτυρος Ἀκακίου θεῖον τεμένισμα. Διόπερ ἐξώργιστο ὁ Κωνστάντιος, καὶ πρὸς τὴν πατρικὴν πόλιν ἐπανελθὼν τὸν μὲν Μακεδόνιον ἔτος ἓν ἡνυκότα, τοῦ θρόνου κατέσπασε καὶ ὑπερώρισε. Καθίδρυσε δ' ἐν αὐτῷ τὸν Εὐδόξιον τὰ τοῦ Ἀρείου πρεσβεύοντα, ἐπὶ δέκα ἐνιαυτοὺς ἀρχιερατεύσαντα. Μετεκόμισε δ' αὖθις τὸ σῶμα τοῦ οἰκείου πατρὸς εἰς τὸν τῶν Ἁγίων Ἀποστόλων ναόν. Οὗτος δὴ οὖν ὁ Κωνστάντιος, καὶ τὰ τῶν ἁγίων Ἀποστόλων ἱερώτατα σώματα Ἀνδρέου (64) τε καὶ Λουκᾶ διὰ τοῦ δουκὸς Ἀλεξανδρείας, ὕστερον δὲ καὶ καλλινίκου μάρ-

Hinc etiam creberrimæ Luciferi Calaritani in Constantium expostulationes.

Β

C

Variæ lectiones et notæ.

omnes non suæ partis episcopos persecutam scribit.

D

(62) *Παῦλος*. Socr. l. II, c. 4, 5 ; Theodoret. l. II, c. 5. Sozom. l. III, c. 3 ; Niceph. l. IX, c. 4 ; Theophan. p. 31, 32 ; Menæa et Synaxaria ad 6. Novembr.

(63) *Μακεδόνιος*. Vita ms. S Pauli Patr. Constantinopol. de Macedonio : Οὗτο τοίνυν ταῖς τῶν Χριστιανῶν σφαγαῖς ὁ τῆς Ἐκκλησίας ἐχθρὸς τοῖς ἐκκλησιαστικοῖς θρόνοις ἐγκαθιδρύεται· καθ' ὃν δὴ καιρὸν καὶ Κωνστάντιος τὴν Μεγάλην ἐκκλησίαν, ἐπώνυμον δὲ αὐτῇ ἡ τοῦ Θεοῦ Σοφία, νεουργεῖ.

(64) *Ἀνδρέου*. De hac translatione reliquiarum SS. Andreæ et Lucæ agimus in nostra *Constantinopoli* lib. IV, sect. 5, in cujus quidem S. Andreæ mentionem cum hoc loco inciderimus, operæ pretium videtur monere lectorem in eodem opere, eademque sectione, n. 5, perperam ædem S. Andreæ τῆς Κρίσεως, vel ἐν Κρίσει, inter ædes ejusdem apostoli repositam, cum is sit Andreas, qui sub Copronymo multa ob cultum sacrarum imaginum passus a tyranno, in urbe mortuus est. Illius vitam descripsit Metaphrastes, festum vero agunt Græci 17 Octobr. Huic igitur sancto Andreæ ædem Constantinopoli exstruxit Theodora Raulæna protovestiaria, ut ibidem monemus. Est autem Raulæna gens, a sui primordio, ex Francis nostris orta, quod pluribus docuimus in notis ad Alexiadem Annæam, pag. 239. Unde eo libentius hic describendi videntur Maximi Planudis mona-

τυρος Ἀρτεμίου (65), εἰς το πατρῷον ἀνεκόμισεν ἄστυ· καὶ ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων ἀπεθησαυρισε, τοῦ θυσιαστηρίου ἐντός. Γαμετὴ δὲ ἦν αὐτῷ Εὐσεβία, ἣ ἐπὶ κάλλει γέγονε περιβόητος. Περὶ δὲ τὸν

Variæ lectiones et notæ.

chi, viri inter Græcos recentiores celeberrimi, versus aliquod in hancce ædem scripti, in quibus Theodoræ stemma prosequitur, haud ingrato forte lectori parergo, cum ad urbis maximæ descriptionem, quam nuper dedimus, pertineant. Hos autem eruimus ex codice Thuanæo, ubi huncce titulum præferunt.

Εἰς τὸν ναὸν τοῦ Ἁγίου Ἀνδρέου (I) ἡρωελεγεῖοι, ἀνέγειρεν αὐτῷ ἡ πρωτοβεστιαρία.

Πειθομένη σε δόμοισιν ἐν οὐρανίοισιν ἀληθῶς
Ψυχῇ ναιετάειν, Ἀνδρέα κλεινότατε,
Καὶ τῷ σώματι σεῖο νεὼν ἐδομήσατο τόνδε,
Κάλλεσιν οὐρανίοις ἐν χθονὶ λαμπόμενον,
Ἣ πάσαις ἐνὶ θηλυτέρῃσι σοφὴ Θεοδώρα,
Ἀμφοτέρων τε λόγων κύδος ἀναψαμένη
Ἧς γενέτης μὲν ἔην Καντακουζηνὸς Ἰωάννης,
Μήτηρ δ' Εὐλογίη ἀξίη εὐλογίης.
Σύγγονος οὖσα Παλαιολόγου Μιχαὴλ βασιλῆος,
Οὗ γόνος Ἀνδρόνικος πλεῖον ἄνακτος ἄναξ.
Κοινωνὸς βιότου δὲ Ῥαοὺλ πέλεν Ἰωάννης,
Τιμὴν εἰληφὼς πρωτοβεστιαρίου.
Αὐτὴ χηροσύνην . . . . ἔστερξεν ἀμέμπτως,
Ἔτρεφε νωλεμέως Χριστὸν ἐν ἐνδέεσι.
Δόγματος ὀρθοτόμοιο χάριν πάθεν ἄλγεα πολλὰ,
Τίμα καὶ φιλίην ὥς τις ἐφημερίων.
Τοίη τῷ τοιῷδε, τοίονδε σοι εἵσατο νηὸν,
Ἀνδρέα, καὶ σὺ χάριν πλούσιον ἀντιμέτρει.

Ejusdem iambi in eamdem S. Andreæ ædem.

Ἐπιγραφαὶ δηλοῦσι τὰς τῶν πραγμάτων,
Καὶ τῶν προσώπων ἐν γραφαῖς παραστάσεις,
Ἐπιγραφῇ δίδωμι κἀγὼ μανθάνειν,
Τίς καὶ τίνων πέφυκα καὶ τίνος τύχης.
Ἡ κλῆσις οὖν μοι τυγχάνει Θεοδώρα,
Καντακουζηνὴ καὶ Παλαιολογίνα,
Κομνηνὴ, Ῥαούλαινα, πρὸς δὲ τοῖς ἔφυν
Καντακουζηνοῦ θυγάτηρ Ἰωάννου,
Κομνηνοφυοῦς ἀγγελωνυμουμένου,
Ὃς Ἰωαννίκιος ἐκ μονοτρόπων
Στολῆς ἐκλήθη, πάντα συμμεθαρμόσας.
Ἦν δ' οὗτος αὐτοὺς υἱοδοῦς Ἰωάννου
Σεβαστοκράτορος τε φυλῆς τ' ἀγγέλων,
Πορφυρογεννήτου δὲ παῖς Θεοδώρας
Ἦν οὗτος αὖθις, ἡ δὲ παῖς Ἀλεξίου,
Τοῦ καὶ μεγάλου Κομνηνοῦ βασιλέως,
Μήτηρ δέ μοι καύχημα πασῶν μητέρων,
Ἦν ἡ Κομνηνὴ καὶ Παλαιολογίνα,
Εἰρηνικήτις Εἰρήνῃ φερωνύμως·
Ὅμαιμος οὖσα Μιχαὴλ βασιλέως
Παλαιολόγου τοῦ Κομνηνοῦ γνησία,
Ἣν εὐλογίαν ἐκ στολῆς μονοτρόπων
Μετωνόμασαν, οὐδὲ τοῦτ' ἀπεικότως.
Ἦν δ' ἄρ ἐκείνη διάσημος ἐγγόνη
Παλαιολόγου δεσπότου τ' Ἀλεξίου,
Καὶ βασιλίσσης Εἰρήνης τῆς ἀγγέλου,
Θυγατρὸς Ἀλεξίου τοῦ βασιλέως·
Καὶ σύζυγός μοι Κομνηνὸς Ἰωάννης
Ῥαοὺλ ὁ Δούκας, ἄγγελος, Πετραλίφας,
Πρωτοβεστιάριος ἐκ τῆς ἀξίας,
Ἐκεῖθεν ἕλκων πατρόθεν καὶ μητρόθεν
Τὸ τοῦ γένους ῥίζωμα σειρὰν χρυσέαν,
Ὅθεν κατῆγον καὶ γονεῖς ἐμοὶ γένος.
Ἀδελφιδῆς δ' ἦν οὗτος υἱὸς τοῦ Δούκα
Ἄνακτος Ἰωάννου, τοῦ καὶ Βατάτζη.

Iambi alii in idem argumentum.

Ἂν ὡς μεταλλεὺς τοῦ γένους μοι τὰς φλέβας
Ἰχνοσκοπῶν τις ἱστορεῖν γνώμην ἔχῃ,
Οὐ ψηγμάτων σύστημα λεπτῶν θηράσει,
Σκευῶν δὲ συχνῶν ἡλίκων χρυσηλάτων
Εἰς ταὐτὸ συμφόρημα πάμπλουτον χάριν,
Καὶ χρυσέας δ' ἂν εὐκλεεῖς σειρὰς μάθοι,
Ἄλλων ἀπ' ἀρχῶν συμπλακίσας εἰς μίαν,
Ἐξ ἧς ἐμαιώθην τε καὶ τὸ φῶς ἔγνων,
Λῶρον Θεοῦ λαχοῦσα τοῦτο μυρίον,
Καὶ Θεοδώρα συγκατωνομασμένη·
Πατρὸς γὰρ ηὐμοίρησα συντόμως φράσαι
Καντακουζηνῶν ἐκ γένους Ἰωάννου
Κομνηνοφυοῦς ἀγγελωνυμουμένου,
Ὃς Ἰωαννάκιος ἐκ μονοτρόπων
Στολῆς ἐκλήθη, πάντα συμμεθαρμόσας·
Θυγατριδοῦς δὲ κλεινὸς ἦν Ἰωάννου,
Τοῦ φύλον ἀνάγοντος εἰς τοὺς ἀγγέλους
Ἀνημμένου τε τῶν σεβαστῶν τὸ κράτος,
Ὃν αὖ προάγει πρὸς τὸ φῶς Θεοδώρα
Ἡ πορφυρανθὴς θυγάτηρ Ἀλεξίου
Κομνηνάνακτος τοῦ μεγάλου σὺν δίκῃ·
Μητὴρ δέ μοι καύχημα πασῶν μητέρων,
Ἦν ἡ Κομνηνὴ καὶ Παλαιολογίνα
Εἰρηνική τις Εἰρήνη φερωνύμως,
Ὅμαιμος οὖσα Μιχαὴλ βασιλέως
Παλαιολόγου τοῦ Κομνηνοῦ, πλὴν ὅσον
Μείζων ἐκείνῃ κόσμος ὄφθη τῷ κράτει,
Ἡ πᾶν ἐκείνη τὸ κράτος τοῦ συγγόνου.
Ταύτην προσεῖπον ἐκ στολῆς μονοτρόπων
Ὡς εὐλογίας ἀξίαν Εὐλογίαν.
Ἀλεξίου δ' ἦν ἐγγόνη τοῦ δεσπότου
Παλαιολόγων κατίοντος ἐκ γένους,
Καὶ βασιλίσσης Εἰρήνης· ἡ δ' αὖ πάλιν
Ἤνθηκε πατρὸς γνησίως Ἀλεξίου
Σκῆπτρα κρατοῦντος ἐκ γένους τῶν ἀγγέλων,
Πατρὸς μὲν οὖν μητρός τε ταῦτά μοι κλέας.
Εἰ δ' ἀτρεκῶς χρὴ καὶ τὰ συζύγου λέγειν,
Κομνηνὸς οὗτος ἦν Ῥαοὺλ Ἰωάννης,
Σέμνωμα Δουκῶν, ἄγγελος, Πετραλίφας,
Ὃς ἀρετῆς εἴληφεν ἄθλων ἀξίαν
Πρὸς τῶν κρατούντων πρωτοβεστιαρίου,
Ἐκεῖθεν ἕλκων πατρόθεν καὶ μητρόθεν
Τὸ τοῦ γένους ῥίζωμα, καὶ πᾶσαν χάριν,
Ὅθεν κατῆγον καὶ γονεῖς ἐμοὶ γένος.
Ἀδελφιδῆς δ' ἦν οὗτος υἱὸς τοῦ Δούκα
Ἄνακτος Ἰωάννου, τοῦ καὶ Βατάτζη.

(65) *Καλλινίκου μάρτυρος Ἀρτεμίου.* Ut tum primum repertæ sint SS. Andreæ et Lucæ reliquiæ, et in urbem allatæ, ita narrat scriptor Vitæ ejusdem S. Artemii ineditus (a): Ὡς δὲ ἐν Ὀδρυσοῖς ἐτύγχανε γεγονὼς (Constantius), ἔνθα πόλιν κτίσας Ἀδριανὸς ὁ βασιλεὺς τὴν ἑαυτοῦ καταλέλοιπε τῷ τόπῳ προσηγορίαν, ἐπύθετο πρός τινος τῶν ἐπισκόπων ὡς τὰ σώματα τῶν τοῦ Χριστοῦ ἀποστόλων Ἀνδρέου τε καὶ Λουκᾶ ἐν Ἀχαΐᾳ τεθαμμένα τυγχάνουσιν, Ἀνδρέου μὲν ἐν Πάτραις, Λουκᾶ δὲ ἐν Θήβαις τῆς Βοιωτίας. Ὡς οὖν ἤκουσεν ὁ βασιλεὺς ταῦτα Κωνστάντιος, ἥσθη τε τῷ λόγῳ, καὶ ἐπὶ μέγα ἐβόησε, καὶ πρὸς τοὺς παρόντας ἔφη· Καλέσατέ μοι τὸν φίλον Ἀρτέμιον· τοῦ δὲ ταχέως παραγενομένου, Συγχαίρω σοι, ἔφη, ἀνδρῶν ἁπάντων θεοφιλέστατε. Ὁ δὲ πρὸς αὐτόν· Καὶ εἴης μοι χαίρων, ὦ βασιλεῦ, διὰ παντὸς, καὶ μή ποτέ σε τῶν λυπηρῶν τι καταλήψοιτο. Καὶ ὁ βασιλεύς· Ζητεῖς δέ τι χαριέστερον, ὦ φίλων ἄριστε, τῆς τῶν σωμάτων τῶν τοῦ Χριστοῦ ἀποστόλων εὑρέσεως; Καὶ ὁ μέγας Ἀρτέμιος· Τίς καὶ πόθεν, ὦ δέσποτα, ὁ τοῦτον ἡμῖν τὸν θησαυρὸν φανερώσας τὴν τήμερον; Καὶ ὁ Κωνστάντιος· Ὁ τῆς Ἀχαΐας, ἔφη, ἐπίσκοπος, ὁ νῦν ἐφορεύων ἐν Πάτραις· ἀλλ' ἄπιθι, ἀνδρῶν ἄριστε, καὶ τὸ τάχος ἐν

(a) Epigrammata hæc, mendosissime edita, emendavit Boivinus ad Gregoram ex codd. Coislin. Ejus emendationibus usi sumus. Edit

(b) *Patrologiæ* tom. XCVI, col. 1265 C.

γαμετὴν ἠτύχησε, μαλθακὸν ὄντα, καὶ τὰ πρὸς ἀφροδίτην νωθέστερον, ἐκ νόσων τε καὶ ἐκ φύσεως. Ὅθεν κατὰ βραχὺ φθίνουσα, τοῦ Κωνσταντίου προτέθνηκεν, ἅπαις διὰ βίου μείνασα· ὡς δέ τινες λέγουσι, καὶ μητρομανίας (66) νοσήματι περιπεσοῦσα ἐξέλιπε. Λέγεται δὲ καὶ πρὸς τὸ ἱππεύειν καὶ ἀκοντίζειν περιδέξιος ὁ Κωνστάντιος εἶναι, καὶ λόγοις ὡμιλῆκέναι (67), ὡς καὶ ἔπος δύνασθαι συντιθέναι.

XII. Obitu Constantii nuntiato, legiones Julianum lætis acclamationibus Augustum consalutarunt. Verum ille regio habitu mutato, et lugubri sumpto, tristitiam præ se ferens, ob imperatoris funus, de more publicum luctum indixit. Deinde Byzantium profectum, et senatus et populus obviam progressi, faustis omnibus in regiam deduxerunt. Ita susceptа imperii administratione, cum Constantii corpus (conditum, id est, in æde Sanctorum Apostolorum) ab illius legionibus in curru Constantinopolim deduceretur, amoto diademate obviam egressus idque prosecutus est. Multos aulicos sustulit, multos relegavit, bonis eorum confiscatis. Ac cæteris imperii curis, etiam juris dicundi munus adjunxit. Cum autem aliquando quodam peculatus reo, qui crimen negabat, pro tribunali sederet, dicente accusatore: *Quis illius criminis pœnas dabit, si reo infitias ire proderit?* respondit: *Et quis insons erit, si accusatori, crimine non probato, fides habeatur?* Respondit et legatis, a variis gentibus ad Constantium missis, et legiones recensuit, et magnam partem imperatorii comitatus dimisit. Cum tonsorem quæreret, et ad eum Constantii tonsor sumptuoso ornatu accessisset: tonsorem se quæsivisse, non senatorem, dicens, dimisit hominem. Coquum item imperatorium in splendidiore veste quam pro ministerio conspicatus, suo coquo qui pro artis conditione ornatus erat, accersito, eos qui aderant, rogat: utrum coquo similem judicent? qui cum vilius cultum dixissent, alterum repudiavit. Hæc faciebat gloriolæ causa, ut frugi homo et germanus philosophus haberetur. Donativo militibus dato, bellum Persicum apparabat. Rerum potitus firmatoque imperio, statim in evidentem paganismum erupit. Nam christianismum (ut supra dictum est) jam ante abjurarat, neque tamen proferre in publicum impietatis partum ausus fuerat. Fertur enim, cum imperii cupiditatem tanquam ignem sub cineribus aleret animo, vates et præstigiatores

ΙΒ'. Ἀγγελθείσης δὲ Ἰουλιανῷ τῆς τοῦ Κωνσταντίου τελευτῆς, τὰ μὲν στρατεύματα Αὔγουστον αὐτὸν ἀνευφήμησαν· ἐκεῖνος δὲ τὸ βασιλικὸν ἀμείψας σχῆμα, καὶ πενθῆρες λαβών, σκυθρωπάζων ὤπτο. Καὶ δημόσιον ἐπὶ τῷ τελευτήσαντι βασιλεῖ κατ' ἔθος πεποίηκε πένθος. Εἶτα ἐπὶ τὸ Βυζάντιον ὥρμησε· καί οἱ προσυπήντησε (68) καὶ ἡ σύγκλητος καὶ ὁ δῆμος, καὶ σὺν εὐφήμοις φωναῖς προῆλθεν εἰς τὰ βασίλεια, καὶ τῆς τῶν κοινῶν διοικήσεως ἥψατο. Τὸ δὲ τοῦ Κωνσταντίου σῶμα τὸ σὺν ἐκείνῳ στρατιωτικὸν, καὶ οἱ ἄρχοντες, ἐπ' ὄχήματος εἰς Κωνσταντινούπολιν διεκόμισαν· ᾧ ὁ Ἰουλιανὸς προσυπήντησε καὶ προέπεμψε, περιελόμενος τῆς κεφαλῆς τὸ διάδημα (69). Κατετέθη δὲ ὁ τοῦ τελευτήσαντος νεκρὸς αὐτοκράτορος ἐν τῷ τῶν Ἁγίων Ἀποστόλων ναῷ. Πολλοὺς δὲ τῶν περὶ τὰ βασίλεια ὁ Ἰουλιανὸς τοὺς μὲν ἀνεῖλε, τοὺς δὲ ὑπερώρισε καὶ τῶν οὐσιῶν ἀπεστέρησε. Ταῖς δὲ λοιπαῖς τῆς βασιλείας διοικήσεσι, καὶ τὸ δικάζειν συνέταττε. Ποτὲ γοῦν δικάζων τινὶ κεκλοφέναι κατηγορουμένῳ δημόσια χρήματα, καὶ τὴν κλοπὴν ἀρνουμένῳ, ἐπεὶ ὁ κατήγορος, *Τίς*, ἔφη, *βασιλεῦ, ἐπ' ἐγκλήματι δίκην ὑπόσχῃ, εἰ ἐξ ἀρνήσεως ὠφελοῖντο οἱ αἰτιώμενοι;* ἐκεῖνος ἀνταπεκρίνατο· *Καὶ τίς ἔσται ἀναίτιος, εἰ ἐλέγχων ἄνευ πιστεύοιντο οἱ κατήγοροι;* Ἐχρημάτιζε δὲ καὶ πρέσβεσιν, ἐκ διαφόρων ἐθνῶν σταλεῖσι πρὸς τὸν Κωνστάντιον. Καὶ τὰ στρατεύματα δὲ ἐπεσκέπτετο καὶ ἐξήταζε· τὸ πολύ τε τῆς βασιλικῆς Θεραπείας ἀπεπέμψατο. Κουρέα (70) τε ζητήσας, ὡς προσῆλθεν αὐτῷ τοῦ Κωνσταντίου κουρεὺς πολυτελῶς ἐσταλμένος, κουρέα ζητεῖν εἶπεν, ἀλλ' οὐ συγκλητικὸν, καὶ αὐτὸν ἀπεπέμψατο. Καὶ μάγειρον δὲ τῶν βασιλικῶν ἐν ἐσθῆτι λαμπροτέρᾳ τῆς ὑπουργίας αὐτοῦ θεασάμενος, καὶ τὸν ἑαυτοῦ μετεπέμψατο μάγειρον κατὰ μάγειρον ἐσταλμένον, καὶ ἤρετο τοὺς παρόντας πότερον αὐτῶν χρήσιμον ἂν μαγείρῳ προσοικέναι; τῶν δὲ τὸν εὐτελῶς εἰπόντων ἐσκευασμένον, παρῃτήσατο τὸν λοιπόν. Ταῦτα δ' ἐποίει δόξαν θηρῶν ἐκ τοῦ δοκεῖν ἀπέριττος, καὶ ὄντως φιλόσοφος. Τοῖς στρατιώταις δὲ διανείμας

Variæ lectiones et notæ.

Κωνσταντινουπόλει μοι τὴν τούτου ἀνακομιδὴν ποίησον. Ταῦτα ἀκούσας παρὰ βασιλέως ὁ μέγας Ἀρτέμιος, τὴν ἐπὶ τοὺς ἀποστόλους ὁδὸν ἐπορεύετο, τὰ τούτων ἀνακομισόμενος ἅγια· λείψανα· ἃ δὴ καὶ μάλα θαυμασίως ἀνακομισάμενος, ἐν τῷ παρὰ τοῦ Κωνσταντίου ἐκ βάθρων ἐξοικοδομηθέντι ναῷ, ἐπὶ τῷ τῶν ἀποστόλων ὀνόματι, παρὰ τῷ τοῦ πατρὸς τάφῳ ταῦτα κατέθετο. Καὶ γέρας τε αὐτῷ τῆς λειτουργίας ὁ βασιλεὺς, δεηθέντων τῶν ἐπισκόπων, τὴν τῆς Αἰγύπτου παρέσχε ἀρχήν.

(66) *Μητρομανίας.* Philostorg. lib. IV, cap 7.

(67) *Καὶ λόγοις ὡμιλῆκέναι.* Id de Constantii eruditione præ cæteris testatur Lucifer Calaritanus lib. *Moriendum esse pro Dei Filio*, p. 329: *Nostumus tantum sacras scientes litteras, noster sermo est communis; contra vester politus, ornatus, qui etiam dici mereatur disertus*, etc.

(68) *Καὶ οἱ προϋπήντησε.* Marcellinus, lib. XXII, initio: *Exceptus igitur tertio Iduum Decembrium verecundis senatus officiis, et populorum consonis plausibus, stipatusque armatorum et togatorum agminibus, velut acie ducebatur instructa*, etc.

(69) *Τῆς κεφαλῆς τὸ διάδημα.* Id ipsum tradunt Philostorgius, l. VI, c. 6, et alii quos ad eum laudat Gothofredus.

(70) *Κουρέα.* Marcellinus, lib. XXII: *Evenerat iisdem diebus, ut ad demendum imperatoris capillum tonsor venire præceptus, introiret quidam ambitiose vestitus; quo viso, Julianus obstupuit; Ego, inquit, non rationalem jussi, sed tonsorem acciri.* Vide Socratem et Cedrenum.

B *παῦσόν με τῆς ἀρχῆς.* Καὶ ὁ βασιλεὺς, Εἰ αὐτὸς ἐγώ εἰμι, φησὶν, ἀδικῶν, ἐξανάστησόν με ἐντεῦθεν. Αὐτίκα τοίνυν ὁ ἔπαρχος τὸν αἰτιώμενον ἐκεῖνον ἐκ τῆς πανδαισίας ἐξαναστήσας, καὶ εἰς τὸ δικαστήριον καταστήσας, καὶ τῷ κατ' αὐτοῦ λέγοντι συνδικάσας αὐτὸν, καὶ γνοὺς ἀδικοῦντα, ἐκεῖνον μὲν ἐκόλασε ταῖς εἰς σῶμα πληγαῖς· τῷ δὲ ἀδικουμένῳ ἐκ τῆς ἐκείνου ὑπάρξεως πολλαπλάσιον ἀποκατέστησε τὸ ἀδίκημα. Ὅθεν δείσαντες, οἷς ἦν προαίρεσις πλεονεκτικὴ, τοῦ ἀδικεῖν ἀνεστάλησαν, καὶ τοῖς ἠδικημένοις εἰς συμβάσεις ἐχώρησαν. Αἱ δὲ πρὸς Πέρσας (26) σπονδαὶ ἐπὶ τούτου τοῦ βασιλέως ἐλύθησαν· δασμὸν γὰρ ἐνιαύσιον λίτρας πεντακοσίας τῶν Ῥωμαίων διδόντων αὐτοῖς, ἵνα τὰ σφίσιν ἀγχίθυρα τῆς Ῥωμαϊκῆς ἡγεμονίας ἀβλαβῆ φυλάσσωνται φρούρια, ὁ Ἰουστῖνος οὗτος ἐπονείδιστον εἶναι τὸ

C φορολογεῖσθαι παρὰ Περσῶν Ῥωμαίους λέγων, ἐπέσχε τὸ χρυσίον. Διαπρεσβευσάμενος δὲ πρὸς Ἀρεθὰν (27) τῶν Αἰθιόπων βασιλέα, ἔπεισεν αὐτὸν, τὰ πλησιάζοντα τοῖς Αἰθίοψι τῆς τῶν Περσῶν ἐπικρατείας, καταδραμεῖν καὶ λῃΐσασθαι· διὸ καὶ αὖθις μέσον Περσῶν καὶ Ῥωμαίων ἀνερρίπιστο πόλεμος. Στρατηγὸν οὖν τῆς Ἀνατολῆς ὁ βασιλεὺς τὸν πατρίκιον Μαρτῖνον (28) προχειρισάμενος, ἔπεμψε κατ' αὐτῶν, καὶ τῷ τετάρτῳ ἔτει τῆς βασιλείας αὐτοῦ συνέστη πόλεμος, καὶ πολλοὶ μὲν ἀμφοτέρωθεν ἔπεσον, νικῶσι δ' ὅμως Ῥωμαῖοι. Ὁ δὲ τῶν Περ-

D σῶν (29) κρατῶν Ὁρμίσδας Ἀρδαμάνην ἔπεμψε μετὰ βαρείας δυνάμεως, τὰ ὑπὸ Ῥωμαίους λῃΐσασθαι· ὃς πολλὴν ἐπελθὼν χώραν Ῥωμαϊκὴν, καὶ λείαν πλείστην ἐξ αὐτῆς ἁρπαχὼς, ἐπανῆλθεν, τοῦ πατρικίου Μαρτίνου μὴ τολμήσαντος αὐτῷ ἀντεπεξελθεῖν. Ἃ μαθὼν ὁ βασιλεὺς, ἐν συμφορᾷ ἐποιήσατο, καὶ τὸν μὲν Μαρτῖνον τὴν στρατηγίαν ἀφεῖλετο, Ἀρχελάῳ δὲ αὐτὴν ἐνεπίστευσε, καὶ πρὸς Ὁρμίσδαν σπονδὰς ἔθετο (30) αὖθις. Ἐκ δὲ τῆς διὰ ταῦτα λύ-

Variæ lectiones et notæ.

(26) *Αἱ δὲ πρὸς Πέρσας.* Bellum a Justino Persis illatum ad annum 5 revocat Joan. Biclariensis : de quo agunt præterea Evagrius, lib. v, cap. 7, Theophanes et Cedrenus, an. 7, etc.

(27) *Ἀρεθάν.* Idem Theophanes an. 7.

(28) *Μαρτῖνον.* Sic appellatur a Theophane : Marcianum vocat Evagrius lib. v, cap. 8.

(29) *Ὁ δὲ τῶν Περσῶν.* Persas cum Romanis pacis fœdera rupisse an. 8. Justini auctor est Biclariensis. At quem Hormisdam Theophanes et Zonaras, Chosroem vocat Evagrius, lib. v, c. 9 12, ubi et de Adarmane et Martini exauctoratione pariter agit.

(30) *Σπονδὰς ἔθετο.* Evagrius, lib. v, cap. 12

κῆς νόσῳ φρενίτιδι περιπέπτωκεν, ἦλγει δὲ καὶ τοὺς πόδας. Ἀμοιρῶν μέντοι γονῆς οἰκείας, ἔφθη τὸν Κόμητα (31) τῶν ἐξκουβίτων Τιβέριον υἱοποιησάμενος, καὶ Καίσαρα ἀνείπων. Ἀνεθεὶς δὲ τῆς νόσου, προσεκαλέσατο (32) τὸν πατριάρχην Εὐτύχιον (θανόντος γὰρ τοῦ ἀπὸ σχολαστικῶν Ἰωάννου, πάλιν οὗτος ἐπανῆχθη, καὶ εἰς τὸν θρόνον ἀποκατέστη τὸν ἀρχιερατικόν), συναθροίσας δὲ καὶ τὴν σύγκλητον, ἀλλὰ καὶ τὸν κλῆρον τῆς Ἐκκλησίας, βασιλέα τὸν Τιβέριον ἀνηγόρευσεν, ἐπ' ἀκροάσει πάντων αὐτῷ ἐντειλάμενος, τὰ πρὸς Θεὸν εὐσεβεῖν, τοὺς ὑπηκόους εὐεργετεῖν, τοὺς ἀδικουμένους διεκδικεῖν, τοῖς στρατιώταις μὴ ἐνδιδόναι πλεονεκτεῖν, μὴ μέγα ἐπὶ τῇ ἀλουργίδι φρονεῖν, τοῖς εὐπορουῦσιν ἀπολαύειν, τῶν οἰκείων ἀνεπιφθόνως παραχωρεῖν, τοῖς μὴ ἔχουσιν, ὡς δύναμις, ἐπαρκεῖν τὴν βασιλίδα καὶ πρώτην κυρίαν αὐτοῦ, προσηκόντως τιμᾷν. Ταῦτα παραινέσας καὶ συμβουλεύσας ὁ Ἰουστῖνος τῷ Τιβερίῳ, ἐξέλιπε, βασιλεύσας ἔτη τρισκαίδεκα.

ΙΑ'. Στεφθεὶς δὲ ὁ Τιβέριος ὑπὸ Εὐτυχίου τοῦ πατριάρχου, καὶ τὴν οἰκείαν γαμετὴν Ἀναστασίαν Αὐγούσταν ἀνηγόρευσεν, ᾗ δύο αὐτῷ θυγατέρας ἐγείνατο, Χαριτὼ καὶ Κωνσταντίαν. Σοφία δὲ ἡ πρώην βασίλισσα τῶν ἀνακτόρων ὑπαπελθοῦσα εἰς τὰ ὁμώνυμα ἑαυτῇ κατῳκίσθη βασίλεια, βασιλικὴν αὐτῇ τοῦ Τιβερίου δόντος ὑπηρεσίαν, ὡς οἰκείᾳ μητρί. Οὗτος ὁ αὐτοκράτωρ καὶ πρὸς Ὁρμίσδαν πρεσβείαν ἐποιήσατο, ἀνανεῶν τὰς σπονδάς. Ὁ δὲ τὴν ἀνανέωσιν οὐ προσήκατο· διὸ καὶ ὁ Τιβέριος πρὸς τὸν κατὰ Περσῶν πολλὴν ἡτοίμασε στρατιάν, καὶ Ἰουστινιανὸν τῶν ἐπισήμων τινὰ τῆς Ἀνατολῆς προὐβάλλετο στρατηγὸν, ὃς ἐπὶ Πέρσας χωρήσας, ἐπεὶ πλησίον αὐτῶν ἐστρατοπεδεύσατο, εἰς λόγους ἦκε περὶ παρατάξεως, καὶ ἔπεισεν αὐτοὺς, σπείσασθαι Ῥωμαίοις ἐπὶ τρία ἔτη. Ἤδη δὲ τοῦ τρίτου παραβρυΐσκομένου ἐνιαυτοῦ, Ὁρμίσδας ὁ τῶν Περσῶν ἀρχηγὸς σὺν ταῖς αὐτοῦ δυνάμεσιν ἐπὶ τὴν Ἀρμενίαν χωρεῖ. Τοῦτο εἰς δειλίαν ἐνέβαλε τὰ ἐκεῖ Ῥωμαίων στρατεύματα. Διαλεχθεὶς δὲ τούτοις ὁ σφέτερος ἀρχηγὸς θάρσος ἅπασιν ἐνεποίησε, καὶ τὴν πρὸς Ὁρμίσδαν μάχην ὑπέστησαν, καὶ μέχρι μέν τινος ταῖς ἐκ τόξων κεχρημένοι βολαῖς οἱ Πέρσαι, εὐδόκουν ὑπερτερεῖν τῶν Ῥωμαίων ταῖς ἀσπίσι καταφραγνύντων ἑαυτοὺς, καὶ μὴ ἀντεπεξιόντων. Ἐπεὶ δ' ἔγνωσαν οἱ Ῥωμαῖοι ἤδη κεκενῶσθαι τὰς φαρέτρας τοῖς ἐναντίοις, συνησπικότες ἀλλήλοις, καὶ ἀλαλάξαντες ἐνυάλιον, ἐπῆλθον τοῖς Πέρσαις κατὰ συστάδην, ἀγχεμάχοις ὅπλοις αὐτοὺς ἀμυνόμενοι. Οἱ οὐδὲ πρὸς βραχὺ τὴν ὁρμὴν αὐτῶν ὑπομείναντες τρέπονται καὶ ἀναιροῦνται μὲν οἱ πλείους· τὸ δὲ στρατόπεδον αὐτῶν διαρπάζεται· καὶ ἡ μὲν βασιλικὴ τοῦ Ὁρμίσδου σκηνὴ, καὶ ἡ ἀποσκευὴ ἐκείνου πᾶσα, καὶ οἱ ἐλέφαντες τῷ βασιλεῖ ὑπεξήρηντο, τὰ δ' ἄλλα τοῖς στρατιώταις εἰάθησαν. Οἱ δὲ Ῥωμαῖοι πρὸς τὰ ἐνδότερα τῆς Περσίδος ἐχώρησαν, καὶ χώραν πολλὴν αὐτῆς ἐλῃΐσαντο. Τότε καὶ τὸ τῶν Βλαχέρνων λοετρὸν οἰκοδομεῖν ὁ Τιβέριος ἤρξατο, καὶ πολλοὺς ναοὺς καὶ δημοσίους οἴκους ξενῶνάς φημι καὶ γηροκομεῖα ἀνενεώσατο, καὶ τὸν χρυσοτρίκλινον παρὰ Ἰουστίνου δομηθέντα προσεπ-

XI. Tiberius ab Eutychio patriarcha coronatus, uxorem quoque suam Anastasiam Augustam salutavit : quæ duas ei filias peperit, Charitonem et Constantinam. Sophia vero Justini vidua, relicta aula in regiam sibi cognominem migravit, regio comitatu ei a Tiberio tanquam matri suæ attributo. Ad Hormisdam Persarum regem de pace renovanda legatos misit : qui cum renovationem eam recusasset, Tiberius ad bellum Persicum ingentes copias conscribit, et Justinianum virum illustrem, Orientis ducem creat. Qui contra Persas profectus, castris prope illos positis, et ad colloquium evocatis, persuadet, ut triennii pacem cum Romanis faciant. Tertio anno jam exeunte, Hormisdas Persarum dux cum suis copiis Armeniam invadit : quæ res terrorem incussit Romanis legionibus, sed ducis sui cohortationibus animis receptis, pugnare cum Hormisda non recusarunt. Ac quandiu Persæ sagittis utebantur, Romanis superiores esse videbantur, qui se clypeis obsepiebant, nec contra ibant. Sed cum animadverterent Persas jam pharetras exhausisse, densatis clypeis, et clamore bellico sublato, illos invaserunt, cominus hastis et gladiis rem gerentes. Ibi hostes nec ad exiguum tempus eorum impetu tolerato in fugam versi plerique cadunt, castrisque direptis regium Hormisdæ tabernaculum et omnis ejus supellex 73 et elephantes, imperatori seliguntur, cætera militibus concessa. Romani in Persidis interiora progressi, longe lateque prædas egerunt. Tunc Tiberius balneas Blachernias ædificare cœpit, multas et sacras et publicas ædes instauravit, ut hospitia et senum receptacula, et aureum triclinium a Justino conditum renovavit. Eutychio patriarcha, cum Byzantinam sedem per IV annos secundum ornasset, mortuo, patriarcha eligitur Magnæ Ecclesiæ diaconus Joannes Jejunator, vir sanctissimus. Persas captivos Constantinopolim perductos, imperator omnes magnifice vestitos domum redire sivit : quos ipsorum cognati præter spem conspicati, magna cum admiratione imperatorem collaudarunt. Cæterum Chaganus Avarum dux a Tiberio

Variæ lectiones et notæ.

(31) *Κόμητα*. Notarii dignitatem obiisse Tiberium scribit Eustathius in Vita S. Eutychii Patr. Constantinopol. n 67, scilicet *ordinis primi*, quomodo eam vocat Lactantius, in libro *De mortibus persecutorum*, cap 10

(32) *Προσεκαλέσατο*. Eustathius in Vita S. Eutychii Patr. Constantinopol. n. 70 et seqq.

febros petiit, qui sibi balneas ædificarent. Iis missis, pontem in Danubio struere coegit opifices, ut flumen citra periculum trajicere, et Romanas provincias populari posset. Imperator autem exercitum XII millium robustorum juvenum ex gentibus coegit, quem ex suo nomine vocavit, et Mauricio comite fœderatorum illis præposito, eique cubiculario legato addito, contra Persas ablegavit. Pugna commissa, Romanus prælio victor, multas urbes et multum agri Barbaris ademit. Mauricium reversum imperator honorifice excipit, et desponsa Constantina filia generum asciscit. Alteram Charitonem duci Germano in matrimonium dedit, et utrumque Cæsarem designavit. Cum autem tabe laboraret, lectica in Tribunalium perlatus, Mauricium imperatorem proclamari jussit, Joanne patriarcha præsente cum Patribus conscriptis, morbo ita confectus, ut orationem in concilio habere non posset: quare scripto suam sententiam proposuit. Reversus in regiam, naturæ debitum persolvit. Regnavit annos quatuor, menses decem, et dies octo.

XII. Mauricius, a patriarcha Joanne Jejunatore coronatus, rerum administrationem suscepit, natus annos tres et quadraginta. In contractibus scribebatur Mauricius qui et Tiberius. Chaganus autem, Sirmio potitus, postulavit, ut LXXX millibus annui tributi adhuc viginti millia adderentur: quod additamentum Mauricios imperator, pacis **74** conservandæ studio non detrectavit. Postea etiam elephantem petenti, quod ejusmodi belluam nunquam vidisset, maximum eorum quos habebat misit. Verum homo insatiabilis, aut rumpendæ pacis causas quæritans, centenis illis alia vicena millia postulavit adjici. Quod cum imperator recusaret, ille bello Romanis illato multas urbes

εκόσμησεν. Εὐτυχίου δὲ τοῦ πατριάρχου ἐπὶ τέσσαρας ἐνιαυτοὺς τὸ δεύτερον τὸν θρόνον τῆς Βυζαντίδος κοσμήσαντος καὶ ἐκλελοιπότος (33), χειροτονεῖται πατριάρχης διάκονος τῆς Μεγάλης Ἐκκλησίας Ἰωάννης ὁ Νηστευτὴς (34), ἀνὴρ ἱερώτατος. Τοὺς δ' εἰς τὴν βασιλίδα τῶν πόλεων ἀχθέντας δορυαλώτους Πέρσας ἅπαντας μεταμφιάσας ὁ βασιλεὺς μεγαλοπρεπῶς, εἰς τὰ οἰκεῖα ἀφῆκεν ἐπανελθεῖν· οὓς ἀνελπίστως οἱ προσήκοντες θεασάμενοι, ὑπερεθαύμασαν, καὶ δι' ἐπαίνων τὸν βασιλέα πεποίηντο. Ἐπὶ τούτου τοῦ βασιλέως ὁ Χαγάνος ὁ τῶν Ἀβάρων (35) ἀρχηγὸς, ἠτήσατο σταλῆναι αὐτῷ οἰκοδόμους, ἵνα αὐτῷ δομήσωνται λοετρόν. Σταλέντων δὲ, γέφυραν παρὰ τὸν Δάνουβιν ᾠκοδόμησε, βιασάμενος (36) πρὸς τοῦτο αὐτοὺς, ἵνα δι' αὐτῆς ἀπόνως περαιούμενος, τὴν ὑπὸ Ῥωμαίους λῃζηται. Ἐξ ἐθνικῶν δὲ πλῆθος ἐς χιλιάδας δώδεκα συνιστάμενον ἀθροίσας ὁ βασιλεὺς νέων (37) καὶ σφριγώντων ἀνδρῶν, ἐπὶ τῷ ἑαυτοῦ ὀνόματι (38) τούτους συνεκρότησε στράτευμα, καὶ στρατηγὸν αὐτοῖς ἐπιστήσας Μαυρίκιον (39) τὸν κόμητα τῶν φοιδεράτων, καὶ ὑποστράτηγον Ναρσῆν τὸν κουβικουλάριον ἐκπέπομφε κατὰ τῶν Περσῶν. Πολέμου δὲ συβραγέντος, τὸ Ῥωμαϊκὸν ὑπερτέρησε στράτευμα, καὶ πόλεις τῶν Βαρβάρων καὶ πολλὴν χώραν ἀφείλετο. Ὑποστρέψαντα δὲ τὸν Μαυρίκιον μετὰ τιμῆς ὁ βασιλεὺς ὑπεδέξατο, καὶ κηδεστὴν ἐπὶ τῇ θυγατρὶ Κωνσταντίνῃ αὐτὸν ἐποιήσατο. Τὴν δ' ἑτέραν τὴν Χαριτὼ τῷ ορατηγῷ συνέζευξε Γερμανῷ, καὶ ἄμφω δὲ τετίμηκε Καίσαρας. Νόσῳ δὲ φθινάδι περιπεσὼν, ἐν τῷ τριβουναλίῳ φοράδην ἐκκομισθεὶς, ἐκεῖ τὸν Μαυρίκιον ἀναῤῥηθῆναι βασιλέα πεποίηκε, παρόντος τοῦ πατριάρχου Ἰωάννου, καὶ τῆς συγκλήτου βουλῆς. Οὕτω δὲ ὑπὸ τῆς νόσου κατείργαστο, ὡς μὴ δὲ δύνασθαι τοῖς συνειλεγμένοις ὁμιλῆσαι, διὸ καὶ διὰ γραφῆς τούτοις τὸ ἑαυτοῦ παρέστησε βούλημα. Ὑποστρέψας δ' ἐκεῖθεν εἰς τὰ βασίλεια, τὴν ζωὴν ἐξεμέτρησε, βασιλεύσας ἔτη τρία, μῆνας δέκα, καὶ ἡμέρας ὀκτώ.

ΙΒ'. Μαυρίκιος δὲ τῆς τῶν κοινῶν διοικήσεως εἴχετο, στεφθεὶς ὑπὸ τοῦ πατριάρχου Ἰωάννου τοῦ Νηστευτοῦ. Ἦν δὲ, ὅτε τῆς αὐταρχίας ἐπέβη, ἐτῶν τεσσαράκοντα πρὸς τρισίν. Ἐγράφετο δὲ ἐν τοῖς συμβολαίοις, Μαυρίκιος ὁ καὶ Τιβέριος. Χαγάνος δὲ ὁ τῶν Ἀβάρων ἀρχηγὸς τὸ Σίρμιον χειρωσάμενος ἐξήτησε προστεθῆναι ταῖς ὀγδοήκοντα χιλιάσι ταῖς ἐτησίως αὐτῷ παρεχομέναις, καὶ ἑτέρας εἴκοσιν· καὶ ὁ βασιλεὺς εἰρηνεύειν ἐθέλων, τὴν προσθήκην ταύτην ἐποίησε. Ὁ δὲ καὶ ἐλέφαντα ἤτησε, μήπω τὸ ζῷον ἰδών, τὸν μείζονα τοίνυν ὧν εἶχεν ὁ βασιλεὺς αὐτῷ πέπομφεν. Ὁ δὲ Χαγάνος (40) ἀπληστευόμενος, ἢ προφάσεις τοῦ μὴ εἰρηνεύειν ζητῶν, ἑτέρας εἴκοσι χιλιάδας ταῖς ἑκατὸν προστεθῆναι ἀπῄτησε. Μὴ

Variæ lectiones et notæ.

(33) *Καὶ ἐκλελοιπότος.* Obiit S. Eutychius ea Dominica quam Græci δευτεροπρώτην, Latini, *in albis* vocant, 5 April. an. Ch. 582, Eustath. n. 96. Postridie illius memoriam agi observant Menæa.

(34) *Ἰωάννης ὁ Νηστευτής.* Cujus memoriam et synaxin agunt Græci 2 Septemb. et encomium descripsit Callistus Patr. Constantinopol. quod habetur in cod. Reg. 275. Hujus Canones pœnitentiales edidit Morinus in libris *De pœnitentia.* Praxin vero ab eo Græcis præscriptam in confessione peragenda, Leo Allatius, lib. III *De utriusque Eccl. consensione*, cap. 17, n. 10.

(35) *Ὁ τῶν Ἀβάρων.* Joan. Biclariensis an. 1 Tiber.

(36) *Βιασάμενος.* Codd. mss. βιασάμενος τοὺς τεχνίτας πρὸς τὴν ταύτης οἰκοδομὴν, ἵνα ἐξ αὐτῆς εὐμερῶς παραιούμενος, etc.

(37) *Νέων.* Codd. mss. νέων σφιγγόντων ἐπὶ τῷ ἑαυτοῦ ὀνόματι.

(38) *Ἐπὶ τοῦ ἑαυτοῦ ὀνόματι.* Theophan. an. 4 Tiberii.

(39) *Μαυρίκιον.* Joan. Biclariensis an. 2, 3 et 4 Tiberii.

(40) *Χαγάνος.* Varias Chagani Avarum in imperii provincias excursiones subinde memorat Theophylactus Simocatta in *Hist. Mauriciana*, et ex eo alii; sed nullus, ni fallor, meminit Thessalonicæ ab eo obsessæ, et S. Demetrii ope ab ea obsidione liberatæ, de qua laudatur a Leone Allatio in Diatriba de Symeonibus, narratio scripta ab auctore qui ipso Mauritio imperante vixit, et prorsus in obsidione scripsit.

καταδεξαμένου δὲ καὶ ταύτην τὴν προσθήκην τοῦ βασιλέως, ἐστράτευσε κατὰ Ῥωμαίων ἐκεῖνος καὶ πόλεις πολλὰς τοῦ Ἰλλυρικοῦ ἐχειρώσατο· ἠπείλει τε καὶ τὸ Μακρὸν καταστρέψαι Τεῖχος. Στείλας οὖν πρέσβεις πρὸς τὸν βάρβαρον ὁ Μαυρίκιος σπονδὰς ἔθετο. Ὁ μέντοι Χαγάνος, ἄπληστός τε καὶ ἄπιστος ὤν, δόλῳ κατὰ Ῥωμαίων ἐγίνετο, αὐτὸς μὲν ἡσυχάζων, ἔθνη δέ τινα τῶν Σκλαβηνῶν παρασκευάσας τὴν ὑπὸ Ῥωμαίους ληΐζεσθαι, οἳ καὶ μέχρι τοῦ Μακροῦ Τείχους πεφθάκασιν. Ὁ Βασιλεὺς δὲ Κομεντίολον στρατηγὸν προβαλλόμενος, καὶ δι' αὐτοῦ τοῖς Βαρβάροις ἀθρόον ἐπεξελθών, τῶν Ῥωμαϊκῶν αὐτοὺς ὁρίων ἀπήλασεν, ἀναιρεθέντων πολλῶν, καὶ τὴν λείαν ὅσην ἔλαβον, καὶ τοὺς αἰχμαλώτους ἐπανεσώσατο. Φιλιππικῷ δὲ τὴν ἰδίαν συζεύξας ἀδελφὴν, κατὰ Περσῶν αὐτὸν σὺν βαρεῖ στρατεύματι ἐξαπέστειλεν. Ὁ δὲ ἄγχιστα τῇ Νισίβει γενόμενος, κἀκεῖθεν ἐμβαλὼν τῇ Περσίδι, ἥλασεν ἐκεῖθεν λείαν πολλὴν, καὶ ἐπανιὼν, τῇ τῶν Μήδων χώρᾳ προσέβαλε, καὶ ταύτης οὐ μείω τινὰ ληΐσάμενος ἐπανῆλθεν εἰς τὰ Ῥωμαίων. Καὶ αὖθις δὲ τοῖς Περσικοῖς ἐπελθὼν χωρίοις, ὁμοίως εὐτύχησε. Νοσήσας μέντοι εἰς Μαρτυρόπολιν (41) παραγίνεται, κἀκεῖθεν ἐπανῆλθεν εἰς τὸ Βυζάντιον. Ἐτέχθη δὲ τῷ Μαυρικίῳ υἱὸς ὃν ὠνόμασε Θεοδόσιον. Φιλιππικὸς δὲ καὶ πάλιν κατὰ Περσῶν ἐξεστράτευσε, καὶ τὸ περὶ αὐτὸν στρατιωτικὸν ἠρώτησεν, εἰ πρόθυμοι τοῖς Πέρσαις εἶεν μαχέσασθαι; Οἱ δὲ καὶ ὅρκοις τὸ πρόθυμον αὐτῶν ἐβεβαίουν. Ὡς οὖν συνέβαλον τοῖς ἐναντίοις, μέχρι μέν τινος ἀντεῖχον οἱ Βάρβαροι. Ἐπεὶ δὲ τοὺς ἵππους πλήττειν αὐτῶν ὁ στρατηγὸς τοῖς οἰκείοις παρεκελεύσατο, καὶ πολλοὶ τῶν ἵππων πληττόμενοι ἔπιπτον, ἐτράπη τὸ Περσικὸν, καὶ τὸ μὲν ἥττητο κραταιῶς, καὶ πολὺ τούτου μέρος διέφθαρτο· οἱ δὲ Ῥωμαῖοι λαμπρῶς νενικήκασι, καὶ ζῶντας τῶν πολεμίων περὶ δισχιλίους συνέλαβον. Ὁρμίσδας δὲ ὁ τῶν Περσῶν ἀρχηγὸς, Βαρὰμ προχειρισάμενος στρατηγὸν, συμβαλεῖν Ῥωμαίοις ἐκέλευσεν. Ὁ δὲ συμβαλὼν ἥττᾶται· ὃ γνοὺς Ὁρμίσδας γυναικείαν ἐσθῆτα (42) στέλλει αὐτῷ, καὶ τὴν στρατηγίαν ἀφείλετο, καὶ τῷ ὑποστρατήγῳ αὐτοῦ διὰ γραφῆς ἐνετείλατο τὸν Βαρὰμ ἀνελεῖν. Ὁ δὲ οἷον κακοῦ γέγονεν ἐννοήσας, γράμματα ὡς ἐξ Ὁρμίσδου αὐτῷ σταλέντα ἐπλάσατο, ὀργὴν ἐμφαίνοντα κατὰ παντὸς τοῦ στρατεύματος, καὶ συναθροίσας αὐτὸ, τά τε γράμματα εἰς ἐπήκοον ἀναγνωσθῆναι πεποίηκε, καὶ αὐτὸς ἀνεμίμνησκε τῆς ἀπηνείας Ὁρμίσδου καὶ τῆς ὠμότητος, καὶ διὰ τούτων ἀντᾶραι χεῖρας ἠρέθισε κατὰ τοῦ σφῶν ἀρχηγοῦ. Ἐπελθόντες (43) οὖν ἀθρόον αὐτῷ, κατέσχον, καὶ ἐνέβαλον εἰς εἱρκτήν. Ὁ δὲ ὑποθέσθαι αὐτοῖς περὶ τῆς τῶν Περσῶν ἀρχῆς ἠξίου, ἅττα τῷ ἔθνει γιγώσκει συμφέροντα, καὶ συνεβούλευε μὴ τὸν Χοσρόην υἱὸν αὐτοῦ ὄντα προχριθῆναι εἰς τὴν ἀρχὴν, ἄπληστον

A Illyrici subegit, minatus eo Longum Murum etiam eversurum. Itaque Mauricius, missis ad Barbarum legatis, pacem cum eo facit. Sed Chaganus, ut insatiabilis et perfidus, dolo Romanos aggressus, ipse quievit: Sclavorum vero gentes quasdam ad populandas provincias concitavit, quæ usque ad Longum Murum sunt progressæ. Quapropter imperator, Commentiolo duce creato, Barbaros improviso adventu Romanis finibus expulit, multis cæsis, et præda omni captivisque receptis. Philippicum sororo desponsa cum manu validissima contra Persas misit, qui cum proxime Nisibim pervenisset, atque inde in Persiam irrupisset, multa præda abacta, in reditu impressionem in Mediam fecit, et ibi quoque præda non minore B parta, in Romanas provincias rediit: inde iterum Persicos fines ingressus, rem æque prospere gessit. Sed propter morbum Martyropolim, atque inde Byzantium rediit. Mauricio natus est filius quem Theodosium nominavit. Philippicus denuo Persas oppugnaturus, milites suos percontatur an alacres essent ad pugnandum cum Persis? iis vero etiam jurejurando alacritatem suam testatis, hostes aggreditur: qui etsi ad tempus restiterunt, tamen cum dux equos illorum cædi jussisset, et multi equi vulnerati cecidissent, Persæ fugam ceperunt, potenter victi, magnaque clade accepta: Romani vero illustrem victoriam consecuti, hostium ad duo millia viva ceperunt. Hormisdas Persarum rex Baramum ducem congredi cum Romanis jussit. C Quem ut victum esse cognovit, abrogato illi imperio vestem muliebrem mittit, ac legato ejus per litteras mandat, ut eum occidat. Caterum Baramus quantis in malis esset reputans, litteras ab Hormisda ad se missas esse comminiscitur, quibus iracundiam suam adversus omnem exercitum declaret, easque militibus convocatis, palam omnibus recitari 75 jubet, ac Hormisdæ sævitia et immanitate commemorata, eos concitat ad bellum ei inferendum. Subito igitur eum aggressi, captum in carcerem conjecerunt. At ille professus, se consilium eis de Persarum imperio daturum, quod toti nationi sciat bono futurum, monet ne filium suum Chosroem regem creent, hominem inexplebilem, in- D justum, insolentem, atque intolerandi supercilii, sed alium e suis filiis. Sed ei sententiæ procerum nonnullis refragatis, populares contra eum concitati, filium cui regnum decreverat, et matrem illius, in conspectu ejus statim occiderunt: ipse oculis crutis, in carcerem compactus; Chosroes a tota gente rex electus. Is ad tempus patrem bene tractavit, et quanquam e custodia non eduxit, in ea tamen omnem ei cultum et obsequium præstitit. Qui cum nihil quod a filio proficisceretur, gratum ha-

Variæ lectiones et notæ.

(41) *Μαρτυρόπολιν*. Cujus urbis meminit præ cæteris Simocatta, lib. IV, cap. 15 et Theophanes an. 5 Mauricii.

(42) *Γυναικείαν ἐσθῆτα*. Simocatta, lib. III, cap. 8; Theophan. p. 222. Vide Notas ad Cinnamum, p. 431.

(43) *Ἐπελθόντες*. Simocatta, lib. IV, cap. 5, 4, 5, 6.

beret, imo contumelias pro beneficiis reponeret : fratus Choroes eum latera fustibus tundendo occidi jussit. Id facinus odium Persarum ei peperit. Suscepta contra Baramum expeditione, quosdam ex proceribus suis illi studere suspicatus occidit, ac militari seditione perterritus, cum paucis ad Romanos confugit. Eo Mauricius cognito, prætori provinciæ mandat, ut Chosroen regio cultu et honore suscipiat, et Narsetem cum legionibus auxilio mittit, ad regnum recuperandum. Is igitur cum Baramo congressus, illustri victoria potitur, Persarum multis occisis, et ad sex millia captis, quos Chosroes ad se adductos jaculis omnes confecit. Qui vero ex Barami fœderatis Turcicæ nationis erant, eos ad Mauricium misit, quorum multi cruces in frontibus gerebant, compunctis supercitiis in crucis modum, infusoque atramento. Cujus rei quæsita causa, responderunt, superiori tempore cum sua gens fame periclitaretur, se a Christiano quodam monitos hoc fecisse, nec ullum ex eis qui paruerit, fame periisse. Baramus superatus, fuga salutem quæsivit, Chosroes in suum regnum est reversus. Fertur autem cum ante victoriam dux Romanorum certam belli administrandi rationem secuturus esset, institisse Chosroes, ne id consilium exsequeretur, et alium instruendæ aciei modum proposuisse : quem cum **76** dux inutilem esse affirmaret, neque tamen Chosroes de sententia sua decederet, etiam salibus incessit regem, ut rei militaris et instruendæ aciei imperitum. Iis Chosroen irritatum, qui motus astrorum peritus esset, atque futurarum rerum præscientia gloriaretur, dixisse : *Nisi tempori serviendum esset, non auderes, dux, magnum regem salibus incessere. Quia vero successibus præsentibus insolescis, audito, quid in futurum dii constituerint. Scito res adversas ad vos Romanos esse redituras, et gentem Babylonicam triplici annorum septenario circuitu Romanam ditionem obtenturam. Post illud autem, vos Romani, quintum septenarium annorum Persas servitute premetis. Iis peractis dies sine vespere hominibus illucescet.* Hæc ille. Mauricius autem filium Theodosium imperatorem appellat, eumque patriarcha Joannes in Paschate coronat. Ædem Quadraginta Martyrum, inchoatam pridem a Tiberio, necdum perfectam, absolvit. Pace cum Persis facta, legiones ex Oriente in Thraciam revocavit, et ipse Byzantina terra egressus, loca a Barbaris eversa contemplari voluit. Quo tempore et sol defecit, et mulier quædam in Thracia puerum peperit, sine oculis, sine palpebris, sine manibus et brachiis, cauda piscina usque ad coxendices sursum porrecta. Verum Chagano cum infinita

ὄντα καὶ ἄδικον, ὑβριστὴν τε καὶ ἀλαζονικώτατον, ἀλλ' ἕτερον υἱὸν αὐτοῦ προχειρισθῆναι τοῦ ἔθνους ἄρξειν. Ἀντιπεσόντων δὲ τοῖς λόγοις τούτου ἐνίων τῶν ἐν ὑπεροχαῖς, καὶ κατ αὐτοῦ τοὺς Πέρσας ἐκμηνάντων, ὁ μὲν υἱὸς αὐτοῦ, ὃν εἰς τὴν ἀρχὴν ἐκεῖνος προέκρινε, καὶ ἡ μήτηρ ἐκείνου ἐνώπιον αὐτοῦ εὐθὺς ἀνῃρέθησαν παρὰ τοῦ πλήθους, καὶ αὐτὸς δὲ ἐξεκόπη τὰ ὄμματα, καὶ οὕτω καθείρχθη. Ὁ δέ γε Χοσρόης (44) εἰς τὴν ἀρχὴν ᾑρέθη παρὰ τοῦ ἔθνους παντός. Καὶ μέχρι μέν τινος πρὸς τὸν πατέρα φιλοφρόνως διέκειτο, τῆς μὲν φρουρᾶς οὐ λύσας αὐτὸν, πᾶσαν δὲ θεραπείαν αὐτοῦ ἐκεῖσε μενος. Ὁ δὲ οὐδὲν τῶν παρὰ τοῦ υἱοῦ αὐτῷ στελλομένων προσίετο, ἀλλὰ καὶ ὄβρεσι μᾶλλον τὰς φιλοφροσύνας ἠμείβετο. Θυμῷ γοῦν δὴ ταῦτα ληφθεὶς ὁ Χοσρόης, ῥοπάλοις ἐκέλευσε κατὰ τῶν λαγόνων τυπτόμενον τὸν πατέρα θανεῖν. Τοῦτο μῖσος ἐγγενέσθαι τοῖς Πέρσαις κατὰ τοῦ Χοσρόου ἐποίησε. Ὁ δὲ κατὰ Βαρὰμ (45) ἐξεστράτευσε, καὶ τινὰς τῶν παρ' αὐτῷ μεγιστάνων τῷ Βαράμ προσκεῖσθαι ὑποπτεύσας, ἀνεῖλεν αὐτούς. Τοῦ δὲ στρατεύματος κατ' αὐτοῦ στασιάσαντος, δείσας ἐκεῖνος, μετά τινων ὀλίγων ἀποδιδράσκει (46), καὶ πρὸς Ῥωμαίους ἀφίκετο. Ὁ μαθὼν ὁ Μαυρίκιος, κελεύει τῷ στρατηγοῦντι τῆς χώρας, ὑποδέξασθαι τὸν Χοσρόην βασιλικαῖς θεραπείαις καὶ δεξιώσεσι. Στέλλει δὲ Ναρσῆν μετὰ στρατευμάτων συμμαχῆσαι Χοσρόῃ, καὶ ἀποκαταστῆσαι αὐτὸν εἰς τὴν οἰκείαν ἀρχήν. Συμβαλὼν τοίνυν ὁ Ναρσῆς τῷ Βαράμ, νίκην ἤρατο περιφανῆ, πολλοὺς μὲν τῶν Περσῶν ἀνελὼν, ζωγρήσας δὲ περὶ ἑξακισχιλίους, οὓς τῷ Χοσρόῃ προσήγαγεν· ὁ δὲ κατηκόντισεν ἅπαντας. Ὅσοι δὲ ἐν τοῖς ζωγρηθεῖσιν ἦσαν τοῦ Τούρκων (47) γένους τῷ Βαράμ συμμαχοῦντες, τούτους ἀνέπεμψεν εἰς Μαυρίκιον, ὧν πολλοὶ ἐπὶ τῶν μετώπων σταυροὺς ἔφερον, κατασταχθέντων αὐτοῖς τῶν ἐπισχυνίων, καὶ μέλανος ἐγχυθέντος τοῖς στίγμασιν εἰς τύπον σταυροῦ. Οἱ περὶ τούτου ἐρωτώμενοι, ἔλεγον πρὸ καιροῦ ἱκανοῦ λιμῷ τὸ γένος αὐτῶν διαφθείρεσθαι, τινὰς δὲ τῶν παρ' αὐτοῖς Χριστιανῶν ὑποθέσθαι τοῦτο αὐτοῖς, καὶ μηδένα τῶν τοῦτο πεποιηκότων κινδυνεῦσαι ἐκ τοῦ λιμοῦ. Ὁ μὲν οὖν Βαράμ ἡττηθεὶς φυγῇ τὴν σωτηρίαν ἐπραγματεύσατο. Ὁ δὲ Χοσρόης εἰς τὴν ἰδίαν ἀρχὴν καὶ χώραν ἐπανελήλυθε. Λέγεται δὲ (48) πρὸ τῆς νίκης, τοῦ στρατηγοῦ τῶν Ῥωμαίων ἄλλως διατιθέναι σκεπτομένου τὸν πόλεμον, τὸν Χοσρόην ἐνίστασθαι μὴ κατὰ τὸ δοκοῦν ἐκείνῳ συγκροτῆσαι τὴν μάχην, ἀλλ' ἄλλων ὑποτίθεναι τρόπον· τὸν δὲ στρατηγὸν ἀσύμφορον εἶναι λέγειν, τὸ οὕτω μαχέσασθαι, καὶ τὸν Χοσρόην τοῦ σκοποῦ μὴ μεθίεσθαι, ὥστε παροξυνθέντα τὸν στρατηγὸν, ἀποσχῶψαι πρὸς τὸν Χοσρόην, ἀστρατήγητον αὐ-

Variæ lectiones et notæ.

(44) *Χοσρόης*. Idem Simocatta, lib. IV, cap. 7. Theophan. an. 7 Mauricii.

(45) *Κατὰ Βάραμ*. Simocatta, lib. IV, cap. 9 et seq.

(46) *Ἀποδιδράσκει*. Simocatta, lib. IV, cap. 10; *Chronic. Alexandr.* an. 9 Mauricii.

(47) *Τούρκων*. Simoc. lib. V, cap. 10, Theophan. an. 7 Mauricii.

(48) *Λέγεται δέ*. Simoc. lib. V, cap. 15.

τὸν εἰπόντα καὶ ἀδαῆ πολεμικῶν παρατάξεων. Τὸν δὲ δηχθέντα ἐπὶ τοῖς σκώμμασιν, ὄντα δὲ καὶ ἐν γνώσει τῆς κατὰ τοὺς ἀστέρας κινήσεως, πάντεῦθεν αὐχοῦντα γινώσκειν τὰ μέλλοντα, φάναι, *Εἰ μὴ ὑπὸ τῶν πραγμάτων ἐτυραννούμεθα, οὐκ ἂν ἐθάρρησας, στρατηγέ, τὸν μέγαν βασιλέα* (49) *βάλλειν τοῖς σκώμμασιν. Ὅτι δὲ τοῖς παροῦσι μέγα φρονεῖς, ἄκουσον τί δῆτα τοῖς θεοῖς ἐσόπτερον μεμελέτηται. Ἀντικαταῤῥεύσει, εὖ ἴσθι, εἰς τοὺς Ῥωμαίους ὑμᾶς τὰ δεινά. Ἕξεται δὲ τὸ Βαβυλώνιον φῦλον τῆς Ῥωμαϊκῆς χώρας τριτὴν κυκλοφορικὴν ἑβδομάδα ἐτῶν. Μετὰ δὲ τοῦτο, πεμπταίαν ἑβδομάδα ἐτῶν, Ῥωμαῖοι Πέρσας δουλαγωγήσετε. Τούτων δὲ διηνυσμένων, ἡ ἀνέσπερος ἀνθρώποις ἐνδημήσει ἡμέρα, ἀλλὰ ταῦτα μὲν ταύτῃ.* Ὁ δὲ αὐτοκράτωρ Μαυρίκιος τὸν υἱὸν Θεοδόσιον ἀνηγόρευσε βασιλέα, κατὰ τὸ Πάσχα στεφθέντα ὑπὸ τοῦ πατριάρχου Ἰωάννου. Καὶ τὸν ναὸν τῶν ἁγίων Τεσσαράκοντα Μαρτύρων πρώην ἀρχθέντα κτίζεσθαι παρὰ Τιβερίου, ἀτελῆ δὲ καταλειφθέντα αὐτὸς ἀνεπλήρωσεν. Εἰρήνης δὲ γεγονυίας πρὸς Πέρσας, τὰς δυνάμεις ἐξ Ἑῴας ἐπὶ τὴν Θρᾴκην μετήνεγκε, καὶ αὐτὸς ἐξῆλθε τῆς Βυζαντίδος, τὰ ὑπὸ τῶν Βαρβάρων κατεστραμμένα θεάσασθαι. Ὅτε καὶ ὁ ἥλιος ἐσκιάσθη (50) καὶ γυνή τις (51) ἐν Θρᾴκῃ παιδίον ἔτεκεν, οὔτε ὀφθαλμοὺς οὔτε βλέφαρα ἔχον οὔτε χεῖρας οὔτε βραχίονας, ἰχθύος δὲ οὐραῖον πρὸς τὸ ἰσχίον ἄνω προβεβλημένον. Τοῦ μέντοι Χαγάνου τῇ Θρᾴκῃ ἐπελθόντος μετὰ πλήθους ἀπείρου, ὁ τῶν Ῥωμαίων στρατηγὸς Πρίσκος δείσας εἰς τὸ φρούριον Τζουρουλοῦ συνέκλεισεν ἑαυτόν. Ὁ δὲ Βάρβαρος πολιορκεῖν αὐτὸ ἡτοιμάζετο. Τότε κατεστρατήγησεν ἐκεῖνον Μαυρίκιος τρόπῳ τοιούτῳ· γράμματα πρὸς Πρίσκον (52) συντίθησιν, ἀντέχειν αὐτὸν παραινῶν· μικρὸν γὰρ ὅσον τοὺς Βαρβάρους μετ' αἰσχύνης ἀναχωρῆσαι. Στέλλεσθαι γὰρ τριήρεις εἰς τὴν χώραν αὐτῶν, σὺν στρατεύματι λῃσασθαι τὰς οἰκίας αὐτῶν, καὶ τὰς γυναῖκας, καὶ τοὺς παῖδας αὐτῶν ὀρφανιστὰς ἐλεῖν. Τοῦτο τὸ γράμμα δίδωσί τινι, ἐπισχήψας αὐτῷ περιπεσεῖν τοῖς Βαρβάροις ἐν τῷ πρὸς Πρίσκον δῆθεν πορεύεσθαι. Οὗ γενομένου, τὴν ἐπιστολὴν ὁ Βάρβαρος ἀναγνοὺς, καὶ δείσας περὶ τῶν οἰκείων, σπένδεται (53) πρὸς Πρίσκον ἐπὶ δώροις ὀλίγοις, καὶ ἄπεισιν. Ἔκτισε δὲ Φιλιππικὸς ἐν Χρυσοπόλει μονὴν (54) ἐπ' ὀνόματι τῆς Θεοτόκου, καὶ οἶκον ἐν ταύτῃ λαμπρότατον, ἵν' ἐν αὐτῷ τὸν Μαυρίκιον ὑποδέχοιτο.

A multitudine Thraciam ingresso, Romanorum dux territus in castello quodam Tzuruli se conclusit. Mauricius autem Barbarum obsidionem parantem tali solertia circumvenit. Litteras ad Priscum scribit, monens, ut obsidionem toleret. Nam Barbarum intra exiguum tempus cum ignominia recessurum : missis enim in regionem ejus triremibus, domibus eorum direptis, uxores et liberos captivos abduci. Eas litteras cuidam tradit, ac mandat, ut in itinere ad Priscum, de industria se Barbaris offerat : quo facto, cum Chaganus lectis litteris, suis timeret, pacem cum Prisco facit, paucisque muneribus acceptis, domum redit. Philippicus monasterium nomine Deiparæ Chrysopoli condidit, atque ædes splendidissimas, quibus Mauricium exciperet.

ΙΓ'. Ὁ δέ γε Κωνσταντινουπόλεως Ἰωάννης ὁ Νηστευτής, καὶ πατριάρχης, τὸν βίον λιπὼν, πρὸς τὰς ἀϊδίους μετέστη μονὰς, κοσμήσας τὸν ἀρχιερατικὸν θρόνον ἐπὶ ἔτη τριακαίδεκα, καὶ ἐπέκεινα. Προεχειρίσθη γοῦν πατριάρχης Κυριακὸς (55), ἱερεὺς καὶ οἰκονόμος τῆς Μεγάλης Ἐκκλησίας. Ὑφ' οὗ ὁ τῆς ὑπεραγίας Θεοτόκου ναὸς ὃς τῆς Διακονίσσης λέγεται, ᾠκοδόμηται. Καὶ Πέτρος ὁ τοῦ Μαυρικίου ὁμαίμων τὸν ναὸν, ὃς τοῦ Ἀρεοβίνδου καλεῖται, τῇ Θεοτόκῳ ἀνήγειρε. Σοφία δὲ ἡ βασιλὶς, καὶ ἡ Αὐγούστα Κωνσταντῖνα στέμμα προσήνεγκε τῷ βασιλεῖ, λίθοις ὑπερτίμοις καὶ μαργάροις ὑπερφυέσι κεκοσμημένον (56). Ὁ δὲ τοῦτο λαβὼν ἀνέθετο τῷ Θεῷ, τῇ ἐκκλησίᾳ προσαγαγών. Ὁ Χαγάνος μέντοι καὶ αὖθις πρὸς τὰ Ῥωμαίων ἐχώρησε. Καὶ τούτῳ τῶν Ῥωμαϊκῶν στρατευμάτων

XIII. Interea Joannes Jejunator, patriarcha Constantinopolitanus, vita relicta in æternas mansiones discessit, cum sedem pontificiam **77** ultra xiii annos ornasset. Ei successit Cyriacus presbyter et œconomus Magnæ Ecclesiæ, a quo sacrosanctæ Deiparæ ædes, quæ Diaconissæ dicitur, exstructa est. Petrus item Mauricii frater ædem Areobindi Deiparæ condidit. Sophia vero imperatrix et Augusta Constantina coronam imperatori gemmis pretiosissimis et margaritis insignibus ornatam, obtulerunt : eam ille in ecclesiam perlatam Deo consecravit. Chaganus Romanas provincias rursus aggressus, missas contra se legiones, alias vincebat, alias vincebatur. Ejus filii septem, uno die partim febri, partim peste sunt mortui. Imperator, misso Commentiolo cum numerosissimo exercitu man-

Variæ lectiones et notæ.

(49) *Τὸν μέγαν βασιλέα.* Eo quippe titulo donati Persarum reges. Vide Dissert. xxvii ad Joinvillam.

(50) *Ἥλιος ἐσκιάσθη.* An. Mauricii 9. Simoc. lib. v, c. 16.

(51) *Γυνή τις.* Theophan. an. 13 Maur.

(52) *Γράμματα πρὸς Πρίσκον.* Simoc. lib. vi, cap. 5.

(53) *Σπένδεται.* Huc spectant ista Joannis Tzetzæ chil. 3, cap. 72.

Ὁ δ' ἰατρὸς Θεόδωρος στειλὰς ἐκ Μαυρικίου,
Εἰπὼν τὴν τῆς Σεσώστριδος ἣν ἔφην ἱστορίαν,
Καὶ δι' αὐτῆς τὸ ἄδηλον καὶ τὸ τρεπτὸν τῆς τύχης,
Πανσόφως αἰνιξάμενος, καὶ τοῦτον καταπείσας,
Καὶ πρὸς φιλίαν καὶ σπονδὰς εὐθέως μετατρέψας.

(54) *Ἐν Χρυσοπόλει μονήν.* Theophan. an. 12 Mauric.

(55) *Κυριακός.* Chron. Alexandr. an. 12 Mauricii.

(56) *Κεκοσμημένον.* Codd. mss. Καὶ οἱ αὐτὸν προσήγαγον.

dasse fertur, ut legiones, quibus ob seditiones quasdam et tumultus infensus erat, proderet hostibus. Itaque temere cum Barbaris congressus Commentiolus, ipse cum suis fugam, cui se ante pararat, capessit : cæteris partim cæsis, partim captis, ad numerum duodecim millium. Ea victoria Chaganus elatus, usque ad Longum Murum processit. Verum imperator, delectu habito, milites ad ejus defensionem misit. Neque vero Chagani duntaxat filii peste, ut dictum est, obierunt, sed et Barbarorum ingens multitudo. Qua de causa Barbarus animo æger domum properans, Mauricio significat, si captivos redimere velit, ut in singulos nummum unum pendat. Recusante Mauricio, medium nummum postulat. Cum vero ille nec tanti milites redimere vellet, partim ex tenacitate (sordidus enim erat), partim militum odio, Barbarus furore correptus, iis omnibus obtruncatis, domum rediit. Hinc omnium odia in imperatorem nata, ut nec a conviciis temperarent. Exercitus vero Commentiolum proditionis reum fecit, atque ex accusatoribus miles quidam Phocas, adeo impudenter cum imperatore disseruit, ut ea de causa a quibusdam vapularet. Verum Mauricius, repudiata Commentioli delatione, accusatores infecta re dimisit. Postea cum supplicaret, seditione populi coorta, etiam lapides a nonnullis contra eum jacti, quorum aliquot indagatos supplicio affecit. Theodosio filio Germani patricii filiam despondit, nuptiarum cæremonias patriarcha Cyriaco peragente. Cæterum monachus quidam strictum **78** gladium tenens, a foro usque ad Chalcen progressus, Mauricium brevi periturum esse gladio exclamavit. Mauricius igitur injuriam captivorum reputans, Deum oravit, ut in hac vita pœnas de se sumat, et quoquoversum misit, petens ab omnibus ut id a Deo precibus impetrarent. Cum autem fama teneret, successurum ei cujus nomen a Φ inciperet, Philippicum generum eum esse credens, hominem suspectum habere cœpit : ac illi ne dejeranti quidem nihil tale sibi unquam in mentem venisse fidem habuit prius, quam hujusmodi somnium vidisset. Putabat magnam turbam insistere effigiei Servatoris nostri, quæ supra Æream portam est, et contra imperatorem vociferari, audirique vocem ex imagine, quæ Mauricium adesse juberet, eumque statim adductum interrogari, utro in loco facinoris in captivos admissi pœnas dare mallet, in hac vita, an in

A ἀντιταττομένων, ποτὲ μὲν ἐκράτει, ἐνίοτε δ' ἥττητο. Ἐν μιᾷ δὲ ἡμέρᾳ (57) υἱοὶ αὐτοῦ ἑπτὰ ἐκ νόσου λοιμικῆς καὶ πυρετοῦ ἐτελεύτησαν. Κομεντίολον δὲ στείλας ὁ βασιλεὺς κατὰ τοῦ Χαγάνου μετὰ πολυπληθοῦς στρατιᾶς, λέγεται ἐντείλασθαι αὐτῷ προδοῦναι τοῖς ἐναντίοις τὸ στρατιωτικὸν διά τινας στάσεις καὶ ἀταξίας, τούτοις μνησικακῶν. Καὶ συμβαλὼν τοῖς Βαρβάροις ἀσυντάκτως ὁ Κομεντίολος, αὐτὸς μὲν μετὰ τῶν περὶ αὐτὸν, εἰς φυγὴν ἐτράπη, πρὸς τοῦτο προπαρασκευασάμενος. Τῶν δὲ λοιπῶν οἱ μὲν ἔπεσον, οἱ δὲ ἐζωγρήθησαν. Εἶναι δὲ τοὺς ζωγρηθέντας φασὶ περὶ δώδεκα χιλιάδας. Καὶ ὁ Χαγάνος (58) τῇ νίκῃ ταύτῃ ἐξογκωθεὶς, ἄχρι τοῦ Μακροῦ Τείχους ἀφίκετο. Συλλέξας δὲ ὁ βασιλεὺς λαὸν, εἰς φυλακὴν τοῦ τείχους τούτους ἐκπέμφεν.

B Ἐκ δὲ τῆς λοιμικῆς νόσου οὐ μόνον οἱ τοῦ Χαγάνου υἱοὶ, ὡς εἴρηται, ἔθανον, ἀλλὰ καὶ πλῆθος τῶν Ἀβάρων πολύ· ὅθεν ἀθυμήσας ὁ Βάρβαρος ἔσπευσεν εἰς τὰ οἰκεῖα ἐπαναζεῦξαι. Δηλοῖ (59) γοῦν τῷ Μαυρικίῳ (60) ἐξωνήσασθαι τοὺς αἰχμαλώτους, ἓν ἐφ' ἑκάστῳ διδόντι νόμισμα. Ὁ δὲ βασιλεὺς οὐ κατένευσε. Καὶ ὁ Χαγάνος ἤτησε λαβεῖν εἰς ἕκαστον τῶν αἰχμαλώτων ἀνὰ ἥμισυ τοῦ νομίσματος. Ὁ δὲ οὐδὲ τοσούτου τοὺς ἁλόντας ἠθέλησε πρίασθαι, τὸ μέντοι ἐκ φειδωλίας (ἥττητο γὰρ χρημάτων), τὸ δέ τοι τοῖς στρατιώταις μνησικακῶν. Ἐκμανεὶς οὖν ὁ Βάρβαρος πάντας ξίφεσιν ἐξεθέρισε (61), καὶ ἀνέζευξεν. Ἐντεῦθεν πᾶσι μῖσος κατὰ τοῦ βασιλέως ἐφύετο, καὶ πρὸς πάντων ἐλοι-

C δορεῖτο. Ὁ δὲ στρατὸς κατὰ Κομαντιόλου ἀναφορὰν ἐποιήσατο, ὡς προδόντος ἐν τῷ πολέμῳ τὸ στρατιωτικόν. Τοῖς δὲ τὴν ἀναφορὰν ταύτην ποιουμένοις συνῆν καὶ ὁ στρατιώτης Φωκᾶς, καὶ ἀναιδῶς τῷ βασιλεῖ διελέγετο, ὡς διὰ τοῦτο καὶ τυπτηθῆναι παρά τινων. Ὁ δὲ βασιλεὺς μὴ προσχὼν τοῖς κατὰ Κομεντιόλου αἰτιάμασιν, ἀπράκτους τοὺς αὐτὸν αἰτιωμένους ἀπέπεμψεν. Αἰτανεύοντος οὖν τοῦ βασιλέως, στάσις ἠγέρθη παρὰ τοῦ δήμου, καὶ λίθοι κατ' αὐτοῦ παρά τινων ἠκοντίσθησαν· ὧν ζήτησιν ὁ βασιλεὺς ποιησάμενος, καί τινας εὑρηκὼς, ἐκόλασε. Τῷ γε μὴν υἱῷ αὐτοῦ Θεοδοσίῳ κατηγγύησε τὴν θυγατέρα Γερμανοῦ Πατρικίου, τοῦ πατριάρχου Κυριακοῦ τὴν ἐπὶ τῷ γάμῳ πληρώσαντος τελετήν. Μοναχὸς δέ τις (62) ξίφος κατέχων

D γυμνὸν, ἀπὸ τοῦ φόρου μέχρι τῆς Χαλκῆς προσελήλυθεν, ἐν φόνῳ μαχαίρας λέγων τεθνήξεσθαι τὸν Μαυρίκιον. Ὁ δὲ βασιλεὺς τὸ ἐπὶ τοῖς αἰχμαλώτοις ἀνόμημα ἀναλογισάμενος, ἱκέτευε τῷ Θεῷ (63) ἐν

Variæ lectiones et notæ.

(57) *Ἐν μιᾷ δὲ ἡμέρᾳ.* Simocatta, l. VII, c. 15.

(58) *Καὶ ὁ Χαγάνος.* Ἐφ' ἑκάστῳ τῶν αἰχμαλώτων λαβεῖν ἤτει νομίσματος ἡμισύ.

(59) *Δηλοῖ γοῦν. Chronicon. Alexandr.* an. 1 Phocæ. Theophanes anno 18 Maur.

(60) *Τῷ Μαυρικίῳ.* Τοὺς αἰχμαλ. ἐκπρίασθαι ἓν ἐφ' ἑκάστῳ καταβάλλοντι νόμισμα.

(61) *Πάντας ξίφεσιν ἐξεθέρισε.* Hanc captivorum cædem ad an. 18 Mauricii referunt Theophanes et Cedrenus, de qua prorsus silet Theophylactus Simocatta. Chronicon ms. ab Adamo ad Leonem Philos. Καὶ μηδὲ τοῦτο καταδεξαμένου τοῦ βασιλέως, θυμωθεὶς ὁ βάρβαρος ἀπέκτεινε χιλιάδας ιβ', ἐν τῷ κάμπῳ τοῦ Τριβουναλίου, τῷ ὄντι πλησίον τοῦ Ἐδόμου. Sed an Avares ad urbem usque tum accesserint, vix est ut credam, cum ad Singidonem hæc ferme gesta scribantur.

(62) *Μοναχός τις.* Simocatta, l. VII, c. 12. Theophan. an. 19.

(63) *Ἱκέτευε τῷ Θεῷ.* Glycas seu Zonaras epist. 26 : Ἀλλὰ καὶ ὁ Βασιλεὺς Μαυρίκιος ἁμαρτίᾳ περιπεσὼν μείζονι τοῦ ἀφεθῆναι αὐτῷ, μυρισπιήθη γὰρ στρατὸν μαχαίρᾳ παρέδωκε βαρβαρικῇ, εὐχαῖς ἀνδρῶν ὁσίων ἐξέφυγε τὴν αἰωνίζουσαν κόλασιν.

τῇ παρούσῃ ζωῇ τὴν ὑπὲρ τούτου δίκην ἐκτίσαι, καὶ πανταχοῦ διεπέμψατο, ἀξιῶν πάντας τοῦτο αἰτεῖν τὸν Θεόν. Φήμης δὲ (64) κρατούσης ὅτι τοῦ μέλλοντος αὐτὸν διαδέξασθαι ἐκ τοῦ Φ στοιχείου τὸ ὄνομα ἄρχεται, τὸν γαμβρὸν αὐτοῦ Φιλιππικὸν ὥετο εἶναι τοῦτον. Καὶ ἦν αὐτῷ δι' ὑποψίας ὁ ἄνθρωπος, καὶ διομνύμενος μή ποτέ τι κατὰ νοῦν τοιοῦτον βαλέσθαι, οὐκ ἔπειθεν. Ὄναρ (65) δέ ποτε τῷ βασιλεῖ θεαθὲν τὴν κατὰ τοῦ Φιλιππικοῦ ἔλυσεν ὑποψίαν. Τὸ δὲ ὄναρ· ἐδόκει πλῆθος παρεστάναι πολὺ τῷ ἄνωθεν τῆς Χαλκῆς πύλης τοῦ Σωτῆρος Χριστοῦ ἐκτυπώματι, καὶ τοῦ βασιλέως καταβοᾶν, φωνὴν δ' ἐκ τῆς εἰκόνος γενέσθαι, παρεστάναι καὶ τὸν Μαυρίκιον, καὶ τὸν Φωκᾶν ἀχθῆναι, καὶ ἐρωτᾶσθαι ὅπη βούλεται τὴν ἔκτισιν ἀποδοῦναι τοῦ ἀνομήματος, οὗ εἰς τοὺς αἰχμαλώτους εἰργάσατο, ἐν τῷ νῦν αἰῶνι, ἢ ἐν τῷ μέλλοντι; Τὸν δὲ *Ἐνταῦθα, φάναι, φιλάνθρωπε Δεσπότα*· καὶ ἀκοῦσαι φωνῆς λεγούσης *Παράδοτε, γοῦν αὐτὸν παγγενῇ Φωκᾷ τῷ στρατιώτῃ*. Διυπνισθεὶς τοίνυν ἐκ τῆς ἀγωνίας ὁ βασιλεὺς, καὶ τὸν Φιλιππικὸν μεταπαλεσάμενος, πρῶτον μὲν συγγνώμην ᾔτει, ὡς μάτην ὑπονοῶν κατ' αὐτοῦ. Εἶτα ἤρετο εἰ ἐν τοῖς Ῥωμαίων τάγμασιν οἶδεν Φωκᾶν στρατιώτην; Ὁ δὲ εἰδέναι ἀνταπεκρίνατο, καὶ τοῦτον εἶναι τὸν πρὸ μικροῦ σταλέντα παρὰ τῆς στρατιᾶς, ὅς σοι καὶ ἰταμώτερον διελέγετο. Καὶ ὁ βασιλεὺς, οἷός ἐστιν ὁ ἀνὴρ τὴν ἡλικίαν, καὶ τὸ ἦθος προσήρετο· καὶ ὁ Φιλιππικὸς νέον εἶναι τὸν Φωκᾶν εἶπε, τὸν δὲ τρόπον θρασὺν καὶ δειλόν. Πρὸς δὲ τοῦτο ὁ βασιλεὺς ἀντεφθέγξατο· *Εἰ δειλὸς, καὶ φονεύς*· καὶ διηγήσατο τὸ ὄναρ αὐτῷ. Ἐφάνη δὲ τότε καὶ κομήτης ἀστὴρ, ὁ λεγόμενος Ξιφίας. Τῷ γοῦν ἀδελφῷ αὐτοῦ Πέτρῳ στρατηγοῦντι τότε ἐπιστέλλει ὁ βασιλεὺς, διαβάντα τὸν Ἴστρον μετὰ τῆς στρατιᾶς, ἐκεῖθεν αὐτῇ τὰ πρὸς τὴν χρείαν πορίζεσθαι. Ἦν δὲ τοῦτο διὰ φιλαργυρίαν οἰκονομούμενον, ἵνα ληῒζόμενον τὸ ὁπλιτικὸν ἀποτρέφοιτο, καὶ αὐτὸς κερδήσῃ τὸ στρατιωτικὸν σιτηρέσιον. Τοῦτο δὴ τὰσιν (66) τῇ στρατιᾷ ἐνεποίησε, καὶ αὐτίκα βασιλεὺς παρ' αὐτῶν ὁ Φωκᾶς ἀνηγόρευτο· ἐτύγχανε δ' ὢν ἑκατόνταρχος. Ὁ δὲ στρατηγὸς Πέτρος τοῦτο μαθὼν ἔφυγε, καὶ τῷ βασιλεῖ αὐτάγγελος τοῦ γεγονότος ἐγένετο. Ὁ δὲ, καὶ τῶν ἐν τῇ πόλει στασιαζόντων· ὑπεξῆλθε τῶν ἀνακτόρων, καὶ δρόμωνι ἐμβεβηκὼς μετὰ τῆς γυναικὸς καὶ τῶν τέκνων ἀπέδρα· τὸν δὲ υἱὸν αὐτοῦ Θεοδόσιον πρὸς Χοσρόην ἀπέστειλεν, ἵνα ἀπομνημονεύσας ἐκεῖνος τῶν ὑπὸ Μαυρικίου γενομένων αὐτῷ, κἀκεῖνος εἰς αὐτὸν τὰ ἴσα ἐνδείξηται. Ὡς δ' ἐγνώσθη τῷ πλήθει, ἡ τοῦ βασιλεύοντος ὑποχώρησις (67), καὶ τὴν στάσιν ἐπὶ μεῖζον ἦρε, καὶ τὸν Μαυρίκιον δυσφημεῖσθαι διὰ τῆς ἀγορᾶς παρεσκεύασεν.

A futura? Eum dixisse : *In hac, humane Domine*; et audisse vocem quæ diceret : *Tradite eum ergo cum omni familia Phocæ militi*. Expergefactus ab eo angore imperator, accersito Philippico, primum veniam petit inanis de eo suspicionis; deinde rogat, an inter Romanas legiones militem noverit Phocam nomine. Ille respondet, se nosse; atque eum esse, qui dudum insolentius cum ipso collocutus esset. Post hoc rogat imperator, qua sit ætate, quoque ingenio. Respondente Philippico, esse juvenem, et ingenio partim audaci, partim timido : *Si*, inquit, *timidus est, homicida est*, eique somnium narrat. Eo quoque tempore cometa apparuit, qui ab ensis specie Xiphias dicitur. Debinc fratri Petro exercitum ducenti scribit, ut, Istro cum copiis trajecto, inde commeatum peteret : id consilium ab avaritia est profectum, ut legionibus latrocinio se sustentantibus, militaria stipendia lucraretur. Ea res seditionem inter milites concitavit, qui statim Phocam centurionem imperatorem creaverunt. Quo cognito dux fuga arrepta, ipse quid accidisset imperatori nuntiat. Qui orto etiam in urbe tumultu, ex regia se subducit, et dromone cum uxore et liberis conscenso, aufugit, filium vero Theodosium ad Chosroem ablegat, ut commemorato suo in illum beneficio, par sibi gratia referatur. **79** Fuga imperatoris populo cognita, et seditio aucta est, et Mauricius per forum conviciis proscissus est.

ΙΔ'. Ἤδη δὲ τοῦ Φωκᾶ μὴ πόρρω τῆς Βυζαντίδος τυγχάνοντος, οἱ τοῦ δήμου τῶν Πρασίνων ἐξῆσαν εὐφημοῦντες αὐτὸν, ὃς σὺν αὐτοῖς ἐν τῷ Ἑβδόμῳ παρεγενόμενος, ἐκεῖ παρὰ τοῦ πατριάρχου ταινιοῦται τὴν κεφαλήν· καὶ εἰσελθὼν εἰς τὰ βασίλεια, καὶ τὴν γυναῖκα Λεοντίαν Αὐγούσταν εὐθὺς ἀνηγόρευσε, τῶν δήμων παρόντων. Τότε διὰ τόπους (68) ἐν οἷς ἵσταντο ἀμφιβολίας γενομένης τοῖς Πρασίνοις καὶ τοῖς Βενέτοις, στασιάζειν ἤρξαντο κατ' ἀλλήλων. Πέμψας δέ τινας ὁ Φωκᾶς, κατευνάζειν αὐτοῖς τὴν στάσιν ἐπεχείρει. Ἑνὸς οὖν τῶν σταλέντων τὸν τῶν

XIV. Cum Phocas jam prope ab urbe Byzantio abesset, qui ex factione Prasina erant, ad eum salutandum egrediuntur : qui cum eis Hebdomum ingressus, ibi a patriarcha diademate ornatur. Inde in regiam se contulit, et statim Leontiam uxorem Augustam salutat, præsentibus factionibus : ubi inter Prasinos et Venetos de stationibus ortam controversiam Phocas componere volens, satellites quosdam misit : quorum unus cum tribunum Venetorum per contumeliam pepulisset, populus id non ferens exclamat : *Abi, disce modeste*

Variæ lectiones et notæ.

(64) *Φήμης δέ*. Theophan. an. 20.
(65) *Ὄναρ*. Ibid.
(66) *Τοῦτο στάσιν*. Simocatta, l. VIII, c. 6, 7.
(67) *Ὑποχώρησις*. Ibid. c. 8, 9.
(68) *Διὰ τόπους*. Id est βάθρα. Theophanes habet διὰ στάσεις τόπων, in quibus sedere consueverant, unde docemur cur τόπων appellatio indita sit urbis tractui, de quo egimus in nostra *Constantinopoli*, lib. II, p. 180.

agere ; Mauricius vivit. Ea voce tyrannus ad cædem illius incitatus est, eoque in Eutropii portum Chalcedonem perducto, in conspectu ejus liberi sunt occisi. Tum ille : *Justus es,* inquit, *Domine, et recta sunt judicia tua,* calamitatem fortiter ferens. Ac animum ejus generosum illud in primis declarat, quod cum ultimum ejus filiolum adhuc lactantem nutrix suffurata, ne Mauricii familia funditus interiret, suum filiolum ad cædem obtulisset, id ille non passus est, sed suum offerri jussit, deinde et ipse magno animo jugulum carnifici præbuit. Fertur etiam filius ejus Theodosius, dum ad Chosroem iret, interceptus, atque ad Phocam perductus, occisus esse, necnon Constantina imperatrix cum tribus filiabus, qui in æde divi Mamantis vicina mœnibus sepulti sint, a Pharasmane eunucho Justiniani cubiculario condita. Sepulcro hæc elegia est inscripta :

Ἀπιθι (69), μάθε κατάστασιν (70), ὁ Μαυρίκιος ζῇ. Ἐντεῦθεν ὁ τύραννος εἰς τὸν τοῦ Μαυρικίου φόνον ἠρέθιστο, καὶ ἀχθέντος εἰς τὸν ἐν Χαλκηδόνι τοῦ Εὐτροπίου λιμένα (71) προανηρέθησαν ἐπ' ὄψεσιν αὐτοῦ οἱ παῖδες αὐτοῦ. Ὁ δὲ, Δίκαιος εἶ, Κύριε, εὐθεῖαι αἱ κρίσεις σου, ἐφ' ἑκάστῳ ἐφθέγγετο, γενναίως φέρων τὴν συμφοράν. Ἔδειξε δὲ μᾶλλον τὴν τοῦ ἀνδρὸς γενναιότητα, καὶ τὸ φέρειν εὐγνωμόνως τὸν πειρασμὸν, ὕστατον αὐτοῦ παιδίον καὶ ὑπομάζιον· τῆς γὰρ αὐτὸ τιθηνούσης, ἵνα μὴ πάντη τὸ γένος Μαυρικίου ἀπόλυται ὑποκλεψάσης τὸ τιθηνούμενον, ἀντιδούσης δὲ τὸ οἰκεῖον πρὸς τὴν σφαγὴν, ὁ Μαυρίκιος τὸ ἑαυτοῦ ἐνεχθῆναι ἐξήτησεν. Εἶτα καὶ αὐτὸς μεγαλοψύχως (72) ἐδέξατο τὴν σφαγήν. Λέγεται δὲ καὶ τὸν υἱὸν αὐτοῦ Θεοδόσιον (73), ἁπιόντα πρὸς Χοσρόην κατασχεθῆναι, καὶ ἀχθέντα πρὸς Φωκᾶν, ἀναιρεθῆναι, καὶ τὴν Βασίλισσαν Κωνσταντίναν, καὶ τὰς τρεῖς θυγατέρας αὐτῆς, καὶ ταφῆναι ἐν τῷ ναῷ τοῦ ἁγίου Μάμαντος (74), τῷ πλησίον τοῦ τείχους, ὃν ἔκτισε Φαρασμάνης ἐκτομίας, ἐπὶ τοῦ κοιτῶνος γεγονὼς Ἰουστινιανοῦ. Ἐπεγράφησαν δὲ τῷ τάφῳ αὐτῶν τὰ ἡρωελεγεῖα (75) ταῦτα

O ego mille modis requm miseranda duorum
Mauricii conjux, filia Tiberii,
Edocui regina satis, fecundaque mater,
Quam sint multorum commoda sceptra ducum,
Militis infidi jaceo populique furore,
Et mecum conjux, progeniesque jacet.
Næ miseræ Niobes ego sum vitale cadaver,
Plurane Cisseis, plura Jocasta tulit ?
Esto, jure pater ; cur pignora parva necantur,
Humani prorsus nescia turba doli ?
Non jam Roma meis carpes a frondibus umbram,
Eruta Threicio stirps Aquilone jacet.

Ἀλλ' ἐγὼ ἡ τριτάλαινα καὶ ἀμφοτέρων βασιλήων
Τιβερίου θυγάτηρ, Μαυρικίου δὲ δάμαρ.
Ἡ πολύπαις βασίλεια, καὶ ἡ δεῖξασα λοχίῃ (76),
Ὡς ἀγαθὸν τελέθει καὶ πολυκουριδίη,
Κεῖμαι σὺν τεκέεσσι καὶ ἡμετέρῳ παρακοίτῃ
Δήμου ἀτασθαλίῃ καὶ μανίῃ στρατιῆς.
Τῆς Ἐκάβης ἔτλην πολὺ χείρονα τῆς τ' Ἰοκάστης,
Λῖ αἶ, τῆς Νιόβης ἄμπνοος εἰμὶ νέκυς.
Ναὶ ναὶ τὸν γενέτην· τί μάτην τὰ νεογνὰ ἔκτεινας
Ἀνθρώπων κακίης μηδὲν ἐπιστάμενα ;
Ἡμετέροις πετάλοισι κατάσκιος οὐκ ἔτι Ῥώμη,
Ῥίζα γὰρ ἐκλάσθη θρηικίοις ἀέλμοις.

Variæ lectiones et notæ.

(69) *Ἄπιθι.* Theophanes, p. 243. Huc referri potest quod scribit Busbequius in epist. 1 Legationis Turcicæ, prætorianos milites Turcicos, quos Genizarios vocant, cum congiaria a supremo sultano petunt, si recusantur, subinde hæc ei verba inferre, *Salvus sit frater, fratrem nobis Deus servet.* Quibus quidem verbis minantur se sultanum de medio sublaturos; fratremque illius ad imperii fastigium eductoros.

(70) *Μάθε κατάστασιν.* Ita etiam Theophanes, ubi Miscella : *Vade, disce ordinem,* id est, *disce modeste agere,* ut recte vertit Goarus, vel ut Wolfius in Notis, *Disce modestiam.* Ea enim vis est vocis Κατάστασις, ut in *Gloss. med. Græcit.* docemus.

(71) *Εἰς τὸν ἐν Καλχηδόνι τοῦ Εὐτροπίου λιμένα.* Ita scriptores omnes Byzantini, ex quibus errare constat Joannem Tzetzem chil. 5, cap. 85, qui in circo casum scripsit :

Τὰς συμφορὰς ἐκτραγῳδεῖν ἐῶ τοῦ Μαυρικίου,
Πῶς σὺν συζύγῳ καὶ παισὶ Φωκᾷ τοῦ τυραννοῦντι
Ἐξεδαμήθη πρόβριζος μέσον ἱπποδρομίας.

Exstitit etiam Constantinopoli tractus Eutropii dictus, cujus mentio est in Excerptis historicis in cod. Reg. 1534 : Ἐπὶ τῆς βασιλείας τοῦ Τζιμισκῆ, σεισμὸς ἐγένετο οἷος οὐκ ἄλλος· ὅτε καὶ ἡ τῆς Μεγάλης ἐκκλησίας ἀψὶς διερράγη, καὶ ὁ ἐν τοῖς Εὐτροπίου στύλος κατεβλήθη, ὅτε καὶ ὁ ἐπ' αὐτοῦ μοναχὸς, τοῖς θαλαττίοις ἐναπεπνίγη ῥεύμασιν.

(72) *Μεγαλοψύχως.* Non defuere qui Mauricium inter martyres collocavere, atque in primis auctor Vitæ S. Joannis Jejunatoris, in concilio Nicæno II, act. 4 : Καὶ διεπορευόμεθα σὺν τάχει πολλῷ, ὡς ὅτε κατὰ τὴν ἀντίπεραν γῆν Μαυρίκιον τὸν Βασιλέα καταλῃψόμενοι, Μαυρίκιον τὸν πάλαι μὲν δικαιότατον καὶ πραότατον, νῦν δὲ ἤδη καὶ μάρτυρα· τούτῳ γὰρ ὁ βύθιος αὐτῷ δράκων ὁ τύραννος καὶ μὴ βουλόμενος ἐχαρίσατο.

(73) *Θεοδόσιον.* Ibid. c. 9.

(74) *Ἐν τῷ ναῷ τοῦ ἁγίου Μάμαντος.* Scribit Georgius Monachus in Lacapeno n. 13, istius Augusti ætate inventas tres sepulcrales urnas in æde S. Mamantis, alteram cum figuris ac imaginibus, et alias duas absque figuris, illasque in Myrelaei monasterium ab ea conditum delatas. Verba Georgii sunt : Τηνικαῦτα δὲ καὶ Πετρωνᾶς αἰδεσιμώτατος προστάξει Ῥωμανοῦ βασιλέως ἦγαγε λάρνακα ἐνζώδον, καὶ ἕτερα δύο γλυφῆς ἀμοιροῦντα, ἐκ τῆς τοῦ ἁγίου Μάμαντος μονῆς ἀνδρείας τῆς πλησίον οὔσης τῶν Ξυλοκέρκου λεγομένης πόρτις, ἐν αἷς φασὶν ἐναποκεῖσθαι Μαυρίκιον σὺν αὐτοῦ παισίν· ἃ καὶ ἀπετέθη ἐν τῇ τοῦ βασιλέως μονῇ, ἤτοι εἰς Μυρέλαιον.

(75) *Τὰ ἡρωελεγεῖα.* Recitat præterea Mauricii Epitaphium Cedrenus, quod versibus Latinis totidem reddiderat hoc loco Wolfius, ut et aliis Xylander apud eumdem Cedrenum : sed versionum istarum loco longe antiquiorem et venustiorem ex Epigrammatum veterum collectione Pithœana hic inserere operæ pretium visum est.

(76) *Λοχίῃ.* Ita codd. mss. At Cedrenus et Constantinus Manasses, p. 178, λοχείῃ habent.

Ἔθανε δὲ Μαυρίκιος ἐτῶν ἑξήκοντα καὶ τριῶν, εἴκοσι βασιλεύσας ἐνιαυτούς. Φωκᾶ δὲ κρατήσαντος, ὁ Ναρσῆς ἀπεστάτησε καὶ κατέσχε τὴν Ἔδεσαν. Προστάξει δὲ Φωκᾶ Γερμανὸς τῷ Ναρσῇ ἀντιμαχεσάμενος, συμμαχουμένῳ παρὰ Χοσρόου, ἡττήθη· καὶ πληγεὶς μεθ' ἡμέρας τέθνηκε. Μετὰ δὲ ταῦτα καταφυγὼν εἰς τὴν ἱερὰν πόλιν, Ναρσῆς καὶ παρὰ τοῦ ἀδελφοῦ τοῦ Φωκᾶ τοῦ μαγίστρου Δομεντζιόλου πίστεις ἐνόρκους λαβών, πρὸς Φωκᾶν ἀπεστάλη. Ὁ δὲ μηδὲν τοὺς ὅρκους ὑποσταλείς, πυρὶ αὐτὸν παραδέδωκεν. Οὗτος ὁ Ναρσῆς (77) τὸν τοῦ ἁγίου Παντελεήμονος ναὸν ἐδομήσατο, καὶ τὸν τῶν ἁγίων μαρτύρων Πρόβου, Ταράχου, καὶ Ἀνδρονίκου, καὶ τὸν ἐκεῖ Ξενῶνα. Οὐ τοῦτον δὲ μόνον, ἀλλὰ καὶ τὸν ἀδελφὸν Μαυρικίου Πέτρον ἀνεῖλε, καὶ Γερμανὸν τὸν πενθερὸν Θεοδοσίου τοῦ υἱοῦ Μαυρικίου, καὶ τὴν θυγατέρα τοῦ Γερμανοῦ, καὶ πᾶσαν τὴν τοῦ Μαυρικίου συγγένειαν. Φιλιππικὸς δὲ (78) κείρεται κληρικὸς, καὶ εἰς τὴν αὐτοῦ μονὴν ἐν Χρυσοπόλει διέτριβε. Καὶ ἄλλους δὲ πολλοὺς ἔκτεινεν ὁ Φωκᾶς, καὶ ποιναῖς ἀπηνέσιν ἐκόλαζε. Κυριακοῦ (79) δὲ τοῦ πατριάρχου ἐκλιπόντος μετὰ ἐνιαυτοὺς ἕνδεκα ἐξότου προεχειρίσθη, πατριάρχης ἐγένετο Θωμᾶς (80) σακελλάριος, καὶ τῆς Μεγάλης ἐκκλησίας διάκονος. Πολυειδῆ μέντοι τότε κακὰ τοὺς Ῥωμαίους κατέλαβεν. Ἐν μὲν γὰρ τῇ Ἑῴᾳ Πέρσαι τὴν Συρίαν, καὶ Παλαιστίνην, καὶ Φοινίκην ὑφ' ἑαυτοὺς ἐποιήσαντο. Τὴν Ἀρμενίαν δὲ, καὶ Καππαδοκίαν, καὶ τὴν Παφλαγονίαν, καὶ Γαλατίαν κατέδραμον, καὶ μέχρι Χαλκηδόνος προήλθοσαν, ἅπαντα ληΐζόμενοι. Ἐν δὲ τῇ Εὐρώπῃ Ἄβαρες (81) τὴν Θρᾴκην ἐδῄωσαν, καὶ τὰ Ῥωμαϊκὰ στρατόπεδα ἃ ἐν ἀμφοτέροις ἦσαν τοῖς τμήμασι, διεφθάρησαν, καὶ ἄλλως δὲ πολλὴ τῶν ἀνθρώπων θνῆσις ἐγένετο, καὶ ἀφορία καρπῶν, καὶ ζώων φθορὰ ἐκ βαρυτάτων χειμώνων. Ἐπὶ πᾶσι καὶ ὁ ἀλάστωρ Φωκᾶς ἐν ἵππων ἀμίλλῃ τῶν δήμων πρὸς αὐτόν τι ἀποσχωψάντων ἐκμανεὶς πολλοὺς μὲν ἀνεῖλε, πολλοὺς δὲ ἠκρωτηρίασεν, ἐνίους μέντοι καὶ κατεπόντωσε· πλείστους δὲ καὶ τῷ ἐπάρχῳ παρέδωκεν, ἵνα κολάσῃ αὐτούς, οἳ ἐν τῷ πραιτωρίῳ καθειρχθησαν. Οἱ δὲ ὄχλοι ὁμοῦ γενόμενοι, ἐνέπρησαν τὸ πραιτώριον, καὶ οἱ κεθειργμένοι διέφυγον. Ἕβδομοι δὲ στασιάσαντες κατὰ Χριστιανῶν ἐν Ἀντιοχείᾳ, ἀνεῖλον τῶν Ἀντιοχέων πολλοὺς, καὶ αὐτὸν καὶ τὸν πατριάρχην τῆς πόλεως Ἀναστάσιον (82), καὶ τὸν νεκρὸν αὐτοῦ κατέκαυσαν ἐν τῇ ἀγορᾷ. Στελλας δὲ ὁ Φωκᾶς οὓς μὲν ἀνεῖλεν, οὓς δὲ ἠκρωτηρίασεν, ἐξεδιώξας τῆς πόλεως. Ὁ μέντοι πατριάρχης Θωμᾶς ἐπὶ τρία ἔτη καὶ μῆνας δύο τῆς ἐκκλησίας προστὰς, ἐτελεύτησε (83), καὶ

A **80** Mortuus est Mauricius anno ætatis sexagesimo tertio, regni vicesimo. Phoca rerum potito, Narses ab eo defecit. Edessa occupata, et acceptis a Chosroe auxiliis : contra quem jussu Phocæ profectus Germanus, victus est, et post aliquot dies ex vulnere mortuus. Narses vero cum Hierapolim confugisset, jurejurando firmata fide, a fratre imperatoris Domentiolo magistro, ad Phocam missus est, nullaque datæ fidei ratione habita, crematus. Hic Narses divi Panteleemonis et sanctorum martyrum Probi, Tarachi et Andronici ædem, atque vicinum hospitium condidit. Neque vero hunc solum, sed et Petrum fratrem, omnesque Mauricii cognatos, et Germanum Theodosii filii illius socerum una cum filia occidit. Philippicus autem clericus factus, B Chrysopoli in monasterio a se condito, vitam egit. Multos præterea sustulit Phocas, et diris suppliciis affecit. Cyriaco patriarcha, undecimo a designatione anno mortuo, patriarcha factus est Thomas sacellarius, Magnæ ecclesiæ diaconus. Eo tempore, variis malis Romani sunt oppressi. Nam in Oriente Persæ, Syriam, Palæstinam et Phœniciam subegerunt : in Armeniam, Cappadociam, Paphlagoniam et Galatiam incursiones fecerunt, populabundi Chalcedonem usque progressi. In Europa, Avares Thraciam vastarunt, Romanæque legiones in ambabus partibus perierunt. Absumpsit et pestilentia multos mortales, gravissimæque tempestates et frugum et animalium interitum attulerunt. Super hæc omnia pestis humani generis Phocas, C cum nescio quid factiones in eum cavillatæ essent, furore percitus multos occidit, multos truncavit, nonnullos in mari demersit, sed plurimos præfecto ad supplicium in prætorio custodiendos tradidit, quo a multitudine incenso, illi diffugerunt. Judæi quoque, mota Antiochiæ contra Christianos seditione, multos occiderunt, atque ipsum patriarcham Anastasium, ejusque cadaver in foro combusserunt. Eos Phocas partim occidit, partim mutilatos urbe exegit. Thomas patriarcha cum Ecclesiæ triennium præfuisset, obiit : in cujus locum suffectus est Sergius, Magnæ ecclesiæ diaconus. Filiam Domnentiam Prisco duci copiarum despondit, **81** cumque post nuptias ludis equestribus, Prisci uxorisque Domnentiæ imagines juxta suas astare vidisset, furore D percitus, factionum duces obtruncari jussit, eosque ægre a factionibus exoratus missos fecit. Ea de causa Priscus vitæ suæ metuens, consilia tollendi tyranni iniit, qui cum et in mulierum

Variæ lectiones et notæ.

(77) *Ὁ Ναρσῆς.* Theophan, et Cedrenus an. 1 et 2 Phocæ.

(78) *Φιλιππικὸς δέ.* Theophan. an. 4 Phocæ. Obiit an. 612, Heraclio imperante. Niceph. CP.

(79) *Κυριακοῦ.* Obiit Cyriacus 29 Octob. anno 4 Phocæ, ut est in *Chronico Alex.*

(80) *Θωμᾶς.* Creatus 23 Januar. anno 1 Phocæ. (Idem *Chron.*) Illius memoriam agunt Græci 21 Martii, ut est in Menæis.

(81) *Ἄβαρες.* Quorum frequens mentio in *Francicis Annalibus.* Chronicon S. Vincentii de Vulturno, p. 692 : *A Cacano rege Avarorum, qui et Hunni dicantur.*

(82) *Ἀναστάσιον.* Ita etiam Theophanes et Cedrenus, an. 7 Phocæ : at *Chronicon Alex.* an. 8 ejusdem Phocæ a militibus interemptum ait.

(83) *Ἐτελεύτησε.* Moritur Thomas Patr. 29 Martii anno 8 Phocæ. *Chronic. Alex.*

stupris volutaretur, et ebriosus, et sævus, atque sanguinarius esset, in publico erat omnium ordinum odio. Itaque senatus et ipse dux Priscus legatos ad Heraclium mittunt, ejus Heraclii patrem, qui post imperio potitus est, Africæ et Libyæ præfectum, orantes. ut se a tyrannide Phocæ vindicet. Erat Heraclio legatus Gregoras vir illustris ; qui duo inita conspiratione suos filios contra tyrannum mittunt, Heraclius cum classe et magnis copiis militum Heraclium, Gregoras patricius Niceetam pedestri itinere, cum multis equitibus et magno exercitu : ea conditione, ut uter prior urbem occupasset, tyrannumque sustulisset, is imperio potiretur. His cognitis, Phocas Heraclii matrem, et sponsam Eudociam, principis cujusdam Africani filiam, comprehensas monasterio inclusit. Cæterum Heraclius antevertit, et in Sophiarum portu appulit, commissaque pugna evasit superior, adjutante Prisco, qui præfecti honore fungebatur. Photius quoque unus ex illustribus, cujus uxorem tyrannus vi constuprarat, regia cum multis militibus occupata, tyrannum solio deturbavit (nam ejus satellites desperata salute regia cesserant) direptaque purpura, pullam ei vestem induxit, et captivum Heraclio exhibuit. Qui cum ei dixisset : *Itane, miser, rempublicam administrasti?* Phocas ex desperatione respondit : *Tu vero melius eam administrabis?* Ob quod dictum iratus Heraclius, calcibus in eum insiluit, et castrari jussit. Alii eum statim occisum esse tradunt, alii manibus prius et pedibus amputatis, virilibus denique, ob lasciviam et multorum conjuges adulteratas, exsectis, postremo obtruncatum, et infelix cadaver in Bove crematum esse, ubi caminus fuisse perhibetur æreus, forma bovis, Pergamo translatus, unde et loco nomen factum. Sunt et fratres ejus aliique necessarii interfecti. Phocæ igitur pessimi tyrannidis hic fuit exitus, cum **82** imperio per annos octo insultasset.

ἀντεισήχθη Σέργιος (84), τῆς Μεγάλης ἐκκλησίας διάκονος. Τὴν δὲ θυγατέρα ὁ Φωκᾶς Δομεντίαν Πρίσκῳ (85) τῷ στρατηλάτῃ συνέζευξε, καὶ μετὰ τοὺς γάμους ἱππικὸν ἀγῶνα ἄγων, ἐθεάσατο σὺν ταῖς αὐτοῦ εἰκόσι (86), καὶ τοῦ Πρίσκου καὶ τῆς αὐτοῦ γυναικὸς τῆς Δομεντίας ἱσταμένας εἰκόνας, καὶ ἐκμανὴς γεγονὼς, ἀποτμηθῆναι τοὺς δημάρχους ἐκέλευσε. Δεηθέντων δὲ τῶν δήμων, μόλις ἀφῆκεν αὐτούς. Ἐκ ταύτης οὖν τῆς αἰτίας ὁ Πρίσκος δεδοικὼς περὶ τῇ ζωῇ, ἅμα δὲ καὶ τὴν κατὰ πάντων τοῦ Φωκᾶ τυραννίδα μισῶν, ἐζήτει καταλῦσαι τὸν τύραννον. Ὢν δὲ ὁ Φωκᾶς γυναικομανὴς τε καὶ μέθυσος, καὶ ὠμὸς καὶ αἱμοχαρὴς, ἐμισήθη παρὰ πάντων. Καὶ στρατηγοῦντος ἐν Ἀφρικῇ καὶ Λιβύῃ Ἡρακλείου τοῦ πατρὸς τοῦ βασιλεύσαντος μετέπειτα Ἡρακλείου, οἱ τῆς συγκλήτου καὶ αὐτὸς ὁ Πρίσκος ὁ στρατηλάτης διεπέμποντο πρὸς αὐτὸν, δεόμενοι ἀπαλλαγῆναι τῆς τυραννίδος Φωκᾶ. Ἦν δὲ τῷ εἰρημένῳ στρατηγῷ Ἡρακλείῳ ὑποστράτηγος Γρηγορᾶς τις τῶν ἐπισήμων. Οὗτοι γοῦν ἅμφω συμπνεύσαντες στέλλουσι κατὰ τοῦ τυράννου τοὺς ἰδίους υἱούς· ὁ μὲν Ἡράκλειος τὸν Ἡράκλειον πολλαῖς ναυσὶ καὶ πλῆθος στρατιωτῶν πλωΐζόμενον· ὁ δὲ πατρίκιος Γρηγορᾶς τὸν Νικήταν πεζοποροῦντα σὺν ἱππόταις πολλοῖς, καὶ πεζῇ στρατιᾷ, ἐπὶ συνθήκαις (87) τοῦ τὸν προκαταλαβόντα τὴν ὑπερκειμένην τῶν πόλεων, καὶ καθελόντα τὸν τύραννον, τῆς βασιλείας ἀξιωθήσεσθαι. Ταῦτα μαθὼν ὁ Φωκᾶς, τὴν τοῦ Ἡρακλείου μητέρα, καὶ τὴν μνηστὴν Εὐδοκίαν, ἣν ἐξ Ἀφρικῆς ἐμνηστεύσατο, θυγατέρα οὖσαν τοῦ τῆς χώρας ἐκείνης πρωτεύοντος, κατασχὼν κατέκλεισεν ἐν μονῇ. Προκατέλαβε τοίνυν Ἡράκλειος, καὶ προσώρμισε τῷ λιμένι τῶν Σοφιῶν, καὶ μάχης συγκροτηθείσης, ὑπερέσχε τῶν τοῦ Φωκᾶ. Συνήργητο γὰρ καὶ ὑπὸ τοῦ Πρίσκου τὴν τοῦ ἐπάρχου τότε μετιόντος ἀρχήν· Φώτιος δὲ τῶν ἐπιφανῶν ὑπάρχων, οὗ τὴν γυναῖκα ὁ τύραννος βίᾳ ἐμοίχευσε, σὺν πλήθει στρατιωτῶν καταλαβὼν τὰ βασίλεια, κατέσπασε τοῦ θρόνου τὸν τύραννον (οἱ γὰρ περὶ αὐτὸν ἀπογνόντες, τῶν βασιλείων ὑπανεχώρησαν) καὶ ἀποδύσας τὴν πορφυρίδα, φαιὰν ἐσθῆτα ἐνέδυσε, καὶ δέσμιον τῷ Ἡρακλείῳ παρέστησεν. Ὁ δὲ ἰδὼν αὐτὸν ἔφη, *Οὕτως, ἄθλιε* (88), *τὰ τῆς πόλεως διῴκησας πράγματα;* Καὶ ὁ Φωκᾶς ἀπονοίᾳ κάτοχος ὢν ἀπεκρίνατο, *Σὺ δὲ κρειττόνως μᾶλλον διοικήσεις αὐτά;* Ὀργισθεὶς δὲ ὁ Ἡράκλειος λὰξ ἐκείνῳ ἐνέθορε, καὶ ἐκτμηθῆναι προσέταξεν. Οἱ μὲν οὖν αὐτίκα αὐτὸν ἀναιρεθῆναι ἱστόρησαν, οἱ δὲ πρότερον αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας ἐκκοπῆναί φασιν, εἶτα καὶ τὰ αἰδοῖα διὰ τὴν ἐκείνου ἀσέλγειαν, καὶ ὅτι πολλῶν κατῄσχυνε γαμετάς, καὶ οὕτω δὲ αὐτοῦ τὴν κεφαλὴν ἐκκοπῆναι, τὸ δὲ δύστηνον σῶμα καυθῆναι κατὰ τὸν Βοῦν, ἔνθα ἦν κάμινος, ὡς λέγεται, ἐκ χαλκοῦ κατεσκευασμένη, σχῆμα βοὸς ἔχουσα, ἥπερ ἐκ Περγάμου κεκόμιστο, ἐξ ἧς καὶ ὁ τόπος ὠνόμαστο. Καὶ οἱ ἀδελφοὶ δὲ αὐτοῦ, καὶ οἱ ἄλλοι τῶν φιλουμένων αὐτῷ ἀνῃρέθησαν. Τῷ μὲν οὖν κακίστῳ Φωκᾷ τοιοῦτον τέλος τῆς τυραννίδος ἐγένετο, ἔτη κατορχησαμένῳ τῆς βασιλείας ὀκτώ.

XV. Heraclius autem a Sergio patriarcha coro-

ΙΕ'. Ἡράκλειος δὲ, ὑπὸ Σεργίου τοῦ Πατριάρχου

Variæ lectiones et notæ.

(84) *Σέργιος*. 22 Martii. *Chron. Alex.*

(85) *Πρίσκῳ*. Qui Crispus dicitur eidem Zonaræ in Heraclio, Nicephoro CP. et Cedreno. Vide Stemmata Byzantina.

(86) *Εἰκόσι*. Vide Nicephorum CP., Theophanem, Cedrenum, etc. Λαυράτας vocat ejusmodi imagines Theophanes an. 5 Phocæ. Ut vero eæ in circum deducerentur, docet *Chronicon Alexandrinum*, p. 876, a candidatis scilicet, et cum cereis accensis, μετὰ χηραψίας, quomodo videre est etiam in Notitia utriusque imperii, ubi de præfectis prætoriorum.

(87) *Ἐπὶ συνθήκαις*. Nicephorus CP, Theophanes.

(88) *Οὕτως ἄθλιε*. Eadem habet Nicephorus CP.

στεφθεὶς, αὐτίκα καὶ τὴν Εὐδοκίαν τὴν μνηστὴν ταινιοῖ, καὶ ἅμα τά τε βασίλεια στέφη καὶ τοὺς γαμηλίους στεφάνους ἐδέξαντο, ὥστε κατὰ τὴν αὐτὴν ἡμέραν καὶ βασιλεῖς ἄμφω χρηματίσαι αὐτοὺς καὶ νυμφίους. Οἱ δέ γε Πέρσαι (89) τὴν ἑῴαν κατέτρεχον, καὶ τὰς μὲν τῶν χωρῶν ὑφ' ἑαυτοὺς ἐποιοῦντο, τὰς δὲ ἐλῃΐζοντο, καὶ ἡ Ῥωμαϊκὴ στρατιὰ προσβάλλουσα τούτοις ἥττητο καὶ διώλλυτο, βραχέων τινῶν περισωθέντων φυγῇ. Καὶ τὴν Εὐρώπην οἱ Ἄβαροι καὶ οἱ Σκύθαι ἠρήμωσαν. Διὸ καὶ ἠπόρει ὁ βασιλεὺς Ἡράκλειος ὅ τι καὶ δράσει. Ἐπισκεψάμενος γὰρ τοὺς στρατιωτικοὺς καταλόγους, πάνυ τούτους εὗρε βραχεῖς, ἁπάντων σχεδὸν ἐν τοῖς πολέμοις ἀναλωθέντων. Ἐκ γὰρ τῶν (90) ἐπὶ Μαυρικίου τὸν Φωκᾶν ἀναγορευσάντων εἰς πολλὰς χιλιάδας ἀριθμουμένων, δύο μόνοι στρατιῶται περιλειφθέντες εὑρέθησαν. Στρατολογήσας οὖν Κρίσπον στρατηγὸν Καππαδοκίας προβάλλεται, καὶ στέλλει τοῦτον ἐκεῖ. Γίνεται δὲ αὐτῷ ἐκ τῆς Αὐγούστης Εὐδοκίας, ἣν καὶ Φαβίαν ὠνόμασε, θυγάτηρ Ἐπιφανία. Εἶτα καὶ υἱὸς ἐτέχθη, ὁ μικρὸς Ἡράκλειος καὶ νέος Κωνσταντῖνος κληθείς, καὶ ἄμφω δὲ τὼ παῖδε τούτῳ βασιλικῷ διαδήματι τεταινίωκε. Καὶ μετ' ὀλίγον ἡ γαμετὴ αὐτοῦ ἡ Αὐγούστα Εὐδοκία τὸν βίον ἀπέλιπεν. Ἐκφερομένου δὲ τοῦ ταύτης νεκροῦ βασιλικῶς διὰ τῆς ἀγορᾶς, κόρη τις (91) προκύπτουσα βάρβαρος, τυχαίως ἀπέπτυσε, καὶ τὸ πτύσμα εἰς τὴν κλίνην, δι' ἧς ἐξεφέρετο ἡ Αὐγούστα, κατήνεκτο, καὶ συλληφθεῖσα ἡ κόρη ἐκαύθη, προσενεχθεῖσα τῇ θανούσῃ λίαν οἰκτρὸν ἐπιτάφιον. Ὁ δέ γε Ἡράκλειος ἔγημε Μαρτίναν τὴν ἀδελφόπαιδα, καὶ Αὐγούσταν αὐτὴν ἀνηγόρευσε. Τοῦ μέντοι Χοσρόου καὶ τῶν Περσῶν ἀκρατῶς φερομένων, καὶ πάντα λεηλατούντων, πρέσβεις (92) ὁ βασιλεὺς πρὸς αὐτὸν ἔστειλε, κόρον λαβεῖν ποτὲ τῆς τῶν ἀνθρώπων φθορᾶς ἀξιῶν, καὶ σπείσασθαι ἐπὶ συνθήκαις ἐτησίων δασμῶν. Ὁ δὲ τὴν πρεσβείαν οὐ προσήκατο. Πάλιν οὖν ἑτέρα στέλλεται πρεσβεία πρὸς αὐτὸν εἰρήνην ἐξαιτουμένη. Ὁ δὲ Πέρσης ὑπερηφάνους καὶ βλασφήμους τὰς ἀποκρίσεις πεποίηκε, λέγων μὴ ἄν ποτε φείσασθαι τῶν Χριστιανῶν, εἰ μὴ τὸν ἐσταυρωμένον (93) ἀρνήσωνται, καὶ σεβασθῶσι τὸν ἥλιον. Ἀπογνοὺς οὖν τὴν εἰρήνην ὁ βασιλεὺς, ἐπιστρατεῦσαι διενοεῖτο κατὰ Περσῶν, διὸ καὶ ἔσπευδε θέσθαι πρὸς τὸν Χαγάνον (94) σπονδὰς, μὴ ἀφιστάμενον τοῦ τὴν Θρᾴκην λῃΐζεσθαι. Στείλας τοίνυν πρὸς αὐτὸν, εἰρήνην ᾔτει, καὶ ὁ βάρβαρος οὐκ ἀνένευσεν. Ἡσθεὶς οὖν ὁ βασιλεὺς, ἐξῆλθε τῆς πόλεως, καὶ ἔξω τοῦ Μακροῦ Τείχους ηὐλίσατο μετὰ τῆς βασιλικῆς πολυτελείας καὶ δορυφορίας, καὶ χρημάτων πολλῶν, ἃ τῷ Χαγάνῳ δῶρα ἐκόμιζεν. Ὁ δὲ βάρβαρος ἀλογήσας τῶν ὅρκων τε καὶ τῶν συνθηκῶν, ὥρμησε τὸν βασιλέα συσχεῖν. Ἀλλὰ

A natus, statim etiam Eudociam sponsam diademate ornat. Ita simul et imperatorias et nuptiales coronas acceperunt, eodem die et imperatores et sponsi appellati. At Persæ, Orientales provincias incursantes, alias subegerant, alias prædabantur, Romanæque legiones ab eis victæ cæsæque erant, paucis fuga elapsis. Europam Scythæ et Avares vastarant. Quæ res imperatorem animi dubium reddebant. Nam in militaribus catalogis paucos omnino reperiebat, pene omnibus bello absumptis. Ex multis enim eorum millibus, qui sub Mauricio Phocam imperatorem consalutarant, duo tantum milites reliqui sunt inventi. Verum delectu acto, Crispum cum imperio in Cappadociam mittit. Ex Eudocia Augusta, quam et Fabiam nominavit, B filiolam suscepit Epiphaniam. Deinde filium quoque Heraclium juniorem, qui et minor Constantinus dictus est, ambosque pueros diademate ornavit. Neque multo post conjux ejus moritur. Cujus funus cum ornatu regio per forum efferretur, puella quædam Barbara prospectans, sputum imprudens in feretrum dejecit, ob quod factum comprehensa et cremata imperatrici defunctæ infeliciter parentavit. Heraclius post eam, fratris sui filiam Martinam ducit, atque Augustam salutat. Cum autem Chosroes et Persæ impotenter grassantes, omnia popularentur, imperator per legatos ab eo petiit, ut tandem interitu hominum satiatus pacem faceret, annuaque tributa acciperet. Ea legatione repudiata, mittit aliam, et pacem petit. Cui C Persa superbe contumelioseque respondit, Se nunquam parsurum Christianis, nisi Crucifixum inficiati, Solem adorarent. Imperator igitur pace desperata bello Persas invadere constituit, et cum Chagano, qui Thraciam continenter infestabat, pacem propere facere: qua per legatos petita, Barbarus non abnuit. Ea re delectatus imperator, urbem egressus, extra Longum Murum, cum regia magnificentia et comitatu, stativa habuit, multaque munera Chagano attulit. At Barbarus spreto jurejurando et fœdere, Heraclium comprehendere studuit. Sed eo conatu **83** frustratus (nam ille jam aufugerat), omne regium instrumentum et comitatum, pecuniam quoque et multa captivorum millia D diripuit, otioseque domum est reversus. Heraclius igitur denuo per legatos, de perfidia ejus conquestus, pacem ab illo impetrat. Ille vero, regia urbe digressus, Cæsaream, ubi Crispus dux agebat, pervenit, eumque vel ægrotantem, vel morbum simulantem invisit, de rebus gerendis cum eo deliberaturus. Sed negligenter ab eo excipitur. Nam neque obviam progressus est, neque e lectulo sur-

Variæ lectiones et notæ.

(89) *Οἱ δέ γε Πέρσαι.* Niceph. CP. an. 616; Theophan. an. 2. Heracl.

(90) *Ἐκ γὰρ τῶν.* Theophan. an. 2 Heracl.

(91) *Κόρη τις.* Niceph. CP. an. 612 incendio damnatam, non consumptam tradit, cum sese subduxisset.

(92) *Πρέσβεις.* Niceph. CP. an. 616; Theophan. et Cedren. an. 4 Heracl.

(93) *Εἰ μὴ τὸν ἐσταυρωμένον.* Theophan. et Cedren. an. 8 Heracl.

(94) *Πρὸς τὸν Χαγάνον.* Niceph. CP. an. 619; Theophan. an. 9, 10.

rexit. In concessis etiam arrogantioribus verbis usus. Heraclius etsi quid ille ageret, intelligebat, et sui contemptum iniquo ferebat animo : tamen utrumque dissimulat. Interea ei nuntiatur, Augustam peperisse filium. Relictis igitur Crispo legionibus, ipse Byzantium redit. Nicetam Gregoræ patricii filium, urbem ingressum, honorifice exceptum, fratrem appellat. Est et Crispus ab expeditione reversus. Cum baptizandus esset imperatoris filius, senatu convocato, et patriarcha præsente, imperator eos qui aderant rogat : *Qua pœna dignus sit is, qui imperatori contumeliam fecerit ?* Respondent illi : *Vita indignum esse, qui omnem clementiæ spem ultro ipse sibi præciderit.* Tum imperator, quid Crispus egisset, illo etiam præsente, commemorat. Inde ad eum conversus : *Qui te generum*, inquit, *non præstitisti, neque amicum unquam præstabis.* Clericum igitur eum fieri jussit. E Martina vero fratris filia duos suscepit filios, Fabium, quem et Heraclonam vocavit, et Davidem. Cum autem Chosroes omnia prædaretur et deleret, et Palæstina subacta, Hierosolyma quoque expugnasset : fertur infinita Christianorum multitudo esse interfecta. Nam Judæi, eos vili pretio commercati peremerunt, quorum summa fuisse memoratur ad nonaginta millia. Patriarcham autem sanctæ urbis, et pretiosa crucis ligna, Persæ domum secum asportarunt. Imperator igitur cum exercitum hostibus parem non haberet, ac pecuniæ inopia laboraret : argentum et aurum ex Magna Ecclesia et aliis sacris ædibus mutuatus, nummos inde cudit, collectumque ex provinciis populum militari disciplina exercet, ac socios accersit. Et post festum **84** Paschatis, Sarbarum Chosroæ archisatrapam, cum magnis copiis contra Romanos missum, profligat, ejusque exercitum trucidat.

A τούτου μὲν ἐπέτυχεν (ἔρθη γὰρ ὁ αὐτοκράτωρ διαδρὰς) τὴν μέντοι βασιλικὴν ἅπασαν ἀποσκευὴν, καὶ τὴν δορυφορίαν, ἀλλὰ μὴν καὶ τὰ χρήματα, καὶ δορυαλώτων χιλιάδας (95) πολλὰς κατὰ πᾶσαν ἄδειαν εἰληφὼς, ὑπέστρεψεν. Αὖθις οὖν ὁ Ἡράκλειος πρεσβείαν ἔθετο πρὸς αὐτὸν, ἐπεγκαλῶν αὐτῷ ἀπιστίαν, καὶ πρὸς εἰρήνην αὐτὸν ἐφελκόμενος· ὁ δὲ σπένδεται. Καὶ ὁ βασιλεὺς (96) τῆς βασιλευούσης ἀπάρας τῶν πόλεων, ἀφίκετο εἰς Καισάρειαν, ἔνθα καὶ ὁ Κρίσπος ἦν στρατηγῶν, οὗ νοσοῦντος, ἢ τοῦτο προσποιουμένου, πρὸς αὐτὸν ἅπτει ὁ βασιλεὺς, ἐπισκεψόμενός τε καὶ βουλευσόμενος περὶ τῶν πρακτέων. Ὁ δὲ αὐτὸν ὀλιγώρως ἐδέχετο, μήτε προϋπαντῶν, μήτε μὴν τῆς κλίνης ἐξανιστάμενος, κἂν ταῖς ὁμιλίαις ἀλαζονικώτερόν πως διακείμενος. Ἡράκλειος δὲ συνῆει μὲν τὸ γινόμενον, καὶ καταφρονούμενος ἤχθετο· ὑπεκρίνετο δὲ μήτ' ἄχθεσθαι, μήτε συνιέναι τῆς ὀλιγωρίας τοῦ Κρίσπου τῆς κατ' αὐτοῦ. Ἐν τούτῳ ἀγγέλλεται αὐτῷ ἡ Αὐγούστα τεκοῦσα υἱόν. Καὶ τὰ μὲν στρατεύματα τῷ Κρίσπῳ καταλελοίπει, αὐτὸς δὲ ἐπανῆλθεν εἰς τὸ Βυζάντιον. Τοῦ Νικήτα (97) μέντοι τοῦ υἱοῦ τοῦ Γρηγορᾶ πατρικίου εἰσεληλυθότος εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, ὁ βασιλεὺς αὐτὸν ἐν τιμῇ μεγάλῃ πεποίητο ἀδελφὸν αὐτὸν ὀνομάζων. Ἐπανέζευξε δὲ (98) καὶ ὁ Κρίσπος ἐκ τῆς στρατείας. Συλλόγου τοίνυν τῆς συγκλήτου γενομένου, καὶ τοῦ πατριάρχου παρόντος, ὡς μέλλοντος βαπτίσαι τὸν τοῦ βασιλέως υἱὸν, φησὶ πρὸς τοὺς παρόντας ὁ βασιλεὺς, *Ὁ ὑβρίζων τὸν βασιλέα, τίνος ἐστὶν ἄξιος* · Οἱ δὲ ἀπεκρίναντο, *Οὐ ζῇν ἐστιν ἄξιος, πάσης γὰρ φιλανθρωπίας ἑαυτὸν ἀνάξιον ἔθετο.* Καὶ ὁ βασιλεὺς τὰ παρὰ τοῦ Κρίσπου, κἀκείνου παρόντος, κατέλεγεν· εἶτα πρὸς ἐκεῖνον ἐπιστραφεὶς ἔφη, *Ὃς γαμβρὸν* (99) *οὐκ ἐποίησας, οὐδὲ φίλον ἂν ποίησεις ποτέ.* Ἐκέλευσεν οὖν αὐτὸν κληρικὸν γενέσθαι (1). Ἐκ δὲ Μαρτίνης τῆς ἀνεψιᾶς αὐτοῦ ἔσχε δύο υἱοὺς, Φάβιον ὃν καὶ Ἡρακλωνᾶν ὠνόμασε, καὶ Δαβὶδ τὸν λοιπόν. Τοῦ δὲ Χοσρόου πάντα λῃζομένου καὶ ἀφανίζοντος, ὑφ' ἑαυτὸν δὲ καὶ τὴν Παλαιστίνην πεποιηκότος, καὶ τὴν Ἱερουσαλὴμ πολιορκίᾳ ἑλόντος, λέγεται ἄπειρόν τι πλῆθος (2) ἀναιρεθῆναι Χριστιανῶν. Ἐξωνούμενοι γὰρ αὐτοὺς εὐώνως οἱ Ἰουδαῖοι, ἐφόνευον, ὧν περὶ μυριάδας ἐννέα φασὶ συγχορυφοῦσθαι τὸν ἀριθμόν. Τὸν δέ γε πατριάρχην τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, καὶ τὰ τίμια τοῦ σταυροῦ ξύλα οἱ Πέρσαι λαβόντες εἰς Περσίδα ἀπήγαγον. Ἀπορῶν οὖν ὁ βασιλεὺς ἀναλόγου τοῖς ἐναντίοις στρατεύμα-

B

C

Va iæ lectiones et notæ.

(95) *Δορυαλώτων χιλιάδας.* Vide Niceph. CP.
(96) *Καὶ ὁ βασιλεύς.* Niceph. CP. an. 611.
(97) *Τοῦ Νικήτα.* Niceph. CP. an. 612.
(98) *Ἐπανέζευξε δέ.* Niceph. CP. an. 612.
(99) *Ὃς γαμβρόν.* Nicephorus CP. : Ὃς γαμβρὸν οὐκ ἐποίησας, φίλον πῶς ἂν ποιήσειας. Ubi Petavius legendum censet, ut et apud Zonaram, εἰς, pro ὡς, vel ὃς. Ego vero apud Nicephorum vocem, ὃς, reponendam censuerim, uti apud Zonaram reperitur, cum per, εἰς, nulla possit elici constructio. Horum igitur verborum sensus est : *Qui affinem non fecisti, qua ratione amicum feceris ?* Galli dicerent, *Vous qui n'avez pu faire un allié, comment ferez-vous un ami ?* Ea enim est vis vocabuli γαμβρὸς, qua utuntur passim Byzantini scriptores pro eo qui per connubium affinitatem cum aliquo iniit, quemadmodum Crispus cum Phoca. Proinde expunximus vocem ὅσα, quam in textum immiserat Wolfius, quæ abest ab omnibus mss. Sed et is potest dari sensus verbis ποιεῖν γαμβρὸν, et φίλον, quomodo nos Galli vocem *faire* usurpamus : *Vous qui n'avez pu faire le gendre, comment ferez-vous l'ami ?* id est, Qui te ut generum non præstitisti, quomodo te amicum præstabis ? Chronicon ms. Georgii Hamartoli : Γαμβρὸν οὐκ ἐποίησας, ταλαίπωρε, καὶ πῶς ἂν φίλον ποιήσειας· εἶτα κληρικὸν αὐτὸν καταστήσας, ἐν τῇ μονῇ τῆς Χώρας περιώρισεν, ἐν ᾗ μετ' ὀλίγον τὸ πέρας τοῦ βίου ἐδέξατο. Post φίλον, addit cod. ms. ἀληθῆ.

D

(1) *Κληρικὸν γενέσθαι.* V. Decembr. an. 2 Heraclii (*Chron. Alex.*). In clericum igitur altonso Crispo, Heraclius milites ita est allocutus, Ὁ παπᾶς Κρίσπος ὑπουργοὺς ὑμᾶς ἕως τοῦ νῦν εἶχε, etc., ubi vox παπᾶς clericis convenit, non copiarum ducibus, uti vult vir magnus.

(2) *Ἄπειρόν τι πλῆθος. Chronic. Alexandr.* an. 4 Heracl. Theophan. et Cedren. an. 5.

τος, πρὸς δὲ καὶ χρημάτων, ἄργυρον μὲν καὶ χρυσὸν ἐδανείσατο ἐκ τε τῆς Μεγάλης ἐκκλησίας καὶ τῶν λοιπῶν εὐαγῶν οἴκων, καὶ διὰ τούτων ἔκοψε νόμισμα. Λαὸν δ' ἐκ τῶν θεμάτων συνέλεγε, καὶ τούτους πρὸς πολεμικὴν ἐμπειρίαν ἐγύμναζε, καὶ συμμάχους προσεκαλέσατο. Ἐξελθὼν οὖν μετὰ τὴν ἑορτὴν τοῦ Πάσχα τῆς πόλεως, καὶ προσβαλὼν Σαρβάρῳ (3) τῷ τοῦ Χοσρόου ἀρχισατράπῃ, μετὰ βαρείας δυνάμεως κατὰ Ῥωμαίων σταλέντι, τρέπεται τοῦτον, καὶ τὰ στρατεύματα αὐτοῦ συγκόπτει, καὶ μαχαίρας ἔργον ποιεῖ.

ΙϚ'. Ἐν τούτοις παρασπονδήσας ὁ Χαγάνος (4) ἐπῆλθε τῇ Βυζαντίδι, καὶ πρὸ τοῦ τείχους αἱ δυνάμεις αὐτοῦ ἐστρατοπεδεύσαντο, δῃοῦσαι σύμπαντα τὰ ἐκτός. Ὅθεν οἵ τε τῆς πόλεως, καὶ ὁ πατριάρχης καὶ ὁ πατρίκιος ὁ Βῶνος (5) (τούτους γὰρ ἄμφω κηδεμόνας τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου καταλελοίπει, καὶ τῶν κοινῶν πραγμάτων διοικητὰς) ἑτοιμασάμενοι πλῆθος ἀνδρῶν γενναίων κατὰ τῶν Βαρβάρων ἀφροντιστούντων, ὡς μὴ παρόντος στρατεύματος, ἀπροσδοκήτως ἐξέπεμψαν, καὶ πολλὰς αὐτῶν χιλιάδας διέφθειραν (6). Οἱ δέ γε περιλειφθέντες αἰσχρῶς φεύγοντες, ἐς ἤθη τὰ ἑαυτῶν ὑπενόστησαν. Ἡράκλειος δὲ πάλιν ἑτέρῳ σατράπῃ μετὰ τριάκοντα χιλιάδων κατ' αὐτοῦ πεμφθέντι παρὰ Χοσρόου συμμίξας, καὶ τοῦτον ἐτρέψατο, καὶ τοὺς μετ' αὐτοῦ σχεδόν τι πάντας ἀΐδι προΐαψεν. Οἱ δέ γε περιλειφθέντες, ὑποστρέψαντες, καὶ τὰ συμβεβηκότα τοῖς ὁμογενέσιν ἀπηγγελκότες, καὶ πρώην διὰ μίσους ἄγοντες τὸν Χοσρόην, μᾶλλον αὐτοὺς μισεῖν αὐτὸν ἐξηρέθισαν. Ἡράκλειος δὲ καὶ εἰς τὴν ἐνδοτέρω Περσίδα εἰσέβαλε, καὶ τάς τε πόλεις καθῄρει, καὶ τὰ τεμένη τοῦ πυρὸς (7), αὐτῷ ἐκείνῳ τῷ τιμωμένῳ παρ' αὐτοῖς συνδιέφθειρε. Μαθὼν δὲ ἀνῃρημένους οὓς ἔστειλε πρεσβευτὰς ὠργίσθη, καὶ οὐκ ἐφείδετο, ἀναιρῶν τε καὶ πυρπολῶν, καὶ κατα-

A XVI. Interea Chaganus, rupto fœdere, Byzantium aggreditur, castris ante mœnia positis, et quidquid extra urbem erat, incendit. Unde cives, et patriarcha, et Bonus patricius (eos enim ambos Heraclius discedens, filii sui Constantini curatores, et publicarum rerum administratores reliquerat) multos viros fortes, in Barbaros, ut absente exercitu, securos, ex improviso immiserunt, eorumque multa millia occiderunt. Qui superfuere, turpi fuga se in suas sedes receperunt. Heraclius denuo alium quemdam satrapam cum triginta hominum millibus contra se missum a Chosroe, profligavit, et milites ejus pene omnes Orco demisit. Ejus exercitus reliquiæ reversæ domum, nuntiata clade, suos populares jam ante Chosroæ infensos, ad ma-
B jus etiam tyranni odium concitarunt. Heraclius vero etiam in Persiam interiorem penetravit, urbes evertit, templa una cum igne, qui ab illis colitur, delevit: cognitaque legatorum suorum cæde iratus, ferro atque incendio in obvia omnia grassatus est. Quæ dum imperator agitaret, Chosroes Ctesiphontem confugit, delatoque Sarbaro archisatrapa, quasi cum Romanis colluderet, et ipsi conviciaretur, legato illius scribit, ut Sarbarum tollat. Sed tabellario, in itinere a Romanis excepto,

Variæ lectiones et notæ.

(3) *Σάρβαρον*. Niceph. CP. an. 615.

(4) *Ὁ Χαγάνος*. Totam hanc historiam præter Nicephorum *Constantinopolit.* an. 626: *Chronicon Alexandr.* an. 11 Heraclii, Theoph. an. 12, 13, 14, 15, etc., perstringit anonymus scriptor in festum τῆς Ἀκαθίστου, editus a Combefisio, p. 808.

(5) *Ὁ Βῶνος*. Dignitate magister, cujus mortem ad 11 Maii anno 17 Heraclii refert *Chronicon Alexandrinum*. Vide Nicephor. Constantinopol. anno 622 et 626, et Theophanem, an. 12 Heraclii.

(6) *Διέφθειραν*. Victoriam hanc contra Avares narrant præ cæteris Nicephorus Constantinopolit. in Heraclio, pag. 52, 1 edit. quam etiam attigit Georgius Pisides istius ætatis scriptor, in versibus iambicis: Εἰς τὸν ἐν Βλαχέρναις ναὸν (a), quos hactenus ineditos, ex cod. Reg. hic describemus.

Εἰ φρικτὸν ἐν γῇ Θεοῦ ζητεῖς θρόνον,
Ἰδὼν τὸν οἶκον θαύμασον τῆς Παρθένου.
Ἡ γὰρ φέρουσα τὸν Θεὸν ταῖς ἀγκάλαις,
Φέρει τὸν αὐτὸν εἰς τὸ τοῦ τόπου σέβας.
Ἐνταῦθα τῆς γῆς οἱ κρατεῖν τεταγμένοι
Τὰ σκῆπτρα πιστεύουσι τῆς νίκης ἔχειν.
Ἐνταῦθα πολλαὶ κοσμικὰς περιστάσεις,
Ὁ Πατριάρχης ἀγρυπνῶν ἀνατρέπει.
Οἱ Βάρβαροι δὲ ὑπερβάλλοντες τῇ πόλει,
Αὐτὴν στρατηγήσασαν ὡς εἶδον μόνον,
Ἔκαμψαν εὐθὺς τοὺς ἀκαμπεῖς αὐχένας.

Ἄλλως.

Δεῖ γίνεσθαι δευτέραν Θεοῦ πύλην,
Τῆς Παρθένου τὸν οἶκον, ὡς καὶ τὸν τόκον,

C Κιβωτὸς ὄφθη τῆς πρὶν ἐνθεεστέρα,
Οὐ τὰς πλάκας φέρουσα τὰς θεογράφους,
Ἀλλ' αὐτὸν ἔνδον τὸν Θεὸν δεδεγμένη.
Ἐνταῦθα κρουνοὶ σαρκικῶν καθαρσίων
Καὶ ψυχικαὶ λυτρώσεις ἀγνοημάτων.
Ὅσαι γάρ εἰσι προσβολαὶ παθημάτων,
Βλύζει τοσαύτων δωρεὰς τῶν θαυμάτων.
Ἐνταῦθα νικήσασα τοὺς ἐναντίους,
Ἀνεῖλεν αὐτοὺς ἀντὶ λόγχης εἰς ὕδωρ·
Τροπῆς γὰρ ἀλλοίωσιν οὐκ ἔχει μόνη
Θεὸν τεκοῦσα, καὶ κλονοῦσα Βαρβάρους.

(7) *Τεμένη τοῦ πυρός*. Τὰ πυρεῖα. Nicephor. Constantinopol. an. 625. Ναοὺς τοῦ πυρὸς, Theophanes an. 13 Heraclii. Joannes Tzetzes cap. 66.

Ἑπτὰ δὲ χρόνους πολεμῶν Ἡράκλειος τοῖς Πέρ-
[σαις,
Σκάπτων Περσίδα σύμπασαν, καὶ πυρπολῶν, καὶ
[καίων,
D Καὶ τὸν πυρφόρον οὐρανὸν κατέκαυσεν ἐκεῖνον,
Σὺν τοῖς Χοσρόου σύμπασιν οἷς εἶπον ἀνακτόροις,
Καὶ πῦρ Περσῶν κατέσβεσεν, ὅπερ εἰς σέβας εἶχον.
Ἐκ κεραυνοῦ μὲν ἀναφθὲν ὑπὸ Περσέως πάλαι,
Λυκνοκαΐας δὲ πυρσοῖς τοῖς ἀειδιαδόχοις.
Καὶ συνεχέσι δὲ πύρραις, μεγάλαις, λαβροτάταις,
Ἐπιμελῶς τηρούμενον μέχρι τοῦ τότε χρόνου.
Ὑπ' Ἡρακλείου δὲ σβεσθὲν, μέγα πένθος Περσίδι.
Ὡς χρονικοὶ ταῦτα φησὶ, καὶ σὺν αὐτοῖς Πισίδης.

De Pyræo vide observata a Brissonio lib. II, de regno Persar.

(a) *Patrologiæ* tom. XCII, col. 1755 B.

ac Byzantium perducto, magistratus lectas litteras, una cum tabellario ad Sarbarum mittunt. Is lecta epistola, et Chosroæ sententia e tabellario cognita, aliam epistolam confingit, eamque convocatis tribunis et centurionibus recitandam curat. Unde illi iracundia inflammati, communi consilio se ad Romanorum imperatorem conferre statuerunt. Post hæc etiam aliud quiddam accidit ad Chosroæ interitum maturandum. Nam cum multos haberet liberos, rejecto natu maximo Siroe, alii tradere voluit regnum, nomine Merdasæ. Quo Siroes cognito, conciliatis sibi quibusdam satrapis, patrem invadit, eique in vincula conjecto, cum multum auri et pretiosarum gemmarum acervos 85 proposuisset : *Ob hæc*, inquit, *Romanos contra Persas concitasti, et mutuis cædibus et cladibus grassari coegisti. Fruere igitur desideriis tuis.* Deinde filium quoque illius Merdasam, cui regnum destinarat, cæterosque liberos in conspectu illius, ac tum demum ipsum quoque sustulit. Ita regno Persarum potitus, legatos ad Heraclium mittit, Chosroæ interitum illi nuntians, pacemque facta, omnes Romanos captivos dimittit, et venerabilia ligna salutaris crucis, et patriarcham Hierosolymitanum Zachariam illi restituit. Imperator vicissim Persis, qui a Romanis tenebantur, domum redeundi potestatem dedit. His sexennio peractis, et pretiosis lignis ipsoque patriarcha Hierosolyma restitutis, Heraclius anno septimo in regiam regressus, a senatu populoque Byzantino lætis acclamationibus, et cum plausu, splendidissime excipitur.

XVII. Cæterum, in reditu Jacobitarum catholicum, quem illi patriarcham nominant, Hierosolymis incusavit, ut qui Chalcedonense concilium improbaret, neque duas naturas in Christo citra confusionem unitas confiteretur : quod si faceret, ac sententiam eamdem amplecteretur, se illum Antiochenæ Ecclesiæ patriarcham designaturum. At ille homo callidus, et dolis plenus, et concilium se approbare simulat, et duas naturas in Christo unitas se profiteri ait. Sed de voluntatibus et actio-

A στρέφων τὰ ἐν ποσίν. Ὁ μέντοι Χοσρόης, τοῦ βασιλέως τὴν Περσίδα ληΐζομένου καὶ κατατρέχοντος, εἰς Κτησιφῶντα κατέφυγε. Διαβληθέντος δὲ πρὸς αὐτὸν τοῦ ἀρχισατράπου Σαρβάρου, ὡς τὰ τῶν Ῥωμαίων φρονοῦντος, αὐτῷ δὲ λοιδορουμένου, ἐπιστέλλει τῷ ὑποστρατήγῳ αὐτοῦ τὸν Σάρβαρον ἀνελεῖν (8). Τοῦ δὲ τὴν ἐπιστολὴν ταύτην κομίζοντος ἐν τῷ ἀπιέναι συλληφθέντος παρὰ Ῥωμαίων, καὶ ἀπαχθέντος εἰς τὸ Βυζάντιον, γνόντες τὰ ἐν αὐτῇ γεγραμμένα οἱ τῶν κοινῶν πραγμάτων διοικηταὶ στέλλουσι ταύτην, καὶ τὸν αὐτῆς κομιστὴν πρὸς τὸν Σάρβαρον· καὶ ὃς τὰ γεγραμμένα ἀναγνοὺς, καὶ τοῦ γραμματοφόρου πυθόμενος, καὶ μαθὼν τὴν γνώμην Χοσρόου, ἑτέραν πλάττει ἐπιστολὴν κελεύουσαν αὐτόν τε καὶ πολλοὺς ἑτέρους B σατράπας καὶ χιλιάρχους ἀναιρεθῆναι, καὶ τοὺς τοῦ στρατεύματος προὔχοντας. Πείθει δὲ καὶ τὸν τὴν ἐπιστολὴν τοῦ Χοσρόου κομίσαντα λέγειν ὅτι παρὰ Χοσρόου ταύτην ἔλαβε τὴν ἐπιστολήν. Συναγαγὼν οὖν τοὺς τῶν ταγμάτων ἡγεμονεύοντας, ἐν ἐπηκόῳ πάντων τὴν ἐπιστολὴν ἀναγνωσθῆναι πεποίηκε. Θυμοῦ τοίνυν πλησθέντες οἱ τῶν ταγμάτων ἐξάρχοντες, κοινῇ συνέθεντο τῷ βασιλεῖ προσελθεῖν. Ἐπὶ τούτοις (9) καὶ ἕτερόν τι συμβέβηκεν, ὃ τὸν Χοσρόην διώλεσε· παῖδας γὰρ ἔχων πολλοὺς, τὸν ἁπάντων πρεσβύτερον Σιρόην παραγκωνιζόμενος, ἠβουλήθη διάδοχον τῆς ἀρχῆς ἕτερον ποιήσασθαι, καλούμενον Μερδασᾶν. Ὁ γνοὺς ὁ Σιρόης, καί τινας τῶν σατραπῶν ὑποποιησάμενος, ἐπιτίθεται τῷ πατρὶ, δεσμεῖ τε τοῦτον, καὶ χρυσὸν αὐτῷ πολὺν παρατίθησι, καὶ C λίθων τῶν πολυτίμων σωρούς. Διὰ ταῦτα (10), λέγων, *Ῥωμαίοις τοὺς Πέρσας ἐξεπολέμωσας καὶ ἀλλήλοις μάχεσθαι, καὶ διαφθείρεσθαι κυτηναίγκαζες, ἀπόλαυε τοίνυν τῶν ἐφετῶν σοι.* Εἶτα τὸν υἱὸν αὐτοῦ Μερδασᾶν, ᾧ τὴν τῶν Περσῶν ἀνετίθει ἀρχὴν, ἀνεῖλε πρὸ ὀφθαλμῶν αὐτοῦ, ἀλλὰ μὴν καὶ τοὺς ἄλλους παῖδας αὐτοῦ, καὶ ἐπὶ πᾶσι κἀκεῖνον. Ἐγκρατὴς οὖν (11) τῆς τῶν Περσῶν ἀρχῆς γεγονὼς, διαπέμπεται πρὸς Ἡράκλειον, τοῦ Χοσρόου δλεθρον αὐτῷ ἀναγγελιζόμενος, καὶ σπεισάμενος αὐτῷ, πάντας τοὺς ἐν Περσίδι αἰχμαλώτους Ῥωμαίους ἐλευθέρους ἀφῆκε, καὶ τὰ τίμια ξύλα τοῦ σωτηρίου σταυροῦ αὐτῷ ἀποδέδωκε, καὶ τὸν πατριάρχην τῆς Ἱερουσαλὴμ Ζαχαρίαν. Καὶ ὁ βασιλεὺς αὖθις πάντας τοὺς παρὰ Ῥωμαίων κατεχομένους Πέρσας ἀπελθεῖν ἀφῆκε πρὸς τοὺς οἰκείους. Ταῦτα ἐν ἓξ ἔτεσιν ἀνύσας Ἡράκλειος, καὶ ἀποκαταστήσας τῇ Ἱερουσαλὴμ τὰ τίμια ξύλα, καὶ τὸν πατριάρχην αὐτὸν, τῷ ἑβδόμῳ ἐπανῆλθεν εἰς τὰ βασίλεια, μετ' εὐφημίας καὶ κρότων (12) ἐσχθεὶς καὶ λαμπρότητος, παρά τε τῆς γερουσίας καὶ τοῦ πλήθους τῆς πόλεως.

IZ'. Γενομένῳ δὲ τῷ βασιλεῖ Ἡρακλείῳ κατὰ D τὴν Ἱερουσαλὴμ, ὁ τῶν Ἰακωβιτῶν καθολικὸς (13) προσῆλθεν, ὃν ἐκεῖνοι πατριάρχην ὠνόμαζον. Τούτῳ τοίνυν ὁ βασιλεὺς αἰτίαν προσῆψεν, ὅτι τὴν ἐν Καλχηδόνι μὴ δέχοιτο σύνοδον, μηδὲ δύο φύσεις ἐν Χριστῷ ἡνωμένας ὁμολογεῖ, λέγων ὡς εἰ γε τὴν σύνοδον δέξοιτο, καὶ δύο φύσεις ἡνωμένας ἀσυγχύτως ἐπὶ τοῦ Σωτῆρος Χριστοῦ ὁμολογήσει, ὁμόδοξον αὐτὸν ἡγήσαιτο, καὶ τῆς Ἀντιοχέων Ἐκκλησίας πατριάρχην προβάλοιτο. Ὁ δὲ δεινὸς ὢν καὶ πονη-

Variæ lectiones et notæ.

(8) *Τὸν Σάρβαρον ἀνελεῖν.* At hæ fictæ fuerant ab Heraclio litteræ. Niceph. CP. an. 625.

(9) *Ἐπὶ τούτοις.* Niceph. CP. an. 628.

(10) *Διὰ ταῦτα.* Aliis verbis hæc recitat Nicephorus CP.

(11) *Ἐγκρατὴς οὖν. Chronicon Alexandr.* an. 18 Heracl. Nicephor. CP. an. 628.

(12) *Μετ' εὐφημίας καὶ κρότων.* Hunc apparatum Nicephorus CP. Theophanes et Cedren. an. 18 memorant.

(13) *Ὁ τῶν Ἰακωβιτῶν καθολικός.* Athanasius, Theoph. an. 20 Heracl ; Cedren. an. 23.

ρίας μεστὸς, ἵνα μὴ ἀτευκτήσῃ τῆς βασιλικῆς ὑποσχέσεως, τήν τε σύνοδον ὑποκεκριμένως ἐδέξατο καὶ δύο φύσεις ἐπὶ Χριστοῦ λέγειν ἡνωμένας κατέθετο. Περὶ δέ γε τῶν θελημάτων καὶ τῶν ἐνεργειῶν ἐπυνθάνετο, εἰ διττὰ ταῦτα λέγειν χρεών, ἢ ἑνιαῖά τε καὶ μοναδικά; Ὁ δ' αὐτοκράτωρ γράφει περὶ τούτου δὴ τοῦ ζητήματος πρὸς τὸν Κωνσταντινουπόλεως Σέργιον. Κἀκεῖνος πάλαι τὰ τῆς Μονοθελητῶν πρεσβεύων αἱρέσεως, μίαν φυσικὴν θέλησιν καὶ μίαν ἐνέργειαν δεῖν δογματίζειν ἐπὶ Χριστοῦ, τῷ βασιλεῖ ἀνταπέστειλεν. Ἀλλὰ καὶ Κῦρον (14) ἐρωτήσας τὸν Φάσιδος, τῷ Σεργίῳ εὗρηκεν ὁμογνώμονα. Τούτοις καὶ αὐτὸς ὑπαχθεὶς ὁ Ἡράκλειος, τῆς δόξης γίνεται ταύτης, καὶ ἀνατροπὴν ποτίζεται θολερὰν παρὰ τῶν μισθωτῶν, ἀλλ' οὐ ποιμένων ἐκείνων. Τοῦ Σωφρονίου (15) μέντοι τοῦ ἱεροῦ τοῦ ἐν Ἱεροσολύμοις ἀρχιερατεύοντος, τότε τοὺς ὑφ' ἑαυτὸν ἀρχιερεῖς συναθροίσαντος, καὶ συνοδικῶς ἀποδείξαντος, τοὺς μίαν λέγοντας θέλησιν καὶ ἐνέργειαν ἐπὶ τῶν δύο φύσεων τοῦ Χριστοῦ, μίαν ἀντικρυς καὶ φύσιν κηρύττειν· σύμψηφον δὲ σχόντος ἐπὶ τούτῳ, καὶ τὸν θρόνον τῆς πρεσβυτέρας Ῥώμης διέποντα Ἰωάννην· ὁ βασιλεὺς προέθετο πρόγραμμα, μήτε ἐνιαίαν ἐνέργειαν, μήτε διττὴν ἐν Χριστῷ δογματίζεσθαι. Ὃ καταγέλαστον οὐ τοῖς ὀρθόφροσιν ἐδόκει μόνον, ἀλλὰ καὶ τοῖς Σεβήρου ὁμόφροσι. Σεργίου (16) δὲ τοῦ τὸν θρόνον ἔχοντος Κωνσταντινουπόλεως τὴν ζωὴν καταστρέψαντος, Πύρρος αὐτὸν διεδέξατο, τὰ αὐτὰ ἐκείνῳ δοξάζων, καὶ τὰ Σεβήρου καὶ Κύρου σέβων τε καὶ κυρῶν. Ὑποστρέφοντι δὲ τῷ βασιλεῖ τούτῳ ἐκ Περσίδος τροπαιοφόρῳ, πρόσεισι Μωάμεθ (17) ὁ τῶν Σαρακηνῶν φύλαρχος, οὐκ ἐκ γένους τὸ φυλαρχεῖν κληρωσάμενος (τῶν γὰρ ἀσήμων ἐτύγχανεν ὤν) ἀλλὰ πονηρίᾳ τοῦτο κτησάμενος. Πένης γὰρ ὢν παρά τινι γυναικὶ ὁμοφύλῳ πλουσίᾳ χήρᾳ ἐθήτευεν, ἣν ἔγημε, γοητείαις ὑπαγαγὼν εἰς ἔρωτα ἑαυτοῦ. Ἐπιληψίας δὲ νοσήματι συνεχόμενος, καὶ κατὰ καιροὺς αὐτῷ τοῦ πάθους προσβάλλοντος, πίπτων καὶ τῶν φρενῶν ἐξιστάμενος, ἀθυμίας αἴτιος τῇ ἑαυτοῦ κυρίᾳ καὶ γαμετῇ καὶ αἰσχύνης ἐγίνετο. Ὁ δὲ αὐτός τε πονηρὸς ὢν, καί τινι δὲ μοναχῷ πονηροτέρῳ ἑαυτοῦ ἐντετυχηκὼς, διὰ κακοπιστίαν φυγαδευθέντι τῆς Βυζαντίδος, καὶ παρ' αὐτοῦ διδαχθείς, ἔλεγε τῇ γυναικὶ τὸν Γαβριὴλ τὸν ἀρχάγγελον οὐρανόθεν αὐτῷ φοιτῶντα, θεῖά τινα μυεῖν καὶ ἀπόῤῥητα, μὴ φέρειν δὲ τὴν τούτου θέαν, καὶ διὰ τοῦτο ἰλιγγιᾷν καὶ φόβῳ συνέχεσθαι καὶ πρὸς γῆν κατακλίνεσθαι. Ταῦτα δ' εἶχεν αὐτῷ συμμαρτυροῦντα καὶ τὸν μοναχὸν ἐκεῖνον τὸν δόλιον, καὶ τῇ γυναικὶ λέγοντα ὅτι ὡς ἀληθῶς πᾶσι τοῖς προφήταις οὗτος ὁ Γαβριὴλ ἐπιπέμπεται. Ἐντεῦθεν ἡ γυνὴ ἀποσκευαζομένη τὸ ὄνειδος, ἐγκαυχωμένη δὲ μᾶλλον ὡς συνοικοῦσα προφήτῃ, τὸν λόγον τοῦτον εἰς τὰς λοι-

nibus percontatur, utrum eas duplices an vero unas et singulas dici fas sit? Eam quæstionem imperator ad Sergium patriarcham Constantinopolitanum scribit. Qui cum pridem Monothelitarum hæresim probaret, unam naturalem voluntatem, et unam actionem in Christo statuendam esse imperatori rescribit, Rogato Cyro Phasidis episcopo, eum quoque idem sentire cum Sergio intelligit. Quorum auctoritate motus Heraclius, et ipse eamdem opinionem amplectitur, et turbidam aquam bibit ab illis non pastoribus, sed mercenariis exhibitam. Verum cum sanctus Sophronius tum summo sacerdotio fungens Hierosolymis, subjectis sibi sacerdotibus convocatis, per concilii modum demonstrasset: qui unam in duobus Christi naturis voluntatem atque actionem affirmarent, eos palam unam quoque **86** naturam statuere, eique Joannes papa Romanus assensus esset, imperator edictum proponit: Neque singularem, neque binariam in Christo actionem, esse asserendam. Id edictum non orthodoxis tantum, sed Severi etiam sectatoribus, ridiculum visum. Sergio patriarchæ Constantinopolitano defuncto, Pyrrhus ejusdem opinionis successit, sententiæ Cyri et Severi et admirator et approbator. In eodem triumphali ex Persia reditu, Moametus Saracenorum princeps imperatorem convenit. Ei principatus non ex nobilitate generis contigerat. Nam cum pauper esset, locupleti cuidam viduæ mercede servierat, quam præstigiis quibusdam in amorem sui pellectam, uxorem duxerat. Sed quia comitiali morbo laborabat, et ex intervallis impetu illius mali prostratus, mente alienabatur; dominæ suæ uxorique et mœrori et pudori fuit. Caterum homo improbus, monachum se nequiorem nactus, ob perversam religionem Byzantio exactum: illius instinctu, uxori ait archangelum Gabrielem de cœlo ad se descendentem, divina quædam arcanaque sibi revelare: cujus conspectum quia ferre non possit, se oborta ex metu vertigine, humi procumbere. Ea verba testimonio dolosi monachi confirmabantur, qui mulieri dicebat, omnino Gabrielem ad omnes prophetas mitti solere. Ex eo mulier, abolito dedecore, ac potius prophetæ conjugio glorians, fabulam istam inter cæteras mulieres spargit. Sic impurus ille apud suos populares, prophetæ nomen consecutus, et uxoris mortuæ hæreditate locupletatus, Ismaelitici gentis princeps, doctor et legislator est habitus, cum alios verbis seduxisset, alios imperium detrectantes stricto gladio sibi cedere coegisset: jam enim manum non contemnendam fecerat. Is igitur ex Æthribo progressus imperatorem convenit, et regionem ad habitandum petitam accepit. Cumque omnes populares suos

Variæ lectiones et notæ.

(14) *Κύρον. Φάσιδος ἐπίσκοπον.* Theoph.
(15) *Τοῦ Σωφρονίου.* Theophan. an. 20 Heracl.
(16) *Σεργίου.* Niceph. CP. sub indict. 12.
(17) *Μωάμεθ.* Theophanes an. 12, 21 Heracl. Cedren. an. 21.

ad hunc modum deceptos subegisset, Syriam direptionibus vexavit, et multas Romanorum provincias evastavit. Ex eo tempore gens Ismaelitarum Romanorum terram incursare et prædari nunquam destitit. Heraclius autem ita, uti exposui, in s. etiam Monothelitarum devolutus, aqua intercute laborare cœpit. Fertur etiam 87 inguine sursum converso faciem suam perminxisse, nisi urina, tabella imo ventri opposita, averteretur. Id ei accidisse creditum ob incestum cum fratris filia coitum. Mortuus est, cum annos triginta unum Romano imperio præfuisset.

πὰς γυναῖκας προήνεγκε, καὶ οὕτως ὄνομα προφήτου παρὰ τοῖς ὁμοφύλοις ὁ μυσαρὸς ἐκεῖνος ἐκτήσατο. Θανούσης δὲ τῆς γυναικὸς ἐκείνης, τῶν ἐκείνης κληρονόμος γενόμενος καὶ Φύλαρχος καὶ διδάσκαλος καὶ νομοθέτης τοῦ ἔθνους τῶν Ἰσμαηλιτῶν ἐχρημάτισε, τοὺς μὲν λόγοις ἀπατῶν, τοῖς δὲ μὴ εὐχερῶς αὐτῷ πειθομέναις τὸ ξίφος ἀνατεινόμενος, καὶ ὑποκλίνεσθαι οἱ ἐκβιαζόμενος. Ἤδη γὰρ καὶ χεῖρα περὶ αὐτὸν συνήγαγεν ἱκανήν. Οὗτος οὖν ἐκ τῆς Αἰθρίβου προϊὼν προσῆλθεν τῷ βασιλεῖ, χώραν αἰτῶν εἰς κατοίκησιν, καὶ ἔλαβεν. Ὃν δ' εἴρηται τρόπον τὸ ἔθνος ἅπαν κατασοφισάμενος, καὶ ὑφ' ἑαυτὸν ποιησάμενος, τήν τε Συρίαν (18) κατέδραμε καὶ ἐληΐσατο, καὶ τῶν Ρωμαϊκῶν (19) χώρας πολλὰς ἐξεπόρθησε, καὶ ἐκ τότε οὐκ ἐπαύσατο τὸ τῶν Ἰσμαηλιτῶν γένος τὴν Ῥωμαίων ἅπασαν γῆν κατατρέχον καὶ ληΐζόμενον. Ἡράκλειος δὲ, ὡς εἴρηται, εἰς τὴν τῶν Μονοθελητῶν ἐκκυλισθεὶς αἵρεσιν, νόσῳ περιπίπτει ὑδερικῇ. Λέγεται δὲ καὶ τὸ αἰδοῖον αὐτοῦ στρεφόμενον, ἄνω τὸ οὖρον πέμπειν, καὶ εἰ μὴ σανὶς ἐν τῷ ἴτρῳ αὐτοῦ ἐτίθετο, κατὰ τοῦ προσώπου αὐτοῦ ἐκκρινόμενον ἀνεδίδατο. Ὃ συμβαίνειν ἐδόκει, διὰ τὴν ἔκθεσμον μίξιν τῆς ἀδελφοπαιδος. Θνήσκει γοῦν ὁ βασιλεὺς οὗτος τριάκοστον ἐφ' ἑνὶ χρόνον ἀνύων ἐπὶ τῇ βασιλείᾳ Ῥωμαίων.

XVIII. Imperium autem et summa potestas ad ejus filium Constantinum successione devenit: quo non diu est lætatus. Nam cum unum regnasset annum, veneno periit, a Martina noverca, eademque patrueli, temperato. Uxorem habuit Gregoriam, Niceiæ patricii filiam, e qua Constantem suscepit. De religione recte sensit, paterni imperii duntaxat, non item perversæ opinionis hæres. Qua de causa, Pyrrhus etiam patriarcha, conscius fuisse insidiarum putatur. Constantino ita defuncto, Martina cum filio Heraclona imperium sibi vindicabat, quo et ipsi cito exciderunt. Nam ob Constantini parrici-

ΙΗ'. Μεταβαίνει (20) δὲ ἡ αὐταρχία πρὸς τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον, ἧς βραχύ τι ἀπώνατο. Ἕνα γὰρ μοναρχήσας ἐνιαυτὸν φαρμάκῳ διώλετο, παρὰ Μαρτίνης αὐτῷ κερασθέντι τῆς μητρυιᾶς τε αὐτοῦ καὶ ἐξαδέλφης αὐτοῦ· ᾧ γυνὴ συνῴκιστο Γρηγορία (21) θυγάτηρ τοῦ πατρικίου Νικήτα, ἐξ ἧς υἱὸς αὐτῷ Κώνστας ἐγένετο. Ἦν δὲ ὁ Κωνσταντῖνος (22) περὶ τὴν πίστιν ὀρθὸς, τὴν βασιλείαν πατρόθεν διαδεξάμενος, οὐ μέντοι καὶ τὸ κακόδοξον. Διὸ λέγεται τῆς κατ' ἐκείνου ἐπιβουλῆς, καὶ τὸν Πύρρον συμμετέχειν τὸν τῆς Κωνσταντινουπόλεως πρόεδρον. Τούτου δὲ οὕτω τὸν βίον καταλύσαντος, Μαρτῖνα σὺν τῷ

Variæ lectiones et notæ.

(18) *Τήν τε Συρίαν.* Quando primum Saraceni Mahumeto duce Romanorum provincias incursare cœperint, docet Stephanus Mathematicus apud Constantinum Porph. *De Adm. Imp.* cap. 16.

(19) *Καὶ τῶν Ῥωμαίων.* Huc referri debent quæ habet scriptor *Chronici Orientalis* in Benjamino Patr. Alexandrino: *Heraclius autem imperator in somnio vidit quemdam sibi dicentem: Futurum est ut gens quædam circumcisa te invadat, superet, et tui partem occupet imperii: qui Judæos hos esse ratus est. Quamobrem omnes Judæos et Samaritanos qui in imperio ejus erant, baptizari jussit. Sed non multo post apparuerunt Moslæmani, quamobrem Heraclius omnes suos collegit exercitus ab Ægypto usque Asuanem, et tributum appendit Moslæmanis octo annis, donec exhausti sunt omnes ejus thesauri.* Qua quidem tempestate, anno scilicet 21, seu ut alii volunt anno 18 Heraclii, Antiochia in eorum potestatem venit, quod et tradit Aythonus in *Hist. Orient.* cap. 15: *Anno Dom. 652 maledictum semen perfidi Muhumeti regnum Syriæ introivit, et Saraceni expugnantes Damasci opulentissimam civitatem, de manibus Græcorum, qui illam longo tempore tenuerunt, abstulerunt, et postea in brevi tempore totum regnum Syriæ occupaverunt. Postea vero obsederunt magnam Antiochiæ civitatem, in qua Græci illo tempore morabantur. Imperator Heraclius Augustus Romanum administrans imperium hoc audiens misit magnum subsidium Græcis, ut civitatem tuerentur a perfidis Saracenis: et dum gentes imperatoris Heraclii ad quamdam planitiem pervenissent, quam Possene nominant, Saracenique ex opposito venientes, cum eis bellum crudelissimum inierunt. Magna fuit quidem altercatio inter eos, sed obtinuerunt finaliter Agareni, et in illo conflictu bellatorum innumerabilis cecidit multitudo, et usque nunc apparent ibi ossa cadaverum in maxima quantitate. Unde accidit quod Græci qui in civitate degebant, nimio pavore perterriti, ipsam civitatem Antiochiæ Sarracenis cum certis pactis et conventionibus reddiderunt.* Deinde ut Ciliciam, Paphlagoniam, Lycaoniam, et alias Asiæ provincias invaserint Sarraceni, narrat. Adde Nicephor. Constantinopolit. pag. 69, 1 edit. Cedren. p. 429; Sigebert. anno 640, etc.

(20) *Μεταβαίνει.* Aliis verbis tres codd. Regii: Ἡ δὲ βασιλεία καὶ τὰ τῆς αὐταρχίας εἰς τὸν Κωνσταντῖνον μεταβεβήκασι, τὴν δὲ Ῥωμαίων ἡγεμονίαν πρόσθεν διαδεξάμενον, etc. Cod. alius: Ἐπὶ τῇ βασιλείᾳ αὐτοῦ, καὶ μεταβαίνει ἡ αὐταρχία πρὸς τὸν υἱὸν, etc. Sic in verbis servato sensu variant interdum codices.

(21) *Γρηγορία.* Anastasiam vocat Chronicon ms. ab Adamo ad Leonem. Phil. in eodem Constantino: Οὗτος φαρμακεῖται ὑπὸ τῆς ἰδίας μητρυιᾶς Μαρτίνης, καταλιπὼν τὸν υἱὸν Κώνσταν· ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων ἐν τῷ ἡρώῳ Ἰουστινιανοῦ· γυνὴ δὲ τούτου Ἀναστασία, ἥ καὶ μετὰ τὴν αὐτῆς τελευτὴν συνετάφη τῷ ἀνδρί. His consentit Cedrenus. Vide conjecturam nostram in *Familiis Augustis Byzantinis.*

(22) *Κωνσταντῖνος.* Quem et Heraclëonam cognominatum scribit Georgius Hamartolus in Chron. ms. μετὰ δὲ Ἡράκλειον, ἐβασίλευσε ὁ Κωσταντῖνος ὁ υἱὸς αὐτοῦ ὁ λεγόμενος Ἡρακλεονᾶς, μονοθελητὴς καὶ αὐτός.

Ἡρακλωνᾷ τῷ παιδὶ τῆς βασιλείας ἀντέσχοντο· ἀλλὰ καὶ οὗτοι (23) ταχέως τῆς ἀρχῆς ἐκπεπτώκασι. Μετῳθεῖσα γὰρ ἡ Μαρτῖνα παρὰ τῆς γερουσίας διὰ τὸν φόνον τοῦ Κωνσταντίνου, κατασπᾶται μὲν τῶν βασιλείων, ἐπαναστάσης αὐτῇ τῆς συγκλήτου. Ἐκτέμνεται δὲ τὴν γλῶτταν αὐτῇ, τὴν ῥῖνα δὲ καταψηφίζεται, ἀρξάντων..... Καὶ ὁ Πύῤῥος τῆς

ΙΘ'. Ἐντεῦθεν εἰς μὲν τὸν βασίλειον θρόνον Κώνστας, ὁ ἔγγονος Ἡρακλείου, υἱὸς δὲ τοῦ Κωνσταντίνου παρὰ τῆς συγκλήτου καθίζεται· εἰς δὲ τὸν ἀρχιερατικὸν Παῦλος ἀντικαθίσταται. Καὶ οὗτος δὲ περὶ τὴν πίστιν ὡμογνωμόνει τοῖς πρὸ αὐτοῦ, Σεργίῳ καὶ Πύῤῥῳ δηλαδή. Ὁ γοῦν αὐτοκράτωρ Κώνστας τἆλλα μὲν οὐκ ἀχρεῖος γέγονε βασιλεύς, περὶ δὲ τὸ σέβας τῷ πάππῳ ὡμοίωτο. Καὶ οὗτος γὰρ τὴν τῶν Μονοθελητῶν ἐπρέσβευσεν αἵρεσιν. Διὸ τόν τε σοφώτατον ἄνδρα καὶ θειότατον τὸν μέγιστον Μάξιμον καὶ τοὺς αὐτοῦ φοιτητὰς ἄμφω ἐκόλασεν ἀπηνέστατα, καὶ Μαρτῖνον τὸν ἁγιώτατον πάπαν τῆς Ῥώμης ὑπερορίᾳ κατέκρινεν, ἐν ᾗ καὶ ἀπέθανεν. Ὅς σὺν τῷ ἀοιδίμῳ πατρὶ Μαξίμῳ παραγενομένῳ ἐν Ῥώμῃ, σύνοδον ἀθροίσας ἀρχιερέων, ἀναθέματι τοὺς τὰ τῶν Μονοθελητῶν φρονοῦντας ὑπέβαλε, καὶ ἄλλους δὲ πολλοὺς τῶν ὀρθοδόξων ὁ Κώνστας ἐτιμωρήσατο, μὴ θελήσαντας ὑποκύψαι τῷ αὐτοῦ Μονοθελήτῃ θελήματι. Ἤδη δὲ τῶν Σαρακηνῶν μέγα δεδυνημένων, καὶ πολλὰς τῶν Ῥωμαίοις ὑποφόρων χώρας καὶ νήσους σφετερισαμένων, ὁ τούτων ἀρχηγὸς Μαβίας πολεμιστηρίας πλείστας νῆας πηξάμενος, ἐπιθέσθαι διεμελέτα τῇ Ῥωμαίων ἡγεμονίᾳ. Ὅπερ ὁ Κώνστας μαθὼν καὶ αὐτὸς στόλον ἑτοιμάσας εἰς τὸ τῆς Λυκίας κατῆρε νεώριον, ὀνομαζόμενον Φοίνικα (24)· οὗ γενομένων καὶ τῶν Ἀγαρηνῶν, ναυμαχία τῇ ἑξῆς γενήσεσθαι ἔμελλεν. Ὁρᾷ γοῦν ὁ βασιλεὺς κατὰ τὴν νύκτα ἐκείνην ἐνύπνιον ὅτι ἐν Θεσσαλονίκῃ ἦν. Ὁ τῶν λογίων τινὶ κοινωσάμενος, ἤκουσεν ἥττης εἶναι τὸ ὄναρ δηλωτικόν, Ἄλλῳ θὲς τὴν νίκην, δηλοῦν· ὃ καὶ γέγονε. Ναυμαχίας γὰρ γενομένης, ὑπερέσχον οἱ ἀντιπόλεμοι, καὶ τοσοῦτος γέγονε φόνος Ῥωμαίων ὡς ἐκ τοῦ αἵματος πορφυρωθῆναι τὴν θάλασσαν· ὁ δὲ βασιλεὺς, ἐσθῆτα φαύλην ἐνδὺς, καὶ εἰς πλοῖον ἐμβεβηκὼς τὸ παρατυχὸν, μετά τινων ὀλίγων διέδρα, καὶ εἰς τὸ Βυζάντιον διασέσωττο. Οἱ Ἀγαρηνοὶ δὲ, μηδενὸς ἔτι αὐτοῖς ἐναντιουμένου, ὁμόσε κατὰ πάντων ἐχώρουν. Τότε καὶ τὴν νῆσον Ῥόδον ὑφ' ἑαυτοὺς ποιησάμενοι, τὸν ἐν αὐτῇ περίπυστον Κολοσσὸν (25) καθη-

XIX. Deinde Constans Heraclii nepos, Constantini filius in regnum, Paulus in pontificium solium collocatur. Qui Paulus et ipse ejusdem cum Sergio et Pyrrho opinionis fuit. Ipse quoque Constans, aliis quidem in rebus, non inutiliter administravit imperium, sed in religione avum imitatus, Monothelitarum sectam est sectatus. Qua de causa Maximum, vere suo nomini respondentem, virum doctissimum et sanctissimum, et ambos ejus discipulos, crudelissimo supplicio affecit, ac Martinum sanctissimum papam Romanum in exsilium egit, in quo et mortuus est. Nam is cum sancto Maximo Romam profecto, coacto prmorum sacerdotum concilio, anathemate notarat Monothelitarum assensores. Alios quoque complures, Constans unicæ voluntati suæ refragantes, pœnis affecit. Cum autem jam Saraceni magnam adepti potentiam, multas provincias Romanis tributarias et insulas occupassent, dux eorum Mabias bellicis navibus ædificatis, Romanum imperium invadere cogitabat. Quo Constans intellecto, et ipse classe comparata in Phœnice **88** Lyciæ portu appulit. Quo cum et Agareni venissent, ac pugna postridie committenda esset : ea nocte imperator in somnis se Thessalonicæ esse videt. Eo somnio conjector cladem illi portendi dixit, quod θὲς ἄλλῳ νίκην significaret, alteri victoriam tribuendam : idque accidit. Commisso enim prælio, hostes superiores evasere, tanta Romanorum cæde edita, ut mare illorum sanguine purpurasceret, et Constans vili veste indutus, fortuito navigio conscenso, cum paucis Byzantium evaderet. Agareni vero jam obsidente nemine, invadebant omnia. Tunc etiam Rhodo insula subacta, celebratum in ea Colossum demoliti sunt, cujus æs Judæus quidam mercatus, cccccc camelis fertur asportasse. Cæterum Agarenorum audacia, qua Romanos lacessebant, aliquantisper nonnihil est repressa, orta inter eos de duce exercitus controversia, aliis Mabiam, aliis Alimum Muchumeti generum præferentibus, ac biennii

Variæ lectiones et notæ.

(23) Ἀλλὰ τῷ οὗτοι. In codd. mss. ἀλλὰ καὶ οὗτοι τάχιστα.

(24) *Φοίνικα.* Istius portus videtur meminisse Codinus in *Orig. Constantinopol.* n. 112.

(25) *Περίπυστον Κολοσσόν.* Eudoxia Macrembolitissa uxor Diogenis Romani in Ioniis mss. Ἡ Ῥόδος ἄλλα τε ἔσχε θαυμαστὰ, καὶ τὸν τοῦ Ἡλίου δὲ κόλοσσον, Χάρητος ἔργον, ἀνδρὸς Λινδίου· ἡ δὲ πόλις ἐν Ῥόδῳ· Κερκάφου τοῦ Ἡλείου καὶ Κυδίππης τῆς Ὀρχίμου θυγατρὸς κτίσμα, πήχεων ἑβδομήκοντα· καὶ ἦν καὶ αὐτὸς ἓν τῶν ἑπτὰ θεαμάτων. Ἐπὶ Σελεύκου καὶ γὰρ τοῦ Νικάνορος οἱ Ῥόδιοι, θαλασσοκρατήσαντες, ἀνέστησαν τοῦτον τὸν χαλκοῦν ἀνδριάντα· ὃν διὰ τὸ μέγεθος ἐκάλεσαν κολοσσὸν, ἀφ' οὗ καὶ αὐτοὶ Κολοσσαεῖς ὠνομάσθησαν ὡς ἐκ μεγάλου παρασήμου. Ἐπὶ δὲ Κώνσταντος ἐγγόνου Ἡρακλείου οἱ Σαρακηνοὶ τὴν Ἁγίαν γῆν πᾶσαν, καὶ Δαμασκὸν, καὶ τὴν χώραν πᾶσαν τῆς Φοινίκης κατέσχον· ἐπὶ οὖν περικρατεῖς γενόμενοι τῆς ἁγίας γῆς ἐκείνης, καὶ σφόδρα πλεονάσαντες καὶ περισχύσαντες, ἐξώπλισε πλοῖα πάμπολλα Μανίας ὁ τούτων ἀρχηγὸς, καὶ τὴν Ῥόδον καταλαβὼν, τὸν

inducias cum Romanis tributa pollicitis fecerunt. Sub Constante multæ Romanorum provinciæ terræ motu ventorumque procellis, quæ multa ædificia dejecere, afflictæ sunt. Patriarcha Paulo cum XII annos Ecclesiæ nefarie præfuisset, mortuo, Pyrrhus duodecimo anno imperii Constantis in sedem urbis pastoralem revocatur. Nam cum, ut dictum est, Ecclesia excidisset, Romam profectus, et a sancto Maximo pravæ opinionis convictus : se deseruisse Monothelitarum opinionem simulat, libellumque de fide sua papæ petenti offert, a quo approbatus est. Inde clam Ravennam digressus, hæresim celare non potuit. Quo papa comperto, convocatis suis episcopis, eum penitus condemnat. Is igitur denuo sede Constantinopolitana per menses quatuor potitus, moritur. Ei succedit Petrus, et ipse a prioribus non dissentiens, quo post annos XII mortuo, Thomas veræ sententiæ defensor orthodoxis præfuit, qui post annos duos et menses septem mortuus, Joannem habuit successorem. Verum Constans ob cæsum fratrem Theodosium, et admissa in papam Martinum et illustrem Maximum facinora, civibus se invisum esse cernens, in Siciliam profectus, circa Syracusas vitam agit, atque imperium etiam Romam veterem **89** transferre voluit. Dicebat enim, plus honoris deberi matribus quam filiabus. Eaque de causa, imperatricem et tres filios suos, Constantinum, Heraclium et Tiberium ad se accersivit. Sed quominus abirent, vel a cognatis retenti, vel ab urbana multitudine prohibiti fuerunt. Cum autem sex annos in Sicilia vixisset, inde non rediit, sed inter lavandum per insidias est occisus, capiti situla graviter impacta, qua calida aqua perfundi solebat, anno imperii septimo et vicesimo extinctus.

ΚΣ'. Ἤδη δὲ τῆς βασιλείας τυχὼν ὁ Φιλιππικὸς, κατὰ τῆς ἕκτης οἰκουμενικῆς συνόδου ὡπλίσατο, καὶ σύνοδον ἀθροίσας ὁ μάταιος ἠκύρωσεν ὅσον τὸ κατ' αὐτὸν δι' αὐτῆς τὴν ἁγίαν ἐκείνην σύνοδον. Λέγεται γὰρ ἄρτι τοῦ Λεοντίου τῶν σκήπτρων ἐπειλημμένου, χρησμοδοτῆσαι τούτῳ δή τῳ Φιλιππικῷ τὴν εἰς τὸν βασίλειον θρόνον ἀναγωγὴν μοναχόν τινα ἔγκλειστον ὄντα ἐν τῇ τοῦ Καλλιστράτου μονῇ, καὶ τῆς προρρήσεως αἰτῆσαι μισθὸν τὴν τῆς ἕκτης συνόδου ἀθέτησιν (ἦν γὰρ τῆς τῶν Μονοθελητῶν ὁ μοναχὸς ἐκεῖνος αἱρέσεως), καὶ τὸν ὑποσχέσθαι. Τὴν μὲν οὖν οἰκουμενικὴν ἕκτην σύνοδον ἠκύρωσεν, ὡς ἐδόκει. Αὐτὸς δὲ, σωροὺς χρημάτων ἐκ παλαιοτέρων θησαυρισθέντας αὐτοκρατόρων ἐν τοῖς βασιλείοις εὑρών, εἰς οὐδὲν δέον τούτοις χρώμενος, τὰ πλείω διεσκόρπισε διὰ βραχέος καιροῦ· καὶ τάχα καὶ ἅπαντα κατηνάλωσεν ἄν, εἰ ἐπὶ πλέον τῇ βασιλείᾳ προσέμεινεν. Ἐν μὲν γὰρ τῷ λέγειν ἐδόκει ῥητορικώτατος, μὴ ἀμοιρῶν τε συνέσεως· ἐν δὲ τῷ πράττειν ἦν ξυμπάντων ἀσυνετώτατος, καὶ πάμπαν ἀδέξιος. Κῦρον δὲ τὸν πατριάρχην ἐξωθήσας (40)

XXVI. Jam potitus imperio Philippicus, contra C sextam œcumenicam synodum se armavit, indictoque concilio homo vanus, quantum in ipso fuit, sacram illam synodum abrogavit. Nam Leontio recens sceptrum adepto, fertur inclusus quidam monachus in Callistrati monasterio, qui Monothelitarum sectam probaret, huic Philippico regni adeptionem prædixisse, ejusque prædictionis mercedem sextæ synodi abrogationem stipulatus, et hic pollicitus esse. Ac sextam **98** œcumenicam synodum abrogavit, ut putabat. Cum vero acervos pecuniarum a veteribus imperatoribus cumulatos in regia reperisset, majorem partem in nullos usus necessarios collatam dissipavit exiguo tempore: ac omnem forsan absumpsisset, D si diutius imperium tenuisset. Nam in dicendo quidem disertissimus habebatur, nec prudentiæ expers: ad res autem gerendas erat omnium ineptissimus, et ingenio plane sinistro. Cyrum patriarcham Ecclesiæ, quam per sex annos tenuerat, exegit, et Joannem assensorem suum in ea

Variæ lectiones et notæ.

(40) Ἐξωθήσας. Libellus synodicus Pappi: Καὶ τὸν ἀρχιεπίσκοπον Κῦρον ἐξέωσεν, ἐν τῇ μονῇ τῆς Χώρας ποιήσας αὐτὸν ἔγκλειστον, καὶ ἀντ' αὐτοῦ Ἰωάννην ἐχειροτόνησεν.

collocavit. Sub eo Bulgari Thraciam universam populati, ad ipsam usque urbem incursarunt omnia, magnaque præda, et captivis fere innumeris abductis, domum se receperunt. Sed et Agareni Orientem eodem modo tractarunt. Duobus annis et mensibus aliquot, ex quo imperium susceperat, elapsis, cum ludos equestres celebrasset, et post certamen in Zeuxippi balneo lavisset, quosdam senatores cœnæ adhibuit : vel, ut alii dicunt, eos qui ludis Circensibus vicerant. In eo convivio a quibusdam senatoribus oppressus cæcatur. Id actum est pridie Pentecostes. Postridie, hoc est, in ipsa Pentecoste, et senatus et populus Artemium primum a secretis, imperatorem designant, indito ei nomine Anastasii.

τῆς Ἐκκλησίας, ἐπὶ ἓξ ἔτη ἐν ταύτῃ διαγαγόντα, Ἰωάννην ὀμόδοξον αὐτῷ προσβάλετο. Οἱ μέντοι Βούλγαροι τὴν Θράκην ἅπασαν λῃσάμενοι, τὰ μέχρι τῆς πόλεως κατέβραμον ἅπαντα, καὶ λείαν πολλὴν καὶ αἰχμαλώτους λαβόντες σχεδὸν ὑπὲρ ἀριθμὸν, ἀπενάστησαν. Ἀλλὰ μὴν καὶ τὰ πρὸς ἀνίσχοντα ἥλιον ὁμοίως οἱ τῆς Ἄγαρ διέθεντο. Δύο δὲ παρελθόντων ἐνιαυτῶν καὶ μηνῶν τινων, ἑξότου τῆς βασιλείας ἐκράτησεν, ἱππήλατον ἐπιτελέσας ἀγῶνα, καὶ ἐν τῷ τοῦ Ζευξίππου μετὰ τὸν ἀγῶνα λουσάμενος λουτρῷ, συσσίτους τινὰς τῶν τῆς συγκλήτου πεποίητο, ὡς δ' ἔνιοι λέγουσι, τοὺς ἐν τῇ τῶν ἵππων ἁμίλλῃ νικήσαντας. Κατακείμενος οὖν ἐν τῷ συμποσίῳ, παρά τινων τῶν τῆς γερουσίας κατασχεσθεὶς, τυφλοῦται (41). Ταῦτα δ' ἐπράχθη κατὰ τὸ Σάββατον τῆς Πεντηκοστῆς (42). Τῇ δ' ἐξῆς κατ' αὐτὴν δηλαδὴ τὴν Πεντηκοστὴν, ἀθροισθέντες εἴτε τῆς συγκλήτου βουλῆς, καὶ ὁ δημώδης ὄχλος, Ἀρτέμιον τὸν πρωτοασηκρήτις προχειρίζονται αὐτοκράτορα, μετονομάσαντες Ἀναστάσιον.

XXVII. Hic omni doctrinæ genere eruditus, et rebus gerendis versatissimus fuit. Patriarcha Joanne, ut non orthodoxo, a sede quam triennium tenuerat, avulso, Germanum Cyzico revocatum, in ejus locum substituit, quem a Constantino Pogonato virilibus privatum fuisse supra memoravimus. Cum Alexandrinos in Phœniciam appulisse, ut inde ligna ad fabricandas naves peterent, didicisset : classem instructam contra illos misit, et provincialium quoque naves Rhodum appellere, atque ubi convenissent, contra hostes ire jussit, totius classis duce delecto Joanne Magnæ ecclesiæ Dei diacono, et generali logothéta. Postquam omnes Rhodi convenerant, et Joannes navigationem adornabat : classiarii, ac potius Opsiciani, infensi imperatori, quod navales copias parum commode tractasset, imperium detrectabant : et diaconum eorum contumaciam severius castigantem, maledicta in imperatorem congerentes, **99** statim

ΚΖ'. Ἦν δὲ οὗτος ὁ βασιλεὺς καὶ λόγοις παντοίοις ὡμιληκὼς, καὶ πραγμάτων διοικήσεσιν ἐντριβέστατος. Οὗτος τὸν πατριάρχην Ἰωάννην τοῦ ἀχιερατικοῦ καταπαύσας θρόνου, ὡς μὴ ὀρθόδοξον, ἔτη τρία τῆς Ἐκκλησίας κρατήσαντα, μετατίθησιν ἐκ Κυζίκου ἐπὶ τὴν ἱερὰν καθέδραν τῆς βασιλίδος τῶν πόλεων Γερμανὸν, ὃν ἄνωθί που ὁ λόγος ἱστόρησε παρὰ Κωνσταντίνου τοῦ Πωγωνάτου τῶν παιδογόνων ἀφαιρεθῆναι μορίων. Μαθὼν δὲ ὅτι ἐξ Ἀλεξανδρείας ἐπὶ Φοινίκην πλοῖα προσώρμισαν, ἵνα ξύλα ἐκεῖθεν κομίσωνται ναυπηγήσιμα, στόλον ἑτοιμάσας ἀπέστειλε κατ' αὐτῶν, κελεύσας καὶ τοὺς τῶν θεμάτων στόλους εἰς τὴν νῆσον Ῥόδον κατᾶραι, κἀκεῖ ἑνωθῆναι, καὶ οὕτω ἐκπλεῦσαι κατὰ τῶν ἐναντίων, προβαλόμενος ἄρχοντα τοῦ στόλου παντὸς Ἰωάννην τῆς τοῦ Θεοῦ Μεγάλης ἐκκλησίας διάκονον, καὶ γενικὸν λογοθέτην. Πάντων οὖν εἰς τὴν Ῥόδον συναθροισθέντων, ὁ διάκονος Ἰωάννης πρὸς ἔκπλουν ἡτοίμαστο : οἱ δὲ τοῦ στόλου, καὶ

Variæ lectiones et notæ.

(41) *Τυφλοῦται.* Nihil crebrius in universa Byzantinorum imperatorum historia, quam excæcationis pœna, in rebelles præsertim, vel qui rebellionum et conjurationum participes ac conscii erant : qua quidem ut mortis supplicio longe mitiori sæpe utebantur, dum clementiam testari utcunque vellent. Constantinus Porph. in Basilii avi Vita n. 54, edit. Combef. Ἀλλ' ἡ τοῦ γενναίου βασιλέως φιλανθρωπία μόνῃ τῶν ὀφθαλμῶν ἐκκοπῇ τὴν τιμωρίαν ὡρίσατο τέως τῶν προκαταρξάντων τῆς πονηρᾶς συμβουλῆς. Mox rationem subdit : Διὰ τοῦτο τῇ λεχθείσῃ ποινῇ τούτοις τε μετανοίας παρέσχε καιρὸν, καὶ τοὺς λοιποὺς τῶν πονηρῶν ἐσωφρόνιζε. Michael Psellus, lib. 1 Hist. ms. Ἀλλ' εὐθὺς σιδήρῳ τοὺς ὀφθαλμοὺς ὀρυττόμενος. Ταύτην δὴ τὴν κόλασιν πᾶσιν ἀπεμέτρει, καὶ ὁ μὲν μείζονα, ὁ δὲ ἐλάττονα ἁμαρτάνειν ἔδοξε. Καὶ ᾧ μὲν ἔργου ἥπτετο, ὁ δὲ μέχρι φήμης προέβαινεν. Οὐ γὰρ ἐφρόντιζεν ὅπως ἂν ἀναλόγους τὰς τιμωρίας ἀποδώσει τοῖς ἁμαρτήμασιν, ἀλλ' ὅπως ἂν ἑαυτὸν ἐλευθερώσειε τῶν ὑποψιῶν. Ἐδόκει δὲ αὐτῷ ἡ τοιαύτη βάρβαρος κουφοτάτη τῶν ἄλλων· διότι τοὺς τιμωρουμένους ἀπράκτους ἐποίει, ταύτῃ μᾶλλον ἐχρῆτο.

(42) *Κατὰ τὸ Σάββατον τῆς Πεντηκοστῆς.* Quo die scilicet celebrabat urbis natale, ut habent Theophanes et Nicephorus Constantinopolit. quod quidem Sabbatum Pentecostes in 3 Junii, eo anno quo abrogatum est imperium Philippico, Christi scilicet 713 incidit, licet 11 mensis Maii vulgo hæc festivitas celebrari soleret : unde conjicit Petavius in hunc diem dilatos ejusmodi ludos circenses, qui quotannis in die urbis natali edebantur, uti pluribus observamus in nostra *Constantinopoli*, lib. 1, p. 29. Sed id verum ne sit, ut dubitem, facit Synaxarium ms. in S. Joanne Jejunatore patriarcha Constantinopolit. imperante Mauricio, sub 2 Septembr. ubi mentio fit hujusce circensium editionis Sabbato Pentecostes, quam ille non probabat : Ποτὲ δὲ Παρασκευῆς οὔσης ὀψίας, λέγουσι τῷ ὁσίῳ· Ἄβριον, δέσποτα, ἱπποδρόμιον ἄγεται· ἦν δὲ Σάββατον τῆς Πεντηκοστῆς· καὶ ἀποκριθεὶς, λέγει· Ἱπποδρόμιον τῇ ἁγίᾳ Πεντηκοστῇ; Καὶ πεσὼν ἐπὶ τὰ γόνατα, ἐδυσώπει τὸν Θεὸν γενέσθαι τι σημεῖον φόβου ἕνεκα πρὸς τὸ κωλῦσαι τοῦτο. Καὶ ἰδοὺ τῇ δείλῃ αἰθρίας οὔσης γίνονται καταιγίδες, καὶ πλῆθος ἀνέμων, καὶ ὑδάτων φορὰ, ὡς συντελεῖσθαι πάντας, καὶ φεύγειν τὸν λαὸν ἐκ τοῦ ἱππικοῦ.

μᾶλλον οἱ τοῦ θέματος τοῦ Ὀψικίου οὐκ ἦσαν πειθήνιοι, οὐ γὰρ καλῶς πρὸς τὸν κρατοῦντα διέκειντο, ἐπεὶ μηδ' ἐκεῖνος τῇ πλευστικῇ στρατιᾷ κεχρημένος ἦν δεξιῶς. Ὡς δὲ πρὸς τὴν ἐκείνων ἀπείθειαν ὁ διάκονος ἀρχικώτερον διετέθη, καὶ δριμύτερον αὐτοῖς προσεφέρετο, εἰς στάσιν τούτους ἠρέθισε, καὶ τὸν βασιλέα δυσφημήσαντες, αὐτὸν ἀνεῖλον, εὐθὺς καὶ τοῦ πρόσω χωρεῖν ἀφέμενοι, οἱ μὲν ἀπῆσαν οἴκαδε, οἱ δὲ πρὸς τὸ Βυζάντιον ὥρμησαν· καὶ ἐν τῷ Ἀτραμυττίῳ γενόμενοι, Θεοδόσιόν τινα πράκτορα τῶν δημοσίων τελῶν, ἰδιώτην ἄνδρα, ἄκοντα λαβόντες ἀνηγόρευσαν αὐτοκράτορα. Ταῦτα μαθὼν ὁ Ἀρτέμιος στόλον ἡτοίμασε, καὶ τῇ πόλει ἐπέστησε φυλακήν, αὐτὸς δὲ ἐν Νικαίᾳ διῆγε τῇ μητροπόλει τῶν Βιθυνῶν. Οἱ δὲ στασιασταὶ διά τε γῆς καὶ διὰ θαλάσσης ἀφίκοντο εἰς Χρυσόπολιν, καὶ μέχρι μέν τινος ναυμαχίαι ἐγίνοντο. Εἶτα περαιωθεὶς εἰς Θρᾴκην ὁ Θεοδόσιος (43), διὰ τοῦ τείχους τῶν Βλαχερνῶν ἐκ προδοσίας εἰς τὴν Μεγαλόπολιν εἰσελήλυθε, καὶ τοῦ σὺν αὐτῷ ναυτικοῦ τε καὶ στρατιωτικοῦ εἰσρυέντος; ἐν ταύτῃ, πολλὰ τῶν ἐν ταῖς οἰκίαις χρημάτων ἡρπάγησαν. Τοὺς δὲ ὑπὲρ Ἀρτεμίου ἀντεχομένους τῶν ἀρχόντων συλλαβόμενοι, καὶ τὸν Νικαίαν, δεικνύντες τῷ Ἀρτεμίῳ ὅτι ἡ πόλις ἤδη παρελήφθη καὶ τὰ βασίλεια. Καὶ ὃς τὸ μοναχικὸν ἀμφιασάμενος σχῆμα, καὶ πίστεις λαβών, μή τι περαιτέρω παθεῖν, παρέδωκεν αὐτοῖς ἑαυτὸν, καὶ ἐν Θεσσαλονίκῃ περιωρίσθη, βασιλεύσας ἕνα ἐνιαυτὸν ἐπὶ μησὶ τρισίν.

ΚΗ'. Ὁ βασιλεὺς δὲ Θεοδόσιος, ὃς Ἀτραμυττηνὸς ἐπωνύμαστο, ἀνὴρ ἤθους μὲν χρηστοῦ, καὶ βίου σεμνοῦ, ἀπράγμων δ' ἄλλως, καὶ πρὸς πραγμάτων διοίκησίν τε καὶ μεταχείρισιν, καὶ ταῦτα βασιλείας, σφόδρα γε ἀποπεφυκώς. Λέων δὲ, ὁ καὶ Κόνων, παρὰ τοῦ Ἀρτεμίου στρατηγὸς τῶν Ἀνατολικῶν προβληθείς, ὑπὲρ τοῦ Ἀρτεμίου ὅθεν φρονῶν, οὐχ ὑπεῖξε Θεοδοσίῳ, σύμπνουν ἔχων καὶ τὸν τῶν Ἀρμενιακῶν στρατηγὸν Ἀρτάβασδον τὸν Ἀρμένιον. Ἆρας οὖν ἐκεῖθεν, μετὰ τῶν ὑπ' αὐτὸν ταγμάτων εἰς Νικομήδειαν ἔρχεται, ἔνθα τὸν τοῦ βασιλέως Θεοδοσίου υἱὸν εὑρηκὼς, καὶ αὐτὸν μετὰ τῆς βασιλικῆς ἀποσκευῆς χειρωσάμενος, ἀφίκετο εἰς Χρυσόπολιν. Ὁ δὲ Θεοδόσιος ἀπραγμόνως τῆς βασιλείας ἐξέστη αὐτῷ, εἰς κληρικὸν καρεὶς (44) μετὰ τοῦ υἱοῦ, καὶ πληροφορίαν λαβὼν μήτι ἕτερον ὑποστῆναι. Καὶ ὁ μὲν ἡσύχως ἐβίω τὸ λοιπὸν τῆς ζωῆς, βασιλεύσας δύο ἐνιαυτούς.

per seditionem occiderunt, omissoque ulteriore progressu, partim domum redierunt, partim Byzantium petierunt : eumque Adramyttium pervenissent, Theodosium quemdam publicorum vectigalium exactorem, hominem in republica non versatum, imperatorem invitum salutarunt. His Artemius cognitis, classem parat, urbemque custodia munit, ipse Nicææ degens, quæ est Bithyniæ metropolis. Seditiosi vero, terra marique Chrysopolim pervenerunt, ac navales pugnæ aliquandiu sunt commissæ. Deinde in Thraciam pervectus Theodosius, per murum Blachernium, opera proditorum, magnam urbem intravit, unaque cum eo classiarii et milites, qui magnam pecuniam ex ædibus rapuerunt, et principibus, qui Artemium defendebant, ac Germano patriarcha comprehensis, Nicæam discesserunt, Artemio urbem et regiam jam esse occupatas ostendentes. Is igitur habitu monachi sumpto, acceptaque fide, nihil sibi præterea mali timendum, eis sese tradidit, ac Thessalonicam est relegatus, cum unum annum et tres menses regnasset.

XXVIII. Imperio autem potitus est Theodosius Adramyttenus, vir bonus ille quidem, honestæque vitæ, sed ignavus et ad rerum administrationem et tractationem, regni præsertim minime idoneus. Cæterum Leo qui et Conon, ab Artemio, cujus tum partes amplectebatur, dux Orientis designatus, Theodosio non cessit, cum etiam Artabasdum Armenium, Armeniacorum ducem suffragatorem haberet. Inde igitur cum suis legionibus Nicomediam digressus est, ubi Theodosii filium cum regio instrumento deprehensum, Chrysopolim perduxit. Ei Theodosius citra dimicationem regno cessit, unaque cum filio rasus in clericum, accepta fide nihil in se consultum iri gravius, vitæ reliquum tranquille exegit, cum biennium imperasset.

Variæ lectiones et notæ.

(43) *Θεοδόσιος*. Dicitur Θεοδόσιος ὁ νέος Theosterieto in Vita S. Niceiæ Confessoris, n. 27 : Λέων γὰρ ὁ τῶν Ἰσαύρων λεγόμενος, Θεοδόσιον τὸν νέον τυραννήσας, ἥρπασε τὴν τῶν Ῥωμαίων βασιλείαν. Vide *Gloss. med. Græcit.* in Νέος.

(44) *Εἰς κληρικὸν καρεὶς*. Hæc de Theodosio subdit Symeon logotheta, in Chron. ms. Τοῦτόν φασιν οἱ ἱστοριογράφοι καὶ χρυσογραφέα εἶναι. Οὗτος ἐν Ἐφέσῳ τελευτᾷ, καὶ τίθεται ἐν τῷ ναῷ τοῦ ἁγίου Φιλίππου, οὐκ ἐν λάρνακι, ἀλλ' ὑπὸ τὴν γῆν ἔνθα ἡ εἴσοδος τῶν ἁγίων· γράφει δὲ ἐν τῷ τάφῳ αὐτοῦ, Ὑγεία. Λέγουσι δέ τινες τῶν ἐντοπίων θαυματουργεῖν αὐτόν.

LIBER DECIMUS QUINTUS.

Α'. Ἐντεῦθεν ὁ Λέων τοῦ τῆς βασιλείας ὀνόματος ἀναξίως (44*) ἠξίωτο· ᾧ πατρὶς μὲν ἦν Ἰσαυρία, ἐκεῖ-

I. Dehinc imperii dignitatem Leo præter dignitatem est consecutus, qui patriam habuit Isau-

(44*) *Ἀναξίως*. In hanc sententiam Constantinus Acropolita in serm. de S. Joanne Damasceno,

riam, atque inde una cum parentibus ab impera- A tore Justiniano, antequam imperio ejectus **100** esset, translatus, Mesembriæ Thraciæ urbe vitam egit. Pulso autem Justiniano, et a Bulgaris in regnum reducendo, progressus obviam, ei munera obtulit : eaque de causa spatharii dignitatem statim est consecutus, et, recuperato ab illo imperio, ejus familiaritate usus. Deinde ad Alanos, sive Albanos (sic enim vocantur a veteribus) missus est, ut eos contra Abasgos, qui a Romanis defecerant, concitaret. Parebant autem, ut Cæsariensis Procopius refert, duobus suis popularibus, quorum alter partem orientalem, occidentalem alter gubernabat. Uterque porro gentem ex avaritia male tractabat. Nam quoscunque pueros formosos et corporibus elegantibus inveniebant, eos vi parentibus ereptos castratosque, Romanis eunuchorum amore semper attonitis, magna pecunia vendebant, eorumque patres occidebant, ne quando propter filios irati, seditionem moverent. Erat igitur apud Abasgos filiolum pulchrum genuisse maximum infortunium, eam elegantiam morte luentes. Ac Abasgi sic a suis magistratibus tractabantur. Justinianus autem primus, misso ad eos imperatorio eunucho quodam, eorum populari (multi enim tales in Romana curia versabantur) magistratibus eorum interdixit, ne quem in posterum invitum castrarent : capturos enim laborem inanem, nemine Romanorum castratos eorum empturo. Hoc Abasgi cupidissime acceperunt, edi- C ctoque imperatoris Romanorum freti, deinceps magistratibus suis in ea re non cesserunt, qui et ipsi jam segniores ad id facinus erant redditi. Post etiam, utrique magistratu abrogato, suis vivere legibus voluerunt, cum ad id usque tempus Christianæ religionis rudes essent, et lucos ac silvas venerarentur, et arbores barbarica simplicitate pro diis haberent. Sed Justiniano studio fuit, eos ad pietatem traducere, missisque sacris viris, Dei cognitione barbaros imbuit : exstructaque præclara æde Deiparæ, et sacerdotibus in ea collocatis, eos a vita plane barbarica ad mores Christianorum traduxit. Ex eo nemini parentibus Abasgis, imperatores Romani magistratus miserunt, D a quibus res administrabantur. Qui cum injurii essent, ac populum crudelius tractarent, veriti ne prorsus **101** in servitutem a Romanis redigerentur, defecerunt, neque amplius magistratum Romanorum admiserunt. Ea de causa Justinianus, is qui naso mutilatus fuit, eos ulturus, Leonem spatharium ad Alanos mittit cum maxima pecunia, ut eos contra finitimos Abasgos armaret. Eo profectus Leo, et multos ibi annos commoratus, sero

Ἀθεν δὲ μετοικισθεὶς μετὰ τῶν τεκόντων παρὰ τοῦ βασιλέως Ἰουστινιανοῦ, μήπω τῆς ἀρχῆς ἐξωσθέντος, ἐν Μεσημβρίᾳ τῇ Θρακικῇ πεποίητο τὰς διατριβάς. Καθαιρεθέντος δὲ τοῦ Ἰουστινιανοῦ τῆς ἀρχῆς, εἶτα ἐπανερχομένου μετὰ Βουλγάρων εἰς τὸ τὴν βασιλείαν αὖθις ἀναλαβεῖν, ὁ Λέων ἀπαντήσας αὐτῷ δῶρα προσήνεγκεν. Καὶ ὁ Ἰουστινιανὸς σπαθάριον αὐτὸν αὐτίκα ἐτίμησε, καὶ βασιλεύσας τὸ δεύτερον, αὐτὸν ᾠκειώσατο. Εἶτα ἔσταλτο παρ' αὐτοῦ πρὸς τοὺς Ἀλανοὺς (45) ἢ Ἀλβανοὺς (οὕτω γὰρ τοῖς παλαιοῖς ὀνομάζονται), ἔσταλτο δὲ συγκινήσων αὐτοὺς κατὰ τῶν Ἀβασγῶν, ἀποστάντων τῆς Ῥωμαίων ἀρχῆς. Οἱ γὰρ Ἀβασγοὶ, ὡς ὁ Καισαρεὺς Προκόπιος ἱστορεῖ, δυοῖν ὁμοφύλοιν ἦσαν ὑπήκοοι, τῷ μὲν κρατοῦντι τῆς πρὸς ἀνίσχοντα ἡλίου μοίρας αὐτῶν, τῷ δὲ τῆς τετραμμένης πρὸς δύνοντα. Καὶ ἄμφω δὲ τούτω τὼ ἄρχοντε ὑπὸ φιλοχρηματίας κακῶς ἐχρῶντο τῷ ἔθνει· ὅσους γὰρ ἂν παῖδας εὕρισκον ὡραίους, καὶ τὸ εἶδος καλοὺς, καὶ τὴν ἄλλην τοῦ σώματος φύσιν δεξιοὺς, βίᾳ τῶν τοκέων ἀφέλκοντες, καὶ τῶν παιδογόνων μορίων σιδήρῳ στερίσκοντες, ἐκείνους μὲν πολλῶν χρημάτων Ῥωμαίοις ἐπίπρασκον, περὶ τοὺς ἐκτομίας ἐπτοημένοις ἀεί· τούς δὲ τούτων πατέρας εὐθὺς ἔκτεινον, ἵνα μή ποτε μηνιῶντες διὰ τοὺς παῖδας, βουλεύσωνται κατ' αὐτῶν ἐπανάστασιν. Καὶ ἦν παρὰ τοῖς Ἀβασγοῖς τὸ παῖδα τεκεῖν ἀγαθὸν τὴν ὄψιν δυστύχημα μέγιστον, τῆς τῶν παίδων εὐπρεπείας ἀλλασσομένοις τὸν θάνατον. Καὶ οὕτω μὲν τοῖς Ἀβασγοῖς οἱ σφῶν προσεφέροντο ἄρχοντες. Ἰουστινιανὸς δὲ, ὁ πρῶτος στείλας παρ' αὐτοῖς ἕνα τῶν ἐν τοῖς βασιλείοις εὐνούχων, σφίσιν ὁμογενῆ (πολλοὶ γὰρ περὶ τὰ Ῥωμαίων ἀρχεῖα τοιοῦτοι ἐτρέφοντο), ἀπεῖπε τοῖς ἡγεμόσι τῶν Ἀβασγῶν μηκέτι μηδένα τὴν ἀρρενωπίαν ἐκτέμνεσθαι βιαζόμενον· τελευτήσειν γὰρ τὴν πρᾶξιν αὐτοῖς εἰς κενὸν, μηδενὸς Ῥωμαίων πρίασθαι βουλησομένου τοὺς ἐκτομίας αὐτῶν. Τοῦτο τοῖς Ἀβασγοῖς ἀσμενέστατα προσεδέξατο, καὶ τῇ ἐπιταγῇ τοῦ βασιλέως Ῥωμαίων θαῤῥήσαντες, τοῦ λοιποῦ πρὸς τοῦργον τοῦτο τοῖς ἄρχουσιν αὐτῶν οὐχ ὑπέκυπτον, κἀκείνοι δὲ πρὸς τὴν πρᾶξιν ἦσαν νωθέστεροι. Εἶτα καὶ ἄμφω τοὺς αὐτῶν ἀρχηγοὺς καθελόντες, ἤθελον βιοτεύειν αὐτόνομοι. Μέχρι μέντοι τότε καὶ τῆς τῶν Χριστιανῶν θρησκείας ἦσαν ἀμύητοι, ἄλση δὲ καὶ ὕλας ἐσέβοντο καὶ τὰ δένδρα τούτοις ἐξ ἀφελείας βαρβαρικῆς εἰς θεοὺς ἐνομίζοντο. Ἰουστινιανὸς δὲ μεταθεῖναι σφᾶς πρὸς εὐσέβειαν σπούδασμα ἔθετο, καὶ στείλας παρ' αὐτοῖς ἱεροὺς ἄνδρας, δι' αὐτῶν εἰς ἐπίγνωσιν αὐτοὺς μετήνεγκε τοῦ Θεοῦ. Εἶτα καὶ θεῖον ἐν Ἀβασγοῖς τῆς Θεοτόκου ἐδείματο τέμενος, καὶ Ἱερεῖς ἐγκατέστησε, καὶ οὕτως εἰς ἔθη τὰ τῶν Χριστιανῶν αὐτοὺς μετήγαγεν ἐκ τῶν πάνυ βαρβαρικῶν. Ἐντεῦθεν ὑπ' οὐδενὸς ἀρχομένων τῶν

Variæ lectiones et notæ.

n. 20. Λέων οὗτος ὁ ἐξ Ἰσαύρων ὁ ἀποστάτης, τὰ μὲν πρῶτα τοῦ δεσπότου καὶ βασιλέως γενόμενος, καὶ τὸ κράτος αὐτοῦ καὶ τὴν ἀρχὴν ἀφελόμενος, οὐκ ἀνδρείᾳ (μὴ οἰηθείη τις τοῦτό ποτε) μηχαναῖς δὲ καὶ δόλοις ὑποσπασάμενος.

(45) *Πρὸς τοὺς Ἀλανούς.* Addit alter e codd. Wollianis, οὓς Ἀλβανοὺς ὁ Προκόπιος γράφει.

Ἀβασγῶν, οἱ βασιλεῖ Ῥωμαίων ἔστελλον ἄρχοντας, καὶ ὑπ' ἐκείνων αὐτοῖς διηττῶντο τὰ πράγματα. Χωρησάντων δὲ τῶν στελλομένων εἰς ἀδικίας, καὶ τυραννικώτερον χρωμένων αὐτοῖς, δείσαντες μὴ πάντη δουλωθῶσι Ῥωμαίοις, ἀφίστανται, καὶ οὐκέτι δέχεσθαι ἄρχοντα Ῥωμαῖον ἐβούλοντο. Διὰ τοῦτο τίσασθαι θέλων αὐτοὺς ὁ ῥινότμητος Ἰουστινιανὸς, στέλλει τὸν σπαθάριον Λέοντα πρὸς τοὺς Ἀλανοὺς χρήμασι πλείστοις κατὰ τῶν Ἀβασγῶν ὁμόρων ὄντων αὐτοῖς, ὁπλίσαι τούτοις βουλόμενος. Ἐκεῖ τοίνυν ὁ Λέων γενόμενος, καὶ συχνοὺς διατρίψας ἐνιαυτοὺς, ὀψὲ καὶ μόλις ἐπανελήλυθε, μήτε τὸν Ἰουστινιανὸν εὑρηκὼς (ἀνῄρητο γὰρ), μήτε μὴν τὸν Φιλιππικὸν (καθῄρετο γὰρ πηρωθείς, ὡς εἴρηται, καὶ τὰ ὄμματα), πρόσεισιν οὖν Ἀρτεμίῳ βασιλεύοντι τότε. Ὃ δὲ καὶ προσήκατο αὐτὸν εὐμενῶς, καὶ στρατηγὸν τοῦ τῶν Ἀνατολικῶν προεχειρίσατο θέματος. Τούτῳ γοῦν, ὡς εἴρηται, δῆθεν ἀμύνων, ἀντῆρε χεῖρα κατὰ τοῦ Θεοδοσίου, καὶ τῶν σκήπτρων γέγονεν ἐγκρατής. Ὦ Θεοῦ κριμάτων ἄβυσσος ἀκατάληπτος! Βασιλεύσας δὲ οὕτως, αὐτίκα τὴν θυγατέρα τῷ Ἀρταβάσδῳ συνῴκισε, κουροπαλάτην αὐτὸν τιμήσας. Μασάλμας δὲ ὁ τῶν Ἀράβων ἀρχηγὸς ἐξ Ἀβύδου σὺν μεγάλῳ στρατεύματι πρὸς Θρᾴκην περαιωθείς, πολὺ μὲν τῆς Θρᾳκίας ἐλῃΐσατο χώρας, τῇ δὲ βασιλευούσῃ τῶν πόλεων (46) προσβαλών, χάραξ παρὰ τοῖς κατὰ χέρσον αὐτῆς ἐπήξατο τείχεσι, καὶ ἦν μὲν αὐτὸς ἐντεῦθεν ταύτην πολιορκῶν, ἐκ δὲ θαλάσσης σὺν στόλῳ μεγάλῳ ὁ ἀρχισατράπης Σολυμᾶς. Ἀλλὰ τὰς μὲν νῆας αὐτῶν τάς τε πολεμιστηρίους, τάς τε μὴν φορτηγοὺς τῷ ὑγρῷ πυρὶ Ῥωμαῖοι κατετροπώσαντο, ὥστε πολλοὺς τῶν ναυάρχων, ὧν οὔπω ταῖς ναυσὶ τὸ ὑγρὸν τοῦτο προσήγγισε πῦρ, ἀπογνόντας προσρυῆναι τῷ βασιλεῖ. Τὸ μὲν οὖν πλεῖον τοῦ ναυτικοῦ τῶν Ἀράβων οὕτω διώλετο. Τοῖς δὲ κατὰ Βιθυνίαν αὐτῶν ληζομένοις ἐντυχόντα στρατεύματα Ῥωμαίων πιζὰ, πολλοὺς διεφθάρκασιν, ὥστε κἀκείνους δείσαντες, ἀποδρᾶναι. Τοὺς δὲ κατὰ Θρᾴκην τυγχάνοντας Ἄραβας λιμὸς ἐπίεζε κραταιὸς, ὅθεν οὐδενὸς τῶν θνησκόντων ζώων ἀπείχοντο. Λέγεται δὲ καὶ σαρκῶν ἀνθρωπείων αὐτοὺς ἅψασθαι. Ἀλλὰ νόσος αὐτοῖς ἐνέσκηψε λοιμικὴ, καὶ διέφθειρε παμπληθεῖς. Καὶ Βούλγαροι δὲ, τούτοις ἐπελθόντες, πολλὰς χιλιοστύας αὐτῶν, ὥς τινες ἀναγράφουσι, μαχαίρας ἔθεντο παρανάλωμα.

Β'. Ὁ δὲ τῆς Σικελίας στρατηγὸς Σέργιος, τὴν τῶν Ἀράβων κατὰ τῆς πόλεως ἐπέλευσιν γνοὺς, καὶ ὡς ἐν ἀκαταστασίᾳ τὰ Ῥωμαίων τυγχάνουσι, τυραννίδι καὶ αὐτὸς ἐπεχείρησε, καὶ οὐχ ἑαυτὸν τῆς βασιλείου ἠξίωσε κλήσεως, ἀλλά τινα Γρηγόριον τῶν ὑπηρετουμένων αὐτῷ ἀναῤῥηθῆναι παρὰ τοῦ λαοῦ βασιλέα πεποίηκε, μετονομάσας τὸν ἄνδρα Τιβέριον, ὃς καί τινας εἰς ἀρχὰς γνώμῃ τοῦ Σεργίου προεβίβασε. Ταῦτ' ἀγγελθέντα τῷ Λέοντι διανέστησαν αὐτὸν τῷ τυραννήσαντι ἀντιτάξασθαι, καὶ Παῦλον τὸν τῶν βασιλικῶν ἱπποκόμων ἐπιστατοῦντα (χαρτουλλάριον ἡ Ῥωμαίων οἵδε τοῦτον λέγειν φωνή), πατρίκιον τιμήσας, καὶ στρατηγὸν Σικελίας ὀνομάσας, στέλλει κατὰ τοῦ ἀποστάτου, προστάγματα πρὸς τοὺς τῶν χωρῶν ἄρχοντας ἐγχειρίσας αὐτῷ, συναίρεσθαι τῷ Παύλῳ κελεύοντα, καὶ πρὸς τὴν

argreque rediit, nec Justiniano invento (nam occisus erat) neque Philippico (pulsus enim erat, ut dictum est, oculis etiam erutis), Artemium igitur tum imperantem convenit, a quo benigne acceptus est, et Orientalium thematı præfectus. Pro eo igitur, ut dictum est, propugnans scilicet, Theodosio se opposuit, sceptrisque potitus est. O judiciorum Dei abyssum incomprehensibilem! Sic adeptus imperium, statim Artabasdo filiam despondit, et curopalatæ honorem decrevit. Masalmas autem Arabum dux Abydo cum magnis copiis in Thraciam transvectus, magnam ejus provinciæ partem populatus est, impetuque in urbem regiam facto, vallum juxta terrestria mœnia posuit, atque ab ea parte ipse urbem oppugnavit, Solymas autem archisatrapes ejus, e mari cum maxima classe. Verum naves ejus tam bellicas quam onerarias Romani Græco igni repulerunt, ut multi navarchi, quorum naves is nondum attigerat, per desperationem se ad imperatorem conferrent. Et hoc modo pars maxima classis Arabicæ periit. Romanæque legiones eos aggressæ, qui in Bithynia prædabantur, multos occiderunt, ut et illi territi aufugerent. Qui autem in Thracia erant Arabes, tanta fame premebantur, ut nullius animantis cadaveribus abstinerent, quin et humanis carnibus admovisse manus perhibentur. Præterea pestilentia eos invasit, eorumque turbas confertim absumpsit. Ad hæc Bulgari, ut quidam auctores sunt, eos aggressi, multa millia ferro trucidarunt, eos quoque igni, quo naves hostium incenderant, consumpserunt. Et hoc modo Bulgarorum gladiis innumeri perierunt.

II. Interea Sergius Siciliæ prætor, cognita urbis obsidione Arabica, et imperii perturbatione, tyrannidem et ipse affectavit, non sibi ipsi usurpato imperii titulo, sed ministrorum suorum quemdam Gregorium curavit a populo imperatorem salutandum, nomine ejus in Tiberium commutato, qui de Sergii sententia quosdam ad magistratus evexit. Hoc nuntio Leo commotus, **102** de opprimendo tyranno cogitans, Paulum imperatoriis equisonibus præfectum, qui lingua Romana chartularius dicitur, patricii dignitate ornatum, et Siciliæ prætorem designatum, contra seditiosum misit, tradito edicto ad provinciarum præsides, quibus eum adjutare jubebantur, scriptisque ad Siciliensem exercitum litteris, quibus Romanam rem bene se habere significabat, Arabibus jam victis et profligatis. Eas quoque

Variæ lectiones et notæ.

(46) *Τῇ δὲ βασιλευούσῃ τῶν πόλεων.* Ut tum urbs obsessa fuerit a Saracenis, attigit etiam auctor Orationis in festum τῆς Ἀχαθίστου, p. 817.

litteras Paulo tradidit, militibus reddendas. Quem cum ex insperato Siciliam tenuisse, ac Syracusas ingressum esse cognovisset Sergius: statim arrepta fuga versus Longobardiam proficiscitur. Paulus vero oratione apud milites habita, et litteris imperatoriis recitatis, effecit, ut statim imperatorem celebrarent, et Gregorium cum suis vinctos traderent. Gregorium itaque sustulit, satellites ejus flagris cæsos rasaque coma relegavit. Sergius promissa impunitate ad eum e Calabria venit. Ita motus Siciliæ pacatus est. Arabes qui urbem obsidebant, pluribus malis acceptis quam datis, reditum adornarunt, et reliquis navibus conscensis discesserunt, sed vehementi turbine exorto pericrunt omnes cum suis triremibus, x tantum navibus exceptis, quarum v a Romanis captæ sunt, reliquæ elapsæ, cladis nuntiæ domum redierunt. Natus autem est Leoni catulus patre crudelior, cujus matrem Mariam diademate ornavit, et puerum in Magna ecclesia baptizavit, Constantini nomine indito: qui cum in sacrosancta illa aqua mergeretur, fertur excrevisse stercus, unde Copronymus est cognominatus. Sed et sanctissimum patriarcham Germanum dixisse aiunt, id signum esse quod is puer sacra contaminaturus esset, et pietatis studiosis magno malo futurus. Artemio Thessalonicæ degenti Nicetes Xylinites magister, vir summæ auctoritatis persuasit ut ad Bulgaros confugeret, eorumque opera imperium recuperare conaretur. Quod cum fecisset, et cum magna eorum multitudine Byzantium venisset, so a populo receptum iri existimans, nemo autem eum curaret: Bulgari eo magna pecunia Leoni prodito domum redierunt. Ille cum Xylinite interfectus est, et Xilinitæ opes omnes quæ magnæ erant, publicatæ. **103** Sunt et alii ex Artemii conjuratis occisi, et præter cæteros Thessalonicensium archiepiscopus. Post hæc Leo filium suum imperatorem creat, officio coronationis a sancto Germano celebrato. Exinde cum Deo pugnare incipit, et contra venerandas imagines insanire. Accersitoque Germano patriarcha, negat colendas esse imagines, earumque adorationem idololatriam vocat. At divus ille Pater: *Bona verba*, inquit, *imperator: ita sentire noli. Nam ista cogitatio plane impia est. Scio equidem canturi, fore ut ista hæresis agitetur, tu vero illius auctor esse noli. Nam Conon quidam eam auspicaturus esse dicitur.* Tum ille statim: *Ego*, inquit, *is sum, et non alius. Conon enim infans a parentibus meis sum appellatus.* Inclytum Germanum assentiri nolentem, ac potius magno animo refragantem, et perversam illam opinionem arguentem, Ecclesia ejecit, cum eam xv annos gubernasset, et Anastasium quemdam sibi assentientem, patriarcham designavit. Nunc unde Leo in istam opinionem adductus, et huc impietatis progressus fuerit, exponam.

ἐν Σικελίᾳ δὲ στρατιὰν γραφὴν ἐγχαράξας δηλοῦσαν καλῶς ἔχειν Ῥωμαίοις τὰ πράγματα, ἤδη τῶν Ἀράβων ἡττημένων καὶ κατατροπωθέντων· διὰ τοῦ Παύλου καὶ ταύτην τοῖς στρατιώταις ἐκπέμψε. Καταλαβόντα τοίνυν τὴν Σικελίαν τοῦτον ἀνωΐστι, καὶ εἰσελθόντα εἰς τὴν Συράκουσαν μαθὼν ὁ Σέργιος, εὐθὺς ἀπέδρα, καὶ πρὸς Λογγιβαρδίαν ἐφοίτησε. Τοῦ δὲ Παύλου προσομιλήσαντος τῷ στρατιωτικῷ, καὶ τὸ γράμμα τὸ βασίλειον ἀναγνόντος αὐτῶν εἰς ἐπήκοον, εὐθὺς ἐκεῖνοι τὸν μὲν βασιλέα ἐτίμησαν, καὶ εὐφήμησαν· τὸν δέ γε Γρηγόριον, καὶ τοὺς περὶ αὐτὸν δεσμίους τῷ Παύλῳ παρέδοσαν. Καὶ ὃς τὸν μὲν Γρηγόριον ἀνεῖλε, τοὺς δ' ἐκείνου ὑπασπιστὰς μαστίξας, καὶ τὴν κόμην ἀποθρίξας αὐτοῖς, ὑπερορίᾳ κατέκρινεν. Ὁ δὲ Σέργιος πληροφορίαν λαβών, μή τινος πειραθῆναι κακοῦ, πρὸς τὸν Παῦλον ἐκ Καλαβρίας ἀφίκετο. Καὶ τὰ μὲν κατὰ τὴν Σικελίαν οὕτως ἠρέμησαν. Οἱ δὲ τὴν πόλιν πολιορκοῦντες Ἄραβες, παθόντες μᾶλλον ἢ δράσαντες, ἐπανελθεῖν εἰς τὰ οἰκεῖα ὡρμήκεσαν, καὶ εἰς τὰς περιλειφθείσας ἐμβάντες νῆας, ἀπῆσαν. Ἀαίλαπι δὲ περιπεσόντες σφοδρῷ, πάντες ἀπώλοντο σὺν τριξὶ οἰκείαις τριήρεσι, δέκα μόνον νηῶν περιλειφθεισῶν, ὧν αἱ μὲν πέντε παρὰ Ῥωμαίων ἐάλωσαν, αἱ δὲ λοιπαὶ διαφυγοῦσαι, τῆς συμφορᾶς ἀπήλθοσαν ἄγγελοι. Ἐτέχθη δὲ τῷ Λέοντι σκύμνος ὠμότερος τοῦ πατρὸς, καὶ τήν τε μητέρα τούτου κεκλημένην Μαρίαν ἔστεψεν ὁ Λέων, καὶ τὸν υἱὸν ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ ἐβάπτισε, Κωνσταντῖνον ὀνομάσας αὐτόν. Ὅ τε λέγεται κόπρον αὐτὸν ἐκκρῖναι τῇ θείᾳ κολυμβήθρᾳ καταδυόμενον, κἀντεῦθεν ἐπονομασθῆναι Κοπρώνυμον (47), καὶ τὸν ἁγιώτατον πατριάρχην Γερμανὸν εἰπεῖν ὅτι σημεῖον τοῦτ' ἐστι τοῦ τῇ Ἐκκλησίᾳ καὶ τοῖς εὐσεβεῖν ἠρημένοις μέγα τὸ παιδίον τοῦτο χρηματίσαι κακόν. Ὁ δὲ μάγιστρος Νικήτας ὁ Ξυλινίτης τῶν ὑπερλίαν τυγχάνων ὑπέθετο τῷ Ἀρτεμίῳ ἐν Θεσσαλονίκῃ ὄντι, τοῖς Βουλγάροις προσελθεῖν, καὶ συνεργίᾳ τούτων ἀπολήψεσθαι πάλιν τὴν βασιλείαν. Καὶ ὃς πείθεται, καὶ μετὰ πλήθους Βουλγάρων ἦκεν εἰς τὸ Βυζάντιον, οἰόμενος παρὰ τοῦ λαοῦ προσδεχθήσεσθαι. Τῶν δὲ τῆς πόλεως μὴ ἐπιστρεφομένων αὐτοῦ, οἱ Βούλγαροι τοῦτον πολλῶν χρημάτων τῷ Λέοντι προὔδωκαν, καὶ οἱ μὲν ἀπῆλθον· ὁ δὲ σὺν τῷ Ξυλινίτῃ ἀνῄρητο, καὶ ἡ τοῦ Ξυλινίτου κτῆσις οὖσα πολλὴ, δεδήμευτο ξύμπασα. Καὶ ἄλλοι δὲ τῶν συνωμοτῶν τοῦ Ἀρτεμίου ἐκτάνθησαν, πρὸς οἷς καὶ ὁ τῆς Θεσσαλονίκης ἀρχιερεύς. Εἶτα τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον ὁ Λέων βασιλέα πεποίηκε, παρὰ τοῦ ὁσιωτάτου Γερμανοῦ τῆς ἐπὶ τῇ ταινιώσει τελετῆς τελεσθείσης. Ἐντεῦθεν ὁ Λέων ἄρχεται τοῦ θεομαχεῖν, καὶ κατὰ τῶν σεπτῶν εἰκόνων ἐλύττησε. Καὶ τὸν πατριάχην μεταπεμψάμενος Γερμανὸν, μὴ δεῖν ἔλεγε τὰς εἰκόνας τιμᾶσθαι, εἰδωλολατρείαν γὰρ τὴν τούτων ἀπεκάλει προσκύνησιν. Ὁ δὲ θεῖος ἐκεῖνος Πατὴρ, *Εὐφημεῖ, βασιλεῦ*, ἔφη, *καὶ μὴ οὕτω φρόνει· ἀσεβὲς γὰρ λίαν ἐρεῖς*

Variæ lectiones et notæ.

(47) *Κοπρώνυμον*. Κωνσταντῖνος ὁ τῆς κοπρίας ἐπώνυμος, apud Constantinum, lib. II, *De Themat.* cap. 6.

τὸ ἐννόημα, καὶ οἶδα μὲν ᾠδόμενον τὸ μέλλειν κινηθῆναι ταύτην τὴν αἵρεσιν. Ἀλλὰ μὴ σύγε εἷς ὁ ταύτης εἰσαγωγεύς. Κόρων γάρ τις ἐνομαζόμενος ταύτης μέλλειν κατάρχεσθαι λέγεται. Καὶ ὃς ὑπολαβὼν αὐτίκα, φησίν, Οὐκοῦν ἐγώ εἰμι, καὶ οὐχ ἕτερος· Κόρων γὰρ παρὰ τῶν γονέων νηπιόθεν ὠνόμασμαι. Τὸν μὲν οὖν ἀοίδιμον Γερμανὸν μὴ πεισθέντα συνθέσθαι τῇ γνώμῃ αὐτοῦ μᾶλλον μὲν οὖν καὶ γενναιότατα ἀντιλέγοντα, καὶ τὴν αὐτοῦ κακοδοξίαν ἐλέγχοντα τῆς ἐκκλησίας ἐξώσθησεν, ἔτη ταύτην ἰθύναντα πεντεκαίδεκα. Ἀναστάσιον δέ τινα εἰς πατριάρχην ἑαυτῷ ὁμόφρονα προχειρίζεται. Τοῦ δ' οὖν οὕτω φρονῆσαι τὸν Λέοντα καὶ εἰς τοῦτο προελθεῖν ἀσεβείας, ἥκω τὴν αἰτίαν ἐρῶν.

Γ'. Ἴζιθ (48) τῶν Ἀράβων ἄρχων ἄρτι γέγονέ τις, καὶ τούτῳ πρασίαισιν Ἑβραῖοι δύο τὸ ἐπιτήδευμα γόητες, οἱ δὲ ἀστρολογίαν ἔλεγον μετιέναι, κἀντεῦθεν εἰδέναι τὰ μέλλοντα, καὶ τῷ Ἄραβι τὴν ἀρχὴν ἐπηγγέλλοντο, καὶ τὴν ζωὴν πολυχρόνιον, εἰ τῶν ἐκκλησιῶν τῶν Χριστωνύμων τὰ τοῦ Χριστοῦ καὶ τῆς αὐτὸν τεκούσης ἐκβαλεῖ ἐκτυπώματα. Καὶ ὁ Βάρβαρος οὐκ ἐμέλλησεν, ἀλλ' ἐκ πάντων τῶν ἐν τῇ ὑπ' αὐτὸν τελούσῃ χώρᾳ ναῶν τὰς σεπτὰς εἰκόνας ἠφάνισε. Καὶ ἡ θεία δίκη τοῦτον μετῆλθεν οὐκ εἰς μακράν. Οὔπω γὰρ παρῆλθεν ἐνιαυτός, καὶ ὁ δείλαιος τὴν ζωὴν ἐζημίωτο. Ὁ δὲ τούτου παῖς, τῆς ἀρχῆς διάδοχος γεγονώς, τοὺς λοιποὺς ψευδομάντεις ἐκείνους ἐζήτει, τῆς εἰς τὸν τεκόντα ἀπάτης αὐτοὺς τίσασθαι προθυμούμενος. Ἀλλ' ἔφθησαν ἐκεῖνοι φυγεῖν ἐντεῦθεν, καὶ εἰς Ἰσαυρίαν κατήντησαν. Ἔνθα περιτυχόντες τούτῳ τῷ Λέοντι, νεανίᾳ τυγχάνοντι, βαναύσῳ τὸ ἐπιτήδευμα τὴν τῶν Ῥωμαίων προμαντεύονται βασιλείαν. Τοῦ δὲ πρὸς τὴν οἰκείαν ἀφορῶντος τύχην, ἀφεστηκυῖαν πάνυ που πόρρω τοιαύτης ἀρχῆς, καὶ τοῖς ἐκείνων διαπιστοῦντος χρησμοῖς, ἐκεῖνοι συμβήσεσθαι τὴν προρρήσιν ἀπισχυρίζοντο κραταιῶς, καὶ ἀπῄτουν αὐτὸν δι' ὅρκου πληροφορῆσαι αὐτούς, ὅτε τύχοι τῆς βασιλείας, δοῦναί σφισιν ὃ ἂν αἰτήσωνται. Καὶ ὃς ὄμνυσιν ἢ μὴν τῆς βασιλείας τυχὼν ἐντελῆ αὐτῶν ποιήσειν τὴν αἴτησιν. Ὁ μὲν οὖν ὃν εἰρηται τρόπον τῆς τῶν Ῥωμαίων ἡγεμονίας ἐκράτησεν. Οἱ δὲ τούτῳ ταύτην προμαντευσάμενοι, ἔνατον ἤδη ἔτος τῆς αὐταρχίας ἀνύοντι προσῆλθον αὐτῷ, καὶ ᾔτουν ἀποδοῦναι αὐτοῖς τῆς προρρήσεως τὸν μισθόν. Καὶ ὁ Λέων ἕτοιμος ἦν πρὸς τοῦτο, καὶ λέγειν ἠξίου, τί τὸ αἰτούμενον. Καὶ ἡ βέβηλος ἐκείνη τῶν Ἰουδαίων δυάς, *Οὔτε πλοῦτον*, εἶπε, *δοθῆναι ἡμῖν ἐξαιτούμεθα, οὔτε πρὸς δόξης ἀναχθῆναι περιωπήν, οὐδ' ἕτερόν τι τῶν τῆς βασιλείας λαμπρόν, ἀλλ' ἢ μόνον τὸ τὰ τοῦ Ναζαρέου, καὶ τῆς αὐτὸν τεκούσης, περιαρθῆναι πάντοθεν ἐκτυπώματα.* Καὶ ὅς, ἀσέβειος ὢν περὶ τὴν πίστιν, ὥσπερ τι τῶν εἰκαίων καὶ ῥᾴστων τοῦτο ποιῆσαι συνέθετο, καὶ τοῦ δικαίου ἅρτι ἐνιαυτοῦ τῆς αὐτοῦ τυραννίδος ἀρξάμενος, καὶ τοῦ θεομαχεῖν ἤρξατο, καὶ μετὰ φρικώδους βρυχήματος κατὰ τῶν σεπτῶν εἰκόνων ἐχώρησε, καὶ διωγμὸν βαρύτατον ἤγειρε, πολλούς τε ἀνθεστηκότας τῇ ἐξαγίστῳ γνώμῃ αὐτοῦ ἐκόλασε, καὶ μάρτυρας ἀπειργάσατο. Πρὸς δὲ τοῖς ἄλλοις,

III. Izitho Arabum principatum nuper adepto, Hebræi duo, arte præstigiatores, etsi futurarum rerum ex astrologia prædictionem profiterentur, imperium et diuturnam vitam pollicebantur, si Christi et Matris ejus imagines e Christianis ecclesiis ejecisset. Paret haud segniter Barbarus, omnesque venerandas imagines in templis omnibus suæ ditionis abolet: nec multo post miserum divina vindicta consequitur, anno nondum elapso mortuum. Cujus filius regni successor, cum falsos illos vates ob deceptum parentem ad supplicium quæritaret: illi jam in Isauriam transfugerant. Ibi cum in hunc Leonem tum adolescentem opificem incidissent, imperium ei Romanum prædicunt. Qui cum suam fortunam intuens, infinito intervallo a tanto imperio sejunctam, illorum oraculis fidem abrogaret: illi eventurum id quod prædixissent, constanter asseverabant, cumque jurejurando obstringebant, ut se, imperio potitus, voti compotes redderet. Jurat ille se facturum. Potitum igitur, ut dictum est, Romano imperio, idque nonum jam annum tenentem, qui id ei vaticinati fuerant, convenere, **104** prædictionis mercedem flagitantes. Non recusat Leo, ac dicere jubet quid petant? At profani illi duo Judæi: *Neque divitias*, inquiunt, *postulamus, neque dignitatis alicujus fastigium ambimus, neque ullum imperii splendorem, sed illud duntaxat, ut Nazareni et Genitricis ejus imagines ubique tollantur.* Tum ille, parum firma fide præditus, quasi res levis ac facillima esset, se ita facturum pollicetur, et decimum suæ tyrannidis annum auspicans, una etiam bellum contra Deum auspicatur, et cum terribili rugitu venerandas imagines invadit, gravissimamque persecutionem excitat, multos detestandæ suæ voluntati adversantes punit, ac martyres facit. Ac præter cætera, quæ in pios ausus est, illud etiam designavit. Domus erat in basilica proxime forum Ærarium regia, in qua multi codices et humanæ, et generosioris ac divinæ sapientiæ asservabantur, ab antiquis temporibus ei ad habitandum attributa, qui eruditione excelleret, quem œcumenicum doctorem appellabant, is xii contubernales habebat excellenter eruditos, his publicus victus præbebatur: hos eruditionis et cognitionis avidi accedebant: hos imperatores ad rerum gerendarum consilia adhibebant. Eos Leo si cepisset, et in suam sententiam pertraxisset, om-

Variæ lectiones et notæ.

(48) *Ἴζιθ*. Historiam hanc pluribus enarrat Joannes Monachus et locum tenens Ecclesiarum Orientalium in concilio Nicæno II, act. 5, p. 385.

nia sibi confecta fore putabat. Accersit igitur viros, improbamque suam de venerandis imaginibus opinionem cum eis communicat. Qui adeo non sunt assensi, ut et ipsum ab ea opinione prorsus abducere conarentur, partim demulcendo feram illam, et salutaribus carminibus incantando, partim confidentius adversando, et ejus impietatem coarguendo. Sed ille instar aspidis obturabat aures, et vocem incantantis non admittebat, neque medicinam accipiebat a sapientibus. Cum igitur sæpe cum eis egisset, persuadendi spe abjecta, eos domum dimisit in ædes illas regias, multamque materiam aridam circum eos collocatam noctu incendi jussit, atque ita ædes cum libris, et doctos illos ac venerabiles viros combussit.

ἄνδρας μεταστειλάμενος, τὴν περὶ τῶν σεβαστῶν Οἱ δὲ οὐχ ὅσον οὐχ ὡμοδόξουν αὐτῷ, ἀλλὰ καὶ ὀλοσχερῶς, πῇ μὲν καταψῶντες τὸν θῆρα τὸν πῇ δὲ γενναιότερον ἀντιβαίνοντες, καὶ διελέγχοντες ὠτα, καὶ φωνῆς ἐπᾴδόντων οὐκ ἤκουεν, οὐδ' ἐφαρμακεύετο προσωμιληκὼς, καὶ τὴν αὐτῶν μετάθεσιν ἀπογνοὺς, τοὺς μὲν διατριβήν, τὸν οἶκον ἐκεῖνον δηλαδὴ τὸν βασίλειον. ἐκείνους ἄνδρας καὶ σεβασμίους κατέκαυσε.

A οἷς κατὰ τῶν εὐσεβούντων ἐτόλμησε, καὶ τοῦτο πεποίηκεν. Οἶκος ἦν ἐν τῇ καλουμένῃ βασιλικῇ ἔγγιστα τῶν χαλκοπρατίων βασίλειος, ἐν ᾧ καὶ βίβλοι τῆς τε θύραθεν σοφίας, καὶ τῆς εὐγενεστέρας καὶ θειοτέρας πολλαὶ ἐναπέκειντο. Ἦν δ' οὗτος ἀνέκαθεν τοῦ προὔχοντος ἐν λόγοις κατοικητήριον ὃν οἰκουμενικὸν ἐκάλουν διδάσκαλον. Ὃς καὶ δώδεκα εἶχεν ἑτέρους συνοικοῦντας αὐτῷ, κἀκείνους τῆς λογικῆς παιδείας μετέχοντας κατὰ τὸ ἀκρότατον. Τούτοις καὶ σιτήσεις ἀνεῖντο δημόσιαι. Καὶ παρ' αὐτοῖς ἐφοίτων οἷς ἔμελλε λογικῆς παιδείας καὶ γνώσεως. Οὓς καὶ οἱ βασιλεύοντες συμβούλους ἐν τοῖς πρακτέοις πεποίηντο. Τούτους οὖν εἰ ἔλοι, καὶ τῆς ἑαυτοῦ ποιήσαιτο γνώμης, ἔκρινε τὸ πᾶν κατεργάσασθαι. Καὶ τοὺς γνώμην αὐτοῦ τὴν πονηρὰν αὐτοῖς ἐκοινώσατο αὐτὸν μεταστῆσαι τῆς γνώμης ταύτης ἐπεχείρουν Λεοντώνυμον, καὶ κατεπᾴδοντες αὐτοῦ τὰ σωτήρια, τοῦ ἀσέβειαν. Ὁ δὲ ὡσεὶ ἀσπὶς ἔβυε τὰ προσωμιλημένον, τοὺς μὲν ἀφῆκεν εἰς τὴν σφετέραν πορευθῆναι οἶκον ἐκεῖνον δηλαδὴ τὸν βασίλειον. Αὐτὸς δὲ κελεύσας εὔπρηστον ὕλην συναχθῆναι πολλὴν καὶ πέριξ τοῦ οἴκου τεθεῖσαν ἀναφθῆναι νυκτὸς, οὕτω τόν τε οἶκον σὺν ταῖς βίβλοις καὶ τοὺς σοφοὺς ἐκείνους ἄνδρας καὶ σεβασμίους κατέκαυσε.

IV. Hac de causa Gregorius, qui tum Romæ veteris Ecclesiam gubernabat, repudiata societate pontificis novæ Romæ, necnon eorum qui illum sequerentur, illos una cum **105** imperatore synodico anathemate obstrinxit, et vectigalia quæ ad id usque tempus imperio inde pendebantur, inhibuit, icto cum Francis fœdere. U. de illi occupandæ Romæ occasionem habuerunt. Neque enim Romani generis sunt Franci, sed (ut in Varia Historia tradit Cæsariensis Procopius) gens Germanica, quæ olim circa Rhenum flumen et Rhodanum et paludes illorum locorum habitavit. Cum autem Belisarius sub priore Justiniano duceret exercitum, et cum Gothis de Italia et urbibus Italicis, ipsaque Roma, quæ tum a Gothis tenebantur, decertaret: tum Francos etiam narrat Italiam invasisse, et Gothos qui simul et Romanis et Francis resistere non possent, cum his, omisso bello, pacem fecisse, concessis Galliis quæ eis accesserant; atque id factum, ipsum etiam Justinianum, Francis petentibus, imperatoriis litteris confirmasse, eo consilio, ne Romanis Gothos impugnantibus impedimento essent, sed ejus confirmationis gratia; pacem agerent. Unde Germani Massiliam Phocæensium coloniam et loca maritima omnia occuparint, et illo mari sint potiti, et magnam etiam Venetiarum partem obtinuerint. Ita Francos cum in Italorum vicinia consedissent, ab eo tempore non destitisse finitimos Romanos bellis lacessere, eorumque provincias populari. Igitur papa Gregorius deserta imperatoris obedientia, ut dictum est, ob perversam illius opinionem, pacem cum Francis fecit, cum prius sæpe dedisset operam, ut Leonem per litteras ab allo Dei revocaret, atque ad cultum sacrarum imaginum reduceret. Sed id plane erat Æthiopem

Δ'. Διὰ ταῦτα ὁ τῆς πρεσβυτέρας τότε Ῥώμης τὴν Ἐκκλησίαν ἰθύνων Γρηγόριος, τῆς πρὸς τὸν τῆς Νέας Ῥώμης πρεσβεύοντα, καὶ τοὺς ἐκείνῳ ὁμόφρονας ἀποστὰς κοινωνίας ἐκείνους μὲν σὺν τῷ βασιλεῖ, συνοδικῷ καθυπέβαλεν ἀναθέματι· τοὺς δὲ μέχρι τότε τῇ βασιλείᾳ κομιζομένους ἐκεῖθεν φόρους ἐπέσχε, τοῖς Φράγγοις σπεισάμενος, ὅθεν αὐτοῖς ἀφορμὴ γέγονε τοῦ κυριεῦσαι τῆς Ῥώμης. Οὐ γὰρ τοῦ τῶν Ῥωμαίων γένους οἱ Φράγγοι, ἀλλὰ Γερμανικὸν ἔθνος τούτους εἶναί φησι τὴν ποικίλην ἱστορίαν ὁ Καισαρεὺς Προκόπιος συγγραψάμενος, περὶ τὸν Ῥῆνον ποταμὸν καὶ τὸν Ῥοδανὸν, καὶ τὰς ἐκεῖσε λίμνας πάλαι κατῳκημένον. Τοῦ δὲ Βελισαρίου στρατηγοῦντος Ῥωμαίων ἐπὶ τοῦ προτέρου Ἰουστινιανοῦ, καὶ Γότθοις ἀντιπαλαιωμένου περὶ Ἰταλίας, καὶ τῶν ἐν ταύτῃ πόλεων καὶ τῆς Ῥώμης αὐτῆς (παρὰ γὰρ τῶν Γότθων κατεῖχοντο) τότε καὶ τοὺς Φράγγους ἱστορεῖ τῇ Ἰταλίᾳ ἐπεμβαλεῖν. Τοὺς μέντοι Γότθους μὴ οἷους τε ὄντας Ῥωμαίοις καὶ τοῖς Φράγγοις ἀντικαθίστασθαι, πρὸς τοὺς Φράγγους θέσθαι σπονδὰς, καὶ τὸν πρὸς ἐκείνους διαλύσασθαι πόλεμον, παραχεχωρηκότας αὐτοῖς τῶν Γαλλικῶν, ὅσαι περ αὐτοῖς προσεγένοντο. Καὶ τὴν πρᾶξιν ταύτην, καὶ αὐτὸν ἐπιῤῥῶσαι τὸν Ἰουστινιανὸν βασιλείῳ γραφῇ, τοῦτο δεηθέντων τῶν Φράγγων, πραγματευόμενον τὸ μὴ Ῥωμαίοις πολεμοῦσι πρὸς Γότθους ἠναντιῶσθαι τοὺς Φράγγους, ἀλλ' εἶναι τὰ πρὸς Ῥωμαίους τούτοις διὰ τὴν ἐπίῤῥωσιν φίλια. Κἀντεῦθεν τοὺς Γερμανοὺς Μασσαλίαν τε τὴν Φωκαέων ἀποικίαν καὶ τὰ ἐπὶ θαλάσσῃ χωρία σχεῖν ἅπαντα, καὶ τῆς ἐκεῖ κρατῆσαι θαλάσσης, πολλὰ δὲ καὶ τῶν Βενετικῶν κατασχεῖν. Οὕτως οὖν οἱ Φράγγοι πεπλησιακότες τοῖς Ἰταλοῖς, οὐ διέλιπον ἔκτοτε ἐπιόντες τοῖς ἐκεῖσε Ῥωμαίοις, καὶ τὰ ὑπ' αὐτοὺς

λιζόμενος. Ἀποστατήσας οὖν, ὡς εἴρηται, τῆς τοῦ βασιλέως ὑπακοῆς ὁ πάπας Γρηγόριος, διὰ τὴν ἐκείνου κακοδοξίαν, τοῖς Φράγγοις ἐσπείσατο, πρότερον πολλάκις διὰ γραμμάτων σπεύσας τὸν Λέοντα τῆς μισοθείας μετανοῆσαι, καὶ μεταπεῖσαι τὰς ἱερὰς εἰκόνας σεβάζεσθαι. Ἀλλ' ἐδόκει σμήχειν Αἰθίοπα. Οὐ μόνον γὰρ ὀρθὸν οὐδέν τι ἐφρόνησεν, ἀλλὰ καὶ ἐκμανεὶς κατὰ τῶν ὀρθοδόξων πολλοὺς ἐκθλασε καὶ ὁμολογίας στεφάνων ἠξίωσε. Τούς τε Καλαβροὺς καὶ τοὺς Σικελοὺς φόροις νέοις ἐβάρυνε, κεφαλητίωνα τελεῖν κατὰ τοὺς Ἰουδαίους διγματίσας αὐτούς, καὶ τὰ παρ' αὐτοῖς τικτόμενα ἄρρενα ἀπογράφεσθαι. Ἤδη δὲ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου τελοῦντος εἰς μείρακας, ζεύγνυσιν αὐτῷ γαμετὴν τὴν θυγατέρα Χαγάνου τοῦ τῶν Σκυθῶν ἡγεμονεύοντος, βαπτίσας αὐτὴν, καὶ ὀνομάσας Εἰρήνην, ἥτις οὐ συνυπήχθη τῇ τοῦ ἀνδρὸς κακοδοξίᾳ, ἀλλὰ μυηθεῖσα τὸ δόγμα τὸ εὐσεβὲς, ἔμεινεν ἀμετάτρεπτος. Σεισμοῦ δὲ συμβεβηκότος (48*) σφοδροῦ κατὰ τὸ Βυζάντιον, ναοί τε πολλοὶ (49) καὶ οἰκίαι συνέπεσον, καὶ πλῆθος ἀνθρώπων συγκέχωστο τοῖς συμπτώμασιν. Ὅτε καὶ ἡ τοῦ Ἀρκαδίου στήλη ἐν τῷ τοῦ Ξηρολόφου κίονι ἱδρυμένη κατέπεσε, καὶ ὁ ἐν τῇ Χρυσῇ πόρτῃ ἀνδριὰς τοῦ μεγάλου Θεοδοσίου, ἀλλὰ μὴν καὶ τὰ κατὰ τὴν χέρσον τείχη τῆς πόλεως, ἥ τε τοῦ Νικομήδους πόλις (50), καὶ πρὸς ταύτῃ ἡ Νίκαια αἱ μητροπόλεις αἱ Βιθυνικαι. Τὴν οὖν τῶν τειχῶν θέσθαι λαβὴν, διεκηρυκεύσατο πρὸς τὸν δῆμον τῆς ἀνεγεῖραι τὰ τείχη· ἀσύμφορον δ' ὑμῖν ἐπὶ τούτοις παρ' ἡμῶν προσθήκην ἐν τοῖς δημοσίοις φόροις γενέσθαι, φόλλεις εἴκοσι καὶ τέσσαρας ἑκάστῳ νομίσματι. Ἵνα τούτων τῷ βασιλεῖ παρεχομένων, τὰ ὑπερκλάσαντα τῶν τειχῶν ἀναλωμάτων βασιλικῶν. Ἔκτοτε τοίνυν καὶ μέχρι τοῦδε ἡ εἴσπραξις ἐπεκράτησεν αὕτη. Οὕτως οὖν ἐπὶ κακῷ τῆς πολιτείας, ὁ δειλαίος Λέων βασιλεύσας ἔτη τέσσαρα πρὸς τοῖς εἴκοσι, δυσεντερίᾳ νοσήσας ἀθλίως τὴν ψυχὴν ἐξηρεύξατο.

lavare. Tantum enim aberat ut resipisceret, ut etiam furore contra orthodoxos percitus, multos supplicio afficeret, et confessionis coronis ornaret. Calabros et Siculos novis tributis oneravit, ac more Judaico tributum capitum pendere, et mares qui apud illos nascebantur, describi jussit. Filio jam adulto filiam Chagani Scytharum ducis despondit, eamque baptizatam Irenem vocavit, quæ mariti errorem non amplexa est, sed pium dogma quo imbuta fuerat, constanter tenuit. Terræ motu vehementi multa templa et domus Byzantii corruerunt, magna hominum multitudine ruinis oppressa. **106** Tunc et Arcadii statua in Xerolophi columna posita concidit, et Theodosii statua in Aurea porta, et obversa continenti urbis mœnia. Corruerunt et Nicomedia et Nicæa, Bithyniæ metropoles. Ruinam murorum tyrannus Leo ad lucri occasionem detorsit. Nam urbano populo per præconem edixit: *Eum mœnia celeriter instaurare non posse, neque vero expedire civitati, ut diu mœnibus careat, itaque se jussisse publicis tributis accessionem adjungi, vicenos quaternos folles in singula numismata: quibus in fiscum relatis, mœnia sumptibus imperatoriis instaurentur.* Ea exactio ab illo tempore etiam nunc durat. Sic infelix Leo, cum in reipublicæ perniciem annos viginti quatuor imperasset, ex morbo intestinorum animam infeliciter eructavit.

Ε'. Διεδέξατο δὲ τὴν τῶν Ῥωμαίων ἀρχὴν μετὰ τῆς πατρικῆς δυσσεβείας (51) ὁ δυσώνυμος ἐκείνου υἱὸς, ὃς ὑπερβάλλεσθαι τὸν πατέρα πολλῷ τῷ μέσῳ πρὸς κακίαν ἐφιλονείκησεν, οὐ κατὰ τῶν σεπτῶν εἰκόνων λυττήσας μόνον, ἀλλὰ καὶ γοητείαις προσκείμενος, καὶ ἱερείων ἀνατομαῖς, καὶ νεκυομαντείαις καὶ ἀῤῥητοποιίαις, καὶ ὅλως οὐδενὸς κακοῦ, ἀπεχόμενος, καὶ ποικίλος ὢν τὴν κακίαν, καὶ οὐ μονοειδής. Οὐ γὰρ Χριστιανὸς, οὐχ Ἕλλην, οὐκ Ἰουδαῖος ἐτύγχανεν ὤν, ἀλλ' ἀσεβείας τις κυκεὼν, καὶ οἷα τὰ Λιβυκὰ θηρία ἱστόρηται φύεσθαι ἐκ μίξεως ἑτερογενῶν, πολυειδῆ καὶ σύμικτα τὴν ἰδέαν καὶ τὴν θηριώδιαν γεννώμενα· διὰ ταῦτα πρὸς πάντων μεμίσητο. Καὶ κατὰ τὸ

V. Romanum imperium una cum paterna impietate ignominiosus ejus filius suscepit, qui patris improbitatem longo intervallo superare studuit. Neque enim contra venerabiles imagines dumtaxat insaniit, sed et præstigiis fuit deditus, et victimarum dissectionibus, et evocationibus manium, aliisque infandis rebus. Denique nullo scelere abstinuit, non uniformi, sed multiplici improbitate præditus, non Christianus, non paganus, non Judæus, sed colluvio quædam impietatis, instar Africanarum ferarum, quæ ex diversi generis coitu multiformes confusaque specie et inmanitate nasci perhibentur: atque ob hæc omnibus invisus fuit. Secundo anno tyrannidis suæ (neque enim regni

Variæ lectiones et notæ.

(48*) *Σεισμοῦ δὲ συμβεβηκότος.* Accidit hic terræ motus an. 24. Leonis indict. 9 VII Kal. Nov. die S. Demetrio sacro, feria IV, hora 8. Ita Theophanes et Cedrenus. Illius etiam meminit Nicephorus Constantinopol. in Breviario, quo quidem die fieri ejus ἀνάμνησιν observant Menæa. Vide quæ de eo adnotamus in dissert. de Hebdomo.

(49) *Ναοί τε πολλοί.* In his ædem S. Irenes Sophianæ proximam recenset Nicephorus.

(50) *Ἥ τε Νικομήδους πόλις.* Nicomediæ et Nicææ tertiam addit Prænetum Theophanes, qui eadem habet quæ Zonaras de nova tributi accessione pro muris urbis reparandis imposita.

(51) *Μετὰ πατρικῆς δυσσεβείας.* Idem Theostericlus, n. 28: Διαδέχεται τούτου τὴν βασιλείαν ἅμα καὶ τὴν ἀσέβειαν Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ, πονηρᾶς ῥίζης πονηρότατος πτόρθος, ἐξ ἰοβόλου θηρὸς δράκων ψυχοφθόρος, ἐκ δεινοτάτου λέοντος πάρδαλις ποικιλότροπος.

dixerim) expeditione contra Arabes suscepta, cum ad Obsicii provinciam pervenisset, cui provinciæ affinis ejus Artabasdus curopalates præerat, illi affini suo insidias struxit. Nam senatus et populus atque etiam legiones, cum, ut dictum est, Constantinum odissent, Artabasdo ut orthodoxo imperium decernebant. Verum Artabasdus animadversis insidiis, oratione apud populum habita, Constantinum aggreditur. Sed effugit Copronymus, et Amorium se contulit, missisque ad Orientalium Lacenam, et Thracensium Sisinnacium duces legatis, magnificis pollicitationibus impetravit, ut secum militarent. Hinc civilia bella orta sunt, et Romani sese mutuis cædibus confecerunt. Nam utrique suo imperatori adhærebant, **107** et Artabasdus etiam imperator jam declaratus erat. In urbe regia Constantinus Theophanem magistrum, rerum administratorem reliquerat : qui Artabasdo deditus, acceptis ab eo litteris vulgabat, Constantino publice interfecto, Artabasdum a legionibus creatum esse imperatorem. Sic urbana multitudo in magna Ecclesia congressa, Constantinum anathemate notavit, et Artabasdum laudibus prosecuta est, eadem hæc et Anastasio patriarcha comprobante. Artabasdus igitur susceptus, et ab omnibus imperator salutatus, statim venerandas imagines ubique erexit. Anastasius autem patriarcha jurejurando affirmavit, dixisse Copronymum, *Christum non esse filium Dei, sed nudum hominem Maria natum, quemadmodum ipse e sua matre Maria natus esset.* Artabasdo urbem egresso, denuo pugnæ committebantur, et Constantinus Chalcedone transvectus, jacto circa terrestria mœnia vallo, urbem obsedit. Cum eo congressus Artabasdus et victus, in urbe se conclusit : et ut ea diligenter custodiretur, operam dedit. Sed quia Copronymus mare tenebat, neque onerarias naves in urbem appellere patiebatur, fame laboratum est, multique cives perierunt. Idem Artabasdi filium nactus, in compedes conjectum patri ostendebat. Deinde rursus tentata oppugnatione, o inscrutabilia Dei judicia, urbe potitus est. Sed Artabasdus elapsus, in castellum quoddam provinciæ obsequii se recepit. Ubi comprehensus cum duobus suis filiis excæcatur. Sunt et fœderatorum ejus multi a Copronymo interfecti, et præ cæteris Bactangius patricius, vir illustris, cujus uxorem post plurimos annos in monasterium Choræ abire coegit tyrannus, ubi ille sepultus erat, et refossa mariti sui ossa ipsam afferre, et projicere in pelagium, quo hostes et condemnati adjiciebantur. Cum ludi equestres agerentur, Artabasdum et filios ejus in medio theatro circumductos traduxit. Sed et Anastasium patriarcham a Diippio asino insidentem, facie versus caudam conversa, adductum, ignominiose

ἀρχιερωσύνης Ἑκάθισα, τῆς Ἐκκλησίας τυραννουμένης, καὶ σχίσματος ὄντος μέσον αὐτῆς, καὶ τῶν ἄλλων καθολικῶν θρόνων. Εἶτ' αὖθις ἐκ τῆς συγκλήτου λογάδας ἀπέστειλεν, ἐρωτῆσαι ὅ τι ἂν εἰς θέαν οἰκονομηθείη; Ὁ δὲ ἀπεκρίνατο ὡς Εἰ μὴ διὰ συνόδου καθολικῆς τὸ σφάλμα διορθωθῇ, καὶ τῶν Ἐκκλησιῶν προβαίη ἕνωσις, οὐκ ἔστιν ἡμῖν σωτηρία. Καὶ οἱ συγκλητικοί, Διὰ τί γοῦν, εἶπον, αὐτὸς ἐν τῷ χειροτονεῖσθαι, συνέθου τὰς εἰκόνας μὴ προσκυνεῖν; Ὁ δὲ ἀντεπήγαγε, Διὰ τὴν τῶν κρατούντων μανίαν καὶ τὴν ὑμετέραν ἀπήνειαν. Ἀλλὰ καὶ διὰ τοῦτο ὑρηνῶ, καὶ διὰ μεταβολὰς πρὸς τοὺς οἰκτιρμοὺς καταφεύγω τοῦ Θεοῦ, δεόμενος μὴ ὡς ἀρχιερεὺς κριθῆναι. Ὁ μὲν οὖν ἐν τούτοις τὸν βίον κατέλυσεν. Οἱ δὲ κρατοῦντες τὸν ἀοίδιμον Ταράσιον (67) Ἀσηκρήτις ὄντα πατριάρχην προεχειρίζοντο, καὶ ὁ λαὸς ἅπας ἐπεψηφίζετο. Ὁ καὶ ἀνένευε, μὴ δύνασθαι λέγων προστῆναι τῆς Ἐκκλησίας ἀπεσχισμένης τῶν λοιπῶν τυγχανούσης Ἐκκλησιῶν, καὶ ὑπ' ἐκείνων ὑποβαλλομένης τῷ ἀναθέματι. Ἐγκειμένων δὲ καὶ τῶν βασιλέων καὶ τοῦ λαοῦ, Εἰ συντίθεσθε, εἶπε, σύνοδον οἰκουμενικὴν ἀθροισθῆναι, καὶ τῶν Ἐκκλησιῶν γενήσεσθαι ἕνωσιν, δέξομαι καὶ αὐτὸς τὴν προχείρησιν. Συνθεμένων δὲ πρὸς τοῦτο πάντων, ἐχειροτονήθη ὁ θεῖος Ταράσιος, καὶ στέλλει αὐτός τε καὶ οἱ κρατοῦντες εἴς τε τὴν πρεσβυτέραν Ῥώμην, Ἀδριανοῦ ἐν αὐτῇ προεδρεύοντος, καὶ εἰς τοὺς λοιποὺς πατριάρχας, ζητοῦντες σταλῆναί τινας παρ' αὐτῶν, τοὺς ἐπὶ τῇ συνόδῳ παρουσιάσοντας, καὶ παρὰ πάντων ἐστάλησαν. Ἀθροισθέντων δὲ καὶ τῶν λοιπῶν ἀρχιερέων (68) καὶ μοναχῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας, καὶ ὁ πατριάρχης ἐξῆλθε Ταράσιος, καὶ συνέστη ἐκεῖ οἰκουμενικὴ σύνοδος ἑβδόμη, καὶ ἐκυρώθη τὰς σεπτὰς εἰκόνας καὶ προσκυνεῖσθαι καὶ σέβεσθαι, ἀναθέματι δὲ κατεκρίθησαν, καὶ οἱ τρεῖς οἱ τῆς ἐν Κωνσταντινουπόλει προεδρεύσαντες Ἐκκλησίας, ὅτε Ἀναστάσιος, καὶ ὁ Κωνσταντῖνος, καὶ ὁ Νικήτας, καὶ τόμῳ τῇ ἱερᾷ συνόδῳ τὰ δόξαντα ἐνεγράψησαν. Ἐκ δὲ Νικαίας εἰς τὴν τῶν πόλεων βασιλεύουσαν ἐνδημήσαντες οἱ τῆς συνόδου, καὶ ἐν τοῖς βασιλείοις γενόμενοι, προκαθημένων καὶ τῶν βασιλευόντων, εἰς ἐπήκοον πάντων τὸν τόμον ἀνέγνωσαν· ὃς αὐτίκα παρὰ τῶν κρατούντων κεκύρωτο ὑποσημηναμένων αὐτὸν, καὶ οὕτω τὰ ἱερὰ ἐκτυπώματα ἐν τοῖς θείοις ναοῖς ἀνετήλοντο, καὶ αἱ Ἐκκλησίαι ἅπασαι ἠνῳγοντο. Τὰ μὲν οὖν μέχρι τοῦδε παρὰ τῆς βασιλίσσης, καὶ τῶν αὐτῇ προσῳκειωμένων τὰ τῆς βασιλείας ἰθύνοντο. Ἤδη δὲ τὸν μείρακα παρελάσας ὁ βασιλεὺς Κωνσταντῖνος, καὶ εἰς νεανίας τελεῖν ἠργμένος (εἰκοσαέτης γὰρ ἦν) καὶ ὁρῶν ἅπαντα παρὰ τῆς μητρὸς οἰκονομούμενα, καὶ Σταυράκιον πατρίκιον καὶ λογοθέτην τὰ πάντα δυνάμενον, ἑαυτὸν δὲ μηδενὸς

ἀρχιερωσύνης Ἑκάθισα, τῆς Ἐκκλησίας τυραννουμένης, καὶ σχίσματος ὄντος μέσον αὐτῆς, καὶ τῶν ἄλλων καθολικῶν θρόνων. Εἶτ' αὖθις ἐκ τῆς συγκλήτου λογάδας ἀπέστειλεν, ἐρωτῆσαι ὅ τι ἂν εἰς θέαν οἰκονομηθείη; Ὁ δὲ ἀπεκρίνατο ὡς Εἰ μὴ διὰ συνόδου καθολικῆς τὸ σφάλμα διορθωθῇ, καὶ τῶν Ἐκκλησιῶν προβαίη ἕνωσις, οὐκ ἔστιν ἡμῖν σωτηρία. Καὶ οἱ συγκλητικοί, Διὰ τί γοῦν, εἶπον, αὐτὸς ἐν τῷ χειροτονεῖσθαι, συνέθου τὰς εἰκόνας μὴ προσκυνεῖν; Ὁ δὲ ἀντεπήγαγε, Διὰ τὴν τῶν κρατούντων μανίαν καὶ τὴν ὑμετέραν ἀπήνειαν. Ἀλλὰ καὶ διὰ τοῦτο ὑρηνῶ, καὶ διὰ μεταβολὰς πρὸς τοὺς οἰκτιρμοὺς καταφεύγω τοῦ Θεοῦ, δεόμενος μὴ ὡς ἀρχιερεὺς κριθῆναι. Ὁ μὲν οὖν ἐν τούτοις τὸν βίον κατέλυσεν. Οἱ δὲ κρατοῦντες τὸν ἀοίδιμον Ταράσιον (67) Ἀσηκρήτις ὄντα πατριάρχην προεχειρίζοντο, καὶ ὁ λαὸς ἅπας ἐπεψηφίζετο. Ὁ καὶ ἀνένευε, μὴ δύνασθαι λέγων προστῆναι τῆς Ἐκκλησίας ἀπεσχισμένης τῶν λοιπῶν τυγχανούσης Ἐκκλησιῶν, καὶ ὑπ' ἐκείνων ὑποβαλλομένης τῷ ἀναθέματι. Ἐγκειμένων δὲ καὶ τῶν βασιλέων καὶ τοῦ λαοῦ, Εἰ συντίθεσθε, εἶπε, σύνοδον οἰκουμενικὴν ἀθροισθῆναι, καὶ τῶν Ἐκκλησιῶν γενήσεσθαι ἕνωσιν, δέξομαι καὶ αὐτὸς τὴν προχείρησιν. Συνθεμένων δὲ πρὸς τοῦτο πάντων, ἐχειροτονήθη ὁ θεῖος Ταράσιος, καὶ στέλλει αὐτός τε καὶ οἱ κρατοῦντες εἴς τε τὴν πρεσβυτέραν Ῥώμην, Ἀδριανοῦ ἐν αὐτῇ προεδρεύοντος, καὶ εἰς τοὺς λοιποὺς πατριάρχας, ζητοῦντες σταλῆναί τινας παρ' αὐτῶν, τοὺς ἐπὶ τῇ συνόδῳ παρουσιάσοντας, καὶ παρὰ πάντων ἐστάλησαν. Ἀθροισθέντων δὲ καὶ τῶν λοιπῶν ἀρχιερέων (68) καὶ μοναχῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας, καὶ ὁ πατριάρχης ἐξῆλθε Ταράσιος, καὶ συνέστη ἐκεῖ οἰκουμενικὴ σύνοδος ἑβδόμη, καὶ ἐκυρώθη τὰς σεπτὰς εἰκόνας καὶ προσκυνεῖσθαι καὶ σέβεσθαι, ἀναθέματι δὲ κατεκρίθησαν, καὶ οἱ τρεῖς οἱ τῆς ἐν Κωνσταντινουπόλει προεδρεύσαντες Ἐκκλησίας, ὅτε Ἀναστάσιος, καὶ ὁ Κωνσταντῖνος, καὶ ὁ Νικήτας, καὶ τόμῳ τῇ ἱερᾷ συνόδῳ τὰ δόξαντα ἐνεγράψησαν. Ἐκ δὲ Νικαίας εἰς τὴν τῶν πόλεων βασιλεύουσαν ἐνδημήσαντες οἱ τῆς συνόδου, καὶ ἐν τοῖς βασιλείοις γενόμενοι, προκαθημένων καὶ τῶν βασιλευόντων, εἰς ἐπήκοον πάντων τὸν τόμον ἀνέγνωσαν· ὃς αὐτίκα παρὰ τῶν κρατούντων κεκύρωτο ὑποσημηναμένων αὐτὸν, καὶ οὕτω τὰ ἱερὰ ἐκτυπώματα ἐν τοῖς θείοις ναοῖς ἀνετήλοντο, καὶ αἱ Ἐκκλησίαι ἅπασαι ἠνῳγοντο. Τὰ μὲν οὖν μέχρι τοῦδε παρὰ τῆς βασιλίσσης, καὶ τῶν αὐτῇ προσῳκειωμένων τὰ τῆς βασιλείας ἰθύνοντο. Ἤδη δὲ τὸν μείρακα παρελάσας ὁ βασιλεὺς Κωνσταντῖνος, καὶ εἰς νεανίας τελεῖν ἠργμένος (εἰκοσαέτης γὰρ ἦν) καὶ ὁρῶν ἅπαντα παρὰ τῆς μητρὸς οἰκονομούμενα, καὶ Σταυράκιον πατρίκιον καὶ λογοθέτην τὰ πάντα δυνάμενον, ἑαυτὸν δὲ μηδενὸς

A discidio inter eam et alias catholicas sedes orto. Deinde rursus eruditos senatorii ordinis viros ad eum misit, sciscitans, quo pacto res rite administrandæ essent? Tum ille : *Nisi erratum synodo catholica correctum, et Ecclesiæ concordia restituta fuerit, salvi esse non possumus.* Senatoribus autem interrogantibus, cur ipse cum eligeretur, non adorandas esse imagines assensus esset, respondit, *ob eorum insaniam qui rerum potiebantur, et vestram crudelitatem. Sed hoc lugeo, ac pœnitentiam ad Dei misericordiam confugi, orans ut de me non tanquam de pontifice, judicium fiat.* At ille hoc modo vitam finiit. Imperatores autem inclytum Tarasium a secretis patriarcham designarunt, approbante omni populo. Sed ipse recusavit : neque enim se præesse posse Ecclesiæ a reliquis Ecclesiis avulsæ, et anathemati subjectæ. Instantibus autem imperatoribus et populo : *Si permittitis,* inquit, *ut synodus œcumenica convocetur, et Ecclesiæ uniantur, et ipse designationem admittam.* Assensis omnibus, patriarcha electus divinus Tarasius, et ipse et imperatores veterem Romam mittunt, cui Adrianus præsidebat, et ad cæteros patriarchas, petentes ut aliqui ab eis mitterentur, qui concilio interessent. Missi igitur sunt ab omnibus, et cæteris pontificibus et monachis Nicææ Bithyniæ congregatis : etiam patriarcha Tarasius est egressus, ibique septimum œcumenicum concilium est constitutum, ac decretum venerabiles imagines et adorandas et colendas esse, et tres anathemate notati, qui Constantinopolitanæ Ecclesiæ præfuerunt, Anastasius, Constantinus et Nicetas, sanctique concilii decreta in commentarios relata sunt. Deinde qui concilium celebrarant, in urbem imperatoriam profecti, decreta in regia, imperatoribus præsidentibus, atque omnibus audientibus, recitarunt, quæ statim ab imperatoribus approbata et subsignata sunt, atque ita sacræ imagines templis restitutæ, et Ecclesiæ **117** universæ unitæ. Hactenus ab imperatrice ejusque familiaribus regnum administratum est, Cæterum Constantinus annos pueritiæ egressus, factusque adultior (nam XX annos natus erat), cum matrem pro auctoritate agere omnia videret, et Stauracium patricium et logothetam nihil non posse, sui vero nullam rationem haberi : ægre illetulit, et consilio cum quibusdam senatoribus suisque ministris inito, de magistratu Stauracio abrogando, eoque relegando cogitavit. Eo consilio cognito, imperatrix, ministros imperatorios illius rei conscios omnes verberibus affectos et pilis nudatos, alios alio relegavit. Senatores ignominia notatos, partim domo exire vetuit, partim in exsilium misit. Sed et filium excruciavit, et conviciis inse-

Variæ lectiones et notæ.

(67) *Ταράσιον.* Cujus festum agunt Græci 25 Febr.

(68) *Ἀρχιερέων.* Sanctorum Patrum qui huic synodo adfuere festum celebrant Græci 11 Octobr. Menæa : Κατὰ τὴν ἑνδεκάτην τοῦ παρόντος μηνὸς μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων καὶ μακαρίων Πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων τὸ δεύτερον, etc.

ciata, prodire in publicum prohibuit : quin et legiones sacramento adegit, ne se vivente filium ad imperium admitterent. Ac cæteri vel inviti jurarunt ; sed Armeniacæ legiones mulieri non cesserunt, seque Constantinum imperatorem agnoscere, et ante matrem initio proclamatum esse dixerunt, atque ita rursus cum lætis ominibus prosequi voluerunt. His Irene cognitis, Alexium Moselem spatharium, eumdemque Drungarium Vigliæ, ad eas conciliandas misit. At illi duce suo in custodiam tradito, et Mosele provinciæ præside designato, solum Constantinum pro imperatore celebrarunt. Hinc orto initio, etiam aliarum provinciarum exercitus idem fecerunt, et congregati communiter eum proclamarunt. Igitur Irene legionum concordiam verita, filium produxit. Is Stauracium et honoratiores ex maternis ministris excruciatos statim relegavit : ipsam vero matrem regia honorifice eductam, in ipsius ædibus, quas in Eleutherii tractu struxerat, vitam degere jussit.

A ἀξιούμενον λόγου ἦχθετο, καὶ μετά τινων τῶν τῆς συγκλήτου βουλῆς, καὶ τῶν ὑπηρετουμένων αὐτῷ ἐμελέτησε τὸν Σταυράκιον τῆς ἀρχῆς καθελεῖν, καὶ ποιήσασθαι ὑπερόριον. Γνωσθέντος δὲ τοῦ βουλεύματος, τοὺς μὲν τοῦ βασιλέως θεράποντας τιὺς αὐτῷ συμμετέχοντας τύψασα πάντας καὶ ψιλώσασα τῶν τριχῶν ἡ βασίλισσα, ἄλλους ἄλλῃ ἐξώρισε. Τοὺς δὲ ἐκ τῆς συγκλήτου ἀτιμίᾳ περιβαλοῦσα, τοὺς μὲν ἀπροίτους τῶν ἰδίων οἴκων εἶναι κεκέλευκε, τῶν δὲ καὶ ὑπερορίαν κατεψηφίσατο. Ἀλλὰ μὴν καὶ τὸν υἱὸν αἰκισαμένη καὶ λοιδορησαμένη, προϊέναι καὶ δημοσιεύειν κεκώλυκε. Τὰ δὲ στρατεύματα ὀμνύειν ἠνάγκαζε, μὴ δέξασθαι τὸν υἱὸν αὐτῆς εἰς αὐταρχίαν, ζώσης αὐτῆς. Καὶ οἱ μὲν ἄλλοι καὶ ἄχοντες ὤμνυον. Οἱ δὲ τοῦ θέματος τῶν Ἀρμενιακῶν οὐχ ὑπέκυψαν, B ἀλλὰ καὶ βασιλέα γινώσκειν εἶπον τὸν Κωνσταντῖνον, καὶ πρὸ τῆς μητρὸς ἐξ ἀρχῆς ἀναγορευόμενον, καὶ οὕτως αὖθις αὐτὸν ἤθελον εὐφημεῖσθαι. Ταῦτα ἡ Εἰρήνη μαθοῦσα ἔστειλε τὸν σπαθάριον Ἀλέξιον καὶ δρουγγάριον τῆς Βίγλας τὸν Μωσηλέ, ἵν' αὐτοὺς εἰς τὸ αὐτῆς μετάθηται θέλημα. Οἱ δὲ τὸν μὲν στρατηγὸν ἑαυτῶν συνέσχον ὑπὸ φρουράν, τὸν δὲ Μωσηλὲ ἄρχοντα τοῦ θέματος εἵλοντο, καὶ μόνον τὸν Κωνσταντῖνον εὐφήμησαν αὐτοκράτορα. Ἐντεῦθεν ὁρμηθέντες καὶ οἱ τῶν ἄλλων θεμάτων μόνον τὸν Κωνσταντῖνον ἀνηγόρευον βασιλέα, καὶ ἀθροισθέντες κοινῇ ἐκεῖνον μόνον ἀνεκήρυττον αὐτοκράτορα. Δείσασα δὲ τὴν τῶν ταγμάτων ὁμόνοιαν ἡ Εἰρήνη προήνεγκε τὸν υἱόν. Ὁ δὲ αὐτίκα τὸν Σταυράκιον αἰκισάμενος, καὶ τοὺς ἐντιμοτέρους τῶν θεραπόντων τῶν μητρικῶν ὑπερώρισεν· αὐτὴν δὲ τὴν μητέρα τῶν βασιλείων ἐντίμως καταγαγών, εἰς τὸν οἶκον αὐτῆς, ὃν ἐν τοῖς Ἐλευθερίου ἐδείματο, διάγειν ἐκέλευσε.

XII. Et hæc ita acta fuerunt : orto autem incendio magnum sacri palatii triclinium, quod Thomaitem vocant, conflagravit, unaque cremata esse feruntur eo in loco sita commentaria quædam in sacras litteras Joannis Chrysostomi. Imperator Constantinus Bulgaris, quorum princeps tum Cardamus erat, bellum intulit : levi autem pugna commissa, terror utrumque exercitum invasit. Itaque imperator in magnam urbem rediit, Bulgari in **118** suas sedes se receperunt. Sed et contra Arabes profectus nihil memorabile gessit. Matrem, ab ipsa et quibusdam ex primoribus oratus, in regiam reduxit, et una secum celebrari passus est. Omnes itaque provinciarum legiones iteratam Irenes proclamationem admiserunt; solis Armeniacis per seditionem adversantibus, et Alexium Moselem ducem, ut dictum est, pridem suum accersentibus, quem imperator ante revocatum, et patricii dignitate ornatum apud se habebat. Sed quia fama erat imperaturum esse, et quia a seditiosis accersebatur, eumdem ex metu in Prætorianum carcerem conjecit, flagris prius cæsum, comaque detonsa. Principi Bulgarorum Romanam ditionem aggresso, im-

ΙΒ'. Καὶ τὰ μὲν οὕτως ἔσχον. Ἐμπρησμοῦ δὲ συμβάντος, ὁ μέγας τρίκλινος τῶν ἱερῶν ἀνακτόρων, ὁ Θωμαΐτης (69) λεγόμενος, ἔργον γέγονε τοῦ πυρός· ὅτε λέγεται καυθῆναι καὶ τὰ σχεδιάσματα τῶν ἐξηγήσεων τῆς θείας Γραφῆς, ἃ ὁ χρυσοῦς τὴν γλῶτταν συνεγράψατο Ἰωάννης, ἐκεῖσέ που ἀποκείμενα. Ὁ δέ γε βασιλεὺς Κωνσταντῖνος κατὰ Βουλγάρων ἐξεστράτευσε, τοῦ Καρδάμου τοῦ ἔθνους ἀρχηγετοῦντος· μικρᾶς δὲ προσβολῆς γενομένης, ἀμφοῖν τοῖν ἀντιθέτοιν μεροῖν δειλία ἐνέσκηψε. Καὶ ὁ μὲν βασιλεὺς ἐπανέζευξεν εἰς τὴν Μεγαλόπολιν, οἱ δὲ Βούλγαροι εἰς τὰ ἤθη ἑαυτῶν. Ἀλλὰ καὶ κατὰ Ἀράβων ὁρμήσας, οὐδέν τι λόγου ἄξιον ἤνυσε. Παρακληθεὶς καὶ ὑπὸ τῆς μητρὸς, καὶ τῶν ἐν τέλει τινῶν, αὖθις ἀνάγει ταύτην εἰς τὰ βασίλεια, καὶ ἑαυτῷ συνευφημεῖσθαι παρεχωρεῖ, καὶ πάντα μὲν τὰ τῶν θεμάτων τάγματα ἐδέξαντο τὴν τῆς Εἰρήνης αὖθις ἀνάρρησιν. Οἱ δὲ τοῦ θέματος τῶν Ἀρμενιακῶν ἀντέπιπτόν τε καὶ ἐστασίαζον, καὶ ἐπεκαλοῦντο τὸν πρώην αὐτῶν, ὡς εἴρηται, στρατηγήσαντα Ἀλέξιον τὸν Μωσηλέ. Ἔνθα γὰρ αὐτὸν ὁ βασιλεὺς ἐκεῖθεν μεταπεμψάμενος, καὶ τιμήσας πατρίκιον, εἶχε μεθ' ἑαυτοῦ, φήμης ἐπικρατούσης μέλλειν βασιλεύειν τὸν ἄνδρα. Διὰ ταύτην τοίνυν καὶ ὅτι παρὰ τῶν στασιαζόντων

Variæ lectiones et notæ.

(69) *Θωμαΐτης*. Triclinii, patriarchii, Thomaïtæ dicti, conditor fuit Thomas patriarcha Constantinopolit., qui Cyriaco successit. Nicephorus Callist. l. XVIII, c. 44 de Thoma : Τὸν μέγιστον οἶκον δειμάμενος τῷ ἐπισκοπείῳ, ὅς, τὸ τοῦ δομησαμένου πληρωσάμενος ὄνομα, Θωμαΐτης ἐς δεῦρο τὸ ἐπώνυμον ἔχει. Plura de hoc triclinio congessimus in *Constantinopoli Christ.* lib. II. sect. 8. In eo triclinio exstitit bibliotheca patriarchæ, quam inde patriarchalem bibliothecam S. Thomæ perperam vocavit Combefisius apud Continuatorem Theophanis, lib. III, n. 14. Meminit præterea Balsamon ad Nomocanonem Photii, p. 212 1 edit. Justelli in versione Latina, ejusdem triclinii : nam hæc vox abest in Græco textu.

ἐπεκαλεῖτο, δείσας ὁ βασιλεὺς καθεῖρξεν ἐν τῷ πραιτωρίῳ αὐτὸν, τύψας πρότερον, καὶ τὴν κόμην περιελών. Τοῦ δὲ τῶν Βουλγάρων ἀρχηγετοῦντος ὡρμηκότος κατὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας, ἀσυντάκτως ὁ βασιλεὺς αὐτῷ ἐπελθὼν ἡττᾶται, καὶ πλῆθος πολὺ στρατευομένων ἀπόλλυσιν, ἀλλὰ μὴν καὶ τῶν μεγιστάνων πολλούς. Αἱ δὲ στρατιωτικαὶ συντάξεις ἀθροισθεῖσαι κατὰ τὴν Μεγαλόπολιν, ἐβουλεύσαντο βασιλεῦσαι τὸν ἀπὸ Καισάρων Νικηφόρον, τὸν τοῦ Κωνσταντίνου πατράδελφον. Ἀλλὰ τὸ σκέμμα οὐκ ἔλαθε· διὸ αὐτὸς μὲν ὁ Νικηφόρος ἐξεκόπη τὰ ὄμματα· ὁ δέ γε Χριστοφόρος, καὶ ὁ Νικήτας, ὁ Ἄνθιμός τε καὶ Εὐδόκιμος τῶν γλωσσῶν ὑπέστησαν ἐκτομήν. Ἀλλὰ καὶ τὸν Μωσηλὲ τὸν Ἀλέξιον ὁ βασιλεὺς ἐξετύφλωσεν, ὑποθήκαις ταῦτα μητρικαῖς ἐργασάμενος. Οἱ δὲ τοῦ θέματος τῶν Ἀρμενιακῶν τὴν τοῦ Ἀλεξίου μαθόντες τύφλωσιν τὸν σφέτερον στρατηγὸν ἐποίησαν ἔμφρουρον. Ἦν δ' οὗτος ὁ Καμουλιανὸς ὁ πατρίκιος. Ὡς οὖν ἀνηνέχθη τοῦτο τῷ βασιλεῖ, στέλλει κατ' αὐτῶν σὺν δυνάμει Κωνσταντῖνον τὸν Ἀρτασήραν, καὶ τὸν χρυσόχειρα στρατηγὸν τῶν βουκκελλαρίων τυγχάνοντα. Καὶ κροτηθέντος πολέμου, πολλοὶ μὲν ἔπεσον ἀμφοτέρωθεν, τρέπονται δὲ οἱ βασιλικοὶ, καὶ ἄμφω ζωγρηθέντων τῶν στρατηγῶν, οὓς οἱ Ἀρμενιακοὶ αὐτίκα ἐτύφλωσαν. Εἶτα καὶ αὐτὸς ὁ κρατῶν κατ' αὐτῶν ἐξεστράτευσε, καὶ χειροῦται αὐτοὺς, καὶ τοὺς μὲν προὔχοντας ἀναιρεῖ, τοῖς δὲ λοιποῖς δήμευσιν τῶν ὑπαρχόντων τὸ ἐπιτίμιον ἔταξε. Χιλίους δὲ τῶν ἐκ τῆς αὐτῶν μητροπόλεως δεσμήσας, καὶ εἰς τὴν Μεγαλόπολιν ἐνεγκὼν, τὰς ὄψεις τε σφῶν κατα-

A perator incomposito agmine obviam profectus vincitur, multis et militibus et proceribus amissis. Quamobrem militares ordines in magna urbe congregati, de Nicephoro Cæsare, Constantini patruo, ad imperium evehendo consilia inierunt. Sed cum illa clam non fuissent, Nicephoro ipsi oculi sunt effossi, Christophoro, Nicetæ Anthimo et Eudocimo linguæ præcisæ. Sunt et Alexio Moseli de matris consilio eruti oculi. Cujus excæcatione Armeniaci cognita, Camulianum patricium, suum ducem in custodiam dederunt. Eo ad imperatorem relato, Constantinum Artaseram et Chrysochirem buccellariorum ducem cum copiis contra illos mittit. Prælio commisso, utrinque multi ceciderunt: sed imperatoriis profligatis, ambo duces

B capti, et ab Armeniacis cæcati sunt. Post ipse imperator contra eos proficiscitur, victoriaque potitus, proceres occidit, cæteros publicatione bonorum multat. Sed mille ex eorum metropoli vinctos in magnam urbem misit, eorumque vultus compunxit, atramento litteris infuso, quæ erant, *Armeniacus insidiator*, eosque in Sicilia et aliis insulis dispersit. Uxorem Mariam, cum ejus pertæsum esset, tonderi coegit de consilio matris, ut aiunt, ut omnium odiis ab illo susceptis, summa rerum denuo ad ipsam rediret. Etsi enim cum filio in regia degebat, potestatis tamen particeps non erat, sed nominis duntaxat, cum imperii cupiditate supra modum æstuaret. Imperator igitur,

C cum uxor ornatum regium invita cum nigro monastico **119** vestitu commutasset, Theodotam quamdam cubiculariam duxit, et augustali corona ornavit. Post prospere cum Arabibus dimicavit, et Cardamo Bulgarorum principi, qui per legatos tributa sibi a Romanis pendi postulabat: quod nisi fieret, Thraciam se usque ad urbem populaturum minabatur, stercora jumentorum misit, additis litteris: *Quia senex esset, supersedendum ei esse molestia itineris: nam seipsum ad eum venturum.* Ac statim Romanis legionibus coactis, contra Bulgaros est profectus. Cum ambo exercitus in propinquo essent, et imperator Barbaros ad bellum evocaret: Cardamus cum suis copiis territus fugam cepit. Sed et Arabes Amorium aggressi, re

D infecta, præda duntaxat capta, discesserunt

στίξας ἐν γράμμασι, μέλανος ἐγχεομένου τοῖς στίγμασιν· ἔλεγε δὲ ἡ γραφὴ, *Ἀρμενιακὸς ἐπίβουλος*, διέσπειρε τούτους ἐν Σικελίᾳ, καὶ νήσοις ἄλλαις. Τὴν δὲ αὐτοῦ γυναῖκα Μαρίαν ἀποστέρξας οὗτος ὁ βασιλεὺς, ἀποκαρῆναι ταύτην ἐξεβιάσατο, συμβουλῇ, ὡς λέγεται, τῆς μητρὸς αὐτοῦ, ἵν' ὑπὸ πάντων μισηθείη, καὶ εἰς αὐτὴν πάλιν ἡ τῆς βασιλείας ἀντιπεριενεχθείη πᾶσα διοίκησις. Κἂν γὰρ συνῆν τῷ υἱῷ περὶ τὰ ἀνάκτορα, ἀλλ' οὐ συμμετεῖχε τῆς ἐξουσίας, μόνης δέ γε τῆς εὐφημίας, λίαν δ' ἐνόσει τὸ φίλαρχον. Μεταμφιασαμένης οὖν τῆς τοῦ κρατοῦντος συμβίου, καὶ περιβαλομένης ἀκούσης ἀντὶ τῆς βασιλείου στολῆς μοναζούσης ἄμφια μέλανα, Θεοδότην τινὰ κουβικουλαρίαν ἐκεῖνος ἠγάγετο (70), Αὐγούσταν στέψας αὐτήν. Εἶτα κατὰ τῶν Ἀράβων ἐπιστρατεύσας, τρόπαιον ἵστησι. Τοῦ μέντοι Καρδάμου, ὃν λόγος τῶν Βουλγάρων ἐγνώρισεν ἀρχηγὸν, φόρους ἀπαιτοῦντος αὐτῷ τελεῖσθαι παρὰ Ῥωμαίων, καὶ περὶ τούτου διαπεμψαμένου πρὸς τὸν κρατοῦντα, ἢ τὴν Θρᾴκην ἄχρι τῆς πόλεως ἀπειλοῦντος ληΐσασθαι, ἐκεῖνος κόπρον ὑποζυγίων τῷ Βαρβάρῳ ἐπέστειλεν, ἐπιστείλας αὐτῷ, *Ὅτι γέρων εἶ, καὶ μὴ κοπιάσῃς ἐνταῦθα ἐρχόμενος· ἐγὼ δὲ μᾶλλον ἐλεύσομαι ἐπὶ σέ.* Καὶ αὐτίκα τὰς Ῥωμαϊκὰς ἀθροίσας δυνάμεις, ἀπῄει κατὰ Βουλγάρων, καὶ ἤδη πλησίον ἀλλήλων γενομένων τῶν στρατευμάτων, καὶ τοῦ βασιλέως εἰς μάχην προκαλουμένου τοὺς Βαρβάρους, ὁ Κάρδαμος σὺν τοῖς οἰκείοις στρατεύμασιν ἀποδειλιάσας, φυγὰς ᾤχετο. Ἀλλὰ καὶ οἱ Ἄραβες κατὰ τοῦ Ἀμορίου χωρήσαντες, οὐδέν τι ἔσχον πρὸς τὴν πόλιν ἀνύσιμον, λείαν δὲ λαβόντες, ὑπέστρεψαν.

Variæ lectiones et notæ.

(70) *Θεοδότην τινὰ ἠγάγετο.* Nuptiarum benedictionem faciente Josepho M. Ecclesiæ œconomo, in quem gravius invehitur ob has incestas nuptias, et in Tarasium patriarcham Constantinopolit., qui eidem Josepho communicabat, Theodorus Studita in aliquot Epistolis editis a Baronio, an. 808 et seqq. ubi *coronationis* voce utitur pro matrimonii sacramento.

XIII. — Plato monasterii Saccudionis abbas, cum Tarasio patriarcha communicare non sustinuit, quod ille imperatorem ad communionem admisisset, qui deserta uxore, aliam contra instituta Christianorum matrimonio sibi juxisset, quod factum, adulterium appellabat. Eum imperator in Palatinum carcerem compegit; sed mater illius defensionem ideo suscepit, quod filium probro affecisset. Prusam cum matre profectus, cum sibi filiolum natum esse audisset, matre illic relicta, propere reversus est. Tum illa nacta opportunitatem, tribunis militum largitionibus et pollicitationibus conciliatis, persuasit, ut promitterent se imperium filio ademptum, in eam solam collaturos. Quo impetrato, occasionem rei conficiendæ quæritabat. Verum imperatore, filioli, quem Leonem nominarat, obitum deplorante, ii qui matris contra cum insidiarum conscii erant, veriti ne mora interposita dilatoque facinore deprehensi perirent, ei subito sub horam nonam oculos in palatio crudelissime eruunt, parati non lumine duntaxat, sed vita etiam ipsa privare. Tum accidit ut sol per dies XVII non splenderet, sed obscuri et tenebrosi essent dies illi, quod haud scio fortuito ne acciderit, an ob Constantini excæcationem, ut tum hominibus videbatur, quasi divina Providentia cladem illam aversaretur filio a matre illatam. Oculi ei eruti sunt eodem die quo ipse patruum suum Nicephorum et Moselem excæcarat, et reliquis, ut dictum **120** est, linguas præciderat, annis interim quinque elapsis. Irene vero denuo imperium consecuta est. Adriano veteris Romæ papa mortuo, Leo suffectus est, vir reverendus et honorabilis : sed Adriani defuncti necessarii, populo contra illum concitato, ei læserunt oculos, non tamen ademerunt. Nam ii quibus mandata erat excæcatio, pepercerunt homini, ejusque miserti, extrinsecus oculos læserunt, sed lumine non privarunt. Qui cum deinde se ad Carolum Francorem regem contulisset, ab illo sedi Romanæ restitutus, inimicos suos ultus est : ab eoque tempore Roma prorsus Franci potiti sunt, Carolo a Leone coronato, et Romanorum imperatore appellato. Nam sub priore Justiniano Franci Germa-

ΙΓ'. Πλάτων (71) δὲ ὁ καθηγητὴς τῆς Σακκουδίωνος μονῆς τῷ πατριάρχῃ Ταρασίῳ (72) κοινωνεῖν οὐκ ἠνείχετο ὅτι ἐκεῖνος τὸν βασιλέα εἰς κοινωνίαν ἐδέξατο, τὴν ἑαυτοῦ γυναῖκα καταλιπόντα, καὶ ἑτέρᾳ παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς συνοικήσαντα· μοιχείαν γὰρ ὠνόμαζε τὸ γενόμενον. Ὃν ὁ βασιλεὺς ἀγαγὼν ἐν τῷ παλατίῳ καθεῖρξεν· ἡ δὲ τούτου μήτηρ ἀντεποιεῖτο τοῦ Πλάτωνος ὅτι κατήσχυνε τὸν υἱὸν αὐτῆς. Ἐκδημήσας δὲ τῆς πόλεως ὁ κρατῶν μετὰ τῆς οἰκείας μητρὸς, εἰς Προῦσάν τε γεγονὼς, καὶ μαθὼν τεχθῆναί οἱ παιδίον ἄῤῥεν, ἐκεῖ τὴν μητέρα καταλιπὼν, σπουδαίως ὑπέστρεψεν. Ἡ δὲ λαβομένη ἀδείας, τοὺς τῶν ταγμάτων ἄρχοντας δωρεαῖς τε καὶ ὑποσχέσεσιν ὑποποιησαμένη, πέπεικε συνθέσθαι καθελεῖν μὲν τὸν υἱὸν αὐτῆς, αὐτῇ δὲ μόνῃ τὴν ἀναρχίαν περιποιήσασθαι. Καὶ συνθεμένων, εὐκαιρίαν ἐζήτει. Τέθνηκε δὲ τὸ τεχθὲν παιδίον τῷ βασιλεῖ, ὅπερ ὠνόμασε Λέοντα, καὶ ἐθρηνήθη παρὰ τοῦ πατρός. Οἱ δὲ τῆς κατ' αὐτοῦ ἐπιβουλῆς συνίστορες τῇ μητρὶ αὐτοῦ, δείσαντες μὴ τοῦ καιροῦ τριβομένου, καὶ ὑπερτεθειμένης τῆς πράξεως γνωσθῶσι, καὶ κατασχεθέντες ἀπόλωνται, σπεύσαντες συνέσχον τὸν βασιλέα ἐν τῷ παλατίῳ, καὶ περὶ ὥραν ἐννάτην τοὺς ὀφθαλμοὺς αὐτοῦ ὠμότατα ἐξορύττουσι (73), προνοούμενοι μὴ μόνον τοῦ φωτὸς στερηθῆναι αὐτὸν, ἀλλ' αὐτῆς τῆς ζωῆς. Ὅτε συνέβη ἐφ' ἡμέρας ἑπταικαίδεκα μὴ λάμψαι τὸν ἥλιον, ἀλλ' ἀλαμπεῖς εἶναι καὶ σκοτώδεις τὰς ἡμέρας ἐκείνας, οὐκ οἶδα εἴτε τυχαίως οὕτω συμβὰν, εἴτε καὶ διὰ τὴν τοῦ Κωνσταντίνου τύφλωσιν, ὡς τηνικαῦτα τοῖς ἀνθρώποις ἐδόκει, οἷα τῆς θείας προνοίας νεμεσησάσης τῷ πάθει, ὡς ἐκ μητρὸς εἰς υἱὸν γενομένῳ. Καὶ ὁ μὲν οὕτω τοὺς ὀφθαλμοὺς ἐξώρυκτο κατ' αὐτὴν τὴν ἡμέραν, καθ' ἣν ἐκεῖνος τὸν θεῖον αὐτοῦ Νικηφόρον καὶ τὸν Μωσηλὲ ἐξετύφλωσε, καὶ τῶν λοιπῶν. ὡς εἴρηται, τὰς γλώσσας ἀπέτεμε, πέντε μεταξὺ παρελήλυθότων ἐνιαυτῶν. Ἡ δὲ Εἰρήνη καὶ αὖθις τῆς μοναρχίας ἐπείληπτο. Καὶ ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ τοῦ πάπα θανόντος Ἀδριανοῦ, Λέων κεχειροτόνητο, ἀνὴρ αἰδοῖος καὶ τιμιώτατος. Οἱ δὲ τῷ θανόντι Ἀδριανῷ προσήκοντες στασιάσαι τὸν λαὸν ἠρέθισαν κατ' αὐτοῦ, καὶ συσχόντες αὐτὸν, ἐλωβήσαντό οἱ τὰ ὄμματα, ἀλλ' οὐκ ἐξετύφλωσαν. Οἱ γὰρ ἐπιτραπέντες τὴν τύφλωσιν,

Variæ lectiones et notæ.

(71) *Πλάτων δέ*. Totam hanc controversiam attigimus in *Gloss. med. Græcit.* in v. Μοιχιανοί. Fuit porro hic Plato Secundionis monasterii hegumenus (*præceptorem* perperam verterat interpres) alter a Platone monasterii Studii abbate, cujus infra mentio est in Michaele Rhangabe. Fuit etiam S. Plato, frater S. Antiochi, cui ædes sacra Constantinopoli ædificata ab Anastasio Dicoro, ut observamus in nostra *Constantinopoli*, cujus situs indicatur in Synaxario ms. 18 Nov. Ἡ δὲ σύναξις αὐτοῦ τελεῖται ἐν τῷ μαρτυρίῳ αὐτοῦ τῷ ὄντι ἐν τοῖς Δομνίνου ἐμβόλοις. Theodorus Studita in Vita ejusdem S. Platonis, n. 26 : Κωνσταντῖνος ὁ τῆς Εἰρήνης ῥάδαμνος, οὗ ἡ πίστις μὲν ὀρθὴ ἐκ μητρικῆς εὐσεβείας ἐσφραγισμένη, ὁ βίος δὲ σκαμβὸς ἐξ αὐτοκρατορικῆς ἀκολασίας διαστρηλατημένος· ἄρτι γὰρ κρατήσας ἐν νεαζούσῃ ἡλικίᾳ ὁμοῦ μὲν τῆς μητρῴας αἰδοῦς καὶ φυλακῆς ἀφηνιάσας, ὁμοῦ δὲ τῶν τοῦ Θεοῦ νόμων ὑπερφρονήσας, ἐκβαλὼν τὴν νομίμως αὐτῷ συναφθεῖσαν γυναῖκα, μοιχεύει κατὰ τὸν Ἡρῴδην, etc. Mox narrat ut has adulterinas nuptias redarguerit, et in exsilium missus sit.

(72) *Τῷ πατριάρχῃ Ταρασίῳ*. At hisce ridiculis et nefastis nuptiis fortiter antea restiterat Tarasius, ut scribit Ignatius episcopus in ejusdem Tarasii Vita, c. 7; sed et utrique nuptiales corollas imponere abnuerat.

(73) *Ἐξορύττουσι*. Matre insciа, nec tanti facinoris participe. Georgius Hamartolus in Chron. ms. Καὶ δὴ παραγενομένου ἐν τῷ παλατίῳ, καὶ τῆς μητρὸς αὐτοῦ μὴ παρούσης, μήτε γινωσκούσης τὴν βουλὴν αὐτῶν, ἐκτυφλοῦσιν αὐτὸν, καὶ μετὰ χρόνον τινὰ τέθνηκε.

ἐφείσαντο τοῦ ἀνδρὸς, καὶ ἔξω τοῖς ὀφθαλμοῖς αὐτοῦ ἐλυμήναντο, τοῦ δὲ φωτὸς αὐτὸν οὐκ ἐστέρησαν. Ὃς μετέπειτα τῷ τῶν Φράγγων ῥηγὶ προσρυεὶς Καρούλῳ, παρ' ἐκείνου εἰς τὸν τῆς Ῥώμης ἀποκατέστη θρόνον, καὶ τοὺς ἐχθροὺς ἀντημύναστο, ἐξότου καὶ ἡ Ῥώμη ὑπὸ τοὺς Φράγγους ἐγένετο, τοῦ Καρούλου ταινιωθέντος παρὰ τοῦ Λέοντος, καὶ βασιλέως Ῥωμαίων ὀνομασθέντος. Ἐπὶ μὲν γὰρ τοῦ πρωτέρου Ἰουστινιανοῦ τῇ Ἰταλίᾳ ἐπῆλθον οἱ Φράγγοι, ἐκ γένους ὄντες τῶν Γερμανῶν, ὡς ἄνω που εἴρηται, καὶ ἦσαν τοῖς Ῥωμαίοις πολέμιοι. Ἐπὶ δὲ Λέοντος τοῦ Ἰσαύρου ὁ τότε πάπας Γρηγόριος, διὰ τὴν ἐκείνου κακοδοξίαν ἀποστὰς τοῦ ὑπείκειν ἐκείνῳ τῷ ἀσεβεῖ βασιλεῖ, καὶ δασμοφορεῖν, καὶ τοῦ κοινωνεῖν τοῖς ἀσεβῶς προεστῶσι τῆς Ἐκκλησίας τῆς Κωνσταντινουπόλεως, ἐπείσατο τοῖς Φράγγοις, καὶ τὰς πρὸς ἐκείνους μάχας κατέλυσεν. Ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης ὁ πάπας Λέων καὶ εἰς τὴν Ῥώμην αὐτοὺς εἰσεδέξατο, καὶ οὕτω τῆς Ἰταλίας πάσης καὶ τῆς Ῥώμης αὐτῆς ἐκυρίευσαν. Τῆς Εἰρήνης δὲ μοναρχησάσης, ὡς λέλεκται, οἱ ἀνδράδελφοι αὐτῆς καθειργμένοι τυγχάνοντες, ἠδυνήθησαν τῇ Μεγάλῃ προσφυγεῖν ἐκκλησίᾳ, παρά τινων νεωτεριστῶν εἰς τοῦτο ἀναπεισθέντες. Ἄέτιος οὖν ὁ εὐνοῦχος μέγα τότε παρὰ τῇ βασιλίσσῃ δυνάμενος, ἀπελθών, καὶ πίστεις αὐτοῖς παρασχὼν ὡς οὐδὲν δεινὸν πείσονται, ἐξήνεγκε τῆς ἐκκλησίας αὐτοὺς, καὶ εἰς Ἀθήνας ἀπήχθησαν ὑπερόριοι. Κἀκεῖ διαγόντων αὐτῶν, τινὲς τῶν τῆς Ἑλλάδος προσῆλθον τῷ ἄρχοντι τῶν Σθλαβικῶν ἐθνῶν, δεόμενοι αὐτοῦ ἐξαγαγεῖν αὐτοὺς, καὶ ἕνα προχειρίσασθαι βασιλέα, καὶ ἀγαγεῖν αὐτὸν εἰς τὴν βασιλίδα τῶν πόλεων. Μηνυθέντος δὲ τούτου τῇ βασιλίδι, προστάξει ἐκείνης ἀπεστυφλώθησαν ἅπαντες. Ὁ δὲ τῶν Φράγγων ἀρχηγὸς Καρούλος βασιλεὺς Ῥωμαίων, παρὰ τοῦ πάπα Λέοντος, ὡς εἴρηται, ἀναγορευθεὶς, πρέσβεις ἔπεμψε πρὸς τὴν Εἰρήνην, ζητῶν συζευχθῆναι αὐτῇ κατὰ συμβίωσιν γαμικήν. Καὶ οὐδ' ἐκείνῃ τοῦτο ἀβούλητον ἔδοξε, καὶ γέγονεν ἄν, εἰ μὴ ὁ ἐκτομίας Ἄέτιος παραδυναστεύων, πᾶσαν ἐκίνησε μηχανὴν εἰς τὸ μὴ ἀποτελεσθῆναι τὴν συζυγίαν. Οὗτος γὰρ μέγα δυνάμενος ἐν τοῖς βασιλείοις, τὸν οἰκεῖον ἀνεψιὸν Λέοντα ἀξιῶσαι τῆς βασιλείας διὰ μελέτης ἐποιήτο, ὃς δὴ Λέων διὰ σπουδῆς τοῦ Ἀετίου μόνος αὐτὸς στρατηγὸς Θράκης καὶ Μακεδονίας προὐβέβλητο· ὁ δέ γε Ἄέτιος τῶν ἑῴων ἦρχε θεμάτων τοῦ Ὀψικίου καὶ τῶν Ἀνατολικῶν. Κἀντεῦθεν ὑπερφρονήσας τῶν ἐν τέλει περιεφρόνει, καὶ ἀλαζονικῶς αὐτοῖς προσεφέρετο. Οἱ δὲ τούτοις ἀχθόμενοι, βούλευμα κατὰ τῆς βασιλίσσης συνέθεντο, καὶ τὸν πατρίκιον Νικηφόρον καὶ γενικὸν λογοθέτην παραλαβόντες, βαθείας νυκτὸς ἦλθον εἰς τὴν Χαλκήν, τῆς βασιλίσσης Εἰρήνης νοσούσης, καὶ ἐν τῷ οἴκῳ αὐτῆς τῷ ἐν τοῖς Ἐλευθερίου κειμένης· εἶπον οὖν τοῖς ἐκεῖσε φυλάττουσι, παρὰ τῆς βασιλίσσης σταλῆναι, ἵνα βασιλέα τὸν Νικηφόρον ἀναγορεύσωσιν, ὡς ἂν οὕτω παύσηται ὁ πατρίκιος Ἄέτιος βιαζόμενος αὐτὴν τὸν ἑαυτοῦ σύγγονον προχειρίσασθαι βασιλέα. Πιστεύσαντες οὖν τοῖς ταῦτα λέγουσι πατρικίοις τῶν περιφανῶν οὖσι, καὶ αὐτοὶ τὸν Νικηφόρον σὺν ἐκείνοις εἰς βασιλέα εὐφήμησαν, καὶ οὕτω παραχωρηθέντες εἰς τὸ μέγα εἰσῆλθον ἀνάκτορον. Εἶτα διαύσης τῆς νυκτὸς ὄχλον ἀθροίσαντες σύγκλυδα, διὰ πάσης τῆς ἀγορᾶς πρὸ τῆς ἡμέρας τὴν τοῦ Νικη-

Anica stirpe oriundi Italiam invasérunt, ut supra A est expositum, fueruntque Romanorum hostes. Sed sub Leone Isauro, temporis illius papa Gregorius, ob perversam opinionem ab illo imperatore impio defecit, eique tributum pendere recusavit, neque sibi quidquam esse rei voluit cum impiis Ecclesiæ Constantinopolitanæ gubernatoribus, omissisque bellis, pacem cum Francis fecit. Sub Constantino porro et Irene, papa Leo eos etiam Romam admisit : sic et Italia universa et ipsa Roma sunt potiti. Irene monarchiam, ut dictum est, adepta, fratres mariti ejus carcere elapsi, in Magnam ecclesiam confugerunt, a quibusdam novarum rerum studiosis incitati. Aetius igitur eunuchus, qui multum apud imperatricem B auctoritate valebat, fide impunitatis data, eos ecclesia ejectos Athenas relegavit. Ibi cum agerent, Græci quidam Sclavicarum gentium principem convenere, orantes ut eos inde educeret, et unum ex eis imperatorem designatum, in urbem imperatoriam reduceret. Quæ res cum ad imperatricem delata esset, omnibus eruti sunt oculi. At Francorum dux Carolus, imperator Romanorum a papa Leone, ut dictum est, appellatus, missis ad Irenem legatis nuptias illius ambiit, cum nec illa ab eo conjugio abhorreret : res que confecta esset, nisi eunuchus Aetius, potestatis particeps, omnem lapidem, ut aiunt, movisset, ne id conjugium perficeretur. Nam, cum in regia multum posset, fratrem suum Leonem ornare imperio meditabatur, **121** quem insigni C studio ad præturam Thraciæ et Macedoniæ solum evexerat, cum ipse provinciis Opsicii orientalibus præesset. Unde elatus viros honoratos despiciebat, et arroganter tractabat. Quod illi ægre ferentes, consilium contra imperatricem inierunt, adhibitoque patricio Nicephoro, generali logotheta, profunda nocte in Chalcem venerunt, Irene ægrotante et in ædibus suis Eleutherianis decumbente : ac satellitibus dixerunt se ab imperatrice missos esse, ut Nicephorum imperatorem designarent, ut patricius Aetius eam cogere desineret ad fratrem suum imperatorem decernendum. Illi viris patriciis ob eorum dignitatem fide habita, ipsi etiam una D cum illis Nicephorum imperatorem salutarunt, atque ita in regiam illi admissi sunt. Deinde ea ipsa nocte turba promiscua collecta, Nicephori designationem per totum forum ante diluculum publicarunt, et frenes ædibus in quibus tum agebat, custodiam adhibuerunt. Die jam illucescente, eam in orientalem regiam traductam concluserunt : postea Magnam ecclesiam sunt ingressi, ut ibi Nicephorus diademate ornaretur, et imperator proclamaretur ; idque factum est.

φόρου πεποίηντο ἀναγόρευσιν, καὶ τῷ τῆς Εἰρήνης οἴκῳ, καθ' ὃν διῆγε τότε, φρουρὰν περιέστησαν. Ἡμέρας δὲ ἤδη ἐπιφανείσης, καὶ εἰς τὰ πρὸς ἕω βασίλεια μεταγαγόντες αὐτὴν, καὶ κατακλείσαντες, εἰς τὴν Μεγάλην ἐκκλησίαν ἀφίκοντο, ἵν' ἐκεῖ ταινιωθείη ὁ Νικηφόρος, καὶ αὐτοκράτωρ ἀναρρηθείη· ὃ δὴ καὶ γέγονε.

XIV. Imperio sic arrepto Nicephorus postridie ad imperatricem venit, quæ a satellitibus custodiebatur, seque dixit invitum ad id dignitatis fastigium evectum esse, quod sibi cordi non sit, eamque bono animo esse jussit, ut quæ nihil non impetratura esset, quod dominæ a servo præstari oporteret, et ut imperatorii thesauri omnes sibi monstrarentur petiit. Illa respondit : *Se res suas commendasse Deo, et amissionem imperii peccatis suis ascribere, illiusque proclamationem divinitus contigisse judicare, ac adorare eum ut a Deo designatum, et petere ut suæ imbecillitati parceret, seque in ædibus suis ætatem degere pateretur.* Ad hæc ille, si nihil ex absconditis thesauris celaret, se et hoc ei concessurum, et si quid aliud placeret, promisit, eaque de re jusjurandum ab ea exegit. Cum illa jurasset, maximamque pecuniam demonstrasset, statim eam in insulam Principis, in qua monasterium Irene struxerat, relegavit. Fuit enim Nicephorus pecuniæ avidissimus, avaritia inexplebili, summaque perfidia, et, ut **122** ita dicam, omnis improbitatis diversorium, ac ne ad exiguum quidem tempus benignitatem erga subditos simulare potuit, sed statim injuriis implevit omnia ; ac ne iis quidem pepercit, quorum opera ad imperium pervenerat. Nam Triphylium veneno sustulit, Bardanem patricium et ducem, cognomento Turcum, ab orientalibus legionibus sive volentem sive nolentem, imperatorem salutatum (nam utrumque fertur), accersivit promissaque impunitate, factum monarchum in insulam Protam transvectum, ubi monasterium struxerat, luce privavit, quibusdam clam missis, ut ipso invito id factum esse videretur, mœroremque præ se ferens, jurejurando negavit se illius facinoris esse conscium. Constantinum Irenæ filium ascivit, ab eoque obsequiis delinito impetravit ut sibi magnam pecuniam in muro quodam ædificiis obsepto conditam demonstraret. Cum autem se omnibus invisum esse cerneret, veritus ne Irenem in propinquo degentem in imperium reducerent, eam custodibus adhibitis, Lesbum relegavit, ubi præmœ rore mortua est. Filium Stauracium hominem odiosissimum et simplicem, neque forma neque prudentia regno digna præditum coronavit. Patriarcha Tarasio prima jejuniorum hebdomade defuncto, inclytus Nicephorus a secretis, Dominica Paschatis communi suffragio patriarcha est electus : cui electioni Plato et Theodorus, qui præfectus seu abbas Studiensis monasterii fuerat, se opposuerunt, quod Nice-

ΙΔ'. Οὕτω τῆς αὐταρχίας ὁ Νικηφόρος (74) δραξάμενος τῇ ἑξῆς ἡμέρᾳ πρὸς τὴν βασίλισσαν ἦκεν, οὖσαν ὑπὸ φρουρούς, ἄκων προαχθῆναι λέγων εἰ, τὴν ἀρχὴν τὴν βασίλειον. Μηδὲ γὰρ εἶναι αὐτῷ πρὸς βουλῆς, καὶ θαρρεῖν αὐτὴν ἀναπείθων, ὡς οὐδενὸς ἀτυχήσουσαν, τῶν παρὰ δούλου ὀφειλομένων πρὸς δέσποιναν γίνεσθαι. Ἤξίου δὲ τοὺς βασιλικοὺς ὑποδεῖξαι πάντας αὐτῷ θησαυρούς. Ἡ δὲ, *Τὰ κατ' ἐμὲ*, φησὶ πρὸς αὐτὸν, *ἀναθεμένη Θεῷ, τὴν μὲν ἔκπτωσιν τῆς βασιλείας ἐπιγράφω ταῖς ἁμαρτίαις μου, τὴν δὲ σὴν ἀνάρρησιν λογιζομένη ἀπὸ Θεοῦ, ὡς ἐξ ἐκείνου προβληθέντα σε προσκυνῶ, καὶ ἀξιῶ φείσασθαί μου τῆς ἀσθενείας, καὶ ἐᾶσαι διάγειν με ἐν τῷ οἴκῳ μου.* Κἀκεῖνος· *Εἰ μή τι ἀποκρύψῃς τῶν τεθησαυρισμένων ἐν ἀποκρύφοις, ἔσται σοι καὶ τοῦτο*, φησὶ, *καὶ εἴ τί σοι ἐστι πρὸς ἀρέσκειαν ἕτερον·* καὶ ὅρκον ἐξ αὐτῆς περὶ τούτου ἀπῄτησεν. Ἡ δὲ ὤμοσε, καὶ πλεῖστα ὑπέδειξε. Καὶ ὃς αὐτίκα εἰς τὴν νῆσον αὐτὴν ὑπερώρισεν, ἣ τοῦ Πρίγκιπος ἐπωνόμασται, ἐν ᾗ μονὴν ὑπῆρχε δομησαμένη. Ἦν γὰρ ὁ Νικηφόρος φιλοχρηματώτατος λίαν, ἀπληστότατός τε καὶ ἀπιστότατος, καὶ κακίας ἁπάσης, ὡς εἰπεῖν, καταγώγιον. Καὶ οὐδ' ὑποκριθῆναι πρὸς βραχὺ τέως ἠνέσχετο πρὸς τοὺς ὑπηκόους χρηστότητα, ἀλλ' αὐτίκα πάσης ἀδικίας τὰ πάντα ἐπλήρωσε. Καὶ οὐδὲ τῶν συναραμένων αὐτῷ εἰς τὸ βασιλεῦσαι ἐφείσατο, ἀλλὰ τὸν μὲν Τριφύλλιον φαρμάκῳ ἀνεῖλε· τὸν δὲ πατρίκιον Βαρδάνην καὶ στρατηγὸν τῶν Ἀνατολικῶν, ᾧ Τοῦρκος ἦν ἐπίκλησις, ἀναγορευθέντα εἰς βασιλέα παρὰ τῶν ἑῴων ταγμάτων, εἴτε θέλοντα, εἴτε ἄκοντα (λέγεται γὰρ ἀμφότερα), εἶτα μεταμεληθέντα, καὶ πίστεις ἀπαθείας παρ' αὐτοῦ εἰληφότα, μοναχόν τε γενόμενον, καὶ εἰς τὴν νῆσον, τὴν λεγομένην Πρώτην, διαπεραιωθέντα, ὅπου ἦν δειμάμενος μοναστήριον, στείλας κρυφίως τινάς, ὡς δοκεῖν ἀγνοοῦντος αὐτοῦ πεπρᾶχθαι τὸ ἔργον, ἐστέρησε τοῦ φωτὸς, καὶ λυπεῖσθαι ἐσχημάτιζετο, καὶ ἐξώμνυτο ἀμέθεκτος εἶναι τοῦ τοιούτου τολμήματος. Τὸν δὲ τῆς Εἰρήνης υἱὸν τὸν Κωνσταντῖνον προσελάβετο καὶ ὑπεποιεῖτο, ἵν' αὐτῷ ὑποδείξῃ κρυπτόμενα χρήματα. Κἀκεῖνος ὑπέδειξεν ἐν τοίχῳ περιῳκοδομημένῳ πολλά. Συνεὶς δὲ ὁ βασιλεὺς Νικηφόρος ἀχθομένους αὐτῷ ἅπαντας, καὶ δείσας μὴ τὴν Εἰρήνην αὖθις ἐγγὺς οὖσαν λαβόντες εἰς τὴν βασιλείαν ἐπαναγάγωσιν, εἰς τὴν Λέσβον αὐτὴν ὑπερόριον ἔθετο, καὶ φρουροὺς ἐπιστήσας αὐτῇ, ἵνα τῇ λύπῃ καταποθεῖσα, τὴν ζωὴν ἐξαμέτρησεν. Ἔστειλε δὲ καὶ τὸν υἱὸν αὐτοῦ Σταυράκιον ὁ Νικηφόρος, εἰδεχθῆ τε λίαν ὄντα καὶ ἀφελῆ, καὶ μήτε εἶδος, μήτε μὴν γενναιότητα, μήτε σύνεσιν

Variæ lectiones et notæ.

(74) *Νικηφόρος*. Is dicitur ἀνδράδελφος Εἰρήνης, in Chronico ms. ab Adamo ad Leonem Phil. levir Irenes imperatricis, quod ab aliis scriptoribus nescio an observatum.

ἔχοντα τυραννίδος ἐπάξια. Τοῦ μέντοι πατριάρχου Ταρασίου τὸν βίον μετηλλαχότος κατὰ τὴν πρώτην ἑβδομάδα τῶν νηστειῶν, Νικηφόρος ὁ ἀοίδιμος ψήφῳ κοινῇ κατὰ τὴν τοῦ Πάσχα Κυριακὴν, πατριάρχης κεχειροτόνητο (75), Ἀσηκρῆτις τυγχάνων (76). Πλάτωνος καὶ Θεοδώρου τοῦ γεγονότος ἡγουμένου τῆς τοῦ Στουδίου μονῆς στασιασάντων (77) διὰ τὴν τοῦ μάκαρος ἐκείνου χειροτονίαν, ὅτι ἀθρόως ἐκ λαϊκῶν εἰς τὴν ἐπισκοπὴν προσεχείριστο, καίτοι τοιούτου πολλάκις πραχθέντος. Οὓς καὶ ἀπελάσαι τῆς πόλεως ὁ βασιλεὺς ἐβουλεύσατο, οὐ μὴν καὶ εἰς ἔργον τὸ βούλημα ἤνεγκεν. Εἰσὶ δ' οἳ λέγουσι σκῆψιν εἶναι τὸ στασιάσαι αὐτοῖς διὰ τὸ ἐκ λαϊκῶν γενέσθαι πατριάρχην τὸν ἱερὸν Νικηφόρον, τὸ δ' ἀληθὲς αἴτιον φιλαρχίαν εἶναι. Ἠβούλοντο γὰρ τῆς Ἐκκλησίας ἐγκρατεῖς αὐτοὶ γενέσθαι, καὶ τοῦ ἀρχιερατικοῦ τῆς Κωνσταντινουπόλεως ἐπιβῆναι θρόνου περὶ πλείστου πεποίηντο. Τῷ δὲ υἱῷ αὐτοῦ Σταυρακίῳ ἀγαγέσθαι γυναῖκα ὁ βασιλεὺς βουληθεὶς, Θεοφανὼ τὴν Ἀθηναΐαν, προτεγενῆ τῆς βασιλίσσης Εἰρήνης οὖσαν, καὶ ἤδη κατηγγυημένην ἀνδρὶ, διαζεύξας αὐτοῦ ἀθέσμως, τῷ Σταυρακίῳ συνέζευξε. Πανσπερμία δὲ παντοδαπῆς κακίας οὗτος τυγχάνων ὁ αὐτοκράτωρ οὐ διέλιπεν ἄλλα ἐπ' ἄλλοις εἰς συντριβὴν τῶν ὑπηκόων ἐπινοούμενος. Ὀλίγων δ' ἐπιμνησθήσομαι, τὰ πολλὰ παραλιπών, ἵν' ὡς ἐκ πλήρους πίθου γεῦμα ταῦτα τοῖς τῇ ἱστορίᾳ ἐντυγχάνουσιν ἔσοιτο. Στρατεύεσθαι τοὺς ἀπόρους ἐκ τῶν θεμάτων ἐθέσπισε, καὶ παρὰ τῶν δυσχώρων ὅπλα τε αὐτοῖς χορηγεῖσθαι καὶ ἀναλώματα, καὶ τὰ τῶν ἀπόρων τέλη τοὺς εὐπορουῦντας εἰσπράττεσθαι, ὃ Ἀλληλέγγυον ὀνομάσθη. Ἐπόπτας προὐβάλλετο, ἐπισκήπτων ἐπαύξειν σφᾶς τὰ δημόσια, ἀπαιτεῖσθαι δὲ καὶ ὑπὲρ Χαρτιατικοῦ ἐπὶ τῷ νομίσματι δύο κεράτια. Οἳ καὶ τὰ κρείττω τῶν ἀκινήτων ἐκ τῶν δεσποτῶν ἀφαιρούμενοι, τῷ δημοσίῳ ἀφώριζον. Τούτου καὶ ἡ τοῦ Καπνικοῦ ἐπίθεσις ἐννόημα κάκιστον, ἐπαχθέντος τοῖς τῶν Ἐκκλησιῶν, καὶ πτωχείων, γηροκομείων τε καὶ μοναστηρίων παροίκοις, καὶ παντὶ μήτε γῆν ἔχοντι μήτε τέλος. Καὶ τὸ τοὺς ἐξ ἀπόρων ὅπως δήποτε εἰς εὐπορίαν μετενεχθέντας χρήματα ἀπαιτεῖσθαι, ὡς εὑρετὰς θησαυρῶν. Καὶ τὸ τοὺς τῶν νηῶν κτήτορας ἔχοντας τυραννίδος ἐπάξια. Of this Tarasius' patriarchate and life, see above, p. 1355, note (75).

(75) *Πατριάρχης κεχειροτόνητο.* Invitus, multumque reniteus, cum abdicatis Palatinis negotiis in quamdam rupem asperam in Propontide haud paucis ab urbe regia stadiis secedens vitam agere solitariam decrevisset; unde tandem a Nicephoro imp. clero et senatu Constantinopolitano evocatus, unanimi omnium consensu patriarcha electus est. Ita enim ille in Epistola ad Leonem III, PP. Ἀπεσπάσθην τῆς φίλης ἐρημίας, καὶ ἐπὶ τὴν βασίλειον πόλιν ἦχθην, ὡς ὑπὸ Θεῷ μάρτυρι, ψήφῳ καὶ κρίσει τῶν τηνικαῦτα ἐν τοῖς βασιλείοις ἐνιδρυμένων θώκοις, τοῦ τε κοινοῦ τῆς ἐκκλησίας ἱεροῦ συστήματος, καὶ τῆς συγκλήτου βουλῆς, συμβραβευόντων ἀπαραίτητά τε καὶ ἀσυγχώρητα· ἐπειδήπερ ἤδη τῆς βασιλέως τὸν βίον μετήλλαξεν, οἷά περ ἄνθρωπος τὸν ἀνθρώπινον οἱ γε καίτοι πολλὰ ὑπερτιθέμενον καὶ παυθαδιαζόμενον, ἐπὶ τὸν ἱερατικὸν τουτονὶ θρόνον προήγαγον, τυραννίδος μᾶλλον ἢ πειθοῦς ἔργον γινόμενον.

(76) *Ἀσηκρῆτις τυγχάνων.* Idem Nicephorus. Ἡνίκα τοίνυν εἰς ἄνδρας ἐτέλουν, τὸ νέον τῆς ἡλικίας παραμειψάμενος, ἤδη περὶ τὰς βασιλείας ἐπιχωριάζων αὐλάς, στρατείας τινὸς ἐπεκύρησα, καὶ ταύτης οὐκ ἀεργοῦς καὶ ἀνειμένης, ἀλλὰ τῆς διὰ χειρῶν καὶ καλάμων ἐκπονουμένας· καὶ γὰρ τῶν βασιλικῶν ὑπογραφεὺς ἐτύγχανον ὤν. Ἀσηκρῆτις δὲ τούτους καλεῖν εἰωθυίας τῆς Λατινικῆς γλώττης.

(77) *Στασιασάντων.* Huc spectant quæ deinceps scribit idem Nicephorus, dum ait invidorum obtrectationibus obnoxium se esse, eorumque pravitatem non mediocriter se habere: Ἔπειτα δὲ ἰδὼν καὶ τῆς ἀρχῆς τὸ ἐπείσακτον καὶ ἐπίφθονον, τῶν βασκαινόντων ὑπείδομαι τὸ δολερὸν καὶ κακόηθες, αἱ πάντη ἐπιτηρεῖν σπουδάζουσι τὰ ἡμέτερα εὖ καὶ ὡς ἑτέρως ἔχοντα, etc.

Variæ lectiones et notæ.

A phorus homo plane laicus episcopatum adeptus esset, quamvis id sæpe acciderat. Eos imperator urbe pellere in animo habuit; sed id consilium non est exsecutus. Sunt qui illos crimen illud laicæ conditionis ambitioni suæ prætexuisse dicant, cum revera ipsi Ecclesiæ dominari, et pontificium Constantinopolis solium conscendere impense cuperent. Imperator filio uxorem daturus, Theophanonem Atheniensem, Irenes imperatricis cognatam, jam viro desponsam, matrimonio nefarie dirempto, Stauracio conjunxit, cumque colluvio quædam et sentina omnium vitiorum esset, alia atque alia ad subditos atterendos comminisci non destitit, quorum plerisque omissis, paucorum mentionem faciam, **123** gustum duntaxat tanquam B de pleno dolio lectoribus præbiturus. Inopes provinciarum militare jussit, eisque a infitimis arma et stipendia præberi, et inopum vectigalia exigi a locupletibus, quæ constitutio Allelengyon, quod alii pro aliis sponderent, appellata est. Designavit et inspectores, quibus mandavit ut publica vectigalia augerent, et pro Chartiatico in singula nomismata binæ siliquæ poscerentur. Illi etiam fundos optimos quosque dominis ereptos, fisco assignarunt. Hujus inventum pessimum est etiam Capnici impositio, parœcis Ecclesiarum, monasteriorum, earumque ædium in quibus vel pauperes vel senes alebantur, mandati, et cuivis eorum qui neque fundos neque reditus habebant. Ab iis etiam qui quomodocunque e pauperibus divites C evaserant, tanquam thesauros reperissent, pecuniam exigi jussit. Naucleros agros emere a publico coegit, homines vel quid esset agricultura ignorantes, idque ad provinciales naucleros pertinuit. Qui autem Constantinopoli degebant, singuli duodenas auri libras fisco pro usura pensitabant, ultra cætera onera quæ navibus incumbebant. Præterea quos vel mercatores vel officinarum magistros pecuniosos esse norat, iis, maxima parte adempta, perexiguum quiddam relinquebat, ut cuidam cereorum venditori fecit, quem cum magnæ pecuniæ dominum esse cognovisset, accersitum manu illius suo capiti imposita, juratum D

dicere coegit, quantum auri haberet ? Illo centum libras affirmante, ut eas afferret hominem hortatus est. Iis allatis : *Non tibi opus est*, inquit, *tanto auro* ; et decem libris illi relictis, ipse reliquas sibi vindicavit, eumque suæ mensæ adhibuit, unum imperatorium prandium xc libris auri non sponte mercatum.

τορας γὴν ὠνεῖσθαι ἀπὸ τοῦ δημοσίου, ἀνθρώπους οὐδ' ὅ τί ἐστι γεωργία γινώσκοντας, καὶ τοῦτο ἐπὶ τῶν ἐν τοῖς θέμασιν οἰκούντων ναυκλήρων ἐγίνετο. Τοῖς δ' ἐν Κωνσταντινουπόλει νηῶν κτήτορσι προσερρίπτει ἀνὰ δώδεκα λίτρας ἑκάστῳ χρυσίου, ἵνα βαρῶν τόκον καταβάλλῃ τῷ δημοσίῳ, τῶν ἄλλων τῶν τοῖς πλοίοις ἐπικειμένων ἐπίκεινα. Καὶ οὓς δ' ἂν ἔμαθον τῶν ἐμπόρων ἢ ἐργαστηρίων προϊσταμένων πολλῶν εὐπορεῖν, στέλλων ἀφῃρεῖτο τὰ χρήματα, πολλοστόντι μέρος ἐκείνοις ἐῶν, οἷον καὶ ἐπί τινι πράτῃ χιλίων εἰργάσατο. Μαθὼν γὰρ τὸν ἄνδρα ἐκεῖνον κύριον εἶναι χρημάτων πολλῶν, μεταπέμπεται αὐτὸν, καὶ, Ἐπίθες σου, φησὶ, τὴν χεῖρα τῇ κεφαλῇ μου, καὶ ὄμοσον κατ' αὐτῆς πόσου σοι χρυσίον ἐστί; Τοῦ δὲ βιασθέντος τοῦτο ποιῆσαι, καὶ ὀμόσαντος ἑκατὸν ἔχειν λίτρας, ἐνεχθῆναι ταύτας παρεκελεύσατο. Ὡς οὖν ἐκομίσθησαν, Οὐ χρεία σοι τοσούτου, εἶπε, χρυσοῦ. Δέκα γοῦν λίτρας αὐτῷ ἐπιτρέψας λαβεῖν, τὰς λοιπὰς αὐτὸς ᾠκειώσατο, ὁμοδίαιτον αὐτὸν τηνικαῦτα πεποιηκώς, ἐνενήκοντα χρυσίου λιτρῶν τὸ συναριστῆσαι τῷ βασιλεῖ οὐχ ἑκόντα πριάμενον.

XV. Hujusmodi multis rationibus excogitatis Nicephorus, ad quas solertissimo erat ingenio, subditos omnes afflixit, omnibus odio fuit. Quamobrem vir quidam ignotus stricto gladio in regiam ad eum occidendum accurrit, concursuque facto, quosdam ense percussit, comprehensus et quæstionibus adhibitus, nihil de quoquam protulit, simulataque insania inclusus est. Nicephorus Manichæis, et iis qui Athingani vocantur, in oraculis, auguriis **124** et arcanis magicis usus est. Unde in Romanis provinciis dispersum id hominum genus, multorum simplicium fidem corrupit. Agarani sub eo Romanis provinciis, crebris expeditionibus, multas clades intulerunt, ac præter cætera, etiam Euchaitorum metropolim ceperunt. Ac illi Orientem populati sunt, Bulgari Occidentem. Imperator igitur cum bellum adversus Bulgaros suscipere decrevisset, et quidam ex ejus intimis ei suasisset, ut subditos clementius tractaret. *Nam omnes*, inquit, *contra nos vociferantur : et si quid adversi nobis acciderit, omnes casu nostro lætabuntur*. Respondit ille : *Deus cor meum quemadmodum Pharaonis induravit. Ne quid igitur a me bonum iis eventurum exspectato, qui in manu mea sunt*. Accersitis igitur undique legionibus, in Bulgariam profectus, Crumo genti imperante, principio secunda fortuna usus est, ut et aulam illius caperet (sic enim Bulgari sui principis habitationem appellabant), et conclavibus ut suis sigilla imprimeret, et multos suorum ob spoliorum rapinam multaret. Crumo autem fractis animis supplicante ut genti parceret, et quibus ipse vellet conditionibus pacem daret, successu elatus nullas conditiones admisit. Crumus igitur desperatis rebus, sibi jam de ipsa vita dimicandum ratus, coactis suis copiis, easque cohortatus, castra Romanorum nocte invadit, omnibus sine excubiis dormientibus (neque enim in tanta desperatione unquam ausuros secum Barbaros congredi putabant), statim in tabernaculum imperatoris facto impetu Nicephorus occisus est : quo autem pacto, ignoratur. Fertur enim a suis ex odio per insidias interfectus, sive cædem hominis pestilentis auspicatis, sive a Barbaris inchoatam exsecutis. Est et Stauracius inter humerum dextrum et jugulum

ΙΕ'. Τοιαῦτα πολλὰ ὁ Νικηφόρος κατὰ τῶν ὑπηκόων ἐπινοῶν (ἦν γὰρ πορισμώτατος ἐν τοιούτοις) πᾶσαν αὐτοῖς ἐπήνεγκε κάκωσιν, καὶ ὑπὸ πάντων ἐμισήθη. Ὅθεν ἄγνωστός τις ἀνὴρ ξίφος ποτὲ λαβὼν ἐν χερσὶν, εἰσέδραμε τὰ βασίλεια, ἀνελεῖν τὸν βασιλέα τοῦτον ζητῶν. Τινῶν δ' ἐπιδραμόντων αὐτῷ, τοὺς μὲν ἔπληξε τῷ ξίφει, αὐτὸς δὲ συσχεθεὶς, καὶ βασάνοις ἐκδοθεὶς, οὐδέν τι κατά του ἐξέφηνεν, ἀλλὰ παρακεκόφθαι τὰς φρένας ὑποκριθεὶς, κατάκλειστος γέγονε. Μανιχαίοις δὲ καὶ τοῖς καλουμένοις Ἀθιγγάνοις, ἐν χρησμοῖς τε, καὶ οἰωνίσμασι, καὶ τελεταῖς ἀπορρήτοις ἐκέχρητο. Κἀντεῦθεν εἰς τὰς χώρας τὰς Ῥωμαϊκὰς εἰσεφθάρησαν, καὶ πολλοὶ τῶν ἀβελτέρων εἰς τὴν πίστιν ὑπ' αὐτῶν διεφθάρησαν. Οἱ δὲ τῆς Ἄγαρ πολλάκις κατὰ Ῥωμαίων ἐπιστρατεύσαντες ἐκάκουν τὰς χώρας, εἷλόν τε σὺν ἄλλοις καὶ τὴν τῶν Εὐχαϊτῶν μητρόπολιν. Καὶ οὗτοι μὲν τὰ πρὸς ἀνίσχοντα ἥλιον ἐλῄζοντο, οἱ δὲ Βούλγαροι τὰ ἑσπέρια. Ἐπιστρατεῦσαι τοίνυν κατὰ Βουλγάρων ὁ βασιλεὺς ἐβουλεύσατο· καί τινος τῶν οἰκειοτάτων αὐτῷ συμβουλεύοντος, ἐνδοῦναι τοῖς ὑπηκόοις τὴν κάκωσιν· *Πάντες γάρ*, ἔφη, *καταβοῶσιν ἡμῶν, καὶ εἴ τι τῶν ἀπαισίων συμβαίη ἡμῖν, πάντες ἐπιχαρήσονται τῇ πτώσει ἡμῶν*, ἐκεῖνος ἔφη ὡς Ὁ Θεὸς ἐσκλήρυνε τὴν καρδίαν μου κατὰ τὴν τοῦ Φαραώ· *μὴ οὖν ἐκδέχου τι ἀγαθὸν τοῖς ὑπὸ χεῖρά μου ἐξ ἐμοῦ*. Συναθροίσας οὖν τὰ τάγματα πάντοθεν, καὶ εἰς Βουλγαρίαν παραγενόμενος, τοῦ Κρούμου τοῦ ἔθνους ἀρχηγοῦντος, τὸ μὲν πρῶτον εὐτύχησεν, ὥστε καὶ τὴν Κρούμου παρελθεῖν αὐλὴν (οὕτω γὰρ τὴν τοῦ ἀφῶν ἀρχηγοῦ οἱ Βούλγαροι ἐκάλουν κατοίκησιν) καὶ τοῖς ἐκείνου ταμείοις σφραγῖδας ἐπιβαλεῖν, ὡς ἤδη γενομένοις αὐτοῦ, καὶ πολλοὺς τῶν οἰκείων διὰ σκύλων ἁρπαγὴν τιμωρήσασθαι. Τοῦ δὲ Κρούμου ἀποδειλιακότος, καὶ ἱκετεύοντος φεῖσασθαι τοῦ ἔθνους, καὶ ἐφ' οἷαις ἂν βούλοιτο συνθήκαις σπεῖσασθαι αὐτῷ, ἐγκωθεὶς ἐκεῖνος τῷ εὐτυχήματι τὰς σπονδὰς οὐ προσήκατο. Ἀπογνοὺς οὖν ὁ Κροῦμος, καὶ τὸν περὶ ψυχῆς ἤδη λογιζόμενος θέειν, τὰς ἑαυτοῦ δυνάμεις συναγαγὼν, καὶ λόγοις παρακλητικοῖς παρακροτήσας αὐτοὺς, ἔπεισι νυκτὸς ἔτι οὔσης κατὰ τῆς τῶν Ῥωμαίων παρεμβολῆς, ἀφυλάκτως κειμωμένων ἁπάντων (μὴ γὰρ ἂν ποτε τολμῆσαι συμμίξαι αὐτοῖς τοὺς Βαρβάρους ἐξ ἀπονοίας πολλῆς ᾤοντο), καὶ αὐτίκα κατὰ τῆς βασιλείου

σκηνῇ, ὡρμήκεσαν, καὶ ἀναιρεῖται μὲν ὁ Νικηφόρος (78), τὸ δ' ὅπως ἠγνόηται. Λέγεται δὲ καὶ παρὰ τῶν οἰκείων ἀναιρεθῆναι ἐπιθεμένων αὐτῷ διὰ μῖσος, καὶ ἢ πρωτουργησάντων τὴν ἐκείνου σφαγὴν ἢ τῶν μὲν Βαρβάρων προκαταρξαμένων, τῶν δὲ Ῥωμαίων ἐπεξεργασαμένων τὸν φόνον τὸν τοῦ ἀλάστορος. Τιτρώσκεται δὲ καὶ ὁ Σταυράκιος μεταξὺ τοῦ ὤμου τοῦ δεξιοῦ καὶ τοῦ τένοντος, καὶ ἀναιροῦνται πολλοὶ μὲν τῶν ἐν ὑπεροχαῖς, τῶν ἐν τέλει, τῶν ἐν στρατηγίαις, τῶν ἐν ἀξιώμασι, τῶν δ' ἄλλως στρατευομένων, καὶ τῶν τῆς βασιλικῆς ὑπηρεσίας, καὶ τῶν λοιπῶν θεραπόντων οὐδὲ ἀριθμητοί. Διαρπάζεται δὲ ξύμπασα ἡ τοῦ βασιλέως ἀποσκευή, καὶ ἅπαν τὸ τῶν Ῥωμαίων χαράκωμα, καὶ περιγίνεται τοῖς Βαρβάροις καὶ πλοῦτος συχνὸς, καὶ ὅπλα πολλὰ, καὶ ἵπποι μυρία. Μόλις γοῦν ὁ Σταυράκιος περισώζεται, καὶ ὅσοις ἡ νὺξ παρέσχε λαθεῖν λόχμας ὑποδῦσι, καὶ ἕλῃ, καὶ τοιαῦτά τινα. Τὸν δὲ τοῦ βασιλέως Νικηφόρου νεκρὸν λαβὼν ὁ Κροῦμος, καὶ τὴν κεφαλὴν ἐκτεμὼν, ἐφ' ἡμέρας μέν τινας ἐφ' ὕψους ἀνεσταύρωσε, θεατρίζων ταύτην, καὶ ἐμπομπεύων τῷ κατορθώματι. Εἶτα τὸ τῆς κορυφῆς ὀστοῦν ἀποδιελών, καὶ γυμνώσας τοῦ δέρματος, ἀργύρῳ τε περιθήσας, ὡς κύλικι τούτῳ ἐκέχρητο. Οἶνόν τ' ἐγχέων αὐτῷ πίνειν ἐδίδου τοῖς ὑπ' αὐτόν. Ἀγγελθέντος δ' ἐν Βυζαντίῳ τοῦ τῶν Ῥωμαίων ὀλέθρου, καὶ τῆς τοῦ βασιλέως σφαγῆς, Θρῆνος μὲν ἦν πανταχόσε πολὺς, καὶ ὠλόλυζον οἱ τοῖς ἀνῃρημένοις προσήκοντες· κουφισμὸν δ' ἐποίει τῆς συμφορᾶς ἡ τοῦ κρατοῦντος ἀπώλεια, ἐφηδομένων πάντων αὐτῇ. Ἐβασίλευσε δὲ κάκιστος ἔτη ἐννέα.

ΙϚ'. Ὁ μὲν οὖν Νικηφόρος κάκιστος γεγονὼς ἀπώλετο αἴσχιστα. Ὁ δέ γε Σταυράκιος πεπληγμένος φεύγων, εἰς Ἀδριανούπολιν διασώζεται, ἔνθα καὶ αὐτὸς ἀνερρήθη αὐτοκράτωρ τῶν ἐν ἀρχαῖς ἐνίων σπουδῇ καὶ κακῶς ἐκ τοῦ τραύματος διακείμενος, εἰς τὴν Μεγαλόπολιν εἰσελήλυθεν. Ἐπεβούλευε δὲ τῷ κουροπαλάτῃ Μιχαὴλ, ᾧ Ῥαγγαβὲ τὸ ἐπώνυμον, γαμβρῷ αὐτοῦ ὄντι, ἐπὶ Προκοπίᾳ τῇ ἀδελφῇ, βουλόμενος τὴν βασιλείαν τῇ ἑαυτοῦ συμβίῳ καταλιπεῖν. Γνόντες δὲ τὴν τοῦ Σταυρακίου μελέτην οἱ τῆς συγκλήτου βουλῆς, καὶ τοὺς περιλειφθέντας ἐκ τῶν ταγμάτων ἀθροίσαντες, κατ' ὄρθρον ἤδη τῆς νυκτὸς οὔσης ἀναγορεύουσι τὸν κουροπαλάτην Μιχαὴλ αὐτοκράτορα· καὶ αὐτίκα τὴν κόμην κειράμενος ὁ Σταυράκιος, περιβολὴν μοναχικὴν ἑαυτῷ περιέθετο.

ΙΖ'. Ὁ δὲ Μιχαὴλ μεθ' ἡμέραν εἰς τὴν ἐκκλησίαν παραγενόμενος ὑπὸ τοῦ πατριάρχου Νικηφόρου τετιμήσατο βασιλικῷ διαδήματι, ἀπαιτηθεὶς παρ' αὐτοῦ ἔγγραφον (79) ἐπαγγελίαν τοῦ μήτι παρακινῆσαι τῶν τῆς Ἐκκλησίας θεσμῶν, μηδ' ἐν αἵμασι χρανθῆναι Χριστιανῶν. Μετὰ δέ τινας ἡμέρας, καὶ τὴν τοῦ βίου

A vulneratus, cæsique sunt multi viri excellentes, multi magistratibus præditi, multi duces et dignitatibus illustres: gregarii vero milites, imperatorii comites, aliique ministri innumerabiles. Direptum est universum imperatoris instrumentum, et totum Romanorum vallum. Barbari magnis opibus sunt potiti, multis armis equisque plurimis. Stauracius ægre evasit, et alii quos nox texit, in dumetis, paludibus, et aliis ejusmodi **125** locis latitantibus. Crumus Nicephori caput amputatum, per aliquot dies crucibus suffixum, spectandum præbuit, et rei bene gestæ pompam celebravit. Deinde osse verticis resecto, cute directa, capite argento inducto pro calice usus est, infusoque B vino suis ex eo propinavit. Romanorum interitu et imperatoris cæde Byzantii nuntiata, luctus ubique magnus fuit, cæsorum necessariis ejulantibus. Calamitatem tamen levabat imperatoris interitus, quo omnes lætabantur. Regnavit homo pessimus annos IX.

XVI. Nicephorus uti vir pessimus fuerat, ita turpissime periit. Stauracius autem vulneratus Adrianopolim pervenit, ubi magistratuum quorumdam studio imperator est salutatus, et ex vulC nere male affectus, magnam urbem ingressus, Michaeli curopalatæ cognomento Rhangabe, cui soror ejus Procopia nupta erat, insidias struxit, imperium suæ conjugi relicturus. Cæterum senatus Stauracii consilio cognito, reliquiis legionum convocatis, Michaelem curopalatem sub diluculum imperatorem dixit. Stauracius autem statim detonsa coma, monachi habitum sumpsit.

XVII. Michael, ubi diluxit, Magnam ecclesiam ingressus, a patriarcha Nicephoro imperatorio diademate est ornatus, postulato prius scripto quo promitteret se nulla Ecclesiæ instituta violaturum, neque Christianorum sanguine manus contaminaturum esse. Post dies aliquot Procopiam uxorem

Variæ lectiones et notæ.

(78) *Καὶ ἀναιρεῖται μὲν ὁ Νικηφόρος.* Illius D interitum paulo ante prædixerat S. Joannicius, ut est in illius [Vita ms. Ἐν τούτῳ δὲ διατριβῶν τῷ ὄρει, καὶ τοῖς τοῦ γένους κοινωνοῦσι τῷ βασιλεῖ, Νικηφόρος δὲ τὴν Ῥωμαίων διεῖπεν ἀρχὴν, τὴν αὐτοῦ τελευτὴν μικρῷ ὕστερον ἤξειν προαγορεύει· ἐν ᾧ τοίνυν ἔτει τῆς τούτου ἀρχῆς τὸ Οὐννικὸν ἐξορμήσαν τὴν Θρᾴκων ἐλῃΐζητο· στράτευμα οὖν λόγου ἄξιον ὁ κρατῶν συναγείρας, πρότερον μὲν αὐτοὺς ἥττησε· μετὰ δὲ ταῦτα κατὰ συστάσεις οἱ Οὖννοι γενόμενοι κακῶς ἐποίουν Ῥωμαίους, ἔνθα δὴ καὶ αὐτὸς ὁ βασιλεὺς τραυματίας γενόμενος, σὺν τῇ ἀρχῇ καὶ αὐτὸν καταλύει τὸν βίον. Κληρονόμον δὲ τούτῳ οκήπτρων καὶ τῆς ἐξουσίας τὸν υἱὸν Σταυράκιον καταλείπει. Idem deinde scriptor subdit, cum Joannicius a quibusdam aulicis rogaretur an diuturnum foret Stauracii imperium, ταχεῖαν ἔσεσθαι illius τὴν ἀρχὴν, καὶ πάλιν τὴν μεταβολὴν prædixisse. Sed et hunc miserabilem vitæ exitum Nicephoro pariter prædixisse S. Theodorum Studitam narrant Michael in illius Vita, et Anonymus in Vita S. Nicolai Studitæ.

(79) *Ἔγγραφον.* Id ipsum narrant iidem, Michael in S. Theodori, et anonymus in S. Nicolai Vita: ut et Ignatius diaconus in Vita S. Nicephori patr. Constantinopol. n. 32. Vide *Gloss. med. Græcit.* in hac voce.

Augustam salutavit et coronavit : vir plus atque ingenui animi. Eos quibus a Nicephoro factæ erant injuriæ, et militum bello cæsorum uxores pecuniæ distributione consolatus est. Theophanonem Stauracii conjugem, quæ tonsa coma nigram stolam induerat, magna pecunia donavit, ædibus ei ad habitandum assignatis, quas illa in monasterium convertit, quod a Stauracio ibi sepulto nomen est sortitum. Nam ex vulnere, quod supra memoravimus, decessit, cum duos duntaxat menses et sex dies imperasset. Id monasterium appellatione corrupta vulgo Braca dicitur, et a nonnullis qui vocem ad Græcam formam detorquere conantur, originis ejus ignari, Hebraica. Cum autem Studiensis **126** monasterii moderatores, Platonem et Theodorum, et fratrem ejus etiam Josephum Thessalonicensem archiepiscopum, ejusdemque monasterii monachos insigniores in carcerem conjectos reperisset, propterea quod cum patriarcha et Ecclesiæ non consentirent, ut supra dictum est, operam dedit ut eos in concordiam redigeret, idque perfecit. Filium Theophylactum imperatorio nomine dignatus est, et a patriarcha diademate ornandum curavit. Post, expeditione contra Bulgaros suscepta, qui Thraciam populabantur, quibusdam legionibus seditiosis, a quibus aperte maledictis incessebatur, benignis alloquiis et liberalitate placatis, in regiam reversus est. Cum multi insaniam contra venerabiles imagines renovare studerent, quibusdam comprehensis et mediocriter multatis, cæteros a simili conatu deterruit, et monacho cuidam qui ostentandæ forsitan pietatis ergo, Deiparæ imaginem eraserat, linguam præcidit. Agarenis autem rursus Orientem vastantibus, Orientalium dux Leo Armenius, commisso prælio, ad duo millia cecidit, multis equis et spoliis potitus. Crumus porro Bulgarum princeps legatos ad imperatorem misit, pacem iis conditionibus petens, quæ sub Theodosio Adramytteno et patriarcha Germano concessæ essent. Quod si pacem repudiaret, se Mesembriam invasurum minabatur, eumque qui bellum maluisset, exitii Christianorum auctorem fore asserebat. Eas conditiones cum Michael de consilio suorum renuisset, Crumus Mesembriam invasit, machinis ad expugnationem urbis adductis. Nam Arabs quidam solers mechanicus, cum se ad Nicephorum aliquando contulisset, et sacro baptismate initiatus, ob Nicephori sordes pro dignitate non tractaretur, deque sui

A κοινωνὸν Προκοπίαν Αὐγούσταν (80) ἀνηγόρευσέ τε καὶ ἔστεψεν, εὐσεβής τε τυγχάνων καὶ τὴν γνώμην ἐλευθέριος. Τούς τε πρὸς τοῦ Νικηφόρου ἠδικημένους, καὶ τὰς συζύγους τῶν ἐν τῷ πολέμῳ πεσόντων στρατιωτῶν παρεμυθήσατο χρημάτων διανομαῖς· καὶ τὴν γαμετὴν δὲ Σταυρακίου Θεοφανὼ κατεῖσαν τὴν κόμην, καὶ μέλαιναν ἐνδυσαμένην στολήν, χρήμασι πολλοῖς ἐδωρήσατο, καὶ οἶκον εἰς κατοικίαν αὐτῇ προσαπένειμεν, ὃν εἰς μοναζουσῶν ἐκείνη μετεποίησε καταγώγιον, ἔνθα καὶ ὁ Σταυράκιος τέθαπται, θανὼν ἐκ τῆς πληγῆς ἣν ὁ λόγος ἐδήλωσε, δύο μῆνας αὐταρχήσας μόνους ἐπὶ ἡμέρας ἕξ. Ἥτις μονὴ ἐξ ἐκείνου ἐκλήθη τοῦ Σταυρακίου ὠνομασμένη, βαρβαριζομένου δὲ τοῦ ὀνόματος παρὰ τοῦ συρφετώδους ὄχλου λέγεται τὰ Βρακά, παρά τινων δὲ τὴν ἀληθῆ κλῆσιν ἀγνοησάντων, μεταγόντων δὲ ταύτην δῆθεν πρὸς τὸ Ἑλληνικώτερον, ὀνομάζεται τὰ Ἑβραϊκά. Καθειργμένους δ' εὑρὼν τοὺς τῆς μονῆς τοῦ Στουδίου ἡγεμονεύσαντας, τὸν Πλάτωνα λέγω καὶ τὸν Θεόδωρον, ἀλλὰ μὴν καὶ τὸν τούτου ὁμαίμονα Ἰωσὴφ τὸν τῆς Θεσσαλονίκης ἀρχιεπίσκοπον (81), καὶ τῶν τῆς εἰρημένης μονῆς μοναχῶν τοὺς ἐλλογιμωτέρους, ὡς μὴ κοινωνοῦντας, καθώσπερ ἱστόρηται, τῷ πατριάρχῃ καὶ τῇ Ἐκκλησίᾳ, ἔσπευσεν ἑνῶσαι αὐτούς, καὶ μέντοι καὶ ἥνωσε. Καὶ τὸν υἱὸν δὲ Θεοφύλακτον ὁ βασιλεὺς οὗτος τῆς βασιλικῆς ἠξίωσε κλήσεως, καὶ οἱ διὰ τοῦ πατριάρχου διάδημα περιέθετο. Εἶτα κατὰ Βουλγάρων λῃζομένων τὴν Θρᾳκῴαν μοῖραν ἐκστρατεύσας, στασιάσαντα κατ' αὐτοῦ τῶν ταγμάτων τινά, ὡς καὶ ὕβρεις χωρῆσαι κατὰ τὸ προφανὲς, λόγοις μειλιχίοις καὶ δώροις φιλοτίμοις κατηύνασε, καὶ εἰς τὰ βασίλεια ἐπανέζευξεν. Ἀνακαινίσαι δὲ ζητούντων πολλῶν τὴν κατὰ τῶν σεπτῶν εἰκόνων μανίαν, τινὰς συλλαβὼν, καὶ μετρίως πως αἰκισάμενος, δι' αὐτῶν καὶ τοὺς λοιποὺς κατεπτόησε, καὶ παύσασθαι παρεσκεύασε. Μοναχὸν δέ τινα εὐλαβείας τάχα σκηνὴν ἐνδεικνύμενον εὑρηκὼς, εἰκόνα τῆς Θεομήτορος ἀποξέσαντα, τῆς γλώττης ἀφείλετο. Τῶν δὲ Ἀγαρηνῶν τὴν Ἐφὰν αὖθις λῃζομένων, ὁ τῶν Ἀνατολικῶν στρατηγὸς ὁ Ἀρμένιος Λέων τούτοις συμβαλὼν, ἀνεῖλέ τε περὶ δισχιλίους, καὶ ἵππους καὶ ὅπλα ἐξ αὐτῶν εἰς πλῆθος ἐλαφυραγώγησε. Κροῦμος δὲ ὁ τῶν Βουλγάρων ἄρχων διεπρεσβεύσατο πρὸς τὸν βασιλέα, εἰρήνην ζητῶν ἐπὶ συνθήκαις, ταῖς ἐπὶ Θεοδοσίου τοῦ Ἀτραμυττηνοῦ καὶ Γερμανοῦ πατριάρχου. Καὶ εἰ μὴ οὕτω τὴν εἰρήνην ὁ αὐτοκράτωρ αἱρήσεται, ἠπείλει κατὰ Μεσημβρίας χωρῆσαι, καὶ τοῦ τῶν Χριστωνύ-

Variæ lectiones et notæ.

80) *Προκοπίαν Αὐγούσταν.* Fuit ita filia Nicephori Seleuceni, seu generalis, imperatoris, a qua conditum monasterium Constantinopoli, quod ab ea τὰ Προκοπίου appellabant, ex originibus urbis ineditis observamus in nostra *Constantinopoli*, lib. IV, pag. 160. Codinus vero illud Προκοπίας vocat, p. 57. Idem pag. 60, Procopiæ monasterium a Justino Thrace imp. et Euphemia uxore conditum scribit. In concilio Chalcedonensi occurrit nescio quis Elpidius μεμορφύλαξ τῶν Προκοπίου dictus, id est ædituus, uti hanc vocem accipiendam docemus in *Gloss. med. Græcit* : quam quidem ædem, siquidem Constantinopoli exstitit, ab anno 451 exstitisse oportet, proinde ante Justini tempora.

(81) *Ἰωσὴφ τὸν τῆς Θεσσαλονίκης ἀρχιεπίσκοπον.* Istius Josephi festum agunt Græci 15 Junii, Vitam vero habent Synaxaria. Meminerunt etiam Menæa in S. Theophylacto episcopo Nicomediensi ad 8 Martii; præterea 23 Sept. in SS. Martyr. Andrea, Joanne, et Antonio, ubi Saracenorum dux Ἀβραχήμ, et ὁ Βραχήμ dicitur.

μων ὀλέθρου αἴτιον εἶναι τὸν μὴ τὴν εἰρήνην αἱρούμενον. Ἀλλὰ συμβουλῇ τῶν περὶ αὐτὸν τὰς σπονδὰς ἐπὶ ταῖς συνθήκαις ἐκείναις ὁ βασιλεὺς οὐ προσήκατο, καὶ ὁ Κροῦμος κατὰ Μεσημβρίας ἐχώρησεν ἑλεπόλεις ἐπαγόμενος. Ἄραψ γάρ τις μηχανικὸς καὶ περὶ ταύτας δεξιὸς προσῆλθε τῷ Νικηφόρῳ ποτὲ, καὶ τῷ θείῳ βαπτίσματι τελεσθείς, μὴ τυχὼν δὲ προνοίας ἀξιολόγου διὰ τὴν ἐκείνου γλισχρότητα, εἶτα καὶ ἐπεγκαλέσας ἐκείνῳ διὰ τὸ ἀπρονόητον, ἐτύρθη σφοδρότατα. Ἐξ ἀπονοίας οὖν τοῖς Βουλγάροις προσκεχωρήκει, καὶ δι' αὐτοῦ πᾶσαν οἱ Βάρβαροι μηχανὴν ἐργάζεσθαι μεμαθήκασιν. Οὕτως οὖν εὐπορήσαντες ἑλεπόλεων, οὐκ ἐχρόνισαν εἰς τὴν τοῦ κατὰ Μεσημβρίαν ἄστεος πόρθησιν. Τοῦ δὲ βασιλέως τὸν πατριάρχην μετακαλεσαμένου καὶ τῶν ἀρχιερέων τινὰς, καὶ προθεμένου βουλὴν περὶ τῶν μετὰ Βουλγάρων σπονδῶν, καὶ εἰ χρὴ ἐκδοῦναι τῷ Κρούμῳ [illegible], ἐκεῖθεν Ῥωμαίους προσπεφευγότας (καὶ τοῦτο γὰρ πρὸς ἄλλοις ἐπὶ ταῖς σπονδαῖς ἐζήτει ὁ Βάρβαρος) ὁ μὲν πατριάρχης καὶ οἱ ἀρχιερεῖς συνεβούλευον ἐκδοῦναι τοὺς πρόσφυγας, κρεῖσσον εἶναι παθεῖν κρίνοντες μετρίους τινὰς ἢ πλήθη πάσχειν ἀνάριθμα. Οἱ δὲ περὶ τὸν βασιλέα καὶ ὁ Στουδίτης Θεόδωρος τὰς σπονδὰς ἀπηγόρευον, λέγοντες μὴ δεῖν ἐκδοῦναι τοὺς πρόσφυγας. Αἱ μὲν οὖν πρὸς τοὺς Βουλγάρους σπονδαὶ ἐντεῦθεν κεκώλυνται. Ἦν γὰρ ὁ αὐτοκράτωρ οὗτος τὸν μὲν τρόπον χρηστὸς, καὶ τὴν πίστιν ὀρθὸς, περὶ δὲ πραγμάτων οἰκονομίαν νωθὴς, καὶ τοῖς ὑπερέχουσι τῶν ἀρχόντων ὅποι ἂν ἄγοιτο ῥᾳδίως ἀγόμενος.

A neglectu conquestus acerrime vapulasset, ex desperatione se ad Bulgaros contulit, a quo Barbari omnis generis machinas fabricari didicerunt : quibus abunde instructi, vastationem Mesembriæ non cunctanter sunt aggressi. Imperator autem cum patriarchæ et primorum sacerdotum quibusdam deliberationem de pace Bulgarica et transfugis quibusdam Crumo tradendis proposuisset (nam id etiam inter cætera Barbarus postularat), patriarcha et sacerdotes **127** præstare censuerunt, transfugis traditis, paucos male tractari, quam turbas innumerabiles. Sed senatores aulici et Theodorus Studites pace repudiata supplices tradendos esse negaverunt. Quæ res paci Bulgaricæ impedimento fuit. Nam imperator hic ingenio leni et fide recta praeditus fuit; sed ad res gerendas tardior, facile secutus quocunque a proceribus duceretur.

ΙΗ'. Κομήτης δὲ ἀστὴρ ἐφάνη τότε σχηματισθεὶς εἰς εἴδη διάφορα, ὧν καὶ ἓν λέγεται εἶναι καὶ ἀνθρώπου σχῆμα χωρὶς κεφαλῆς. Οἱ Βούλγαροι μέντοι τῆς Μεσημβρίας κρατήσαντες, πολλὰ ἐν ταύτῃ εὑρήκασι, μετὰ τῶν ἄλλων δὲ καὶ τοῦ ὑγροῦ πυρὸς οὐκ ἐλάχιστον. Αἰχμαλώτων δ' ἐπανελθόντων τινῶν, μαθὼν ἐκ τούτων ὁ βασιλεὺς βούλεσθαι τὸν Κροῦμον τὴν Θράκην ληΐσασθαι, ἐξῆλθε τῆς πόλεως. Ὅθεν οὐδὲν ὢν ἐμελέτα δράσας ὁ Βάρβαρος ἀλλὰ καὶ πολλοὺς τῶν οἰκείων ἀπεβάλων ὑπανέστησε· καὶ ὁ βασιλεὺς τὰς Ῥωμαϊκὰς δυνάμεις πάντοθεν συναθροίσας, εἰς Θράκην αὖθις ἐξῆλθε, συνεπομένης αὐτῷ καὶ τῆς Αὐγούστης ἄχρι τῶν Κηδόκτου. Ὅθεν δυσχεράναν τὸ στρατιωτικὸν, ἐλοιδορεῖτο τῷ αὐτοκράτορι, εἶτα ἡ μὲν Αὔγουστα ἐπανελήλυθεν. Ὁ δὲ Μιχαὴλ περιεπόλει τὴν Θράκην, μηδέν τι πράττων στρατηγικὸν, ἢ τι κατὰ τῶν ἐναντίων οἰκονομούμενος· καὶ ἦσαν τοῖς τῆς χώρας οἰκήτορσι τὰ στρατεύματα οὐχ ἧττον τῶν Βαρβάρων εἰς προνομήν. Καὶ ὁ Κροῦμος δὲ τῶν οἰκείων ἀπάρας ἠθῶν, ταῖς βασιλικαῖς παρεστρατοπεδεύσατο τάξεσι. Μάχης οὖν συγχροτηθείσης ἡττῶνται Ῥωμαῖοι, τοῦ στρατηγοῦ τῶν Ἀνατολικῶν (82) αἰτίου τῆς ἥττης γεγενημένου Λέοντος τοῦ ἐξ Ἀρμενίων. Οὗτος γὰρ τῆς βασιλείας ἐρῶν (83), καὶ πρὸς τὴν στρατιὰν διαβάλλων τὸν Μιχαὴλ, ὡς [illegible] τε καὶ ἀστρατήγητον, ἅρτι τοῦ πολέμου συγχροτηθέντος, τὰ ὑπ' αὐτὸν τάγματα ἔπεσ-

XVIII. Tum stella crinita apparuit, quæ varias formas exprimebat, quarum una fuisse fertur etiam hominis sine capite. Bulgari autem Mesembria potiti, cum multa alia ibi repererunt, tum ignis Græci non parum. Cum vero imperator e quibusdam captivis didicisset, velle Crumum Thraciam populari, urbem egressus est. Barbarus igitur omissis suis conatibus, multisque suorum amissis recessit : et imperator Romanis copiis undique accersitis rursus in Thraciam abiit, etiam Augusta ad Cedoctum usque comitante : quod milites ægre ferentes, imperatori conviciabantur. Deinde illa domum redjit, Michael vero Thraciam obiit, neque quidquam duce dignum, aut hostibus fraudi futurum egit, fueruntque legiones provincialibus non minus prædæ quam Barbari. Sed et Crumus suis sedibus relictis, castra e regione imperatorii exercitus posuit, commissaque pugna Romani succubuerunt, ducis Orientalium copiarum Leonis Armenii culpa, qui imperii cupidus, Michaelem apud exercitum initio pugnæ ut effeminatum et rei bellicæ imperitum calumniatus, suas legiones se sequi jussit, desertisque ordinibus fugam cepit; id quod alios quoque in fugam vertit, adeo ut Crumus id non crederet ob absurditatem, et insidias esse ratus, suos contineret. Ut autem Romanos temere effuseque fugere vidit, tunc suis insequi jussis,

Variæ lectiones et notæ.

(82) *Στρατηγοῦ τῶν ἀνατολικῶν.* Ita hanc dignitatem expressit Ignatius diaconus in Vita S. Nicephori patr. Constantinopol. n. 31, ubi de eodem Leone : Καὶ γὰρ ὑπ' αὐτοῦ δημαγωγὸς τοῦ πρώτου καταλόγου τῆς στρατιωτικῆς τῶν λεγομένων θεμάτων καθίστατο φάλαγγος. Primum enim ex thematibus Ἀνατολικὸν fuit, ut est apud Constantinum Porph. lib. I. *De Themat.* Cujus præ cæteris meminit auctor Vitæ S. Nicolai Studitæ, p. 907. Nicephorus Constantinopolit. in Brev. p. 184, I ed. Πρὸς τῇ χώρᾳ Ἀνατολικῶν καλουμένῃ φυγὰς ἐνθάδε ἀπιών. Vide eumdem Zonaram in Romano Diogene.

(83) *Οὗτος γὰρ τῆς βασιλείας ἐρῶν.* Idipsum narrat scriptor ms. Vitæ S. Joannicii.

maximam cædem militum et ducum edidit, imperatore vix cum paucis Constantinopolim elapso, vallum et tabernaculum imperatorium a Barbaris direptum. Ex eo sumpta fiducia Leo, consiliorum suorum conscios in reliquias legionum dimisit, qui dicerent, Romanos ex inscitia imperatorum vinci, et res strenuum virum postulare, qualis sit Leo dux Orientalium. Itaque milites ad seditionem concitavit, ut et Michaeli maledicerent, et Leonem, ejus **128** tabernaculum circumstantes, imperatorem salutarent. Illum vero simulate detrectantem, ac deprecantem scilicet imperium, Michael Balbus tribunus, stricto gladio, monitis etiam cæteris conjuratis ut idem facerent, adigit, ut invitus nimirum imperii titulum admitteret. Quibus nuntiatis Michael, neque ad resistendum se paravit, neque de imperio vindicando cogitavit, sed potestatis insignia statim Leoni misit: eoque regiam ingresso, cum uxore et liberis in ædem quæ est in Pharo supplex confugit. Inde avulsi, Michael in insula Prota monachus factus vitam exegit. Theophylactus filius ejus, qui imperator appellatus fuerat, virilibus exsectis, cum matre et fratribus est relegatus.

XIX. Hunc exitum habuit Michaelis imperium, cum id biennium tenuisset. Leo vero ingressus regiam, statim exutam vestem quam gerebat, Michaeli Balbo dedit, quam idem statim induit: unde multi conjecerunt, eum Leoni in imperio successurum. Neque hoc solum potestatis augurium illi fuit, sed illud etiam, quod Leonem pone sequens, vestis imperatoriæ extremitatem calcavit: idque malum omen Leoni quoque visum est. Horum utrique prædictum fuerat, fore ut imperarent. Nam Bardanes dux et patricius, cujus supra facta est mentio, imperium, priusquam id invaderet, animo agitans, cum monacho quodam in Philomelio degente, qui futura prædicere credebatur, arcanum communicavit, percontatus an voti compos futurus esset?

A σθαί οἱ ἐγκελευσάμενος, λειποταχτήσας ἀπῆει φυγάς. Τοῦτο καὶ τοὺς ἄλλους ἔτρεψεν εἰς φυγήν, ὥστε τὸν Κροῦμον μηδὲ πιστεύειν τῷ γινομένῳ διὰ τὸ λίαν παράλογον; ἀλλὰ λόχον ἡγεῖσθαι τοῦτο, καὶ τοὺς ἀμφ' αὐτὸν ἐπισχεῖν. Ὡς δὲ ἑώρα τοὺς Ῥωμαίους φεύγοντας ἀκόσμως καὶ ἀκρατῶς, τότε τοῖς οἰκείοις διώκειν ἐγκελευσάμενος, φόνον πλεῖστον εἰργάσατο στρατιωτῶν τε καὶ στρατηγῶν. Μόλις δ' ὁ βασιλεὺς εἰς τὴν Κωνσταντίνου μετ' ὀλίγων τινῶν φυγῇ διεσώζεται, τοῦ χάρακος καὶ τῆς σκηνῆς τῆς βασιλικῆς γεγονότων τοῖς Βαρβάροις διάρπαγμα. Ἐντεῦθεν ὁ Λέων ἀῤῥίας ὁρμηθείς, καὶ τοὺς κοινωνοὺς τῶν βουλευμάτων αὐτοῦ διασπείρας εἰς τὰ περιλειφθέντα τῶν στρατευμάτων λέγοντας ἐξ ἀφελείας τῶν κρατούντων ἡττᾶσθαι Ῥωμαίους, καὶ δεῖσθαι τὰ πράγματα γενναίου ἀνδρός, οἷος ὁ τῶν Ἀνατολικῶν στρατηγὸς Λέων ἐστίν, εἰς στάσιν τοὺς στρατιώτας ἠρέθισε, καὶ τὸν μὲν βασιλέα κακῶς ἔλεγον, τὸν Λέοντα δὲ βασιλικῆς εὐφημίας ἠξίουν, τὴν ἐκείνου περιστάντες σκηνήν. Αἰτιζομένου δ' αὐτοῦ, καὶ παραιτουμένου δῆθεν τὴν αὐταρχίαν, ὁ Τραυλὸς Μιχαὴλ τάγματος ἄρχων τὸ ξίφος σπασάμενος, τοῦτο δὲ καὶ ἄλλοις ποιεῖν ὑποθέμενος τῆς συνωμοσίας μετ-

B

έχουσι, πείθουσι, τάχα καὶ ἄκοντα τὸν Λέοντα τὴν ἀνάῤῥησιν δέξασθαι. Ὡς οὖν ἠγγέλη ταῦτα τῷ Μιχαὴλ (84), οὔτε πρὸς ἀντικατάστασιν ὥρμησεν, οὔτε τῆς βασιλείας ἀντιποιήσασθαι ἐδοκίμασεν, ἀλλ' εὐθὺς τὰ τῆς βασιλείας παράσημα τῷ Λέοντι ἐξαπέστειλεν. Ἐλθόντος δ' ἐκείνου εἰς τὰ βασίλεια, ὁ Μιχαὴλ ἅμα τῇ συζύγῳ καὶ τοῖς παισὶ πρὸς τὸν ἐν τῷ Φάρῳ ναὸν ἱκέτης εἰσέδραμεν. Ἀποσπασθέντες δὲ ἐκεῖθεν (85), ὁ μὲν Μιχαὴλ εἰς τὴν Πρώτην λεγομένην νῆσον ἀπάγεται, καὶ μοναχὸς γεγονὼς (86) ἐκεῖ κατεβίω. Τὸν δὲ παῖδα τούτου τὸν Θεοφύλακτον, ὃς καὶ ἀναῤῥήσεως, ὡς ἔφημεν, κατηξίωτο, τῶν παιδογόνων μορίων ἀφείλετο, καὶ σὺν τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς ὑπερορίους ἐποίησε.

C

ιθ'. Τῷ μὲν οὖν Μιχαὴλ ἐς τοῦτο τὰ τῆς ἀρχῆς ἐτελεύτησεν, ἐνιαυτοὺς βασιλεύσαντι δύο. Ὁ δὲ Λέων εἰς τὰ βασίλεια εἰσελθών, αὐτίκα ἐκδυσάμενος ὃ περιέκειτο φάρος, τῷ Τραυλῷ Μιχαὴλ ἐνεχείρισε, κἀκεῖνος εὐθὺς αὐτὸ ἠμφιάσατο, ὃ πολλοῖς σημεῖον ἐκρίθη τοῦ τοῦτον μέλλειν ἔσεσθαι τῷ Λέοντι τῆς βασιλείας διάδοχον. Οὐ τοῦτο δὲ μόνον σημαντικὸν τῆς διαδοχῆς τοῦ κράτους συνέβη τῷ Μιχαὴλ, ἀλλὰ καὶ ὄπισθεν τοῦ Λέοντος πορευόμενος, βασιλικὴν ἐσθῆτα μεταμφιασαμένου, τὸ ταύτης πεπάτηκε κράσπεδον· τοῦτο καὶ τῷ Λέοντι οὐκ ἀγαθὸν οἰώνισμα ἔδοξε. Τούτοις δὲ καὶ ἀμφοῖν ἡ βασιλεία προείρητο. Ὁ ἄνωθεν γὰρ ῥηθεὶς Βαρδάνης ὁ στρατηγὸς καὶ πατρίκιος, πρὸ τοῦ τυραννίδι ἐπικεχειρηκέναι, στρέφων αὐτὴν κατὰ νοῦν, εἴς τινα μοναχὸν ἐν τῷ Φιλομι-

Variæ lectiones et notæ.

(84) *Ὡς οὖν ἠγγέλη ταῦτα τῷ Μιχαήλ.* Ut Michael europalata ultro imperio Leoni cesserit, narrat, præter scriptores Byzantinos, Nicetas Paphlago in Vita Ignatii patr. Constantinopol. p. 1182, et ut in Principis insulas, τὰς Πριγκιπείου, νήσους, ex quibus erat Πρώτη, cujus hic meminit Zonaras, secesserit, et in iis habitu monachi sancte vitam exegerit.

(85) *Ἀποσπασθέντες δὲ ἐκεῖθεν.* Scriptor ms. Vitæ S. Joannicii: Ὁ Μιχαὴλ δὲ καὶ ἄκων αὐτῷ παραχωρεῖ τῆς βασιλείας, ὅρκοις πολλοῖς καὶ ἀσφαλέσιν, ὡς ᾠήσατο, πίστεσιν ἑαυτὸν οἷον εἰπεῖν ἐμπεδώσας καὶ βεβαίως ἀσφαλισάμενος, ἐφ' ᾧ συγχωρῆσαι τοῦτον ἅμα γυναικὶ καὶ τοῖς τέκνοις ἰδιωτικῶς ζῆν. Ὁ δὲ ὁμοῦ τῷ τῆς ἀρχῆς ἐπιθῆναι, εὐθὺς

D

ὥσπερ εἰς λήθην πάντων ἐλθών, καὶ μηδενὸς φροντίσας ὧν ὑπὸ μάρτυρι τῷ Θεῷ ἐπωμόσατο, πρῶτα μὲν ὑπερορίαν τοῦ Μιχαὴλ καὶ τῆς συζύγου τοῦδε κατακρίνει· μετὰ βραχὺ δὲ τὸ τῶν μοναχῶν σχῆμα καὶ ἄκοντας αὐτοὺς μετενδύει. Οὐ μέχρι δὲ τούτων ἔστη, ἀλλά γε ὀλίγαις ὕστερον ἡμέραις ἀλλήλων διέζευξε, καὶ μένειν ὁμοῦ κατὰ χώραν αὐτοῖς οὐκ εἴασεν, ἀλλὰ τὸν μὲν ἀλλαχόθι, τὴν δὲ ἑτέροθι φέρων ἀπώκισε.

(86) *Καὶ μοναχὸς γεγονώς.* Theosterictus in Vita S. Niceteæ Confess. n. 31: Διαδέχεται δὲ ταύτης (Εἰρήνης) τὴν βασιλείαν Νικηφόρος ἅμα καὶ τὴν ὀρθοδοξίαν ὁ εὐσεβέστατος καὶ φιλόπτωχος καὶ φιλομόναχος· εἶτα Μιχαὴλ, ὁ νῦν ἔτι ἐν μοναχικῷ διαπρέπων ἀξιώματι.

λίῳ ἀσχούμενον, καὶ προλέγειν τὰ μέλλοντα πιστευόμενον, ἀπελθὼν, ἐκείνῳ τὸ ἀπόῤῥητον ἀπεκάλυψε. Καὶ εἰ ἔσται αὐτῷ ἐπιτελὲς τὸ βούλευμα, ἐπυνθάνετο. Ὁ δὲ ἀπηγόρευσεν αὐτῷ τὴν ἐγχείρησιν, φάμενος ὡς Οὔτε τεύξῃ τοῦ ἐφετοῦ, καὶ στερηθήσῃ καὶ τῆς περιουσίας καὶ τοῦ φωτός. Ἐπὶ τούτοις ὁ μὲν ἀπῆει περίλυπος. Ὁ Λέων δὲ οὗτος καὶ Τραυλὸς Μιχαὴλ, καί τις ἕτερος Θωμᾶς, αὐτῷ τὸν ἵππον παρέστησαν. Ἄνωθεν δὲ προκύψας ὁ μοναχὸς, καὶ τούτους ἰδὼν μεταπαλεῖται τὸν στρατηγὸν καί φησι· *Σοὶ μέν, ὡς εἴρηκά σοι, οὐ δίδωσιν ὁ Θεὸς τῆς βασιλείας τυχεῖν· τῶν δὲ τὸν ἵππον σοι παραστησάντων τοὺς δύο, τὸν Λέοντα καὶ τὸν Μιχαήλ, ἴσθι καὶ ἄμφω κατὰ καιροὺς ἰδίους τῆς βασιλείας κρατήσοντας. Ὁ δ' ἕτερος ἐπιχειρήσει μέν, καὶ ἑαυτῷ περιθήσει διάδημα, οὐ τεύξεται δὲ τῶν κατὰ σκοπόν, ἀλλ' ἀπολεῖται κακῶς.* Ὁ μὲν οὖν ταῦτα προεῖρηκεν. Ὁ δὲ Βαρδάνης ἀπιστήσας αὐτῷ, τυραννίδι ἐπεχείρησε· τὸ δ' ὅπως οὐκ ἔτυχε τῆς βασιλείας, ἀλλὰ καὶ ἐξεκόπη τὰ ὄμματα, καὶ τοῦ πλούτου ἐστέρητο, ἤδη μοι προϊστόρηται. Βασιλεύσας δὲ ὁ Λέων (87), τὸν μὲν Τραυλὸν Μιχαὴλ πατρίκιον ἐτίμησε, καὶ κόμητα τῆς τῶν ἐξκουβίτων σχολῆς, τὸν δέ γε Θωμᾶν ὃς καὶ αὐτὸς εἷς ἦν τῶν τῷ Βαρδάνῃ τότε τὸν ἵππον παραστησαμένων ἐπὶ τῆς κατοικίας τοῦ μοναχοῦ, τουρμάρχην τοῦ τάγματος τῶν Φοιδεράτων προεχειρίσατο. Τῶν μέντοι Βουλγάρων τὴν Θρᾴκην λῃζομένων, διεπρεσβεύσατο πρὸς τὸν αὐτῶν ἀρχηγὸν ὁ Λέων περὶ σπονδῶν. Ὁ δὲ τῇ νίκῃ τῇ Ἐναγχος ὀγκωθεὶς, τὴν πρεσβείαν τὴν περὶ τῶν σπονδῶν οὐ προσήκατο. Οὐκοῦν ἐξεστράτευσεν ὁ βασιλεὺς κατ' αὐτοῦ, καὶ αὖθις ἡ νίκη τοῖς Βαρβάροις ἐπεμειδία, καὶ εἰς φυγὴν ἀπιδόντων Ῥωμαίων, ἐδίωκον οἱ Βάρβαροι ὄπισθεν, καὶ καταφρονητικῶς διακείμενοι, οὐ κατὰ κόσμον, οὐδ' εὐσυντάκτως ἐδίωκον, ἀλλὰ ἄλλοτέ πη ἄλλοι σκεδαννύμενοι. Τοῦτο κατανοήσας ὁ βασιλεὺς (ἔτυχε γὰρ ἐπὶ μετεώρου τόπου ἑστηκὼς) καὶ τοὺς περὶ αὐτὸν λόγοις παραθήξας παρακλητικοῖς, καὶ παρορμήσας εἰς πόλεμον, ἐπεισέφρησε κατὰ τῶν Βαρβάρων μετὰ γενναίου ψυχῆς παραστήματος, καὶ τῇ ἀθρόᾳ μεταβολῇ, δείματι τοὺς πολεμίους ἐνέβαλε Πανικῷ, καὶ ἀνῄρηντο μὲν πλείους, ἠχμαλώτιστο δὲ καὶ πλῆθος πολύ. Μικροῦ δὲ καὶ αὐτὸς ὁ Κροῦμος ἀνῄρετο ἄν, βληθεὶς, καὶ τοῦ ἵππου ἐκπεπτωκὼς, εἰ μὴ περιστάντες αὐτὸν οἱ περὶ αὐτὸν καὶ συνησπικότες εἰς ἵππον ἀνέβαλον ἕτερον, καὶ οὕτως ὤχετο ἀποδράς. Ἐντεῦθεν ὁ βασιλεὺς τροπαιφόρος κατέλαβε τὰ βασίλεια, καὶ λείαν ἄγων πολλὴν οὐ πολὺ τὸ ἐν μέσῳ καὶ τῆς κατὰ τῶν σεβασμίων εἰκόνων (88) λύττης ἀπήρξατο. Ὅθεν δὲ τῇ μανίᾳ ταύτῃ γέγονε κάτοχος αὐτίκα δὴ διηγήσομαι. Τῷ ἤδη ῥηθέντι μοι μοναχῷ, ὃς περὶ αὐτοῦ ὅτι μέλλει τῆς

A Is eum a conatu illo dehortatus, neque voti compotem futurum esse, et opibus ac luminibus privatum iri respondit, Quibus ille auditis, tristis abiit. Hic vero Leo, et Balbus Michael, et alius quidam Thomas equum ei adduxerunt: quos cum monachus superne prospectans vidisset, duci accersito ait: *Tibi quidem, ut dixi, regnum Deus non largitur. Eorum vero duos, qui tibi equum adduxerunt, Leonem et Michaelem, suis utrumque temporibus imperio potituros scito. Tertius autem conubitur ille quidem, et diadema sibi imponet; sed voto suo frustratus male peribit.* Hæc ille prædixit; sed Bardanes, fide ei non habita, tyrannidem invasit. Quo pacto autem regno exciderit, et oculis sit orba-

B tus, opibus etiam eruptis, ante **129** a me narratum est. Caterum Leo imperio potitus Michaelem Balbum patricium fecit, et scholæ excubitorum comitem: Thomam, qui et ipse ex iis fuerat qui Bardani equum adduxerant juxta monachi ædes, turmarcham legionis Fœderatorum designavit. Bulgaris autem Thraciam vastantibus, Legatos ad ducem eorum de pace misit: quem, cum recenti victoria inflatus, pacis conditiones repudiaret, bello adortus est. Sed Barbari, victoria rursus ad ipsos inclinante, Romanos in fugam versos a tergo contemptim nulloque ordine sunt insecuti, alii alio dispersi. Quo imperator animadverso (nam in editiore loco stabat) suos ad pugnam cohortatur, Barbaros fortiter ag-

C greditur, et subita conversione perterrefactos, maxima ex parte cædit, magnamque turbam capit: nec multum abfuit quin ipse Crumus sagitta ictus equoque delapsus occideretur, ni satellites conglobati scutis protecto, et alteri equo imposito fugam aperuissent. Imperator igitur triumphans, multaque præda parta, regiam ingressus, non multo post insaniam contra sacras imagines est auspicatus. Unde autem in eum furorem inciderit jam exponam. Ei monacho, a quo imperium ipsi prædictum fuerat, gratiam relaturus, per quemdam ex intimis suis dona misit. Is non in ipsum incidit, quippe jam mortuum: sed eum alium invenisset ibi habitantem, ad eum, ut quem non nosset, accessit. Ille vero (erat enim oppugnator imaginum, efusque

D secta vehementissimus propugnator) neque munera accepit, et eo a quo afferebantur dimisso, se a simulacrorum adoratore nihil accipere dixit. Leoni et regni et vitæ jacturam brevi comminatus, nisi adoratione simulacrorum (sic enim veneranda imagines appellabat) abstineret. Hæc nuntiata sollicitum fecerunt Leonem: rem igitur cum quodam ex familiaribus Theodoto Melisseno communicat, qui oppugnatoribus imaginum studebat. Is cum

Variæ lectiones et notæ.

(87) *Καὶ Λέων.* Qui vulgo Armenius cognominatur, et quem Συραρμένιον vocat Pappi Synodicon, cap. 148: Τελευτήσαντος γοῦν ἐν πολέμῳ Βουλγάρων Νικηφόρου, τὴν βασιλείαν ὁ υἱὸς αὐτοῦ Σταυράκιος διεδέξατο, Μιχαὴλ ἐκείνου ἐπ' ἀδελφῇ γαμβρὸς ἐκληρώσατο· καὶ Λέων ὁ Συραρμένιος ἐπαναστὰς ἐκράτησε τὰ βασίλεια, Ἰουδαϊκῆς τε καὶ Μανιχαϊκῆς θρησκείας ὑπάρχων.

(88) *Κατὰ τῶν σεβασμίων εἰκόνων.* Ut in sacras imagines sævierit Leo, pluribus prosequitur Theosterictus in Vita S. Niceiæ Confess. n. 51 et seqq.

dolo aggressus, monet ut negotium cum quodam monacho, quem ejusdem secum opinionis esse norat, communicet, et quod ille suassisset exsequeretur : virum enim eum plenum esse gratia Spiritus, ac res futuras et prævidere et prædicere. Assenso imperatore, monachum convenit, **130** imperatorem habitu privati hominis ad eum venturum esse indicat, et qua gratia sit venturus, quæque cum eo disserenda sint instruit. Imperator noctu ad monachum abit, mutata veste ne agnosceretur, Theodoto comitante. At monachus, ut ab illo spiritu commentum edoctus, Leonem pro imperatore salutat : et, *Ne*, inquit, *majestatem tuam celoris, neque imponere velis nostræ tilitati : sed scito te de religione perperam sentire, et plane simulacrorum cultorem esse et te et omnes eos qui tibi parent. Quod si ex ecclesiis simulacra sustuleris, et vita et imperium tibi diuturnum et fortunatum est futurum. Sin minus, scito te brevi utrumque amissurum, præterea que æterna supplicia subiturum.* His Leo auditis, miratus monachum, ob prædictionem utique, ignarus impostura Theoloti, verbis illius captus est, et contra sacrosancias imagines vehementissime sæviit, et eas omnes edicto tolli jussit : cumque sanctissimum patriarcham Nicephorum quoque in suam sententiam pertracturus esset, ille vero acriter adversaretur, et edictum illud et scriptis et oratione impietatis argueret : virum justum relegat; qui quidem improbos Leonis mores præsensisse fertur, qui orthodoxis offendiculo futurus esset, Ecclesiæque tumultus occasio. Nam cum ejus capiti diadema imponeret, manum suam spinis compungi putavit. Dum autem Præconnesum exsulatum abducitur, Magni Agri abbas Theophanes confessor, transita illius spiritu cognito (neque enim videbat sanctum) cereis incensis et suffitu, eminus eum excipit et prosequitur, atque ille vicissim ex navi eum flexis genibus veneratur; cum neque videret neque videretur. Quod patriarchæ comitibus admirantibus, et cui honorem illum præberet percontantibus, respondit : *Confessori Theophani Magni Agri abbati* : confessionem vaticinatus, necdum enim ea dignatus fuerat.

βασιλείας ἔσεσθαι ἐγκρατής, προηγόρευσε, τῆς προρρήσεως ἀποτινύσ ἀμοιβήν, δῶρα ἐκπέμπει διά τινος τῶν οἰκειοτάτων αὐτῷ. Ὁ δὲ πεμφθεὶς οὐκ ἐκείνῳ ἐνέτυχεν (ἔφθη γὰρ ὁ μοναχὸς ἐκεῖνος τὴν ζωὴν μεταθέμενος), ἕτερον (89) δ' εὑρηκὼς, τῇ ἐκείνου κατοικίᾳ σκηνοῦμενον, ὡς ἐκείνῳ, μὴ γινώσκων τὸν ἄνδρα, τούτῳ προσελήλυθει. Ὁ δὲ (ἦν γὰρ τὰ τῶν εἰκονομάχων πρεσβεύων, καὶ τῆς αἱρέσεως διάπυρος σπουδαστὴς) οὔτε τὰ δῶρα προσήκατο, καὶ τὸν τούτων κομιστὴν ἀπεπέμψατο, ἐξ εἰδώλων προσκυνητοῦ μή τι λαβεῖν ἀνέχεσθαι φάμενος, καὶ τῆς βασιλείας καὶ τῆς ζωῆς διὰ βραχέος ἐπαπειλῶν τῷ Λέοντι στέρησιν, εἰ μὴ τοῦ προσκυνεῖν τοῖς εἰδώλοις ἀπόσχοιτο, τὰς σεπτὰς εἰκόνας οὕτω καλῶν. Ταῦτα παρὰ τοῦ σταλέντος ἀγγελθέντα τῷ Λέοντι, ἔμφροντιν αὐτὸν πεποιήκασι, καὶ κοινοῦται τὰ μηνυθέντα τῶν συνήθων τινὶ τῷ Μελισσηνῷ Θεοδότῳ (89ᵇ), ὃς τοῖς εἰκονομάχοις αἱρεσιώτης ἐτύγχανεν ὤν. Δόλῳ τοίνυν ἐκεῖνος τὸν Λέοντα μέτειαι, καί τινα μοναχὸν ἑαυτῷ γινώσκων ὁμόδοξον, τούτῳ συνεβούλευε κοινώσασθαι τὴν ὑπόθεσιν, καὶ ὃ ἂν ἐκεῖνος ὑπόθοιτο, τοῦτο ποιῆσαι· εἶναι γὰρ τὸν ἄνδρα μεστὸν χαρίτων πνευματικῶν, καὶ προορῶντα τὰ μέλλοντα καὶ προλέγοντα. Ὡς οὖν εἶδε τὸν Λέοντα βασιλέα συνθέμενον τοῖς λόγοις αὐτοῦ, ἅπεισι πρὸς τὸν μοναχὸν ὁ Θεόδοτος, καὶ προλέγει αὐτῷ τὴν ὡς αὐτὸν τοῦ βασιλεύοντος ἐν ἰδιώτου σχήματι ἄφιξιν, καὶ ὅτου χάριν ἐλεύσεται, καὶ μυσταγωγεῖ τοῦτον, ὅσα τῷ βασιλεῖ διαλέξεται. Εἶτα νυκτὸς ἅπεισιν ὁ βασιλεὺς πρὸς τὸν μοναχὸν, μεταμφιασάμενος ἵνα μὴ διαγνωσθείη ὢν βασιλεύς· συμπαρῆν δὲ οἱ καὶ ὁ Θεόδοτος. Ὁ δὲ μοναχὸς ἐκεῖνος, οἷα δὴθεν προμυηθεὶς ἐκ τοῦ Πνεύματος τὸ πλαττόμενον, ὡς βασιλέα προσεῖπε τὸν Λέοντα, καὶ *Μὴ κρύπτε σου*, φησὶ, *τὸ ἀξίωμα, μηδ' ἀπατᾶν θέλε τὴν ἡμῶν οὐθενότητα. Ἴσθι δὲ μὴ περὶ τὸ σέβας ὀρθῶς διακείμενος, ἀλλ' ἀντικρυς εἰδωλολατρῶν καὶ αὐτὸς καὶ ἅπαν σοι τὸ ὑπήκοον. Εἰ μὲν οὖν περιαιρήσεις τὰ εἴδωλα τῶν ἐκκλησιῶν, ἔσται σοι καὶ ἡ ζωὴ καὶ ἡ βασιλεία πολυετής τε καὶ εὐτυχής· εἰ δὲ μὴ τοῦτο, ἀλλ' ἔλπιζε ταχεῖαν τὴν ἔκπτωσιν καὶ ἀμφοῖν, καὶ πρὸς ταύτῃ σε κολάσεις αἰώνιοι διαδέξονται.* Καὶ ὁ μὲν εἶρηκε ταῦτα. Ὁ δὲ Λέων θαυμάσας τὸν μοναχὸν, τῆς δὴθεν προγνώσεως (οὐδὲ γὰρ ἔγνω τοῦ Θεοδότου τὸ τύρευμα) ἥλω τοῖς ἐκείνου λόγοις, καὶ κατὰ τῶν θείων ἐκτυπωμάτων σφοδρότατα ἔπνευσε, δόγματι τούτων πάντοθεν καθαίρεσιν καταψηφισάμενος. Ἤθελε (90) μέντοι καὶ τὸν πατριάρχην ἔχειν ὁμόψηφον. Ὁ δὲ καὶ ἀντέλεγεν ἰσχυρῶς, καὶ ἀσεβὲς ἐξήλεγχε τὸ δόγμα καὶ λόγοις καὶ γράμμασιν. Ὁ θειότατος οὗτος ἦν Νικηφόρος, διὸ καὶ ὑπερορίᾳ κατακρίνει τὸν δίκαιον. Λέγεται δὲ προαισθέσθαι τοῦ Λέοντος τὸ κακότροπον ὁ ἀοίδιμος Νικηφόρος, ὡς ἔσται τοῖς ὀρθοδόξοις σκόλοψ καὶ κυδοιμοῦ ταῖς Ἐκκλησίαις λαβή. Ἐν γὰρ τῷ περιτιθέναι τῇ κεφαλῇ αὐτοῦ τὸ διάδημα, δόξαι ἀκάνθας ἐμπαγῆναι αὐτοῦ τῇ χειρί. Ὁ μὲν οὖν ἀπήγετο πρὸς Προικόννησον ὑπερόριος, ὁ δὲ τοῦ Μεγάλου Ἀγροῦ καθηγούμενος, ὁ ὁμολογητὴς Θεοφάνης (91) τῷ πνεύματι τὴν ἐκείνου δίοδον ἐγνωκὼς (οὐ γὰρ ἑώρα τὸν ἅγιον) κηροὺς ἀνάψας, καὶ θυμιῶν πόρρωθεν, ἐδεξιοῦτο αὐτὸν καὶ προέπεμπε· κἀκεῖνος αὖθις ἐκ τῆς

Variæ lectiones et notæ.

(89) *Ἕτερον*. Is Sabatius vocabatur. Contin. Theoph. lib. I, cap. 14. Symeon logoth. n. 3 et alii.

(89ᵇ) *Θεοδότῳ*. *Ἀπὸ σπαθαρίων*, *Ex spathariis*, apud Theostericum in Vita S. Nicetæ Confess. n. 37.

(90) *Ἤθελε*. Accersito S. Nicephoro, Leo imp. colloquio cum eo habito, hunc in suas partes allicere conatus est : illud pluribus descripsit Ignatius diaconus, in Vita ejusdem Nicephori, cap. 6, 7, 8, 9.

(91) *Θεοφάνης*. Continuator Theoph. l. I, n. 16.

νηὸς προσκυνήμασιν ἠμείβετο τὸν προπέμποντα, μήθ' ὁρῶν, μήτε μέντοι ὁρώμενος. Θαυμαζόντων δ' ἐπὶ τούτῳ τῶν σύμπλων τῷ πατριάρχῃ, καὶ πυθομένων τίνι τὰς προσκυνήσεις ἀφοσιοῖ, ἐκεῖνος ἔφη, *Τῷ ὁμολογητῇ Θεοφάνει τῷ καλλιγητῇ τοῦ Μεγάλου Ἀγροῦ*, προειπὼν τὴν ὁμολογίαν· οὕπω γὰρ ἔφθη τότε ταύτης ἀξιωθείς.

Κ'. Ἐκβληθέντος δ' (92) οὕτω τῆς Ἐκκλησίας Α τοῦ σεπτοῦ Νικηφόρου, ὁ Μελισσηνὸς (93) ἀντεισήχθη Θεόδοτος, ᾧ διώνυμον τὸ ἐπώνυμον· ἐλέγετο γὰρ καὶ Κασσιτηρᾶς· ὅθεν δὲ γνωστὸς τῷ Λέοντι γέγονεν, οὐ χρεὼν καταλιπεῖν ἀνιστόρητον. Τοῦ Μιχαὴλ τοῦ Ῥαγγαβὲ βασιλεύοντος, γύναιόν τι τῶν περὶ τὴν γυναικωνῖτιν τῶν βασιλείων, κάτοχον μανίᾳ γινόμενον κατὰ τὰς σεληνιακὰς περιόδους, ἐβόα πρὸς τὸν αὐτοκράτορα, *Κάτελθε, τῶν ἀλλοτρίων ἐξίστασο*· τοῦτο δ' οὐχ ἅπαξ, ἀλλὰ πλειστάκις ἐγίνετο, καὶ τὸν βασιλέα ἐτάραττε. Συνήθει δὲ ὄντι τῷ Θεοδότῳ τούτῳ κοινοῦται τὰς τοῦ γυναίου βοάς, καὶ ὅς· *Ὅταν ληφθῇ, φησὶν, ἡ γυνὴ τῇ μανίᾳ, καὶ βοᾷ τὰ συνήθη, χρὴ ἐρωτᾶσθαι παράτου, τίνι προσήκουσι τὰ βασίλεια* (94), *καὶ ὅπως ἐκεῖνος καλοῖτο; ἢ οἷός ἐστι τὴν μορφὴν, καὶ εἴ τι ἄλλο ἐκείνῳ πρόσεστι γνώρισμα*· Ἔδοξεν οὖν ἡ συμβουλὴ συνετὴ· καὶ αὐτὸς πιστεύεται τὴν ἐρώτησιν· καὶ ἡ παιδίσκη μανεῖσα πάλιν, ἐβόα κατὰ τὸ σύνηθες, ὁ δὲ ἠρώτα. Κἀκείνη καὶ τοὔνομα τοῦ Λέοντος ἀπεφοίβασε, καὶ τὴν εἰδέαν, καὶ ὅτι· Εἰ ἄρτι κατὰ τὴν Ἀκρόπολιν ἀπελεύσῃ, ἄνδρε σοι διττὼ συναντήσονται, καὶ θατέρῳ τούτων, ὃν ἡμίονος φέρει, προσήκουσι τὰ βασίλεια. Ταῦτ' ἀκούσας ὁ Θεόδοτος οὐδὲν μὲν τῷ βασιλεῖ πεποίηκεν ἔκπυστον, ἀλλὰ μανίας ἔλεγεν εἶναι ῥήματα τὰ τῆς παιδίσκης, μήτι σαφὲς προμηνύοντα. Αὐτὸς δὲ πορευθεὶς κατὰ τὴν Ἀκρόπολιν καὶ τῷ Λέοντι ἐντυχὼν καὶ τὰ γνωρίσματα, ἃ τὸ γύναιον εἰρήκει φωράσας, ἰδίᾳ τὸν ἄνδρα παραλαβὼν καὶ πίστεις δεδωκώς τε καὶ εἰληφὼς, προμηνύει τὴν βασιλείαν αὐτῷ, ὡς ἐξ ἐπιπνοίας θειοτέρας αὐτὴν μυηθείς, καὶ ἥξει μετὰ τὴν ἔκβασιν κείσεσθαί οἱ μισθὸν τῆς προῤῥήσεως. Οὗτος ὁ τρόπος ἐγνώρισε καὶ ᾠκείωσε τῷ Λέοντι τὸν Θεόδοτον, καὶ ἔσχεν εἰς ἀντάμειψιν τῆς προῤῥήσεως μετὰ τὸν ἱερὸν Νικηφόρον τὸν θρόνον (95) τῆς Κωνσταντινουπόλεως. Ὦ κριμάτων ἀῤῥήτων τῆς θείας προνοίας! μετὰ τίνα τίς! Ἄρτι δὲ ἀναξίως τῆς ἱερᾶς καθέδρας ἐπιβὰς ὁ ἀνόσιος, ἐπεὶ συμπνοῦν καὶ τὸν κρατοῦντα ἐκέκτητο, πεπαῤῥησιασμένος τὴν κατὰ τῶν ἁγίων εἰκόνων τόλμαν μετεχειρίζετο. Καὶ ὁ Λέων δὲ ὡς θηρίον τοῖς τὰς σεπτὰς σπηλογραφίας τιμᾷν ἐθέλουσι προσεφέρετο.

XX. Venerando Nicephoro sic ecclesia pulso, in ejus locum introductus est Theodotus Melissenus, cui duplex erat cognomentum : nam et Cassiteras dicebatur, qui unde in Leonis notitiam pervenerit, non est prætermittendum. Michaele Rhangabe imperante, mulierecula quædam ex gynæceo **131** imperatorio, ad lunares circuitus furore percita, ad eum clamitabat, *Descende, alienis cedito* : id non semel, sed sæpissime factum turbavit imperatorem : itaque Theodoto, quo familiariter utebatur, mulierculæ vociferationes exponit. Tum ille : *Ubi*, inquit, *mente alienata fuerit, et de more clamitarit, interrogetur ab aliquo, ad quem regia pertineat, quod ei nomen sit, qua forma, quam aliam notam habeat.* Id consilium prudens visum, interrogandi munus ipsi commissum. Cum igitur pro sua consuetudine insania correpta vociferaretur, rogat eam. Illa et nomen Leonis et formam narrat : atque ait, si jam ex Acropoli egrederetur, obviam ei futuros esse duos viros, quorum alterius qui mulo veheretur esset imperium. His Theodotus auditis, imperatori nihil retulit : sed verba puellæ ab insania proficisci dixit, certi nihil declarantia. Ipse vero ad Acropolim egressus, in Leonem incidit, ac indiciis quæ mulierecula prædixerat agnitis, seducit virum, fideque data et accepta imperium ei præmuntiat, quod divino afflatu cognovisset, petitque prædictionis post eventum remunerationem. Hoc pacto Theodotus innotuit, et familiaris factus est Leoni : et post amotum sanctum Nicephorum, vice remunerationis sedem Constantinopolitanam obtinuit. O judiciorum Dei abyssum incomprehensibilem! quem quis est secutus? Cæterum homo nefarius sacra cathedra modo indigno conscensa, cum imperatorem suffragatorem haberet, audacter in sacras imagines est grassatus. Leo item instar belluæ tractabat eos qui venerandas statuas honorare vellent. Nam et a Theodoto ipso exasperabatur, et ab imperatorii cleri præfecto, quem protopsaltem vocari receptum est. Qui cum sectæ Iconomachorum turbidam perversitatem ad satietatem hausisset, instigabat imperatorem, ut imagines passim tolleret. Et cum

Variæ lectiones et notæ.

(92) *Ἐκβληθέντος δὲ*, etc. S. Nicephori patriarchæ reliquiæ postea Constantinopolim relatæ, quarum quidem ἀναχομιδῆς Synaxin celebrant Græci 13 Martii.

(93) *Ὁ μελισσηνός*. De Theodoti Melisseni, Cassiterae etiam cognominati, patr. Constantinopol. moribus, sic Nicetas Paphlago : Θεόδοτον δέ τινα τῶν ἐν πολιτικοῖς φεναχιζόμενον ἀξιώμασιν, ἄνδρα κοσμικοῖς ἤθεσι τε καὶ πράγμασιν ἐντεθραμμένον, οὐδεμιᾶς δὲ παιδείας, οὐ γνώσεως ἀγαθῆς μετεσχηκότα, μόνον δὲ τῆς χριστιανοκατηγορικῆς τῶν εἰκονομαχούντων αἱρέσεως ζηλωτὴν νομιζόμενον, κληρικὸν ἀποχείρας ὁ παμβέβηλος τῷ τῆς βασιλίδος ἐνιδρύει θρόνῳ. De Melissenorum familia Constantinopoli dehinc perillustri, egimus in *Famil. Constantinopolit.*

(94) *Τὰ βασίλεια*. Clarius continuator Theophanis, lib. I, n. 31. Τί τε εἴη οἰκία τοῦ βασιλεύοντος, καὶ κλῆσιν ἥντινα φέρει, καὶ ὁποῖος ὁ τούτοι χαρακτήρ.

(95) *Θρόνον*. Circa Paschale festum. Contin. Theophan.

aliquando divina Isaiæ verba illa in Ecclesia recitarentur : *Cui assimilastis Dominum? Num imaginem ejus facit faber, aut aurifex similitudinem ejus paravit?* et reliqua [1], accessit, et imperatori in aurem dixit : *Audi prophetam, Domine, eique obtempera.* Ex eo citra verecundiam Leo sectam illam sectabatur, quique impietati ejus non cedebant, **132** et dilacerare et devorare cupiebat : etiam alioquin sævus et implacabili ira contra delinquentes, ob modica delicta pœnas atroces irrogans. Talem igitur se Leo præbuit erga pios et alios quibus offensus erat. In republica vero administranda non segnis erat, sed acer admodum et vigilans, injuriosque coercebat. Oratus igitur a quodam qui uxorem a senatore quodam sibi raptam esse querebatur, et addebat se frustra præfecti opem implorasse : crimine probato, statim præfecto potestatem abrogavit, raptoremque legibus puniendum tradidit. Magistratus tam civiles quam militares, delectu ex optimis habito, conferebat, Romanarumque provinciarum præfecturas neque pecunia venum exponebat, neque ex gratia viris ineptis ad magistratus aut avaris, et jus pecunia vendentibus largiebatur. Quod si etiam nunc fieret, res bene se haberent.

Α Ἠγρίαινε (96) γὰρ τοῦτον αὐτὸς ὁ Θεόδοτος, καὶ ὁ τῶν τῷ βασιλικῷ κοιτῶνι κεκληρωμένων τηνικαῦτα ὢν χορολέκτης ἢ χοράρχης, ὃν πρωτοψάλτην παρέλαβε καλεῖν ἡ συνήθεια. Οὕτως γὰρ τῆς τῶν Εἰκονομάχων αἱρέσεως τὴν θολερὰν ἀνατροπὴν εἰς κόρον πιὼν, ἠρέθιζε τὸν βασιλέα πανταχόθεν τὰς εἰκόνας περιελεῖν. Καί ποτε τῶν τοῦ Ἡσαΐου (97) θείων φωνῶν ἀναγινωσκομένων ἐπ' ἐκκλησίας, αἳ λέγουσι· *Τίνι ὡμοιώσατε τὸν Κύριον; Μὴ εἰκόνα ἐποίησε τέκτων, ἢ χρυσοχόος ὁμοίωμα κατεσκεύασεν αὐτῷ;* καὶ τὰ ἑφεξῆς. Προσελθὼν τῷ βασιλεῖ πρὸς οὓς ἔφη· *Πρόσχες τῷ προφήτῃ, ὦ δέσποτα, καὶ τούτῳ πείθου.* Ἐντεῦθεν ἀπηρθριασμένως ὁ Λέων τῆς αἱρέσεως εἴχετο, καὶ τοὺς μὴ τῇ ἀσεβείᾳ αὐτοῦ ὑποκύπτοντας διασπαράσσειν (98) καὶ λαφύσσαν ἠπείγετο· βαρὺς δὲ καὶ ἄλλως, καὶ ἀπαραίτητος τὴν ὀργὴν τοῖς πταίουσιν ἦν, καὶ ἐπὶ μετρίοις πταίσμασι βαρείας κολάσεις ἀποφαινόμενος. Τοιοῦτος μὲν ἦν ὁ Λέων περὶ τοὺς εὐσεβεῖς, καὶ τοὺς ἄλλους προσκεκρουκότας αὐτῷ. Τέως δ' οὖν (99) περὶ τὴν τῶν κοινῶν διοίκησιν οὐ νωθὴς ἦν, ἀλλὰ καὶ λίαν ἐγρήγορε, καὶ τοὺς ἀδικοῦντας ἀνέστελλε. Δεηθέντος οὖν τινος, ὡς τοῦ γυναίου αὐτοῦ παρά του τῶν τῆς συγκλήτου ἁρπαγέντος, προσθεμένου δὲ καὶ τῷ ἐπάρχῳ προσελθεῖν, μὴ μέντοι τυχεῖν ἐκδικήσεως· ἐπεὶ τὸ ἔγκλημα ἀποδεδεικτο, τὸν μὲν ἔπαρχον ἔπαυσεν εὐθὺς τῆς ἀρχῆς, τὸν δὲ τὴν ἁρπαγὴν πλημμελήσαντα ἐξίδοτο νομίμως κολασθησόμενον. Ἄρχοντας δὲ καὶ στρατιωτικοὺς καὶ πολιτικοὺς ἀριστίνδην προεχειρίζετο, καὶ τὰς τῶν ὑπὸ Ῥωμαίους ἐθνῶν ἡγεμονίας οὔτε χρημάτων ὠνίους προὐτίθει, οὔτε πρὸς χάριν ἐδίδου, μὴ πρὸς ἀρχὰς πεφυκόσιν ἀνδράσιν, ἢ χρημάτων ἥττοσι, καὶ τούτοις προδιδοῦσι τὸ δίκαιον. Εἰ δὲ καὶ νῦν ταῦθ' οὕτως εἶχεν, εἶχον ἂν καλῶς καὶ τὰ πράγματα.

XXI. Michael vero Balbus Amorio ortus, cum ad magnam fortunam pervenisset, ac præter alia vitia linguam etiam intemperantem haberet, delatus est apud imperatorem, quasi clam insidias ei strueret, ac perniciem moliretur. Ea delatio pridie ejus diei facta est, quo festum Nativitatis Christi Ecclesia celebrare consuevit. Statim igitur comprehenditur, imperator ipse quæsitor earum rerum quarum accusatus erat, præsidet. Convincitur ab accusatoribus Michael, crimina et ipse confitetur : condemnatur ut igni cremetur, abducitur ut comburendus : locus supplicio destinatus erat balnei regii caminus : sequitur imperator, sive quod aliis supplicium non credebat, sive quod illius interitu lætabatur. At imperatrix, eo cognito, id facinus prohibebat, maritum partim orans ut damnati supplicium propter festum dif-

ΚΑ'. Μιχαὴλ δὲ ὁ Τραυλὸς ὁ ἐξ Ἀμορίου, ἐπὶ μέγα τύχης ἀρθείς, πρὸς δὲ ταῖς ἄλλαις κακίαις καὶ γλῶτταν ἔχων ἀκόλαστον, διεβλήθη τῷ βασιλεῖ, ὡς κακὰ κατ' αὐτοῦ βουλευόμενος καὶ τεκταινόμενος. Καὶ ἡ διαβολὴ πρὸ τῆς ἡμέρας ἐγένετο, ἐν ᾗ τὴν ἐν σαρκὶ τοῦ Κυρίου γένναν ἑορτάζειν ἡ Ἐκκλησία παρέλαβεν. Αὐτίκα τοίνυν ὁ μὲν συνελήφθη· ὁ δὲ βασιλεὺς τῶν κατ' αὐτοῦ μηνυθέντων ἐξεταστὴς προεκάθισεν. Ἐλέγχεται παρὰ τῶν κατηγορούντων ὁ Μιχαὴλ, συντίθεται καὶ αὐτὸς, κατακρίνεται θάνατον καὶ θάνατον τὸν διὰ πυρός· ἀπήγετο καυθησόμενος, καὶ τόπος τῆς τιμωρίας ἀφώριστο ἡ τοῦ ἐν τοῖς βασιλείοις λουτροῦ κάμινος· εἶπετο καὶ ὁ βασιλεὺς, ἢ μὴ πιστεύων ἑτέρῳ τὴν τιμωρίαν τοῦ Μιχαὴλ, ἢ ἐρηδόμενος τῷ ὀλέθρῳ αὐτοῦ. Ἡ δέ γε βασίλισσα τοῦτο γνοῦσα τὴν πρᾶξιν ἐκώλυσε, πῇ μὲν δεομένη τοῦ ξυνευνέτου ὑπερθέσθαι διὰ τὴν

[1] Isa. XLVI, 5, 6.

Variæ lectiones et notæ.

(96) *Ἠγρίαινε γάρ.* Continuator Theophanis, lib. I, n. 20 : Ἀνερρίπισε δέ πως οἷον καὶ ἐξεφύσησεν εἰς ὕψος αἴρων αὐτὸν — ὁ τοῦ ἱεροῦ συστήματός τε καὶ κλήρου τῶν βασιλικῶν αὐλῶν ἀρχηγός. Unde colligitur apud Zonaram τὸν τῶν τῷ βασιλικῷ κοιτῶνι κεκληρωμένων Χαρολέκτην, etc. non esse *cubiculariis præfectum*, uti verterat Hieron. Wolfius, sed *clerici palatini præfectum*, seu *protopsaltem*, uti restituimus : proinde hoc loco κοιτὼν pro sacello sumitur, uti apud Latinos infectioris ævi *cubiculum*, vel certe pro ipso palatio, nam et κλῆρος τοῦ παλατίου non semel occurrit.

(97) *Τοῦ Ἡσαΐου.* Cap. 40, n. 18. Vide Continuat. Theoph.

(98) *Διασπαράσσειν.* Vide Theodorum Studitam, lib. II, epist. 14, apud Baronium an. 817, n. 35, 38.

(99) *Τέως οὖν.* Leonis virtutes politicas recenset etiam continuat. Theophanis, lib. I, n. 19.

ἑορτὴν τοῦ κατακρίτου τὴν κόλασιν· πῇ δὲ καὶ θρασύτερον προσφερομένη αὐτῷ, καὶ ἄθεον λέγουσα ὅτι μὴ ὑποστέλλεται τὴν τοῦ φρικώδους μυστηρίου ἡμέραν τῆς τοῦ Σωτῆρος Γεννήσεως. Τούτοις τὸ σκληρὸν ἐκείνου μαλάξασα, πέπεισεν ἀνεῖναι τότε τῷ Μιχαὴλ τὴν ἀπώλειαν· ὁ δὲ πρὸς τὴν εὐσέβειαν ἔφησεν· *Ἰδοὺ πέπεισμαί σοι, ἀλλὰ σὺ γνώσῃ καὶ τὰ τέκνα τὰ σά, ἅσα ὑμῖν ἐκ τούτου συμβήσονται.* Ὁ μὲν οὖν Μιχαὴλ οὕτω τὸν ὄλεθρον ὑπεξέφυγε. Θαυμάσαι δ' ἄν τις ὅθεν ὁ Λέων προεῖπεν τὸ γενησόμενον· οὐ γὰρ πάντως αὐτὸ ἐκ θειοτέρας ἐπιπνοίας προέγνωσε· πῶς γὰρ θεομαχῶν ἐκεῖνος, καὶ ἄλλως ἀνὴρ ὢν αἱμάτων, καὶ βίου μὴ παθῶν καθαρεύοντος; Λέγεται οὖν προεγνῶσθαι αὐτῷ παρά του χρησμοδοτηθὲν, ὅτι κατὰ τὴν ἡμέραν τῆς Γεννήσεως τοῦ Χριστοῦ, καὶ τῆς ἀρχῆς ἐκπεσεῖται, καὶ τῆς ζωῆς. Ἀλλὰ καί τι φασὶ τῇ τῶν ἀνακτόρων βιβλίον ἐναποκεῖσθαι, ἐν ᾧ καὶ χρησμοὶ περὶ τῶν βασιλέων ἦσαν, καὶ μορφαὶ ἐνεγράφοντο ἀνθρώπων τε καὶ θηρῶν, καὶ μετὰ τῶν ἄλλων ἐκεῖ καὶ Λέων θὴρ ἐχρωμάτιστο, ᾧ κατὰ νώτου τὸ στοιχεῖον τὸ Χ ἐγκεχάρακτο· ἀνὴρ δ' ἦν ὄπισθεν τοῦ θηρὸς, δόρατι διὰ μέσου τοῦ Χ διελαύνων τὸν Λέοντα. Ἡ μὲν οὖν βίβλος εἶχε ταυτὶ, καὶ ἦσαν, ὡς ἐδόκει, Σιβύλλεια χρησμῳδήματα. Τὸ δὲ τῆς εἰρημένης χρωματουργίας αἰνιγματῶδες δυσερμήνευτον ὄν, ὁ τότε κοιαίστωρ ὡς λέγεται, διεσάφησεν, εἰπὼν κατὰ τὴν ἡμέραν τῆς Γεννήσεως τοῦ Χριστοῦ βασιλέα ἀναιρεθῆναι. Τὸ μὲν γὰρ θηρίον βασιλέα δηλοῦν, τὸ δὲ Χ τὴν εἰρημένην ἡμέραν αἰνίττεσθαι, τὸ δὲ διὰ μέσου τοῦ Χ τῷ Λέοντι τὸ δόρυ ἐμπήγνυσθαι, τὸ κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἑορτῆς τὸν βασιλέα κτανθήσεσθαι. Ταῦτα τὸν βασιλέα ἐτάραττεν, ἀλλὰ μὴν καὶ αὐτὸν καὶ τὸ τῆς μητρὸς ἐξεδεισμάτου ἐνύπνιον. Ἔδοξε γὰρ ἐκείνῃ ἐν τῷ ναῷ τῆς Θεομήτορος εἶναι τῷ ἐν Βλαχέρναις, καὶ ὁρᾶν γυναῖκά τινα προπεμπομένην ἀνδράσι λευχείμοσι, καὶ πλῆρες αἱμάτων τὸ δάπεδον τοῦ ναοῦ, ἀκοῦσαί τε τῆς δορυφορουμένης ἐκείνης, κελευούσης αἵματος ἄγγος τι πλησθῆναι, καὶ δοθῆναι τῇ τοῦ βασιλέως μητρί· τῆς δὲ μὴ προσιεμένης τὸ προσφερόμενον, φάναι τὴν περιφανῆ γυναῖκα ἐκείνην· *Ὁ δὲ σὸς υἱὸς τοὺς ἐμὲ τιμῶντας αἱμάτων ἐμπίπλησι, καὶ τὸν Θεὸν καὶ Υἱόν μου εἰς ὀργὴν κινῶν, οὐ συνίησι.* Ταῦτα ἐν ὀνείροις εἶδεν ἡ μήτηρ τοῦ Λέοντος, καὶ τῷ υἱῷ ἀπήγγειλε τὸ ἐνύπνιον, καὶ ἐδέετο παύσασθαι τοῦ κατὰ τῶν σεπτῶν εἰκόνων τολμήματος. Ἀλλ' ἐξεκώφει ὁ δείλαιος, καὶ θεομαχῶν οὐκ ἐπαύετο. Ὤπτο δὲ καὶ ὁ θεῖος πατριάρχης Ταράσιος καθ' ὕπνους τινὶ, ἤδη τῆς ἐπικήρου ταύτης ζωῆς μεταστὰς, ἐπιβοώμενός τινα Μιχαὴλ, καὶ ἐπελθεῖν τῷ Λέοντι, καὶ κτεῖναι τοῦτον ἐγκελευόμενος. Ἀλλὰ καὶ ἡ τοῦ ἐν τῷ Φιλομιλίῳ μοναχοῦ προαγόρευσις, καὶ ἄλλ' ἄττα ὑπέθραπτε τὸν Λέοντα καὶ ἐδείμαινε. Τέως δ' οὖν κλοιοῖς τοὺς πόδας τοῦ Μιχαὴλ ἐνδησάμενος, τὸν μὲν τῷ Παπίᾳ φρουρηθησόμενον παρεδέδωκεν· αὐτὸς δὲ τὴν κλεῖδα κατεῖχε τοῦ σιδηρέου δεσμοῦ· ἔμφρων τε δὴ τὴν νύκτα διάγων οὐκ εἶχε τὸν ὕπνον τοῖς ὄμμασιν αὐτοῦ ἐφιζάνοντα· ἀφίπτατο

festaret, partim etiam audacius increpans, et impium appellans, qui diem venerandi mysterii Nativitatis Servatoris non vereretur. His verbis ejus asperitate mitigata, persuasus ut Michaelis interitum differret, ad conjugem dixit: *Ecce obtempero tibi: sed tu liberique tui cognoscetis quæ vobis ex eo eventura sint.* At Michael hoc pacto necem effugit. Miretur autem aliquis unde Leo futura prædixerit, quæ utique non ex divino afflatu cognoral, quippe homo infestus Deo et sanguinarius, **133** vitamque degens perturbationibus minime puram? Fertur oraculum a quodam accepisse, fore ut die Nativitatis Christi, et imperium et vitam amitteret. Perhibetur etiam in regia bibliotheca fuisse liber, quo oracula de imperatoribus continerentur, formæque et hominum et ferarum expressæ, atque inter cæteras leo etiam fera illic pictus, littera χ tergo ejus insculpta: pone bestiam vir stabat, qui leonem per medium χ confodiebat. Et hæc liber continebat, quæ Sibyllina oracula putabantur. Ejus picturæ obscurum involucrum quæstor illius temporis explicasse fertur, et dixisse imperatorem die Nativitatis Christi occisum iri: nam feram significare Leonem, litteram χ diem illum innuere, et quia per medium χ hasta in leonem infigeretur, imperatorem eo die occisum iri. Hæc imperatorem turbabant, nec minus matris terrebat insomnium. Videbatur illa sibi in æde Deiparæ Blacherniana esse, et cernere matronam quamdam, quam adolescentes candidis induti vestibus comitarentur, et ædis solum sanguine redundare, audireque matronam illam jubere dari matri imperatoris vas eo sanguine plenum, quæ cum id adversaretur, dicere illustrem illam matronam: *At filius tuus eos qui me venerantur, sanguine implet, neque intelligit, se et Deum et Filium meum ad iram commovere.* Hæc in somnis vidit Leonis mater, filioque exposuit, obtestata, ut in venerandas imagines sævire desisteret. Sed miser homo obsurduerat, Deumque lacessere pergebat. Est et sanctus Tarasius jam ex hac ærumnosa vita translatus, cuidam in somnis visus, qui Michaelem quendam inclamaret, eumque ad invadendum et occidendum Leonem hortaretur. Sed et Philomeliani monachi prædictio et alia quædam Leonem turbabant et terrebant. Interea Michaelem compedibus vinctum Papiæ custodiendum tradidit, clavem seræ ferreæ ipse asservavit, eamque noctem sollicitam et ex sollicitudine insomnem egit. Quare Papiæ conclave ingressus, Michaelem in lecto otiose dormientem videt, Papiam vero humi jacentem: quod vel ut honoraret Michaelem faciebat, vel, ut putabatur, insidiarum contra imperatorem conscius. Ut igitur Michaelem somno profundo et suavi oppressum vidit, nullam sollicitudinem præ se ferentem: recessit iratus, iramque agitatione **134** manus declaravit. Ac cæterorum nemo ejus præsentiam animadverterat præter unum Papiæ vigilem, qui

somno simulato, quid fecisset viderat, et ut iratus ac minitabundus abisset : omnemque rem suo domino nuntiat, ille Michaeli communicat, amboque territi, quo pacto imperatoris indignationem effugerent, deliberant. Ibi Michael Papiæ ait : *Si ipse vellet, se non periculum modo vitaturos, sed etiam consilia sua ad exitum perducturos.* Papias hortatur, ut quod animo concepisset, ageret, se nusquam ei defuturum. Itaque Michael litteras ad conscios scribit, quibus minabatur, nisi celeriter adessent, et quod constituissent, perpetrarent (idque facile esse, quemadmodum ipse instruxisset), se omnes imperatori indicaturum, neque solum in periculo futurum esse. Eas litteras per quemdam Papiæ ministrum misit, eique mandavit, ut illos noctu ad palatium ire juberet clericorum habitu, et occultos pugiones gestare. Illi Michaelis monitis obtemperantes, se ad Regiam conferunt. Sub diluculum imperatori cantores ad matutinas odas canendas adsunt, cum quibus Michaelis conscios Papias una introducit, qui sese in obscuro quodam angulo abdiderunt. Psaltæ cum hymnorum plus media parte cecinissent, etiam imperator ædem ingreditur, qui cum magnam vocem haberet, sed gravissimam et cum asperitate auribus insonantem, se bene cantare ac præclarum esse musicum opinabatur, et hymnos auspicari consueverat. Ac tum stans exclamavit :

Sprevere summi cuncta amore principis.

A γὰρ ταῖς φροντίσιν ἀποσωβούμενος. Διὸ καὶ ἅπτεται πρὸς τὸ τοῦ Παπίου διαιτητήριον, καὶ ὁρᾷ τὸν μὲν Μιχαὴλ ἐπὶ κλίνης καθεύδοντα ὥσπερ ἀμέριμνον, τὸν δὲ Παπίαν ἐπ' ἐδάφους κατακλινόμενον· ἦ γὰρ τιμῶν τὸν Μιχαὴλ ὁ Παπίας τοῦτο πεποίηκεν, ἢ καὶ συνίστωρ ὢν, ὡς ἐδόκει, τῆς κατὰ τοῦ βασιλέως βουλῆς. Ὡς οὖν εἶδε ταῦτα, καὶ τὸν Μιχαὴλ ὕπνου ὑπνώττοντα βαθύν τε καὶ νήδυμον, καὶ οἷος ἀφρόντιδι ἔοικεν, ὑπέστρεφε μηνιῶν, καὶ τὴν ὀργὴν ὑπεδήλου τῇ κινήσει τῇ τῆς χειρός. Τῶν μὲν οὖν ἄλλων οὐδεὶς τὴν παρουσίαν τοῦ βασιλεύοντος ἤσθετο, εἷς δέ τις τῶν τοῦ Παπίου ἀγρυπνῶν ἔγνω τοῦτον ἐλθόντα, καὶ ὑπνώττειν προσποιησάμενος, ἐώρα ὅσα ἐποίησε, καὶ ὡς ὠργίσθη, καὶ ὡς ἠπείλησε, καὶ

B πάντα τῷ ἑαυτοῦ κυρίῳ ἀπήγγειλεν· ὁ δὲ κοινοῦται ταῦτα τῷ Μιχαὴλ, καὶ ἄμφω φόβῳ ληφθέντες ὅπως ἂν ἐκφύγοιεν τὸ μήνιμα τοῦ βασιλέως, ἐφρόντιζον. Καὶ ὁ Μιχαὴλ τῷ Παπίᾳ φησὶν ὡς· *Εἰ βούλει αὐτὸς, οὐ τὸν κίνδυνον ἐκφευξόμεθα μόνον, ἀλλὰ καὶ τὰ μελετώμενα ἡμῖν εἰς ἔργον ἐκβήσεται.* Καὶ ὅς· *Τὸ παριστάμενόν σοι πράττε*, φησὶν, *ἐμὲ δ' ἐξῆς ὅπῃ βούλῃ ἑπόμενον.* Ἐγχαράττει τοίνυν αὐτίκα γραφὴν πρὸς τοὺς αὐτῷ τῶν βουλευμάτων μετέχοντας, ἀπειλῶν ὡς εἰ μὴ τάχος ἐλεύσονται, καὶ τὰ βεβουλευμένα θῶνται ἐπιτελῆ (εἶναι γὰρ τοῦτο ῥᾴδιον, ὡς αὐτὸς ᾠκονόμησε) πάντας ἀνακαλύψει τῷ βασιλεῖ, καὶ οὐκ αὐτὸς μόνος τοῦ κινδύνου μεθίξει. Ταύτας τὰς ἐπιστολὰς τοῖς συνίστορσι διά τινος τῶν Παπίου ἀπέστειλεν, ἐντειλάμενος αὐτῷ

C εἰπεῖν ἐκείνοις νυκτὸς φοιτῆσαι πρὸς τὰ ἀνάκτορα, μεταμφιασαμένους ἐν σχήματι κληρικῶν, καὶ ξιφίδια βαστάζοντας κεκρυμμένα. Οἱ μὲν οὖν κατὰ τὰς ὑποθήκας τοῦ Μιχαὴλ πεποιήκασι, καὶ τοὺς βασιλείους ἐπέστησαν. Ἅρτι δὲ περὶ ὄρθρον τῆς νυκτὸς γενομένης, οἱ βασιλικοὶ ᾖκον ψάλται, τὰς ᾠδὰς ᾄσοντες τὰς ἑωθινάς· τούτοις ὁ Παπίας καὶ τοὺς τοῦ Μιχαὴλ συνίστορας συνεισήγαγε, καὶ οἱ μὲν ἐν γωνίᾳ καί σκότῳ τινὶ συνεκρύπτοντο. Οἱ ψάλται δὲ τοὺς ὕμνους ἦδον· ἤδη δὲ τούτων ὑπερμεσούντων, εἰς τὸν ναὸν καὶ ὁ βασιλεὺς ἐπεδήμησε, καὶ διάτορον ἔχων φθόγγον, βαρύτατον δὲ καὶ σὺν τραχύτητι ταῖς ἀκοαῖς εἰσδυνόμενον, ὅτε εὐφωνεῖν καὶ εἶναι μελῳδικώτατος, καὶ κατάρχεσθαι τῶν ὕμνων εἰώθει. Τότε τοίνυν στὰς ἐξεφώνησε·

Τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ.

Insidiatores vero statim strictis ensibus ex angulo prosilierunt : ille territus in sacrarium accurrit, quem hi consecuti, multis vulneribus confecerunt, amputata manu et capite, cum crudeliter atque impie annos VII et V menses imperasset. Cadaver ejus in Hippodromum pertractum, ibique abjectum est. At Michael compeditus (nam clavis non statim reperiebatur, quam Leo in sinu gestabat) lætis acclamationibus ut imperator adoratus est. Deinde, clave non inventa, compedes ferreæ dissectæ sunt.

Καὶ αὐτίκα τῆς γωνίας οἱ κατ' αὐτοῦ μελετήσαντες καὶ τοῦ σκότους ἐξέθορον, τὰ ξίφη σπασάμενοι· ὁ δὲ φόβῳ ληφθεὶς εἰσέδραμε τὸ θυσιαστήριον, καὶ οἱ αὐτοῦ δὲ ἀναιρέται ἐφείποντο, κἀκεῖ πρὸς αὐτῶν πολλαῖς κατατρωθεὶς ταῖς πληγαῖς, καὶ τὴν χεῖρα

D ἀποτμηθεὶς, τέλος ἀφῄρητο καὶ τὴν κεφαλὴν (1), βασιλεύσας ὠμῶς τε καὶ ἀπηνῶς καὶ ἀσεβῶς ἐπὶ ἔτη ἑπτὰ καὶ μῆνας πέντε. Καὶ ὁ μὲν ἐκείνου νεκρὸς εἰς τὸν Ἱππόδρομον συρόμενος ἔῤῥιπτο (2). Ὁ δὲ Μιχαὴλ ἔτι τοὺς πόδας ὢν σιδηρόδετος (3), ἡ κλεὶς γὰρ οὐχ εὑρητο τῶν δεσμῶν, αὐτίκα τοῦ Λέοντος αὐτὸν ἐγκόλπιον φέροντος, εὐφημήθη καὶ προσεκυνήθη ὡς βασιλεύς. Εἶτα τῆς κλειδὸς μὴ εὑρισκομένης, τὰ σίδηρα διεσκόπασαν.

Variæ lectiones et notæ.

(1) *Τέλος ἀφῄρητο καὶ τὴν κεφαλήν.* Ut Leo ἐν μέσοις τοῖς ἀδύτοις τοῦ ναοῦ τῆς Θεομήτορος, ὃν δὴ Φάρον ἐν τῷ παλατίῳ φασὶ, κυνὸς τρόπον, gladiis concisus fuerit, narrat etiam Nicetas Paphlago in Vita Ignatii patr. Constantinopol. p. 1183. Cæsus porro hora noctis 10 die Natalis Christi. Continuat. Theoph.

(2) *Καὶ ὁ μὲν ἐκείνου νεκρὸς εἰς τὸν Ἱππόδρομον συρόμενος ἔῤῥιπτο.* Scribit idem Nicetas in insula Prote sine ullo apparatu contemptim sepeliri præcepisse.

(3) *Τοὺς πόδας σιδηροφόρος.* Theosterictus, n. 46 : Ἦν δὲ τούτῳ δέσμιος ὁ Μιχαὴλ δυσὶν ἁλύσεσιν κατεχόμενος, καὶ εὐθέως λύσαντες αὐτὸν οἱ τὸν θῆρα χειρωσάμενοι, ἀνηγόρευσαν Βασιλέα.

ΚΒ'. Ἑωθεν οὖν ὁ Μιχαὴλ εἰς τὴν Μεγάλην ἐκ- A κλησίαν ἀφίκετο, ταινιωθησόμενος διαδήματι, δημοσίᾳ τε ἀναῤῥηθησόμενος, τὴν μιαιφονίαν (4) μὴ λογιζόμενος, καὶ τῆς ἀναῤῥήσεως ἔτυχε. Τὴν δὲ τοῦ Λέοντος γαμετὴν καὶ τοὺς παῖδας (τέσσαρες δ' ἦσαν, Σαββάτιος ὃς ἐν τῷ ἀναγορεύεσθαι μετωνόμαστο Κωνσταντῖνος, Βασίλειός τε καὶ Γρηγόριος, καὶ τέταρτος Θεοδόσιος) τῶν βασιλείων καταγαγών, τὴν μὲν ἐν τῇ μονῇ καθεῖρξε τῶν δεσποτῶν, τοὺς δὲ εἰς τὴν Πρώτην καλουμένην νῆσον περιορίσας, ἅπαντας τῆς ἀῤῥενωπίας ἐστέρησε. Καὶ ὁ μὲν Θεοδόσιος ἔθανεν, ὁ δὲ Κωνσταντῖνος ἀφωνίᾳ κάτοχος γέγονε· δι' ἣν ἐδέετο θερμότατα τοῦ Θεοῦ, ἀλλὰ μὴν καὶ τοῦ μεγάλου Πατρὸς Γρηγορίου τοῦ Θεολόγου, ἐνδελεχῶς τῷ αὐτοῦ προσφυγὼν ἐκτυπώματι, περιαιρεθῆναι τὴν ἀφωνίαν αὐτοῦ· τῇ γὰρ B ἐκπτώσει τῆς βασιλείας καὶ τῆς πατρικῆς κακοδοξίας οἱ παῖδες τοῦ Λέοντος συνεξέπεσον. Ἔδοξεν οὖν ποτε ὁ ἅγιος ἐν ὕπνοις ἐπιστῆναι αὐτῷ, κελεύων ἀναστῆναι καὶ ἀναγνῶναι τὸ *Πάλιν Ἰησοῦς ὁ ἐμός*. Ὁ δὲ πεπιστευκὼς τῷ ὁράματι εἰσῆλθεν ἐπ' ἐκκλησίας, καὶ ἀνέγνω, μή τινος αὐτοῦ παρεμποδίζοντος τῇ φωνῇ. Εἰ δὲ καὶ περιγράπτοις ὁρίοις τὴν σύζυγον, ὡς εἴρηται, καὶ τοὺς παῖδας τοῦ Λέοντος περιέγραψεν, ἀλλ' οὐκ ἀχορηγήτους κατέλιπε. Τινὰς δὲ τῶν κτήσεων αὐτῶν αὐτοῖς προσεχλήρωσεν, ἵν' ἐκ τούτων τὰ πρὸς χρείαν πορίζοιντο· καί τινας δὲ πρὸς ὑπηρεσίαν αὐτοῖς προσαπένειμεν. Ὥρμητο μέντοι ὁ Μιχαὴλ οὗτος ἐξ Ἀμορίου, πόλεως τῆς ἄνω Φρυγίας, ἐν ᾗ Ἰουδαῖοί τε καὶ Ἀθίγγανοι (5) καὶ ἀσεβῶν ἑτέρων πληθὺς ἐγκατῴκιστο, καί τις ἐκ τούτων ἦν ἐκεῖσε σύμμικτος αἱρέσις, ἧς συμμετέχειν καὶ οὗτος ὁ Μιχαὴλ λέγεται. Καὶ ἡ αἵρεσις τὸ μὲν θεῖον βάπτισμα δέχεται, τὴν δὲ Μωσαϊκὴν διαταγὴν διδάσκει τηρεῖν, ἐκτὸς τοῦ περιτέμνεσθαι τὴν ἀκροβυστίαν. Εἶχε δὲ καὶ Ἰουδαῖόν τινα κατ' οἶκον παιδοτριβοῦντα αὐτόν. Ὅθεν οὐκ ἦν τι παρ' αὐτῷ εὑρεῖν ἀκραιφνὲς, ἀλλ' ἦν, ὡς εἰπεῖν ὁ ἄνθρωπος πανσπερμία αἱρέσεως. Διὸ καὶ τῷ λόγῳ ἀπήχθετο, ὡς εἰς ἀνατροπὴν ὄντι τῆς κακοδοξίας αὐτοῦ. Ἀπορίᾳ δὲ συζῶν ἐκ νεότητος, ἐστρατεύετο. Ποτὲ τοίνυν τῷ ταγματάρχῃ προσελθὼν περί του ἐδέετο. Τῷ δὲ ἔτυχέ τις Ἀθίγγανος παρεστὼς, καὶ φησι πρὸς τὸν στρατηγὸν, ἐν ἀποῤῥήτοις τὸν λόγον ποιούμενος, ὡς *Βασιλεύσει Ῥωμαίων οὗτος, ὃς σοῦ δέεται νῦν*. Καὶ ὃς αὐτίκα τῷ μαντεύματι C θέμενος, οἰκειοῦται τῷ Μιχαὴλ, καὶ κηδεστὴν ποιεῖται ἐπὶ τῇ θυγατρί. Ἄρτι δὲ τῇ αὐταρχίᾳ ἐπιπηδήσαντος τοῦ Μιχαὴλ, ὡς ἱστόρηται, ὁ ἱερώτατος Νικηφόρος ὁ πατριάρχης ὑπερόριος ὢν ἐπιστέλλει αὐτῷ, ἀξιῶν τὴν τῶν σεπτῶν εἰκόνων γενήσεσθαι ἀναστήλωσιν. Ὁ δὲ μήτε τι καινοτομήσειν ἔφη περὶ τὴν πίστιν, μηδὲ τὴν τῆς Ἐκκλησίας ἀλλοιώσαι D

XXII. Mane Michael in Magnam ecclesiam A venit, ut diademate ornaretur, et publice proclamaretur, sacramque ædem, non habita nefariæ cædis ratione, ingressus est, et voti compos factus, Leonis uxorem, **135** quatuor filios, Sabbatium, cui cum imperator inaugurareturnomen Constantini fuerat inditum, Basilium, Gregorium et Theodosium, regia eduxit, ac mulierem in monasterio Despotarum inclusit, adolescentes in insulam Protam relegavit omnes, virilibus exsectis. Ex his Theodosius obiit, Constantinus vocem amisit. Qua de causa Deum ferventissimis precibus oravit, sed et magni Patris Gregorii Theologi imaginem continenter accessit, ut sibi loquendi facultas restitueretur: nam una cum imperio B etiam paterna impietate liberi Leonis exciderunt. Aliquando igitur sanctus in somnis ei astare visus est, et jubere ut surgeret, ac illud: *Iterum Jesus meus*, legeret. Eo viso fretus ecclesiam ingressus est, ac citra impedimentum ullum vocis legit. Etsi autem Michael Leonis uxorem et liberos intra certos limites circumscripserat, ut dictum est, non tamen egere passus est, quibusdam ex eorum possessionibus, unde necessaria suppeterent, et servis ad ministerium attributis. Oriundus fuit Michael Amorio, superioris Phrygiæ urbe, in qua Judæi, Athingani, et aliorum impiorum turba habitabant, unde confusa quædam secta exsistebat, cujus et ipse particeps fuisse creditur. Ea tametsi C sacrosanctum baptisma admittebat, Mosaica tamen instituta, præter præputii resectionem observabat. Aluit domi Judæum quemdam a quo erudiebatur. Unde nihil sinceri apud eum reperiebatur, sed erat, ut ita dicam, scatina quædam sectarum: eaque de causa disputationes oderat, ut quæ ejus perversæ opinioni evertendæ essent. In adolescentia cum ob inopiam militaret, aliquando tribunum adiit, aliquid ab eo petiturus. Ei tribuno quidam Athinganus astans, clam dixit: *Is qui tibi nunc supplex est, aliquando Romanis imperabit*. Eo augurio ille motus, statim cum Michaele familiaritatem contrahit, eique filiam despondet. Cum autem recens imperium occupasset, ut dictum est, sanctus Nicephorus patriarcha exsulans, per litteras ab D eo petiit ut venerabiles imagines reponerentur. Cui ille respondit, se neque in religione quidquam novaturum neque Ecclesiæ statum mutaturum, neque coacturum esse quemquam, ut aliter quam vellet, de Deo sentiret. Sed hæc verba fuere. Neque enim multo post, animo suo declarato, orthodoxos **136** oppugnavit, ac præter multos alios crudeliter tractatos, etiam in sanctum Methodium grassatus, Euthymium Sardium archiepiscopum ob san-

Variæ lectiones et notæ.

(4) *Μιαιφονίαν*. Quia scilicet antea purificari debuerat. Describitur in Euchologio Gouri, p. 621: Εὐχὴ λεγομένη ἐν τῇ εἰσόδῳ πρὸ τῆς συνήθους. Ἐπὶ ἀνοίξει ναοῦ ἐν ᾧ συνέβη θανεῖν ἄνθρωπον βιαίως.

(5) *Ἀθίγγανοι*. Michaelem secta Sabbatianum fuisse scribit Nicetas Paphlago.

clarum imaginum cultum in exsilium misit. Deinde Methodium in Acrita conclusit, inclytum vero Euthymium a filio suo Theophilo crudeliter flagris cæsum, in martyrum numerum retulit. Copronymum in omnibus imitans et Judæis addictus, Sabbata jejunari jubebat. Resurrectionem mortuorum non credebat, eoque futura bona sugillabat, et prophetas irridebat, dæmones esse pernegabat, scortationem peccatum non judicabat, Judæ salutem ominabatur. Pascha alieno celebrari tempore affirmabat. Hæc pauca e multis improbitatis ac potius dementiæ illius indicia conscribenda censui. Nunc oratio ad res gestas et bella multa illorum temporum progrediatur. Thomas unus trium eorum de quibus Philomelianus ille monachus Bardanæ vaticinatus fuerat, ut supra dictum est, quorum duo imperio potituri essent, tertius (is vero Thomas erat) invasurus ille quidem tyrannidem, et diadema sibi impositurus, regni vero non compos futurus, seditionem excitavit. Is igitur, ut ante scriptum est, a Leone Fœderatorum legioni præpositus, ut principem de se bene meritum a Michaele cæsum cognovit, per speciem necis illius vindicandæ, cum revera imperium cogitaret, Michaelem est aggressus, coactisque non contemnendis copiis, universas fere orientales provincias occupavit, et publica eorum vectigalia sibi afferenda curavit. Unde auctis opibus etiam Agarenos invasit, qui tum omnes provincias et ipsas insulas ob intestinum bellum audacius populabantur, eorumque impetum repressit, et castris prope positis, habitoque colloquio, pepigit, si imperio potiretur, se Romanis finibus eis cessurum esse. His peractis, caput diademate regio ornat, et ab Jobo Antiocheno patriarcha imperator appellatur. Inde cum magno exercitu profectus (nec enim Agarenos duntaxat, sed et plures alias gentes ad belli societatem asciverat) tyrannidem majore animo invadit. Fuit hic Thomas non ex gente patricia, sed admodum obscura eaque Barbara, tantaque inopia conflictata, ut mercede serviret. Sed a fortuna evectus, ut dictum est, regnoque affectato Constantini nomen assumpsit, et filium adoptivum, **137** imperii consortem, ut putabat, allegit. Cum exercitu Michaelis contra se misso congressus, aliis occisis aliis fugatis, tyrannidem stabilivit, et classe comparata, imo etiam classe imperatoria potitus, Abido in Thraciam trajecit, Orientalibus pene omnibus subactis, præter Opsicianam provinciam, cui Cataquila, et Armeniacam, cui Olbianus præerat, qui tyranni adoptivum filium insidiis exceptum, statim sustulit.

A κατάστασιν, ἀλλὰ μηδὲ βιάσασθαί τινα περὶ τοῦ θείου δοξάζειν παρ' ὃ βούλεται. Ἐν λόγοις δ' ἔμεινε ταῦτα. Οὐ μετὰ πολὺ γὰρ τὴν γνώμην τὴν οἰκείαν δὲ ἔφην, καὶ κατὰ τῶν ὀρθοδόξων ἐχώρησε, καὶ πολλούς τε ἄλλους δεινοῖς περιέβαλε, πρὸς τοῖς ἄλλοις δὲ καὶ τὸν θεῖον Μεθόδιον, καὶ τὸν τῆς Σάρδεων ἀρχιστρατεύσαντα Εὐθύμιον ἐξορίᾳ παρέπεμψε, διὰ τὴν τῶν ἁγίων εἰκόνων τιμήν. Εἶτα τὸν μὲν Μεθόδιον καθείργνυσι κατὰ τὸν Ἀκρίταν· τὸν δοίδιμον Εὐθύμιον δὲ μαρτυρικῷ τελειοῖ θανάτῳ, ἀφειδῶς μαστιζόμενον διὰ τοῦ υἱοῦ αὐτοῦ Θεοφίλου. Ἐζήλου δ' ἐν ἅπασι τὸν Κοπρώνυμον, καὶ τοῖς Ἰουδαίοις προσέκειτο, τά τε Σάββατα νηστεύειν προσέταξε. Τῇ ἀναστάσει τε ἀπίστων, διεστώθαζε τὰ μέλλοντα ἀγαθά, καὶ τοὺς προφήτας διέσυρε, καὶ δαίμονας οὐκ εἶναι διεβεβαιοῦτο· πορνείαν τε οὐχ ἁμάρτημα ἡγεῖτο, καὶ τὸν ἐπὶ πᾶσι Θεὸν ὑμνεῖν διεκελεύστο. Τῷ δὲ Ἰούδᾳ σωτηρίαν ἐπεφήμιζε, καὶ τὸ Πάσχα οὐ κατὰ καιρὸν ἑορτάζεσθαι ἐδογμάτιζε. Ταῦτα μὲν οὖν ἐκ πολλῶν ὀλίγα τῆς ἐκείνου κακίας ἢ καὶ ἀνοίας γνωρίσματα ξυγγεγράφται. Ὁ δὲ λόγος τὰ τότε ξυμβεβηκότα διδύτω τῇ ἱστορίᾳ· τὰ δ' ἦσαν ἐμφύλιοι πόλεμοι. Ὁ δὲ τούτων κατάρξας Θωμᾶς (6) ἦν, εἷς τῶν τριῶν τυγχάνων ἀνδρῶν, περὶ ὧν ὁ ἐν τῷ Φιλομηλίῳ μοναχὸς τῷ Βαρδάνῃ προέφησεν, ὡς ἄνω που εἴρηται, τοὺς μὲν δύο ἐπιβήσεσθαι τῆς βασιλείου ἀρχῆς, τὸν δέ γε τρίτον, ὃς (οὗτος ἦν ὁ Θωμᾶς) ἐπιχειρῆσαι μὲν τυραννίδι, καὶ ἑαυτῷ περιθέσθαι διάδημα, μὴ μέντοι καὶ τῆς βασιλείας τυχεῖν. Οὗτος τοίνυν, ὡς ἤδη μοι εἴρηται, ἄρχων καταστὰς, τοῦ τάγματος τῶν Φοιδεράτων παρὰ τοῦ Λέοντος, ὡς ἔγνω τὸν εὐεργέτην ἀναιρεθέντα παρὰ τοῦ Μιχαήλ, τῷ μὲν δοκεῖν τιμωρῶν ἐκείνῳ, τῷ δ' ὄντι τὴν βασιλείαν καραδοκῶν, ἀνταίρει τῷ Μιχαὴλ, καὶ συναλίσας δύναμιν οὐκ εὐκαταφρόνητον, ἅπασαν σχεδὸν τὴν ἑῴαν μοῖραν ἐσφετερίσατο, καὶ τοὺς δημοσίους φόρους αὐτῷ κομίζεσθαι παρεσκεύασε. Καὶ πολὺς ἐντεῦθεν γενόμενος ἐπῆλθε καὶ τοῖς Ἀγαρηνοῖς, ἀδεέστερον τότε πᾶσαν λῃζομένοις χώραν, καὶ τὰς νήσους αὐτὰς διὰ τὸν ἐμφύλιον πόλεμον. Καὶ ἐπελθὼν ἀνέκοψεν αὐτοὺς τῆς φορᾶς, καὶ ἀνακόψας παρεστρατοπεδεύσατο, καὶ ἐς λόγους ἦλθεν αὐτοῖς, καὶ ἥκων εἰς λόγους, ἐσπείσατο ἐπὶ συνθήκαις τοῦ Ῥωμαϊκῶν ὁρίων παραχωρῆσαι αὐτοῖς, εἰ τῆς βασιλείας ἐγκρατὴς γένοιτο. Οὕτω δὲ ταῦτα διοικησάμενος, καὶ τὴν κεφαλὴν ἀνεδήσατο ταινίᾳ βασιλικῇ, καὶ αὐτοκράτωρ ἀνερρήθη κατὰ τὴν Ἀντιόχειαν, παρὰ τοῦ τότε τὸν θρόνον αὐτῆς τὸν πατριαρχικὸν ἔχοντος. Ἰὼβ δ' ἐκεῖνος ἐκέκλητο. Κακεῖθεν ὁρμηθεὶς σὺν μεγάλῳ στρατεύματι (ἔτυχε γὰρ συμμάχων οὐκ Ἀγαρηνῶν μόνων, ἀλλὰ καὶ ἐξ ἑτέρων ἐθνῶν πλειόνων) τῇ τυραννίδι κραταιότερον ἐπεχείρησεν. Ἦν δὲ ὁ Θωμᾶς οὗτος οὐ τῶν εὐπατριδῶν, ἀλλὰ καὶ τῶν λίαν ἀσήμων, καὶ τούτων Βαρβάρων, καὶ ἀπορίᾳ σύντροφος τῇ ἐσχάτῃ, ὥστε καὶ δουλεύειν μισθοῦ. Ἀναχθεὶς δ' ὑπὸ τῆς τύχης, ὡς εἴρηται, καὶ τυραννίδι ἐπιχειρήσας, τήν τε κλῆ-

Variæ lectiones et notæ.

(6) *Θωμᾶς*. Anonymus in Vita S. Nicolai Studitæ Τοῦ λαοπλάνου Θωμᾶ κατὰ τῆς οἰκουμένης λυττήσαντος. Thomæ rebellionis historiam præ cæteris narrat ipse Michael imp. in Epistola ad Ludovicum, apud Baronium an. 824, n. 19 et seqq.

σιν μετέδετο, Κωνσταντῖνον (7) ἑαυτὸν ὀνομάσας, καὶ κοινωνὸν τῆς βασιλείας, ὡς ὤετο, προσελάβετο υἱόν, εἰσποιητὸν οἰκειωσάμενός τινα. Τοῦ δὲ Μιχαὴλ στρατιὰν κατ' αὐτοῦ ἐσταλκότος, συμβαλὼν ἐκεῖνος αὐτῇ, τοὺς μὲν ἀνεῖλε, τοὺς δὲ φυγάδας ἀπέφηνεν. Κἀντεῦθεν κραταιότερον τῆς τυραννίδος ἐπείληπτο, καὶ στόλον ἐξαρτυσάμενος, ἀλλὰ μὴν καὶ τὸ βασιλικὸν ναυτικὸν ὑφ' ἑαυτὸν ποιησάμενος, ἐξ Ἀδριανουπόλεως πρὸς τὴν Θράκην ἐπεραιώθη, καὶ τὰ τῆς Ἑῴας ἅπαντα σχεδὸν ὑπηγάγετο, ἄνευ μέντοι τῶν θέματος τοῦ Ὀψικίου, οὗ ὁ Κατάκυλας ἐστρατήγει, καὶ τοῦ τῶν Ἀρμενιακῶν· ὁ Ὀλβιανὸς δὲ τὴν στρατηγίδα τούτου εἶχεν ἀρχήν, ὃς δὴ λοχήσας καὶ τὸν τῷ τυράννῳ εἰσποιηθέντα υἱὸν καταιχὼν, ἀνεῖλεν εὐθύς.

ΚΓ'. Γενόμενος δ' ἐν τῇ Θράκῃ, ὡς εἴρηται, ὁ Θωμᾶς, προστιθεμένους αὐτῷ τοὺς ξύμπαντας ἔσχηκεν. Λῦθις οὖν τοῦ βασιλέως κατά τε γῆν αὐτῷ συμμίξαντος καὶ κατὰ θάλασσαν, καὶ ἄμφω τὰς στρατιὰς ὁ τύραννος ἐτρέψατό τε καὶ διεσκέδασεν, υἱοθετήσατο δ' ἕτερον, τοῦ πρώτου κτανθέντος, ὡς εἴρηται, Ἀναστάσιον μὲν καλούμενον, μοναχὸν δ' ὄντα καὶ τὸ μὲν σχῆμα τὸ θεῖον ἀποδυσάμενον, στολὴν δὲ κοσμικὴν μεταμφιασάμενον. Ἐς τοῦτο δ' ἦκεν ἀπορίας ὁ Μιχαὴλ, ὡς σιδηρᾶν ἐκτεῖναι σειρὰν ἐξ Ἀκροπόλεως εἰς τὸ κατ' ἀντιπέραν πολίχνιον, ἵν' ἄβατα τοῖς τοῦ τυράννου φυλάττοιτο τὰ ἐντός. Ἀλλ' ὁ Θωμᾶς ὁμοῦ τῇ πόλει προσέβαλε κατὰ γῆν τε καὶ θάλασσαν, τὴν σιδηρᾶν ἐκείνην ῥᾷστα διαρρήξας σειρὰν, καὶ ὤετο εἰ μόνον φανείη, τοὺς ἐν τῇ πόλει διὰ τὴν πρὸς τὸν κρατοῦντα ἀπέχθειαν, εὐχερῆ τὴν εἴσοδον αὐτῷ παρασχεῖν. Ἐπεὶ δ' ἐρρωμένους εὗρηκε τοὺς ἐντὸς πρὸς τὴν τῆς πόλεως φυλακὴν, καὶ τῶν ἐλπίδων ἐψεύσθη, τότε μὲν ἀνεχώρησε, καὶ βάλλεται χάρακα κατὰ τὸ τῶν θείων Ἀναργύρων ἱερώτατον τέμενος· ὁ τόπος δὲ τοῦ Παυλίνου ὠνόμαστο. Ἡμερῶν δέ τινων διαγενομένων, καὶ κατὰ χέρσον αὖθις καὶ κατὰ θάλασσαν ἐπήγαγε τῇ πόλει τὸν πόλεμον, ἑλεπόλεις τε καὶ κλίμακας ἐπαγόμενος. Ὡς δ' ἑώρα τὰ τῆς ὀπουδῆς αὐτῷ πανταχόθεν ἀνήνυτα, τότε μὲν τὴν ψυχρὰν ἐκτρεπόμενος Θράκην (χειμὼν γὰρ ἦν) τὴν στρατιὰν αὐτοῦ ταῖς χώραις διένειμεν, ἐν ταύταις σχολάζουσαν, καὶ τὴν τοῦ χειμῶνος ἐκφευξομένην δριμύτητα. Ἅρτι δὲ τοῦ ἔαρος ἐφεστῶτος, καὶ πάλιν προσῆγε καὶ ἀμφοτέρωθεν τῇ πόλει τὴν στρατιὰν, καὶ περιεκύκλου τὰ τείχη τῷ τε πεζῷ στρατεύματι καὶ τῷ ναυτικῷ. Ἤδη δὲ καὶ τῷ Μιχαὴλ ἡτοίμαστο καὶ στόλος καὶ στράτευμα. Λόγοις οὖν παρακλητικοῖς τοὺς οἰκείους παραθαῤῥύνας ὁ βασιλεὺς, ἀθρόον ἐκ πλειόνων πυλῶν ἐξάγει τούτους, καὶ συῤῥήγνυται τῷ τοῦ τυράννου λαῷ. Οἱ δὲ τῷ αἰφνιδίῳ καὶ τῷ θράσει τῶν ἐπιόντων ἀποδεδειλιακότες, τὰ νῶτα μετέβαλον, καὶ ἔπεσον πολλοὶ, καὶ ἡ νίκη τῶν ἐκ τῆς πόλεως ἦν. Τὰ μὲν οὖν κατὰ χέρσον οὕτω συνηνέχθη τῷ ἀποστάτῃ· οὐ μὴν ἀλλ' οὐδὲ τὰ κατὰ θάλασσαν κάλλιον ἔσχεν αὐτῷ. Τὰς γὰρ βασιλικὰς τριήρεις τὸ τοῦ τυράννου ναυτικὸν θεασάμενον ἐπιούσας αὐτῷ, οὐχ ὑπήνεγκεν, ἀλλ' εὐθὺς, τὴν συμπλοκὴν μὴ θαῤῥήσαν, εἱρεσίᾳ συχνῇ πρὸς τὴν χέρσον κατήγοντο, καὶ οἱ μὲν ἀπεδίδρασκον, οἱ δὲ

XXIII. Cum Thomas, ut dictum est, in Thraciam venisset, omnes ad eum se contulerunt. Itaque imperatorem denuo terra marique vicit, profligatis exercitibus, et in defuncti filii locum alium adoptavit, nomine Anastasium, qui, sacro monachi habitu abjecto, civilem sumpserat, eoque redegit Michaelem, ut ferrea catena ex Acropoli in oppidulum e regione situm extenta tyrannum prohibere conaretur, ne intro penetraret. Sed Thomas terra marique simul, impetu in urbem facto, catenaque facillime rupta, putabat, si a civibus tantum conspiceretur, fore sibi ob imperatoris odium aperta omnia. Cum autem viros fortes se præberent qui urbem tuebantur, spe dejectus, tum quidem recessit, ac vallum muniit circa sacram sanctorum Anargyrorum ædem, qui locus Paulini vocatur. Diebus aliquot elapsis, urbem denuo terra marique oppugnat, machinis et scalis adhibitis. Ut vero se omnem operam et impensam ludere vidit, tunc, frigida Thracia relicta (nam hiems erat), exercitus in provincias distribuit, ut ibi otio recreati hiemis sævitiam evitarent. Sub veris initium, legiones denuo utrinque contra urbem adduxit, eamque et pedestribus et navalibus copiis circumdedit. Sed et Michael interea et classem et milites comparat, suosque cohortatus, pluribus portis ex improviso impetum in tyranni copias fecit. Illi vero et inexspectata aggressione, et audacia hostium territi, terga dederunt, multisque cæsis victoria penes urbanos fuit. Ac terra sic actum est cum desertore, marique nihilo melius. Nam tyranni naves, cum imperatoriam classem contra se ire vidissent, non restiterunt, sed congressu evitato, assidua remigatione ad Continentem appulerunt : ibi alii diffugerunt, alii ad Michaelem defecerunt. Verum desertor tyrannidem **138** adhuc urgebat, neque vallo soluto, et classe quam in Græcia paratam habebat accersita. Quæ cum venisset, et juxta Byridas naves subductæ essent, Michaelis classiarii ea re cognita, noctu eas aggrediuntur, et quasdam hostilium navium ceperunt, et quasdam igni Græco incenderunt, ut perpaucæ admodum superessent. Terra autem crebra prælia fiebant, Theophilo imperatoris filio duce, sed æquo fere Marte pugnabatur, victoria ad neutram partem inclinante. Interea vero aliquid accidit, quo res

Variæ lectiones et notæ.

(7) *Κωνσταντῖνον*. Addit Georgius Hamartolus in Chron. ms. filium Irenes Augustæ præterea se dixisse : Διογενὴς τε καὶ ἀφανὴς ὢν, πρὸς τὰ μέρη τῆς Συρίας ἀφίκετο, Κωνσταντῖνον αὐτὸν μετονομάσας, καὶ υἱὸν Εἰρήνης τῆς βασιλίσσης. Vide Continuat. Theophan. l. I, n. 1.

illius Thomæ labefactatæ sunt. Nam rumore defectionis Thomæ, et urbis obsidionis passim sparso, Mortagon Bulgarorum princeps, qui annorum triginta inducias cum Leone fecerat, Romanis amicus, ultro suppetias imperatori venit, castris ad Cedoctum locatis. Ea res desertorem turbavit. Nam cum e re sua esse non putaret, ut simul et urbem oppugnaret, et cum Bulgaris dimicaret, quod, divisis copiis, neutris par futurus esset, contra Bulgaros cum omni exercitu est profectus, pugnaque commissa victus, multos suorum amisit partim cæsos, partim captos. Qui vero et barbaricum ensem et captivitatem effugerant, exspectatione rerum futurarum suspensi, quieverunt. Bulgari, captivis et magna præda adducta, elati victoria recesserunt. Ea clade desertoris cognita, classis ejus reliquiæ ad Michaelem defecerunt. Eo rerum statu tyrannus, etsi vires ejus undique minuebantur, tamen ab obsidione non recedebat : sed cum ne tum quidem quidquam proficeret, omissa urbe longius abscedit, et locum opportunum nactus, vallum communit, atque inde suburbana diripit, eorumque amœnitatem vastat. Sed Michaele eum aggresso, commissaque pugna, Thomæi de industria in fugam versi, partim ad imperatorem se contulerunt, partim ad sua redierunt. Tyrannus cum paucissimis Adrianopolim abit, quem Michael evestigio insecutus, urbem non machinis, sed annonæ penuria oppugnat. Cives urgente fame, petita delictorum ab imperatore venia et impetrata, Thomam vinctum ei tradunt. Is ei et manus et pedes amputat, et asino impositum ignominioso triumpho circumducit. Postea de conscîis quærit, quorum ille multos nominasset, nisi **139** Hexabulius patricius imperatoris impetum hoc dicto repressisset, inimicis amicos deferentibus non habendam esse fidem. Thomas vero alias aliis tormentis excruciatus, miserrime exspiravit. Adoptivus item ejus filius, cum in Bizyam oppidum confugisset, a castelli habitatoribus vinctus, ad imperatorem est adductus, et eodem quo fictitius pater supplicio affectus, violenter et ipse periit. Thomæ seditione ad hunc modum compressa, maritimæ Thraciæ civitates nihilominus, etiam illo sublato, motum eum urgebant, ac præ cæteris Panium et Perinthus (sic enim Heraclea olim appellata est (idque imperatoris odio factum. Cæterum, Panium mœnibus terræ motu collapsis, captum est, Heraclea mari expugnata. Michael his rebus bene gestis, triumphans in urbem rediit, et ludis Circensibus Michaelis adjutores asinis insidentes in theatrum introductos, sola relegatione contentus, gravioribus suppliciis non affecit, duo-

τῷ Μιχαὴλ αὐτομολοῦντες προσῆεσαν. Ὁ δὲ ἀποστάτης ἔτι τῆς τυραννίδος ἀντείχετο, καὶ οὔτε τὸν χάρακα ἔλυσε, καὶ τὸ ἐν Ἑλλάδι ἑτοιμασθὲν αὐτῷ ναυτικὸν μετεπέμψατο, καὶ τόδε παρῆν κατὰ Βυρίδας νεωλκυσάμενον. Ὅ γνόντες οἱ τοῦ στόλου τοῦ Μιχαὴλ, νυκτὸς αὐτοῖς ἐπιτίθενται, καί τινας μὲν ἡρήκασι τῶν πολεμίων νεῶν, ἑτέρας δὲ τῷ ὑγρῷ πυρὶ παραδεδώκασιν, ὡς ὀλίγας περιλειφθῆναι. Κατὰ γῆν δὲ συχναὶ μὲν ἐγίνοντο προσβολαὶ, Θεοφίλου τοῦ υἱοῦ τοῦ βασιλέως τοῦ λαοῦ προεξάρχοντος· ἀγχώμαλα δὲ τοῖς ἐναντίοις ἦσαν τὰ πράγματα, καὶ οὐδενὶ μέρει καθαρῶς ἡ νίκη ἐπεμειδίασεν. Ἐν τοσούτῳ δέ τι συμβάν, τῷ Θωμᾷ τὰ πράγματα ἔσφηλε· τῆς γὰρ φήμης πανταχοῦ τὴν τοῦ Θωμᾶ κηρυξάσης ἀποστασίαν καὶ τὴν πολιορκίαν τῆς πόλεως, Μορτάγων ὁ τῶν Βουλγάρων κατάρχων σπονδὰς ἐπὶ τοῦ Λέοντος τριακοντούτεις θέμενος καὶ φιλίως τότε Ῥωμαίοις ἔχων αὐτεπάγγελτος ἦκε συμμαχήσων τῷ βασιλεῖ, καὶ στρατοπεδεύεται κατὰ τὰ Κηδόκτου. Τοῦτο τὸν ἀποστάτην ἐθρόησε. Κρίνας δὲ ἀσύμφορον ἑαυτῷ, ἅμα τε καὶ πολιορκεῖν, καὶ τοῖς Βουλγάροις ἀντιστρατεύσασθαι (μερισθείσης γὰρ αὐτῷ τῆς δυνάμεως, οὐκ ἀξιόμαχον ἑαυτὸν οὐδετέρῳ τυγχάνειν ᾤετο), κατὰ τῶν Βουλγάρων ἐχώρησε παντὶ τῷ στρατεύματι, καὶ συμβαλὼν ἡττᾶται, καὶ πολλοὺς μὲν ἀποβάλλει τῶν ἑαυτοῦ, τοὺς μὲν φθαρέντας, τοὺς δὲ καὶ ἁλόντας. Ὅσοι δέ γε τόν τε βαρβαρικὸν ἀκινάκην ἐξέφυγον, καὶ τὴν αἰχμαλωσίαν διέφυγον, τὸ μέλλον καραδοκοῦντες ἡσύχαζον. Οἱ Βουλγάροι τε τοὺς αἰχμαλώτους καὶ λείαν πολλὴν ἐπαγόμενοι, ἀνεζεύγνυον τῇ νίκῃ γαυρούμενοι. Ταύτην τὴν ἧτταν τοῦ ἀποστάτου ὅσον ἐκ τοῦ στόλου αὐτοῦ περιελείπτο ἐγνωκὸς, πρὸς τὸν Μιχαὴλ ηὐτομόλησεν. Ἐν τοιούτοις δὲ ὁ τύραννος γεγονὼς, καὶ πάντη ἐξασθενήσας, ὅμως ἔτι τοῦ πολιορκεῖν οὐκ ἐπαύσατο. Ἀλλὰ καὶ αὖθις μηδὲν ἀνύων, ἀπανίσταται μὲν τῆς προεδρίας τῆς πόλεως, ἄπεισι δὲ πορρωτέρω, καί τινα τόπον εὑρὼν ἐπιτήδειον, ἐν τούτῳ βάλλεται χάρακα, κἀκεῖθεν ὁρμώμενος ἐλῃΐζετο τῆς πόλεως τὰ προάστεια, καὶ τὰς τούτων ἐκεράϊζε χάριτας. Ἐπῆλθε τοίνυν τούτῳ ὁ Μιχαὴλ, καὶ μάχης συγκροτηθείσης, οἱ τοῦ Θωμᾶ ἑκόντες ἐτράπησαν εἰς φυγήν, καὶ οἱ μὲν τῷ Μιχαὴλ προσερρύοντο, οἱ δ' ἐπὶ τὰ ἑαυτῶν ἀπῆεσαν ἕκαστοι. Ὁ δέ γε τύραννος μετὰ βραχίστων εἰς Ἀδριανούπολιν ἄπεισι, καὶ ὁ Μιχαὴλ αὐτῷ κατ' ἴχνος ἀκολουθεῖ, καὶ πολιορκεῖ τὴν πόλιν, οὐχ ἑλεπόλεσιν, ἀλλὰ σπάνει τῶν ἀναγκαίων. Καὶ οἱ τῆς πόλεως τῷ λιμῷ πιεζόμενοι, ἀμνηστίαν τῶν ἐπταισμένων ἐκ τοῦ βασιλέως ἠτήσαντο, καὶ ταύτης τυχόντες, δεσμοῦσι τὸν Θωμᾶν, καὶ παραδιδόασι τῷ Μιχαήλ. Ὁ δὲ ἀφαιρεῖται αὐτοῦ χεῖρας καὶ πόδας (8), καὶ ὄνῳ ἐπιβιβάσας θριαμβεύει τὸν ἄτιμον θρίαμβον. Εἶτα περὶ συνιστόρων πυνθάνεται, καὶ πολλοὺς ἂν

Variæ lectiones et notæ.

(8) *Ὁ δὲ ἀφαιρεῖται αὐτοῦ χεῖρας καὶ πόδας.* Michael ipse in Epist. ad Ludovicum imp.: *Et ipsum quidem Thomam, amputatis manibus et pedibus, patibulo suspendi jussimus. Duo vero qui dicebantur ei filii esse adoptivi, alter eorum in Asia a fidelibus nostris interemptus est : et alterum eadem, morte qua pseudopatrem ejus, condemnari jussimus.*

ἐκεῖνος ἐξέφηνεν, εἰ μὴ ὁ Ἐξαβούλιος ὁ πατρίκιος τὴν ὁρμὴν τοῦ βασιλέως ἀνέκοψε, φάμενος μὴ χρῆναι πιστεύειν κατὰ τῶν φίλων ἐχθροῖς. Ὁ δέ γε Θωμᾶς ἄλλοτε ἄλλαις τιμωρίαις ὑποβαλλόμενος, βιαιότατα κατέλυσε τὴν ζωήν. Καὶ ὁ τούτου δὲ εἰσποιητὸς υἱὸς εἰς τὸ τῆς Βιζύης πολίχνιον προσφυγὼν, παρὰ τῶν οἰκούντων τὸ φρούριον δεθεὶς προσήχθη τῷ βασιλεῖ, καὶ ὁμοίως τῷ πεπλασμένῳ πατρὶ κολασθεὶς, βιαίως καὶ αὐτὸς ἀπέρρηξε τὴν ψυχήν. Ἡ μὲν οὖν τοῦ Θωμᾶ ἐπανάστασις τοῦτον τὸν τρόπον κατηύναστο. Αἱ δὲ Θρᾳκικαὶ πόλεις αἱ παράλιοι, κἀκείνου παρελθόντος, ἔτι τῆς στάσεως εἶχοντο, καὶ μᾶλλον τῶν ἄλλων τὸ Πάνιον καὶ ἡ Πέρινθος (οὕτω γὰρ πάλαι ὠνόμαστο ἡ Ἡράκλεια) ἐστασίαζον δ' ἔτι μίσει τῷ πρὸς τὸν αὐτοκράτορα. Ἀλλὰ τὸ μὲν Πάνιον σεισμῷ τοῦ τείχους αὐτοῦ πεσόντος, ἐάλω, ἡ δὲ Ἡράκλεια διὰ τῆς θαλάσσης γέγονεν ἁλωτή. Ταῦτα τοίνυν κατορθώσας ὁ Μιχαὴλ, ἐπάνεισι τροπαιοφορῶν, καὶ ἱππικοῦ τελουμένου ἀγῶνος, τοὺς τῷ Θωμᾷ τὴν τυραννίδα συμπράξαντας ὄνοις ἐφεζομένους εἰσαγαγὼν εἰς τὸ θέατρον, ὑπερορίαν αὐτῶν κατεδίκασε, μή τι πλέον κολάσας αὐτούς, εἰ μή τινας δύο τὸν Χοιρέαν καὶ τὸν Ζαγορήνον, μὴ πειθομένους μηδὲ μετὰ τὴν κατάλυσιν τοῦ Θωμᾶ παραδοῦναι τὰ φρούρια, ἃ κατεῖχον, ἑλών, καὶ ἀνασχολοπίσας ἀπέκτεινε.

A bus exceptis Chœrea et Zagoreno, qui cum castella quibus præerant, ne post Thomæ interitum quidem tradere vellent, iis expugnatis, in crucem acti sunt.

ΚΔ'. Τῇ γοῦν ἀποστασίᾳ τῇ τοῦ Θωμᾶ καὶ τοῖς ἐμφυλίοις πολέμοις τῶν Ῥωμαϊκῶν ἀσχολουμένων δυνάμεων, ἄδειαν εὑρηκότες πᾶσαν οἱ πρὸς ἑσπέραν Ἀγαρηνοὶ, οἳ τὸν τῆς Ἰβηρίας οἰκοῦσι κόλπον, καὶ λέγονται Ἴσπανοι, τῷ σφετέρῳ προσίασιν ἀρχηγῷ, ὃν αὐτοὶ καλοῦσιν ἀμερμουμνῆν, καὶ ᾐτοῦντο ἀποικίαν στείλασθαι, διὰ πλῆθος στενοχωρούμενοι. Κἀκεῖνος κατένευσε, καὶ τούτους παραλαβὼν σὺν τριήρεσιν ἀπέπλευσε, τὰς ὑπὸ Ῥωμαίους νήσους περιελθών τε καὶ ληῒζόμενος. Ὡς δ' ἦκε καὶ εἰς τὴν Κρήτην (9), καὶ τὸ ταύτης ἔγνωκε πάμφορον, τοὺς μὲν πλείστους εἰς λείαν ἐκπέπομφεν, αὐτὸς δὲ μετ' ὀλίγων εἰς φυλακὴν δῆθεν παραλειφθεὶς τῶν νηῶν, πῦρ ἐνέβαλε κατ' αὐτῶν, καὶ πάσας ἐνέπρησε. Τεθορυβημένων δὲ τῶν Ἀγαρηνῶν διὰ τοῦτο, καὶ τὴν αἰτίαν ζητούντων, ὁ Ἄχαψ (οὕτω γὰρ ὁ σφῶν ὠνόμαστο ἀρχηγὸς), Ἀποικίαν ᾐτεῖσθε, φησὶν, ἰδοὺ τοίνυν χώρα ῥέουσα μέλι καὶ γάλα, καὶ ταύτην κατασχόντες οἰκήσατε. Ἐκείνων δὲ εἰπόντων, Καὶ τὰ φίλτατα (10), ποῦ; ὁ Ἄχαψ (11), Ἐνταῦθα γυναῖκές εἰσιν, ἀνθυπήνεγκεν, ἐξ ὧν γενήσονται καὶ παῖδες ὑμῖν οὐ μετὰ μακρόν. Τούτοις πεισθέντες οἱ ἐκ τῆς Ἄγαρ τήν τε νῆσον ὑφ' ἑαυτοὺς ἐποιήσαντο, καὶ τοὺς ἀντιγενεῖς ἐδουλώσαντο. Ὅ τε καὶ Κύριλλος ὁ Γορτύνης ἐπίσκοπος, ἀθλήσας ὑπὲρ Χριστοῦ, μαρτυρίου κεκόμιστο στέφανον. Θανούσης δὲ τῆς συζύγου τῷ βασιλεῖ, ἐκεῖνος ὑπεκρίνετο μὲν εἰς τὸ προφανὲς δευτέροις ὁμιλῆσαι γάμοις μὴ βούλεσθαι, κρύβδην δὲ πρὸς τοὺς ἐξόχους τῆς γερουσίας διαπεμπόμενος, ἀξιοῦσθαι παρ' αὐτῶν παρεσκεύαζεν ἑτέραν τοῦ βίου κοινωνὸν εἰσοικίσασθαι. Καὶ ἡ σκῆψις ὡς εὐπρεπής· δεινὸν γὰρ ἔφασαν εἶναι ἡμᾶς μὲν βασιλεύεσθαι παρὰ σοῦ, τὰς δ' ἡμῶν συνοίκους βασιλίδος στερίσκεσθαι. Ὁ δὲ πρότερον μὲν ἀκιζόμενος, τὴν ἀξίωσιν οὐ προσίεται. Ἀπαρούντων δ' ἐκείνων, πίστεις ἐξ αὐτῶν ἀπῄτει εἰ βούλοιντο ἀγαγέσθαι αὐτὸν βασιλίδα, ὡς καὶ μετὰ θάνατον αὐτοῦ βασιλίδα ταύτην ἕξουσι, καὶ

XXIV. Dum Romanæ copiæ, Thomæ defectione bellisque civilibus occupantur, Agareni occidentales, sinus Iberici incolæ, qui Hispani vocantur, arrepta occasione, a suo duce, quem Amermumnem vocant, locorum coacti angustiis, petierunt, ut coloniam deduceret. Annuit ille, et cum eis triremibus impositis solvit, insulasque Romanas obiens populatur. Ut autem in Cretam quoque venit, ejus fertilitate cognita, maximam partem prædatum mittit, ipse cum paucis ad navium custodiam relictus, igne injecto omnes cremat. Ob quod factum Agarenis tumultuantibus, et causam ejus requirentibus, Achaps (id enim duci eorum nomen erat) : *Coloniam*, inquit, *petiistis : En regionem lacte et melle manantem. Hanc occupate et incolite.* Cum vero illi dicerent : *Nostra vero charissima ubi sunt?* respondit : *Mulieres sunt e quibus paulo post liberos suscipietis.* His Agareni persuasi, insula subacta, indigenas in servitutem redegerunt. Quo tempore Cyrillus Gortynius episcopus pro Christi defensione martyrii coronam accepit. Interea imperator, uxore mortua, se a secundis **140** nuptiis abhorrere palam præ se ferens, clam ad senatus principes missitando perfecit, ut ipsi peterent, ut alteram duceret uxorem. Ea simulatio honesta specie non carebat. Neque enim convenire, ut ipsi ab imperatore regerentur, uxores vero suæ imperatricem non haberent. Michael eam petitionem principio tergiversando repulit, sed illis instantibus fidem sibi dari petiit, si vellent ut imperatricem duceret, ut eam se quoque mortuo imperatricem agnoscerent, et liberos ea natos ut imperatores honorarent. Quæ cum senatus scripto promisisset, et ipse de ficta illa pertinacia decessit, uxore ducta Euphrosyna, quæ filia Constantini imperatoris, quem mater Irene (ut diximus) excæcavit, esse dicebatur, et multo ante tonsa inter monachas religioni in insula Principis deditas, a primo capillo vitam agebat. Patriarcha Theodoto

Variæ lectiones et notæ.

(9) *Εἰς τὴν Κρήτην*. Hanc Sarracenorum in Cretam insulam expeditionem attigit præterea auctor Vitæ S. Nicolai Studitæ, p. 891.

(10) *Καὶ τὰ φίλτατα ποῦ*. Symeon Logoth. Καὶ ποῦ τὰ τέκνα καὶ τὰς γυναῖκας ἡμῶν εὑρήσομεν; *Affectus* vocant Latini. Vide *Gloss. med. Lat.*

(11) Ἄχαψ. Ἀπόχατ, Symeoni Logoth. n. 4 : Ἀπόχαφ, Contin. Theoph. l. II, n. 21.

mortuo, qui sex annos Ecclesiæ impie præfuerat, Antonius cognomento Cassimatas in ejus locum est suffectus, perversa et ipse religione præditus. Imperator missa contra Agarenos in Cretam classe, victus est, quique cladi superfuerant, ipsi nuntium eum attulerunt. Post, aliam ingentem classem contra eosdem mittit, duce Cratero, qui principio rem contra Agarenos bene gessit, multis eorum captis et interfectis. Deinde et ipse et ejus milites victoria freti, quasi adversariis jam enervatis, neque unquam ausuris ipsos aggredi, se voluptati et poculis dediderunt, eaque nocte sine excubiis comessati otiose dormierunt. Quo hostes intellecto, noctu eos cum maximo clamore adorti, omnes ita cecidérunt, ut vix nuntius cladis superesset. Nam et ipse classis præfectus Craterus, cum in nave mercatoria fugisset, captus atque in crucem actus est. Post hæc, alia classis Ooryphæ cuidam est commissa, qui insulas obiens, piraticarum navium impetum, iis spoliandis, repressit, et Cretensium quoque priorem ferociam compescuit. In Sicilia quoque alia mota est seditio. Nam quidam populi princeps Euphemius monacham quamdam, cujus insano amore flagrabat, rapuit. Cui cum a prætore ad supplicium quæreretur, ad Africæ Amyram confugit, eique pollicitus est se Siciliam proditurum, et magna tributa pensurum, si Romanorum imperator appellaretur. **141** Ille hominem voti compotem facit, magnis copiis datis : quibus Euphemius acceptis Siciliam ei prodit. Sic illa in potestatem Agarenorum venit. Tyrannus autem non multo post sui sceleris et desperationis dat pœnas, crudelissime interfectus. Michael porro imperator, cum octo annos et novem menses imperasset, phrenitide et retentione urinæ, sive intestinorum dolore (nam utrumque fertur) obiit, imperio filio Theophilo relicto. Sub illo etiam Dalmatia Romani imperii jugum excussit, idque vetusto hoc oracula prædictum ferunt :

Babylone quando Balbus imperaverit,
Siraco subactus auri amore perdito,
Tellus malorum sentiet primordia.

τὰ ἐκ ταύτης αὐτῷ φυησόμενα, ὡς βασιλέας τιμήσουσι. Ταῦτα δὲ τῶν τῆς συγκλήτου ἐγγράφως αὐτῷ ἐπαγγειλαμένων, κἀκεῖνος ἐνέδωκε δῆθεν τῆς πεπλασμένης ἐνστάσεως, καὶ εἰσοικίζεται γυναῖκά τινα θυγατέρα λεγομένην γενέσθαι τοῦ βασιλεύσαντος Κωνσταντίνου, ὃν ἡ μητὴρ Εἰρήνη, ὡς ἤδη ἔμπροσθεν εἴρηται, ἐξετύφλωσεν. Ἦν δ' ἡ γυνὴ κεκαρμένη πρὸ πλείονος, καὶ ἐν τῇ νήσῳ τῇ Πρίγκιπος ταῖς ἀσκουμέναις ἐκεῖ μοναχαῖς ἐκ πρώτης τριχὸς (12) συγκατείλεκτο, καὶ ἡ κλῆσις αὐτῇ Εὐφροσύνη. Τοῦ πατριάρχου δὲ Θεοδότου Ὀανόντος, ὃς ἓξ ἔτη ἀσεβῶς τῆς Ἐκκλησίας ἐκράτησεν, Ἀντώνιος προεχειρίσθη, ᾧ Κασσιματᾶς (13) τὸ ἐπώνυμον, καὶ οὗτος δὲ τὴν περὶ τὴν πίστιν δόξαν διέστραπτο. Ὁ μέν τοι βασιλεὺς στόλον ἐκπέμπει κατὰ τῶν τὴν Κρήτην κατασχόντων Ἀγαρηνῶν. Ἥττητο δὲ, καὶ οἱ περιλειφθέντες ἐπανῆλθον τῆς ἥττης αὐτάγγελοι· Εἶτ' αὖθις ἕτερον πολὺ ναυτικὸν ἑτοιμασάμενος ἔστειλε, τούτῳ στρατηγὸν ἐπιστήσας τὸν Κρατερόν, ὃς συμβαλὼν τοῖς ἐν Κρήτῃ Ἀγαρηνοῖς, πρότερον μὲν εὐτύχησε, πολλοὺς ἐκείνων καὶ ζωγρήσας καὶ ἀνελών. Εἶτα τῇ νίκῃ τεθαρρηκὼς κἀκεῖνος, καὶ ὁ ὑπ' ἐκεῖνον λαός, ὡς ἤδη τῶν ἐναντίων ἐκνενευρισμένων, καὶ μὴ ἂν ποτε προσβαλεῖν αὐτοῖς τολμησάντων ἀνέσει ἑαυτοὺς καὶ πότοις ἐξέδωκαν, καὶ ἀφυλάκτως ἐκώμαζον ὑπνωττόν τε κατὰ τὴν νύκτα ἐκείνην σὺν βαστώνῃ πολλῇ. Ἅπερ κατανοήσαντες οἱ πολέμιοι, νυκτὸς αὐτοῖς ἐπῆλθον μετὰ μεγίστου ἀλαλαγμοῦ, καὶ πάντας διέφθειραν, ὡς μικροῦ μὴ δ' ἄγγελον περιλειφθῆναι τῆς συμφορᾶς. Καὶ αὐτὸς γὰρ ὁ τοῦ στόλου ἐξάρχων ὁ Κρατερὸς ἐν πλοίῳ ἐμπορικῷ φυγὰς ἀπιὼν κατελήφθη καὶ ἀνεσκολοπίσθη. Ἕτερος δέ τις αὖθις Ὠορυφᾶς (14) καλούμενος ναυτικὸν πιστευθεὶς ἕτερον, ἐπῆει τὰς νήσους, καὶ ταῖς πειρατικαῖς ναυσὶ τῶν Ἀγαρηνῶν συνεπλέκετο, κἂν τὴν τούτων ῥώμην τὴν πρὸς πρωνομὰς ἀνέκοπτε, καὶ τοὺς ἐν τῇ Κρήτῃ τοῦ προτέρου θράσους ἀνέστειλε. Καὶ κατὰ Σικελίαν δὲ στάσις ἑτέρα κεκίνητο. Ἀνὴρ γάρ τις Εὐφήμιος λαοῦ κατάρχων τινὸς, ἔρωτι περιμανεῖ μοναζούσης ἑλήφθη τινὸς, καὶ ταύτην ἅρπαγμα τίθεται. Ἐζήτει τοίνυν τοῦτον ὁ στρατηγὸς, διὰ τὸ ἁμάρτημα κολασθησόμενον. Ὁ δὲ διὰ τοῦτο τῷ τῆς Ἀφρικῆς ἀμυρᾷ (15) προσφυγὼν προσεπήλυθε, καὶ οἱ προδοῦναι τὴν Σικελίαν ὑπισχνεῖτο, καὶ φόρους αὐτῷ παρέχειν πολλοὺς, εἰ βασιλεὺς ἀναρρηθείη Ῥωμαίων. Καὶ ὁ μὲν τὴν ἔφεσιν ἐκείνου πληροῖ, καὶ δύναμιν αὐτῷ δίδωσι βαρεῖαν. Ὁ δ' Εὐφήμιος αὐτῷ τὴν Σικελίαν προδίδωσι. Καὶ ἡ μὲν ὑπὸ τοὺς Ἀγαρηνοὺς (16) τὸν τρόπον τοῦτον ἐγένετο. Ὁ δ' Εὐφήμιος οὐ μετὰ μακρὸν δίκην ἐκτίνει τῆς οἰκείας παρανομίας καὶ ὁπονοίας καὶ στερίσκεται τῆς ζωῆς, ἀνᾳρεθεὶς βιαιότατα. Ὁ βασιλεὺς δὲ Μιχαὴλ ἐπὶ ἔτη ὀκτὼ καὶ μῆνας ἐν ἑα

Variæ lectiones et notæ.

(12) *Ἐκ πρώτης τριχός.* Vita ms. S. Joannicii: Εὐθὺς γὰρ ἐκ πρώτης τριχὸς αἰσθητοῖς βρώμασι παιδοτροφούμενός τε καὶ ἀναγόμενος, etc. Georgius Gelesiota in orat. funebri in Theodorum Xanthopulum : Καί τινων ἠσθόμην ἐμοὶ χαλεπαινόντων, εἰ ἐκ πρώτης, ὡς λέγεται, τριχὸς τῷ οἰχομένῳ πρασσήκων, etc.

(13) *Ἀντώνιος ὁ Κασσιματᾶς.* Qui et Βυρσοβέφης cognominatus, tum Pergæ metropolita, ut scribit Nicetas Paphlago.

(14) *Ὠορυφᾶς.* Ita Continuator Theophanis. Ὀρυφᾶς Symeoni logothetæ.

(15) *Ἀμυρᾶ.* ms. Σατράπῃ.

(16) *Καὶ ἡ μὲν ὑπὸ τοὺς Ἀγαρηνούς.* Herkempertus : *Circa hæc tempora gens Agarenorum a Babylonia et Africa, ad instar examinis apum, manu cum valida egrediens ad Siciliam properavit, omniaque circumquaque devastans, tandem civitatem, Panormum nomine, captam nunc usque inhabitat, plerimasque in ea insula urbes et oppida tirucns, jam pene totum suæ ditioni subjecit.*

ἀπολαύσας τῆς βασιλείας, φρενίτιδι νόσῳ καὶ ἐπισχέσει τῶν οὔρων, ἢ δυσεντερίᾳ (λέγεται γὰρ καὶ ἀμφω) κατέστρεψε τὴν ζωὴν, τῷ υἱῷ Θεοφίλῳ τὴν βασιλείαν καταλιπών. Ἐπ' ἐκείνου δὲ καὶ Δαλματία τῆς τῶν Ῥωμαίων ἀρχῆς ἀφηνίασε. Λέγεται δὲ καὶ ἀρχαῖον εἶναι χρησμὸν (17) οὕτως περιέχοντα·

Ἀρχὴ κακῶν γε προσπεσεῖται τῇ χθονὶ,
Ὅταν κατάρξῃ τῆς Βαβυλῶνος δράκων
Δύσγλωττος οὗτος, καὶ φιλόχρυσος λίαν.

Καὶ ἦν ὡς ἀληθῶς ἐκεῖνος λίαν φιλοχρυσότατος.

ΚΕ'. Αὐταρχήσας δὲ ὁ Θεόφιλος πρῶτον ἐποιήσατο ἔργον, τὴν κόλασιν τῶν τῷ πατρὶ αὐτοῦ συναραμένων εἰς τὸ τῆς βασιλείας τυχεῖν, καὶ ἀνελόντων τὸν Λέοντα. Καὶ ἵνα μή τις αὐτῶν διαλάθοι, ἀθροίσας τὴν γερουσίαν ἅπασαν περὶ τὰ βασίλεια, ἐντολὴν ἔφη πληροῦν πατρικήν. Ἐκεῖνον γὰρ βούλεσθαι μὲν ἀξίως ἀμείψασθαι τοὺς συνεργοὺς καὶ συμπράκτορας τῆς βασιλείας αὐτῷ, μὴ μέντοι καιρὸν ἐσχηκέναι ἐπιτελῆ ποιῆσαι τὸ βούλευμα· πρότερον μὲν πολέμοις ἀπασχολούμενον, εἶτα νοσήσαντα καὶ τὸν βίον ἐκλελοιπότα. Ἐντεῖλασθαι δέ οἱ, τὴν ὀφειλὴν αὐτοῖς ἀποδοῦναι φιλότιμον. Καὶ προετρέπετο τοῖς τῷ πατρὶ ἐπὶ τῇ καθαιρέσει τοῦ Λέοντος συμπονήσασι, τῶν ἄλλων διακριθῆναι. Οἱ δὲ μὴ συνιέντες τὸ σκαιωρούμενον, ἰδίᾳ στάντες, *Ἡμεῖς ἐσμεν*, εἶπον, *οἱ τῷ πατρὶ τῷ σῷ συμμαχήσαντες*. Καὶ ὃς αὐτίκα τὸ τῆς ὑποκρίσεως περιελὼν προσωπεῖον, καὶ, *Ἵνα τί τῷ χριστῷ Κυρίου φονίους ἐπηνέγκατε χεῖρας*, ἔφη, *καὶ οὐ μόνον ἀνθρωποκτόνοι γεγόνατε, ἀλλὰ καὶ βασιλέως αὐτόχειρες*; Αὐτίκα τοίνυν ἐπιστραφεὶς πρὸς τὸν ἔπαρχον, *Τούτους*, εἶπε, *παραλαβὼν, ἀπόδος αὐτοῖς ἀξίας ἀμοιβὰς τοῦ τολμήματος*. Καὶ οἱ μὲν παρὰ τοῦ ἐπάρχου κολασθέντες, ἀνδροφόνων ἔδοσαν δίκας. Ὁ Θεόφιλος δὲ καὶ τὴν μητρυιὰν ἀπελάσας τῶν βασιλείων, εἰς τὴν προτέραν αὐτῆς μονὴν ἐν τῇ τοῦ Πρίγκιπος νήσῳ ἀπήγαγε, μηδὲν ἀπονάμενην τῶν ὅρκων, οὓς ὁ Μιχαὴλ περὶ αὐτῆς ἐκ τῆς συγκλήτου ἀπήτησε. Γυναῖκα δ' ἑαυτῷ εἰσοικίσασθαι βουληθεὶς ὁ Θεόφιλος, πολλὰς πολλαχόθεν ὡραίας κόρας συνήγαγεν, ἐν αἷς ἦν καὶ ἡ Εἰκασία, παρθένος, καὶ τὸ εἶδος καλὴ, καὶ τῶν λοιπῶν ὑπερφέρουσα, καὶ λόγοις ὡμιλημένη, καὶ τὸ γένος ἐπίσημος. Περιῄει γοῦν (18) ταύτας θεώμενος, καὶ μῆλον κατέχων χρυσοῦν, ἵν' αὐτὸ ἐπιδῷ μνηστρον τῇ δοξάσῃ αὐτῷ ἀρεστῇ· ἐπεὶ δ' ἦλθεν κατὰ τὴν Εἰκασίαν περιῶν, θαυμάσας ἐκείνην τῆς ὡραιότητος, ἔφη, *Ἐκ γυναικὸς ῥέρυται τὰ χαῦλα*. Ἡ δ' ἠρέμα καὶ μετὰ σεμνοῦ ἐρυθήματος εὐστόχως τοῦ ἀπεκρίνατο, *Ἀλλὰ καὶ διὰ γυναικὸς πηγάζει τὰ κρείττω*. Ὁ δὲ καταβροντηθεὶς ὥσπερ τῷ τῆς παρθένου λόγῳ, τὴν μὲν παρῆλθεν, τὸ μῆλον δὲ τὸ χρυσοῦν τῇ ἐκ Παφλαγονίας Θεοδώρᾳ παρέσχετο. Ἡ δὲ Εἰκασία τῆς βασιλείας ἀποτυχοῦσα, μονὴν (19) ἐδείματο, ἣ τὴν

A Fuit autem Michael omnino avarissimus.

XXV. Imperio potitus Theophilus nihil prius habuit, quam ut eos qui patri ad regnum obtinendum adjumento fuerant, Leonemque interfecerant, suppliciis afficeret. Quorum ne quis lateret, toto senatu in regiam convocato, se mandatum paternum exsequi velle dixit. Nam cum is imperii parti adjutores pro dignitate remunerari cuperet, tempus ei defuisse, quo minus id re ipsa præstaret, primum bellis impeditō, deinde morbo et obitu : sibi igitur mandasse, ut id debitum liberaliter prosolveret. Proinde hortabatur eos; qui patri ad Leonem tollendum operam navassent, ut a cæteris segregarentur. Illi dolo non intellecto, seorsim steterunt, *se professi eos esse, qui patri ejus opem tulissent.*

B Tum is statim persona simulationis deposita : *Cur*, inquit, *uncto Domini sceleratas manus attulistis, neque homicidæ duntaxat, sed et imperatoris parricidæ exstitistis?* Et mox ad præfectum conversus, jubet, ut eos abductos digna facinore pœna afficeret. Illi igitur pro homicidis sunt multati. Theophilus vero etiam novercam regia ejectam, in pristinum ejus monasterium in insula Principis inclusit, neque quidquam ei jusjurandum, quod Michael a senatu exegerat, profuit. Uxorem ducturus multas formosas puellas undecunque accersivit, inter quas et Icasia virgo fuit, tum forma præstantior cæteris, tum erudita, tum genere illustri nata. Dum igitur eas spectans circuit, aureum pomum manu **142** tenens, quod ei quæ placuisset conjugi pignus daret, cum ad Icasiam venisset, pulchitudinem ejus admiratus : *A muliere*, inquit, *emanarunt mala*. Cui illa placide et cum honesto rubore solerter respondit : *Sed et res meliores e muliere exuberant*. At ille virginis oratione velut attonitus, ea prætérita, malum aureum Theodoræ ex Paphlagonia oriundæ dedit. Icasia vero cum regno excidisset, monasterium de suo nomine condidit, in quo sibi et Deo vixit, eruditione litterarum non neglecta. Unde et scripta ejus reperiuntur, in quibus neque doctrinam neque gratiam desideres. Et sic illa res suas administravit et, mortali rege frustrata, Regi omnium nupsit : pro terreno imperio, cœleste sortita.

C

D Imperator vero Theodoram simul et nuptiali corona et regio diademate ornat, nuptiasque celebrat. Et

Varia lectiones et notæ.

(17) *Χρησμόν*. Vide Symeon. logoth. n. 3.

(18) *Περιῄει γοῦν*. In palatii triclinio, quod Margaritem appellabant, conctas puellas scribit Georgius Hamartolus in Chronico ms.: Ἡ δὲ μήτηρ αὐτοῦ Εὐφροσύνη ἀποστείλασα ἐν πᾶσι τοῖς θεμασιν, ἤγαγε κόρας εὐπροσώπους πρὸς τὸ νυμφοστολῆσαι Θεόφιλον υἱὸν αὐτῆς· ἀγαγοῦσα δὲ ταύτας ἐν τῷ παλατίῳ εἰς τὸν λεγόμενον Μαργαρίτην τρίκλινον, δέδωκε τῷ Θεοφίλῳ χρυσοῦν μῆλον, εἰποῦσα, etc.

(19) *Μονὴν*. Georgius Hamartolus in Chronico ms.: Ἡ δὲ τοῦ βασιλέως μήτηρ Εὐφροσύνη ἐκουσίως κατελθοῦσα τοῦ παλατίου ἐν τῇ μονῇ αὐτῆς ἡ ἐπώνυμον τὰ Γάστρια, ἠσύχασεν.

quia justitiæ cultor erat, gravem se et inexorabilem delinquentibus præbebat. Singulis igitur hebdomadibus eques per forum cum satellitibus imperatoriis in ædem Deiparæ Blacherniam ivit. Etsi enim sacris imaginibus honorem non habebat, Servatori tamen et Dei Matri se fidem servare profitebatur. Cum autem sic in publico versaretur, facilis aditu fuit, rerumque venalium curam habuit, et quanti quæque venderentur curiose indagavit. Quod si qua magno venirent, præfecto de iis interrogato vel magistratum abrogabat, si peccasset, vel objurgato eo, quid agendum esset præscribebat. Sic igitur aliquando prætereuntem mulier quædam accessit, quæ sibi injuriam fieri a drungario Vigiliæ querebatur (is Augustæ frater erat, nomine Petronas), qui cum in vicinia habitaret, ædibus in altum educendis, suis luminibus obstrueret. Ac illa sic Petronam accusabat. Is vero ab imperatore accersitus, et quid mulier diceret interrogatus, nugas eam agere dixit. Tum imperator: *Cave*, inquit, *ne denuo eadem de re me appellet, quod tibi bono non est futurum.* Ac mulierem ad Petronam abire jussit, et nisi ei damnum resarciretur, ad se redire. Quod cum illa fecisset, neque a Petrona quidquam impetrasset, re desperata rursus imperatorem interpellavit. Is statim quibusdam senatoribus mandavit, ut viderent, num damnum mulieri daretur? Abiere illi statim, damnumque **143** cognitum imperatori renuntiarunt, qui in forum progressus, atque ibi certo loco stans, Petronam vestibus direptis et in tergo et in pectore verberari jussit, et quæ in fraudem mulieris struxerat destrui, materiamque et solum ipsum mulieri attribui. Atque hoc specimen esto quantopere justitiæ studuerit Theophilus. Sed et aliud referatur, quo et ejus observantia æqui, et sollicitudo de subditis declaretur. Appulit aliquando ad Regiæ portum navis oneraria pondere sarcinarum gravis, eoque usque ad extremum cingulum demersa. Imperator superne prospectans, navemque admiratus, per pedisequum cujus ea sit percontatur? Ut Augustæ esse cognovit, recens a mercatura reductam, quam ab imperatrice missi in Syriæ partibus fecissent: si quid sarcinarum in navi haberent, id statim efferre jussit, et nihil quod ad Augustam pertineret attingere. Quo facto pulsis inde nautis, Græco igni injecto, navim cum ipsis sarcinis cremavit, imperatricem maledictis insectatus: *Nam cum me Deus*, inquit, *imperatorem designarit, tu me nauclerum facere contendis. Scito autem mercaturam privatis hominibus esse attributam, ut ea tolerandæ vitæ occasionem habeant. Quod si nos præter imperii opes etiam mercaturæ emo-*

ἐκείνης ἔσχε κλῆσιν ἐπίκλησιν, καὶ ἐν αὐτῇ μονάσασα ἑαυτῇ ἔζη καὶ τῷ Θεῷ, τῆς λογικῆς παιδείας μὴ ἀλογήσασα. Ὅθεν καὶ συγγράμματα ἐκείνης εὑρίσκονται, εὐπαιδευσίας καὶ χαρίτων οὐκ ἄμοιρα. Καὶ ἡ μὲν οὕτω διέθετο τὰ καθ' ἑαυτήν, καὶ ἀτευκτήσασα βασιλέως φθαρτοῦ, τῷ Παμβασιλεῖ ἑαυτὴν ἐμνηστεύσατο, καὶ ἀντὶ γεηρᾶς βασιλείας τὴν ἐπουράνιον ἐκληρώσατο. Ὁ βασιλεὺς δὲ Θεόφιλος τὴν Θεοδώραν ἑαυτῷ συνοικίζει, καὶ ὁμοῦ ταύτην καὶ τῷ γαμηλίῳ στεφάνῳ καὶ τῷ βασιλικῷ ταινιοῖ διαδήματι, καὶ τοὺς γάμους τελεῖ. Δικαιοσύνην δὲ μετιὼν (20), τοῖς ἀδικοῦσιν ἦν ἐπαχθής, καὶ κολαστὴς αὐτῶν ἀπαραίτητος. Ἑκάστης οὖν ἑβδομάδος ἀπῄει διὰ τῆς ἀγορᾶς ἔφιππος, μετὰ δορυφορίας βασιλικῆς εἰς τὸν ἐν Βλαχέρναις τῆς Θεοτόκου ναόν. Εἰ γὰρ καὶ ταῖς θείαις εἰκόσιν οὐκ ἔνειμε τιμήν, ἀλλ' ἁγε τῷ Σωτῆρι Χριστῷ καὶ τῇ Θεομήτορι πίστιν ἐτήρει, ὡς ἔλεγεν. Ἀπιὼν οὖν καὶ οὕτω δημοσιεύων, παρεῖχεν ἑαυτὸν τοῖς προσιοῦσιν εὐπρόσιτον, καὶ περὶ τῶν ὠνίων ἐφρόντιζε, καὶ ὅπως ἕκαστον τούτων πιπράσκεται, ἐπολυπραγμόνει καὶ ἐπυνθάνετο. Καὶ εἰ πολλοῦ τινα πιπρασκόμενα εὕρισκε, τὸν ἔπαρχον περὶ τούτων ἀνέκρινε, καὶ ἢ καταγινώσκων τούτου ἔπαυε τῆς ἀρχῆς, ἢ ἐπιπλήττων διώρθου. Οὕτω γοῦν ποτε διϊόντι αὐτῷ προσῆλθε γυνή, ἀδικεῖσθαι λέγουσα παρὰ τοῦ δρουγγαρίου τῆς Βίγλας (οὗτος δ' ἦν σύγγονος τῆς Αὐγούστης, καλούμενος Πετρωνᾶς)· εἰκεῖν γὰρ αὐτῷ ἐκ γειτόνων, τὸν δὲ τὰς ἑαυτοῦ διαίτας ὑφοῦντα, τῇ αὐτῆς οἰκίᾳ ἐπισκοπεῖν. Ἃ μὲν οὖν ταῦτα ἐπενεγκάλει τῷ Πετρωνᾷ. Ὁ δὲ παρὰ τοῦ βασιλέως μετακληθείς, καὶ τί ἂν λέγει τὸ γύναιον ἐρωτώμενος, ματαιάζειν ἔφη αὐτό. Καὶ ὁ βασιλεύς, *Μηκέτι δεηθείη μου περὶ τούτου*, φησὶ, *καὶ οὐκ ἔσται σοι πρὸς καλόν.* Καὶ τῇ γυναικὶ ἐνετείλατο πρὸς τῷ Πετρωνᾶν ἀφικέσθαι, καὶ εἰ μὴ τὴν βλάβην θεραπευθείη, αὖθις αὐτῷ προσελθεῖν. Προσῆει τῷ Πετρωνᾷ ἡ γυνή· ὁ δὲ οὐδὲν αὐτῇ τοῦ κακοῦ θεράπευμα ἔθετο. Ἡ δ' ἀπογνοῦσα, δι' ὄχλου γέγονε καὶ αὖθις τῷ βασιλεῖ· καὶ ὃς αὐτίκα τῶν τῆς συγλήτου τισὶν ἀπελθεῖν ἐπέταξε, καὶ καταγνοῦσαι, εἰ βλάπτοιτο ἡ γυνή. Οἱ δὲ ἀπῆλθον εὐθύς, καὶ τὴν βλάβην ἔγνων, καὶ ταύτην ἀπήγγειλαν. Καὶ ὁ βασιλεὺς ἔτι ἐπ' ἀγορᾶς προϊών, αὐτοῦ που στὰς, γυμνωθῆναι τὸν Πετρωνᾶν, καὶ τυφθῆναι καὶ στέρνα καὶ νῶτα προσέταξε· τὰ δ' ὑπ' αὐτοῦ δομηθέντα πρὸς βλάβην τῆς γυναικὸς καθαιρεθῆναι, καὶ ταύτῃ προσκληρωθῆναι, καὶ τὰς ὕλας, καὶ τὸν τόπον αὐτόν. Τοῦτο μὲν οὖν τοῦ περὶ τὸ δίκαιον ζήλου τοῦ Θεοφίλου εἴρηται γνώρισμα. Εἰρήσθω δέ τι καὶ ἕτερον, τῆς τε δικαιοπραγίας ἐκείνου, καὶ τῆς περὶ τὸ δίκαιον καὶ ὑπήκοον προνοίας σημαντικόν. Προσώρμισέ ποτε τῷ περὶ τὰ ἀνάκτορα λιμένι φορτὶς βάρει τῶν ἀγωγίμων πε-

Variæ lectiones et notæ.

(20) Δικαιοσύνην μετιών. Alia Theophili imp. justitiæ et severitatis exempla refert auctor orationis historicæ in festum Restitutionis imaginum, a Combefisio editæ, p. 740, 741. Nicetas Paphlago in Vita Ignatii Patr. Constantinopol. de eodem Augusto: Καὶ ἦν τ' ἄλλα μὲν, ὡς φασὶν, οὐ κακὸς, καὶ δικαιοκρισίας ἀνταχόμενος.

φορτισμένη, καὶ τούτῳ μέχρις ἐσχάτου ζωστῆρος καταβεβαπτισμένη. Ἔτυχε δὲ προκύψας ὁ βασιλεὺς ἄνωθεν, καὶ θαυμάσας τὴν ναῦν, διά τινος τῶν αὐτῷ ἑπομένων, τίνος ἂν εἴη, ἐπυνθάνετο. Ὡς δὲ τῆς Αὐγούστης εἶναι μεμάθηκε, καὶ ὡς ἄρτι ἀνήχθη ἐξ ἐμπορίας, ἣν ἐν τοῖς τῆς Συρίας οἱ πρὸς τῆς βασιλίσσης σταλέντες ἐποιήσαντο μέρεσιν, εἴτι μὲν τοῖς τοῦ πληρώματος τῆς νηὸς πρόσεστιν, ἐξενεγκεῖν αὐτοῖς αὐτίκα ἐκέλευσε, τῶν δὲ τῆς Αὐγούστης ἅψασθαι μηδενός. Ὡς δὲ τοῦτο γέγονε, καὶ τοὺς ἄνδρας ἐκεῖθεν ἀπήλασεν, ὑγρὸν κατ' αὐτῆς ἐπήνεγκε πῦρ, καὶ αὐτόφορτον κατενέπρησεν, καὶ τῇ βασιλίσσῃ ἐλοιδορήσατο, *Βασιλέα με, λέγων, ἀναδείξαντος τοῦ Θεοῦ, οὐ βιάζῃ με ποιῆσαι ναύκληρον. Ἴσθι δὲ ὅτι τοῖς ἰδιώταις τὸ ἐμπορεύεσθαι προσκεκλήρωται, ἵν' ἐκεῖθεν τὰς πρὸς τὸ ζῆν πορίζοιντο ἀφορμάς. Εἰ δ' ἡμεῖς μετὰ τῆς βασιλικῆς εὐετηρίας, καὶ τὰ ἐξ ἐμπορίας* (21) *ἑαυτοῖς περιποιεῖσθαι πειρώμεθα, ἂν οἱ τῆς τύχης τῆς ἰδιώτιδος τὰ ζωαρκῆ συμπορίσαιντο.*

ΚΣ'. Τῇ δὲ βασιλίσσῃ πατρὶς ἦν ἡ χώρα τῶν Παφλαγόνων, πατέρες δ' αὐτῇ Μαρῖνος καὶ Θεοκτίστη τῶν εὖ γεγονότων ἐν τῇ χώρᾳ τῇ κατ' αὐτούς, εὐσεβεῖς δὲ ἄμφω, καὶ τῶν σεβασμίων εἰκόνων προσκυνηταί. Τῆς δὲ Θεοδώρας τῷ βασιλεῖ συζυγείσης, καὶ ἡ μητὴρ αὐτῆς Θεοκτίστη, ἥ καὶ Φλωρίνα ἐπωνομάζετο, Ζωστὴ καὶ Πατρικία τετίμητο. Ὤκει δὲ κατὰ τὴν μονὴν τῶν Γαστριῶν, ὡς δέ τινες λέγουσι, καὶ τὴν μονὴν αὐτὴν ἐκείνη ἐδείματο. Ὡς οὖν πρὸς μάμμην ὑπήγοντο πρὸς αὐτήν ποτε τὰ τοῦ βασιλέως θυγάτρια, ἦσαν δὲ πέντε, καὶ αἱ κλήσεις ἐκείνων αὗται, Θέκλα καὶ Ἄννα, Ἀναστασία τε καὶ σὺν Πουλχερίᾳ Μαρία. Ἡ δὲ δωρήμασι τὰς παῖδας ἐδεξιοῦτο, καὶ ἰδίᾳ παραλαμβάνουσα, παρῄνει τὰς ἁγίας εἰκόνας σεβάζεσθαι, καὶ ἐκ κιβωτίου σεβάσμια ἐκφέρουσα ἐκτυπώματα, προσκυνεῖν αὐτὰ παρεσκεύασε τὰς θυγατριδᾶς καὶ ἀσπάζεσθαι, καὶ ταῖς κεφαλαῖς αὐτῶν ἐπετίθει καὶ ταῖς προσόψεσι. Καί ποτε ἐκεῖθεν ἐπανηκούσας τὰς παῖδας ἠρώτα ὁ βασιλεὺς τί παρὰ τῆς μάμμης αὐταῖς γένοιτο, καὶ τίνα παρ' ἐκείνης αὐταῖς λέγοιντο; Αἱ μὲν οὖν λοιπαὶ ἐσιώπων, ἡ Πουλχερία δὲ νηπιάζουσα ἔτι τἆλλα τε διηγεῖτο ψελλιζούσῃ φωνῇ, καὶ προσεπῆγεν, ὡς εἴη τῇ μάμμῃ νιν͂ία ἐν κιβωτίῳ, τὰς ἁγίας εἰκόνας οὕτω καλοῦσα, καὶ ταῦτα ταῖς κεφαλαῖς καὶ τοῖς προσώποις ἡμῶν ἐπιτίθησι, καὶ ἀσπάζεσθαι δίδωσιν. Ἐντεῦθεν τὰς σεπτὰς εἰκόνας γνοὺς διδάσκεσθαι προσκυνεῖν τὰς αὐτοῦ θυγατέρας παρὰ τῆς μάμμης, οὐκέτι πρὸς αὐτὴν ἀπάγεσθαι τὰς παῖδας παρακεχώρηκεν, ἕτερον δὲ οὐδὲν λυπηρὸν εἰς τὴν Θεοκτίστην εἰργάσατο, αἰδούμενος ἐκείνην διὰ τὸ κῆδος, καὶ πλέον διὰ τὴν ἀρετήν, ἥ καὶ πολλάκις ἤλεγχε τοῦτον, ὅτι τοὺς ὀρθοδόξους ἐκόλαζε, καὶ ταῖς ἱεραῖς εἰκόσιν ἐνύβριζε, καὶ διὰ ταῦτα ἀπεχθῶς διακεῖσθαι πρὸς αὐτὸν ἐπληροφόρει πᾶν τὸ ὑπήκοον. Τοιοῦτον δή τι καὶ περὶ τὴν βασιλίδα ἐγένετο. Ἦν τι παρὰ τοῖς ἀναχτόροις ἀνθρώπιον καὶ τοῦ νοῦ πάσχον, καὶ τῆς γλώσσης παρακοπήν, καὶ ἦν οἷον ἄθυρμά τι τῷ βασιλεῖ· τῷ δὲ τοιούτῳ τυγχάνοντι ἦν καὶ ἡ γυναικωνῖτις βατή. Καί ποτε τὸν τῆς Αὐγούστης εἴσεσι θάλαμον· ἡ δ' Ἔτυχε τότε ἁγίας εἰκόνας ἀσπαζομένη καὶ προσκυνοῦσα (ἔτιμα γὰρ διαφερόντως αὐτὰς ἀγνοίᾳ τοῦ ξυνευνέτου)· τὸ δὲ παρακεκομμένον

XXVI. Imperatrici patria fuit Paphlagonia, parentes Marinus et Theoctista, ex nobili illius provinciæ familia, ambo pii et sacrarum imaginum adoratores. Theodora vero imperatori desponsa, etiam mater ejus Theoctista, Florina cognomento, Zostæ et patriciæ dignitatem est consecuta. Habitavit autem juxta Gastria monasterium, idque, ut quidam asserunt, condidit. Filiolæ igitur imperatoris numero quinque, ad eam ut aviam aliquando adducebantur, quarum nomina fuerunt Thecla, Anna, Anastasia, Pulcheria et Maria. Illa puellas munusculis sibi conciliabat, ac seorsim hortabatur ad sacrarum imaginum venerationem, curabatque ut sacras effigies, quas e cistella proferebat, neptes adorarent ac deoscularentur, earumque capitibus et faciebus eas admovebat. Puellas aliquando inde reversas rogat imperator, ut ab avia tractatæ essent, et **144** quid illa diceret? Cæteris tacentibus, Pulcheria adhuc infantula cum cætera balbutienti voce refert, tum addit, aviam in cistellam pupas habere (sic enim imagines vocabat) quas ipsarum capitibus et faciebus admoveret atque osculandas præberet. Ex eo cum cognovisset filiolas ab avia cultum sacrarum imaginum doceri: eas non amplius ad illam accedere passus est, neque alia molestia Theoctistam affecit, quam et propter affinitatem et magis etiam ob virtutem verebatur: cum quidem sæpe ab ea reprehenderetur, quod orthodoxos puniret, et sacris imaginibus contumeliam faceret, iisque rebus omnium subditorum odia susciperet. Simile quiddam etiam imperatrici accidit. Erat in regia quidam homuncio delirus et impedita lingua, quem imperator in deliciis habebat, cui etiam in gynæconitidem patebat aditus. Aliquando igitur in imperatricis thalamum ingressus, cum illa sacras imagines oscularetur et adoraret (eas enim clam marito supra modum honorabat), sacras effigies conspicatus, quid essent rogat? respondet illa simpliciter: *Pulchras suas pupas esse.* Egressus vecors homuncio, Theophilum in convivio reperit; interrogatus unde veniret? *A Manna*, respondit, sic enim Dominam vocabat, eamque pulchras pupas habere dixit. Imperator autem pupas imagines

Variæ lectiones et notæ.

(21) *Καὶ τὰ ἐξ ἐμπορίας.* Theophili tamen alias avaritiam perstringit scriptor ms. Vitæ S. Joannicii: Εἶχε μὲν γὰρ τὰ Ῥωμαίων σκῆπτρα Θεόφιλος· ὁ δὲ ἐπτόητό τε περὶ τὸν χρυσὸν ὅλος, καὶ τούτου ἡττᾶτο, ἄλλως τε Χριστιανὸς εἶναι μὴ φέρων, περὶ τὰς θείας τε ἀσεβῶν εἰκόνας, etc.

esse suspicatus, commotus et ira æstuans imperatricem accedit, et contumeliosis dictis insectans, idololatram appellat, eaque refert quæ a Dendere (id enim fatuo nomen erat) audivisset. Verum illa maritum solerter decepit: *Neque enim*, inquit, *imagines vidit Denderis, sed cum speculum intuerer, formas quæ in eo repræsentabantur, pupas appellavit.* Eo probabili commento, imperatoris iram declinavit furoremque leniit. Nam cum omnes in suam impietatem pertrahere studeret, sævus admodum erga pios fuit, et ut justitiæ, sic et ejus quam ipse probabat pietatis acerrimus defensor, subditos a cultu imaginum abducere insano studio contendebat, eaque de causa multos puniebat: ut eos, quemadmodum intemperanti lingua dicebat, ab idolomania depelleret, ac multos confessores fecit. Joannem Syncellum, quo magistro usus fuerat, impietatis suæ socium, **145** ad Agarenos cum maximis opibus ablegavit, imperii Romani divitias ostentaturus, quarum nonnullas eorum principi dono misit, nonnullas Joanni ad ministerium assignavit, inter quas duo quoque malluvia aurea, gemmis distincta fuerunt, exquisitæ artis elegantia adornata, præterque cætera omnia signati auri centenarios quadraginta ei dedisse perhibetur, ut Agarenos quos vellet liberaliter et magnifice donaret, itaque percelleret Barbaros, qui cum tantas opes ministrorum imperatoris esse cernerent, cogitarent, quantis ipse divitiis potiretur. Is igitur in urbem Bagdam profectus (ea vetus Babylon est) cum in principis conspectum venisset, oblatisque imperatoris muneribus cum eo collocutus esset, cum ob hæc, tum propter dicendi vim (erat enim in congressibus perquam disertus) et in honore et in admiratione fuit. Barbaros tamen sua erga eos munificentia magis obstupefecit. Nam si qui eum conveniebant, sive a suo principe missi, sive aliis de causis, eos magna pecunia donabat, ut qui eam acciperent, et gauderent, et mirarentur. Cum autem ipse aliquando ab Amermumne ad convivium in ædes illius invitatus esset, alterum ex aureis illis malluviis secum attulit, ut aquam manibus illius affunderet. Quod cum negligenter alicubi positum esset (ita enim ministris suis Joannes mandarat, ut periret) a quodam est surreptum, quæsitumque nusquam comparuit. Barbari igitur murmurarunt, et pretium illius et elegantiam exaggerantes: ipse vero cum eam jacturam sibi curæ non esse dixisset, eos obstupefecit quem tantam rem negligere cerrerent, et a ministris alterum afferri jussit, quo allato magis etiam admirati sunt. Sed et Agarenorum princeps vicissim magnificentiam ostentans, Joannem magnis muneribus affecit, et post cætera

A ἐκεῖνο ἀνθρωπάριον τὰ θεῖα θεασάμενον ἐκτυπώματα, τί ταῦτα, ἤρετο τὴν βασίλισσαν· ἡ δὲ ἀφελῶς πως πρὸς ἐκεῖνο εἶπε, *Ταῦτα τὰ καλά μου νιρία.* Ἐκεῖθεν οὖν ἐξελθὸν τὸ παράφορον ἐκεῖνο ἀνδράριον, εὗρε τὸν Θεόφιλον ἐστιώμενον. Ἤρετο γοῦν ὁ βασιλεὺς αὐτὸν ὅθεν ἦκοι; Ὁ δὲ παρὰ τῇ *Μάννᾳ* (22) πορευθῆναι ἀντέφησεν, (οὕτω γὰρ ἐκάλει τὴν δέσποιναν) ἔχειν αὐτὴν ἔλεγε νινία καλά. Εἰκόνας οὖν εἶναι τὰ νινία ὑποτοπήσας ὁ βασιλεὺς ἐξώργιστο, καὶ πρὸς τὴν βασιλίδα πορεύεται πνέων θυμοῦ, καὶ ὕβρεις κατέχεεν ἐκείνης, καὶ εἰδωλολάτριν ὠνόμαζε, τὰ εἰρημένα παρὰ τοῦ Δένδερι διηγούμενος· οὕτω γὰρ τὸ παρακεκομμένον ἐκεῖνο ἐκαλεῖτο ἀνθρώπιον. Ἡ δὲ σοφῶς τὸν ἄνδρα κατεσοφίσατο· *Οὐ γὰρ εἰ-*

B *κόνας εἶδεν ὁ Δένδερις, ἔλεγεν, ἀλλὰ τῷ κατόπτρῳ μου ἐνατενιζούσης, τὰς ἐκεῖθεν ἀνταναχλωμένας ἐώρα μορφὰς, καὶ ταύτας νιρία ὠνόμασεν.* Οὕτω πιθανῶς τὸν λόγον συμπλάσασα, τὴν ὀργὴν τοῦ βασιλέως ἐμάλαξε, καὶ τὸν θυμὸν κατεστόρεσεν. Ἦν δὲ τοῖς εὐσεβοῦσι λίαν βαρὺς, σπεύδων πάντας τῆς οἰκείας δυσσεβείας ποιήσασθαι κοινωνοὺς, καὶ ὥσπερ τοῦ δικαίου διάπυρος ἦν ζηλωτὴς, οὕτω καὶ τῆς εὐσεβείας, ὡς ᾤετο, καὶ ἀποστῆσαι τῆς τῶν ἐκείνων τιμῆς ἐφιλονείκει περιμανῶς τὸ ὑπήκοον. Ἐντεῦθεν ἐκόλαζε πλείστους τῆς εἰδολομανίας, ὡς ἔλεγεν ἀκολάστῳ γλώσσῃ, αὐτοὺς ἀφιστῶν, καὶ πολλοὺς εἰργάσατο ὁμολογητάς. Ἰωάννην δὲ τὸν Σύγκελλον, ὃς αὐτῷ διδάσκαλος γέγονε, καὶ τῆς δυσσεβείας ἦν κοινωνὸς, πρὸς τοὺς Ἀγαρηνοὺς ἐξαπέστειλεν, ἐπιδείξασθαι σφισι τὸν πλοῦτον τῆς βασιλείας Ῥωμαίων

C βουλόμενος. Στέλλει δ' αὐτὸν σὺν χρήμασι μάλα πολλοῖς, ὧν τὰ μὲν δῶρα πέπομφε τῷ Ἀγαρηνῶν ἀρχηγῷ, τὰ δὲ εἰς ὑπηρεσίαν τῷ πεμφθέντι ἀπένειμεν, ἐν οἷς καὶ διττὰ ἐτύγχανον χερνιβόξεστα χρύσεά τε καὶ διάλιθα, καὶ τέχνης ἀκριβοῦς ἐνδεικνύμενα χάριτας. Τούτων δὲ πάντων ἐπέκεινα λέγεται δοῦναι αὐτῷ καὶ χρυσοῦ χαράγματα κεντηνάρια τεσσαράκοντα, ἵν' ἔχοι δωρεῖσθαι τῶν ἐκ τῆς Ἄγαρ οἷς βούλοιτο φιλοτίμως τε καὶ δαψιλῶς, κἀντεῦθεν τοὺς Βαρβάρους ἐκπλήττοι, λογιζομένους, ὡς εἰ τοσοῦτον οἱ τοῦ ἄνακτος εὐπορεῖν, αὐτὸς ἐκεῖνος πόσου ἂν εἴη κύριος πλούτου; Ἀφικόμενος οὖν εἰς τὴν τοῦ

D Βαγδὰ πόλιν ὁ Σύγκελλος (αὕτη δ' ἐστὶν ἡ παλαιὰ Βαβυλὼν) (23) καὶ τῷ τῶν Ἀγαρηνῶν ἀρχηγῷ εἰς θέαν ἐλθὼν, καὶ διαλεχθεὶς, καὶ τὰ τοῦ βασιλέως δῶρα προσαγαγὼν, καὶ διὰ ταῦτα, καὶ διὰ τὴν τοῦ λόγου δύναμιν (ἦν γὰρ εἰς διάλεξιν περιδέξιος) καὶ ἐτιμᾶτο καὶ ἐθαυμάζετο. Πλέον δ' ἐξεθάμβησε τοὺς Βαρβάρους φιλοτιμώτατα πρὸς αὐτοὺς διακείμενος. Εἴ γάρ τινες ἐκείνῳ προσῆεσαν, ἢ παρὰ τοῦ σφετέρου στελλόμενοι ἄρχοντος, ἢ κατά τινα χρείαν ἄλλην, χρήμασιν αὐτοὺς ἐδεξιοῦτο μεγάλοις, ὡς καὶ χαίρειν καὶ τεθηπέναι τοὺς ταῦτα λαμβάνοντας. Ὁ-

Variæ lectiones et notæ.

(22) *Μάννᾳ.* Ita quidam codd.; alii Μάνα, ut Theophanes, et alii.

(23) *Ἡ παλαιὰ Βαβυλών.* Sedes principis seu califæ Sarracenorum. Arethas in Apocalypsin c. 38: Διὰ δὲ τοῦ στόματος ἡ Βαβυλωνίων, ἣν ἄν τις ἀπαραλογίστως τὴν τῶν Σαρρακηνῶν ἐκδέξαιτο, καθ' ὅτι καὶ ἐν Βαβυλῶνι νῦν ἐστι τὸ ἀρχεῖον αὐτῶν, ὧν δὴ ὁ Ἀντίχριστος, ὡς Ῥωμαίων βασιλεὺς κρατήσει.

μέστιον δὲ ποτε καὶ δμοῖαιτον τοῦτον τοῦ Ἀμερμουμνοῦ ποιουμένου, τὸ ἓν τῶν χρυσῶν ἐκείνων χερνιβοξέστων εἶχεν ἐκεῖ, ὕδωρ αὐτῷ ἐπιχέων κατὰ χειρός. Τοῦτο γοῦν ἀμελῶς κείμενον (οὕτω γὰρ ποιῆσαι τοῖς αὐτοῦ θεράπουσιν ἐνετείλατο, ἵν' ἀπόλητα:) παρά του ἐκλάπη. Ὡς δὲ ζητούμενον οὐκ ἦν, οἱ Βάρβαροι θροῦν ἤγειραν, καὶ τὸ πολύτιμον ἐκείνου καὶ τὸ κάλλος θαυμάζοντες. Ὁ δὲ μὴ μέλειν αὐτῷ περὶ τοῦ ἀπολομένου εἰπών, τοῖς μὲν Βαρβάροις ἔκπληξιν ἐνεποίησε, τοιούτου χρήματος ἀφροντιστοῦντα ὁρῶσιν αὐτόν· τοῖς δ' ἑαυτοῦ θεράπουσιν τὸ ἕτερον ἐνεγκεῖν προστρέψατο, ὃ κομισθὲν εἰς πλέον θάμβος τοὺς Βαρβάρους ἐνῆκεν. Ἀντιφιλοτιμούμενος δὲ καὶ ὁ τῶν Ἀγαρηνῶν ἀρχηγὸς, πολλοῖς τὸν Ἰωάννην ἐδεξιοῦτο δωρήμασι, καὶ ἐπὶ πᾶσιν αὐτῷ αἰχμαλώτους παρέσχετο ἑκατὸν, ἀμφιάσας αὐτοὺς λαμπροτέροις ἐσθήμασιν. Ἐπανελθὼν οὖν ἐκεῖθεν ὁ Ἰωάννης, καὶ τῷ βασιλεῖ διηγούμενος τὰ ἐκεῖ, καὶ τῶν ἀρχικῶν οἰκιῶν σχήματά τε καὶ ποικιλίαν, εἰς ἔρωτα κεκίνηκε τοιαῦτα δομήσασθαι. Καὶ μέντοι αὐτῷ ἐπέταξεν ἐν τῷ Βρύαντι δείμασθαι οἰ ἀνάκτορα τοῖς ἐν Συρίᾳ ἐοικότα ἐν ἅπασι· καὶ ὃς ἐπιστατῶν τοῖς τούτων δομήτορσι, καὶ σχήματα διδάσκων καὶ μέτρα εὖρους τε καὶ μήκους καὶ ὕψους, ταχὺ τὰς οἰκοδομὰς ἐξεπέρανεν.

ΚΖ'. Οὗτος ὁ βασιλεὺς καὶ τὰ παράλια τείχη τῆς πόλεως πεπονηκότα τότε, καὶ ἐκ τῆς τοῦ χρόνου παραῤῥυῆς, καὶ ἔκ τινων συμπτωμάτων ἑτέρων, ἀνεκαίνισε μεγαλοπρεπῶς, εἰς ὕψος πλέον ἢ πρότερον ἦσαν, ἐπάρας αὐτὰ καὶ ξενῶνα μέγιστον εἰς ὄνομα οἰκεῖον ἀνήγειρεν, ἐν τόπῳ οὗ πρότερον ἦν ἑταιρουσῶν γυναικῶν καταγώγιον. Ἦν. δὲ καὶ περὶ τὰ ἀφροδίσια ἐγκρατὴς, ὡς ἅπαξ ποτὲ ἔρωτι παιδίσκης ἁλῶναι, ὑπηρετουμένης τῇ βασιλίδι, τὴν ὥραν διαπρεποῦς. Τῆς Θεοδώρας δὲ διὰ τοῦτο ἀλγούσης, ἐπόμνυσθαί φασιν ἐκεῖνον, μὴ ἄλλοτε μὴ δ' ἑτέρας πεῖραν λαβεῖν γυναικὸς, καὶ ἐπὶ τῷ ὀλισθήματι δάκνεσθαι, καὶ συγγνώμην ἐξ ἐκείνης αἰτεῖν. Ἀλλὰ ταῦτα ἡ περὶ τὰς σεπτὰς εἰκόνας ἐπί του μανία εἰς εὐδὲν ἐποίει λογίζεσθαι. Ἐλύττα γὰρ ἄντικρυς καὶ πλέον ἐμεμήνει τῶν πρὸ αὐτοῦ, καὶ ὠμότερος τῶν τιμητῶν τῶν ἱερῶν ἐκτυπωμάτων ἦν κολαστὴς, ἀλλὰ μὴν καὶ τῶν γραφαῖς τυποῦντων αὐτά. Ὅθεν καί τινα μοναχὸν Λάζαρον (24), περιβόητον ὄντα τηνικαῦτα περὶ τὴν γραφικὴν ἀπηνῶς αἰκισάμενος, καθεῖρξεν εἰς δεσμωτήριον· ὡς δ' ἐκ τῶν πληγῶν ἐκεῖνος ῥαΐσας, αὖθις τὰς χεῖρας ἁγίων εἰκόνων ἐδίδου γραφαῖς, πέταλα ὁ τύραννος ἐκέλευσεν ἐκπυρωθέντα σιδήρεα τοῖς τοῦ Λαζάρου ἐπιτεθῆναι καρποῖς, ἵνα μὴ τοὺς πόνους τῶν καρπῶν αὐτοῦ οἱ εὐσεβοῦντες ἔχοιεν προσκυνεῖν. Ὁ μὲν οὖν ὑπέστη ταύτην ὑπὲρ τῶν σεβαστῶν εἰκόνων τὴν κόλασιν, ἐψεύσθη δὲ τῶν ἐλπίδων ὁ τύραννος. Λέγεται μὲν γὰρ μετὰ τὴν κόλασιν τῆς εἱρκτῆς ἐκβληθεὶς ὁ ὁμολογητὴς ἐκεῖνος, ἔτι τὰς πληγὰς φέρων ἐν ταῖς χερσὶ, τῆς θείας χάριτος συνεφαπτομένης αὐτῷ εἰκόνας διαχαράξαι σεπτὰς, μετὰ δὲ τὴν τοῦ τυράννου κατάλυσιν, τὸ ἐν

A omnia centum ei captivos dedit, splendidis vestibus exornatos. Qui ex ea legatione reversus, cum imperatori quid actum esset exposuisset, ac principalium ædium figuras et varietatem narrasset, cupiditatem ejus excitavit ejuscemodi regiæ ædificandæ, ac jussu illius in Bryante regiam Syriacæ pro omnia similem auspicatus est, et architectis figuris mensurisque latitudinis, longitudinis et altitudinis **146** demonstratis, opus celeriter absolvit.

B XXVII. Idem imperator etiam maritima mœnia cum vetustate tum ob alios casus ruinosa, magnifice instauravit, in majorem educta altitudinem, et maximum hospitium de suo nomine condidit, quo in loco prius impudicarum mulierum diversorium fuerat. In libidinibus fuit continens, cumque semel amore puellæ formosissimæ, quæ imperatrici inserviebat, captus esset, idque Theodora ægre ferret: eum dejerasse ferunt, se nunquam alias alterius mulieris notitiam habuisse, eoque lapsu dolentem, veniam ab illa petiisse. Sed furor ejus contra sacras imagines effecit, ut illa pro nihilo putentur. Prorsus enim insania quadam et rabie majore quam superiores imperatores, cultores atque etiam pictores sacrarum imaginum persequebatur, eaque de causa

C monachum quemdam Lazarum, pictorem tum celeberrimum, crudeliter exeruciatum in carcerem conjecit. Qui cum, ex plagis illis recreatus, iterum manus sacrarum imaginum picturæ admoveret, iguitas laminas tyrannus ejus manibus admoveri jussit, ne labores manuum ejus pii adorare posset. Ac is quidem id supplicium ea de causa toleravit, tyrannus autem spe sua frustratus est. Fertur enim confessor ille, post ea tormenta carcere ejectus, plagas adhuc in manibus gestans, divina adjuvante gratia, venerandas imagines depinxisse, ac post tyranni interitum, Servatoris imaginem in Chalce pinxisse, ac qualis nunc cernitur, restituisse, cum

D prius imago jam olim erasa fuisset. Idem fratres Theophanem et Theodorum, utrumque confessorem, ob suam impietatem prophetarum oraculis et Scripturarum testimoniis reprehensam, primum

Variæ lectiones et notæ.

(24) *Μοναχὸν Λάζαρον.* De quo Anastasius Bibl. in Benedicto III, p. 206 : *Hujus temporibus Michael filius Theophili imp. Constantinopolitanæ urbis imperator, ob amorem apostolorum, misit ad B. Petrum apostolum donum per manum Lazari monachi, et picturæ artis nimie eruditi, genere vero, Chazari*, etc. Sed de Lazaro in primis consulendus Bollandus ad 23 Feb. quo festum illius agunt Græci et Latini. Vide etiam Menæa ad 17 Novemb. Porro sancti Lazari reliquias in Evandri monasterium relatas lo. cet Synaxarium ms. 17 Novemb. quo ejus festum celebrant Græci : Καὶ τὸ τίμιον αὐτοῦ σῶμα ἀνακομισθὲν, κατατέθη ἐν τῇ μονῇ τοῦ Εὐάνδρου.

graviter excruciavit. Deinde facies eorum compunxit, ac notis illis hos iambicos versus atramento infuso expressit :

Cunctis eam urbem visere exoptantibus,
Purissimi quam Christi presserunt pedes
Totius orbis unde manavit salus;
Sacro loco isti vasa conspecti improba
Superstitionis errore ex incredulo
Multisque factis inquinati turpibus
147 *Apostatæ velut rejecti inde procu,*
Se contulere mox in urbem regiam:
Tamen nefunda non relicta amentia.
Notis perusta fronte, more santium,
Condemnatique rursus verterunt solum.

Πάντων ποθούντων προστρέχειν πρὸς τὴν πόλιν,
Ὅπου πάναγνοι τοῦ θεοῦ Λόγου πόδες
Ἔστησαν εἰς σύστασιν τῆς οἰκουμένης
Ὤρθησαν οὗτοι τῷ σεβασμίῳ τόπῳ
Σκεύη πονηρὰ δεισιδαίμονος πλάνης
Ἐκεῖσε πολλὰ λοιπὸν ἐξ ἀπιστίας
Πράξαντες αἰσχρὰ δεινὰ δυσσεβοφρόνως.
Ἐκεῖθεν ἠλάθησαν ὡς ἀποστάται,
Πρὸς τὴν πόλιν δὲ τοῦ κράτους πεφυγότες,
Οὐκ ἐξαφῆκαν τὰς ἀθέσμους μωρίας
Ὅθεν γραψέντες ὡς κακοῦργοι τὴν θέαν
Κατακρίνονται καὶ διώκονται πάλιν.

Sed et alios multos persecutor hic confessores fecit, et in martyrum numerum retulit, quos enumerare alterius et operis et temporis fuerit. Studuit etiam melodiis componendis, ac præter cætera illud etiam carmen, quod in festo Palmarum canitur : *Exite gentes, exite populi*, ejus esse fertur. Cum quinque filiarum pater esset, filium nondum susceperat, filiamque Mariam natu minimam supra modum dilexit, et Alexio Moseli despondit, viro Armenio, ex genere Crinitarum, florenti ætate, et vultu venustatis ac gratiæ pleno, quem prius aliis quoque dignitatibus honestatum, progressu temporis etiam Cæsarem salutavit, ac deinde cum exercitu in Longobardiam misit. Sic evectus Moseles invidiam effugere non potuit. Criminati autem eum sunt invidi, ut imperii cupidum, sed filia imperatoris superstite, calumnia contra eum nihil valuit. Filio autem Michaele imperatori nato, et conjuge sua defuncta, statim vitæ ratione mutata, ultro comam tondet, vilique pallio inductus, monachorum institutum amplectitur, ædificato Anthemii monasterio, in quo vita exacta sepultus est. Cum autem Arabes Romanas provincias invasissent, Theophilus, expeditione contra illos susceptа, secum eduxit Theophobum et Manuelem, viros strenuos et bellicosos, quorum Manuel nobilis erat apud omnes, ipsosque hostes, ut qui et exercitum sæpe duxisset, et rem bene gessisset, et

Πολλοὺς δὲ καὶ ἄλλους ὁ διώκτης οὗτος ἀνέδειξεν ὁμολογητάς, καὶ τέλει μαρτυρικῷ παραδέδωκεν, οὓς ἀπαριθμεῖν ἑτέρας ἂν εἴη πραγματείας καὶ ἄλλου καιροῦ. Ἐφιλοτιμεῖτο δὲ καὶ μελῳδεῖν· λέγονται μὲν οὖν καὶ ἕτερα εἶναι ἐκείνου τοῦ ἀνδρὸς ποιήματα, πρὸς τοῖς ἄλλοις δὲ καὶ τὸ κατὰ τὴν τῆς Βαϊοφόρου ἑορτὴν ᾀδόμενον στιχηρὸν τὸ, *Ἐξέλθετε, ἔθνη, ἐξέλθετε, καὶ λαοί.* Πέντε δὲ θυγατέρων πατὴρ γεγονὼς, παιδὸς ἔτι οὐκ ἔτυχεν ἄῤῥενος· τῶν δὲ θυγατέρων ὑπερηγάπα τὴν νεωτέραν Μαρίαν ὠνομασμένην, ἐφ' ᾗ καὶ κηδεστὴν ἐποιήσατο Ἀλέξιον τὸν λεγόμενον Μωσηλὲ (25), ἄνδρα ἐξ Ἀρμενίων τοῦ γένους τῶν Κρινιτῶν (26), ἐν ἀκμῇ τῆς ἡλικίας ὄντα, καὶ τὴν ὄψιν χαρίτων μεστὸν, ὃν πρότερον μὲν ἄλλοις ἐτίμησεν ἀξιώμασιν, εἶτα προῖὼν ἀνεῖπε καὶ Καίσαρα. Συνάψας δ' ἐκεῖνον τῇ θυγατρὶ, καὶ οὕτω τιμήσας, σὺν στρατεύμασι πρὸς Λογγιβάρδιαν ἐξέπεμψεν. Οὕτω δὲ ὁ Μωσηλὲ ὑψωθεὶς οὐκ ἔμελλε τὸν φθόνον διαφυγεῖν. Διεβέβλητο γοῦν πρὸς τῶν βασκαινόντων, ὡς καὶ τῆς βασιλείας ἐρῶν· οὐκ ἔδρα δὲ κατὰ τοῦ Καίσαρος ἡ διαβολὴ, ἕως ἡ τοῦ βασιλέως θυγάτηρ τοῖς ζῶσιν ἠριθμητο. Ἐπεὶ δὲ υἱὸς ὁ Μιχαὴλ ἐτέχθη τῷ βασιλεῖ, καὶ ἡ τοῦ Καίσαρος ἐτεθνήκει εὐνήτειρα, ἐκεῖνος εὐθὺς μετετάξατο, καὶ κείρεται μὲν τὴν τρίχα ἐκὼν, ἀμφιέννυται δὲ τριβώνιον, καὶ τοῖς μονάζουσι κατατάττεται, καὶ τὸ τοῦ Ἀνθεμίου λεγόμενον ἐδείματο ἀσκητήριον, ἐν ᾧ διαγαγὼν τὸν βίον κατέλυσε, καὶ

Variæ lectiones et notæ.

(25) *Μωσηλέ.* De Alexio Mosele nobili Armenio egimus in familia Michaelis Balbi, in *Famil. Aug. Byzantin.* p. 133, cujus posteri ad extremam tandem redacti erant paupertatem sub Basilio Bulgaroctono, ut ex ejus Novella, quæ describitur in jure Græcorum. t. II, p. 175 docemur, ubi τοῦ Μαγίστρου Ῥωμανοῦ τοῦ Μουσελὲ ἐγγόνους εἰς ἀπορίαν καὶ τελείαν ἔνδειαν pervenisse ait cum illi patrimonium suum ab avo et parentibus relictum circa Philomilium possiderent.

(26) *Κρινιτῶν.* Τὸν ἐπιφανῆ καὶ περίβλεπτον Κρινίτην Græciæ prætorem, seu στρατηγὸν, nescio quem memorat anonymus in Vita S. Lucæ Junioris, p. 996, alium Constantinus Porph. *De admin. imp.* c. 50, alium denique anonymus Combefisianus in Leone Philosopho, n. 9.

ἐτάφη ἐκεῖ. Τῶν δὲ Ἀράβων ταῖς Ῥωμαϊκαῖς ἐπελθόντων χώραις, ὁ Θεόφιλος ἐξεστράτευσε κατ' αὐτῶν, ἔχων μεθ' ἑαυτοῦ τὸν Θεόφοβον καὶ τὸν Μανουήλ (27). Τῷ δ' ἦστην ἄνδρε καὶ γενναίω καὶ ἀγαθὼ τὰ πολέμια, ὧν ὁ μὲν Μανουὴλ δῆλος ἅπασιν ἦν, καὶ ταῖς ἐναντίοις αὐτοῖς πολλάκις τε στρατηγήσας καὶ ἀριστεύσας, καὶ πρωτοστράτωρ τοῦ βασιλέως Μιχαὴλ τοῦ Ῥαγγαβὲ γεγονώς. Ὁ δὲ Θεόφοβος γένους μὲν κατήγετο Περσικοῦ, ἐτράφη δ' ἐν τῇ βασιλίδι τῶν πόλεων, καὶ παρ' αὐτῇ διῆγεν, ἀφανὴς ὢν καὶ μηδὲ γινωσκόμενος. Λέγεται δὲ τὸν πατέρα αὐτοῦ ἐκ τῆς παρὰ Πέρσαις βασιλικῆς ἐκφῦναι φυλῆς. Ἐκλελειπότων δὲ τοῖς Πέρσαις τῶν ἐκ τοῦ βασιλείου γένους, μαθεῖν αὐτοὺς, ὡς ἔστι παρὰ Ῥωμαίοις ἀνὴρ, ἐκ γένους ἔλκων βασιλικοῦ τὴν σειράν, καὶ ἀφικέσθαι ζήτησιν ποιουμένους αὐτοῦ. Ὡς δ' εὑρέθη ζητούμενος, γέγονεν ἐντεῦθεν γνωστὸς καὶ τῷ βασιλεῖ, καὶ εἰς μέγα τύχης ἀνήχθη, πατρίκιος τιμηθείς, καὶ τῇ τοῦ βασιλέως συνοικισθεὶς ἀδελφῇ. Τούτοις οὖν τοῖς εἰρημένοις ἀμφοῖν ἀνδράσι πεποιθὼς ὁ Θεόφιλος, ἀντεπῆλθε τοῖς ἐναντίοις. Ὡς οὖν ἀλλήλων ἔγγιστα ἐπήξαντο τοὺς χάρακας τὰ στρατεύματα, ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς Ἰμβραὴλ, ἕνα τῶν ὑπ' αὐτὸν στρατηγῶν μετὰ λαοῦ μυριάδων ὀκτὼ εἰς ἀντιπαράταξιν τοῦ Ῥωμαϊκοῦ στρατεύματος καταλελοιπὼς, αὐτὸς μετὰ τῶν ἄλλων ἀνεχώρησεν, ἢ δειλαινόμενος, ἢ ἀλαζονευόμενος. Συμβαλόντων δὲ τῶν στρατευμάτων, πολλοὶ μὲν ἑκατέρωθεν ἔπιπτον. Τέλος δὲ πρὸς ὑπαγωγὴν ἐκλίθησαν αἱ σχολαί, καὶ κἂν ἦλω καὶ ὁ βασιλεὺς αὐτὸς, εἰ μὴ Θεόφοβος μετὰ τοῦ περὶ αὐτὸν Περσικοῦ στρατεύματος, καὶ χειρὶ ἐβοήθησε, καὶ στρατηγήματι τοὺς Βαρβάρους κατεσοφίσατο. Τότε μὲν οὖν ἐπανέζευξεν εἰς τὴν Κωνσταντίνου ὁ βασιλεύς.

Michaelis Rangabis protostrator fuisset. Theophobus autem genus a Persis ducebat, et in urbe imperatoria, ubi educatus est, obscurus vivebat atque ignobilis. Fertur autem pater ejus ex regia Persarum tribu fuisse ortus, cumque regiæ familiæ apud Persas defecissent, cognovisse dicuntur, apud Romanos esse virum regio genere oriundum, et ad eum inquirendum venisse. Ut inventus fuit, in notitiam imperatoris quoque pervenit, et amplissimas fortunas est consecutus, patricii honore ornatus, et imperatoris sorore **148** in matrimonium accepta. Iis igitur ambobus fretus Theophilus, hostes aggressus est. Cum autem proxime inter se castra communissent exercitus, Sarracenorum dux Imbrael, uno ex suis satrapis cum nonaginta millibus ad decernendum cum Romanis relicto, ipse cum ceteris sive ex metu sive per arrogantiam recessit. Exercitibus congressis, multi utrinque ceciderunt. Sed tandem legionibus ad fugam inclinatis, ipse etiam imperator captus fuisset, nisi Theophobus cum suo Persico exercitu et manu opem tulisset, et stratagemate Agarenos circumvenisset. Ac tum Constantinopolim reversus est imperator.

ΚΗ'. Τῷ δ' ἑφεξῆς ἔτει πάλιν στρατεύει, καὶ συμμίξας τοῖς ἐκ τῆς Ἄγαρ, ἐπικρατέστερος γίνεται, καὶ πολὺ μὲν πλῆθος αὐτῶν πέπτωκε, πλείους δ' ἑάλωσαν ζωγρίαλωτοι, ἐν οἷς ἦν καί τις ἀνὴρ τῷ τῶν σχολῶν δομεστίκῳ γνώριμος, καὶ μαρτυρούμενος ὑπ' αὐτοῦ, ὡς καὶ τὴν χεῖρα γενναῖος καὶ περιὸξύς, καὶ εὐφυῶς ἱππαζόμενος, καὶ δύο μεταχειριζόμενος δόρατα. Θριάμβου τοίνυν ἐπὶ τῇ νίκῃ καταγομένου ἐν ἱππηλασίας ἀγῶνι, τὸν ἐπαινούμενον ἐκεῖνον Ἀγαρηνὸν ἱππάσασθαι, καὶ τὰ δύο μεταχειρίσασθαι δόρατα ἐκέλευσεν ὁ κρατῶν. Καὶ ὃς ἐπιδείκνυτο κατὰ τὸ κέλευσμα τοῖς ὁρῶσι τὸ ἀμφοτεροδέξιον. Καὶ ὁ βασιλεὺς τοῦτον ἐπῄνει τε καὶ ἐθαύμασεν. Ὁ γοῦν Κρατερὸς Θεόδωρος, ὃ, μετ' ὀλίγον μαρτυρικῷ κατεκοσμήθη στεφάνῳ, τῶν τεσσαράκοντα δύο μαρτύρων εἷς ὤν, παρεστὼς τότε τῷ Θεοφίλῳ ἐχλεύαζε τὸν Ἀγαρηνόν. Ὀργῆς δ' ἐπὶ τῇ χλεύῃ πλησθεὶς ὁ κρατῶν, Σὺ δ', ἔφη, ὦ θηλυδρία (ἐκτομίας γὰρ ὁ Κρατερὸς ἐτύγχανεν ὤν), ἐρώτα τοιοῦτόν τι; Καὶ ὁ Κρατερὸς, Δύο μέν, ἔφη, δόρατα στρέφειν οὐκ ἤσκησα, ὅτι μηδὲ δεῖ τῇ μάχῃ παιγνίων, ἀλλὰ σπουδῆς, ἐν δὲ μεταχειριζόμενος, σὺν Θεῷ δ' εἰρήσθω, τοῦτον καταβαλῶ. Ἐκμανεὶς δ' ἐπὶ τῷ λόγῳ ὁ βασιλεὺς, καὶ ὀμόσας καθ' ἑαυτοῦ, Ἢ μήν, ἔφη, τεθνήξῃ, εἰ μὴ αὐτίκα τοῦτον καταβαλεῖς. Ὁ δὲ μὴ ὑπερ-

XXVIII. Anno vero sequente iterum cum Agarenis congressus, ut superior, magna hostium multitudine cæsa, et pluribus captis, inter quos vir fuit legionum domestico notus, cui is testimonium perhibebat, ut et manu prompto, et ambidextro, et solerti equiti, et qui binas hastas tractare sciret. Cum igitur ludis Circensibus ob victoriam triumphus duceretur, imperator laudatum illum Agarenum equitare et bina hastilia tractare jussit. Ostentavit ille, ut jussus erat, dexteritatem suam spectatoribus. Eum imperator et laudavit et admiratus est. At Theodorus Craterus, qui paulo post corona martyrii est ornatus, unus e XLII martyrum numero, Theophilo astans, Agarenum subsannabat. Qua de causa iratus Theophilus: *Tu vero*, inquit, *effeminate* (nam eunuchus erat Craterus) *tale aliquid præstabis?* Tum Craterus: *Binis quidem*, inquit, *hastilibus vibrandis me non exercui, quod in prælio non luditur, sed res seria agitur: una vero hasta, Deo annuente, eum prosternam.* Imperator ob ea verba furore percitus, per seipsum juravit, se statim eum occisurum, nisi e vestigio illum prostravisset. Ibi Craterus nihil cunctatus, hasta sine ferro Agarenum equo dejecit. Cum autem imperator denuo expeditionem suscepta cum Agarenis pugnasset, eventus prælii

Variæ lectiones et notæ.

(27) *Manouήλ.* Manuel patricius, cui uxor fuit Helena, de qua anonymus, in Vita sancti Nicolai Studitæ, p. 943.

Romanis parum auspicatus fuit. Parum enim abfuit, quin et imperator ab hostibus circumventus captivus adduceretur. Quo Manuel cognito, suis inclamatis, in confertissimos hostes invectus imperatorem se sequi jubet : stabat enim metu attonitus, sed ad velandam **149** ignaviam se relicto exercitu nolle fugere dicebat. Cum autem sæpe monitus, ut pugna excederet, timore tanquam compedibus vinctus staret, Manuel stricto ense : *Nisi me*, inquit, *secutus fueris, te perimam. Præstat enim te mori, quam ab hostibus captum, Romanæ reipublicæ tantum imprimere dedecus.* Iis Manuelis minis ægre soluto metus stupore, eumque secutus, evasit : qua de causa virum servatorem appellavit, munificeque remuneratus est. Verum non multo post, invidorum linguæ ejus animum in contrarium verterunt, eoque redegerunt affectati regni calumniis, ut Manuelem excæcare in animo haberet. Quo ille cognito in Agarenum viciniam aufugit, eorumque duci significat, quis sit : quod si fides sibi detur, non coactum iri se religionem ejurare, se ad ipsum defecturum. Ille statim data fide lætus eum suscipit, Manuel dum ibi versaretur, præpositus exercitui, sæpe rem bene gessit contra Persas, magnosque triumphos adeptus, Agarenis et charus et admirationi fuit. Theophilus autem Manuelis fugam ægre ferens, de eo revocando cogitabat. Scribit igitur ad eum litteras, quibus jurejurando fidem suam ei obstringebat, easque aureo sigillo confirmatas, per monachum quemdam ad eum mittit, hortans ut redeat. Ille redit, sed qua ratione, id vero referre est operæ pretium, habet enim expositionem non injucundam. Congressus cum monacho, qui fidem ab imperatore afferebat, seque reversurum pollicitus, Ismaelitarum principem adit, petens exercitum sibi dari, ut profectus in Cappadociam, delatores suos (ibi enim eos habitare) ulciscereturque, ejusque filium una mitti, ut in re militari exerceretur. Princeps Manueli morem gerit, et quia fidem ei habebat, suum filium una mittit : ita discedit Manuel, cumque prope fines Romanos ventum esset, assumpto principis Agareni filio cum paucis Sarracenis, se venatum ire simulat, multis ministris comitantibus, cumque jam in Romana provincia versaretur, adolescentem amplexus : *Tu quidem*, inquit, *fili, ad tua revertere : ego vero ad Romanos proficiscor.* Constantinopolim reversus, magna cum lætitia est exceptus ab imperatore, statimque magistri honore ornatus, **150** imperatoris filium Michaelem e sacro baptismate suscepit, quem pater diademate cinxit, et Romanorum imperatorem declaravit. Antonio patriarcha mortuo, cum XIII annos Ecclesiæ præfuisset, Joannes, quem supra diximus Theophili præceptorem et suffragatorem fuisse, patriarcha designatur, quem et Jannem vocabant, tum ob hæresin, tum propter præstigias in quibus versatus erat. Sanctissimum vero Methodium, qui deinde patriarchicam ornavit sedem, perverse

A θέμενος, καὶ συνεμαχέσατο τῷ Ἀγαρηνῷ δόρατι ἀσιδήρῳ, καὶ τοῦ ἵππου κατέβαλε. Πάλιν οὖν τῷ βασιλεῖ στρατεία κατὰ τῶν Ἀγαρηνῶν, καὶ πάλιν μάχη, καὶ τὸ τῆς μάχης τέλος τοῖς Ῥωμαίοις οὐκ ἀγαθόν. Μικροῦ γὰρ ἀπήχθη ἂν καὶ ὁ βασιλεὺς δορυάλωτος ὑπὸ τῶν Ἰσμαηλιτῶν κυκλωθείς. Ὡς δ' ἔγνω τοῦτο ὁ Μανουὴλ, ἐμβοησάμενος τοὺς περὶ αὐτὸν, εἰς μέσον εἰσελαύνει τῶν πολεμίων, καὶ τῷ βασιλεῖ, φησὶν, Ἀκολούθει μοι· ἵστατο γὰρ ἐκ δειλίας ἀπαγωνιῶν. Ὁ δὲ τὴν δειλίαν ἐπιχρωννὺς, μὴ βούλεσθαι φυγεῖν ἔφη, καταλιπὼν τὸν λαόν. Ἐπεὶ δὲ πολλάκις ἐξελθεῖν τῆς μάχης παρακαλούμενος, ὥσπερ πεπεδημένος τῇ πτοίᾳ, εἱστήκει ὁ Μανουὴλ τὸ ξίφος σπασάμενος, *Εἰ μὴ ἔποιό μοι,* φησὶν, *αὐτίκα σε ἀνελῶ· κρεῖσσον γάρ σε θανεῖν, ἢ λιφθῆναι τοῖς ἐναντίοις αἰχμάλωτον, καὶ τοιοῦτον αἶσχος τῇ πολιτείᾳ Ῥωμαίων περιποιήσασθαι.* Ταύταις οὖν ταῖς τοῦ Μανουὴλ ἀπειλαῖς μόλις τῆς ἐκ τοῦ φόβου νάρκης λυθείς, καὶ ἀκολουθήσας αὐτῷ, διεσώθη· ὅθεν καὶ σωτῆρα τὸν ἄνδρα ἐκάλει, καὶ οἱ τὰ σῶστρα δαψιλῶς ἀπετίννυεν. Οὐκ εἰς μακρὰν δὲ αἱ τῶν βασκάνων γλῶσσαι τὴν γνώμην τοῦ βασιλέως κατὰ τοῦ Μανουὴλ εἰς τοὐναντίον ἐτρέψαντο. Διέβαλον γὰρ αὐτὸν ὡς τυραννίδι ἐπιχειροῦντα, καὶ ἤδη ταῖς διαβολαῖς ἐπέπειστο ὁ Θεόφιλος, καὶ τὸν Μανουὴλ ἐκτυφλῶσαι διανενόητο. Γνοὺς δ' ἐκεῖνος τὸ μελετώμενον, ἀπίδρα, καὶ ἀγχοῦ που γενόμενος τοῖς Ἀγαρηνοῖς, δηλοῖ τῷ αὐτῶν ἀρχηγῷ ὅστις ἐστὶ, καὶ ὡς εἰ λήψεται πίστεις, μὴ βιασθῆναι τὴν οἰκείαν θρησκείαν ἐξομόσασθαι, προσελεύσεταί οἱ. Ὁ δὲ αὐτίκα πίστεις τε δίδωσι, καὶ περιχαρῶς αὐτὸν ὑποδέχεται. Καὶ ὁ Μανουὴλ ἐκεῖσε γενόμενος, καὶ στράτευμα πιστευθεὶς, πολλὰς ἀριστείας κατὰ Περσῶν εἰργάσατο, καὶ μεγάλα τρόπαια ἔστησε, καὶ ἐφιλεῖτο παρὰ τῶν τῆς Ἄγαρ καὶ ἐθαυμάζετο. Ὁ δὲ Θεόφιλος καὶ ἐλυπεῖτο διὰ τὸν Μανουὴλ, καὶ ἐφράντιζεν ὅπως αὐτὸν ἐκεῖθεν μετακαλέσηται. Πίστεις οὖν αὐτῷ καὶ δι' ὅρκου καὶ δι' ἐγγράφου χρυσοσημάντου μετά τινος μοναχοῦ στελλας, ἐπανελθεῖν προστρέπετο. Καὶ ὃς ἐπανῆλθε, τὸ δ' ὅπως, διηγητέον, ἔστι γὰρ οὐκ ἄχαρι πρὸς διήγησιν. Ἐντυχὼν τῷ τὰς πίστεις ἐκ βασιλέως αὐτῷ κομίζοντι μοναχῷ, καὶ συνθέμενος ὑποστρέψαι, πρόσεισι τῷ τῶν Ἰσμαηλιτῶν ἀρχηγῷ, καὶ αἰτεῖται στράτευμά οἱ δοθῆναι, ἵνα κατὰ τὴν Καππαδοκίαν γενόμενος, ἀνταποδοίη τοῖς εἰς τὸν βασιλέα κατειποῦσιν αὐτοῦ (ἐκεῖ γὰρ ἔλεγεν οἰκεῖν τοὺς κατηγόρους αὐτοῦ), ἠξίου δὲ τὸν ἀρχηγὸν τῶν Ἀγαρηνῶν καὶ τὸν υἱὸν αὐτοῦ συνεκπέμψαι αὐτῷ, ἵνα σοι τοῦτον, λέγων, γυμνάσια πρὸς τὰ πολέμια. Ὁ δὲ πείθεται, καὶ τὸν οἰκεῖον αὐτῷ συνεκπέμπει υἱόν· ἐθάρρει γὰρ τῷ Μανουὴλ καὶ ἐπίστευσε. Κἀκεῖνος ἀπῆει, καὶ ἤδη τοῖς Ῥωμαϊκοῖς ἐγγίσας ὁρίοις, τὸν τοῦ ἄρχοντος τοῦ ἐκ τῆς Ἄγαρ υἱὸν συμπαραλαβὼν μετ' ὀλίγων Σαρακηνῶν, ἐξῆει δῆθεν πρὸς κυνηγέσιον, πολλῶν αὐτῷ θεραπόντων συνεπομένων. Ὡς οὖν ἐντὸς χώρας Ῥωμαίων ἐγένετο, τῷ υἱῷ τοῦ Ἰσμαηλίτου περιπλακείς, *Σὺ μέν,* ἔφη, *τέκνον, ὑπόστρεφε·*

πρὸς τὰ σά, ἐγὼ δὲ πρὸς Ῥωμαίους πορεύσομαι. Ἀπανελθὼν δ' εἰς τὴν μεγαλόπολιν, περιχαρῶς ἐξέχθη παρὰ τοῦ αὐτοκράτορος, καὶ μάγιστρος αὐτίκα τετίμητο, καὶ ἐκ τοῦ ἁγίου βαπτίσματος τὸν τοῦ βασιλέως υἱὸν Μιχαὴλ ἐδέξατο, ὃν ὁ πατὴρ καὶ διαδήματι ἔστεψε, καὶ βασιλέα Ῥωμαίων ἀνεῖπε. Τοῦ πατριάρχου δὲ Ἀντωνίου τὴν ζωὴν καταστρέψαντος, ὃς ἔτη τῆς Ἐκκλησίας ἐκράτησε δεκατρία, Ἰωάννης, ὃν ὁ λόγος ἤδη προείρηκε διδάσκαλον γενέσθαι τοῦ Θεοφίλου καὶ συναιρετιώτην, προχειρίζεται πατριάρχης, ὃν καὶ Ἰάννην ἐκάλουν οἱ τότε, καὶ διὰ τὴν αἵρεσιν, καὶ διὰ γοητείας, ἣν γὰρ αὐταῖς ἐντριβής. Τὸν δὲ ἱερώτατον Μεθόδιον (28), ὃς ὕστερον καὶ τὸν πατριαρχικὸν ἐκόσμησε θρόνον, μὴ πειθόμενον συνθέσθαι τῇ κακοδοξίᾳ αὐτοῦ, μετὰ πολλὰς αἰκίας καὶ τῶν σιαγόνων αὐτοῦ σύνθλασιν, καὶ τῶν ὀδόντων ἐκριζώσιν, εἰς τὴν Πάνορμον νῆσον, ἣ νῦν τοῦ Ἀντιγόνου καλεῖται, ὁ δυσσεβὴς ὑπερορίζει Θεόφιλος, καὶ ἐντὸς καθείργνυσι μνήματος μετὰ δύο λῃστῶν· ὧν τοῦ ἑνὸς θανόντος, ὅσην ὁ ἅγιος ἐκ τῆς δυσώδους τοῦ τεθνεῶτος ἀποφορᾶς ὑπήνεγκε βίαν καὶ ἀηδίαν, οὐκ ἄν τις λόγος ἱκανῶς διαγράψαιτο. Ἐκεῖ τοίνυν ἐγκεκλεισμένου τοῦ ἀοιδίμου ἐκείνου Πατρὸς, καὶ οἱ αὐτάδελφοι, ὅ τε Θεοφάνης καὶ Θεόδωρος μετὰ τὴν τῶν προσώπων κατάστιξιν ὑπεροριζόμενοι, καὶ κατὰ τὸν Κάρτα λιμένα καταλύσαντες, διά τινος ἁλιέως συνήθους τῷ ἱερῷ Μεθοδίῳ ἐπιστέλλουσι ταῦτα·

Τῷ ζῶντι νεκρῷ, καὶ νεκρῷ ζωηφόρῳ.
Ναύτῃ τὴν γῆν, καὶ πολοῦντι τὸν πόλον,
Γραπτοὶ γράφουσι τῷ δεσμίῳ.

Οἷς πάλιν διὰ τοῦ αὐτοῦ ἁλιέως ὁ ὅσιος ἀνταπέστειλε,

Τοὺς ταῖς βίβλοισιν οὐρανοῦ κλῃσιγράφους
Καὶ πρὸς μέτωπα σωφρόνως ἐστιγμένους
Προσεῖπεν ὁ ζώθαπτος ὡς συνδεσμίους.

Ἕβδομον δ' ἔτος διανύσας ἐν τῷ τάφῳ ὁ ἅγιος, εἶτα ἐκεῖθεν ἐκβληθεὶς ἐν τοῖς ἀνακτόροις κατεκλείσθη, μηδενὸς αὐτὸν ὁρῶντος, ἢ μόνου τοῦ ὑπηρετοῦντος αὐτῷ, καὶ τοῦ βασιλέως· φιλοπονῶν γὰρ ὁ Θεόφιλος καὶ ἀναγινώσκων, ἠρώτα τὸν ἱερὸν Μεθόδιον περὶ ὧν ἀμφιβάλλων ἦν, διὸ καὶ ἐν ταῖς ἀποδημίαις ἀεὶ συνόντα εἶχεν αὐτῷ.

ΚΘ'. Ἔαρος δ' ἐπιστάντος, κατὰ τῶν Ἀγαρηνῶν ὁ βασιλεὺς, καὶ πάλιν ἦρε τὰ ὅπλα, καὶ πολλὰ τῆς Συρίας ἐξεπόρθησε, καὶ πόλεων ἐκράτησε, καὶ αὐτῆς Σωζοπέτρας, ἣ πατρὶς ἐτύγχανε τοῦ Ἀμερμουμνῆ, καὶ ταῦτα πολλὰ δεομένου ἐκείνου, φείσασθαι τῆς πατρίδος αὐτοῦ. Ὁ μὲν οὖν βασιλεὺς ἀνέζευξεν εὐτυχῶς. Ὁ Θεόφοβος δὲ καταλειφθεὶς ὥστε τὰ τῶν στρατευμάτων οἰκονομῆσασθαι, ἐπεὶ τὸ τῶν Περσῶν ὑστέρησε σιτηρέσιον (στράτευμα γὰρ ἦν τῷ βασιλεῖ Περσικὸν), περιαλγησάντων διὰ τοῦτο τῶν Περσῶν, βασιλεὺς παρ' αὐτῶν ἀνερρήθη καὶ ἄκων, μᾶλλον δὲ καὶ παρακαλῶν αὐτοὺς μεθεῖναι τῆς ἀπονοίας, μὴ καὶ ἑαυτοὺς, καὶ ἑαυτὸν ἐσχάτοις κακοῖς περιβάλωσιν· ἀλλ' οὐκ ἔπεισε. Στέλλει γοῦν πρὸς τὸν βασιλέα, τοῦτο τοὺς Πέρσας ἀποκρυψάμενος, γνωρίζων τὸ γεγονὸς, καὶ μηδέν τι

A opinioni refragantem, post multos cruciatus, malarumque contusionem et dentium evulsionem, in insulam Panormum, quæ nunc Antigoni cognomentum habet, impius relegat Theophilus, et intra monumentum cum duobus latronibus concludit : quorum altero mortuo, quantam violentiam, et molestiam vir sanctus ex teterrimo cadaveris fetore tolerarit, nulla quisquam oratione consequi potest. Hlic igitur inclytō illo patre incluso, fratres illi confessores Theophanes et Theodorus, post facierum compunctionem relegati, cum ad Cartæ portum appulissent, per quemdam piscatorem Methodio familiarem hæc scripserunt :

B
Viventi mortuo, atque mortuo simul
Vitam ferenti, qui cum tellurem colat
Polos perernat, litterati litteras
Vincti misere vinculis adobruto.

Quibus per eumdem piscatorem vir sanctus rescripsit :

Quorum notata nomina in cœlestibus
Libris leguntur, et decentibus votis
Compunctæ frontes, vinculo oppressis
Dicit salutem, qui vivens sepultus est.

C Cum autem septimum annum in sepulcro exegisset, inde ejectus atque in regia conclusus est, nemine cum vidente, præter ministrum ejus et Theophilum : qui cum studiose legeret, divinum virum de locis dubiis interrogabat, eaque de causa etiam in peregrinationibus semper habebat secum.

XXIX. Vere incipiente imperator rursus, Agarenis arma intulit et, magna Syriæ parte vastata, urbibus est potitus, ipsaque Sozopetra patria Amermuminis : quamvis ille multum, sed frustra, oraret, ut patriæ **151** suæ parceretur. Ac imperator feliciter domum rediit. Theophobus autem ad gubernandas legiones relictus, cum Persarum stipendia tardius solverentur (habebat enim imperator exercitum D Persicum), ab illis indignantibus, vel invitus atque ab ea desperatione frustra dehortans, ne et se et semetipsos in extrema mala conjicerent, imperator salutatur. Quo facto, clam Persis, id imperatori significat, eique fidem facit, ne quid sinistri de se suspicetur. Reversus imperatorem accedit, et cupidissime excipitur, pristina felicitate recepta. Est et Persis omnibus data venia, neque alia irrogata

Variæ lectiones et notæ.

(28) *Τὸν δὲ ἱερώτατον Μεθόδιον.* Cujus festum agunt Græci 24 Junii, ut est in Menæis.

pœna, nisi quod una esse siti non sunt, sed cum tricies mille essent, divisi ac dispersi sunt, cuilibet provinciæ binis millibus attributis, earumque prætoribus subesse ac parere jussi. Atque hæc cum Persis et Theophobo acta sunt. Amermumnem autem patriæ suæ vastatio tanto dolore affecit, ut vitam sibi acerbam putaret, nisi Theophilum ulcisceretur, cujus patriam esse Amorium ubi cognovisset, eam urbem oppugnare constituit. Sed imperator præmonitus, eam cum structuris tum exercitibus missis communiit, quibus Theodorus Craterus, cujus supra facta est mentio, præerat, cæterique qui apud Agarenos in martyrii stadio decurrerunt, numero XLIII. Exiit et imperator Agarenis occursurus, et cum Amermumnis filio cum justis copiis adventante congressus, in fugam vertitur. Nocte insecuta Manuel dum vigilias obit, quosdam Persas (nam linguam eorum intelligebat) audit de proditione cum Agarenis colloquentes, eoque nuntiato, imperatori persuadet, ut sub diluculum castris excedat : sic ille discessit, totis habenis equo laxatis. Amermumnes autem ex eo securus, Amorii obsidionem aggressus, cum crebras impressiones faceret, nihil proficiebat, iis qui intus erant fortiter resistentibus, adeo ut Agareni expugnationis spe abjecta discessuri fuerint, et urbs incolumis permansura, nisi quidam intus, cognomento Boiditzes, ob contentionem quamdam furore percitus, eam prodidisset. Urbe capta, quantus populus casus fuerit, dici non potest. Mulierum vero, puerorum et adolescentium multa millia, et duces primarii, Callistus, Constantinus, Theodorus Craterus, **152** patricii, aliique multi partim præturis insignes, partim dignitatum honoribus illustres, in captivitatem sunt abducti. Iis Theophilus, qui Dorylæi tum agebat, cognitis, missis ad Ismaelitarum principem legatis, illustres captivos et genere sibi junctos, XXIV centenariis sibi reddi petiit. Quos ille arroganter dimisit, se fatuum fore dicens, si captivos tantilla pecunia restitueret, cum sibi expeditio circiter mille centenariis constitisset. Legatis re infecta revereis, calamitas illa sic Theophili animum perculit, ut ei nulla consolatio adhiberi posset, sed et cibo abstineret, neque ullum potum admitteret, nisi aquam gelidissimam, cujusmodi est nivalis : cujus frequenti usu læsis interioribus, in dysenteriam incidit. Itaque in regiam reversus, desperata jam salute, senatum accersit, petens ut uxori suæ et filio fidem servarent, iisque imperium tuerentur. Quod cum illi se facturos promisissent, imperator, qui Theophobum jam ante, ex quo a Persis imperator salutatus fuerat, suspectum haberet, magis etiam ei suspicioni indulsit, ob proditionem quam

κατ' αὐτοῦ ὑποπτεύειν πληροφορῶν. Καὶ ἐπανελθὼν πρόσεισι τῷ βασιλεῖ, αὐτὸς μὲν ἀποδεχθεὶς εὐμενέστατα, καὶ τὴν προτέραν εὐετηρίαν ἀπειληφώς. Καὶ οἱ Πέρσαι δὲ συγγνώμης πάντες ἠξίωντο, καὶ οὐδέν τι αὐτοῖς ἐπενήνεκτο ἕτερον, ἢ ὅτι οὐχ ὁμοῦ πάντες εἶναι εἰάθησαν, ἀλλ' ἐς μυριάδας συναγόμενοι τρεῖς, διηρέθησαν, καὶ διεσπάρησαν, καὶ ἑκάστῳ θέματι χιλιάδες δύο ἀπενεμήθησαν, ὥστε τοῖς τῶν θεμάτων στρατηγοῖς καὶ ὑποκεῖσθαι καὶ πείθεσθαι. Τὰ μὲν οὖν περὶ τοὺς Πέρσας καὶ τὸν Θεόφοβον ἦσαν ἐν τούτοις. Τοῦ δὲ Ἀμερμουμνῆ τοσοῦτον καθήψατο ἡ τῆς αὐτοῦ πατρίδος ἐκπόρθησις, ὡς μὴ ἀνεκτὴν εἶναι αὐτῷ τὴν ζωὴν, εἰ μὴ ἀμύναιτο δι' αὐτὴν τὸν Θεόφιλον. Μαθὼν οὖν πατρίδα εἶναι αὐτοῦ τὸ Ἀμόριον (29), ἐπ' αὐτὸ στρατεύσασθαι ἔγνωκε. Καὶ ὁ βασιλεὺς τοῦτο γνοὺς αὐτὸ κατωχύρωσεν, ἄλλως τε καὶ στρατευμάτων ἀποστολῇ, ὧν ἦρχον Θεόδωρος ὁ Κρατερὸς, οὗ πρὸ μικροῦ ἡ ἱστορία ἐμνήσθη, καὶ οἱ λοιποὶ οἵ καὶ τὸν τοῦ μαρτυρίου δρόμον ἐξήνυσαν παρὰ τοῖς Ἀγαρηνοῖς, τεσσαράκοντα καὶ δύο πάντες τυγχάνοντες. Ἐξῆλθε δὲ καὶ ὁ βασιλεὺς ὑπαντιάσων τοῖς ἐκ τῆς Ἄγαρ, καὶ ὁ μὲν τῷ τοῦ Ἀμερμούμνῃ υἱῷ συμβαλὼν, μετὰ στριατιᾶς ἀξιομάχου ἥκοντι, τρέπεται. Νυκτὸς δ' ἐπιγενομένης ὁ Μανουὴλ τὰς φυλακὰς τοῦ στρατοπέδου περιῶν, ἤκουσεν ἐνίων Περσῶν περὶ προδοσίας τοῖς Ἀγαρηνοῖς διαλεγομένων (συνῆει γὰρ τὴν τούτων διάλεκτον) καὶ τοῦτο τῷ βασιλεῖ ἀπηγγέλκει, καὶ πέπεικεν ἐξαναστῆναι τοῦ στρατοπέδου κατὰ τὸ περίορθρον. Καὶ ὁ μὲν ἀπῄει ὅλον ἐνδοὺς τῷ ἵππῳ τὸν χαλινόν· ὁ δὲ Ἀμερμουμνῆς ἐξ ἐκείνου ἀμερίμνως τῇ τοῦ Ἀμορίου ἐπιχειρήσει πολιορκίᾳ, καὶ ἐνδιαλεχέστατα τὰς προσβολὰς τῇ πόλει πεποίητο· ἦνυε δ' οὐδέν, τῶν ἔνδον εὐρώστως ἀνταγωνιζομένων, ὥστε καὶ ἀπελπίσαι τὴν ταύτης ἅλωσιν τοὺς Ἀγαρηνοὺς, καὶ ἐπανέστησαν ἄν, καὶ ἡ πόλις οὐκ ἂν ἐπεπόρθητο, εἰ μή τις τῶν ἔνδον δι' ἔρωτα τιχὰ ἐκμανεὶς, προδότης ταύτης ἐγένετο, ᾧ Βοϊδίτζης ἦν τὸ ἐπώνυμον. Ἁλόντος δὲ τοῦ ἄστεος, ὅσος μὲν ἀνῃρέθη λαὸς οὐκ ἔστιν εἰπεῖν. Γυναῖκες δὲ καὶ παῖδες καὶ μειρακίσκοι εἰς πολλὰς χιλιάδας συναριθμούμενοι ἀπήχθησαν δορυάλωτοι, καὶ οἱ τῶν ἐκεῖ στρατηγούντων ἔξοχοι, Κάλλιστός τε καὶ Κωνσταντῖνος, καὶ ὁ Κρατερὸς Θεόδωρος, οἱ πατρίκιοι, καὶ ἄλλοι πολλοὶ τῶν ἐν στρατηγίαις διαπρεπόντων, καὶ περιφανῶν ἐξ ἀξιωμάτων τιμῆς. Ταῦτα μαθὼν ὁ Θεόφιλος (ἐν γὰρ τῷ Δορυλαίῳ διῆγε) πρέσβεις πρὸς τὸν τῶν Ἰσμαηλιτῶν ἐκπέπομφε βασιλέα, ἀποδοθῆναι αὐτῷ τοὺς ἐπιφανεῖς τῶν ἁλόντων αἰτῶν, καὶ τοὺς αὐτῷ κατὰ γένος προσήκοντας, κεντηνάρια πρὸς τέταρσιν εἴκοσι δοῦναι αὐτῷ ὑπισχνούμενος. Ὁ δὲ τοὺς πρέσβεις ἰταμῶς ἀπεπέμψατο, Ἀνόητος ἂν εἴην, εἰπὼν, εἰ περὶ χιλιά μοι τῆς ἐν τῇ στρατείᾳ κεντηνάρια γεγονυίας, αὐτὸς τοσαῦτα λαβὼν

Variæ lectiones et notæ.

(29) Ἀμόριον. Amorii excidium attigere etiam auctor Orationis historicæ in festum Restitutionis imaginum, p. 721 : et Menæa ad 6 Martii in SS. Theodoro, Constantino, et aliis qui tum cæsi sunt a Barbaris.

ἀποδοίην τοὺς αἰχμαλώτους. Ὡς δ' ἐπανῆλθον οἱ πρέσβεις ἄπρακτοι, οὕτως ἡ συμφορὰ καθίκετο τῆς Θεοφίλου ψυχῆς, ὡς μηδὲν αὐτῷ πρὸς ταύτην εὐρίσκεσθαι παρηγόρημα, ἀλλὰ καὶ τροφῆς ἀποσχέσθαι, καὶ μήτι πόμα προσίεσθαι, ἢ μόνον ὕδωρ ψυχρότατον, καὶ οἷον τὸ ἐκ χιόνος· τούτῳ δὲ χρώμενος συνεχῶς, ἐπέπληκτο τὰ ἐντὸς, καί οἱ δυσεντερίας νόσος ἐνέσκηψε. Καταλαβὼν δὲ τὰ βασίλεια (30), καὶ ἤδη γνοὺς ἑαυτῷ τὴν σωτηρίαν δυσέλπιστον, μεταπαλεῖται τὴν σύγκλητον, καὶ ἠξίου πίστιν αὐτοὺς εἰς τὴν σύζυγον καὶ τὸν παῖδα ἐνδείξασθαι, καὶ διατηρῆσαί σφισι τὴν ἀρχὴν τὴν βασίλειον· οἱ δὲ κατετίθεντο. Τούτων δὲ γεγονότων οὕτως, ὁ βασιλεὺς, καὶ πρώην ἐξότου ἀνερρήθη παρὰ τῶν Περσῶν ὁ Θεόφοβος (31) βασιλεὺς, ὕποπτον αὐτὸν ἡγούμενος, ἔθετο μᾶλλον τῇ ὑπονοίᾳ, καὶ διὰ τὴν προδοσίαν, ἣν ἐμελέτων οἱ Πέρσαι ποιήσασθαι, ὡς ἤδη μοι γέγραπται, τῶν ἐνδιαβαλλόντων τὸν ἄνδρα, ὑποθήκαις ἐκείνου ταῦτα τοὺς Πέρσας δρᾶν ἰσχυριζομένων. Ὡς οὖν ἤδη τῇ νόσῳ τὸ σῶμα τοῦ αὐτοκράτορος δεδαπάνητο, καὶ ἐξέλιπεν ἡ ἰσχὺς αὐτοῦ, δείσας μὴ αὐτοῦ θανόντος τυραννίδι ἐπίοιτο ὁ Θεόφοβος, καθείργνυσιν αὐτὸν περὶ τὰ βασίλεια, καὶ ἐπεὶ τὴν ζωὴν ἑαυτοῦ ἐκ λεπτοῦ ἤδη μίτου ἠρτῆσθαι διέγνωκε, καὶ ἄρτι ἐκλείπειν, ἀναιρεθῆναι κεκέλευκε τὸν Θεόφοβον, καὶ κομισθῆναί οἱ τὴν αὐτοῦ κεφαλήν· ἧς κομισθείσης, ἐπιθεῖναι λόγος αὐτῇ τὴν χεῖρα τὸν βασιλέα, καὶ ἁψάμενον τῶν ταύτης τριχῶν, ἐπειπεῖν, ὡς Ἀπὸ τοῖδε οὔτ' ἐγὼ Θεόφιλος, οὔτε σὺ Θεόφοβος· καὶ ἐπὶ τούτοις ἐξηρεύξατο τὴν ψυχὴν (32), βασιλεύσας ἐνιαυτοὺς δυοκαίδεκα ἐπὶ μησὶ τρισὶ (33), πολλὰ τὴν σύμβιον καὶ τὸν ἐπὶ τοῦ Κανικλείου Θεόκτιστον παραδυναστεύοντα τότε ἀξιώσας, μὴ παραχωρῆσαι τὰς σεπτὰς ἀναστηλωθῆναι εἰκόνας, μηδὲ τὸν πατριάρχην Ἰωάννην τῆς Ἐκκλησίας ἐκδιωχθῆναι.

A Persæ, ut jam exposui, moliti fuerant, cum delatores affirmarent illos id impulsu Theophobi fecisse. Ut igitur corpore morbo consumpto viribus destituebatur, veritus, ne se mortuo Theophobus tyrannidem invaderet, circa regiam eum in carcerem conjecit, cumque jam vitam suam de tenui filo pendere cerneret, et mox defecturam, illo interfecto, caput ejus sibi afferri jussit, manuque imposita et contrectatis capillis, dixisse fertur: *Jam neque ego Theophilus sum, neque tu Theophobus.* Iisque dictis animam exhalavit, cum regnasset annos XII et III menses : uxorem et Caniclio præfectum Theoctistum, qui imperii quodammodo particeps erat, multum obtestatus, ne paterentur venerandus imagines reponi, aut Joannem Ecclesia pelli.

Variæ lectiones et notæ.

(30) *Κατὰ τὰ βασίλεια.* In Magnauræ palatium, B ut habet Scilitzes, quod quidem ad orientem urbis exstitit. Hujus mentionem tum primum fieri, sub ipsa Justiniani tempora, ex *Chronico Alexandrino* docuimus in nostra *Constantinopoli*, l. II, sect. 5, n. 2, quod firmat præterea Cyrillus Scythopolitanus, qui sub eodem Augusto vixit, in Vita ms. S. Sabæ c. 73 : Τοῦ τοίνυν Θεοφυλάκτου ἡμῶν βασιλέως ἐν τούτοις ἀσχολουμένου μετὰ τοῦ Γριβουνιανοῦ τοῦ κυέστορος ἐπὶ τὴν καλουμένην Μαγναύραν, etc.

(31) *Θεόφοβος.* Addit Georgius Hamartolus in Chron. ms. Τὸ δὲ σῶμα τοῦ Θεοφόβου διὰ τοῦ Βυκολέοντος ἐξαγαγόντες, λαθραίως διέσωσαν πλησίον τοῦ Ναρσοῦ.

(32) *Ἐξηρεύξατο τὴν ψυχήν.* De miserabili Theophili morte consulendus idem scriptor Orationis historicæ de Orthodoxia, p. 724.

(33) *Ἐνιαυτοὺς δυοκαίδεκα ἐπὶ μησὶ τρισὶ* Idem auctor, p. 721, ait Theophilum regnasse an. 12 menses 6.